650



STANFORD·VNIVERSITY·LIBRARY

Digitized by Google

# SCHOLIA

IN

# EVRIPIDEM

COLLEGIT RECENSVIT EDIDIT

EDVARDVS SCHWARTZ

VOLVMEN I

SCHOLIA IN HECVBAM ORESTEM
PHOENISSAS

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMER
MDCCCLXXXVII

Digitized by Google

882.3
DS39

Digitized by Google

OTTONIS IAHN
MEMORIAE

S.

Digitized by Google

# PRAEFATIO

Scholia antiqua Euripidis Hecubae Orestis Phoenissarum seruarunt codices hi:

codex Marcianus 471 membranaceus s. XII ex bibliotheca Bessarionis. continet fol. 1$^{r}$—19$^{r}$ Dionysii periegesin cum scholiis, fol. 20$^{r}$—42$^{r}$ Euripidis Hecubam, fol. 42$^{v}$—75$^{r}$ Orestem, fol. 75$^{v}$—109$^{r}$ Phoenissas, fol. 109$^{r}$—132$^{v}$ Andromacham, fol. 133$^{r}$—154$^{v}$ Hippolytum, desunt quae sequebantur vs. 1234 σύμφυρταδ' ἧν ἄπαντα σύριγγεστ' ἄνω. textus et scholia ab uno eodemque librario scripta sunt. Hecubae scholiis fol. 20$^{r}$ praescriptum est σ$\overset{\lambda}{\chi}$ο. scholia plurima sunt marginalia aut lemmatibus signisque aut signis solis ad textum relata aut ipsis uersibus adscripta. sicubi in ipso margine spatium defecerat multasque adnotationes breuiores librarius collocauit siue in spatio quod inter scholia et uersus uacabat siue in margine interiore, denique haud paucas glossas ipsi textui superscripsit.

codex Vaticanus 909 bombycinus s. XIII. continet fol. 2$^{r}$—23$^{v}$ Hecubam, fol. 24$^{r}$—64$^{v}$ Orestem, fol. 65$^{r}$—117$^{v}$ Phoenissas, fol. 117$^{v}$—156$^{v}$ Medeam, fol. 157$^{r}$—196$^{v}$ Hippolytum, fol. 197$^{r}$—228$^{r}$ Alcestidem, fol. 228$^{r}$—261$^{r}$ Andromacham, fol. 261$^{v}$—295$^{r}$ Troades, fol. 295$^{v}$—314$^{v}$ Rhesum, desunt quae sequebantur vs. 898 ματρὸσ ἄλγοσ οἶαν ἔκελσασ ὁδὸν ποτὶ τροίαν. exciderunt post fol. 6 folium unum (Hec. 212—256), post fol. 16 folia VIII (Hec. 712—1069),

Digitized by Google

post fol. 58 folia VII (Or. 1205—1504), post fol. 298 folium unum (Rhes. 112—151), post fol. 308 folia II (Rhes. 551—630). inde a fol. $118^v$ codex a duobus librariis paene alterna uice descriptus est. scholia in exemplari mutila et lectu difficilia fuisse uidentur quoniam haud paucis locis spatia uacua inueniuntur. animaduertas tamen in triadis Byzantinae scholiis non solum haud pauca spatia expleta, sed alia quoque scholia et glossas interlineares additas esse ab altero illo librario ita tamen ut alterum exemplar adhibitum esse negem. codici glossae interlineares insunt plurimae, paucissima scholia intermarginalia. scholia marginalia ad textum relata sunt signis et lemmatibus ab exemplari neque ex ipso codice desumptis.

codex Parisinus 2713 (olim numeratus DCXXVIIII. 682. 2793) membranaceus s. XIII. codex cum initio mutilus esset, saeculo XVI praefixa sunt folia 1—8 et 9—16 in quibus a duobus librariis haec scripta sunt: fol. $1^r$—$2^r$ ἐπιτομὴ τῶν ἐννέα μέτρων ἐκ τοῦ ἐγχειριδίου ἡφαιστίωνοσ (cf. Dindorf. t. I p. IX), fol. $2^r$—$2^v$ περὶ σημείων τῆσ κοινῆσ συλλαβῆσ τῶν ἐντὸσ κειμένων τῆσ βίβλου (cf. Dindorf. ibid.), fol. $2^v$—$3^r$ σύνοψισ τοῦ βίου τοῦ ποιητοῦ· αἵ δὲ τῶν δραμάτων ὑποθέσεισ εἴσθησαν αἵ φερόμεναι γὰρ ἦσαν ἀπαραποιήτωσ ἐν τοῖσ παλαιοῖσ βιβλίοισ (uita quae fertur Moschopuli), fol. $3^r$—$3^v$ περὶ τοῦ εἰδώλου (cf. Dindorf. t. I p. 204 sq.), fol. $3^v$—$4^r$ σύνοψισ τοῦ τε βίου τοῦ ποιητοῦ καὶ τῆσ τοῦ δράματοσ ὑποθέσεωσ (uita Thomae Magistri), fol. $4^r$—$5^r$ ἡ ὑπόθεσισ τοῦ δράματοσ, οὕτωσ ἔχει (argumentum II Hecubae), fol. $5^r$ στίχοι πολιτικοὶ τοῦ τζέτζου (Dind. t. I p. 203), τοῦ χορτασμένου (cf. Dindorf. ibid.), fol. $6^r$—$16^v$ Hecubae vs. 1—522 cum scholiis originis recentissimi. his igitur abiectis uetus codex continet: fol. $17^r$—$28^r$ Hecubam inde a vs. 523, fol. $28^r$—$56^r$ Orestem, fol. $56^r$—$82^r$ Phoenissas, fol. $82^r$—$108^r$ Hippolytum, fol. $108^r$—$129^v$ Medeam, fol. $129^v$—$145^v$ Alcestin, fol. $145^v$—$159^v$ Andromachae vs. 1—1271. Nonnullis foliis post fol. 158 perditis foliique 159 parte superiore abscissa desunt Andromachae uersus 957—1211. 1236—1249. scholia marginalia ad textum relata sunt modis supra dictis nisi quod pro signis saepe litterae adhibitae sunt; scholia intermargi-

Digitized by Google

nalia plurima, haud ita multae glossae inueniuntur. multis locis scriptura antiqua detrita et a librario recenti plerumque recte restituta est.

his codicibus antiquis in Orestis Phoenissarumque scholiis addendus est codex Taurinensis B IV 13 (olim numeratus B VI 7). praeter prima folia in quibus alia manu sententiae uersusque originis Byzantini scripti sunt Orestem et Phoenissas cum scholiis continet foliis quae fol. 110 sequebantur abscissis. codex clauditur Phoenissarum vs. 1164 ἄλλασ ἐπήει σὸσ παῖσ εἰπόμην δ' ἐγώ.

hos igitur codices quos omnes ipse contuli pro fundamentis eius habui scholiorum recensionis quae nobis quidem antiquissima aestimanda est. qui praeter illos innotuit Euripidis codex palimpsestus s. VII litteris uncialibus scriptus, quem primus uidit H. O. Coxe [Report to Her Majesty's government on the Greek Manuscripts yet remaining in libraries of the Levant London 1858 p. 55 nr. 22], ut antiquitate praestat omnibus ita spissis tenebris abditus usu est nullo. nam Constantinus Tischendorf ita dignum eum censuit qui accuratius notaretur, ut Hierosolymam perferret, paucissima exscriberet ex uersibus, etiam pauciora ex scholiis. certe in anecdotorum sacrorum et profanorum editione altera et aucta [p. 224] hoc unum exemplum inueni scholiorum textui adiectorum: οἰκειούμενοσ ὁ χορὸσ τὰσ συμφορὰσ καὶ συναχθόμενοσ γεγονότερον ἐξεβόησε τὸ ὦ τάλασ. διὸ φησὶν ὀλεῖσ εἰ βλέφαρα κινήσεισ [schol. Or. 156].

diuersae res aguntur a scholiorum editore atque scriptorum. quae huic praestanda sint, nulla est dubitatio: ille ex multis certam quandam uiam eligat necesse est quam teneat. ita enim scholia tradebantur ut nulla auctoritate uerborum integritas defenderetur: tam describebantur quam uel decurtabantur uel augebantur uel mutabantur: quot codices, tot recensiones. ne igitur nimis perturberis, num unum codicem eligas cuius recensionem restituas? hoc omnino cauendum esse docti sumus editionibus scholiorum Homericorum solos codices Venetos secutis. suam cuique codici tribuendam esse recensionem ipse modo dixi, ita tamen ut has recensiones non certas quasdam et antiquitus traditas censeas, sed un-

Digitized by Google

dique mixtas cognoscas et conflatas. codicem igitur quamuis antiquum si sequereris, sequereris casum neque rationem. nouam construas necesse est recensionem, sed alio modo atque codicum librarii et eam quae antiquitatis quam accuratissimam praebeat imaginem. in minutiis constituendis sequere codices optimos, in ceteris undique eligas quae antiquissima per rationes iudiciumque licuerit aestimare. neque adorandi sunt codices neque despiciendi, sed explorandi. re ita acta id prodire scholiorum corpus non mirum in quo sermo audiatur uarius ac diuersus et coniuncta inueniantur antiquae eruditionis frustula commentaque originem prodentia recentem: haec est natura scholiorum omnium.

itaque edidi omnia quae in codice Marciano scripta inueni eis solis omissis scholiis intermarginalibus uel glossis quibus pauca uerba scholii marginalis inepte repetuntur. edidi ceterorum codicum scholia marginalia iis quae recentiora esse censueram cruce signatis. quod signum moneo ut recte intellegatur. neque enim codici Marciano haud pauca inesse nego scholia non antiqua neque in solis ceteris codicibus et antiqua et antiquissima inueniri. crucem igitur apposui quotiescunque scholion recens aestimandum est duabus de causis coniunctis: et ex sermone uel argumento et ex codicum indole. abieci codicum Vaticani et Parisini glossas plerasque et pauca scholia intermarginalia quae recentiori aeuo deberi facile cognoui. scholia intermarginalia significaui siglis $M^i$ $A^i$ $B^i$, glossas interlineares $M^g$ $A^g$ $B^g$. in codice Taurinensi haec genera non distinxi quoniam temporis inopia pressus scholia intermarginalia et glossas non omnes contuli. denique addo me ad unum omnia omisisse quae in codicibus a librariis recentioribus adscripta sunt. in scholiis ipsis restituendis id imprimis caui ne librariorum Byzantinorum morem secutus scholia diuersa in unum conglutinarem et pro recensione tradita scholiorum multifariam discerptorum falsam quandam speciem uenditarem commentarii perpetui. multa quae editores peccauere ex codicum accuratiore notitia facile corriguntur. cum tamen mos iste codicibus nostris antiquior sit, haud

Digitized by Google

pauca inueniuntur in omnibus codicibus coniuncta quae falso conglutinata esse appareat. quaecunque igitur etiam sine codicum auctoritate distinguenda esse uidebantur, non solito clausulae signo, sed spatio distinxi. lemmata uel adscripsi uel omisi antiquissimum quemque codicem secutus, corruptelas eorum tacite emendaui.

eam igitur philologis praebuisse recensionem mihi uideor quae cum codicibus saeculo XI antiquioribus tradita esset. per quattuor illos supra indicatos quamvis mutata et uaria tamen si omnia spectaueris una eademque conseruata est. certe multo peius habita est in aliis codicibus qui Byzantinorum commentis ne lectu quidem dignis fere carent neque tamen alia de causa numerandi sunt nisi quod derivati, non descripti sunt ex codicibus melioribus quam eis qui nunc praesto sunt. quod genus non adhibui nisi locis illis raris et paucis quibus meliora et pleniora praeberi certum uidebatur. celeberrimus illorum codicum est Monacensis 560 propter Valckenaeri editionem Phoenissarum, sed uni huic tam claro nomini eius famam deberi facile cognoui postquam codicem ipsum Laubmanni liberalitate bibliothecae Bonnensi traditum inspexi. praeter hunc eiusmodi codices a me inspecti sunt hi:

Laurentianus 32, 33 bombycinus s. XIV. continet scholia in Hecubam Orestem Phoenissas. prima folia Hecubae addita sunt a librario recenti.

Laurentianus 31, 10 chartaceus s. XV. ad Hecubam et Orestem pauca, sed bona ex ueteribus scholiis excerpta sunt, Medeae scholia nihil ualent.

Vaticanus 1332 bombycinus s. XIV ex bibliotheca Fuluii Vrsini. continet Phoenissas cum scholiis, desunt vs. 1—1000.

Vaticanus 1135 membranaceus s. XIV. continet scholia in Hecubam sine textu uno tenore perscripta, deinde Hecubam ipsam cum raris scholiis marginalibus, postea Orestem cum paucissimis scholiis, tum scholia in Orestem et ea uno tenore perscripta, denique Phoenissas sine scholiis.

Vaticanus 1345 chartaceus s. XIV. continet scholia ad He-

Digitized by Google

cubam Orestem Phoenissas. fol. 1r et 95r legitur χε προηγοῦ τῶν θεοδώρου πόνων.

Palatinus 343 chartaceus s. XV/XVI. continet Phoenissas inde a vs. 63 et Hippolytum cum scholiis.

Ambrosianus C 44 sup. chartaceus s. XV. continet Hecubam Orestem Phoenissas cum notulis paucis.

Marcianus suppl. cl. IX cod. X membranaceus s. XV. praeter Hecubam scholiis Byzantinis instructam continet Orestem Phoenissas Hippolytum Medeam Alcestin Andromacham cum scholiis antiquis e B deriuatis. inscriptus est τῶ εὐγενεῖ μουσῶν τε τροφίμω καὶ χαρίτων ἰακώβω τῶ σιμαιθοκόλω.

Estensis III C 13 chartaceus s. XVI. continet scholia ad Hecubam paucissima, plura ad Orestem et Phoenissas ex codice B deriuata, quibus artissima est cognatio cum editione Arsenii.

Parisinus 1087 bombycinus s. XIV. continet scholia paucissima in Orestem.

Parisinus 2810 chartaceus s. XVI, olim Marci Musuri. continet scholia in Hecubam et Orestem codici Monacensi simillima.

Parisinus 2818 chartaceus s. XV. continet scholia in Hippolytum Phoenissas Orestem Hecubam uno tenore perscripta et editioni principi simillima. secuntur Hippolytus Medea Andromacha Alcestis cum scholiis e B descriptae*).

ad uitam Euripidis recensendam praesto erant codices:

---

*) addo quibuscunque codicibus scholia Euripidea inesse ex catalogis impressis cognoui eis omissis quos scholiis Byzantinis instructos esse manifestum est. animaduertas tamen si accuratius perlustraueris, euenturum ut omnes fere quos enumerabo abiciendos censeas. hi sunt numeri et loci: in Museo Britannico Harlei. 5725. 6300 Arundel. 540 Addit. 10057, Oxoniae Dorvill. X 1, 3, 13. X 1, 3, 14 Barocc. 120, Cantabrigiae Mm I 11 Nn III 13 Nn III 14, Bruxellensis 11278—9 (cf. Omont, catalogue des manuscrits grecs de la bibliothèque royale de Bruxelles et des autres bibliothèques publiques de Belgique Gand 1885 nr. 76). 4280—83 (Omont nr. 77), Agenensis 20 (cf. Omont, catalogue des manuscrits grecs des départements Paris 1886 nr. 1), Remensis J. 733/732 (Omont nr. 79), Hauniensis 3549, Lugduni Batauorum Voss. 33. 61, Monacensis 258, Vindobonenses IV 119. 161. 163. 180, Sinaiticus 1196.

Vaticanus 1345 u. s. insunt p. 1,1—3,10. 3,15—4,11, tum argumentum recensque scholion Hecubae, p. 3,11—14. 4,12—22. 6,1—16.

Parisinus bibliothecae S. Genovevae 36. insunt p. 2, 2—3, 14. 4,12—22. 6,1—16. adhibui apographon quod publici iuris fecit Rossignol [journal des savants 1832 p. 240ff.].

Ambrosianus L 39 sup. insunt p. 1,1—3, 10 *).

Vrbinas 140. insunt p. 1,1—3, 10. 4,23—5,17. 4,12—22. 6,1—16 (cf. adnotationem).

Hauniensis 3549. insunt p. 1,1—5 **). 4,12—22. 1,1—3, 10. 4,23—6,15. pro me contulit Heiberg amicus.

Vindobonensis 119. insunt p. 1,1—3, 10. 4,23—6,15. pro me conferri iussit u. d. W. de Hartel.

uitam Thomae omisi, ea quam falso ferunt Moschopuli non ex Euripidis codicibus recensenda est, sed ex Suida sumenda. multos illos codices quibus excerpta ex uita antiquitus commentario praemissa leguntur exiliora quam in codicibus enumeratis, inutiles esse duxi.

Hecubae argumentum recensui ex codicibus Ambrosiano L 39 sup. Marciano 468 Parisino 2813.

haec de codicibus. adnotationi criticae inserui quaecunque in etymologicis leguntur fragmenta scholiorum recensionis antiquae codicibusque nostris affinis neque omisi quae Tzetzes ex scholiis excerpsit. etsi praeter haec ualde dubitauerim an certa scholiorum Euripideorum uestigia inueniri possint, tamen in his subsistendum non esse censui. ea enim est lexicorum multorumque scholiorum proximitas ut altera sine alteris tractari nequeant. accedit aliud. grammatici ueteres suo munere fungi sibi videbantur cum commentariis insererent quae de historia fabulari ex compendiis siue doctis

*) hanc uitam ab Elmsleio primo editam esse constat, non constat codicis numerum A 104 sup. falso ab eo esse indicatum. ibi enim nihil inuenitur nisi uitae quae feruntur Thomae Magistri et Moschopuli.

**) huius particulae uarias lectiones non adnotaui.

siue indoctis excerpsissent. ut igitur de eiusmodi scholiorum et origine et uerbis recte iudicari liceat, ex lexicis scholiis ad historiam fabularem pertinentibus scriptoribus qui dicuntur mythographi congessi quaecunque scholiis Euripideis aliquo modo affinia esse cognoueram timore non impeditus ne aliis plura aliis pauciora quam par esset adnotasse uiderer.

restat ut gratias agam illustri concilio Academiae Regiae Borussicae cuius liberalitate mihi obtigit ut opus inceptum ad finem perducerem. praeterea uiros illos qui bibliothecis et exteris et nostris praefecti sunt, optime de hoc libro meritos esse gratus et memor hoc publico loco testor. in plagulis corrigendis Robertus Münzel amicus docte et diligenter me adiuuit.

Bonnae mense Martio MDCCCLXXXVII

E. S.

# ADDENDA ET CORRIGENDA

p. 10,10. 12. 14. 11,3. 12,23. 13,3. 23. 14,18 pro asteriscis puncta ponas
p. 20,16 cf. lex. Bachm. p. 23,27
p. 20,21 cf. Hesych. λιάζει ... ταράσσει
p. 20,22—28 cf. Hesych. ἀλίαστος ... ἀχώριστος. λιάσαι χωρίσαι .. λιασθείς χωρισθείς Eust. p. 1364,45 schol. Ω 549 Orion. p. 92,23
p. 22,18.19 cf. lex. Vindobon. p. 52,8
p. 23,35. 51,36 deleas notitiam Philemonis
p. 26,30 deleas uerba 'conicio εὑρετὴν ἀληθινὸν ὄντα' et scribas: conicio ἀρχηγόν cl. Philod. de rhet. uol. Hercul. III col. 63 ⟨οὐθὲν ε⟩ὐφυὲς ἔχε⟨ι πρὸς ἀπάτ⟩ην μεμηχα⟨νη⟩μέν⟨ον⟩, ἡ δὲ τῶν ῥητόρων ⟨ε⟩ἰσ⟨α⟩γωγὴ πάντα τὰ θεωρήματα πρὸς τοῦτ' ἔχει τείνοντα καὶ κατὰ τὸν Ἡράκλειτον κοπίδων ⟨ἐστὶν⟩ ἀρχηγός [Gomperz, Zeitschr. f. österr. Gymn. 17 p. 698 ff.]
p. 55,8 οὐ delendum esse censuere adulescentes quidam Americani qui initio huius anni ex urbe Chicago litteras mihi miserunt nominibus non indicatis coniecturarum in scholia Euripidea plenas. cum maxima huius libri pars eo tempore typis impressa esset, hoc loco adnotaui quae bona et noua uidebantur
p. 59,12—14 cf. Gregor. Cor. in Hermogen. p. 1122 W. καὶ ὁποῖα ἦσαν τὰ τοῦ ἁγίου Ῥωμανοῦ ἃ ἐλέγοντο οἶκοι καὶ κουβούκλεια· οἶκοι μὲν ὡς περιεκτικὰ οἰκημάτων, κουβούκλεια δὲ ὡς ἐξέχοντα τῶν ἄλλων
p. 73,11—15 cf. lex. Bachm. p. 116,12
p. 89,7.8 locis adnotatis addas Serv. ad Aen. V 77
p. 89,10 inseras: 1265 ὄμματα: — Ms
p. 90,19.20 exscripsit Tzetzes ad Lycophr. p. 536
p. 101,14—17 locis adnotatis addas schol. B 520
p. 108,16—18 cf. Phrynich. p. 18,9 Bekk.
p. 109,12—16 locis adnotatis addas lex. Bachm. p. 175,23. 24. 29
p. 120,19.20 cf. Phrynich. p. 22,11 Bekk.
p. 125,20—22 cf. Cram. an. Ox. II p. 452,25

p. 126,9.10 cf. Cram. an. Ox. II p. 433,19
p. 129,6 pro λάβε coni. φάγε anonymi Americani
p. 151,22 pro γένους scribas εἴδους
p. 177,20 καὶ δι' ἐκείνου in δι' ἐκείνου καὶ em. anonymi Americani
p. 191,23 πρῶτον εἶπεν in εἶπε πρῶτον em. anonymi Americani
p. 205,10 ἀπήλασε in ἀπηλλάγη em. anonymi Americani
p. 247,15 inseras: λίαν ἐν ταύτῃ τῇ ἡμέρᾳ καὶ ἐν ἐκείνῃ, ὅτε ὁ Κάδμος τὴν οἰκίαν καταλιπὼν ἦλθεν ἐνταῦθα, δυστυχῆ ἀκτῖνα ἐφῆκας, ἀνέτειλας; — Mκ
p. 279,20 pro πνείοντος scribas πνείοντας

M = codex Marcianus 471

T = codex Taurinensis B IV 13

A$A^1$ = codex Vaticanus 909 a duobus librariis scriptus

B = codex Parisinus 2713

littera $^g$ glossas interlineares, littera $^i$ scholia intermarginalia distinxi

V = codex Vaticanus 1345

G = codex Parisinus S. Genovevae 36

Q = codex Ambrosianus L 39 sup.

H = codex Hauniensis 3549

U = codex Vrbinas 140

W = codex Vindobonensis 119

asteriscis lacunas, punctis locos in codicibus detritos, crucibus corruptelas, uncis quadratis quae eicienda, obliquis quae addenda uidebantur significaui. de cruce initio posita cf. quae exposui p. VIII

in fragmentis comicis praeter Menandrum numeros Kockianos, in Hesiodeis Rzachianos, in Antimacheis Schellenbergianos, in ceteris epicis Kinkelianos adscripsi

# ΓΕΝΟΣ ΕΥΡΙΠΙΔΟΥ

Εὐριπίδης ὁ ποιητὴς υἱὸς ἐγένετο Μνησαρχίδου καπήλου καὶ Κλει- 1
τοῦς λαχανοπώλιδος, Ἀθηναῖος. ἐγεννήθη δὲ ἐν Σαλαμῖνι ἐπὶ Καλλίου
ἄρχοντος κατὰ τὴν οε ὀλυμπιάδα ὅτε ἐναυμάχησαν τοῖς Πέρσαις οἱ
Ἕλληνες.

Ἤσκησε δὲ κατ' ἀρχὰς μὲν παγκράτιον, ἢ πυγμήν, τοῦ πατρὸς 2
αὐτοῦ χρησμὸν λαβόντος ὅτι στεφανηφόρους ἀγῶνας νικήσει, καί φασιν
αὐτὸν Ἀθήνησι νικῆσαι· ἀναγνοὺς δὲ ἐπὶ τραγῳδίαν ἐτράπη καὶ πολλὰ
προσεξεῦρε, προλόγους φυσιολογίας ῥητορείας ἀναγνωρισμούς, ὡς δὴ
ἀκουστὴς γενόμενος Ἀναξαγόρου καὶ Προδίκου καὶ Πρωταγόρου. δοκεῖ
⟨δὲ⟩ αὐτῷ καὶ Σωκράτης ὁ φιλόσοφος [καὶ Μνησίλοχος] συμπεποιηκέναι
τινά, ὥς φησι Τηλεκλείδης [frg. 39. 40]· 'Μνησίλοχος δὲ ἐκεῖνος

---

1 γένοσ εὐριπίδου H γένος εὐριπίδου καὶ βίος Q γ. κ. β. εὐ. V om. WU 2 ὁ ποιητὴς om. H υἱὸσ μὲν U μνησαρχίδου V μνηστάρχου Q μνησάρχου
ει
HWU καὶ] μητρὸσ δὲ U 2. 3 κλυτοῦσ Q κλυτοῦσ U κλ... H 3 Ἀθηναῖος] ἀ. μὲν QHW γένοσ ἀ. U καλλει W Καλλιάδου Meursius 4 κατὰ—ὀλυμπιάδα om. HW π̄ U 6—8 ἤσκησε—νικῆσαι om. U 6 ἔσκ..ν H μὲν om. H 7 αὐτοῦ om. HW λαβόντεσ H νικηφόρουσ HW 8 πολλὰ Nauck πολλοὺσ VQHWU προεξεῦρε VQWU 9 λόγουσ VQ καὶ φ. HU καὶ ῥ. U ὡς ῥ. W ἀναγνωρισμοὺς om. HWU 9. 10 ὡσ ἀνακουστῆσ γενόμενοσ V γενόμενοσ ceteris omissis H ἀκ.... ὢσ γενόμενοσ W ὡσ ἀκουστήσ γ. U 10 πρωταγόρα VU 10. 11 δοκεῖ δὲ αὐτῷ] καὶ σωκράτουσ ἑταῖροσ δὲ δοκεῖ αὐτῶ Q καὶ σωκράτουσ ἕτεροσ δὲ δοκεῖ αὐτῶ U σωκράτησ δὲ ἕτεροσ αὐτῶ δοκεῖ V καὶ σωκράτουσ ἑταῖροσ δοκεῖ δὲ αὐτῶ HW ὁ φιλόσοφοσ om. HWU μνησίλογοσ H μνησοχόσ U καὶ M. uncis inclusi secutus Elmsleium πεποιηκέναι V 12—p. 2,1 τινὰ —Ἀργεῖον om. U ὥς—Ἀργεῖον om. HW 12 Μνησίλοχος ἐστ' ἐκεῖνος ὃς Dindorf ὁ Μνησίλοχος δ' ἐκεινοσὶ sine M. οὗτός ἐστιν ὃς Meineke

φρύγει τι δρᾶμα καινὸν Εὐριπίδου καὶ Σωκράτης τὰ φρύγαν' ὑποτίθησιν.' οἱ δὲ τὰ μέλη αὐτῷ φασι Κηφισοφῶντα ποιεῖν, ἢ Τιμοκράτην Ἀργεῖον. φασὶ δὲ αὐτὸν καὶ ζωγράφον γενέσθαι καὶ δείκνυσθαι αὐτοῦ πινάκια ἐν Μεγάροις· γενέσθαι δὲ αὐτὸν καὶ πυρφόρον τοῦ Ζωστηρίου Ἀπόλλωνος. γεννηθῆναι δὲ τῇ αὐτῇ ἡμέρᾳ ⟨ᾗ⟩ καὶ Ἑλλάνικον, ἐν ᾗ ἐνίκων τὴν περὶ Σαλαμῖνα ναυμαχίαν οἱ Ἕλληνες, ἄρξασθαι δὲ ἀγωνίζεσθαι γενόμενον ἐτῶν κ̅ϛ̅. μετέστη δὲ ἐν Μαγνησίᾳ καὶ προξενίᾳ ἐτιμήθη καὶ ἀτελείᾳ. ἐκεῖθεν δὲ εἰς Μακεδονίαν παρὰ Ἀρχέλαον γενόμενος διέτριψε καὶ χαριζόμενος αὐτῷ δρᾶμα ὁμωνύμως ἔγραψε καὶ μάλα ἔπραττε παρ' αὐτῷ, ὅτε καὶ ἐπὶ τῶν διοικήσεων ἐγένετο. ἐλέγετο δὲ καὶ βαθὺν πώγωνα θρέψαι καὶ ἐπὶ τῆς ὄψεως φακοὺς ἐσχηκέναι. γυναῖκα δὲ γῆμαι πρώτην Μελιτώ, δευτέραν δὲ Χοιρίλην. καὶ υἱοὺς κατέλιπε τρεῖς, Μνησαρχίδην μὲν πρεσβύτατον ἔμπορον, δεύτερον δὲ Μνησίλοχον ὑποκριτήν, νεώτατον δὲ Εὐριπίδην, ὃς ἐδίδαξε τοῦ πατρὸς ἔνια δράματα. ἤρξατο δὲ διδάσκειν ἐπὶ Καλλίου ἄρχοντος ὀλυμπιάδος π̅α̅ ἔτει α, πρῶτον δὲ ἐδίδαξε

1 φρύγει Dindorf φρύγειον VQ  εὐριπίδῃ Q  σωκράτου V  τὰ φρύγανα V om. Q  totum locum ita scribi vult ὁ Μ. δ' ἐκεινοσὶ φρύγουσι (siue φρύγοντι) δρᾶμα κ. Εὐριπίδῃ καὶ Σωκράτει τ. φ. ὑ. Fritzsche. cf. Diog. Laert. II 18 ἐδόκει δὲ συμποιεῖν Εὐριπίδῃ. ὅθεν Μνησίλοχος οὕτω φησὶ 'φρύγες ἐστὶ καινὸν δρᾶμα τοῦτ' Εὐριπίδου ᾧ καὶ Σωκράτης τὰ φρύγανα ὑποτίθησι.' καὶ πάλιν 'Εὐριπίδης σωκρατογόμφους'. καὶ Καλλίας Πεδήταις 'ἤδη σὺ σεμνὴ καὶ φρονεῖς (pro καταφρονεῖς Menagius) οὕτω μέγα. ἔξεστι γάρ μοι· Σωκράτης γὰρ αἴτιος'. Ἀριστοφάνης Νεφέλαις 'Εὐριπίδης δ' ὁ τὰς τραγῳδίας ποιῶν τὰς περιλαλούσας οὗτός ἐστι τὰς σοφάς'.  2 αὐτῷ om. V  ἰοφῶντα VQ σιοφῶντα G em. Welcker  3 φασὶ δὲ τὸν εὐριπίδην καὶ ζωγράφον γεγονέναι HW φ. δέ τινες τ. εὐ. κ. ζ. γεγονέναι U  3—11 καὶ—ἐσχηκέναι om. U  3 αὐτοῦ] αὐτὸν W  4 πινάκιον H πίναξ W  4—6 γενέσθαι—Ἕλληνες om. HW  5 ἑλλαννικόν G  6 δὲ om. VHW  6. 7 ἀγωνίσασθαι V  7 γενόμενοσ HW  ἐτῶν εἰκοσιέξ GQ εἴκοσι καὶ ἓξ ἐτῶν H κϛ' ἐτῶν W  7—10 μετέστη—ἐγένετο om. HW  7 μαγνησίῳ Q  προξένῳ VGQ em. Elmsley  8 ἀτελίᾳ Q  δὲ om. V  μακεδόνα V  περὶ VQG  10 ἐγένετο om. G  ἐλέγετο δὲ καὶ] λέγουσι δὲ αὐτὸν καὶ H λέγουσι δὲ τὸν τούτου πατέρα W  11 φωκοὺσ ἐπὶ τῆσ ὄψεωσ HW  δὲ] τὲ HWU  11. 12 πρῶτον γῆμαι V γῆμαι πρῶτον HU  12 μιλιτὼ G  δεύτερον H  δὲ om. HU  χοιρίνην V χοιρίλλην H χοιρθλαν W χοιρθλου U  καταλιπεῖν WU  12. 13 μνησαρχίδην Q  13 μὲν om. Q  πρεσβύτερον QHW πρῶτον VG em. Kirchhoff  14 νεώτεροσ V νεώτερον GQHWU em. Nauck  εὐριπίδησ V  δὲ Εὐριπίδην] μνησαρχίδου H  οἳ ἐδίδαξαν HWU  14—p. 3,1 ἤρξατο—ἐγένετο om. HWU  15 ὀλυμπιάδα Q κατὰ ὀλυμπιάδα G  ἔτει πρώτῳ ante ὅτε collocant VQ om. G

τὰς Πελιάδας, ὅτε καὶ τρίτος ἐγένετο. τὰ πάντα δ' ἦν αὐτοῦ δράματα ϟβ, σῴζεται δὲ οη· τούτων νοθεύεται τρία, Τέννης Ῥαδάμανθυς Πειρίθους. ἐτελεύτησε δέ, ὥς φησι Φιλόχορος, ὑπὲρ τὰ ο ἔτη γεγονώς, ὡς δὲ Ἐρατοσθένης, οε· καὶ ἐτάφη ἐν Μακεδονίᾳ· κενοτάφιον δὲ αὐτοῦ [ἐν] Ἀθήνησιν ἐγένετο καὶ ἐπίγραμμα ἐπεγέγραπτο Θουκυδίδου τοῦ ἱστοριογράφου ποιήσαντος, ἢ Τιμοθέου τοῦ μελοποιοῦ·

μνῆμα μὲν Ἑλλὰς ἅπασ' Εὐριπίδου, ὀστέα δ' ἴσχει
γῆ Μακεδών, ᾗπερ δέξατο τέρμα βίου.
πατρὶς δ' Ἑλλάδος Ἑλλάς, Ἀθῆναι· πλεῖστα δὲ Μούσας
τέρψας ἐκ πολλῶν καὶ τὸν ἔπαινον ἔχει.

φασὶ δὲ [καὶ] κεραυνωθῆναι ἀμφότερα μνημεῖα. λέγουσι δὲ καὶ Σοφοκλέα ἀκούσαντα ὅτι ἐτελεύτησεν, αὐτὸν μὲν ἱματίῳ φαιῷ προελθεῖν, τὸν δὲ χορὸν καὶ τοὺς ὑποκριτὰς ἀστεφανώτους εἰσαγαγεῖν ἐν τῷ προαγῶνι καὶ δακρῦσαι τὸν δῆμον.

Εὐριπίδης Μνησαρχίδου Ἀθηναῖος. τοῦτον οἱ τῆς ἀρχαίας κωμῳδίας 3
ποιηταὶ ὡς λαχανοπώλιδος υἱὸν κωμῳδοῦσι. γενέσθαι δὲ κατ' ἀρχὰς μὲν αὐτόν φασι ζωγράφον, σχολάσαντα δὲ Ἀρχελάῳ τῷ φυσικῷ καὶ Ἀναξαγόρᾳ ἐπὶ τραγῳδίαν ὁρμῆσαι. ὅθεν καὶ πλέον τι φρονήσας εἰκότως περιίστατο τῶν πολλῶν, οὐδεμίαν φιλοτιμίαν περὶ τὰ θέατρα ποιούμενος. διὸ τοσοῦτον αὐτὸν ἔβλαπτε τοῦτο ὅσον ὠφέλει τὸν Σοφοκλέα. ἐπέκειντο δὲ καὶ οἱ κωμικοὶ φθόνῳ αὐτὸν διασύροντες. ὑπεριδὼν δὲ πάντα

1 πελειάδας Q πλειάδας G   αὐτῷ GQW   2 ἐννενήκοντα καὶ δύο H ἐννηνήκοντα καὶ δύο W   σώζεται — Πειρίθους om. U   ἑβδομήκοντα ὀκτὼ H   καὶ τούτων H   νοθεύονται V   Τέννης — Πειρίθους om. HW   πυρίθους V   3 δὲ ὥς om. Q   ἑβδομήκοντα H   ὡς] ὁ H   3. 4 ἀρατοσθένης V   ἐρατοσθένης .. ἐν μακεδονία ἐν μακεδονία W omisso ἐτάφη   καὶ ἐν μακεδονίᾳ ἐτάφη GQ ἐτάφη δὲ ἐν μ. H   5 ἐπεγέγραπτο G δὲ γέγραπτο V γέγραπτο Q αὐτῷ ἐπιγέγραπται HWU   7 epigramma legitur Anth. Pal. VII 45 inscriptum Θουκυδίδου cf. Ath. V p. 187d   μνᾶμα Anth. μὲν] δὲ G   ἅπασα U   ὀστέα] αὐτὸν U   8 μακεδόνων VGQHWU em. ex Anth.   ἡ που περ VG ᾗπερ Q ἥπερ H ἧπερ W ἥπερ U ἣ γὰρ Anth. τῇ γὰρ Iacobs Meineke   δέξοιτο V ἐδέξατο τὸ Q   τοῦ βίου VGQ   9 πάτη V πάτρη G πατέρες Q πρᾶ HW   Ἑλλὰς om. QHWU   πολλὰ VG πλεῖστος(ο ex α corr.) H πλείστας U   Μούσας] γράψας VG Μούσαις Anth.   10 τέρψας] μούσαις VG   πλείστων VG   ἔχειν Q   11—14 φασὶ — δῆμον om. QHWU   11 κεραυνῶ V   12 post φαιῷ add. ἤτοι πορφυρῷ G quae in margine habet V   13 προγῶνι V   15 μνησαρχίδης V   18 τραγωδίας V em. Kirchhoff   20 τοσοῦτον] τοῦτον V em. Nauck   21 καὶ om. V   φθόνῳ] καὶ φόνω V em. Kirchhoff

εἰς Μακεδονίαν ἀπῆρε πρὸς Ἀρχέλαον τὸν βασιλέα κἀνταῦθα ὀψιαίτερον ἀναλύων ὑπὸ βασιλικῶν ἐφθάρη κυνῶν. ἤρξατο δὲ διδάσκειν κατὰ τὴν πα̅ ὀλυμπιάδα ἐπὶ ἄρχοντος Καλλίου. πλάσματι δὲ μέσῳ χρησάμενος περιγέγονε τῇ ἑρμηνείᾳ ἄκρως εἰς ἀμφότερον χρώμενος ταῖς ἐπιχειρήσεσι. καὶ τοῖς μέλεσίν ἐστιν ἀμίμητος παραγκωνιζόμενος τοὺς μελοποιοὺς σχεδὸν πάντας, ἐν δὲ τοῖς ἀμοιβαίοις περισσὸς καὶ φορτικὸς καὶ ἐν τοῖς προλόγοις δὲ ὀχληρός, ῥητορικώτατος δὲ τῇ κατασκευῇ καὶ ποικίλος τῇ φράσει καὶ ἱκανὸς ἀνασκευάσαι τὰ εἰρημένα. τὰ πάντα δὲ ἦν αὐτοῦ δράματα ϟβ, σῴζεται δὲ αὐτοῦ δράματα ξζ̅ καὶ γ̅ πρὸς τούτοις τὰ ἀντιλεγόμενα, σατυρικὰ δὲ η̅, ἀντιλέγεται δὲ καὶ τούτων τὸ α̅. νίκας δὲ ἔσχε ε̅.

4 ἐτελεύτησε δὲ τὸν τρόπον τοῦτον. ἐν τῇ Μακεδονίᾳ κώμη ἐστὶ καλουμένη Θρᾳκῶν διὰ τό ποτε κατῳκηκέναι ἐνταῦθα Θρᾷκας. ἐν ταύτῃ ποτὲ τοῦ Ἀρχελάου Μολοττικὴ κύων ἦλθεν ἀποπλανηθεῖσα. ταύτην Θρᾷκες, ὡς ἔθος, θύσαντες ἔφαγον. καὶ δὴ ὁ Ἀρχέλαος ἐζημίωσεν αὐτοὺς ταλάντῳ. ἐπεὶ οὖν οὐκ εἶχον, Εὐριπίδου ἐδεήθησαν ἀπολύσεως τυχεῖν δεηθέντος τοῦ βασιλέως. χρόνῳ δὲ ὕστερον Εὐριπίδης ἐν ἄλσει τινὶ πρὸ τῆς πόλεως ἠρέμει, Ἀρχελάου δὲ ἐπὶ κυνηγέσιον ἐξελθόντος, τῶν σκυλάκων ἀπολυθέντων ὑπὸ τῶν κυνηγῶν καὶ περιτυχόντων Εὐριπίδῃ, διεσπαράχθη καταβρωθεὶς ὁ ποιητής. ἦσαν δὲ ἔκγονοι οἱ σκύλακες τῆς ὑπὸ Θρᾳκῶν ἀναιρεθείσης κυνός, ὅθεν καὶ παροιμία ἐστὶ παρὰ τοῖς Μακεδόσι 'κυνὸς δίκη'.

5 φασὶ δὲ αὐτὸν ἐν Σαλαμῖνι σπήλαιον κατασκευάσαντα ἀναπνοὴν ἔχον

---

1 μακεδόνα V em. Kirchhoff 3 πδ̅ V μέσον V em. Meineke 4 τῆσ ἑρμηνείασ V em. Meineke 5 μένεσιν V 10 ἀντιλέγει V em. Kirchhoff 11 ἔχει ιε̅ V 12 φασὶ δὲ τοῦτον τελευτῆσαι τὸν τρόπον τὸν εὐριπίδην U τοιουτοτρόπωσ H τῇ om. U δέ ἐστι H 13 θρακοῦ H ut uidetur θράκη U ἐνταῦθα] ἐν ταύτῃ G αὐτόθι HU 13. 14 εἰσ ταύτην U 14 ταύτῃ ποτὲ] ταυτ . . . H μολοτικὴ H αὐτομόλοσ U 15 ταύτην δὲ H δὴ ὁ] δ . . H δὴ U 15. 16 ἐζημίωσεν — ταλάντῳ] ζημίαν ἐπήγαγεν αὐτοῖσ ταλάντου U 16 αὐτοὺς — Εὐριπίδου] αὐτοῖσ τάλαντον . . οὖν . . εὐριπίδην H 17 τυχεῖν ἀπολύσεωσ HU δεηθέντα H εὐριπίδου G 18 ἠρεμοῦντοσ G 18. 19 ἐλθόντοσ H 19 καὶ τῶν σκυλάκων U ἀπολυθέντων — καὶ om. HU ἐπιτυχόντων H 20 διεταράχθη V ἐσπαράχθη HU ὁ ποιητής] καὶ ἀπέθανεν U ἔκγονοι om. H αἱ VHU 21 σκύ V ἀναιρεθείσ . . . . ὅθεν H ἡ παροιμία G ἐστὶ] ἐπὶ G 22 παρὰ τοῖς] τοῖς H ἐν U 23 ἀνασκευάσαντα W

εἰς τὴν θάλασσαν ἐκεῖσε διημερεύειν φεύγοντα τὸν ὄχλον. ὅθεν καὶ ἐκ θαλάσσης λαμβάνει τὰς πλείους τῶν ὁμοιώσεων. σκυθρωπὸς δὲ καὶ σύννους καὶ αὐστηρὸς ἐφαίνετο καὶ μισογέλως, καθὰ καὶ Ἀριστοφάνης αὐτὸν αἰτιᾶται 'στρυφνὸς ἔμοιγε προσειπεῖν [Εὐριπίδης]'. λέγουσι δὲ αὐτὸν γήμαντα τὴν Μνησιλόχου θυγατέρα Χοιρίλην καὶ νοήσαντα τὴν ἀκολασίαν αὐτῆς γράψαι πρῶτον τὸ δρᾶμα τὸν Ἱππόλυτον, ἐν ᾧ τὴν ἀναισχυντίαν θριαμβεύει τῶν γυναικῶν, ἔπειτα δὲ αὐτὴν ἀποπέμψασθαι. λέγοντος δὲ τοῦ γήμαντος αὐτὴν 'σωφρονεῖ παρ' ἐμοί' 'δύστηνος εἶ' ἔφη 'εἰ [γυναῖκα] δοκεῖς παρ' ᾧ μὲν αὐτὴν σωφρονεῖν, παρ' ᾧ δὲ μή'. ἐπιγῆμαι δὲ αὐτὸν δευτέραν, ἣν εὑρὼν ἀκολαστοτέραν προχειροτέρως εἰς τὴν κατὰ τῶν γυναικῶν βλασφημίαν ἐθρασύνετο. αἱ δὲ γυναῖκες ἐβουλήθησαν αὐτὸν κτεῖναι εἰσελθοῦσαι εἰς τὸ σπήλαιον, ἐν ᾧ γράφων διετέλει. διαβάλλεται δὲ ὑπὸ φθόνου ὡς τὸν Κηφισοφῶντα εἶχε συμποιοῦντα αὐτῷ τὰς τραγῳδίας. λέγει δὲ καὶ Ἕρμιππος [frg. 73b] Διονύσιον τὸν Σικελίας τύραννον μετὰ τὴν τελευτὴν τοῦ Εὐριπίδου τάλαντον τοῖς κληρονόμοις αὐτοῦ πέμψαντα λαβεῖν τὸ ψαλτήριον καὶ τὴν δέλτον καὶ τὸ γραφεῖον, ἅπερ ἰδόντα κελεῦσαι τοὺς φέροντας ἐν [τῷ] Μουσῶν ἱερῷ ἀναθεῖναι ἐπιγράψαντα τοῖς αὑτοῦ ⟨καὶ⟩ Εὐριπίδου ὀνόμασι. διὸ καὶ ξενοφιλώτατον κεκλῆσθαί φασι διὰ τὸ μάλιστα ὑπὸ ξένων φιλεῖσθαι· ὑπὸ γὰρ Ἀθηναίων ἐφθονεῖτο. μειρακίου δέ τινος ἀπαιδευτοτέρου στόμα δυσῶδες ἔχειν ὑπὸ φθόνου αὐτὸν εἰπόντος 'εὐφήμει' ἔφη 'μέλιτος καὶ Σειρήνων γλυκύτερον στόμα'.

1 ἐκεῖ διημερεύοντα φεύγειν U  2 τοὺσ πλείστουσ H  3 κατεφαίνετο U  post μισογέλως add. καὶ ἰσογροίησ H καὶ μισογρόνησ W  4 λέγουσι] φασὶ U  5 χοιρίλλην HW χοιρίλλου U  6 πρώτων H πρότερον U  τὸ δράμα πρότερον W  τὸ om. H  τὴν ἱππολύτην U  7 ἐθριάβευε H θριαβεύει U  αὐτὴν om. W  ἀποπέμπεσθαι W  7—12 λέγοντος — διετέλει om. U  8 σωφρονεῖν HW  9 post μὲν rep. δοκεῖσ W  13 κιφησοφῶντα U  ἔσχε U  συμπονοῦντα H  14 λέγουσι WU  ἕρμιππον WU  Διονύσιον om. WU  15 μετὰ δὲ τὴν W  τοῦ om. U  τάλαντα WU  16 ἰδὼν H  17 τοὺς om. WU  τῷ τῶν Westermann  ἀναθῆναι H  17—22 ἐπιγράψαντα — στόμα om. U  17 ἐπιγράψαι W  18 καὶ add. Kirchhoff  φθονεῖται W  20 ἀπαιδεύτου W  ἔχειν om. W  21 ὑπόντοσ H  εὐφήμει] ἡ φήμη W  σειρῆνοσ W

6 ἔσκωπτε δὲ τὰς γυναῖκας διὰ τῶν ποιημάτων δι' αἰτίαν τοιαύτην. εἶχεν οἰκογενὲς μειράκιον ὀνόματι Κηφισοφῶντα. πρὸς τοῦτον ἐφώρασε τὴν οἰκείαν γυναῖκα ἀτακτοῦσαν. τὸ μὲν οὖν πρῶτον ἀπέτρεπεν ἁμαρτάνειν· ἐπεὶ δ' οὐκ ἔπειθε, κατέλιπεν αὐτῷ τὴν γυναῖκα βουλομένου αὐτὴν ἔχειν τοῦ Κηφισοφῶντος. λέγει οὖν καὶ ὁ Ἀριστοφάνης [frg. 580] 'Κηφισοφῶν ἄριστε καὶ μελάντατε, σὺ γὰρ συνέζης ὡς τὰ πόλλ' Εὐριπίδῃ καὶ συνεποίεις † ὥς φησι καὶ τὴν μελῳδίαν'. λέγουσι δὲ καὶ ὅτι αἱ γυναῖκες διὰ τοὺς ψόγους, οὓς ἐποίει εἰς αὐτὰς διὰ τῶν ποιημάτων, τοῖς Θεσμοφορίοις ἐπέστησαν αὐτῷ βουλόμεναι ἀνελεῖν. ἐφείσαντο δὲ αὐτοῦ πρῶτον μὲν διὰ τὰς Μούσας, ἔπειτα δὲ βεβαιωσαμένου μηκέτι αὐτὰς κακῶς ἐρεῖν. ἐν γοῦν τῇ Μελανίππῃ [frg. 501] περὶ αὐτῶν τάδε φησί· 'μάτην ἄρ' ἐς γυναῖκας ἐξ ἀνδρῶν ψόγος ψάλλει κενὸν τόξευμα καὶ κακῶς λέγει· αἱ δ' εἴσ' ἀμείνους ἀρσένων, ἐγὼ λέγω' καὶ τὰ ἑξῆς. οὕτω δὲ αὐτὸν Φιλήμων ἠγάπησεν ὡς τολμῆσαι περὶ αὐτοῦ τοιοῦτον εἰπεῖν [frg. 40ᵃ] 'εἰ ταῖς ἀληθείαισιν οἱ τεθνηκότες αἴσθησιν εἶχον, ἄνδρες ὥς φασίν τινες, ἀπηγξάμην ἂν ὥστ' ἰδεῖν Εὐριπίδην'.

### *Ex A. Gellii Noctibus Atticis.*

Notata quaedam de Euripidis poetae genere uita moribus deque eiusdem fine uitae.

xv 20 Euripidi poetae matrem Theopompus [frg. 104] agrestia olera
2 uendentem uictum quaesisse dicit. patri autem eius nato illo responsum est a Chaldaeis eum puerum, cum adoleuisset, uictorem in cer-
3 taminibus fore: id ei puero fatum esse. pater interpretatus athletam

1—16 horum loco habet U ἐν τοῖς ποιήμασι δὲ αὐτοῦ ὡς εἴρηται τὰσ γυναῖκασ ἔσκωπτε διὰ τὸ πεφωρᾶσθαι τὸν κισιφῶντα (corr. in κιφησοφῶντα al. m.) οἰκογενῆ ὄντα συνελθεῖν τῇ οἰκεία γυναικὶ αἳ τὰ σκώμματα μὴ φέρουσαι ἀνελεῖν αὐτὸν ἔγνωσαν ἔπειτα ἐφείσαντο αὐτοῦ πρῶτα μὲν διὰ τὰσ μούσασ ἔπειτα δὲ διὰ τὸ συνθέσθαι μηκέτι αὐταῖσ πεφωρᾶσθαι κακῶσ ἐροῦντα ἐν τοῖσ ἀμοιβαίοισ φασὶ περιττὸν καὶ φορτικὸν εἶναι ἐν τοῖσ προλόγοις ὀχληρὸν ῥητορικώτατον τῇ κατασκευῇ καὶ ποικίλον τῇ φράσει καὶ ἱκανὸν ἀνασκευάσαι τὰ εἰρημένα  τῶν om. G  τοιάνδε HW  2 κισσιφῶντα V κισιφῶντα G κτησιφῶντα W item infra VGW  τούτων H  ἐφώρα H ἐφόρα W  3 ἰδίαν HW  τὸ μὲν οὖν] καὶ τὸ μὲν HW  ἀπέπρεπεν H  6 γὰρ ξυνέζησ V δὲ συνέζησ G  ὡς] εἰσ G  7 ὥς om. V  8 αἱ om. VG  10 αὐταῖσ VG  12 εἰσ VG  14 ὡς—εἰπεῖν] ὡσ τολμήσαντα αὐτὸν τοῦτο H ὡσ τολμῆσαι τὲ αὐτὸν τοιαύτην W  τοιοῦτον] τοῦ ὄντοσ G  15. 16 εἰ—Εὐριπίδην om. HW

debere esse roborato exercitatoque filii sui corpore Olympiam cer-
taturum eum inter athletas pueros deduxit. ac primo quidem
in certamen per ambiguam aetatem receptus non est, post Eleusino
et Theseo certamine pugnauit et coronatus est. mox a corporis 4
cura ad excolendi animi studium transgressus auditor fuit physici
Anaxagorae et Prodici rhetoris, in morali autem philosophia Socratis.
tragoediam scribere natus annos duodeuiginti adortus est. Philo- 5
chorus refert in insula Salamine speluncam esse taetram et horridam,
quam nos uidimus, in qua Euripides tragoedias scriptitarit.

mulieres fere omnes in maiorem modum exosus fuisse dicitur 6
siue quod natura abhorruit a mulierum coitu siue quod duas simul
uxores habuerat, cum id decreto ab Atheniensibus facto ius esset,
quarum matrimonii pertaedebat. eius odii in mulieres Aristophanes 7
quoque meminit ἐν ταῖς προτέραις Θεσμοφοριαζούσαις [453 sq.] in
his uersibus:

νῦν οὖν ἁπάσαισιν παραινῶ καὶ λέγω
τοῦτον κολάσαι τὸν ἄνδρα πολλῶν οὕνεκα.
ἄγρια γὰρ ἡμᾶς, ὦ γυναῖκες, δρᾷ κακὰ
ἅτ' ἐν ἀγρίοισι τοῖς λαχάνοις αὐτὸς τραφείς.

Alexander autem Aetolus hos de Euripide uersus composuit: 8

ὁ δ' Ἀναξαγόρου τρόφιμος χαιοῦ στριφνὸς μὲν ἔμοιγε προσειπεῖν
καὶ μισογέλως καὶ τωθάζειν οὐδὲ παρ' οἶνον μεμαθηκώς,
ἀλλ' ὅ τι γράψαι, τοῦτ' ἂν μέλιτος καὶ Σειρήνων ἐτετεύχει.

is, cum in Macedonia apud Archelaum regem esset uteretur que 9
eo rex familiariter, rediens nocte ab eius cena canibus a quodam
aemulo immissis dilaceratus est et ex his uulneribus mors secuta
est. sepulcrum autem eius et memoriam Macedones eo dignati 10
sunt honore ut in gloriae quoque loco praedicarent 'οὔποτε σὸν
μνῆμα, Εὐρίπιδες, ὄλοιτό που' quod egregius poeta morte obita sepul-
tus in eorum terra foret. quamobrem cum legati ad eos ab Athe-
niensibus missi petissent, ut ossa Athenas in terram illius patriam
permitterent transferri, maximo consensu Macedones in ea re dene-
ganda perstiterunt.

*Ex Suida.*

Εὐριπίδης Μνησάρχου, ἢ Μνησαρχίδου, καὶ Κλειτοῦς, οἳ φεύγοντες
εἰς Βοιωτίαν μετῴκησαν, εἶτα ἐν τῇ Ἀττικῇ. οὐκ ἀληθὲς δὲ ὡς λα-

χανόπωλις ἦν ἡ μήτηρ αὐτοῦ· καὶ γὰρ τῶν σφόδρα εὐγενῶν ἐτύγχανεν, ὡς ἀποδείκνυσι Φιλόχορος. ἐν δὲ τῇ διαβάσει Ξέρξου ἐκυοφορεῖτο ὑπὸ τῆς μητρὸς καὶ ἐτέχθη καθ' ἣν ἡμέραν Ἕλληνες ἐτρέψαντο τοὺς Πέρσας. γέγονε δὲ τὰ πρῶτα ζωγράφος, εἶτα μαθητὴς Προδίκου μὲν ἐν τοῖς ῥητορικοῖς, Σωκράτους δὲ ἐν τοῖς ἠθικοῖς καὶ φιλοσόφοις. διήκουσε δὲ καὶ Ἀναξαγόρου τοῦ Κλαζομενίου, ἐπὶ τραγῳδίαν δὲ ἐτράπη τὸν Ἀναξαγόραν ἰδὼν ὑποστάντα κινδύνους δι' ἅπερ εἰσῆξε δόγματα. σκυθρωπὸς δὲ ἦν τὸ ἦθος καὶ ἀμειδὴς καὶ φεύγων τὰς συνουσίας, ὅθεν καὶ μισογύνης ἐδοξάσθη. ἔγημε δὲ ὅμως πρώτην μὲν Χοιρίλην θυγατέρα Μνησιλόχου, ἐξ ἧς ἔσχε Μνησίλοχον καὶ Μνησαρχίδην καὶ Εὐριπίδην. ἀπωσάμενος δὲ ταύτην ἔσχε καὶ δευτέραν καὶ ταύτης ὁμοίως ἀκολάστου πειραθείς. ἀπάρας δὲ ἀπ' Ἀθηνῶν ἦλθε πρὸς Ἀρχέλαον τὸν βασιλέα τῶν Μακεδόνων, παρ' ᾧ διῆγε τῆς ἄκρας ἀπολαύων τιμῆς. ἐτελεύτησε δὲ ὑπὸ ἐπιβουλῆς Ἀρριβαίου τοῦ Μακεδόνος καὶ Κρατεύα τοῦ Θετταλοῦ ποιητῶν ὄντων καὶ φθονησάντων αὐτῷ πεισάντων τε τὸν βασιλέως οἰκέτην τοὔνομα Λυσίμαχον δέκα μνῶν ἀγορασθέντα τοὺς βασιλέως οὓς αὐτὸς ἔτρεφε κύνας ἐπαφεῖναι αὐτῷ. οἱ δὲ ἱστόρησαν οὐχ ὑπὸ κυνῶν, ἀλλ' ὑπὸ γυναικῶν νύκτωρ διασπασθῆναι πορευόμενον ἀωρὶ πρὸς Κρατερὸν τὸν ἐρώμενον Ἀρχελάου· καὶ γὰρ σχεῖν αὐτὸν καὶ περὶ τοὺς τοιούτους ἔρωτας· οἱ δὲ πρὸς τὴν γαμετὴν Νικοδίκου τοῦ Ἀρεθουσίου. ἔτη δὲ βιῶναι αὐτὸν ο̅ε̅ καὶ τὰ ὀστᾶ αὐτοῦ ἐν Πέλλῃ μετακομίσαι τὸν βασιλέα. δράματα δὲ αὐτοῦ κατὰ μέν τινας † οε, κατὰ δὲ ἄλλους ϟ̅β̅, σῴζονται δὲ † οζ. νίκας δὲ ἀνείλετο ε̅, τὰς μὲν τέσσαρας περιών, τὴν δὲ μίαν μετὰ τὴν τελευτὴν ἐπιδειξαμένου τὸ δρᾶμα τοῦ ἀδελφιδοῦ αὐτοῦ Εὐριπίδου. ἐπεδείξατο δὲ ὅλους ἐνιαυτοὺς † κ̅β̅ καὶ τελευτᾷ ἐπὶ τῆς ϟ̅γ̅ ὀλυμπιάδος.

---

8 τὸ ἦθος om. VBEMed.  9 χοιρίλλην E  χοιρίνην cett.

# ΥΠΟΘΕΣΙΣ ΕΚΑΒΗΣ

† Μετὰ τὴν Ἰλίου πολιορκίαν οἱ μὲν Ἕλληνες εἰς τὴν ἀντιπέραν τῆς Τρῳάδος Χερρόνησον καθωρμίσθησαν, Ἀχιλλεὺς δὲ νυκτὸς ὁραθεὶς σφάγιον ᾔτει μίαν τῶν θυγατέρων τοῦ Πριάμου. οἱ μὲν οὖν Ἕλληνες τιμῶντες τὸν ἥρωα Πολυξένην ἀποσπάσαντες Ἑκάβης ἐσφαγίασαν· Πολυμήστωρ δὲ ὁ τῶν Θρᾳκῶν βασιλεὺς ἕνα τῶν Πριαμιδῶν Πολύδωρον ἔσφαξεν. εἰλήφει δὲ τοῦτον παρὰ τοῦ Πριάμου ὁ Πολυμήστωρ ἐν παρακαταθήκῃ μετὰ χρημάτων. ἁλούσης δὲ τῆς πόλεως κατασχεῖν αὐτοῦ βουλόμενος τὸν πλοῦτον φονεύειν ὥρμησεν καὶ φιλίας δυστυχούσης ὠλιγώρησεν. ἐκριφέντος δὲ τοῦ σώματος εἰς τὴν θάλασσαν κλύδων πρὸς τὰς τῶν αἰχμαλωτίδων σκηνὰς αὐτὸν ἐξέβαλεν. Ἑκάβη δὲ τὸν νεκρὸν θεασαμένη ἐπέγνω, κοινωσαμένη δὲ τὴν γνώμην Ἀγαμέμνονι Πολυμήστορα σὺν τοῖς παισὶν αὐτοῦ ὡς ἑαυτὴν μετεπέμψατο κρύπτουσα τὸ γεγονὸς ὡς ἵνα θησαυροὺς ἐν Ἰλίῳ μηνύσῃ αὐτῷ. παραγενομένων δὲ τοὺς μὲν υἱοὺς ἔσφαξεν, αὐτὸν δὲ τῆς ὁράσεως ἐστέρησεν. ἐπὶ δὲ τῶν Ἑλλήνων λέγουσα τὸν κατήγορον ἐνίκησεν. ἐκρίθη γὰρ οὐκ ἄρξαι ὠμότητος, ἀλλ' ἀμύνασθαι τὸν κατάρξαντα.

---

2 μὲν om. Z τὰ ἀντίπερα VY 3 τῆς om. Q χερρονήσου Y καθώρμισαν Y ὁρασθεὶσ Z 4 σφαγῆναι ἠξίου Q ἤτοι Y πριάμου θυγατέρων Q θυγατέρων πριάμου Y οὖν om. Y Ἕλληνες] ἄνδρεσ Q 5 ἥρωα] ἀχιλλέα V ἀποσπάσαντες om. Z ἑκάβησ θυγατέρα Z 6 δὲ om. Z ὁ om. YZ 7 κατέσφαξεν Q δὲ om. V 7. 8 εἰσ παρακαταθήκην QY 8 αὐτοῦ om. Z 8. 9 αὐτοῦ — πλοῦτον] τὸν χρυσὸν βουλευόμενοσ τοῦ Y 9 post πλοῦτον ins. αὐτόσ Z φονεύειν τὸν παῖδα Y δυστυχοῦσ Q ὁ δύστηνοσ Y 9. 10 ὀλιγώρησεν YZ 10 τὴν om. Z τὸ κλυδώνιον Q 11 αἰχμαλώτων Y αὐτὸν om. Z 12. 13 πολυμήστωρ V 13 πρὸσ αὐτὴν Y μεταπεμψαμένη V κρύψασα Y 14 ὡς ἵνα] ἵνα V παραγενομένῳ VQ παραγενομένου Z post δὲ ins. πρὸσ τὴν ἑκάβην ἔσφαξε Z 15 μὲν om. YZ post υἱοὺς ins. πολυμήστοροσ Y αὐτοῦ Z κατέσφαξεν Q ἀπέσφαξεν Y om. Z αὐτὸν] ἐκεῖνον Z τῶν ὀφθαλμῶν Q 16 γὰρ] δὲ Z ἄρξειν V ἄρχειν QYZ 16. 17 ὠμοτάτωσ Z 17 ἀλλ' om. VZ τὸν om. VY in fine add. ἡ μὲν σκηνὴ τοῦ δράματοσ ὑπόκειται ἐν γῇ ἀντιπέρα τροίασ τῆσ χερρονήσου· ὁ δὲ χορὸσ συνέστηκεν ἐκ γυναικῶν αἰχμαλωτίδων· προλογίζει δὲ εἴδωλον πολυδώρου: — Y

# ΣΧΟΛΙΑ ΕΙΣ ΕΚΑΒΗΝ

1 προλογίζει Πολύδωρος Ἑκάβης ὢν γνήσιος παῖς, ὃν Πολυμήστωρ ὁ τῆς Θρᾴκης βασιλεὺς ἀνεῖλεν. τὴν δὲ Ἑκάβην * * Δύμαντος [Π 718], οἱ πολλοὶ δὲ Κισσέως. ἔνιοι δὲ γράφουσιν Ἑκάβης παῖς γεγὼς τῆς Κισσίας καὶ στοχάζονται ἀπὸ γένους τινὸς τῆς Φρυγίας ἢ κώμης οὕτως αὐτὴν προσαγορεύεσθαι, ὡς καὶ Φιλόχορος ἐν τῇ πρὸς Ἀσκληπιάδην ἐπιστολῇ [FHG IV p. 648[a]]. τὰ περὶ τὴν Πολυξένην ἔστι καὶ παρὰ Σοφοκλεῖ εὑρεῖν: — M

γράφεται καὶ σκότους: — M[i]

† * * * * * ἀποροῦσι * * * * * * πάντως ἀσώματον, ὅ ἐστι πνεῦμα μᾶλλον, τὸ δὲ πνεῦμα δηλαδὴ ἡ ψυχή· ἀεικίνητος γάρ ἐστι καὶ φάνσιν οὐκ οἶδε. διὰ τοῦτο * * * * * * * ἐστὶ δηλωτικόν, τὸ δὲ ἥκω κινήσεως, εἰκότως οὕτως ἐφθέγξατο. ἕτεροι δέ φασιν ὅτι οὐκ οἶδεν ⟨τὸ⟩ ἧκον, ἀλλὰ ἱκόμην μᾶλλον καὶ * * * * * * * ἥκω. ἔστι

---

2 ὃν Cobet ὁ M  3 cf. Serv. in Aen. VII 320 Hygin. 91. 111. 243. 249 Ὅμηρος add. Dindorf  5 κισσίας Marc. 469 κισσέως M  6 προσηγορεῦσθαι Marc. 469  7 τὴν Πολυξένην Cobet τὴν ξένην M τῇ πολυξένῃ Marc. 469  8 in fine add. καὶ περὶ πολυξένην M ἐν δὲ πολυξένῃ Marc. 469  10 in primis duabus lineis marginis superioris tertiaeque initio nihil certi nisi has litteras legere mihi uisus sum: . . . . . ἀποροῦσι . . . . . . . . ποιη[τ] ἧκ . . . . . . . ει γὰρ . . . . . πολυ[δρ] . . . . . . . | . . . τῇ ζω . . . . . . . . . . . . . . . . πολυ[δρ] οὕτω μετὰ τὴν τελευτὴν ἦλθεν ⟨οὐ⟩κ ἦν . . . . . . . . . . | . . . . . . πάντως κτλ.  12 φάνσιν] στάσιν Dindorf φασιν A ut uidetur  suppleuerim ἐπειδὴ συστάσεως τὸ ἧκον  14 suppleuerim ἀντὶ τούτου τὸ  de eadem re disputatur duobus scholiis co-

γὰρ καὶ τῶν ῥητόρων ἴδιον. μάλιστα δὲ τῶν Ἀττικῶν τὸ τοὺς παρ⟨ῳχημένους⟩ χρόνους ἐκφέρειν διὰ ἐνεστώτων καὶ ἀνάπαλιν: — A

† * * Πολύδωρος ὁ γεγονὼς παῖς Ἑκάβης τῆς θυγατρὸς τοῦ Κισσέως καὶ τοῦ Πριάμου λιπὼν τὸν κευθμῶνα καὶ τὰς πύλας τοῦ σκότου, ὅπου, εἰς κευθμῶνα δηλονότι· κευθμὼν δὲ λέγεται ὁ κατώτατος τόπος παρὰ τὸ κεύθω, τὸ κρύπτω· κεχ⟨ωρισμένως δι⟩άγει ὁ Ἅιδης τῶν λοιπῶν θεῶν, ⟨τῆς Π⟩ερσεφόνης, τοῦ Πλούτωνος καὶ τῶν ἄλλων: — A

2 ὅπου: — M[g]

3 Ἑκάβης παῖς γεγὼς ⟨τῆς Κισσέως⟩ Πριάμου: Φερεκύδης [FHG IV p. 639[a]] γράφει οὕτως· Πρίαμος δὲ ὁ Λαομέδοντος γαμεῖ Ἑκάβην τὴν Δύμαντος τοῦ Ἠιονέως τοῦ Πρωτέως, ἢ Σαγγαρίου τοῦ ποταμοῦ, καὶ νηίδος νύμφης Εὐαγόρας. Γλαυκίππην δ' ἔνιοι τὴν Ξάνθου τῆς Ἑκάβης παρέδοσαν μητέρα. Νίκανδρος δὲ Εὐριπίδῃ συνδραμὼν τὴν Ἑκάβην φησὶ Κισσέως [frg. 62]·

ἔνθ' Ἑκάβη Κισσηίς, ὅτ' ἐν πυρὶ δέρκετο πάτρην
καὶ πόσιν ἑλκηθεῖσα παρασπαίροντα θυηλαῖς,
εἰς ἅλα ποσσὶν ὄρουσε καὶ ἣν ἠλλάξατο μορφὴν
γρήιον Ὑρκανίδεσσιν ἐειδομένη σκυλάκεσσιν: — M

Ἑκάβης παῖς γεγὼς ⟨τῆς⟩ Κισσέως: τὰ περὶ τῆς Ἑκάβης

---

dicis Vaticani 1345: ἥκω: τὸ ἥκω σχῆμα τῶν ἀττικῶν οἱ γὰρ ἀττικοὶ ἀντὶ τοῦ εἰπεῖν ἧκον ἥκω λέγουσιν διссῶσ δὲ τὸ ἥκω συντάσσεται καὶ ἥκω καὶ ἧκον κυρίωσ δὲ ἥκω διότι ἐὰν εἶπεν ἧκον ἔμελλε δηλοῦν τὸν πολύδωρον ζῶντα καὶ ἐκεῖσε ἱστάμενον καὶ λέγων τὰ ῥήματα ἃ ἐλάλει ἀφανῶσ ἐπειδὴ ἐκεῖνοσ ἐφονεύθη ὡσ μανθάνομεν καὶ οὐκ ἦν ζῶν ἀλλὰ τὸ εἴδωλον αὐτοῦ τὸ δὲ εἴδωλον ἔνι ὡσ φάντασμα οἱονεὶ ὄνειρον τὸ δὲ ὄνειρον οὐ συνίσταται ἀλλ' ἔνι συντόμωσ διαλυόμενον: — καὶ διατί εἶπεν ἥκω οἱονεὶ ἔρχομαι τὸ γὰρ ἧκον ἐπὶ συνισταμένου τινόσ δηλοῦται πράγματοσ καθὼσ λέγομεν ἐγὼ κατελθὼν εἰσ τὸν αἰγιαλὸν καὶ ἀποστραφεὶσ ἧκον ἰδοὺ πάρειμι τὸ δὲ ἥκω ἐπὶ κινουμένου καὶ οὐκ ὄντοσ οὐδὲ συνισταμένου πράγματοσ σημαίνεται καθὼσ καὶ ἐνταῦθα λέλεκται σφαγεὶσ γὰρ ὁ πολύδωρος λέγει ἥκω ἀντὶ τοῦ ἔρχομαι τὸ δὲ ἥκω οὐ δηλοῖ συνιστάμενόν τι καὶ οὐσιωδῶσ ἔχον τὴν οἰκείαν σύστασιν: — praeterea cf. Thom. M. p. 170,6  3 pauca verba detrita  9 Tzetz. exeg. in Il. p. 38,12 cf. schol. V ad Π 718. Apollod. III 12,5, 2  10 ὁ om. M  11 ἰονέως M  ἢ — ποταμοῦ] aut aliunde interpolata aut ex eis quae olim sequebantur falso loco inserta  13 παρέδοσαν Cobet πάριδοσ ἂν M  16 ἑλκηθεῖσαν M em. Cobet  θηλαῖς M em. Cobet  17 ποσὶν ὥρουσεν M em. Cobet  ἀντηλλάξατο Hermann Phil. 2 p. 134  18 ὑρκανίδεσιν ἐειδόμενον M Ὑρκανίδεσσιν ἐειδομένην Hermann Ὑρκανίδεσσι δ' ἐειδομένη O. Schneider  σκυλάκεσιν M  19 ante τὰ περὶ τῆς Ἑ. tituli uice περὶ τοῦ ὀνόματος τῆς ἑκάβης add. A. quae secuntur, partem detrita sunt in A

διαφόρως ἱστόρηται. Φιλόχορος μὲν γὰρ ἐν τῷ περὶ τραγῳδιῶν συγγράμματι [FHG IV p. 648[a]] Χοιρίλην αὐτήν φησι καλεῖσθαι, ἴσως δὲ διὰ τὸ πολύπαιδα γεγενῆσθαι· ἡ γὰρ χοῖρος πολλὰ τίκτει, καὶ ἐν τοῖς Ὀρφικοῖς οἱ χοῖροι ἑκάβαι προσαγορεύονται. οἱ δὲ λοιποὶ τῷ κυρίῳ αὐτὴν ὀνόματι προσηγόρευσαν. πολλάκις δὲ ὁ Εὐριπίδης αὐτοσχεδιάζει ἐν ταῖς γενεαλογίαις, ὡς καὶ ἑαυτῷ ἐνίοτε ἐναντία λέγειν, καὶ νῦν Κισσέως ἔφη θυγατέρα τὴν Ἑκάβην μετενεγκὼν τὸν πατέρα Θεανοῦς, περὶ οὗ φησιν Ὅμηρος [Λ 223]· 'Κισσῆς τόν γ' ἔθρεψε δόμοις ἔνι τυτθὸν ἐόντα μητροπάτωρ, ὃς τίκτε Θεανὼ καλλιπάρῃον': — MA

γράφεται τῆς Κισσίας· καὶ ὑπονοοῦσιν ἀπὸ γενεᾶς τινος Φρυγίας εἰρῆσθαι ἢ ἀπὸ κώμης, ὡς Φιλόχορος ἐν τῇ πρὸς Ἀσκληπιάδην ἐπιστολῇ: — MA

τὸ ἑξῆς· ἥκω Πολύδωρος ὁ παῖς Ἑκάβης τῆς Κισσέως: — MA

ἔνιοι Ἠετίωνος καὶ Ἱπποθόης τῆς Ἐριχθονίου Κισσέα φασὶ γενέσθαι, οὗ καὶ Τηλεκλείας τῆς Ἴλου Ἑκάβην καὶ Θεανώ: — M

τὸ χ, ὅτι ἰδίως Κισσέως φησὶ τὴν Ἑκάβην Ὁμήρου Δύμαντος αὐτὴν εἰρηκότος [Π 718]· 'αὐτοκασίγνητος Ἑκάβης, υἱὸς δὲ Δύμαντος': — M

4 † ⟨ὅς μ'⟩ ἐπεὶ Φρυγῶν πόλιν: ὅστις, πατήρ μου, ἐπεὶ κίνδυνος ἔσχεν, ἤγουν ἐκράτησε, δορὶ ⟨πεσεῖν Ἑλληνικῷ⟩ τὴν Φρυγῶν πόλιν, φοβηθεὶς ⟨μὴ σ⟩φαγῇ ὑπὸ τῶν Ἑλλήνων, ὑπεξέπεμψε Τρωικῆς χθονὸς ⟨τουτέστιν⟩ ἀπὸ Τρωικῆς γῆς ἔπεμψέ με, πρὸς δώματα τοῦ Θρηκίου, ἤτοι τοῦ Θρακικοῦ, φίλου, τοῦ Πολυμήστορος. τὸ δὲ ξένου ἐν εἰρω⟨νείᾳ⟩ φησίν· ὅστις, Πολυμήστωρ, σπείρει, ἀντὶ τοῦ δι⟨οικεῖ⟩ * * τὴν ἀρίστην Χερρονησίαν χώραν. τὸ δὲ πλάκα ἀντὶ τοῦ Χ⟨ερρονήσου⟩ εἶπεν· ἐκάλεσε δὲ αὐτὴν πλάκα ἢ διὰ τὸ τραχὺ ἢ διὰ τὸ ⟨ψυ⟩χρὸν καὶ χιονῶδες: — A

4 τὸ χ, ὅτι οἱ νεώτεροι συγχέουσι Φρυγίαν καὶ Τροίαν, Ὅμηρος δὲ διαιρεῖ: — M

---

1. 2 συγγράμματι] συγγράμματι γράφων Marc. 469 συγγράφων M  2 κεκλῆσθαι φησὶν Marc. 469  δὲ om. Marc. 469  3 ἐν om. A  4 φορβικοῖς A  5 αὐτοσχεδιάζειν M σχεδιάζει Marc. 469 de A non constat  7. 8 περὶ οὗ om. M  9 μητροπάτωρ om. M  10 multa detrita in A  κισσέωσ MA  12 pergitur ὁ δὲ ὅμηροσ δύμαντος αὐτὴν . . . . . . . . γὰρ περί τινος αὐτοκασίγνητοσ ἑκάβησ υἱὸσ . . . A cf. lin. 16 et 17  denique haec rudera in A leguntur: προφέρει ὁ εὐριπίδησ . . . . κισσέωσ διὰ τὸ μὴ· πόντ . . . . . ἑκάβην . . . θυγατέρα τοῦ δύμαντοσ ἐπεὶ δ' ὁ δύμασ ἔσχε θυγατέρα καὶ ἐκάλεσεν αὐτὴν ἑκάβην . . . . . oleum operamque sit perdentis Byzantinorum istas sordes in integrum restituere  13 ἄλλωσ add. A  14. 15 scholio quod praecedit adi. M  cf. schol. Π 718  κισσέα Vat. 1345 κισσέωσ M  15 οὗ Vat. 1345 οὕτωσ M  ἰλίου M  16. 17 cf. Aristonic. ad Π 718

5 μοῖρα: — Mg

8 πλάκα: χώραν· 'ἡ δυσγενὴς ὢν πλουσίαν ἀροῖ πλάκα' [Eur. frg. 662]. περιφραστικῶς τὴν Χερρόνησον. ἣ ἂν * ἡ δὲ Χερρόνησος πόλις Θρᾴκης, ἧς ἐβασίλευε Πολυμήστωρ: — M

9 † τὸν φίλιππον λαόν, τὸν φιλοῦντα ἱππάζεσθαι, εὐθύνων καὶ ἄγων ἐν τῷ δορί: — A

σπείρει φίλιππον: οὐκ ἀλόγως. βαρβάρους γὰρ ὄντας αὐτοὺς τῇ διὰ ξίφους ἀπειλῇ ὑπέτασσεν: — MA

διοικεῖ: — Mg

ἀντὶ τοῦ ἱππικόν: — Mg

παρορμῶν ἐπὶ πόλεμον: — Mg

12 ἔνδεια περιουσίας: — Mg

13 μικρότατος δ' ἤμην: — Mg

ἦν ἀντὶ τοῦ ἤμην φησίν. ἔστιν Ἀττικόν: — Mg

νεώτατος δ' ἦν: ἀντὶ τοῦ ἤμην φησίν. Ἀττικῶς δὲ ἦν. καὶ χωρὶς δὲ τοῦ ν̄ ἦ, ἀντὶ τοῦ ἔα. οὕτω Δίδυμος. ἐν μέντοι τοῖς ἀντιγράφοις ἦν φέρεται καὶ κοινὴ ἀνάγνωσις ἦν: — Vat. 1345

† νεώτατος δ' ἦν Πριαμιδῶν· ὅπερ, τὸ εἶναί με νεώτερον πάντων μου τῶν ἀδελφῶν καὶ μικρὸν τὴν ἡλικίαν, ἐξέπεμψέ με ἀπὸ τοῦ Ἰλίου. οὐ γὰρ ἠδυνάμην ὅπλα φέρειν καὶ πολεμεῖν, ἵνα εἰμὶ ἐν πολέμῳ: — A

15 † ⟨καλῶς π⟩ροφέρει ὁ Εὐριπίδης οὔτ' ἔγχος· ὅπλα γὰρ λέγεται τὰ ἔργα ⟨πασ⟩ῶν τεχν⟨ῶν⟩ π⟨ολεμικῶν⟩· ἀρτίως δὲ * * ἀλλὰ τινὸς ⟨τέ⟩χν⟨ης⟩, προέφερε τὸ οὔτ' ἔγχος. ἔγχος γὰρ οὐκ ἔστιν ἄλλη τέχνη ἀλλ' ἢ ἡ στρατιωτική: — A

δυνατὸς ἤμην: — Mg

16 † ἕως μὲν οὖν γῆς: ἕωσπερ οὖν τῆς Τρωικῆς γῆς τὰ ὁρίσματα ἔκειντο ὀρθὰ καὶ τὰ τείχη τῆς πόλεως ἵσταντο καὶ ἄθραυστα ἦν καὶ ὁ Ἕκτωρ ὁ ἐμὸς ἀδελφὸς ηὐτύχει ἐν τῷ πολέμῳ, ἕως τότε ηὐξόμην καλῶς παρὰ τοῦ Πολυμήστορος ὥσπερ τις πτόρθος. πτόρθον γὰρ αὐτὸν ἐκάλεσε διὰ τὸ νέον τῆς ἡλικίας. πτόρθος γὰρ ὁ κλάδος λέγεται: — A

---

3 num Ἀντανδρον supplendum? cf. Verg. Aen. III 6 Serv. ad Aen. III 6. 15 7 post ἀλόγως add. ἀλλὰ τραγικῶς τὸ εὐθύνων δορὶ A post αὐτοὺς add. καὶ ἀνυποτάκτους A 8 ἀπειλῇ ὑ.] οἰκονομία αὐτοὺς ὑπέταττεν A 14 φησίν post Ἀττικόν coll. Mg 15 φησίν post δὲ coll. Vat. 1345 16 ν̄ ἡ Dindorf ἦν ἡ Vat. 1345

ἀντὶ τοῦ τὰ τείχη: — Mg

19 πατρώῳ φίλῳ: — Mg

20 τροφαῖσιν ὥς τις πτόρθος: διὰ τούτου τὸ νέον τῆς ἡλικίας καὶ τὸ ἁβρὸν τῆς τροφῆς ὑποσημαίνει. ζῶντος γὰρ Πριάμου πολυτελῶς ἀνετρέφετο ὑπὸ τοῦ Πολυμήστορος ὁ Πολύδωρος. ⟨ἁλούσης δὲ τῆς Τροίας καὶ⟩ τελευτήσαντος Ἕκτορος καὶ Πριάμου, ἀπ⟨έκτεινεν αὐτόν, ἵνα κερδάνῃ τὰ χρήμ⟩ατα: — MA

21 † ἐπεὶ δὲ Τροία: ἐπεὶ δὲ ἡ Τροία ἀπώλετο καὶ ἡ ψυχὴ τοῦ Ἕκτορος, περιφραστικῶς αὐτὸς ὁ Ἕκτωρ, καὶ ἡ πατρικὴ ἑστία κατεσκάφη αὐτός τε ὁ πατήρ μου πρὸς τῷ θεοδμήτῳ ναῷ πιτνεῖ, ἀντὶ τοῦ πίπτει κεῖται, σφαγεὶς ὑπὸ τοῦ υἱοῦ τοῦ Ἀχιλλέως, τοῦ Νεοπτολέμου. κτείνει με ὁ Πολυμήστωρ τὸν ταλαίπωρον χάριν τοῦ χρυσοῦ. θεόδμητον δὲ βωμὸν εἶπε τὸν ὑπὸ θεῶν οἰκοδομηθέντα Ποσειδῶνος καὶ Ἀπόλλωνος. μυθεύεται γὰρ ὅτι τὸν Δία τῆς βασιλείας κρατήσαντα καὶ αὐθαδείᾳ χρώμενον ἐβουλεύσαντο οἱ ἄλλοι θεοὶ ῥῖψαι αὐτὸν ἀπὸ τοῦ οὐρανοῦ. μαθοῦσα δὲ ⟨τοῦτο⟩ ἡ Θέτις παρὰ τοῦ πατρὸς αὐτῆς Νηρέως ἀνήγγειλεν τῷ Διὶ τὴν ἐπιβουλήν. ὁ δὲ τοὺς μὲν ⟨ἄλλους⟩ θεοὺς ἄλλως ἐτιμωρήσατο· Ἀπόλλωνα δὲ ⟨καὶ Ποσ⟩ειδῶνα πέμπει πρὸς Λαομέδοντα * * * Ποσειδῶνος καὶ ⟨Ἀπόλλωνος κ⟩τίζεται ὁ ναός: — A

21 Ἕκτορός τ' ἀπόλλυται ⟨ψυχή: τὸ αἷμα νῦν⟩ ψυχήν φησι. πολλοὶ γὰρ οὕτως ἐδόξασαν, αἷμα εἶναι τὴν ψυχήν, ὡς καὶ Ὅμηρος [Ξ 518]· 'ψυχὴ ⟨δὲ κατ'⟩ οὐταμένην ὠτειλὴν ἔσσυτ' ἐπει⟨γομένη· τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν'. ἔνιοι δὲ περιφραστικῶς τὸν Ἕκτορά φασι⟩: — M

† τὸ αἷμα λέγει ψυχήν, ἐπεὶ ἡ ψυχὴ ἐτυμολογεῖται παρὰ τὸ ψύχω τὸ ζωογονῶ, τὸ ζωογονοῦν τὸ σῶμα. ἐπεὶ δὲ ἐκχυθέντος τοῦ αἵματος τὸ σῶμα μένει νεκρόν, καλῶς λοιπὸν ἀπεφήνατο ψυχὴν τὸ αἷμα: — A

23 ὁ πατήρ: — Mg

γράφεται πρὸς θεοδμήτῳ: — Mi

† θεοδμήτῳ: ὁ Πρίαμος καταφυγὼν εἰς τὸν βωμὸν τοῦ Διὸς ἐφονεύθη παρὰ τοῦ Νεοπτολέμου· διὸ καὶ μιαιφόνος ἐκλήθη ὡς ἀνομήσας: — A

---

3 locos in **M** detritos suppleui ex A et Vat. 1345 διὰ] ἐκ A 5 ὁ π. ὑπὸ τοῦ π. A 5—7 ἁλούσησ—χρήματα om. A 6 πρίαμοσ M τῶν περὶ πρίαμον Vat. 1345 8 ἀπώλετο Dindorf ἀπολέσθαι A 20 suppleui ex Vat. 1345 25 ἐτυμολογεῖται] τὸ αἷμα ὁμολογεῖται A

πιτνεῖ: λέγεται ὅτι τὸν Πρίαμον καταφυγόντα εἰς βωμὸν τοῦ Ἑρκείου Διὸς ἐπιδιώξας ὁ Νεοπτόλεμος ἀνεῖλε. διὸ καὶ μιαιφόνον αὐτὸν εἶπεν· ἐσῴζοντο γὰρ οἱ καταφυγόντες ἐν ἱερῷ ἢ βωμῷ ἱκέται: — MA

24 ἐκ μιαιφόνου εἶπε ⟨καλῶς· ἠσέβησε γὰρ περὶ τὸ κοινὸν πρὸς τῷ βωμῷ⟩ ἀνελὼν τὸν Πρίαμον: — M

26 ξένος πατρῷος: ἐν ἤθει καὶ εἰρωνείᾳ εἶπεν ὁ πατρικός ⟨μου φίλος⟩ κατ' ἀντίφρασιν: — M

† ξένος πατρῷος: ἐν εἰρωνείᾳ εἶπε ξένος πατρῷος, ἤτοι ὁ πατρικός μου φίλος, κατὰ ἀντίφρασιν, ὡς ἀποκαλεῖ ὁ Ὅμηρος κύνας ἀργοὺς τοὺς ταχυτάτους: — A

27 ἀφῆκεν: — M[g]

28 ἐν τῇ κινήσει καὶ ταραχῇ τοῦ πόντου: — M[g]

29 πολλοῖς διαύλοις: δίαυλα λέγονται κύματα ἐξερχόμενα καὶ πάλιν εἰσερχόμενα. διαύλοις οὖν ταῖς παλιρροίαις τῶν κυμάτων. δίαυλοι δὲ τὰ ἔνθεν καὶ ἐκεῖθεν τοῦ ἱππικοῦ. ἀπὸ μεταφορᾶς οὖν εἴρηται, πρὸς ὃ καὶ τὸ χ̅. ⟨τὸ χ̅⟩ πρὸς τὴν διαφοράν. κυρίως γὰρ διαύλους δρόμους ἀπελθεῖν καὶ ἐλθεῖν. οἷον παλινδρομίαις πολλαῖς ἐν τῇ θαλάττῃ κεχρημένος, τουτέστιν· ἐνταῦθα κἀκεῖσε ὑπὸ τῶν κυμάτων φορούμενος καὶ πολλοὺς σταδίους τῇ βίᾳ τῶν κυμάτων ἀνύσας: — MA

30 ὑπὲρ μητρὸς φίλης: ὑπὲρ τῆς κεφαλῆς τῆς μητρός. ὅ ἐστιν· ὄναρ αὐτῇ φαίνομαι: — MA

ἄλλως: ὕπερθεν, φησί, τῆς μητρὸς ὁρμῶ τὸ σῶμα καταλιπών, οἷον φάντασμα ποιήσας, ἐπὶ γ̅ ἡμέρας μετεωριζόμενος, ὅσας ἔχει καὶ ἡ ἐμὴ μήτηρ ἐν τῇ Χερρονήσῳ. ὡς τριῶν ἡμερῶν οὔσης τῆς Ἑκάβης ἐκεῖσε: — MA

31 καταλείψας τὸ ἐμὸν σῶμα ἔρχομαι εἴδωλον: — M[g]

---

1 λέγεται] λέγει γὰρ A  τὸν βωμὸν A  3 ὠνόμασεν A  ἐσῴζοντο—ἱκέται] οἱ γὰρ καταφυγόντες ἐν ἱερῷ βωμῷ ἐσώζοντο A  καταφεύγοντες M  4. 5 suppleui ex Vat. 1345  13 14 δίαυλα—οὖν hic om. A  14 ταῖς τῶν ὑδάτων καὶ κυμάτων παλιρροίαις A  15 post ἱππικοῦ scholion claudit et omissis uerbis ἀπὸ—διαφοράν pergit ἄλλως· δίαυλοι λέγονται κύματα εἰσερχόμενα καὶ ἐξερχόμενα πάλιν A  16 γὰρ] δὲ A  16. 17 διαύλους δρομεῖς Laur. XXXI 6  δίαυλος δρόμος M  δίαυλον δρόμον A  17. 18 οἷον—κεχρημένος om. A  18 κἀκεῖ A  18. 19 φερόμενος A  19 τῇ—ἀνύσας] τῶν κυμάτων ..... A  21 ἐπιφαίνομαι A  22 pauca detrita in A  ἄλλως om. scholion cum eo quod praecedit coni. M  ἔμπροσθεν M  ὁρμᾷ M  23 γ̅] γῆν M de A non constat  24 τρεῖς ἡμέρας A  25 ἐκεῖ A

32 τριταῖον ἤδη φέγγος αἰωρούμενος: ἀφ' οὗ τέθνηκε τριταῖός φησιν εἶναι. τοσοῦτον δὲ χρόνον καὶ ἡ Ἑκάβη παραβαλοῦσα ἦν ἐν Χερρονήσῳ. ἤδη τρίτην ἡμέραν ἔχων καὶ φερόμενος ἐν τῇ θαλάσσῃ. μαθὼν γὰρ ὁ Πολυμήστωρ ἐκεῖσε τοὺς Ἕλληνας ἐλθόντας φοβούμενος μὴ ἀπαιτηθῇ τὰ χρήματα, ἔσφαξε τὸν Πολύδωρον καὶ ἔρριψεν εἰς τὴν θάλασσαν. τρίτην γὰρ εἶχον ἡμέραν οἱ Ἕλληνες ἐκεῖσε: — MA

ἄλλως: ἐπειδὴ τρεῖς ἡμέρας εἶχον οἱ Ἕλληνες ἐν τῇ Χερρονήσῳ, τοσαύτας ὅσας εἶχεν ἀποσφαγεὶς ὁ Πολύδωρος: — MA

φανταζόμενος: — Mᴮ

37 † Πηλέως γὰρ παῖς: τοῦ γὰρ ἡλίου δύναντος καὶ τῆς νυκτὸς ἐνεστηκυίας εἶδεν ὁ στρατὸς ἅπας φάντασμα ὅμοιον τῷ Ἀχιλλεῖ λέγον· ποῦ πορεύεσθε ἀγέραστον ἐμὲ καταλιπόντες. καὶ ᾐτήσατο σφαγιασθῆναι αὐτῷ μίαν τῶν Τρῳάδων αἰχμαλωτίδων. ἡ δὲ σύνταξις οὕτως· ὁ Πηλέως γὰρ παῖς Ἀχιλλεὺς φανεὶς ὑπεράνω τύμβου κατέσχε τὸν Ἑλληνικὸν στρατόν: — A

† ἡ ὑπὲρ πρόθεσις τρεῖς σημασίας ἔχει· τὴν ἄνω φορὰν ὡς τὸ ὑπὲρ τύμβου ἀντὶ τοῦ ὑπεράνω τοῦ τύμβου καὶ ὡς τὸ ὑπὲρ καπνοῦ τίθησι τὰ πηδάλια [cf. Hes. opp. 43]· ὁμοίως καὶ ἀντίληψιν ὡς τὸ ὑπὲρ σοῦ κοπιῶ ἀντὶ τοῦ χάριν σοῦ καὶ ὡς τὸ ὑπὲρ τοῦ δήμου γράφω ἀντὶ τοῦ χάριν τοῦ δήμου· καὶ σύγκρισιν ὡς τὸ ὑπὲρ σέ εἰμι ἀντὶ τοῦ κρείττων σοῦ: — A

38 γράφεται καὶ Ἀχαϊκόν: — Mᴵ

39 † εἰπὼν ⟨στράτευ⟩μα ἑνικῶς κατέλυσεν εἰς πληθυντικὸν εἰπὼν εὐθύνοντας ὡς πρὸς τὸ σημαινόμενον ἀπιδών· τὸ ⟨γὰρ στράτε⟩υμα πολὺ πλῆθός ἐστι. τοιοῦτόν ἐστι καὶ τὸ [B 278] 'ὡς φάσαν ἡ πληθύς': — A

† εὐθύνοντας: εὐτρεπίζοντας τὴν διὰ θαλάσσης ὁδόν: — A

τὴν κώπην. ἀπὸ μέρους δὲ τὴν ναῦν καὶ ἀπὸ μιᾶς νεὼς τὰς πάσας παρέλαβεν: — MA

41 τύμβῳ φίλον: Γλαῦκος ἐν τῇ † προηγήσει φησὶν ἐν τῇ ἁλώσει

---

1—4 initium detritum in A usque ad γὰρ ὁ Πολυμήστωρ nec leguntur nisi unum χερρονήσω 3. 4 ἤδη—θαλάσσῃ] paraphrasi aliunde inserta scholion turbatum 6 ante οἱ Ἕ. ins. καὶ A 8 post ἐπειδὴ ins. δὲ M 9 post τοσαύτας add. ἡμέρας A ἀποσφαγεὶς] . . . . . γῆς A 29 δὲ om. A 31 cauendum ne in scholio librarii indocti ex corruptela inscriptio quaeratur libri quem Glaucus scripserit. legi uelim ἐν τῇ πορθήσει ut dittographia sit eorum quae secuntur

τῆς πόλεως τ⟨ραυμα⟩τισθεῖσαν τὴν Πολυξένην ⟨ἀπολέσθαι, τ⟩αφῆναι δὲ αὐτὴν ὑπὸ Νεοπτο⟨λέμου. Ἴβυ⟩κος δὲ σφαγῆναί φησιν ὑπὸ Διομ⟨ήδους καὶ Ὀ⟩δυσσέως: — A

τύμβῳ φίλον πρόσφαγμα: ὑπὸ Νεοπτολέμου φασὶν αὐτὴν σφαγιασθῆναι Εὐριπίδης καὶ Ἴβυκος [frg. 36]· ὁ δὲ τὰ Κυπριακὰ ποιήσας φησὶν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἐν τῇ τῆς πόλεως ἁλώσει τραυματισθεῖσαν ἀπολέσθαι, ταφῆναι δὲ ὑπὸ Νεοπτολέμου, ὡς Γλαῦκος γράφει. ἄλλοι δέ φασι συνθέμενον Πριάμῳ τὸν Ἀχιλλέα περὶ τοῦ Πολυξένης γάμου ἀναιρεθῆναι ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἄλσει: — MA

44 γράφεται τῷδ᾽ ἐμὴν ἐν ἤματι: — M[i]

45 τοὺς δύο νεκροὺς τῶν παίδων: — M[g]

47 τὸ ἑξῆς· φανήσομαι γὰρ δούλης ποδῶν πάροιθεν ὅπως ἂν τάφου τύχω: — M

† φανήσομαι γὰρ ἐν τῇ θαλάσσῃ ἔμπροσθεν τῶν ποδῶν τῆς δούλης πεμφθείσης καὶ μελλούσης κομίζειν ὕδωρ θαλάσσιον χάριν τοῦ λοῦσαι τὴν Πολυξένην: — A

48 ἐν αἰγιαλῷ. μελλούσης ὕδωρ ἀποφέρειν εἰς τὰ λουτρὰ τῆς Πολυξένης: — M[i]

49 βασιλεύοντας. Πλούτωνα καὶ Περσεφόνην: — M

† ⟨τοὺς γὰρ⟩ κρατοῦντας ἐν τῷ Ἅιδῃ θεοὺς παρεκάλεσα, ἤγουν τὸν Πλούτωνα, τὴν Περσεφόνην, τὸν Αἰακόν, τὸν Μίνωα καὶ τὸν ⟨Ῥαδάμανθυ⟩ν, ὅπως τύχω ταφῆς καὶ ἐν ταῖς χερσὶ τῆς μητρὸς πέσω: — A

51 τὸ ταφῆς ἀξιωθῆναι παρὰ τῆς μητρός: — M[g]A[g]

τάφου τυχεῖν: — M[g]

† τοὐμὸν μέν: φησί· τὸ ταφῆς ἀξιωθῆναι ὑπὸ τῆς μητρὸς γενήσεται· ταφήσομαι γάρ: — A

52 ὁρᾷ γὰρ Ἑκάβην προϊοῦσαν ἐκ τῆς σκηνῆς τοῦ Ἀγαμέμνονος καί φησι μὴ βούλεσθαι φανῆναι αὐτῇ, ἵνα μὴ ἐκφοβηθῇ τὸ εἴδωλον ὁρῶσα τοῦ παιδὸς τοῦ δοκοῦντος σῴζεσθαι: — MA

53 περᾷ γὰρ ἥδ᾽ ὑπὸ σκηνῆς πόδα Ἀγαμέμνονος: εἰ κατὰ τὸν Εὐριπίδην ἴδιαι γυναικῶν αἰχμαλώτων στέγαι ἦσαν, πῶς ἐκ τῆς σκηνῆς

1—9 Tzetz. ad Lycophr. p. 539 Müller. cf. Steph. Byz. p. 319,19 Hyg. 110 Serv. ad Aen. III 85. 332 VI 57 5 εὐριπίδησ ante σφαγιασθῆναι coll. A ὁ δὲ] καὶ A φησὶν om. A 6. 7 τραυματισθῆναι εἰσαναπολεῖσθαι M 7—9 ταφῆναι — ἄλσει om. A 12 γὰρ φανήσομαι M 13 τυχὼν M 15 πεμφθείσης] παθούσησ A 27 γὰρ om. A 28 βούλομαι M 30 — p. 18,1 usque ad πῶς δὲ καὶ omnia detrita in A

᾿Αγαμέμνονος ἐξῄει ἡ Ἑκάβη· πῶς δὲ καὶ ἐκεῖθεν ἐξιοῦσά φησι μετ' ὀλίγον [87] 'ποῦ ποτε Κασάνδραν ἐσίδω, Τρῳάδες' τῆς Κασάνδρας τῷ ᾿Αγαμέμνονι συνοικούσης. νοητέον τὴν Ἑκάβην τῷ φάσματι ταραχθεῖσαν προελθεῖν ἐκ τῆς σκηνῆς τῶν αἰχμαλωτίδων εἰσελθεῖν τε εἰς τὴν σκηνὴν ᾿Αγαμέμνονος εἰς ζήτησιν τῆς Κασάνδρας, ἵνα αὐτῇ κρίνῃ τοὺς ὀνείρους. καὶ μὴ εὑροῦσαν αὐτὴν διὰ τὸ ἴσως τὴν κόρην μετὰ τὴν κοίτην τοῦ ᾿Αγαμέμνονος καθαρμοῦ χάριν ἔξωθεν εἰς τὴν θάλασσαν ἀπεληλυθέναι πάλιν ἐξελθεῖν τὴν Ἑκάβην τῆς βασιλικῆς σκηνῆς· ἣν ἰδὼν ὁ Πολύδωρος ἔφη περᾷ γὰρ ἤδ' ὑπὸ σκηνῆς πόδα ᾿Αγαμέμνονος: — ΜΑ

† ἡ ὑπό ἀντὶ τῆς ἀπό: — Α

† ἄλλως: νοητέον τὴν Ἑκάβην μὴ ἐξέρχεσθαι ἀπὸ τῆς σκηνῆς τοῦ ᾿Αγαμέμνονος, ἀλλὰ μᾶλλον εἰσέρχεσθαι. ἐκοιμᾶτο γὰρ ἡ Ἑκάβη, ὅτε ταῦτα τὸ εἴδωλον ἔλεγε, καὶ ταραχθεῖσα τῷ φάσματι ἀνέστη καὶ εἰσήρχετο εἰς τὴν σκηνὴν τοῦ ᾿Αγαμέμνονος εἰς ζήτησιν τῆς Κασάνδρας, ἵνα αὕτη κρίνῃ τοὺς ὀνείρους ἅτε μαντικὴ οὖσα. καί φησι τὸ εἴδωλον· περᾷ γάρ, ἀντὶ τοῦ εἰσέρχεται, ἡ Ἑκάβη ὑπὸ τὸ ἔσχατον μέρος τῆς σκηνῆς, τουτέστιν ὑπὸ τὴν φλοιὰν αὐτὴν ἐμβαίνει τῆς σκηνῆς: — Α

† ἰστέον ὅτι τὸ πάλαι νόμος ταῖς γυναιξὶ ταῖς ζευγνυμέναις μὴ νομίμοις ἀνδράσι μετὰ τὴν μίξιν κατέρχεσθαι πρὸς τὴν θάλασσαν καὶ λούεσθαι καὶ οἱονεὶ .. ἀποκαθαίρεσθαι. τὸν αὐτὸν οὖν τρόπον καὶ νόμον καὶ ἡ Κασάνδρα συγκοιμηθεῖσα τῷ ᾿Αγαμέμνονι .. ὥστε ἀπολούσασθαι, καὶ τούτου χάριν οὐχ εὗρεν αὐτὴν ἐκεῖ εἰς τὴν τοῦ ᾿Αγαμέμνονος σκηνὴν ἡ Ἑκάβη: — Α

54 περὶ τοῦ φαντάσματος οὗ εἶδε περὶ ἐμοῦ δεδοικυῖα: — M[i]

56 λίαν ἐν δυστυχίᾳ ἐξετάζῃ: — M[g]

57 ἀντισηκώσας δέ σε: φθείρει δέ σε τις θεῶν ἀντιφορτώσας ἤδη πρὸς τὴν προτέραν εὐπραξίαν, ὅ ἐστιν· ἰσόρροπα τοῖς καλοῖς τὰ κακὰ ἔχεις: — Μ

ὅσον ποτὲ καλῶς εὐτύχεις, τοσοῦτόν σοι βάρος τῆς εὐτυχίας ἀντίρροπον θεῶν τις παρέσχεν: — ΜΑ

† ἤγουν· ὅσον εὐτύχεις πρὶν καὶ εὐδαιμόνεις, τοσοῦτον νῦν δυστυ-

---

1 ἐπιοῦσα Α  1. 2 μετ' ὀ .... φησὶ Α  3. 4 νοητέον δὲ ..... τὴν ἑκάβην ταραχθεῖσαν ἐξελθ .. Α  4 προσελθεῖν Μ  τε] δὲ Α  6 τοῦ om. Α  7 χάριν καθαρμοῦ Α  8 τὴν ἑκάβην ἐπεληλυθέναι Α  10 ἡ addito eis quae praecedunt adi. Α  11 ἐπέρχεσθαι Α  20 suppleuerim τῆς μίξεως  21 suppleuerim ἐξῆλθεν  28 καλὰ Μ  29 ποτὲ] τε Μ  εὐτυχῇ Μ  σοι] . ε Μ om. Α  29. 30 ἀντίρροπον τ. ε. Α  31—p. 19,2 eis quae praecedunt adi. Α

χεῖς. ἀντὶ τῶν καλῶν ὧν εὐμοίρεις, ἔδωκέ σοί τις τῶν θεῶν πλήθη τοσούτων κακῶν: — A

59 ἄγετ' ὦ παῖδες: προϊοῦσα ἀπὸ τῆς σκηνῆς Ἀγαμέμνονος ταῦτά φησι χειραγωγουμένη ὑπὸ τῶν Τρῳάδων διὰ τὸ ἀδυνάτως βαδίζειν ὑπό τε τῆς δυστυχίας καταπονηθεῖσα καὶ τοῦ γήρως: — MA

62 λείπει τὸ σῶμα· ἐπαίρετέ μου τὸ σῶμα τῆς χειρὸς λαβόμεναι: — $M^iA$

† ἄλλως: ἄγετέ μου τὸ σῶμα τῆς χειρὸς λαβόμεναι, καὶ ἐγὼ τῷ βάκτρῳ διὰ τῆς χειρὸς ἐπαιρομένη τῷ οὐκ ὀρθῷ ἀλλ' ἐπικαμπεῖ πορεύσομαι προτιθεῖσα, ἤγουν ποιοῦσα, βραδύπουν πορείαν: — A

65 τῷ βάκτρῳ διὰ τῆς χειρὸς ἐπαιρομένη καὶ ἐπερειδομένη: — M

καὶ ἄλλως: τῷ οὐκ ὀρθῷ βάκτρῳ, ἀλλ' ἐπικαμπεῖ, ὡς διὰ πτωχείαν καὶ τούτου αὐτῆς ἀπορούσης: — MA

66 ἢ διὰ πρὸς τὸ χειρός: — $M^g$

ἐπιστηριζομένη: — $M^g$

διερειδομένη, στηριζομένη, διαναπαυομένη: — $M^i$

τὴν βραδεῖαν ἔλευσιν καὶ πορείαν τῶν ἄρθρων προστιθεῖσα τῷ σκίπωνι: — $MA^g$

68 αὐτὸν τὸν Δία ἐπικαλεῖται: — $M^iA^g$

69 μετεωρίζομαι: — $M^gA^g$

70 δείμασι φάσμασι: ἤτοι ἀντὶ τοῦ δεινοῖς φάσμασιν ἢ δείμασι φασμάτων. ὁ δὲ νοῦς· τί μετεωρίζομαι ἐν τούτοις τοῖς φάσμασι: — MA

γράφεται νύξ: — $M^g$

71 μελανοπτερύγων: ἐπειδὴ ἐν νυκτὶ προσπελάζουσι. καὶ Ἡσίοδος περὶ τῆς Νυκτὸς λέγων ἐπιφέρει [Theog. 212] 'ἔτικτε δὲ φῦλον ὀνείρων'. εἰ δὲ γράφεται χθών, οὕτως εἶπεν, ἐπεὶ ἐκ τῆς γῆς λέγονται ἀναπέμπεσθαι οἱ ὄνειροι: — MA

ἄλλως: τὴν γῆν εἶπεν, ἐπειδὴ ἐξ Ἅιδου λέγονται οἱ ὄνειροι ἀναπέμπεσθαι. Ἡσίοδος δὲ Νυκτὸς τοὺς ὀνείρους φησίν: — MA

72 ἀπ' ἐμαυτῆς ἐκβάλλω τὴν νυκτερινὴν θέαν: — $M^gA$

τὸ φάντασμα: — $M^g$

---

4 ἀδυνάτοις ποσὶ A 5 καταπονηθεῖσαν M καὶ τοῦ γήρως ante κ. coll. A 6 λείπει om. $M^i$ 9 βάθρῳ A 10 προτεθεῖσα A 13 αὐτῆς om. A 21 φάσμασιν initio add. M ἤτοι om. A 22 φάσματα M φαντασμάτων A 24—27 nihil superest praeter ἐπειδὴ λέγετ .. (26) in A 28 λέγεται ἐκπέμπεσθαι τοὺς ὀνείρους A 29 γὰρ νύκτας M δὲ .... A 30 ὄψιν ὅ ἐστι θέαν A

ἀποτροπιάζομαι τὴν νυκτερινὴν φαντασίαν καὶ τὴν θέαν τοῦ ὀνείρου: — ΜΑ

† ἥντινα εἶδον περὶ τοῦ ἐμοῦ παιδὸς Πολυδώρου τοῦ σῳζομένου κατὰ Θρῄκην καὶ τῆς Πολυξένης. 'τὸ δὲ εἶδον λείπει: — Α

74 τοῦτο ὥσπερ οὐκ ἐν Θρᾴκῃ οὖσά φησι τῆς σκηνῆς ὑποκειμένης ἐν Χερρονήσῳ. ῥητέον δὲ ὅτι ποιητικὸν ἔθος ἐστὶ τὸ τοιοῦτον. Ὅμηρος [δ 10]· 'υἱέϊ δὲ Σπάρτηθεν Ἀλέκτορος ἤγετο κούρην'. ἐν Σπάρτῃ γάρ ἐστιν ὁ Μενέλαος: — ΜΑ

75 ἀπὸ κοινοῦ τὸ εἶδον: — $M^1$

76 ἀπὸ κοινοῦ τὸ ὄψιν: — $M^1$

80 ὃς μόνος οἴκων: ὅστις ἐπὶ τῶν ἐμῶν οἴκων ἄγκυρα ὑπολειπόμενος τὴν Θρᾴκην οἰκεῖ ἐν τοῖς ἀτυχήμασι σῳζόμενος: — ΜΑ

ἄλλως: οἴεται ζῆν αὐτόν, μετ' οὐ πολὺ δὲ γινώσκει ὅτι τέθνηκε, καὶ γίνεται διπλοῦν τὸ πάθος τῆς τραγῳδίας πῇ μὲν Πολυξένην ὀδυρομένης τῆς Ἑκάβης, πῇ δὲ Πολύδωρον: — ΜΑ

ἀσφάλεια, βοήθεια: — $M^1A^g$

84 παραγενήσεται μέλος θρηνητικὸν ἡμῖν ταῖς θρηνούσαις καὶ πένθος ἐπὶ τοῖς προτέροις πένθεσι: — ΜΑ

ἡμῖν ταῖς γοεραῖς γενήσεταί τι νέον. ἐκ τοῦ ὀνείρου δεῖ τεκμαίρεσθαι ὅτι ἔχει τι δεινὸν γενέσθαι: — ΜΑ

85 ἀτάραχος: — $M^g$

86 τὸ μὲν φρίσσει ταρβεῖ ταὐτόν ἐστιν. ὁ δὲ νοῦς· οὐδέποτε ἡ ἐμὴ ψυχὴ ἀχώριστος φόβου γίνεται, τουτέστιν· ἐν κακοῖς ἀεί εἰμι. ἢ οὕτως· οὐδέποτε ἡ ἐμὴ ψυχὴ ὑπονοεῖ τι καὶ τούτου ἀχώριστος γίνεται. ἢ οὐδέποτε ἀχώριστος φόβου ἡ ἐμὴ ψυχὴ γίνεται. τινὲς οὕτως· οὐδέποτε ἡ ἐμὴ ψυχὴ φρίσσει ἢ φοβεῖταί τι ἢ ὑπονοεῖ καὶ τούτου ἀχώριστος γίνεται, οἷον· εἴ τι φοβοῦμαι καὶ ὑπονοῶ, τοῦτο καὶ γίνεται: — ΜΑ

87 ποῦ ποτε θείαν Ἑλένου ψυχάν: ἔζη γὰρ Ἕλενος καὶ ὡς μέν τινες ἱστοροῦσιν, ηὐτομόλησεν, ὡς δέ τινες, ὑπὸ τῶν πολεμίων

---

3. 4 eis quae praecedunt adi. A 6 δὴ M τοῖσ ποιηταῖσ A 11 ἐπὶ om. A 13 post οἴεται add. δὲ M 14 τὸ διπλοῦν M 16 βασιλεία $M^1$ 18 ἐπὶ] ἔσται τί A 19 γοεραῖσ γηραιαῖσ A 22 τὸ μὲν— νοῦς om. A 23 ἡ ἐμὴ ψ. post φόβου coll. A ἀεὶ post τουτέστιν coll. A 24 ἢ οὕτως] τινὲς δὲ οὕτω λέγουσιν A 24—26 ὑπονοεῖ—ψυχή om. A 26 τι post ὑπονοεῖ coll. A διὸ καὶ A 27 νοῶ M

ἐλήφθη. ὁ δὲ νοῦς· ποῦ μοι ἄρα ἡ τοῦ Ἑλένου ψυχὴ ἡ μαντική. περιφραστικῶς δὲ εἶπε· ποῦ μοι ἄρα ὁ Ἕλενος ὁ μάντις καὶ ἡ Κασάνδρα, ἵνα μοι ὡς μάντεις ὄντες κρίνωσι τοὺς ὀνείρους: — MA

89 ἵνα: — $\mathrm{M^g}$

90 ὀξεῖαν, ἀπὸ τοῦ λίαν βαίνειν τὴν ἔλαφον, οἷον σύντονον τῷ βήματι: — M

καὶ ἄλλως: βαλίαν τὴν λίαν ἐνεργῆ τῷ βήματι: — M

ποικίλην: — $\mathrm{M^g}$

† βαλίαν: γράφεται καὶ βαλιά καὶ βαλία. διαφέρει δέ· βαλία μὲν γὰρ λέγεται ἡ ταχεῖα παρὰ τὸ λίαν βαίνειν, βαλιά δὲ ἡ κατάστικτος καὶ φολιδωτός: — A

† ἄλλως: εἶδον γὰρ βαλίαν ἔλαφον σφαζομένην ἐν ἀνάγκῃ τῷ αἱματοποιῷ ὄνυχι τοῦ λύκου ἀναρπασθεῖσαν ἀπὸ τῶν ἐμῶν γονάτων οἰκτρῶς: — A

τῇ φονικῇ, οἷον τῷ αἱματοποιῷ ὄνυχι: — $\mathrm{M^gA^g}$

91 τῇ ἀνάγκῃ. ἀποσπασθεῖσαν μετὰ βίας τῶν ἐμῶν γονάτων: — M

ἐλεεινῶς. ἀνηλεῶς: — $\mathrm{M^gA^g}$

92 καὶ τοῦτο δέ, τὸ φάντασμα τοῦ Ἀχιλλέως, πλεῖον με φοβεῖσθαι ποιεῖ· συντείνει γὰρ εἰς τὸν ὄνειρον: — MA

εἰς ἐμὲ, φησίν, ἐτράπη τὰ κακά, τοῦ Ἀχιλλέως γέρας αἰτοῦντος τοὺς Ἕλληνας μίαν τῶν Τρωικῶν γυναικῶν εἰς σφαγήν: — MA

93 † . . . ἦλθεν ὑπε⟨ράν⟩ω τῆς ἄκρας κορυ⟨φῆς⟩ . . . . . Τρῳάδων καὶ δειμαίνω μή πως αὐτῷ θύσωσι τὴν Πολυξένην: — A

94 ὁ δέ ἀντὶ τοῦ γάρ: — $\mathrm{M^i}$

95 οὐ γὰρ ἰδικῶς τὴν Πολυξένην ᾐτήσατο, ἀλλὰ μίαν τῶν αἰχμαλωτίδων κάλλει ὑπερφέρουσαν: — M

96 ἀποπέμψατε, ὦ θεοί, δεομένης μου ἐπακούοντες: — $\mathrm{MA^g}$

ἀποπέμψατε, ὦ θεοί, τοῦτο τὸ φάντασμα ⟨ἀπὸ⟩ τῆς ἐμῆς θυγατρὸς δεομένης μου ἐπακούσαντες: — MA

2 εἶπε — ἄρα ὁ] ποῦ ἐστιν A  καὶ] ἢ A  3 ἵνα μοι] ὅπως A  5 — 11 cf. et. m. p. 186,27. Gud. p. 103,21 Hesych. Suid. Zonar. p. 372  5 λιβαίνειν M  9 γράφει A  19. 20 praefixo ἄλλως post 21. 22 collocat et primo loco exhibet τὸ φάντασμα τοῦ ἀχιλλέως πλέον με φοβεῖ A  19 καὶ om. A  20 τὸ M  21. 22 eis quae praecedunt adi. M add. καὶ  21 φησὶν om. A  κακὰ A κατὰ M  28 ὑπακούοντες M om. $\mathrm{A^g}$  29. 30 scholio quod praecedit adi. M  29 ante ἀποπέμψατε add. ἀπ' ἐμοῦ οὖν A

98 ὁ χορὸς ἐκ Τρῳάδων αἰχμαλώτων γυναικῶν. ὁ δὲ λόγος· ὦ Ἑκάβη, πρὸς σὲ ὡρμήθην μετὰ σπουδῆς τὰς δεσποτικὰς σκηνάς, τοῦ Ἀγαμέμνονος, καταλιποῦσα: — MA

† Ἑκάβη, σπουδῇ ἦλθον πρὸς σὲ λιποῦσα τὰς δεσποσύνους σκηνάς, ὅπου ἐτάχθην φυλάττειν ἀπελαθεῖσα καὶ ἐκβληθεῖσα ἀπὸ τῆς Τροίας ἐκ τοῦ κοπτικοῦ στόματος τῆς λόγχης παρὰ τῶν Ἀχαιῶν γενομένη δοριθήρατος. ἦλθον δὲ οὐ μέλλουσά τι εὐφραντὸν μηνῦσαί σοι ἢ ἀποκουφίσαι σε ἀπὸ τῶν θλίψεων, ἀλλὰ μᾶλλον αἰρομένη καὶ φέρουσα μέγα βάρος ἀγγελίας, ἀντὶ τοῦ μεγάλην λύπην. ἐν γὰρ τῷ παντὶ συναθροίσματι τῶν Ἑλλήνων λέγεται δόξαν γενέσθαι, ἤγουν θέλησιν, τὴν σὴν παῖδα Πολυξένην σφάγιον θέσθαι τῷ Ἀχιλλεῖ. γινώσκεις γὰρ καὶ αὐτὴ ὡς ὁ Ἀχιλλεὺς θυσίαν ἐζήτησεν, ὅτε ἐφάνη σὺν ὅπλοις χρυσοῖς ἐπιβὰς τοῦ τύμβου. ἐκώλυε δὲ τὰς ποντοπόρους ναῦς ἐπερειδομένας, ἐχούσας, τὰ ἱστία ἐν τοῖς σχοινίοις, ταῦτα βοῶν καὶ λέγων· ποῖ ἀπέρχεσθε, Δαναοί, λιπόντες τὸν ἐμὸν τάφον ἀγέραστον: — A

ὡρμήθην, παρεγενόμην. οὕτως Εὐριπίδης: — M[s]

99 δεσποτικάς: — M[s]

τὰς δεσποσύνους: τὰς τῶν δεσποτῶν. δεσπόσυνος δὲ κυρίως ὁ τοῦ δεσπότου υἱός. κατεχρήσατο οὖν οὕτως εἰπών: — MA

ἦν γὰρ ἡ Ἑκάβη ἐν τῇ τοῦ Ὀδυσσέως σκηνῇ, ὁ δὲ χορὸς ἐν τῇ τοῦ Ἀγαμέμνονος. διὰ τοῦτο λέγει τὰς δεσποσύνους, τουτέστι τοῦ Ἀγαμέμνονος, ὅπου ἐκληρώθην εἶναι δούλη: — MA

104 οὐδὲν παθέων ἀποκουφίζουσ᾽: οὐδὲν τῶν περιεχόντων σε κακῶν θεραπεύουσα: — M

ἄλλως: ἐν ὑπερβατῷ· σπουδῇ πρὸς σ᾽ ἐλιάσθην οὐδὲν παθέων ἀποκουφίζουσα. σπουδῇ, φησίν, ἐχωρίσθην ἀπὸ τῆς σκηνῆς τοῦ Ἀγαμέμνονος οὐκ ἐπὶ τῷ κουφίσαι τι τῶν κακῶν σου, ἀλλὰ καὶ ἐπισάξαι τοῖς λεγομένοις ὑπ᾽ ἐμοῦ: — MA

οὐδὲν παθέων ἀποκουφίζουσ᾽: οὐδὲν τῶν περιεχόντων σε κακῶν θεραπεύουσα καὶ ἀποκουφίζουσα, ἀλλὰ τοὐναντίον ἐπιτιθεῖσα βάρος ἀγγελίας, τουτέστιν· ἕτερά σοι πρὸς οἷς ἔχεις κακοῖς ἀπαγγέλλω κακά: — MA

---

1 γυναικῶν αἰ. A  οὕτως δὲ ὁ λόγος A  2. 3 τοῦ Ἀ. om. A  10 εἶτ᾽ οὖν A  18. 19 τὰς τ. δ. om. cetera post τοῦ Ἀγαμέμνονος (21) coll. A  20 initio ins. τὰς τοῦ ἀ. λέγει ὅπου ἐκληρώθη εἶ. δ. A  21. 22 διὰ — δούλη om. A  22 ἐκληρώθη M  25. 26 ἐν — ἀποκουφίζουσα] ὁ χορός φησιν ὅτι A  26 φησὶν om. A  28 διὰ τῶν λεγομένων A  ἀπ᾽ M  31 σοι om. A  ἀπαγγέλων M

ἄλλως: παρεγενόμην δὲ οὐκ ἐλαττοῦσά σου τὰς συμφοράς, ἀλλὰ μᾶλλον καὶ παραύξουσα διὰ ταύτης τῆς ἀγγελίας: — ΜΑ

110 γινώσκεις ὅτε ὁ Ἀχιλλεὺς ἐπάνω στὰς τοῦ ἑαυτοῦ τύμβου σὺν ὅπλοις χρυσοῖς ἐπεῖχε τὰς ναῦς οὔριον ἐχούσας τὸν πλοῦν, ταῦτα λέγων: — ΜΑ

† ἐκ δὲ τοῦ εἰπεῖν λαίφη προτόνοις ἐπερειδομένας ἔδειξεν ὁ ποιητὴς ὅτι ἀνέμου ὄντος καὶ τῶν ἱστίων ἡπλωμένων ὑπαρχόντων καὶ τῶν νεῶν πλεόντων νηνεμία γέγονε ἡνίκα ἐφάνη ὁ Ἀχιλλεὺς καὶ . . .: — Α

111 κυρίως σχεδία ἡ πρὸς τάχος γινομένη καὶ σχεδόν: — ΜΑ[i]

112 τοῖς σχοινίοις τὰ ἄρμενα ἐκτεταμένα ἐχούσας πρὸς τὸ πλεῖν: — ΜΑ[g]

ἐκτεινούσας: — Μ[g]

113 λέγων· κυρίως δὲ ὑλακτῶν. τὸ δὲ ἑξῆς· ἐφάνη τάδε θωύσσων: — Μ[i]

115 ἀποπλέετε. κυρίως δὲ ἀποστέλλειν ἐστὶ τὸ διὰ νεὼς ἐκπέμπειν, ὅθεν καὶ στόλος λέγεται ὁ πολλῶν νεῶν ἀπόπλους. καταχρηστικῶς δὲ ἀποστέλλειν λέγεται καὶ τὸ δι' ἑτέρου τινὸς ἐκπέμπειν τι: — ΜΑ

116 † πολλῆς δ' ἔριδος: πολλῆς φιλονεικίας κλύδων καὶ ζάλη γέγονεν, οἷα φιλεῖ γίνεσθαι, ὅταν ἐν πλείονι ὄχλῳ οὐχ ἡ αὐτὴ βούλησις ᾖ: — Α

ταραχή: — Μ[i]Α[g]

117 δόκησις διττή: — Μ[g]

† δόξα δ' ἐχώρει: θέλ(ει εἰπεῖν· δόξα) διπλῆ ἦν ἐν τῷ πολεμικωτάτῳ στρατῷ τῶν Ἑλλήνων. τοῖς μὲν γὰρ ἤρεσκε διδόναι καὶ ποιεῖν σφάγιον ἐν τῷ τοῦ Ἀχιλλέως τύμβῳ, τοῖς δὲ οὐδαμῶς τοῦτο καλὸν ἐδόκει. ἦν δὲ σπουδάζων καὶ θέλων τὸ σὸν καλόν, ἤγουν τὸ μὴ σφαγιασθῆναι τὴν Πολυξένην, ὁ Ἀγαμέμνων ὁ ἀνέχων τὰς κοίτας τῆς μαντικῆς Κασάνδρας καὶ σὺν αὐτῇ κοιμώμενος: — Α

119 δοκοῦντος: — Μ[g]

120 ἦν δὲ ὁ Ἀγαμέμνων εἰς τὸ σὸν συμφέρον σπεύδων διὰ τὸ τιμᾶν αὐτὸν τὰ λέκτρα τῆς Κασάνδρας: — ΜΑ

χαριζόμενος τῇ Κασάνδρᾳ διὰ τὴν πρὸς αὐτὴν κοινωνίαν ὁ Ἀγαμέμνων οὐκ ἐβούλετο σφαγῆναι τὴν Πολυξένην: — ΜΑ

---

1 σου om. Α 4 χρυσέοις Α 4. 5 ταῦτα λ. om. Α 6—8 eis quae praecedunt adi. Α 9 cf. et. m. p. 739,50 Philem. p. 142 Eust. p. 516,9. 1533,2 σχέδος Μ σχέδιος Α[i] 10 ἐντεταμένα ἐχούσαις Μ 17 λέγεται καὶ] ἐστι Α 32 χαριζόμενος] τὸ δὲ ἀνέχων ἀντὶ τοῦ τιμῶν αὔξων ἢ ἀντιχαριζόμενος Α

121 † μαντιπόλος ἐλέγετο ἡ Κασάνδρα διὰ τὸ ἀναστρέφεσθαι αὐτὴν εἰς τὰ μαντεῖα: — A

τῆς μαντικῆς: — $M^{g}A^{g}$

τιμῶν, αὔξων: — $M^{g}A^{g}$

† ἔνθεοι γὰρ καὶ μανικοὶ γενόμενοι οἱ μάντεις μαντεύονται: — A

123 † τὼ Θησείδα δ' ὄζω: τοῦτο πρὸς τὸ σὸν σπεύδων ἀγαθὸν Ἀγαμέμνων ἀπέτρεπε. καὶ ἔστιν οὕτως· ἦν μὲν ὁ Ἀγαμέμνων ὁ σὲ ἐκδικῶν, οἱ δὲ Θησεῖδαι οἱ βασιλεῖς τῶν Ἀθηνῶν ἦσαν ῥήτορες δισσῶν λόγων, εἰς τὸν ὅμοιον δὲ νοῦν καταληγόντων. ἔλεγε γὰρ ὁ μὲν εἰς ὡς δεῖ τὸν Ἀχιλλέα τιμᾶν καὶ θῦσαι αὐτῷ τὴν Πολυξένην, ὁ δὲ ἕτερος ἔφασκεν ὡς οὐ δεῖ ἀγέραστον καταλεῖψαι τὸν Ἀχιλλέα, ἀλλὰ κυρωθῆναι τὴν ψῆφον, καθὰ περὶ αὐτοῦ ἐκρίναμεν. καὶ οἱ μὲν λόγοι δισσοί, εἰς ἕνα δὲ νοῦν λήγοντες καὶ εἰς μίαν γνώμην: — A

ὄζω Ἀθηνῶν: οἱ δὲ τοῦ Θησέως παῖδες, Ἀκάμας καὶ Δημοφῶν, οἳ ἦσαν κλάδοι τῶν Ἀθηναίων, οἳ καὶ ἐστρατεύσαντο ἐπὶ Ἴλιον οὐχ ἡγούμενοί τινων, ἀλλ' ἐπὶ τὴν ἀπολύτρωσιν τῆς Αἴθρας. ἕνεκεν γὰρ ταύτης ἐστρατευκέναι τούτους φασίν: — MA

τὼ Θησείδα δ' ὄζω Ἀθηνῶν: τοὺς Θησέως παῖδας ἔνιοί φασι μὴ ἡγεμόνας στρατεύεσθαι ἐπὶ Ἴλιον μηδὲ τῆς συμμαχίας χάριν, ἀλλὰ ἀποληψομένους τὴν Αἴθραν· διὸ καὶ τὸν Ὅμηρον [B 552] λέγειν τὸν Μενεσθέα ἡγεῖσθαι τῶν Ἀθηναίων. Διονύσιος γοῦν ὁ τὸν Κύκλον ποιήσας φησί [FHG iv p. 653[a]]· Δημοφῶν δὲ ὁ Θησέως ἐδεῖτο αὐτοῖς δοῦναι Αἴθραν τὴν Πιτθέως τὴν τοῦ πατρὸς μητέρα, ὅπως αὐτὴν κομίσωσιν οἴκαδε. Μενέλαος δὲ πρὸς Ἑλένην πέμπει Ταλθύβιον κελεύσας ἄγειν Αἴθραν. καὶ Ἑλένη δωρησαμένη Αἴθραν παντοδαπῷ κόσμῳ ἀποστέλλει πρὸς Δημοφῶντα καὶ Ἀκάμαντα. Ἑλλάνικος δέ φησιν [frg. 75] αὐτοὺς ἐστρατευκέναι, ὅπως, εἰ μὲν ἕλοιεν Ἴλιον, λάφυρον αὐτὴν λάβοιεν, εἰ δὲ μή,

---

1. 2 eis quae praecedunt adi. A add. δὲ post μαντιπόλος 5 initio add. τῆσ μαντικῆσ ἀνέχων καὶ αὔξων A μαντικοὶ A 7 ἀπέτρεπε non certum in A 9 καταλεγόντων A 12 καθὰ] τὰ A 14 ἀθάμασ A 15 ὑπὸ M 16 ἕνεκεν—φασίν om. A 18—26 cf. schol. Tro. 31 20 διὸ—λέγειν] διὰ τοῦτο φασὶ καὶ ὅμηροσ A 21 μενεσθῆα A ἀθηνῶν MA Διονύσιος—φησὶ] ἱστορεῖ γοῦν ὁ δ. ὁ τ. κ. γράψασ τάδε A 22 δὲ om. A αὐτῶν M αὐτῷ A 23 τὴν αἴθραν τὴν τοῦ πυτθέωσ A κομίση A 24 πέμπει πρὸσ ἑλένην A 25 ἀποστέλλει παντοδαπῷ κ. A 26 ἀθάμαντα A ἑλλάνινοσ M 27 ἐπεστρατευκέναι αὐτοὺσ A ὅπως—λάφυρον] ἵνα εἰ μὲν πορθηθείη τὸ ἴλιον ἐκ τῶν λαφύρων A

κἂν λυτρώσαιντο δώροις. φεύγειν δὲ αὐτοὺς διὰ τὸ μὴ βούλεσθαι ἄρχεσθαι ὑπὸ Μενεσθέως. ἦσαν δὲ μετὰ ⟨τοῦ Ἐλεφήνορος τοῦ⟩ Χαλκώδοντος τοῦ Ἄβαντος ἐν Εὐβοίᾳ: — MA

124 δισσῶν μύθων ῥήτορες: οἱ δύο λέγοντες καὶ ῥητορεύοντες εἰς ταὐτὸ συνέτρεχον μίαν γνώμην ἔχοντες: — MA

† οἱ μὲν λόγοι δύο ἦσαν τῷ αὐτοὺς δύο εἶναι, ἡ γνώμη δὲ μία: — AA^g

126 τιμᾶν, ἀπὸ μεταφορᾶς τῶν νικώντων, στεφανουμένων μετὰ τιμῆς: — M

127 νέας παιδὸς αἵματι. ἢ ὑγρῷ, τῷ καὶ τὰ χλωρὰ φυτὰ ὑγρὰ εἶναι. τινὲς δὲ νέῳ: — M

ἔλεγον δὲ τὰ τῆς Κασάνδρας λέκτρα οὐκ ὀφείλειν προκριθῆναι τῆς Ἀχιλλέως ἀρετῆς. ὁ γὰρ Ἀγαμέμνων εἰς τιμὴν Κασάνδρας συνεμάχει Πολυξένῃ: — MA

130 † σπουδαὶ δὲ λόγων κατατεινομένων: λόγων δὲ λεγομένων ἡ αὐτὴ καὶ μία γνώμη ἐπεκράτει καὶ ἀπόφασις κατὰ τῆς σῆς παιδὸς οὐκ ἐδίδοτο, ἕως ὁ τὰ πρὸς χάριν τοῦ δήμου λέγων Ὀδυσσεὺς ἀνέστη καὶ πείθει τὸν στρατὸν μὴ ἀπωθεῖν τὸν ἄριστον τῶν Ἑλλήνων πάντων ἕνεκα τῶν δούλων σφαγίων. ἔλεγε γάρ· μὴ γένοιτό τινα ἀπὸ τῶν σφαγέντων Ἑλλήνων σταθῆναι ἔμπροσθεν τῆς Περσεφόνης καὶ εἰπεῖν ὡς ἀχάριστοι εἰς ἡμᾶς τοὺς σφαγέντας ἕνεκα τῶν Ἑλλήνων ἐφάνησαν οἱ Ἕλληνες μὴ τιμήσαντες ἡμᾶς, ἀλλ' ἀγεράστους ἡμᾶς καταλείψαντες εἰς Ἑλλάδα ἀπέρχονται: — A

131 ἀντὶ τοῦ· πρὶν Ὀδυσσέως μιᾷ γνώμῃ καὶ ψήφῳ προσετέθη: — M^i

ὁ συνετόβουλος: — M^g A^g

ὁ λάλος. ὅθεν καὶ ⟨δημοκόπος καὶ⟩ κόβαλος, ὁ κομψός· ʽκαὶ μὴν

---

1 κἂν λ.] καταλυτρώσοιντο A φεύγειν — Μενεσθέως om. M 2 post δὲ ins. καὶ M suppleui ex B 540 Plut. Thes. 35 3 τοῦ Ἄβαντος om. M ὑευοίᾳ A 4 post ῥητορεύοντες add. ἦσαν M 6. 7 scholio quod praecedit adi. A add. καὶ 8 στεφανωμένων M 13. 14 ὑπερεμάχει πολυξένησ A 27 — p. 26,7 et. m. p. 529,25 (Zonar. p. 1232) κόπις: Εὐριπίδης· ὁ ποικιλόφρων κόπις ἡδυλόγος δημοχαριστής. σύντομος, ὀξὺς τῷ λόγῳ. ἤγουν λάλος· ἔνθεν καὶ ὁ δημοκόπος καὶ κόβαλος. καὶ τὰς τῶν λόγων τέχνας κοπίδας ἔλεγον * μὴ τὸν Πυθαγόραν εὕρομεν ὄντα ἀληθινῶν κοπίδων. et. Gud. p. 337,56 κόπις: σύντομος, ὀξὺς τῷ λόγῳ. ἢ λάλος ὅθεν καὶ ὁ δημοκόπος καὶ κόβαλος καὶ κατεστωμυλημένος κόβαλοι λέγονται. καὶ τὰς τῶν λόγων τέχνας κοπίδας ἐκάλουν * μὴ τὸν Πυθαγόραν εὕρομεν ὄντων ἀληθινῶν κοπίδων. Εὐριπίδης πρὶν ὁ π. κ. ἡ. δ. 27 δημοκόπος καὶ om. MA καὶ] ἢ Aristophanes

κόβαλά γ' ἐστὶν ὡς καὶ σοὶ δοκεῖ [Arist. Ran. 104]'. κοπίδας τε τὰς τῶν λόγων τέχνας ⟨ἔλεγον⟩ ἄλλοι τε καὶ ὁ Τίμαιος οὕτως γράφων [FHG iv p. 640[b]]· 'ὥστε καὶ φαίνεσθαι μὴ τὸν Πυθαγόραν † εὑράμενον τῶν ἀληθινῶν κοπίδων μηδὲ τὸν ὑφ' Ἡρακλείτου κατηγορούμενον, ἀλλ' αὐτὸν ⟨τὸν⟩ Ἡράκλειτον εἶναι τὸν ἀλαζονευόμενον'. τὰ περίεργα γὰρ τῶν λόγων καὶ τὰ κατεστωμυλμένα κόβαλα ἔλεγον. ὡς Ἀριστοφάνης ἐν Βατράχοις 'κόβαλά γ' ἐστίν, ὡς καὶ σοὶ δοκεῖ': — MA

λάλος: — M[g]

σύντομος καὶ ὀξὺς τῷ λόγῳ: — M[g]

ὁ τῷ δήμῳ κεχαρισμένα λέγων ⟨εἰς⟩ τὸ εὔνοιαν ἐπισπᾶσθαι παρ' αὐτῶν: — M[i]

133 ἀντὶ τοῦ μιᾷ γνώμῃ προσετέθη. στρατιὰ δέ ἐστι τὸ ἄθροισμα τῶν στρατιωτῶν, στρατεία δὲ αὐτὸς ὁ πόλεμος καὶ ἡ ἐν πολέμῳ ⟨παρά⟩ταξις: — MA

138 ὡς ἀπέβησαν ἀπὸ τῶν πεδίων τῆς Τροίας οἱ Δαναοὶ ἀχάριστοι τοῖς Δαναοῖς τοῖς τεθνηκόσιν ⟨ὑπὲρ τῶν⟩ Ἑλλήνων [ἐγένοντο], ὅ ἐστιν· ἀχάριστοι οἱ Ἕλληνες ἐγένοντο εἰς τοὺς τελευτήσαντας ὑπὲρ αὐτῶν Ἕλληνας: — M

139 τοῖς τεθνηκόσιν: — M[g]A[g]

† οὐχ ἁπλῶς λέγει τῶν ἀποθανόντων καὶ ἐν Ἅιδου ὄντων, ἀλλὰ τῶν Ἑλλήνων τῶν ἐν τῇ Τροίᾳ ἐν τῷ ἀριστεύειν καὶ τῶν ἄλλων προμάχεσθαι ἀναιρεθέντων. ἀχάριστοι δὲ οἱ Ἕλληνες ἐγένοντο εἰς τοὺς τελευτήσαντας ὑπὲρ αὐτῶν ἐν Ἰλίῳ Ἕλληνας. ἢ λίαν ἀχάριστοι οἱ ἐν Ἰλίῳ Ἕλληνες τοῖς τεθνηκόσιν: — A

141 ὅσον οὐκ ἤδη: ὅσον οὐδέπω, μετ' οὐ πολύ, σφόδρα ταχέως: — M

† ὅσον οὐκ ἤδη: οὐδαμῶς ἐπὶ πολὺν χρόνον, ἀλλὰ ἐπ' ὀλίγον, τουτέστι παραυτίκα καὶ παραχρῆμα καὶ ταχέως: — A

---

1 γ'] γάρ MA 2 ἔλεγον om. MA τε] δὲ A γράφει M γράφωσιν A 3 καὶ om. A εὑράμενον M εὑρόμενον A conicio εὑρετὴν ἀληθινὸν ὄντα 4 καλούμενον A 5—7 cf. m. p. 524,27 Gud. p. 332,3 κόβαλος: .... ἄλλοι δὲ ὧν ἐστι καὶ Ὧρος ὅτι κόβαλα λέγονται [Ὧρος δὲ κόβαλα λέγει Gud.] τὰ κατεστωμυλμένα καὶ κοβάλους τοὺς λάλους ἀπὸ τοῦ κόψαι πεποιημένης τῆς λέξεως. schol. Ar. Ran. 104 ... Δίδυμος κατεστωμυλμένα ἀπατητικά ... 5—7 τὰ—δοκεῖ om. A πάρεργα M 6 κατεστωμυλημένα M 7 γάρ εἰσι M 12 τῇ μιᾷ γνώμῃ καὶ ψήφῳ A 13. 14 καὶ—παράταξις om. A .. τάξις M 25 ὅσον (alterum)] ὅσ M

142 ἀντὶ τοῦ παρθένον: — M[g]

143 ἐξορμήσων αὐτὴν τῆς σῆς χειρὸς. τουτέστιν ἀφαιρησόμενος: — MA[g]

146 ἐπικαλοῦ βοηθούς σοι γενέσθαι τοὺς οὐρανίους καὶ καταχθονίους θεούς: — MA[g]

† κήρυσσε θεούς: ἀντὶ τοῦ ἀνακάλει τοὺς θεοὺς τοὺς ὑπὸ γῆν καὶ οὐρανόν· καὶ ἢ γάρ σε διακωλύσουσιν αἱ λιταὶ γενέσθαι ὀρφανόν, ἀντὶ τοῦ ὀρφανήν. τῆς σῆς δυστυχεστάτης παιδὸς. τουτέστιν ἢ σωθήσεται ἡ παῖς σου, ἢ δεῖ σε ἐπιδεῖν αὐτὴν προκειμένην ἐπὶ τύμβῳ φοινισσομένην ἐν τῷ μελαναυγεῖ νασμῷ τοῦ αἵματος, τουτέστι τῇ ῥύσει, ἀπὸ τοῦ νάω τὸ ῥέω. τὸ δὲ αἵματι ἀντὶ τοῦ αἵματος γενικῶς, τοῦ ῥεομένου ἐκ τῆς ποτε φερούσης τὸν χρυσὸν δειρῆς αὐτῆς: — A

149 ἔρημον. ὡς 'κλυτὸς Ἱπποδάμεια' [B 742]: — M

150 ἢ δεῖ σ' ἐπιδεῖν τὴν παρθένον ἐγγὺς τοῦ τύμβου κειμένην ἐκ χρυσοφόρου δειρῆς φοινισσομένην νασμῷ μελαναυγεῖ. ὅ ἐστι τῇ ῥύσει τοῦ αἵματος: — MA

προνενευκυῖαν: — M[g]

152 τῆς ποτε χρυσοφόρου δειρῆς, ὡς τὸ 'ἐυμμελίω Πριάμοιο': — M[g]

† ἐκ χρυσοφόρου δειρῆς: ἤτοι ἐκ τραχήλου φέροντος κόσμια χρύσεα. οἱ παλαιοὶ γάρ, ὅταν ἔμελλον σφαγιάσαι τινὰ γυναῖκα ἐπὶ τάφῳ τινὸς, ἐκόσμουν αὐτὴν διὰ χρυσείων κόσμων ὥσπερ νύμφην: — A

153 τῇ ῥύσει τοῦ μέλανος αἵματος: — M[g]

155 ἠχῶ, ἀντὶ τοῦ βοήν. τινὲς δὲ περισπῶσι τὸ ἀχῶ, ἵν' ᾖ· ὁποίαν ἠχήσω βοήν: — MA

156 λείπει τὸ ἕνεκα· ἐγὼ ἀθλία εἰμὶ ἕνεκα τοῦ δυστυχοῦς γήρως: — MA

φεῦ τῆς δουλείας ταύτης τῆς οὐ τλητῆς οὐδὲ φορητῆς. καρτερητῆς. οὐ φορητῆς: — MA

162 εἰς ποίαν ὁδὸν βοηθείας παραγένωμαι: — MA

εἰς ποίαν βοήθειαν ὁρμήσω: — M[g]A

165 ἀντὶ τοῦ ἀπαγγεῖλασαι: — M

11 γενικὸν A 14 post παρθένον add. ταύτην A κειμένην ἐγγὺς τ. τ. A 16 μέλανος αἵματος A 23. δὲ om. A ἵν' ᾖ] ἵνα M 24 in fine add. ἔξω τοῦτο λαμ . . . A 25 εἰμὶ ἐγὼ ἀθλία εἰμὴ A ἕνα M 27. 28 scholio quod praecedit ut adiungeret ita conformauit καὶ τῆς δειλίας τῆς οὐ τλητᾶς . . . . . τερητᾶς καὶ οὐ φερτᾶς ἀντὶ τοῦ οὐχ' ὑπομονητῆς A καρτερικῆς M
29 παραγενέσωμαι A

ὤ κακά μοι ἀπαγγεῖλασαι. ἢ ὑπομείνασαι καὶ παθοῦσαι: — ΜΑ

167 οὐκέτι μοι φορητὸς ἢ θαυμαστὸς καὶ ἀποδεκτὸς ὁ βίος ἐν τῇ ζωῇ γενήσεται, ἀλλ' ἐκ τῶν ἐναντίων ἐπαχθής: — ΜΑ

† βίος δὲ σημαίνει τὸν παρόντα κόσμον, τὸν χρόνον τῆς ζωῆς, τὴν τέχνην καὶ κατάστασιν, τὴν οὐσίαν καὶ τὸ πρὸς τὸ ζῆν: — Α

169 καθήγησαι, ὦ τλήμων πούς: — $M^i$

ἔνδον ἐβούλετο εἰσελθεῖν πρὸς τὴν τῶν αἰχμαλωτίδων σκηνήν. βούλεται γὰρ συντυχεῖν τῇ Πολυξένῃ καὶ μηνῦσαι τὸν ἐσόμενον αὐτῇ θάνατον: — ΜΑ

† καί φησι ⟨πρὸς τὸν⟩ ἑαυτῆς πόδα· ὦ τλημονέστατε ποδ⟨ῶν, ἄγη⟩σαί μοι, τουτέστι ἡγεμόνευσόν μοι, κομίσαι με πρὸς ταύτην τὴν αὐλήν, ἐν ᾗ ἐστιν ἡ Πολυξένη. καὶ εἰσελθοῦσά φησι πρὸς τὴν Πολυξένην· ὦ τέκνον, ἔξελθε ἀπὸ τῶν οἴκων καὶ ἄκουε τὴν φωνὴν τῆς μητρός, ὅπως ἴδῃς οἵαν ἀκούω φήμην καὶ λόγον, Πολυξένη, περὶ τῆς σῆς ψυχῆς, περὶ τοῦ σοῦ θανάτου: — Α

174 † ὡς ἴδῃς: μετάληψις αἰσθήσεως καλεῖται τὸ σχῆμα· τὸ γὰρ ἴδῃς ἀντὶ τοῦ ἀκούσῃς ἐφθέγξατο. μετήλλαξε δὲ τὴν δύναμιν τῶν ὤτων εἰς τὴν δύναμιν τῶν ὀφθαλμῶν· οὐ γὰρ μετὰ τῶν ὤτων βλέπει τις. διὰ τοῦτο καὶ μετάληψις αἰσθήσεως ὠνομάσθη τοῦτο: — Α

175 οἵαν ἤκουσα φήμην περὶ τῆς σῆς ψυχῆς, περὶ τοῦ σοῦ θανάτου: — $M^i$

177 † τί νεωστὶ κακὸν εἰσεληλυθὸς κηρύξασα: — Α

178 ὥσπερ ὄρνιν ἐξέπτηξάς με τούτῳ τῷ φόβῳ. ἢ καταπτῆξαι καὶ δειλιάσαι ἐποίησας: — ΜΑ

181 τί με δύσφημα φθέγγῃ: — $M^g$

προοίμια: — $M^g$

† τί ⟨με⟩ δυσφημεῖς· φροίμιά ⟨μοι⟩ κακά: εἰπούσης τῆς Ἑκάβης οἴμοι τέκνον ἀκούσασα ἡ Πολυξένη ἐφοβήθη καί φησι· τί προοιμιάζῃ λόγους κακούς: — Α

188 τὸ ἑξῆς· σφάξαι σε Πηλεΐδα γέννᾳ, ὅ ἐστι Πηλέως γενεᾷ,

---

1 ἀπαγγέλλουσαι Α  post παθοῦσαι add. καὶ ἀρ ..... (i. e. ἀράμεναι) Α  2 οὐδετι Μ  φορητὸς — ζωῇ] θαυμαστὸσ καὶ ... καὶ ἀποδεκτὸσ ὁ βίοσ ὁ ἐν ... Α  4. 5 scholio quod praecedit adi. Α  cf. et. m. p. 198,13  10—15 scholio quod praecedit adi. Α  11 ἡγεμόνευσαί Α  16—19 m. 1 postea add. Α  23 ὥσπερ — με] ἐκ τῶν οἴκων με ὥσπερ ὄρνιν καταπτῆξαι ἐποίησασ ὥσπερ ὄρνιν κατέπτηξάσ με Α  24 καὶ] ἢ Α  ἐποίησας om. Μ ἐποίησασ ἢ ἔξω τοῦ οἴκου πετασθῆναι ἐν τῷδε τῷ θάμβει Α  30 τὸ ἑξῆς om. Α

ἀντὶ τοῦ Πηλέως παιδί, Ἀχιλλεῖ. πατρωνυμικὸν ἀντὶ πρωτοτύπου, Πηλέως γέννῃ: — ΜΑ

† ⟨σφάξαι σ'⟩ Ἀργείων κοινά: ἡ κοινὴ γνώμη τῶν Ἀργείων συντείνει, ἤγουν σπεύδει, σφάξ⟨αι σε⟩ πρὸς τὸν τύμβον τὸν ⟨τοῦ υἱοῦ⟩ τοῦ Πηλέως, ἤγουν τοῦ Ἀχιλλέως. τὸ γὰρ Πηλείδα γέννᾳ ἀντὶ γενικῆς λαμβάνεται, ἵνα πρὸς τὸν τύμβον τοῦ γεννήματος ...: — Α

† ἄλλως: σφάξαι σ' Ἀργείων κοινά: ἡ πάντων ψῆφος καὶ γνώμη συμφωνεῖ τοῦ σε ἀποθανεῖν ἐν τῷ τύμβῳ τῷ τοῦ Πηλέως υἱῷ, τῷ Ἀχιλλεῖ: — Α

189 ἀντὶ τοῦ βουλή: — M[g]A[g]

190 τῷ Πηλέως παιδὶ Ἀχιλλεῖ. ἢ ἀντὶ τοῦ Πηλέως, πατρωνυμικὸν ἀντὶ πρωτοτύπου: — Μ

191 γράφεται παῖ: — M[g]

† ἀντὶ τοῦ πῶς πῶς· ἡ δὲ παλιλλογία ⟨τὸ σπου⟩δαῖον τῆς ἐρωτήσεως παρίστησιν: — Α

192 ἀφθόνητα· οἷς οὐκ ἄν τις φθονήσειε διὰ τὸ εἶναι κακά. τοῖς γὰρ κακοῖς οὐδεὶς φθονεῖ: — ΜΑ

194 τὸ ἑξῆς· ἀγγέλλουσί μοι δόξαι ταῖς τῶν Ἀργείων ψήφοις δυσφήμους φήμας περὶ τῆς σῆς ψυχῆς. ἀντὶ τοῦ· ἀπαγγέλλουσί μοι αἱ φῆμαι περὶ τῆς σῆς ψυχῆς δόξαι τῇ ψήφῳ τῶν Ἑλλήνων, δηλονότι ἀποθανεῖν: — ΜΑ

195 λείπει κρίνασαι: — M[l]

196 περὶ τοῦ σοῦ θανάτου: — M[g]A[g]

198 πάλιν Ἀττικῶς λείπει τὸ ἕνεκα· ὦ δυστυχεστάτη μῆτερ ἕνεκα τῆς ἀθλίας ζωῆς σου: — ΜΑ

199 † οἴαν οἴαν: οἴμοι ⟨ποίαν⟩ ποίαν αἰσχίστην βλάβην καὶ ἀρρήτην .. σοὶ θεός τις διήγειρε καὶ παρώρμησε: — Α

202 ἀντὶ τοῦ ὧδε: — M[g]

203 ἐγὼ ἡ δειλαία τῷ δειλαίῳ σου γήρᾳ οὐκέτι συνδουλεύσω: — ΜΑ

205 † σκύμνον γάρ: τὸν σκύμνον οἱ παλαιοὶ ἐπὶ παντὸς νέου λαμβάνουσι. σκύμνοι δὲ κυρίως λέγονται τὰ ἔκγονα τῶν λεόντων: — Α

† ἄλλως: σκύμνον τὴν Πολυξένην καλεῖ ὁ ποιητὴς διὰ τὸ βασιλέως εἶναι θυγατέρα, μόσχον δὲ διὰ τὸ μέλλειν ἤδη σφαγῆναι: — Α

1 ante πατρωνυμικὸν add. ἢ Α  2 ἀντὶ τοῦ τῶ πηλέωσ γένει Α
16 ante κακὰ add. λίαν Α  18 με Μ σοι Α  19 τῆς σῆς om. Α
ἀντὶ τοῦ] ἢ ὅτι Α  20 δόξαν ΜΑ  τῇ om. Α  24 μῆτερ om. Α
25 σου ζωῆσ Α  27 ἀρραγὴν Α  29 scholio 24. 25 adi. Α

οὐριθρέπταν μόσχον: ἀντὶ τοῦ νέαν· τὸν γὰρ μόσχον οἱ παλαιοὶ ἀντὶ τοῦ νέου παραλαμβάνουσιν: — MA[g]

ὄψει σύ με τὴν μόσχον, ὅ ἐστι τὴν νέαν, ἀπὸ τῆς σῆς χειρὸς ἁρπαζομένην ὥσπερ σκύμνον ἐν ὄρει τεθραμμένον. ἀπὸ κοινοῦ δὲ τὸ εἰσόψει· ⟨εἰσόψει⟩ με λαιμότομον πεμπομένην τῷ Ἅιδῃ εἰς τὸν ὑπὸ γῆς σκότον, οἷον· εἰσόψει με οὐ κοινῷ θανάτῳ ἀποθνήσκουσαν, ἀλλὰ τῷ διὰ σφαγῆς: — MA

† εἰσόψει γάρ με καὶ ἴδῃς τὴν μόσχον τὴν δειλαίαν σὺ ἡ δειλαία ἀναρπαστὸν ἀπὸ τῆς σῆς χειρὸς ὥσπερ σκύμνον οὐρίθρεπτον. τῷ ὄρει τρεφόμενον, καὶ ὄψει λαιμότομον, ἤγουν τὸν λαιμὸν τμηθεῖσαν, ἀπὸ τῶν ἐνταῦθα πεμπομένην πρὸς τὸ σκότος τῆς γῆς, ὅπου ἡ ἀθλία διάξω μετὰ τῶν νεκρῶν. καὶ σέ, ὦ μῆτερ δυστυχεστάτη, κλαίω ἐν πολλοῖς θρήνοις, τὸν ἐμὸν δὲ βίον οὐ κλαίω ὑπηργμένον ἅπαντα λύμην καὶ λώβαν: — A

208 † λαιμότομον: λαιμοτόμος ἐστὶν ὁ τὸν λαιμὸν κόπτων, λαιμότομος δὲ ὁ ἀποτμηθείς: — A

211 ἀντὶ τοῦ περὶ σοῦ. ἢ ἐπὶ σοί, ὥσπερ καὶ θαυμά σού φασιν ἀντὶ τοῦ ἐπὶ σοί. τινὲς δέ φασι λείπειν τὸ χάριν. ἢ ἀπὸ κοινοῦ τὸν βίον, ἵν' ᾖ· κλαίω σου τὸν βίον: — M

213 τὴν ἐμὴν ζωὴν πᾶσαν βλάβην καὶ λύμην οὖσάν μοι οὐ κλαίω: — M

λοιμικήν: — M[g]

214 οὐ κλαίομαι, ἀντὶ τοῦ οὐκ ὀδύρομαι: — M[g]

ἀλλὰ ἡ τοῦ ἀποθανεῖν μοι δυστυχία βελτίων ἐφάνη τοῦ ζῆν ἀτίμως. τοῦτο δὲ λέγει παρόσον μετὰ τὴν πόρθησιν τῆς Τροίας καὶ τὸν τῶν ἀδελφῶν θάνατον καὶ τοῦ πατρὸς καὶ ἄλλων μυρίων, ὧν εἶχε ⟨συγγενῶν τε καὶ φίλων, καὶ⟩ αὐτὴ γενομένη αἰχμάλωτος δουλεύειν ἔμελλε καὶ τὰ αἴσχιστα ὑπομένειν· ὧν φησι προτιμότερον τὸν θάνατον εἶναι: — M

† ἡ δυστυχία, φησίν, ἐποίησέ με ἡγεῖσθαι τὸν θάνατον κρείσσονα τῆς ζωῆς: — A

216 μετὰ σπουδῆς τοῦ ποδός: — M[g]

---

1 τὸν] τὸ M 3 σύ] σοί M γάρ A σῆς om. A 4—6 ἀπὸ — θανάτῳ] ἀλλ' (i. e. ἄλλως) οὐδὲ κοινῷ θανάτῳ ἐσόψει A 7 post σφαγῆς add. καὶ σιδήρου A 13 ὑπηργμένη A 20 πᾶσαν] ἐπὶ M 25 λέγεται M 26 εἶδε M εἶχε Vat. 1135 26. 27 συγγενῶν — καὶ om. M add. Vat. 1135 30 inter fol. 6[v] et 7[r] excidit folium quo legebantur vss. 212—256 A

217 ἤτοι καινὸν ἢ δεινόν. Μένανδρος· ʽνεώτερόν τι σοι συμβέβηκεν’: — M

χρέος, πρᾶγμα: — $M^g$

219 τὴν κυρωθεῖσαν: — $M^g$

221 ἀντὶ τοῦ μνῆμα: — $M^g$

222 παραπομπούς, ὁδηγούς: — $M^g$

ἀρωγούς: — $M^g$

223 δεσπότης: — $M^g$

224 ἐτάχθη, ἐχειροτονήθη: — $M^g$

225 τὰ καλὰ τῶν ἀντιγράφων δρᾶσον ἔχει: — $M^g$

οἶδας οὖν τί δρᾶσαι ὀφείλεις: — $M^i$

μὴ ἀφαιρεθῇς: — $M^g$

226 εἰς ἀγῶνα: — $M^g$

227 γίνωσκε δὲ ἐμὴν μὲν ἰσχύν, σαυτῆς δὲ ἀσθένειαν: — M

[διὰ] τὴν ἐμὴν ἀρχήν: — $M^i$

228 εὐπαίδευτον τοῦτό ἐστι, τὸ ἐν τοῖς κακοῖς μὴ ἐπαίρεσθαι καὶ παροξύνεσθαι: — M

231 ὅπου με ἔδει τεθνάναι, οὐκ ἀπέθανον, ὅ ἐστιν ἐν Τροίᾳ: — M

232 αὔξει: — $M^g$

234 εἰ δ' ἔστι τοῖς δούλοισι: εἰ δὲ ἔξεστι τοῖς δούλοις τοὺς ἐλευθέρους ἐρωτᾶν ὅσα ⟨ἂν⟩ μὴ λυπῇ μηδὲ δάκνῃ καρδίαν τῶν ἀκουόντων: — M

ἀντὶ τοῦ ἐρωτῆσαι [ἀκοῦσαι]: — $M^g$

236 σοὶ μὲν λέγειν ἁρμόζει τὰ ἐρωτώμενα, ἐμοὶ δὲ ἐρωτᾶν καὶ ἀκούειν παρὰ σοῦ: — M

σοὶ μὲν πρέπει ἀπολογεῖσθαι πρὸς τὰ ἐρωτώμενα: — $M^g$

238 τῆς ὑπερθέσεως γὰρ σοῦ ἕνεκεν οὐ φθονῶ: — $M^i$

240 καχειμονίᾳ κακόμορφος. ἦλθε γὰρ Ὀδυσσεὺς εἰς τὴν Τροίαν εἰς ἐπαίτην μετασχηματίσας ἑαυτὸν ⟨διὰ τὸ Παλλάδιον⟩: — M

ἄμορφος: ἀντὶ τοῦ ἄγνωστος: — M

241 φόνου σταλαγμοί: ὑπὲρ τοῦ ἐπικειμένου σοι φόνου ἀγωνιῶν ἐδάκρυσας. ἀντὶ δὲ τοῦ εἰπεῖν· δάκρυα φόνου ἦν σημαντικά, ἀπὸ [δὲ] τῶν ὀμμάτων σου, φησί, σταγόνες φόνου ⟨κατέσταζον⟩: — M

---

10 φρασον $M^g$ 18 ὅπου] οὔπω M 28 κακομορφία M 29 διὰ τὸ Παλλάδιον om. M suppleui ex Vat. 1345 31 σου M 32 ἐδάκρυσε M

σταγόνες φόνου· ⟨ἔδει⟩ δὲ εἰπεῖν δάκρυα, οἷον τὰ δάκρυα ⟨φόνου⟩ ἦν σημαντικά, ὅθεν καὶ ἐν τῇ συνηθείᾳ αἱμάτινα δάκρυα φαμέν: — M

ἀπίθανον τὸ πλάσμα καὶ οὐχ Ὁμηρικόν· οὐ γὰρ ἂν ἐσίγησεν Ἑκάβη πολέμιον θεασαμένη κατοπτεύοντα τὰ κατὰ τοὺς Τρῶας πράγματα. ἡ δὲ Ἑλένη εἰκότως· ἄτην γὰρ μετέστενεν Ἀφροδίτης: — M

242 ἀντὶ τοῦ ἐλυπήθην: — M[g]

245 ἐλεεινὸς ὤν: — M[g]

246 νεκρωθῆναι ὑπὸ τοῦ δέους τὴν χεῖρά μου: — M[g]

247 ἀντὶ τοῦ ὑποκείμενός μοι: — M[g]

251 κακὸς ὢν ἁλίσκῃ. ὁ δὲ λόγος· οὐκοῦν κακὸς φαίνῃ ἐξ ὧν νῦν ἐβουλεύσω κατὰ τῆς ἐμῆς θυγατρὸς δι' ἐμὲ ζῶν: — M

252 τοιούτων εὐεργεσιῶν παρ' ἐμοῦ τυχών: — M[g]

253 ἀπὸ κοινοῦ τὸ δρᾷς: — M[g]

254 δικανικάς: — M[g]

εἰς τοὺς κατ' αὐτὸν δημοκοποῦντας ῥήτορας λέγει: — M[i]

τα⟨ῦτα εἰς τὴν⟩ κατ' αὐτὸν πολιτείαν λέγει. καί ἐστι τοιοῦτος ὁ Εὐριπίδης, περιάπτων τὰ καθ' ἑαυτὸν τοῖς ἥρωσι καὶ τοὺς χρόνους συγχέων: — M

258 † ἀτὰρ τί ⟨δὴ⟩ σόφισμα τοῦθ' ἡγούμενοι: τοίνυν τί δίκαιον καὶ ἁρμόζον τοῦτο ἡγούμενοι, τὸ σφάξαι Πολυξένην, εἰς ταύτην ὥρι⟨σαν⟩ τὴν τοῦ φόνου ψῆφον. ἆρα τὸ πρέπον καὶ τὸ δίκαιον ἐκίνησεν ἀνθρώπους σφάζειν εἰς τὸν τύμβον, ἔνθα δὴ μάλιστα βοῦς πρέπει θυσιάζειν. ἢ τοὺς θανόντας ἀνταποκτεῖναι θέλων ὁ Ἀχιλλεὺς εἰς τήνδε τὴν παῖδα δικαίως τείνει τὸν φόνον. ἀλλ' οὐδὲν αὕτη εἰς αὐτὸν δέδρακε κακὸν ἢ πεφόνευκεν. εἴπω σοι τὸ ἀληθές· Ἑλένην ἐχρῆν ἐν τῷ τύμβῳ αὐτῷ θῦμα *· αὕτη γάρ ἐστιν ἡ αἰτία τοῦ φόνου αὐτοῦ. εἰ γὰρ μὴ αὐτὴ τῷ Ἀλεξάνδρῳ ἠκολούθει, οὐκ ἂν ὁ Ἀχιλλεὺς εἰς Τροίαν ἦλθε καὶ ἀπέθανεν. εἰ δὲ πολλάκις λέγεις ὅτι χρή τινα ἔκκριτον ἀπὸ τῶν αἰχμαλώτων γυναικῶν θανεῖν, ἢ εὐπρεπεστάτην τῷ εἴδει, οὐχ ἡμεῖς τοῦτο ἔχομεν. τίς γὰρ εὐειδεστέρα Ἑλένης. ἄλλως τε καὶ οὐδὲν ἧττον ἡμῶν εὑρέθη αὐτὸν ἀδικήσασα, καὶ εἰ τὸ δίκαιον θέλετε πράξειν, αὐτὴν χρὴ σφαγῆναι: — A

259 οἱ Ἕλληνες: — M[g]

260 τὸ χρῆν: νόμιμον. ἔστι δὲ ἐπιρρηματικόν: — M[g]

---

1 φόβου M δάκρυα (priore loco)] δακρύων M 3—5 cf. schol. δ 255 E 10 κακὸς ὢν] κακῶς M ἁλώκῃ M 13 δράσον M 18 συγχέων Matthiae συγκρούων M 22 δὴ] δὲ A 26 γενέσθαι add. Dindorf malim αἰτεῖν

τὸ δέον καὶ τὸ ὀφεῖλον αὐτοὺς εἰς προθυμίαν ἤγαγεν ἀνθρωποκτονεῖν εἰς τοὺς τάφους τῶν τελευτησάντων: — MA

262 ἡ γὰρ Πολυξένη αὐτῷ αἰτία θανάτου γέγονεν: — MgAg

267 ἐπίλεκτον εὐμορφίας ἕνεκεν: — Mg

268 διαφέρουσαν ὑπερβάλλουσαν: — Mi

270 † ἀδικοῦσά θ' ἡμῶν: αὕτη δέ, ἡ Ἑλένη, καίπερ ἄδικα πράξασα κατ' οὐδὲν ἡμῶν ἐλάττων εὑρέθη: — A

271 † τῷ μὲν δικαίῳ τόνδ' ἁμιλλῶμαι λόγον: ἀντὶ τοῦ ὅτι μὲν δίκαιόν ἐστι τὴν Ἑλένην παθεῖν καὶ οὐχὶ τὴν Πολυξένην, τοῦτον ἁμιλλῶμαι καὶ λέγω τὸν λόγον· ἃ δὲ δεῖ σε ἀντιδοῦναί μοι ὑπὲρ ὧν παρ' ἐμοῦ ἔπαθες ἄκουσον. ἥψω, ὡς φῄς, τῆς χειρός μου καὶ τῆς παρειᾶς· ἀνθάπτομαι κἀγώ σου τῶνδε καὶ ζητῶ σε χάριν, ἣν ἐγώ σοι δέδωκα, ἤγουν· ὥσπερ ἐγώ σε ἔσωσα τοῦ θανάτου τότε, ὅτε εἰσῆλθες εἰς τὴν Τροίαν κατάσκοπος, οὕτω καὶ σὺ σῶσον νῦν τὴν Πολυξένην: — A

ἀντὶ τοῦ παρατίθημι: — MgAg

278 αὐτάρκεια τῶν ἀποθανόντων μου τέκνων: — MgA

279 † ταύτῃ γέγηθα: ταύτῃ, τῇ Πολυξένῃ, χαίρω καὶ ἐπιλανθάνομαι τῶν ἐπισυμβάντων μοι κακῶν: — A

280 ἀπίθανα ταῦτα· οὐ γὰρ ἔμελλε γηροβοσκεῖν ἡ Πολυξένη τὴν Ἑκάβην μὴ οὖσα μετ' αὐτῆς· ὅμως μέντοι πρὸς τὴν ἱκεσίαν χρήσιμα: — MA

παραμυθία: — Mg

282 τοὺς ἐν ἀρχαῖς ὄντας καὶ δυναμένους πράττειν ἃ βούλονται οὐ χρὴ εἰς κακόν τι τῇ ἐξουσίᾳ χρῆσθαι εἰδότας ὅτι οὐκ ἐν τῇ αὐτῇ μενοῦσι τύχῃ: — MA

284 εὐτυχὴς δηλονότι: — Mg

287 † ἐλθὼν εἰς Ἀχαϊκὸν στρατόν: σύ, ὁ Ὀδυσσεύς, ἐλθὼν εἰς τὸν τῶν Ἀχαιῶν στρατὸν παρηγόρησον, ἀντὶ τοῦ παρακάλεσον. ἢ παρὸ ἠγόρευσας καὶ ἐδημηγόρησας πρὶν ὅτι καλόν ἐστι σφαγιάσαι τὴν Πολυξένην, ἕτερόν τι νῦν λέξον καὶ εἰπὲ ὅτι μέμψις ἐστὶν ἀποκτεῖναι γυναῖκας, ἃς πρῶτον τοῦτο οὐκ ἐπράξατε ἀπὸ τῶν βωμῶν σπάσαντες, ἀλλ' ᾠκτειρήσατε. νόμος δὲ ὁ αὐτὸς κεῖται καὶ περὶ τῶν δούλων καὶ τῶν

1 δέον] δὲ M τὸ (alterum) om. A 2 τοὺς τῶν τελευτησάντων τάφους ἔνθα πρέπει μᾶλλον βουθυτεῖν ἀναγνωστέον δὲ κατ' ἐρώτησιν A 3 ἢ] ἡ MgAg 16 ante αὐτάρκεια add. ἀντὶ τοῦ A post τέκνων add. καὶ ἐν ταύτῃ χαίρω A 19 ἡ π. γηρωβοσκεῖν A 23 πράττειν] ἄρχειν M 25 μενοῦσι τύχῃ] μέλλουσι τάξει τῆς τυχῆς εἶναι A 31 σπεύσαντες A

ἐλευθέρων μὴ φονεύεσθαί τινα παρόσον καὶ ὁ δοῦλον φονεύσας τῷ αὐτῷ ἄγει ἐνέχεται. ἐὰν οὖν ταῦτα εἴπῃς τοῖς Ἕλλησιν, ἀκουσθήσῃ καὶ πείσεις αὐτούς. ὁ γὰρ εἷς λόγος καὶ ὁ αὐτὸς ὅταν ἐκ τῶν ἀδόξων καὶ ἐνδόξων ἐξέλθῃ, οὐ τὸ ὅμοιον δύναται, τουτέστιν· οὐ τὴν ὁμοίαν δύναμιν ἔχει: — A

288 παράπεισον, νουθέτησον: — M$^g$

ὅτι: — M$^g$A$^g$

ἀντὶ τοῦ νέμεσις. διαφέρει γὰρ νέμεσις φθόνου. νεμεσῶσι μὲν γὰρ οἱ δίκαιοι τοῖς ἀναξίως εὐτυχοῦσι, φθονοῦνται δὲ οἱ καλοί. νεμεσήσειαν ἂν ὑμῖν οἱ θεοὶ εἴγε ἃς πρότερον τοῖς βωμοῖς τῶν θεῶν προσφυγούσας ἀποσπάσαντες οὐκ ἐκτείνατε εἰς τιμὴν θεῶν, νῦν ἀνδρὶ χαριζόμενοι φονεύσετε: — MA

ἄλλως: φθόνος νέμεσις. σημειωτέον δὲ ὅτι τὸν φθόνον νῦν ἐπὶ τοῦ μώμου τίθησιν, ὡς ἐν Θησεῖ [frg. 391] 'καίτοι φθόνου μὲν μῦθον ἄξιον φράσω': — MA

ἀντὶ τοῦ μέμψις: — M$^g$A$^g$

291 νόμος δ' ἐν ὑμῖν μήτε δοῦλον μήτε ἐλεύθερον φονεύεσθαι παρόσον καὶ ὁ οἰκέτην κτείνας ἐνέχεται τῷ ἄγει τοῦ ἀνδροφόνου: — MA

ἄλλως: ἐν ὑμῖν δέ, τοῖς Ἕλλησι, νόμος κεῖται σῴζόμενος τὸ ἴσον κρίνειν τοῖς ἐλευθέροις καὶ τοῖς δούλοις περὶ θανάτου, οἷον· ὥσπερ ἐλεύθερόν τις ἀνελὼν τιμωρίαν δίδωσιν ὑπὲρ τοῦ φόνου, τὸν αὐτὸν τρόπον καὶ ὁ δοῦλον φονεύων ὑποχειριός ἐστι τῷ ἐγκλήματι τοῦ θανάτου: — MA

293 τὸ δ' ἀξίωμα κἂν κακῶς λέγῃ, τὸ σὸν πείσει: τὸ δὲ σὸν ἀξιόλογον πρόσωπον, κἂν κακῶς λέγῃ καὶ παρὰ τὸ δίκαιον, ὅμως πείσει· πόσῳ γε μᾶλλον, ὅτε καὶ ἔννομα: — MA

294 λόγος γὰρ ἔκ τ' ἀδοξούντων: ὁ γὰρ αὐτὸς λόγος ἔκ τε τῶν ἀδόξων καὶ τῶν ἐνδόξων λεγόμενος οὐ ταυτὸν ἰσχύει καὶ δύναται,

---

1 δοῦλοσ A  8—15 cf. Eust. p. 1422,14  8—13 praeponit φθόνοσ μέμψις σημεῖον δὲ ὅτι ἀντὶ τοῦ μώμου νῦν φθόνον τίθησιν ὡσ καὶ ἐν θησεῖ καίτοι φθόνου μὲν μῦθον ἄξιον φράσαι, tum ἄλλωσ ins. pergit ut legitur A  10 νεμέσησαν M  ἂν] οὖν MA  $\overset{τ}{μ}$εν οἱ θεοὶ M οἱ θεοὶ ὑμῖν A  11 τῶν θεῶν A  νῦν δ' M  11. 12 ἀνδρὶ—φονεύσετε] φονεύσετε χαριζόμενοι τῶ ἀχιλλεῖ A  12 φονεύετε M  13 ἄλλως—νέμεσις] ἢ διχῶσ φθόνοσ ψόγοσ ἀντὶ τοῦ μέμψισ A  δὲ om. A  13. 14 νῦν—Θησεῖ] ὡδὶ ἀντὶ τῆσ μέμψεωσ εἴρηκεν εὐριπίδησ ὡσ εἰ A  14 μὲν φθόνου M  15 post φράσω add. ἤτοι μέμψεωσ ἄξιον A  18 ὁ om. M  24 πρόσωπον om. M  26 ὁ γὰρ ὁ M  τε om. A

ἀντὶ τοῦ· δυνατὸς γίνεται, κἂν ᾖ φαῦλος, ὁ παρὰ τοῦ ἐνδόξου λεγόμενος: — M[1]A

295 ἐκ τῶν δοξαζομένων: — M[g]

296 ἀντὶ τοῦ στερρά, ὡς 'κλυτὸς Ἱπποδάμεια' [B 742]. Ἀττικὸν δὲ τὸ σχῆμα: — M[g]A

† οὐκ ἔστιν οὕτω στερρός: τὸ ἑξῆς· οὐχ οὕτως ἐστὶ στερρὸς φύσις ἀνθρώπου, ἥτις οὐκ ἂν ἐκβάλοι δάκρυον τῶν γόων τῶν σῶν καὶ τῶν ὀδυρμάτων τοὺς θρήνους ἀκούσασα: — A

τοὺς θρήνους τῶν ὀδυρμάτων: — M[g]A

299 † Ἑκάβη, διδάσκου: ἀντὶ τοῦ σωφ⟨ρόνει⟩ καὶ τὸν εὖ λέγοντα μηδαμῶς τῷ θυμοειδεῖ μέρει τῆς ψυχῆς σου ποιοῦ δυσμενῆ: — A

† ἄλλως: οὐκ ἔστιν οὕτω στερρός: τὸ γὰρ ⟨στερρός ἀντὶ τοῦ στερρά, ὥσπερ καὶ ὁ⟩ θεός καὶ ἡ θεός καὶ κλυτὸς Ἱπποδάμεια ἀντὶ τοῦ κλυτή. ὁ δὲ νοῦς· οὐκ ἔστιν οὕτως σκληρὰ καὶ ἀπ⟨ηνὴς φύσις ἀνθρώπου ἥτις οὐκ ἂν δακρύσῃ κλύουσα, ἤγουν ἀκούουσα, τῶν σῶν⟩ γόων καὶ μακρῶν ὀδυρμάτων τοὺς θρήνους: — A

τῷ θυμώδει μέρει τῆς ψυχῆς. λέγει δὲ τῷ θυμουμένῳ μέρει τῆς ψυχῆς, τουτέστι τῷ θυμοειδεῖ: — M

† μηδὲ τῇ ἐνούσῃ σοι ὀργῇ χάριν τοῦ σφαγῆναι τὴν Πολυξένην ὑπολάμβανε ἐχθρὸν ἐμὲ ἐν σῇ διανοίᾳ τὸν μὴ ἑλκύσαντα ἐν βίᾳ ἀπὸ τῶν σῶν ἀγκαλῶν τὴν Πολυξένην, ἀλλὰ λέγοντά σοι πράως δοῦναι αὐτήν: — A

303 ἃ δ' εἶπον: ταῦτα εἶπον· ἐάν τις ἀριστεύσας μηδὲν πλέον τῶν δειλῶν ἀπενέγκηται, οἱ λοιποὶ ἀριστεῖς κινδύνου καταλαμβάνοντος τὴν πόλιν οὐκ ἂν ἕλοιντο ὑπερμαχεῖν τῆς πατρίδος ὁρῶντες τοὺς προαριστεύσαντας μηδενὸς γέρως τετυχηκότας. καὶ οὕτως συμβαίνει τὰς πόλεις κάμνειν μὴ ἐχούσας τοὺς προκινδυνεύοντας: — MA

304 τούτῳ γάρ, φησί, τουτέστι τῷ Ἀχιλλεῖ, ἐξαιτησαμένῳ τὴν σὴν θυγατέρα σφάγιον συνεβούλευσα τοῖς Ἕλλησιν ἐπιδοῦναι: — M

τῷ Ἀχιλλεῖ: — M[g]

1 ἀντὶ τοῦ] κἀκ τῶν δοκούντων ἀντὶ τοῦ δοξαζομένων A ὁ om. A
4. 5 scholio 9 adi. A ins. τὸ δὲ στερρὸν ἀττικὸν σχῆμα ὡς κλ. ἱ. A
9 τοὺς θ.] ἀντὶ τοῦ τοὺς γόους A 12—16 suppleui ex Vat. 1345 23 ἐάν] εἰ γὰρ M ὅταν A μὴ δὲ M 24 ἀποφέρηται A 25 ἕλοιτο M
26 μηδένα A 27 post προκινδυνεύοντας add. τουτέστι τοὺς τοῖς πολεμίοις ἐναντιουμένους A 28. 29 scholio quod praecedit adi. M 28 τούτῳ— Ἀχιλλεῖ] τῷ ἀχιλλεῖ τοῦτο δέ φησι A 29 συνεβουλεύσατο A

305 ἀπὸ κοινοῦ τὸ εἶπον: — M[i]

306 † ἐν τῷδε γὰρ κάμνουσιν: ἐν τῷδε γὰρ δυστυχοῦσι καὶ ἀφανίζονται αἱ πολλαὶ πόλεις, τῷ μὴ τιμᾶσθαι δηλονότι τοὺς ἀγαθοὺς καὶ γενναίους ἄνδρας: — A

διὰ τοῦτο: — M[g]

δυστυχοῦσιν: — M[g]A[g]

308 τῶν δειλῶν καὶ ἀνάνδρων: — M[g]A[g]

311 † οὔκουν τόδ' αἰσχρόν: οὐκοῦν κακόν ἐστι τοῦτο καὶ ἄδικον, ἐάν, ὅταν ζῇ τις, φίλον αὐτὸν ἔχωμεν, ὅταν δὲ τελευτήσῃ, μή: — A

ἀντὶ τοῦ ζῶντι: — M[g]

313 † εἶεν· τί δῆτ' ἐρεῖ τις: τί δῆτα εἴποι τις, ἐὰν πάλιν ἄθροισις φανῇ στρατοῦ καὶ μάχη. πολεμήσομεν ἢ φιλοψυχήσομεν ὁρῶντες μὴ τιμωμένους τοὺς θανόντας ὑπὲρ τῆς πόλεως. δῆλον ὡς φιλοψυχήσομεν: — A

314 ὁ ἀγών: — M[g]A[g]

315 φιλοζωήσομεν μὴ μαχόμενοι: — M[g]A[g]

317 † καὶ μὴν ἔμοιγε ζῶντι: εἰ ἐν τοῖς ζῶσίν εἰμι καὶ μετρίως εὐτυχοίην, ἀρκούντως ἂν ἔχοι· θανὼν δὲ βούλομαι τιμᾶσθαι καὶ κλέος ἔχειν ἀοίδιμον παρὰ τῶν ζώντων τιμώμενος: — A

318 ζῶν δηλονότι: — M[i]

319 τιμώμενον, ἄξιον τιμῆς νομιζόμενον: — MA[g]

320 ἐπὶ πολὺν γὰρ χρόνον μένει ἡ δόξα: — M[g]

† διὰ μακροῦ γὰρ ἡ χάρις: ἐπὶ πολὺ γὰρ ἡ δόξα καὶ πολυχρόνιος γίνεται κατὰ διαδοχὴν αὐξανομένη: — A

321 † εἰ δ' οἰκτρὰ πάσχειν φῄς: εἰ δὲ οἰκτρὰ πάσχειν λέγεις, ταῦτα ἀντάκουέ μου. εἰσὶ καὶ παρ' Ἕλλησι γυναῖκες αἱ μὲν παίδων ἐστερημέναι, αἱ δὲ νυμφίων, οὕστινας ἐν τῇ Τροίᾳ σφαγέντας ἡ Τρωικὴ κόνις κρύπτει: — A

322 ἐν τῇ Ἑλλάδι δηλονότι: — M[i]A[g]

ἄθλιαι μᾶλλον σοῦ: — M[i]

σοῦ οὐδὲν ἧσσον ἄθλιαι: — M

323 τὸ χ̄ πρὸς τὴν συγκοπήν· πρεσβύτεραι γὰρ ἔδει εἰπεῖν: — M

324 στερηθεῖσαι: — M[g]

τῶν ἰδίων: — M[g]

27 Ἕλληνες A    32 scholio 33 adi. M

325 ἡ Τρωική: — $M^g$

326 ὑπόμενε καρτέρει: — $M^gA^g$

328 ὑμεῖς δηλονότι: — $M^gA$

τὸ μήτε τοὺς φίλους ὡς φίλους τιμᾶν μήτε τοὺς ἐνδόξως ἀνηρημένους θαυμάζειν: — MA

330 τιμᾶτε: — $M^g$

331 ὑμεῖς δὲ πρὸς ταῦτα τὰ βουλεύματα καὶ τὴν τύχην κτήσησθε. οἷα βούλοισθε, τοιαῦτα ἔχητε: — $M^1A$

332 † αἰαῖ τὸ δοῦλον: φεῦ φεῦ, ὡς κακὸν τὸ πεφυκέναι τινὰ δοῦλον. τῇ βίᾳ γὰρ ὁ δοῦλος κρατούμενος τολμᾷ πράττειν ἃ μὴ χρή. πᾶς γὰρ δοῦλος ἀναγκαζόμενος πλεῖστα πράττει ἄδικα: — A

333 ὑπομένει πολλάκις, ὃ μὴ πρέπον ἐστὶν ὑπὸ τῆς βίας ἀναγκαζόμενον: — MA

334 ὦ τέκνον: — $M^g$

ἀντὶ τοῦ πρὸς ἀέρα: — $M^g$

335 φροῦδος κατὰ τὸ ἔτυμον λέγεται ὁ προαπεληλυθὼς τῆς ὁδοῦ [καὶ προαπελθών]: — $M^1A$

† φροῦδοι: ἀνωφελεῖς, ἀφανεῖς, εἰς μάτην ἐκτοξευθέντες. οὐ γὰρ ἔκαμψαν τὸν τοῦ Ὀδυσσέως θυμὸν ἢ τῶν Ἑλλήνων, ἀλλὰ τὸ ψηφισθὲν αὐτοῖς ἔτι μένει: — A

ἢ μήτηρ ἔχεις: ἀντὶ τοῦ ἤπερ, οἷον· σὺ δὲ εἰ μᾶλλον τῆς μητρὸς δύναμιν ἔχεις: — MA

συναλοιφή· ἡ μήτηρ ἀντὶ τοῦ ἤπερ ἡ μήτηρ. σὺ δὲ εἰ [μᾶλλον] ἔχεις μείζονά τινα δύναμιν, σπούδαζε: — MA

337 ὁ τέ παρέλκει: — $M^g$

340 τὸ ἑξῆς· καὶ πεῖθε τὴν σὴν ὥστ' ἐποικτεῖραι τύχην: — $M^1A$

† οὕτως ἡ σύνταξις· ἔχεις πρόφασιν ὥστε τὴν σὴν ἐποικτεῖραι τύχην· ἔστι γὰρ τέκνα καὶ τῷδε, τῷ Ὀδυσσεῖ: — A

3 scholio quod sequitur praefixit A 4 ἐνδόξους A 7. 8 scholio 4. 5 adi. A ins. ἵνα ἡ μὲν ἑλλὰς κατὰ τοῦτο εὐτυχῇ κτήσασθε M κτήσεσθε A
8 οἷα γοῦν A βούλησθε M ἔχετε A 12 τὸ μὴ πρέπον A ante ὑπὸ ins. τῇ βία κρατούμενον A 16 παρεληλυθὼς M προαπεληθὼς A
17 παρελθὼν M 22. 23 scholio quod praecedit adi. M ins. ἔστι δὲ
23 συναλιφὴ M συναλειφὴ A μᾶλλον τῆς μητρὸς A 26 τὸ ἑξῆς om. A πεῖθου $M^1$ ὥστε τ. σ. A post τύχην add. ἀντὶ τοῦ ἀτυχίαν A
27. 28 scholio 18—20 adi. A

342 ὁρῶ σ' Ὀδυσσεῦ: ἐνταῦθα ἐφύλαξεν ὁ Εὐριπίδης τὸ ἡρωικὸν ἦθος· οὐ γὰρ ταπεινὸν αὐτὸ μεμίμηται, ἀλλὰ παρρησιαστικόν: — MA

ὁρῶ σε, φησίν, ὦ Ὀδυσσεῦ, τὴν μὲν δεξιὰν χεῖρα κρύπτοντα ὑπὸ τὰ ἱμάτια, τὸ δὲ πρόσωπον ἀποστρέφοντα, ἵνα μὴ ἱκετεύω σε: — MA

345 οὐχ ἱκετεύσω σε, ἐπεὶ πέφευγας παρ' ἐμοῦ τούτου τυχεῖν: — MM[g]A

† ἀκούσας Ὀδυσσεὺς τῆς Ἑκάβης εἰπούσης τῇ Πολυξένῃ· ὦ τέκνον, πρόσπιπτε Ὀδυσσεῖ λαβοῦσα τῆς δεξιᾶς χειρὸς αὐτοῦ καὶ γενειάδος καὶ ἱκέτευσον αὐτὸν ὅπως τὴν σὴν τύχην ἐποικτείρῃ· οὕτω γὰρ ἔθος ἦν παλαιοῖς παρακαλεῖν τῆς χειρὸς καὶ τῆς γενειάδος ἁπτομένοις· ταῦτα ἀκούσας ὁ Ὀδυσσεὺς τὴν μὲν δεξιὰν αὐτοῦ χεῖρα εἰσήγαγεν ἔσωθεν τοῦ εἵματος αὐτοῦ καὶ τὸ πρόσωπον εἰς τοὐπίσω ἀπέστρεφεν, ὅπως μήτε τῆς χειρὸς αὐτοῦ λάβηται μήτε τῆς γενειάδος. ἰδοῦσα δὲ αὐτὸν [Πολυξένη] οὕτως ποιήσαντα εἶπεν ἡ Πολυξένη· ὁρῶ σε, Ὀδυσσεῦ, τὴν μὲν δεξιὰν χεῖρα κρύπτοντα ⟨ὑπὸ τὰ⟩ ἱμάτια, τὸ δὲ πρόσωπον στρέφοντα, ἵνα μὴ ἱκετεύω σε. θάρρει δέ, ἐπεὶ πέφευγας τὸν ἐμὸν ἱκέσιον Δία, τουτέστι τὴν ἐμὴν ἱκεσίαν· ἐκ τοῦ Διὸς γὰρ πᾶσα ἱκεσία. ἱκέσιον δὲ Δία τὸν ἐπὶ παρακλήσει μεταλαμ⟨βανόμενον⟩: — A

† ὡς ἔστιν ὁ Ζεὺς φίλιος καὶ ξένιος καὶ τὰ λοιπά, οὕτως καὶ ⟨ἱκέσιος. ἀντὶ τοῦ πέφευγας τὴν ἐμὴν ἱκεσίαν, τουτέστιν· οὐχ ἱκε⟩τεύσω σε: — A

346 ὡς ἕψομαί γε: ὄντως ἐπακολουθήσω σοι καὶ δι' αὐτὸ τὸ ἀναγκαῖον καὶ ὅτι βούλομαι ἀπολέσθαι: — MA

καὶ ἄλλως: ἕνεκα τῆς ἀνάγκης ἀκολουθήσω σοι καὶ ὅτι ἀποθανεῖν βούλομαι, ἐπειδὴ προτιμότερόν μοί ἐστι τοῦ ζῆν κακῶς: — MA

348 ἀντὶ τοῦ φανήσομαι: — M[g]

δειλὴ καὶ φιλόζωος γυνὴ φανήσομαι: — M[g]

350 † τοῦτό μοι πρῶτον βίου: τοῦτό μοι ἦν πρῶτον [καὶ] ὅτι ἦν βασιλέως θυγάτηρ. ἔπειτα ἐτράφην ὑπὸ καλῶν ἐλπίδων βασιλεῦσι νύμφη. τοῦτο ἐλλιπές ἐστιν. ὁ δὲ νοῦς καὶ ἡ σύνταξις οὕτως· ἐτράφην ὑπὸ καλῶν ἐλπίδων μέλλουσα γενέσθαι νύμφη βασιλεῦσιν ἀπὸ

---

2 ἔθοσ A αὐτὸν M 4. 5 scholio quod praecedit adi. M 4 ὁρῶ—Ὀδυσσεῦ] ὁρῶ σ' ὀδυσσεὺσ A 6 scholio quod praecedit adi. M ἱκετεύω M[g]A τοῦ τούτου A 12 ἀντέστρεφεν A 18 μόνωσ λαμβανόμενον Vat. 1345 19—21 suppleui ex Vat. 1345 24 post ἕνεκα add. καὶ M 25 μοι om. A post ἐστὶ add. τὸ ἀποθανεῖν A κακῶς om. M

βασιλέων γεννηθεῖσα. λείπει γὰρ ἐν τῷ βασιλεῦσι νύμφη τὸ μέλλουσα γενέσθαι: — A

τὸ κεφάλαιον: — M$^g$A$^g$

352 μακαρισμὸν, ἔπαινον τῶν γάμων: — MA

353 ἀντὶ τοῦ τίνος: — M$^g$A$^g$

354 ἐγὼ δὲ ἡ δύστηνος δέσποινα: — M$^g$

355 περίβλεπτος εὐδαίμων ἔνδοξος: — M$^g$A$^g$

356 τὸ ἀποθανεῖν: — M$^g$

357 τὸ τῆς δουλείας ὄνομα τοῦ θανεῖν με ἐρᾶν ποιεῖ. κακοσύνθετον δὲ τὸν λόγον πεποιήκασι τὰ δύο ἀπαρέμφατα: — MA

359 τὸ ἑξῆς· δεσποτῶν ὅστις ὠμῶν κατὰ τὰς φρένας: — M$^g$

361 τὴν κάσιν· Ἀνακρέων [frg. 12$^a$] 'οὔτε μὴν ἀπαλὴν κάσιν'. σεσημείωται δὲ ὅτι τὴν θήλειαν κάσιν εἶπεν, εἰ μὴ ἀποκοπή ἐστι τοῦ κασιγνήτην: — MA

362 † ἀνάγκην σιτοποιόν: τὴν μυλικὴν εἶπε. προσθεὶς τὴν σιτοποιὸν ἀνάγκην ἐν δόμοις τοῖς αὐτοῦ, ὅστις με ὠνήσεται, καὶ προσθεὶς τὸ σαίρειν τὸ δῶμα καὶ ἐφεστάναι ταῖς κερκίσιν ἀναγκάσει με ἄγουσαν, φέρουσαν καὶ ἔχουσαν, ἡμέραν λυπράν: — A

ἀντὶ τοῦ μυλωθρικήν: — M$^g$

363 φιλοκαλεῖν: — M$^g$

ἀντὶ τοῦ παρεστάναι ἐπὶ κερκίσι με ἀναγκάσει. ἀπὸ κοινοῦ δὲ τὸ προσθείς: — M

366 μολυνεῖ, κακῶς ποιήσει: — M$^g$

367 οὐ δῆτ' ἀφίημι: οὐ ταῦτα ὑποστήσομαι θελήσασα ζῆν: — M

† οὐ δῆτ' ἀφίημι: τὸ οὐ δῆτα ἀντὶ τοῦ οὐ θέλω ζῆν καὶ πάσχειν τοιαῦτα· ἐλεύθερον δὲ ἀφίημι τὸ φῶς τοῦτο τῶν ἐμῶν ὀμμάτων. οὐ γὰρ ἐπὶ ὑπηρετήσει καὶ δουλεύσει τοῖς ἐμοῖς ὀφθαλμοῖς ἔσται τὸ ὁρᾶν * * καταφωτίζον αὐτοὺς, ἐπεὶ προστίθημι τῷ Ἅιδῃ τὸ ἐμὸν δέμας: — A

368 ἀντὶ τοῦ τὸ ἐμὸν δέμας προστίθημι τῷ Ἅιδῃ: — M

γράφεται τόδ' ἤδη: — M$^g$

† προστιθεῖ⟨σα⟩ ..... τὸ δὲ σῶμα ἐπὶ τοῦ ..... ὁ δὲ Ὅμηρος τὸ μὲν δέμας ἐπὶ τοῦ ἐμψύχου ἀπὸ τοῦ συνδεδέσθαι τῇ ψυχῇ, τὸ δὲ σῶμα ἐπὶ τοῦ ἀψύχου οἱονεὶ σῆμά τι ὂν τοῦ ποτε ζῶντος: — A

4 ante τῶν ins. ἕνεκα A 12—14 cf. Hesych. s. v. κάσις 12 ὡς ἀνακρέων λέγει A οὔτε μὴν Cobet οὔτ' ἐμὴν Bergk οὔτε μὲν M τότε μ' A 13 ἐποίησεν M ἐστι] ἐγένετο A 21 μετὰ ἀνάγκης M 27 ἔσται τὸ] ἐπὶ τῷ A addiderim τὸ φέγγος τὸ 31—33 cf. Tzetz. ad Lycophr. p. 337 schol. A 115 Zon. p. 1706

369 ἀντὶ τοῦ διαχείρισαι σφάξαι φόνευσον διάχρησαι: — $M^g$

370 δόξης: ὑπονοίας: — $M^iA^g$

372 μηδὲν ἡμῖν ἐμποδὼν γένῃ, ὦ μῆτερ, μήτε λέγουσα μήτε πράττουσα: — MA

373 φλυαροῦσα, μηδὲν ἀνύουσα: — $M^gA$

σύνθελέ μοι, σὺν ἐμοὶ βούλου ἀποθανεῖν: — $M^g$

375 † ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι κακῶν: ὅστις γὰρ οὐκ εἴωθε γεύεσθαι τῶν κακῶν, φέρει μὲν καὶ ὑπομένει αὐτὰ κατὰ ἀνάγκην, ἀλλὰ καὶ πλεῖστα ἀλγεῖ. ἐὰν ⟨δὲ⟩ θάνῃ, μᾶλλον ἂν δοκοίη εὐτυχής: — A

376 τῷ τῶν κακῶν ζυγῷ τὸν αὐχένα ἐντιθεὶς ἀλγεῖ: — $M^i$

379 δεινὸς χαρακτήρ: δυσχερές ἐστι, φησί, τὸ ἐξ ἀγαθῶν ἀγαθὸν γενόμενον τὸν χαρακτῆρα καὶ τὸ φρόνημα τῆς εὐγενείας ἀπορρῖψαι καὶ ἀφανίσαι: — MA

ἄλλως: ἱκανός ἐστι χαρακτὴρ καὶ φανερὸς ἐπ' ἀνθρώποις τὸ ἀγαθὸν γενέσθαι: — M

ἱκανή, φησί, καὶ ἔνδοξος φρόνησις ἐν τοῖς ἀνθρώποις τὸ ἐξ ἀγαθῶν ἀγαθὸν προελθεῖν καὶ ἐπὶ πολὺ θαυμαζόμενοι καὶ δοξαζόμενοι γίνονται οἱ παρασκευάζοντες ἑαυτοὺς ἀξίους εἶναι τῆς εὐγενείας: — MA

† ἄλλως εἰς τὸ αὐτό: σαφής, φανερὸς καὶ πρόδηλος χαρακτὴρ τὸ ἀπὸ ἀγαθῶν γενέσθαι, οἷον ⟨ὁ⟩ ἀπὸ εὐγενοῦς προελθὼν πᾶσιν εὐδιάγνωστός ἐστι καὶ ἐπὶ πολὺ θαυμάζονται καὶ δοξάζονται οἱ αὑτοὺς ἀξίους τῆς εὐγενείας παρασκευάζοντες, ἤγουν τοῖς ἄξια τῆς εὐγενείας διαπραττομένοις ἐπεκτείνεται τὸ ὄνομα τῆς εὐγενείας ἐπὶ πλέον καὶ ἐνδοξότεροι γίνονται, ὥσπερ καὶ ἡ Πολυξένη ἄξια τῆς ἑαυτῆς εὐγενείας πέπραχεν. εἵλετο γὰρ θανεῖν ἢ δούλη ὑπάρχειν. ἡ δὲ σύνταξις οὕτως· δεινὸς χαρακτὴρ καὶ ἐπίσημος ἐν βροτοῖς τὸ ἀπὸ ἐσθλῶν γενέσθαι· λείπει δὲ ἡ ἀπό πρόθεσις· καὶ ἐπὶ πλέον ἔρχεται τὸ ὄνομα τῆς εὐγενείας ἐν τοῖς ἀξίοις αὐτῆς, τῆς εὐγενείας. πολλοὶ γὰρ εὐγενεῖς, ἀλλ' οὐκ ἐπὶ πλέον ἔρχεται τὸ ὄνομα τούτων μὴ τὰ τῆς εὐγενείας πραττόντων ἄξια: — A

ἐπίσημος: φανερὸς ἔνδοξος ἱκανός: — $MA^g$

380 τὸ ἐξ ἀγαθῶν προαχθῆναι: — M

381 τοῖς ἀξίοις τῆς εὐγενείας. οἷον· τοῖς ἄξια τῆς εὐγενείας διαπραττομένοις ἐπεκτείνεται τὸ ὄνομα τῆς εὐγενείας ἐπὶ πλέον καὶ ἐνδοξότεροι γίνονται: — MA

---

3 ἡμῖν om. A  μένῃ M  ὦ μῆτερ om. A  5 scholio quod praecedit adi. A  6 σύνελθε $M^g$  9 δοκῇ A  16 φησὶ om. A  17 δοξαζόμενοι καὶ θ. A  18 εἶναι om. A  32—34 scholio 16—18 adi. A om. τοῖς ἀ. τ. εὐ.  33. 34 ἐνδοξότερον γίνεται A

388 ἐπέστρεψε τὸν λόγον πρὸς Ὀδυσσέα: — $M^g$

389 ⟨οὐ⟩ σέ, ὦ γεραιά, φησί, κατθανεῖν ᾐτήσατο τὸ φάντασμα Ἀχιλλέως: — $M^gA$

391 εἰ καὶ τὸ φάντασμα ἐκείνην ᾔτησεν, ἀλλ' ὑμεῖς με σὺν τῇ θυγατρὶ φονεύσατε: — MA

ὑπέρθεσις· ἀλλ' ὑμεῖς: — $M^g$

392 † καὶ δὶς τόσον: καὶ διπλοῦν γενήσεται τὸ πόμα τοῦ αἵματος τῇ τε γῇ καὶ τῷ νεκρῷ, ἐὰν κἀμὲ συσφάξητε τῇ παιδί μου: — A

394 † ἅλις κόρης σῆς: ἀντὶ τοῦ· αὐτὴ μόνη ἀρκεῖ. οὐ γὰρ προσενεκτέος ἄλλος θάνατος πρὸς ἄλλῳ· οὐ θέλομεν γὰρ ὀφείλειν καὶ τὸν σὸν θάνατον: — A

οὐ προσενεκτέος: — $M^gA^g$

395 † μηδὲ τόνδ' ὠφείλομεν: ἀντὶ τοῦ· οὐκ ἀναγκάσεις με συναποκτεῖναί σε τῇ θυγατρί σου: — A

396 λείπει τὸ ἐστί: — $M^gA^g$

397 οὐ δοῦλός εἰμι, ἵνα μετὰ ἀνάγκης δεσποτῶν διαπράττωμαί τι: — M

† οὐ γὰρ οἶδα δεσπότας κεκτημένος: εἰπούσης τῆς Ἑκάβης ὡς ἀνάγκη συνθανεῖν τῇ θυγατρί μου, φησὶν Ὀδυσσεύς· πῶς; οὐ γὰρ δοῦλός εἰμι, ἵνα μετὰ ἀνάγκης δεσποτῶν διαπράττωμαί τι. πρῶτός εἰμι ἐν τῷ στρατῷ καὶ ὃ θέλω, ποιήσω. οὐ γὰρ ὑπ' ἄλλου προστάσσομαι, ἵνα εἰπόντος ἐκείνου· σφαγήτω καὶ ἡ Ἑκάβη· ἀκούσω τούτου: — A

ἐπεὶ τὰ μετὰ ἀνάγκης δούλοις πρέπει: — $M^g$

398 καθάπερ κισσὸς δρυὸς ἀντιλαμβάνεται περιπλακείς, κἀγὼ ταύτης ἀντιλαμβάνομαι καὶ οὐ χωρισθήσομαι αὐτῆς ἀναιρουμένης, ἀλλὰ σὺν αὐτῇ θνήσκειν βούλομαι: — M

† ὁποῖα κισσός: καθάπερ ὁ κισσὸς ἀντιλαμβάνεται καὶ περιπλέκεται τῇ δρυί, τὸν αὐτὸν κἀγὼ τρόπον ταύτης λαβοῦμαι καὶ οὐ χωρισθήσομαι: — A

† ἄλλως: κισσός ἐστιν εἶδος δένδρου μικροῦ, ὅπερ καὶ ἐν τοῖς ἀμπέλοις συνεχῶς ἀνέρχεται καὶ εἱλίσσεται ἐν αὐταῖς, ἀναφέρεται δὲ τῷ Διονύσῳ. εἰς νάρθηκα γὰρ ἔπλεκον τὸ αὐτὸ φυτόν, καὶ οὕτως ἐχόρευον αἱ Βάκχαι τῷ Διονύσῳ: — A

399 † οὐκ ἤν γε πείθῃ: ἐὰν πείθῃ τοῖς σοφωτέροις σου, οὐ-

---

2 οὐ — κατθανεῖν] φησιν ὁ ὀδυσσεὺσ οὐδαμῶσ .... ἀποθανεῖν A  οὐ om. $M^g$
2. 3 τὸ τοῦ ἀχιλλέωσ φάντασμα ἀλλὰ ταύτην ἤτοι τὴν πολυξένην A  4. 5 scholio quod praecedit adi. A add. ἡ δὲ ἑκάβη φησὶν  συμφωνεύσατε τῇ θ. A
23 κισσὸν M  δρῦς M  περιπλακέντοσ M  24 μεταλαμβάνομαι M

δαμῶς τοῦτο ποιήσεις, τὸ συσφαγιασθῆναί σε τῇ θυγατρί, ἀλλὰ καταλείψεις αὐτὴν μόνην: — A

401 αὐτόθι, παρὰ σοί: — M[g]A[g]

402 ἀντὶ τοῦ Λαέρτου: — M[g]

403 ὑποχώρει καὶ ἐνδίδου· ἀπὸ μεταφορᾶς τῶν ὑποχαλώντων τὸν πόδα πολλοῦ ὄντος ἀνέμου: — MA

405 ἀντὶ τοῦ τραυματίσαι: — M[g]

† ἑλκῶσαι: ἀντὶ τοῦ ἕλκους καὶ τραυμάτων πληρῶσαι τὸν σὸν γηραιὸν χρῶτα: — A

408 ἅτινα πάθῃς: — M[g]A[g]

409 γλυκεῖαν: — M[g]

411 ὅτι: — M[g]

413 † τέλος ⟨δ⟩έχῃ: ἀντὶ τοῦ πλήρωμα· οὐ γὰρ προσομιλήσω σοι τοῦ λοιποῦ: — A

414 † ὦ μῆτερ, ὦ τεκοῦσ', ἄπειμι δὴ κάτω: ταῦτα λεγούσης τῆς Πολυξένης ἀνταπεκρίθη ἡ Ἑκάβη ἡμεῖς ἐν φάει δουλεύσομεν. ἡ δὲ Πολυξένη πρὸς ταῦτα οὐκ ἀπεκρίθη, ἀλλ' ἔχεται τῶν αὐτῆς λόγων κἂν ἀμοιβαῖοι φαίνωνται οἱ στίχοι. οὕτως γάρ ἐστιν ἡ ἀκολουθία τούτων· ὦ μῆτερ, ὦ τεκοῦσα, ἄπειμι δὴ κάτω ἄνυμφος, ἀνυμέναιος, ἄνευ τῶν ἐπὶ γάμῳ λεγομένων ὕμνων, ἐκεῖ δ' ἐν Ἅιδου κείσομαι χωρὶς σέθεν, ἀντὶ τοῦ σοῦ. διὰ μέσου δὲ ἐβόα Ἑκάβη ἐκείνης λαλούσης, ὅπως ἀποκριθῇ καὶ εἴπῃ αὐτῇ τι, καὶ οὐκ ἀντεῖπεν αὐτῇ μέχρι τοῦ στίχου τοῦ λέγοντος τί σοι πρὸς Ἕκτορ' ἢ γέροντ' εἴπω πόσιν: — A

ἄπειμι κάτω δηλονότι: — M[g]

417 ἐλεεινή: — M[g]

419 συναλοιφὴ τῶν δύο· ἔστι δὲ ἐγώ: — M[i]

πῶς τὸ τέλος διάξω τοῦ βίου: — M[g]

421 αὔξουσα τὸ πάθος φησί· ιθ γὰρ μόνους παῖδας ἐγέννησεν. Ὅμηρος [Ω 496]· 'ἐννεακαίδεκα μέν μοι ἰῆς ἐκ νηδύος ἦσαν'. ἢ ὅτι συμπεριλαμβάνει τοὺς νόθους διὰ τὴν διάθεσιν τοῦ ἀνδρός. σύλληψις δὲ λέγεται ὁ τρόπος· οὐδὲ γὰρ αὐτὴ ἐγέννησεν, ὁ δὲ Πρίαμος ἐξ ἄλλων γυναικῶν: — M

† ἡμεῖς δὲ πεντήκοντ⟨ά γ'⟩ ἄμοιροι τέκνων: ἐζήτηται ἐνταῦθα πῶς δέκα καὶ ἐννέα παῖδας ποιήσασα Ἑκάβη πεντήκοντα ἑαυτὴν

5. 6 τῆι ποδιᾶ M

παίδων ἀμέτοχόν φησι. καὶ φαμὲν ὡς συμπεριείληφε τοὺς νόθους παῖδας τοῦ Πριάμου σὺν τοῖς ἑαυτῆς: — A

ἀμέτοχοι: — $M^B A^B$

424 περιπτυσσομένη τὴν μητέρα τοῦτό φησιν: — $M^B$

† ὦ στέρνα: ταῦτά φησιν ὡς ἀσπαζομένη τοὺς τῆς μητρὸς μαστούς: — A

425 ταχυθανάτου. μήπω γηρασάσης, τουτέστι νέας: — $M^B$

426 † χαῖρ' ὦ τεκοῦσα: κἀνταῦθα οὐκ ἀμοιβαῖοί εἰσιν οἱ λόγοι, ἀλλὰ διὰ μέσου φησὶν Ἑκάβη, ὅπως ἀποκριθῇ αὐτῇ, καὶ οὐκ ἀντιλέγει. οὕτως γάρ ἐστιν ὁ νοῦς καὶ ἡ σύνταξις· χαῖρ', ὦ τεκοῦσα, χαῖρε Κασάνδρα τ' ἐμοὶ ὅ τ' ἐν φιλίπποις Θρᾳξὶ Πολύδωρος κάσις. καὶ λεγούσης ταῦτα Πολυξένης λέγει καὶ ἡ Ἑκάβη διὰ μέσου· χαίρουσιν ἄλλοι καί, ἂν ζῇ Πολύδωρος, ἀπιστῶ· τοῦ ὀνείρου γὰρ ἐμνημόνευσεν ὃν εἶδε περὶ ἐκείνου ἐν ἀρχῇ τοῦ δράματος. καὶ τότε ἀποκρίνεται αὐτῇ ἡ Πολυξένη καὶ λέγει περὶ τοῦ Πολυδώρου· ζῇ καὶ θανούσης σου καλύψει τοὺς σοὺς ὀφθαλμούς: — A

427 γράφεται τόδε: — $M^B$

428 ἀπὸ κοινοῦ τὸ χαιρέτω: — $M^B$

429 οὕτως εἰς πάντα δυστυχής εἰμι ὡς καὶ περὶ ἐκείνου ἀπιστῶ εἰ ζῇ: — MA

431 ἐγὼ πρὶν τοῦ ἀποθανεῖν ὑπὸ τῶν κακῶν τέθνηκα: — $M^1$

432 ἄπαγε καλύψας τοῖς ἱματίοις διὰ τὸ κόσμιον: — M

434 τὴν ἐμαυτῆς καρδίαν ἐκτέτηκα τοῖς θρήνοις τῆς μητρὸς κἀγὼ δὲ ταύτην ἐκτήκω: — MA

435 † ὦ φῶς: ἔξεστί μοι προσφωνεῖν τὸ σὸν ὄνομα καὶ προσλέγειν· οὐ γὰρ ἀποκέκλεισμαι καὶ τοῦ λαλεῖν: — A

436 οὐδέν ἐστι τὸ μεταξὺ τῆς πυρᾶς τοῦ Ἀχιλλέως καὶ τοῦ ξίφους: — M

† μέτεστι δ' οὐδέν: ἀντὶ τοῦ οὐκ ἐπὶ πολὺ μέτεστί μοι τὸ φῶς ἀνακαλεῖσθαι πλὴν ὅσον φθάσαι με εἰς τὸν τάφον τοῦ Ἀχιλλέως. ὅταν δὲ ἐκεῖ φθάσω, οὐκέτι προσφωνήσω σοι, δηλονότι· ἕως οὗ τὴν ὁδὸν περιπατῶ τὴν πρὸς τὸν τοῦ Ἀχιλλέως τάφον, ἔξεστί μοι ἀνακαλεῖσθαι τὸ φῶς καὶ βλέπειν αὐτό· ὅταν δὲ τὴν ὁδὸν ταύτην τελειώσω καὶ φθάσω εἰς τὸν τοῦ Ἀχιλλέως τάφον, ἔκτοτε οὔτε ἴδω τὸ φῶς οὔτε προσφθέγξομαι αὐτό· σφαγήσομαι γάρ: — A

---

19 εἰς πάντα om. A  εἰμὶ δ. A  19. 20 καὶ — ζῇ] οὐ πιστεύω ζῆν τὸν πολύδωρον A  23 post τῆς μητρὸς add. πρὶν σφαγῆναι A  24 δὲ] γὰρ A

438 ἀποφύγω: — $M^g$

441 ὥς: οὕτως: — $M^1A^g$

τὴν Λακωνικήν: — $M^g$

442 δι' εὐπρεπείας: — $M^g$

444 † αὖρα, ποντιὰς αὖρα: τοῦ Ὀδυσσέως λαβόντος τὴν Πολυξένην καὶ ἀπερχομένου ἀνακλαίεται αὐτὴν ὁ χορὸς διὰ τὸ ἄδηλον καὶ τὸ μὴ εἰδέναι τί μέλλει αὕτη παθεῖν. ὁ δὲ χορὸς οὗτός ἐστιν ἐκ Τρῳάδων γυναικῶν καί φησι πρὸς τὸν τῆς θαλάττης ἄνεμον. ἀπὸ ἑνικοῦ δὲ δηλοῖ πάσας τὰς γυναῖκας ὁ ποιητής. φησὶ δὲ ταῦτα ὁ χορός· ὦ αὖρα ποντιάς, ποῦ με τὴν δυστυχῆ ἐπαγάγῃς ἢ ποῖ τῶν νήσων ἢ ποῖ τῶν τόπων, καὶ τίνι δούλη γενήσομαι. ἆρα εἰς τὸν ὅρμον τῆς Δωρίδος γῆς με ἀπάξεις ἢ τῆς Φθιάδος, ὅπου, εἰς τὴν Φθίαν, τὸν Ἀπιδανὸν ποταμόν φασι ῥέειν. ἢ ποῦ [ἀπὸ] τῶν νήσων· * * ἆρα εἰς τὴν Δῆλόν με ἀπάξεις, ὅπου ὁ πρωτόγονος φοῖνιξ· πρωτόγονον δὲ εἶπεν αὐτὸν ὡς πρῶτον γεννηθέντα τῆς δάφνης· καὶ ἡ δάφνη κλάδους ἀνέφυσε μελλούσης τεκεῖν τῆς Λητοῦς τὸν Ἀπόλλωνα. ἢ εἰς Ἀθήνας με ἀγάγῃς, καὶ ἐν τῷ πέπλῳ, ἐν ᾧ πάσσουσι τὰ τῆς Ἀθηνᾶς ἆθλα αἱ παρθένοι, κἀγὼ σὺν ἐκείναις στίξω καὶ γράψω εἰς τὸν αὐτὸν πέπλον τὰ ταύτης ἆθλα καὶ τὴν τῶν Τιτάνων γενεάν, ἣν ὁ Ζεὺς κατέφλεξεν ἐν τῷ κεραυνῷ. ἔθος γὰρ ἦν τοῖς τότε πάσσειν ἐν τοῖς πέπλοις τὰ τῶν ψευδωνύμων αὐτῶν ἆθλα θεῶν, καθὼς καὶ ἡμεῖς ἐν τοῖς πέπλοις νῦν γράφομεν ἵππους, ὄρνις καί τινα ἄλλα. τοὺς δὲ πέπλους οὐ μόνον παρθένοι ἔκαμνον, ἀλλὰ καὶ αἱ μὴ οὕτως ἔχουσαι. καὶ ὁ μὲν νοῦς ἐστι τοιοῦτος, ἡ δὲ σύνταξις οὕτως· αὖρα ποντιὰς αὖρα, ἥτις κομίζεις τὰς ἐν θαλάσσῃ πορευομένας θοάς, ἤτοι ταχυτάτας, νῆας ἐπὶ τὸ κῦμα τῆς θαλάσσης, ποῖ με τὴν μελέαν καὶ δυστυχῆ κομίσεις καὶ ἀγάγῃς· τοῦτο γὰρ δηλοῖ τὸ πορεύσεις· καὶ πρὸς τίνος οἶκον ἀφίξομαι. τὸ γὰρ τῷ δουλόσυνος πρὸς οἶκον κτηθεῖσ' ἀφίξομαι τοῦτο λέγει· πρὸς τίνος οἶκον ἀφίξομαι δούλη γενομένη· τὸ τῷ ἀντὶ γενικῆς. τὸ δὲ ἢ πρὸς τὸ αὖρα ἀποδοτέον, ἵν' ᾖ οὕτως· αὖρα ποντιάς, ποῖ με κομίσεις, ἢ εἰς τὸν ὅρμον τῆς Δωρίδος γῆς, καὶ τὰ λοιπὰ διὰ μέσου· ἢ εἰς τὸν ὅρμον τῆς Φθιάδος γῆς, ἔνθα τὸν Ἀπιδανὸν ποταμὸν τὸν πατέρα τῶν καλλίστων ὑδάτων φασὶ λιπαίνειν τὰ πεδία· ἢ ποῖ με τῶν νήσων ἀπάξεις τὴν τάλαιναν· τὸ δὲ ποῖ ἀπὸ κοινοῦ· πεμπομένην ἐν τῇ ἁλιήρει κώπῃ, ἔχουσαν, ἐμέ, οἰκτρὰν βιοτὴν ἐν τοῖς οἴκοις, οὗ γενήσομαι δούλη. εἰς τὴν Δῆλον με ἀπάξεις, ἔνθα πρωτόγονός

19 τοῖς] τῷ A    26 δῆλον A    33 ἐπάξεις A

τε φοῖνιξ καὶ ἡ δάφνη ἱεροὺς ἀνέσχε πτόρθους τῇ Λητοῖ φίλα ἀγάλματα καὶ δῶρα τῆς αὐτῆς ἐνδόξου ὠδῖνος, καὶ σὺν ταῖς Δηλιάσι κόραις ὑμνήσω τῆς Ἀρτέμιδος θεᾶς τὴν χρυσῆν περικεφαλαίαν καὶ τὰ τόξα. ἢ ἐν ταῖς Ἀθήναις κἀκεῖσε ἀπελθοῦσα ὑφανῶ ἐν τῷ κροκέῳ πέπλῳ τῆς καλλιδίφρου Ἀθηνᾶς τοὺς πώλους ποικίλλουσα αὐτοὺς ἐν ἀνθοβαφέσι πηνίοις ἢ μεταξίοις· ἢ τῶν Τιτάνων γενεὰν ὑφανῶ ἐν τῷ πέπλῳ, ἣν κοιμίζει ὁ Ζεὺς καὶ ἀφανίζει ἐν ἀμφιπύρῳ φλογμῷ, ἤγουν κεραυνῷ. ὤμοι τῶν ἐμῶν γονέων καὶ πατέρων καὶ χθονός, ἥτις κατεστράφη φλεχθεῖσα ἐν τῷ πυρί. † κατὰ γὰρ τὸ πῦρ, φησὶ, γενομένη ἡ πόλις αὕτη δορίκτητος καὶ δούλη τῶν Ἑλλήνων· ἐγὼ δ' ἐν ξένῃ γῇ δούλη κληθήσομαι λιποῦσα τὴν Ἀσίαν δούλην, θεράπαιναν, τῆς Εὐρώπης, ἀλλάξασα τοὺς τῶν Ἑλλήνων θαλάμους ἀντὶ τοῦ Ἅιδου. φησὶ γάρ· κρεῖττον ἦν σφαγῆναί με ἢ δούλην γενέσθαι. πολλῶν γὰρ Τρῳάδων γυναικῶν ἐφείσαντο οἱ Ἕλληνες χάριν τοῦ μοιχεύειν αὐτάς: — A

πνοή: — M$^g$

445 ἥτις: — M$^g$

446 ταχείας ναῦς: — M$^g$

λίμνην τὴν θάλασσάν φησιν Ὅμηρος [γ 1]· 'Ἠέλιος δ' ἀνόρουσε λιπὼν περικαλλέα λίμνην': — M

κῦμα, οἴδημά τι ὄν: — M$^g$

448 τίνι δούλη ὀνομασθεῖσα πρὸς τὸν οἶκον ἀφίξομαι: — M

450 ἄρα, φησίν, εἰς τὸν ὅρμον τῆς Δωρίδος γῆς ἀφίξομαι ἢ ἐπὶ τὸν ὅρμον τῆς Φθίας: — M

τῆς Πελοποννήσου. ἴσως δὲ διὰ τὸν Ἀγαμέμνονα λέγει τοῦτο: — M$^1$A

γῆς: — M$^g$

451 τῆς Θεσσαλίας, διὰ τὸν Νεοπτόλεμον: — M$^g$A

Ἀπιδανὸς ποταμὸς Θεσσαλίας: — M

454 τὰ πεδία Θεσσαλίας ἀρδεύειν· τὸ γὰρ ὕδωρ τρόφιμον: — M$^g$

455 ἀπὸ κοινοῦ τὸ πορεύσεις· ἢ εἰς τίνα τῶν νήσων με πορεύσεις: — M$^1$

καὶ τοῦτο διὰ τὸν Ἀγαμέμνονα, ὅν φησιν Ὅμηρος [B 108] 'πολλῇσιν νήσοισι καὶ Ἄργει παντὶ ἀνάσσειν'. ἁλιήρει δὲ τῇ ἐν ἁλὶ ἐρεσσομένῃ κώπῃ: — M

---

5 τανίοις A 7 ἀφανίζει] φαίνει A 23 τοῦ ὅρμου M 24—25 τῆς—τοῦτο] δωρίδος γῆν λέγει τὴν πελοπόννησον A 27 scholio quod praecedit adi. A ins. φθίαν δὲ τὴν θετταλίαν A διὰ τὸν om. M$^g$ in fine add. τὸν υἱὸν ἀχιλλέως A 29 πεδία] ἀπὸ M$^g$

457 ἐν οἷς ἀφίξομαι οἴκοις οἰκτρὰν ζωὴν ἔχουσα: — M

458 ἐπειδὴ ἐμνήσθη νήσων, καὶ ἡ Δῆλος νῆσός ἐστι. καὶ Ὅμηρος [ζ 163]· 'Δήλῳ δήποτε τοῖον Ἀπόλλωνος παρὰ βωμῷ φοίνικος νέον ἔρνος ἀνερχόμενον ἐνόησα'. λέγεται δὲ ἡ δάφνη πρῶτον ἐν Δήλῳ γενέσθαι ⟨καὶ⟩ ὁ φοῖνιξ: — M[i]

ὅ τε φοῖνιξ καὶ ἡ δάφνη: — M[g]

† ἔ⟨νθα πρωτό⟩γονος τε φοῖνιξ: ὁ Ζεὺς ......... ⟨Ἀ⟩στερίαν καὶ ... ἐτύγχανε καὶ ταύτῃ συγ⟨κοιμώμενος⟩ .......... προσήκοντα ταῖς τῶν γυναικῶν κυοφορίαις τε ⟨καὶ⟩ ἔγκυμον⟨α⟩ ... κατὰ δέ τινας ...... παρεγένετο εἰς Ἀστερίαν τὴν νῆσον μίαν τῶν ⟨Κυ⟩κλάδων τυγχάνουσαν κἀκεῖσε ἀπελθοῦσα καὶ ἀψαμένη δύο φυτῶν, ἐλαίας καὶ φοίνικος, διδύμους παῖδας ἀπέτεκεν Ἄρτεμιν καὶ Ἀπόλλωνα. οἱ δέ φασιν ὅτι, ὁπηνίκα εἰς Ἀστερίαν τὴν νῆσον ἡ Λητὼ παρεγένετο τυγχάνουσα ἔγκυος, εὐθέως ἐν τῇ γῇ τῆς εἰρημένης νήσου δύο κάλλιστα φυτὰ ἀνεβλάστησαν, φοῖνιξ καὶ δάφνη, ἐναργὲς τεκμήριον ὄντα τῆς τῶν παίδων τῶν δύο τῆς Λητοῦς ἀποτέξεως, Ἀρτέμιδος καὶ Ἀπόλλωνος. ἢ καὶ ὡς ἀναθήματα παρὰ τῆς γῆς ἀνεδόθησαν τῆς καλλίστης καὶ περιφανοῦς ὠδῖνος αὐτῆς· διὸ καὶ τὴν νῆσον μετωνόμασαν Δῆλον, ὅτι φανερὸν καὶ ἐναργὲς σημεῖον ἐν αὐτῇ ἀνεδόθη τῆς τῶν εἰρημένων παίδων αὐτῆς ἀποτέξεως: — A

† ἄλλως εἰς τὸ ἔνθα πρωτόγονός τε φοῖνιξ: ὁ Ζεὺς κρυφίως τῆς ἰδίας γυναικὸς Ἥρας συμμιγεὶς τῇ Λητοῖ ἔγκυον ταύτην ἐποίησεν· ὃ γνοῦσα ἡ Ἥρα ἐδήλωσε τῇ Γῇ μὴ δέξασθαι αὐτὴν ἐν τῷ καιρῷ τοῦ τοκετοῦ. τοῦτο γνοὺς ὁ Ζεὺς ἠξίωσε τὸν Ποσειδῶνα ἀναδοῦναι εἰς φῶς τὴν κάτωθεν παρ' αὐτῷ οὖσαν πόλιν, ὃ καὶ πεποίηκεν ἀναδοὺς τὴν σήμερον οὖσαν νῆσον Δῆλον, ἐν ᾗ καὶ δύο κλάδοι ἐβλάστησαν φοῖνιξ καὶ δάφνη, ἅτινα κρατήσασα ἡ Λητὼ ἐν τῷ καιρῷ τοῦ τοκετοῦ ἔτεκεν Ἄρτεμιν καὶ Ἀπόλλωνα: — A

461 λείπει ⟨ἡ⟩ εἰς· ⟨εἰς⟩ ἄγαλμα καὶ καλλώπισμα τῆς Λητοῦς. ταῦτα μὲν κατέχουσα ἀπεκύησε τὸν Ἀπόλλωνα καὶ τὴν Ἄρτεμιν: — M

462 ἐν τῇ Δήλῳ σὺν ταῖς Δηλιάσι κόραις τῆς Ἀρτέμιδος ἄμπυκα εὐλογήσω καὶ ὑμνήσω: — M

464 ὁ τέ πλεονάζει: — M[g]

465 ἀπὸ τῆς κεφαλοδέσμου τὸ κάλλος τῆς θεοῦ ἐσήμανεν: — M

---

4 ἡ] καὶ M[i]  7—19 cf. Apoll. I 4,1 schol. Lycophr. 401 Hyg. 53 Serv. ad Aen. III 73. uerba παρεγένετο — Ἀπόλλωνα descripta sunt ex schol. A 9. historia quam ex Laur. 31,6 Matthiae et Dindorf ediderunt, ex Tzetza ad Lycophr. p. 581 descripta est.

466 διὰ τοὺς Θησέως παῖδας Ἀκάμαντα καὶ Δημοφῶντα: — M[i]

467 τᾶς καλλιδίφρου Ἀθαναίας: οὐ μόνον γὰρ παρθένοι ὕφαινον, ὥς φησιν Ἀπολλόδωρος ἐν τῷ * περὶ θεῶν [FHG IV p. 649[a]], ἀλλὰ καὶ τέλειαι γυναῖκες, ὡς Φερεκράτης ἐν Δουλοδιδασκάλῳ [cf. frg. 46]. ὅτι δὲ κρόκινός ἐστι καὶ ὑακίνθινος καὶ τοὺς Γίγαντας ἐμπεποίκιλται, δηλοῖ Στράττις [frg. 69]. τοῦτον δὲ ἀνιέρουν διὰ πενταετηρίδος ἐν τοῖς Παναθηναίοις: — M

468 ἐν πέπλῳ ποικίλλουσα: — M[i]

ἐν κροκέῳ πέπλῳ: τῷ τῆς Ἀθηνᾶς κροκοειδεῖ πέπλῳ, ἐν ᾧ ἐγγράφεται ἡ ἀναίρεσις τῶν Τιτάνων ἢ τῶν Γιγάντων. ὁ δὲ νοῦς· ἐλθοῦσα, φησίν, εἰς τὰς Ἀθήνας ἢ τοὺς πώλους ζεύξομαι τοὺς ἐπὶ τῷ πέπλῳ ἢ ἐπισκιάσω τὰς ἀριστείας αὐτῆς ὑφαίνουσα [ἢ] τὴν Γιγαντομαχίαν: — M

471 ἀνθοκρόκοισι πήναις: κροκωτοβαφέσιν· ἄνθος γὰρ τὸ βάμμα: — M

ἄλλως: ἀνθοβαφέσι καὶ κροκωτοῖς. πήναις δὲ τοῖς πηνίοις ⟨κροκω⟩τοῖς ἀπὸ τῶν βαμμάτων: — M

ἀνθηροῖς πηνίοις: — M[i]

472 ἢ Τιτάνων γενεάν: ἀντὶ τοῦ Γιγάντων. ὑποσυγχέουσι δὲ τὴν ἐν ἑκατέροις διαφοράν. καὶ Καλλίμαχος [frg. 195] 'ἧχι πάλους ἐβάλοντο, διεκρίναντο δὲ τιμὰς πρῶτα Γιγαντείου δαίμονες ἐκ πολέμου': — M

ἐνεποίκιλλον δὲ τῷ πέπλῳ καὶ τὴν Γιγαντομαχίαν, ἐπεὶ διὰ τὴν τῆς Ἀθηνᾶς ἰσχὺν κατωρθώθη: — M[i]

474 καυστικῷ κεραυνῷ καταπαύει: — M[g]

475 ἐν γὰρ τῷ χορῷ καὶ παρθένοι εἰσὶ καὶ γυναῖκες: — M[i]

477 καταστρέφεται. κατεστράφη: — M[i]

478 κεκαυμένη: — M[g]

δοριάλωτος, ὑπὸ τὴν κτῆσιν καὶ δεσποτείαν γινομένη τῶν Ἑλλήνων: — M[i]

479 ξείνα χθονὶ δὴ κέκλη⟨μαι⟩: ... Ἑλλήνων οἰκήματα: — A

480 ἀντὶ τοῦ κληθήσομαι: — M[g]

481 δούλα λιποῦσ' Ἀσίαν: καταλιποῦσα τὴν Ἀσίαν τῇ Εὐρώπῃ θεράπαιναν, κατὰ συγκοπήν. Ἀσία γὰρ ἡ Τροία, Εὐρώπη δὲ ἡ Πελοπόννησος: — M

---

3 τῷ * περὶ θεῶν] τῶ π. θ. αὐλῆς M αὐλῆς del. Cobet τῇ—πρώτῃ Meineke
5 ἀκάνθινος M 10 ἢ] ἤτοι M 16 κροκωτοῖς] κρόκω τινὲς M
34 in fine add. καταλιποῦσα τὴν ἀσίαν τῆι εὐρώπη M

483 ἀλλάξασ' Ἀίδα θαλάμους: ἀνταλλαξαμένη τὸν θάνατον τοῦ ζῆν. τοῦτο δέ φησιν ἐπεὶ πολλοὶ ἐφείσαντο σφάξαι τινὰς τῶν Τρῳάδων ἀγαπῶντες αὐτὰς ὡς παλλακίσι χρήσασθαι: — MA$^1$

ἄλλως: ἀλλάξασ' Ἀίδα: ὅ ἐστι τὸν θάνατον ἀνταλλαξαμένη. ἀντὶ τοῦ θελήσασα μᾶλλον τεθνάναι ἤπερ ζῆν: — MA$^1$

484 δήποτ' οὖσαν Ἰλίου: κατὰ τὸ σιωπώμενον ἐσφάγη ἡ Πολυξένη. ἔθος γὰρ τοῖς τραγικοῖς τὸ μὴ ἐπ' ὄψει τῶν θεατῶν ἀναιρεῖν· ἠνιάθησαν γὰρ ἂν ὁρῶντες τοιαύτην θέαν: — MA$^1$

486 † αὕτη πέλας: αὕτη πλησίον σοῦ, ὦ Ταλθύβιε, ....... ἐπὶ τῆς χθονὸς ἔχουσα τὰ νῶτα ἤγουν ἐπὶ τῆς γῆς κειμένη: — A

487 συγκεκαλυμμένη. ἀπὸ τοῦ κλείω: — M$^g$

488 † ὦ Ζεῦ τί λέξω· ἆρα ὁρᾶν σε τὰ τῶν ἀνθρώπων· ἢ μάτην τὴν ὑπόληψιν ταύτην κεκτῆσθαι ἡμᾶς· ἡ τύχη δὲ πάν⟨τα⟩ σκοπεῖ. ταῦτα δὲ εἶπε .. τὴν Ἑκάβην καὶ λέγων· ὦ Ζεῦ, διὰ τί οὐκ ἐλευθεροῖς αὐτὴν ἀπὸ τῶν λυπῶν πολλὰ παθοῦσαν δεινά. ἡ δὲ σύνταξις οὕτως· ὦ Ζεῦ, ἆρα εἴπω σε ὁρᾶν καὶ ἐπισκοπεῖν τοὺς ἀνθρώπους, ἢ τὴν δόξαν ταύτην, ἤγουν τὴν ὑπόληψιν, μάτην κεκτῆσθαι τοὺς βροτοὺς ψευδῶς τὸ δαιμόνων γένος δοκοῦντας εἶναι, τὴν τύχην δὲ καὶ τὴν μοῖραν πάντα τοῖς ἀνθρώποις ἐπισκοπεῖν: — A

ἐφορᾶν διοικεῖν: — M$^g$

489 ἢ λέξω τοὺς ἀνθρώπους ὑπόνοιαν ταύτην ψευδῆ κεκτῆσθαι δοκοῦντας εἶναι θεούς: — M

490 νομιζομένους γένος εἶναι θεῶν τοὺς ἀνθρώπους: — M$^i$

491 μηκέτι δέ σε, ὦ Ζεῦ, ἐφορᾶν τὰ τῶν ἀνθρώπων πράγματα, ἀλλὰ τύχην εἶναι τὴν διέπουσαν αὐτὰ καὶ διοικοῦσαν: — MA$^1$

494 ἀνάστατος γέγονε τῷ πολέμῳ: — M$^g$

496 κόνιϊ κόνι, ὡς Θέτιϊ Θέτι: — M$^g$

ἀναδεύουσα μολύνουσα: — M$^i$

497 εἰ καὶ ὡς γέρων ὢν φιλόζωός εἰμι, ὅμως ἀποθανεῖν ἢ ἀτυχῆσαι εὔχομαι: — MA$^1$

---

1. 2 ἀνταλλαξαμένη—ζῆν] horum instar exhibet A$^1$ scholion quod sequitur, ubi uideas ἀνταλλαξαμένησ M  3 ὡς—χρήσασθαι] πολλάκισ χρήσασθαι M ὡσ παλλακίδασ A$^1$  4 ante ὅ ins. ἀλλαξάσησ τοὺσ τοῦ ᾅδου θαλάμουσ A  ἀ. ἀντὶ τοῦ] ἀνταλλαξαμένησ αὐτῶν A$^1$  5 μᾶλλον—ζῆν om. A$^1$  7 post τραγικοῖς ins. χοροῖσ M  ἐσόψει A$^1$  8 ἂν om. A$^1$  10 ἔχουσαν A  14 εἶπε λυπ.. A  21 τοῖσ ἀνθρώποισ M  24 σοι M  29 ὡς om. M  ὢν om. A$^1$  29. 30 ἀποψυχῆσαι βούλομαι A$^1$

† φεῦ φεῦ γέρων μέν εἰμ', ὅμως θανεῖν δέ μοι: γέρων μέν εἰμι, ἀλλὰ φιλόζωος. οὕτω γὰρ νοητέον· τί γὰρ καινὸν ἐὰν γέρων ὢν θανεῖν θέλῃ. ἀλλὰ προσληπτέον τὸ φιλόζωος. ἵνα ᾖ οὕτως ἀκριβές· γέρων μέν εἰμι φιλόζωος, ἀλλ' ὅμως, καίπερ φιλῶν τὸ ζῆν, θάνοιμι πρὶν περιπεσεῖν αἰσχρᾷ τινι τύχῃ: — A

498 δυστυχίᾳ: — $M^g$

499 μετέωρον, εἰς ὕψος: — $M^g$

500 γεγηρακὸς καὶ πεπολιωμένον: — $M^g$

501 γράφεται ὠή. ἔστι δὲ κλητικὸν ἐπίρρημα: — M

504 λείπει ἡ σέ· μεταπέμψαντός σε. καὶ πῶς ὑποκατιὼν φησι [509] πέμπουσιν δέ με δισσοί τ' Ἀτρεῖδαι καὶ λεὼς Ἀχαϊκός. τάχα οὖν αὐτὴν ἄφοβον καθιστὰς ἐν προοιμίοις οὐ θορυβεῖ αὐτὴν πλήθει ὀνομάτων: — M

† Ἀγαμέμνονος πέμψαντος, ὦ γύναι ...... οἱονεὶ μετακαλοῦντός σε: — A

505 † ὦ φίλτατ' ἄρα ...... κατασφάξαι καὶ τοῦτο ἔδοξε ....... τῆς Πολυξένης στερηθεῖσα: — A

506 εἰ τοῦτο λέγοις, τὸ ἀποθανεῖν. ἡ δὲ ταυτολογία τῆς Ἑκάβης τὴν προθυμίαν ὑπέφηνεν: — M

507 ἐκ παραλλήλου τὸ αὐτό· οἱ γὰρ σπεύδοντες κονιορτοῦνται τὰ γυμνὰ τοῦ σώματος: — $M^i$

† σπεύδωμεν ἐγκονῶμεν: ἐγείρωμεν κόνιν ἀπὸ τῆς σπουδῆς· ὅταν γάρ τις δρομαίως τρέχῃ, ἐγείρει κόνιν ἀπὸ τῆς γῆς τῇ σπουδαίᾳ καὶ συντόνῳ κινήσει τῶν ποδῶν. ἢ προευτρεπιζώμεθα εἰς τοῦτον τὸν ἀγῶνα ὥσπερ οἱ μέλλοντες εἰσελθεῖν εἰς πάλην ἀλείφονται κόνιν: — A

509 μετακαλῶν σε: — $M^gA^g$

† ἥκω μεταστείχων σε: οἱονεί· ἥκω μετακαλῶν σε ὅπως ἐλθοῦσα θάψῃς τὴν Πολυξένην: — A

514 ὅσον τὸ κατὰ σὲ μέρος ἄπαιδές ἐσμέν. ὅσον τὸ κατὰ σὲ ἧκεν· ἔζη γὰρ Κασάνδρα, ἡγεῖτο δὲ καὶ Πολύδωρον ζῆν: — M

† ἡμεῖς δ' ἄτεκνοι τοὐπὶ σ', ὦ τάλαιν' ἐγώ: ὅσον τὸ ἐπὶ σοὶ ἄτεκνοι ὑπάρχομεν, ὦ Πολυξένη· σὺ γὰρ ἤδη ἐσφάγης· ὅσον δὲ ἐπὶ Κασάνδρᾳ καὶ Πολυδώρῳ οὔ. ἐδόκει γὰρ ἔτι τὸν Πολύδωρον ζῆν: — A

---

18 εἰς M   28 θάψη A   32 σφαγήσῃ A

† ἄλλως: ὅσον τὸ ἐπὶ σοί· ὑπολαμβάνει γὰρ ἔτι τὸν Πολύδωρον ζῆν καὶ Κασάνδραν: — A

515 † πῶς καί νιν ἐξεπράξατε: πῶς ταύτην, ὦ γέρον, διεχειρίσασθε καὶ ἐσφάξατε. ἆρα μετὰ αἰδοῦς, ἢ πρὸς τὸ δεινόν, ἤγουν τὸ ἀναιδές. ἤλθετε καὶ τὸ ἀπηνὲς ὡς ἐχθρὰν κτείνοντες. τὸ δὲ ὅλον· ἆρα ἐγυμνώσατε αὐτὴν καὶ ἐφάνησαν τὰ μέρη τοῦ σώματος ἃ χρὴ κρύπτεσθαι, ἢ οὔ: — A

ἐφονεύσατε: — M[i]

516 ἢ ὡς ἐχθρὰν κατῃσχύνατε: — M[i]

518 † διπλᾶ με χρῄζεις δάκρυα: διπλᾶ με χρῄζεις, θέλεις, ὦ γύναι, δάκρυα κερδᾶναι, οἷον κλαῦσαι, ἐν τῷ οἴκτῳ τῆς σῆς παιδὸς ἀρξάμενον τὰ ταύτης λέγειν. διπλᾶ δὲ εἶπεν ὡς νῦν μὲν κλαύσομαι λέγων τἀκείνης, ἔκλαυσα δὲ καὶ ὅτε ἐσφάζετο. καὶ τούτου χάριν εἶπε διπλᾶ: — A

† κερδᾶναι: ὡς φίλος γὰρ κέρδος οἴεται τὸ κλαῦσαι ἐκ δευτέρου τὴν Πολυξένην. ἡ δὲ σύνταξις οὕτως· ὦ γύναι, διπλᾶ με θέλεις δάκρυα κερδᾶναι τῷ οἴκτῳ τῆς σῆς παιδός· νῦν μὲν γὰρ λέγων τέγξω, ἤγουν βρέξω, τοῖς δάκρυσι τοῦτο τὸ ὄμμα, πρὸς τάφῳ τε, ὅτε ὤλλυτο. καὶ τοῦτο ἐλλιπές· λείπει γὰρ τὸ ἐπεί καὶ ὁ καί σύνδεσμος, ἵν' ᾖ οὕτως· νῦν τε γὰρ βρέξω τὸ ὄμμα, ἐπεὶ καί, ὅτε ὤλλυτο, ἔκλαυσα: — A

ὡς φίλος φησὶ τὸ κερδᾶναι· κέρδος γὰρ οἴεται τὸ κλαῦσαι καὶ δεύτερον περὶ τῆς Πολυξένης: — M[g]

520 ἔτεγξα κατὰ κοινοῦ: — M[g]

521 † παρῆν μὲν πᾶς ὄχλος τοῦ Ἑλληνικοῦ στρατοῦ πλήρης, οἷον πεπληρωμένος, ἔμπροσθεν τοῦ τύμβου ἐπὶ σφαγὴν τῆς σῆς θυγατρός. εἰπὼν δὲ τὸ ἅπας καὶ πλήρης ἔδειξε τὸ ὡς οὐδεὶς ἐλείπετο: — A

παρῆν μὲν ὄχλος: αἴτημα σκηνικόν. πῶς γὰρ τοῦ Ἀχιλλέως ἐν τῇ Τροίᾳ θανόντος τοὺς Ἕλληνάς φησι πρὸ τοῦ τύμβου αὐτοῦ θύειν ἐν Χερρονήσῳ ὄντας: — M

524 † πέλας δ' ἐγώ: πλησίον δὲ ἐγὼ καὶ οἱ ἐπίλεκτοι καὶ πρόκριτοι τῶν Ἑλλήνων καὶ ἔκκριτοι νεανίαι. λείπει γὰρ ἐνταῦθα ὁ καί σύνδεσμος: — A

526 τὸ κίνημα τῆς νέας: — M[g]A[g]

---

25 σφαγῆς A 28 θανόντος om. M suppleui ex Laur. 31,10 29 Χερρονήσῳ] χρόνοις M

527 † ἕσποντο: παρεγένοντο ἵνα τὸ κίνημα ταύτης κρατήσωσιν, εἴ πως δειλανδρήσει ἐν τῷ σφάττεσθαι: — A

† πλῆρες δ' ἐν χεροῖν: πρῶτον γὰρ οἶνον ἔρρανεν ἐν τῷ τάφῳ τοῦ Ἀχιλλέως, ὅπως ἀνέλθῃ ἡ ψυχὴ αὐτοῦ καὶ τότε ἀνελθούσης τῆς ἐκείνου ψυχῆς σφάξῃ τὴν Πολυξένην: — A

529 προσφέρει τῷ πατρὶ χοάς: — M[i]

533 σίγα: κοινή ἐστι κατὰ τὸ μέτρον: — M

μεμίμηται τὸ πολλάκις κηρύττειν τὰ αὐτὰ τοὺς κήρυκας: — MAB

ἀθόρυβον ἥσυχον: — MA[g]

535 τὰς πραϋνούσας τὰς ψυχὰς τῶν νεκρῶν. ἢ τὰς κηλούσας τοὺς καταχθονίους δαίμονας: — MAB

ἀπατητικάς: — M[i]

537 καθαρόν, ἄχραντον, τουτέστι τὸ τῆς παρθένου: — MAB

538 πρᾶος εὐμενής· ἐκ γὰρ τῶν δύο σύγκειται ἡ λέξις: — MB

ἀντὶ τοῦ ἀλύπου, ἀπὸ ⟨τοῦ⟩ πράου καὶ εὐμενοῦς: — M

539 τὰς ἀγκύρας: — M[i]

540 † δὸς δ' ἡμῖν πάλιν ἀπελθεῖν ἀπὸ τῆς Τροίας εἰς τὴν πατρικὴν γῆν τυχόντας πρευμενοῦς, ἤτοι ἀλύπου, νόστου, ἀπὸ τοῦ πράου καὶ εὐμενοῦς: — A

543 τὸ κεχρυσωμένον διὰ τῆς λαβῆς λαβών: — MAB

† εἶτα λαβὼν ἀπὸ τῆς κώπης τὸ ἀμφίχρυσον ξίφος ἐξεῖλκεν ἀπὸ τῆς ξιφοθήκης. ἀμφίχρυσον δὲ νοητέον τὸ ξίφος οὐ κατὰ τὰ κοπτικὰ μέρη, ἀλλὰ κατὰ τὴν κώπην μόνην, ἤγουν τὸ κράτημα, ἵν' ᾖ τὸ ἀμφίχρυσον ἀντὶ τοῦ περίχρυσον: — A

544 τοῖς ἐπιλέκτοις: — M

546 ὡς ἐνόησε: — M[g]

† ἣ δ' ὡς ἐφράσθη: αὕτη δέ, ἡ Πολυξένη, ὡς ἔγνω, ὡς ἤκουσεν, ὡς ἐνόησεν ὅτι μέλλουσιν αὐτῆς ἅψασθαί τινες, εἶπε τοῦτον τὸν λόγον· ἑκοῦσα θνήσκω· μή τις ἅψηται τοῦ ἐμοῦ σώματος: — A

ἀντὶ τοῦ εἶπεν: — M[g]A[g]

549 εὐτόλμως: — M[g]

550 τὸ ἑξῆς· ἐλευθέραν δέ με μεθέντες κτείνατε, ἵνα ἐλευθέρα θάνω: — MB

---

8 μέμνηται AB  10. 11 cf. Hesych. s. v. κηλητηρίους  10 κατακηλούσας A  13 τὸ καθαρὸν καὶ A  τουτέστι om. B  παρθενίας A  14. 15 cf. et. m. p. 687,1 Zon. p. 1572 Philem. p. 100 Eust. p. 437,5  20 τὸ ἀμφοτέρωθεν κεχρυσωμένον ξίφος A  δὴ MB  28 ταύτης ἅψησθαι A  32 μεθέντες] θέντες MB  κτείνετε M

† ἐλευθέραν δέ μ' ὡς ἐλευθέρα θάνω: ἤτοι ἄδετον, ἀδέσμευτον καταλείψαντες κτείνατε, ἵνα ὡς ἐλευθέρα ἀποθάνω. δουλείαν γὰρ ἡγεῖτο καὶ τὸ δεδεσμ(ημ)ένη θανεῖν. ἡ δὲ σύνταξις οὕτως· πρὸς θεῶν ὁρκωμοτικῶν μεθέντες με, ἀντὶ τοῦ καταλείψαντες, ἐλευθέραν, ἤγουν λυτήν, κτείνατε, ὡς ἐλευθέρα θάνω. ἐν νεκροῖς γὰρ αἰσχύνομαι δούλη καλεῖσθαι ὡς δεσμηθεῖσα: — A

553 ἐβόησαν· ἐκ μεταφορᾶς τῶν κυμάτων: — MA$^g$B

† ἐπερρόθησαν: ἐβόησαν ἐπλήγησαν ἐλυπήθησαν. ἢ ταραχὴν ἐποίησαν, ἐκ μεταφορᾶς τῶν ῥοθίων, ἤγουν τῶν ῥευμάτων: — A

554 ἐᾶν ἀκατάσχετον: — M$^g$

555 γράφεται καὶ ὑστέραν: — B$^i$

τὴν τελευταίαν φωνήν, μεθ' ἣν ἄλλος οὐδεὶς ἔλεγεν: — MA$^g$B

† τὴν ὑστάτην ὄπα, ἤτοι τὴν τελευταίαν φωνήν, μεθ' ἣν οὐδεὶς δύναται ἀντειπεῖν. εἰπόντος γὰρ βασιλέως ἄλλος οὐκ ἀντιλέγει: — A

συναπτέον τὸν λόγον οὕτως· ὑστέραν ὄπα οὗπερ καὶ μέγιστον ἦν κράτος, ἀντὶ τοῦ Ἀγαμέμνονος. ὑστέραν ὄπα τὴν τοῦ βασιλέως φωνήν· τέλος γὰρ πάσης ὑπεροχῆς βασιλεύς. Πίνδαρος [ol. I 116]· 'τὸ δ' ἔσχατον κορυφοῦται βασιλεῦσιν': — MAB

556 τοῦ ὑστέρου λόγου: — M$^g$

559 † ἔρρηξε λαγόνας: ἀντὶ τοῦ διέσχισε τὰ ἱμάτια κατὰ τὸ πλησιάζον μέρος ταῖς λαγόσι καὶ τῷ ὀμφαλῷ: — A

τὸ ἑξῆς· εἰς λαγόνας: — M$^g$

562 καρτερικώτατον ὑπομονητικώτατον: — M$^i$A$^g$

563 ἰδοὺ τόδε: τὸ σῶμα δηλονότι: — M$^g$A$^g$

565 παρεσκευασμένος: — M$^g$A$^g$

566 τὸ ἑξῆς· οὐ θέλων οἴκτῳ κόρης: — M$^g$B

† ὁ δ' οὐ θέλων ⟨τε⟩ καὶ θέλων: οὐ θέλων μὲν ὡς οἰκτιζόμενος τὴν Πολυξένην, θέλων δὲ ὡς τιμῶν τὸν πατέρα καὶ ὡς πρὸς τὴν πατρίδα θέλων ἐλθεῖν: — A

† ἄλλως: ὁ δὲ οὐ θέλων τε ἐν τῷ οἴκτῳ τῆς Πολυξένης καὶ θέλων τὸ μὴ παρακοῦσαι τὸν πατέρα αὐτοῦ: — A

---

15—18 bis scripsit B altero loco praeposito lemmate ὑστέραν ὄπα (B) altero sine lemmate (B$^a$), inserto οὗπερ scholio quod praecedit adi. A 15 συναπτέον — ὄπα om. BB$^a$ 16 ἀντὶ τ. Ἀ.] τοῦ ἀγαμέμνονος δηλονότι A τουτέστι τ. ἀ. B ὑστέραν ὄπα] ὄπα γὰρ A ὑστέραν οὖν ὄπα B 17 post φωνήν add. ἐκάλεσε A ante βασιλεὺς add. ὁ A post Π. add. λέγει A 18 βασιλεῦσιν Vat. 1345 βασιλεῦσ MAB 26 τῆσ κόρησ B

567 τὰς ἀρτηρίας. τὰς φλέβας. διαφέρει δὲ ἀρτηρία φλεβὸς ταύτῃ, τῷ τὴν ἀρτηρίαν μὲν ὀλίγον ἔχειν αἷμα, πνεῦμα δὲ πολύ, τὴν δὲ φλέβα τὸ ἐναντίον τὸ μὲν αἷμα πολύ, τὸ δὲ πνεῦμα ὀλίγον ὡς πρὸς σύγκρισιν τοῦ ἐν τῇ ἀρτηρίᾳ: — MAB

† καὶ ἡ μὲν ἀρτηρία ὑποκάτω κεῖται τῆς φλεβός, ἡ δὲ φλὲψ ἐπάνω τῆς ἀρτηρίας. εἰπὼν δὲ ὅτι τέμνει πνεύματος διαρροάς ἔδειξεν ὅτι αἱ φλέβες καὶ αἱ ἀρτηρίαι ἐτμήθησαν: — A

τὰς ἀρτηρίας, τὰς διεξόδους: — M[g]

573 ἀλλ' οἱ μὲν αὐτῶν: τιμῶντες αὐτὴν διὰ τὸ εὔθαρσὲς καὶ εὔψυχον οἱ Ἕλληνες φύλλοις καὶ ἄνθεσιν ἔβαλλον: — MAB

† φύλλοις ἔβαλλον: οἱονεὶ στεφάνων τύπους ποιοῦντες διὰ φύλλων παρετίθουν εἰς αὐτήν: — A

φύλλοις ἔβαλλον: τοῦτο παρὰ τοὺς χρόνους. Ἐρατοσθένης [frg. 20] γὰρ περὶ τῆς φυλλοβολίας φησὶν ὡς πάλαι * * χωρὶς ἄθλων ἀγωνιζομένων τῶν ἀνθρώπων τῷ νικήσαντι καθάπερ ἔρανον εἰσφέροντες ἔῤῥιπτον τῶν θεατῶν ἕκαστος ὅπως ηὐπόρει. οἱ μὲν οὖν ἐμπορευόμενοι διάφορα δῶρα * * τῶν δὲ λοιπῶν οἱ μὲν ἐγγὺς καθήμενοι [στεφάνους] * * ἐπετίθεσαν, οἱ δὲ ἀνωτέρω τοῦτο ὅπερ ἦν λοιπὸν ἔβαλλον τοῖς ἄνθεσι καὶ φύλλοις· ⟨ὡς⟩ καὶ νῦν ἐπὶ τοῖς ἐπιφανῶς ἀγωνιζομένοις προβάλλουσι

---

1—4 cf. Orion. p. 17,3 et. m. p. 150,22 Gud. p. 81,35 Zon. p. 300, praeterea Galen. de plac. Hipp. et Plat. VI p. 572 de usu part. VI p. 491 [de elem. sec. Hipp. II p. 496] 1 τὰς—φλέβας] ἀ. καὶ φ. A τ. α. καὶ φ. B δὲ om. A τῆσ φλεβὸσ A 2 ταύτῃ om. A μὲν om. A 2. 3 τὴν—πολὺ om. B 3 τὸ ἀναπαλιν A ὡς om. B 5—7 scholio quod praecedit adi. A 10 ἔμψυχον MA 13—p. 54,7 Phot. Suid. περιαγειρόμενοι: ὥσπερ οἱ νικηφόροι περιαγειρόμενοι ἀθληταί, Πολιτείας ε̄ ἐπὶ τέλει. λέγεται γὰρ ὅτι τὸ μὲν ἐξ ἀρχῆς ἆθλα προὐτίθεσαν τοῖς ἀγωνιζομένοις ὃν τρόπον καὶ Ὅμηρος καὶ ἄλλοι ποιηταὶ ἱστοροῦσιν. ἐπεὶ δὲ ἤρξαντο χωρὶς ἄθλων ἀγωνίζεσθαι, τοὺς νικήσαντας οἱ μὲν κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις ἀνέδουν· τῶν δ' ἄλλων οἱ μὲν σύνεγγυς καθήμενοι καὶ πλησιάζοντες πλέονος ἄξια ἐπετίθεσαν, οἱ δὲ πορρώτερον ἄνθεσι καὶ φύλλοις ἔβαλλον [περιερχομένους]· ὡς καὶ νῦν τοῖς ἐπιφανῶς ἀγωνισαμένοις ἐπιβάλλουσι πετάσους καὶ ζώνας, οἱ δὲ χιτῶνας. ἐκ τούτου σύνηθες ἐγένετο κύκλῳ περιπορευομένους τοὺς ἀθλητὰς ἐπαγείρειν καὶ λαμβάνειν τὰ διδόμενα ..... praeterea cf. Clem. Al. paedag. II p. 213 P. 14 χάρισ A 15 τῶν om. B ante καθάπερ ins. δὲ MB 16 ὅπωσ ἕκαστοσ B 17 post ηὐπόρει ins. διὸ δὴ (haec om. A) σύνηθεσ ἐγένετο κύκλω περιπορευόμενον ἐπαγείρειν καὶ λαμβάνειν τὸ διδόμενον AB cf. notam ad p. 54,26 suppleuerim εἰσέφερον, οἱ δὲ κατὰ φιλίαν ἢ συγγένειαν προσήκοντες στεφάνοις ἀνέδουν δὲ om. AB suppleuerim πλέονος ἄξια 18. 19 καὶ φύλλοις om. M 19 νῦν μὲν AB τοὺσ—ἀγωνιζομένουσ M προφανῶσ A

ζώνας, πετάσους, χιτωνίσκους, κρηπῖδας. διὸ σύνηθες ἦν κύκλῳ περινοστοῦντας ⟨τοὺς ἀθλητὰς⟩ ἀγείρειν τὰ διδόμενα. ἕως μὲν οὖν ἓν ἀγώνισμα κατὰ τὴν Ὀλυμπίαν ἦν, δαψιλὴς ἐγίνετο ἡ τῶν δώρων δόσις, πολυπλασιαζομένων δὲ τούτων ταῦτα ἐμειοῦτο εἰς πολλὰ καταμεριζόμενα καὶ τέλος ἡ φυλλοβολία κατελείφθη. ταῦτα οὖν παρὰ τοὺς χρόνους Εὐριπίδης· ὀψὲ γάρ ποτε ὁ ἀγερμὸς ⟨ἀντὶ⟩ τῆς φυλλοβολίας ἀπελείφθη. φυλλοβολεῖται· δὲ ἡ Πολυξένη, ὥσπερ ἐν ἀγῶνι νικήσασα. ἐφυλλοβολοῦντο γὰρ μετὰ τὸ νικῆσαι, καθὰ καὶ προείρηται: — MAB

ἄνθεσι: — M[1]A[s]

579 οὐ πορεύσῃ, οὐ βαδίζεις: — M[1]A[s]B

τῇ περισσῶς εὐψύχῳ καὶ εὐθαρσεῖ καὶ εὐτόλμῳ: — M[1]B

580 τῇ κατὰ ψυχὴν ἀρίστῃ: — M[1]B

λέγων: ἀντὶ τοῦ ἔλεγεν· ὡς τὸ [Or. 991] 'δικὼν ἐπ' οἶδμα πόντου': — M[1]

583 ἐπήρθη καὶ ηὐξήθη· ἀπὸ μεταφορᾶς τοῦ ζέοντος ὕδατος καὶ ἐν τοῖς λέβησιν ἐπαιρομένου ἐν τῷ ζέειν: — MAB

584 παρὰ θεῶν μετὰ ἀνάγκης δεδομένον: — M

587 † τόδ' οὐκ ἐᾷ με: δηλονότι τὸ σὸν κακόν, ὅταν ἐνθυμηθῶ πολλῶν ὄντων τῶν εἰς ἐμὲ κακῶν γεγενημένων ἢ γινομένων, οὐκ ἀφίησι καὶ ἐᾷ καὶ καταλιμπάνει, ἐφέλκει δὲ ἄλλη τις λύπη ἐκεῖθεν διάδοχος ὑπάρχουσα, ἡ λύπη, πάντων τῶν κακῶν τοῖς κακοῖς. καὶ νῦν τὸ μὲν σὸν πάθος ὥστε μὴ θρηνεῖν οὐδ' ἐᾷ με: — A

† ἄλλως: τὸ γὰρ κακὸν διάδοχον τῶν κακῶν εἰσαγωγή ἐστι· προστέθειται γοῦν τὸ κακοῖς, ἵνα ἡ διαδοχὴ τῶν κακῶν ἑτέρων κακῶν φανῆται ὁδοποιός: — A

ἐφέλκεται: — M[1]

---

1 ζώνοισ πετάλοισ χιτωνίσκοισ κρηπίδαισιν M ζώνοισ (ζώνασ B) πέταλα χιτωνίσκουσ πετάσουσ κρηπίδασ AB    ante σύνηθες repetit κύκλω M    3 δωρεῶν AB 4 πολλαπλασιαζομένων A πολλυπλασιαζομένων B    5 περὶ B    6. 7 ἀπελείφθη] ἐπεδείχθη MAB    7. 8 φυλλοβολεῖται — νικῆσαι scholio p. 53,9. 10 adi. A 7 φυλλολογεῖται A    8 ἐφυλλολογοῦντο A    καθὰ κ. π. om. A    10 πορεύῃ A[s]B 11 scholio quod praecedit adi. B ins. δώσων τι    12 scholio quod praecedit adi. B ins. καὶ et om. τῇ    15. 16 et. m. p. 355,13 ἐπέζεσεν: ἀντὶ τοῦ ἤρθη καὶ ηὐξήθη· ἀπὸ μεταφορᾶς τοῦ ζέοντος ὕδατος καὶ ἐν τοῖς λέβησιν αἰρομένου ἐν τῷ ζέειν. Εὐριπίδης δεινόν τι πῆμα Πριαμίδαις ἐπέζεσε.    15 καὶ ηὐ.] ηὔξησεν A 15. 16 ἐν τ. λ. καὶ MAB    τῇ ζέσει A    17 δεδομένου M    23 καλῶν A 26 add. διὸ δὴ σύνηθεσ ἐγένετο κύκλω περιπορευόμενον ἐπαγείρειν καὶ λαμβάνειν τὸ διδόμενον M[1] cf. notam ad p. 53,17

588 τὸ ἑξῆς· λύπη τις ἄλλη κακή: — $M^{g}$

589 † καὶ νῦν τὸ μὲν σόν: νῦν τὸ μὲν σὸν πάθος ἐξαλείψασθαι ἀπὸ τῆς φρενὸς τῆς ἐμῆς, ὥστε μὴ στένειν, οὐκ ἂν δυναίμην: — A

591 τὸ πάνυ λυπεῖσθαι ἀφείλου ἀγγελθεῖσά μοι τολμηρά: — $M^{g}A^{g}B$

592 † οὔκουν δεινὸν: οὐ θαυμαστὸν, φησὶν, ὅταν κακὴ γῆ τυχοῦσα εὐκρασίας ἀέρων παρὰ θεοῦ φέρῃ στάχυν καλόν, ἡ δὲ ἀγαθὴ τούτων ἀποτυχοῦσα καρπὸν κακὸν φέρῃ, καὶ ἐν τοῖς ἀνθρώποις τοῦτο οὐκ ἔστιν ἰδεῖν, ὅτι τὸ ἐκ φύσεως οὐ μεθίσταται. ὁ γὰρ κακὸς ἀεὶ κακός ἐστι, καὶ ὁ ἀγαθὸς ἀγαθὸς κἂν ἀτυχήμασι περιτύχῃ. ταῦτα δέ φησι θαυμάζουσα τὴν Πολυξένην: — AB

οὔκουν δεινόν: οὐχὶ δεινὸν οὖν, εἰ κακὴ γῆ, ὅταν τὰ ἐκ θεοῦ αὐτῇ κατὰ καιρὸν ἀπαντήσῃ, λέγει δὲ τοὺς ὑετοὺς καὶ τὸν ἀέρα, φέρει σταχὺν καλὸν, ἡ δὲ ἀγαθὴ τούτων ἀποτυχοῦσα καρπὸν κακὸν φέρει, τῶν δὲ ἀνθρώπων ἀεὶ ὁ κακὸς κακός ἐστιν, ὁ δὲ ἀγαθὸς ἀγαθὸς κἂν ἀτυχήμασι περιτύχῃ. ταῦτα δέ φησι θαυμάζουσα τὴν Πολυξένην: — MA

† τὰ ἐν γενέσει καὶ φθορᾷ ἔχουσι μεταλλαγάς, ὁ δὲ ἄνθρωπος ἀεὶ ὁ αὐτός: — A

599 ἆρ' οἱ τεκόντες: πότερον ἡ εὐγένεια τῶν τεκόντων προτιμοτέρα ἐστὶν ἢ ἡ ἀνατροφή: — MAB

† ἆρ' οἱ τεκόντες: ἆρα, φησὶν, ἡ τῶν τεκόντων εὐγένεια προτιμοτέρα καὶ τῇ τούτων εὐγενείᾳ καὶ οἱ παῖδες γίνονται ἀγαθοὶ, ἢ ἡ ἀνατροφὴ καὶ ὑπὸ τῆς καλῆς ἀνατροφῆς γίνεται ὁ ἀπὸ κακῶν γονέων καλός: — A

600 ἔχει γέ τοι: τοῦτο ἐπήνεγκε δηλῶν ὅτι πολὺ διαφέρει τὸ ἐκ γονέων εἶναι καλῶν: — MAB

† καὶ γὰρ καὶ ἡ Πολυξένη, εἰ μὴ ἀπὸ γονέων ἦν καλῶν, οὐκ ἂν τοιαύτη ἐφάνη ἐν τῷ θανάτῳ αὐτῆς, εἰ καὶ καλῶς ἀνετράφη: — A

601 δίδαξιν ἐσθλοῦ: τὸ καλὸν ἐάν τις μάθῃ εὖ, οἶδε καὶ τὸ κακὸν μαθὼν τοῦ καλοῦ τὸν κανόνα: — MAB

† τοῦτο δ' ἤν τις εὖ μάθῃ: τὸ καλὸν ἐάν τις ἀκριβῶς μάθῃ,

---

4 τολμηρά] τὰ λυπηρά B  in fine add. τὸ δὲ γενναῖον ἀττικῶς ὡς τὸ κλυτὸς ἀμφιτρίτη B  7 κακὸν καρπὸν B  ἐν] γὰρ A  10 τὴν om. A  11 εἰ — ὅταν] ὅταν κακὴ γῆ M  14 alterum κακὸς om. M  15 ante κἂν add. ἐστιν A  19 τῶν τεκόντων ἡ εὐ. A  20 ἐστὶν om. B  25. 26 et scholio 19. 20 (A) et scholio 21—24 ($A^{a}$) adi. A  25 δῆλον MB om. A  πολὺ διαφέρει om. $A^{a}$

οἶδε καὶ τὸ κακὸν διὰ τὸν τοῦ καλοῦ κανόνα. ὁ γὰρ ἐθισθεὶς τοῖς καλοῖς, ὅταν τι κακὸν πράξῃ, γινώσκει τοῦτο ὡς ἀπὸ τοῦ κακοῦ, διδασκάλῳ τῇ πείρᾳ χρώμενος. οἷον· τρῶγέ τι γλυκὺ καὶ παρευθὺ γεῦσαι καὶ πικροῦ· καὶ νοεῖς τὸ πικρὸν εἰθισμένος ὢν τῷ γλυκεῖ. τρώγων δέ τις πάντοτε πικρὸν μὴ γευσάμενος γλυκέος, οὐκ οἶδε τὸ πικρὸν ὡς πικρόν ἐστι τῇ ἀπειρίᾳ τοῦ γλυκέος: — A

602 τῇ ἀκολουθίᾳ: — $M^g A^g$

603 † καὶ ταῦτα ⟨μὲν δὴ⟩ νοῦς: ἡ ἐμὴ διάνοια μάτην ἐτόξευσε καὶ ἐξεκένωσε καὶ εἶπεν· ἀπὸ μεταφορᾶς τῶν τοξοτῶν. τί γάρ με δεῖ τοιαῦτα σκοπεῖν καὶ ἐνθυμεῖσθαι ἐν τοιούτοις δεινοῖς οὖσαν: — A

ἡ ἐμὴ διάνοια μάτην ἐτόξευσε καὶ εἶπεν. ἀντὶ τοῦ ἐξέπεμψεν, ἀπέβαλεν: — $M^g B$

604 ἀντὶ τοῦ τοῖς στρατηγοῖς: — $M^g$

605 τὸ ἑξῆς· μὴ θιγγάνειν μου τῆς παιδὸς μηδένα: — MB

ὄχλον: τὴν ὄχλησιν· ὡς τὸ [Med. 337]· 'ὄχλον παρέξεις, ὡς ἔοικας, ὦ γύναι'. ἢ Ἀργείοις, φησί, σήμηνον, ἀντὶ τοῦ στρατηγοῖς, εἴργειν τὸν ὄχλον: — MAB

606 γράφεται καὶ ἔν τοι: — $A^g$

ἔν τοι μυρίῳ στρατεύματι: ὁ νοῦς· ἐν τῷ πολλῷ στρατεύματι ἀπαίδευτος ὄχλος καὶ ἀκόλαστος καὶ ἀνεξέταστος, ἐπικρατεστέρα δὲ ἡ ναυτικὴ ἀναρχία καὶ πυρός· παρ' αὐτοῖς δὲ κακοῖς οὖσι καὶ ὁ μηδὲν κακὸν ποιῶν κακὸς νομίζεται καὶ δεινός: — MAB

607 ἀντὶ τοῦ ἀναίδεια: — $M^g B^i$

608 παρὰ τῷ πλήθει κακὸς ὁ μή τι δρῶν κακὸν νομίζεται: — $M^g A^g B$

609 ἀγγεῖον: — $M^g$

παλαιὰ ὑπηρέτις, δούλη: — $M^g AB$

ἡ μετὰ φόβου δουλεύουσα, παρὰ τὸ λα ἐπιτατικὸν καὶ τὸ τρεῖν: — MAB

611 ἵνα ὅπως: — $M^g$

2 κακὸν] καὶ A    καλοῦ A    10 καὶ ὃ M    13 scholio quod sequitur adi. AB    τὸ ἑξῆς om. A    μου om. A    14. 15 cf. Hesych. Phot. ὡς—γύναι om. B    15 ἀργίαν A    ἀντὶ τοῦ] τοῖσ AB    εἴργειν τ. ὄ. om. A    18—21 scholio 23 adi. B et scripsit ὁ δὲ νοῦσ οὕτωσ    18 ὁ νοῦς om. A    τῷ πλήθει τοῦ στρατεύματοσ B    20 post πυρὸς novi scholii initium designant AB    οὖσι καὶ] οὐσία M    22 ἀδειλία $M^g$ ἀντὶ τοῦ δειλία $B^i$    23 νομίζεται ante ὁ coll. B    25 ὑπηρέτις om. B    δούλη om. A    in fine add. ἀντὶ τοῦ γραῖα A ἀντὶ τοῦ γραῦ B    26. 27 et separatim (B) habet et scholio 25 adiuncta ($B^a$) ins. λάτρις δὲ B    cf. et. m. p. 557,34    26 φόβου] φορὰ M    ἐπιτατικὸν μόριον A    in fine ὃ σημαίνει τὸ φοβεῖσθαι add. AB τὸ φοβεῖσθαι $B^m$

612 ἐν ἴσῳ τῷ κακόγαμον: — $M^gA^g$

τὴν ἀτυχῆ παρθένον: — $M^gA^g$

† τὸ ᾱ σημαίνει ἑπτά· στέρησιν, ὡς τὸ ἀοίκητος, ὁ μὴ ἔχων οἰκίαν· ἐπίτασιν, ὡς τὸ ἄξυλος ὕλη· ὁμοῦ, ὡς τὸ ἄκοιτις, ἡ ὁμόκοιτος· κακὸν, ὡς τὸ ἄφωνος, ὁ κακόφωνος· ὀλίγον, ὡς τὸ ἀμαθής, ὁ ὀλιγομαθής· ἄθροισιν, ὡς τὸ ἅμα ἀντὶ τοῦ ὁμοῦ· καὶ πλεονασμόν, ὡς τὸ πᾶς ἅπας: — A

613 προθήσω, ἀντὶ τοῦ θάψω: — $M^gA^g$

ὡς μὲν ἀξία ἐστὶν ἡ παρθένος, προθῶμαι αὐτήν· πόθεν; μὴ ἔχουσα τὰ ἄξια αὐτῆς· ὡς δὲ δύναμαι, προθῶμαι αὐτὴν κόσμον ἀγείρασα αἰχμαλωτίδων πάρα, ἵν' ᾖ περιττὸς ὁ τέ. ὡς μὲν ἀξίως αὐτὴν προθῶμαι, οὐκ ἂν δυναίμην· ὡς δὲ ἔχω, οὕτως αὐτὴν προτίθημι: — MAB

πόθεν: ἀντὶ τοῦ οὐδαμῶς καί ἐστιν ἐπίρρημα ἀρνήσεως: — $M^iB$

γράφεται καὶ τυχεῖν: — $M^i$

614 ὡς δ' εὐπορῶ, προθήσω: — $M^iB^i$

617 τοὺς Ἕλληνας: — $M^gA^g$

622 εἰς τὸ εὐτελές: — $A^gB$

τοῦ πλούτου: — $M^i$

† φρονήματος τοῦ πρὶν στερέντες: φρόνημα ἐνταῦθα τὴν ἐκ τοῦ πλούτου λέγει ἔπαρσιν καὶ τὴν δόξαν· φρόνησις γὰρ κυρίως ὁ νοῦς καὶ ἡ καθεστηκυῖα σύνεσις: — A

623 ὑπερνοούμεθα: — $M^i$

† εἶτα δῆτ' ὀγκούμεθα: ὑπερνοούμεθα, ὑπερηφανευόμεθα. ἐν ἐρωτήσει δὲ ὁ λόγος καὶ ἦθει ἕως τοῦ τὰ δ' οὐδέν: — B

† εἶτα δῆτ' ὀγκούμεθα: ἐπειδὴ εἶπε καὶ ἀνεκαλέσατο τοὺς αὐτῆς δόμους τοὺς πρὶν εὐτυχεῖς, εἶπε δὲ καὶ ὅτι συναγείρω κόσμον ἐκ τῶν αἰχμαλωτίδων, ἐὰν ἔχωσί τι, καὶ θάψω κοσμίως καὶ πλουσίως τὴν

---

1. 2 in B ita deformata νύμφην δὲ ἄνυμφον καὶ παρθένον ἀπάρθενον ἐν ἴσῳ τὸ κακόγαμον καὶ δυστυχῆ παρθένον σεσημείωται δὲ πρὸς τὸ τραγικὸν ἔθος 3—7 cf. et. m. p. 141,52 9—11 ὡς—τέ bis scriptum in B 9 initio add προθήσομαι ἀντὶ τοῦ θάψω $B^a$ προθῶμαι] προτεθῆναι οὐκ ἂν δυναίμην προθεῖναι $B^a$ 9—10 πόθεν—αὐτῆς] πόθεν γὰρ $B^a$ πόθεν—αὐτὴν om. MB 10 δύναμαι] ἔχω $B^a$ 13 haec et separatim habet et scholio 14—16 $B^a$ adiuncta ins. τὸ πόθεν δὲ B ἔστι δὲ $BB^a$ 17 initio λίαν add. B quod referas ad ὡς in fine add. φρονήματος δὲ τοῦ πλούτου καὶ τῆς πρώην ἐπάρσεως B 22 ἀπονοούμεθα $M^i$ 23 ὑπονοούμεθα B

Πολυξένην, μετέγνω καί φησιν· εἰς τὸ μηδὲν ἥκομεν· εἶτα δὴ νῦν ὀγκούμεθα καὶ ἐπαιρόμεθα καὶ ζητοῦμεν θάψαι πολυτελῶς τὴν Πολυξένην: — A

626 † ἄλλως φροντίδων: τοῦτο κατ' ἰδίαν ἀναπεφώνηται· μάτην εἰσὶ τὰ βουλεύματα καὶ τὰ τῆς γλώττης καυχήματα: — B

ματαίως: — $M^i$

627 καυχήματα: — $M^i$

628 ⟨ἀντὶ⟩ τοῦ καθ' ἑκάστην ἡμέραν: — $M^g$

629 ἔδει μοι ἄρα, ὡς ἔοικε, συμφορὰν γενέσθαι: — $M^i$AB$B^i$

εἱμαρμένον μοι ⟨ἦν⟩: — $M^g$

αὕτη μοι ἀρχὴ συμφορᾶς, ὅτε ἐναυπηγήσατο ὁ Ἀλέξανδρος ὡς ἄξων τὴν Ἑλένην: — $M^i$AB

† ἄλλως: ἐμοὶ χρῆν συμφοράν, ἐμοὶ χρῆν πημονὰν γενέσθαι: ὁ χορὸς ἑαυτὸν ἀνακλαίεται καί φησιν· ἐμοὶ ἀπέκειτο συμφορὰν καὶ πημονὴν γενέσθαι ἀπ' ἐκείνης τῆς ἡμέρας, ἀφ' ἧς ὁ Ἀλέξανδρος ἔτεμε τὴν ἀπὸ τῆς Ἴδης τοῦ ὄρους ὕλην τὴν εἰλατίνην· ἐλάτη δὲ εἶδός ἐστι δένδρου· ναυστολήσων εἰς τὴν θάλασσαν διὰ τὰ λέκτρα τῆς Ἑλένης, ἤγουν διὰ τὴν κοίτην τῆς Ἑλένης, εἰς ἣν ὁ ἥλιος λάμπει, πόνοι δὲ μείζονες ἐπέρχονται καὶ κοινὸν ⟨κακὸν⟩ τῇ Σιμουντίδι γῇ ἐπεισῆλθεν ἐξ ἰδίας ἀνοίας, ἤγουν ἐκ τῆς τοῦ Ἀλεξάνδρου· ἴδιον γὰρ τὸ χωρίς. ἡ δὲ σύνταξις οὕτως· ἐμοὶ χρῆν συμφοράν, ἐμοὶ χρῆν πημονὴν γενέσθαι πρῶτον ὅτε ὁ Ἀλέξανδρος ἔτεμε τὴν Ἰδαίαν ὕλην μέλλων ναυστολῆσαι ἐπὶ κῦμα θαλάσσης ἐπὶ τὰ τῆς Ἑλένης λέκτρα, ἣν αὐγάζει ὁ χρυσοφαὴς ἥλιος, ἀντὶ τοῦ εἰς ἣν λάμπει ὁ ἥλιος: — A

632 εἶδος δένδρου: — $M^g$

634 ἀντὶ τοῦ ἐπὶ τὴν θάλασσαν: — $M^g$

637 ἥλιος: — $M^g$

ὁρᾷ: — $M^g$$A^g$

639 μείζονες καὶ χείρονες: — $M^i$$A^g$$B^i$

ἐπιφέρονται ἐπικυλίονται: — $M^i$$A^g$$B^i$

640 ἐκ δὲ τῆς τοῦ Πάριδος ἰδίας ἀνοίας κοινὸν κακὸν ἔμολε τῇ Τρῳάδι γῇ· ἔδει δὲ μόνῳ τῷ ἐργασαμένῳ γενέσθαι τὸ δεινόν: — MAB$B^i$

---

8 post ἔοικε add. καὶ εἱμαρμένον ἦν B$B^i$ in fine add. ἀν ...... (fortasse ἀντὶ τοῦ ἀπέκειτο) A 10 αὕτη—ὁ] οἷον ......... πηγήσατο ὁ A 21 αὐτομολῆσαι A 28 initio add. ἀντὶ τοῦ $B^i$ in fine add. ἀνάγκαι $A^g$$B^i$ 29 scholio 28 adi. $B^i$ ἐπικυλύονται καὶ ἐπιφέρονται $B^i$ 30 Πάριδος] πριάμου B post κακὸν add. ὀλέθριον A καὶ ὀλέθριον B 31 post γῇ add. οὐκ ἰδίως (ἰδία B) αὐτῷ τῷ ἀλεξάνδρῳ καίτοι αὐτοῦ παρανομήσαντος καὶ ἀδικήσαντος (ἀεικήσαντος A) AB δὲ] καὶ B γὰρ $B^i$

† κοινὸν δὲ κακὸν ἔμολε τῇ Σιμουντίδι γῇ ἐξ ἰδίας ἀνοίας, ἤγουν τῆς τοῦ Ἀλεξάνδρου, καὶ συμφορὰ ἀπ' ἄλλων, ἤγουν Ἥρας, Ἀθηνᾶς καὶ Ἀφροδίτης. ἐκρίθη δὲ ἡ ἔρις εἰς τὰς τρεῖς θεὰς ταύτας, ἣν κρίνει ὁ βουκόλος Ἀλέξανδρος ἐπὶ βλάβῃ τῶν ἐμῶν δόμων: — A

642 ἐξαίρετος καὶ μεγάλη, οἷον πρὸς τὰς ἄλλας συμφορὰς ἐξηλλαγμένη: — MA[g]

644 † ἐκρίθη δ' ἔρις: εἰς ἐμὴν ἀπώλειαν ἐκρίθη ἡ κρίσις τῶν τριῶν θεῶν, τῆς Ἥρας, τῆς Ἀθηνᾶς καὶ τῆς Ἀφροδίτης, ἣν καὶ προετίμησεν ὁ Ἀλέξανδρος τῶν δύο χάριν τοῦ μέλλειν ἁρπάξαι τὴν Ἑλένην: — A

ὁ δὲ ἀντὶ τοῦ γάρ: — M[g]A[g]B[i]

ἣν ἐν τῇ Ἴδῃ: — M[g]B[i]

649 † μέλαθρον καὶ μέγαρον διαφέρουσι. μέλαθρον γὰρ λέγεται τὸ μαγειρεῖον ἀπὸ τοῦ μελαίνειν τὸν αἰθέρα, μέγαρον δὲ τὸ ὑπερῷον ἢ καὶ ἄλλο τι τῶν εὐγενῶν οἴκημα καὶ γίνεται ἀπὸ τοῦ μεγαίρω, τὸ φθονῶ: — A[i]

650 οὐ μόνον δὲ εἰς κοινὸν ⟨κακὸν⟩ τῇ Τροίᾳ τὰ τῆς ἀνοίας τοῦ Ἀλεξάνδρου προῆλθεν, ἀλλὰ καὶ αὐτῇ τῇ Ἑλλάδι: — M[i]ABB[i]

οἷον· οὐ μόνον αἱ Τρῳάδες θρηνοῦσιν, ἀλλὰ καὶ τῶν Ἑλληνίδων τινές: — M[i]ABB[i]

† στένει δὲ καί τις: ὁ χορὸς ἀνακλαίων ἑαυτόν φησι· κἀγὼ πολλὰ πέπονθα δεινά, ἀλλὰ καὶ πολλῶν Ἑλλήνων μητέρες καὶ πατέρες θρηνοῦσι τοὺς ἐν Τροίᾳ σφαγέντας: — A

Εὐρώτας ποταμὸς Λακεδαιμονίας: — M[i]A[g]

653 † πολιὰν δ' ἐπὶ κρᾶτα: ἐπὶ τὴν πολιὰν κρᾶτα μήτηρ τις τέκνων Ἑλλήνων ἐν Τροίᾳ ἀποθανόντων τίθεται χέρα: — A

655 καταξέει: — M[g]A[g]

† δρύπτεται δὲ παρ⟨ειάν⟩: οἱονεὶ ξαίνει τὴν ἑαυτῆς παρειὰν τιθεμένη ἐν τοῖς σπαραγμοῖς ὄνυχα δίαιμον· πᾶς γὰρ ὁ τὴν παρειὰν ξαίνων ἀνάγκῃ . . . . . . . . αἱματοῖ: — A

656 τὸν αἱματώδη: — M[g]A[g]B[i]

γράφεται καὶ δίδυμον: — B[i]

658 μία τῶν δούλων αὐτῆς ἔρχεται φέρουσα τὸ σῶμα τοῦ Πολυδώρου. ἦν γὰρ πεμφθεῖσα ὑπὸ τῆς Ἑκάβης ἐπὶ τῷ κομίσαι ὕδωρ εἰς

1 ἔμελλε A  5 παρὰ A[g]  11 scholio 10 praeponit B add. δὲ post ὁ  12—14 cf. et. m. p. 574.48  13 ὑπερῷον] πρωτόν (sic, compendio scr.) A[i] cf. Phot. Suid. ἢ non certum, fuit cum τὸ legerem  ἄλλων A[i]  17. 18 scholio quod praecedit adi. M[i]  17 οἷον om. BB[i]  17. 18 αἱ ἑλληνίδες γυναῖκες B  18 τινές om. M[i]B[i]  30 scholio 29 adi. B[i]  31 δουλίδων A  32 κομίσαι Arsenius γεμίσαι MAB

τὰ λουτρὰ τῆς Πολυξένης. αὕτη οὖν ἡ δούλη ἀπελθοῦσα παρὰ θάλασσαν εὑρίσκει τὸ σῶμα τοῦ Πολυδώρου καὶ ἔρχεται δεικνύουσα αὐτὸ τῇ Ἑκάβῃ: — MAB

660 οὐδεὶς τὸν στέφανον αὐτῆς ἀφαιρήσει νικήσας αὐτὴν εἰς κακά: — M

ἄλλως: οὐδεὶς αὐτὴν ἐν τοῖς κακοῖς νικήσει πώποτε: — MA$^g$B

† οὐδεὶς μᾶλλον αὐτῆς ἀποίσει στέφανον νικήσας αὐτὴν ἐν δυστυχίαις: — B

† . . . . . . . . . . . νικήσας τὴν Ἑκάβην ἐν τοῖς κακοῖς λάβῃ στέφανον: — A

661 τί δέ: ἀντὶ τοῦ τί ἐστι. τὰ δὲ λοιπὰ κατὰ ἀναφώνησιν: — M$^i$B

κακόφημος: — M$^i$

663 † ἐν κακοῖσι δέ: οὐ δυνατόν, φησί, κακῶν πολλῶν . . . . . . . ὁμιλεῖν . . . . ὡς ἐν εὐτυχίᾳ: — A

664 εὔφημον ἔχειν: — M$^g$A$^g$B$^i$

665 διαπερῶσα: — M$^g$

666 εἰς πρέπον: — M$^g$

668 καὶ ζῶσα οὐ ζῇς: — M$^g$B$^i$

670 † οὐ καινὸν εἶπας ὡς δυστυχής εἰμι, τοῖς εἰδόσι δ' ὠνείδισας, ἀντὶ τοῦ· ἐγὼ γινώσκω ὅτι δυστυχής εἰμι καὶ ἄπαις καὶ ἄνανδρος: — A

προήγαγες τὰ δυστυχήματα: — M$^g$

ὀνειδίζειν ἐστὶ τὸ προφέρειν δυστυχήματα: — M$^i$A$^g$B$^i$

671 ἀτὰρ τί: στικτέον εἰς τὸ τί, ἵνα καθ' ὑπόκρισιν ᾖ ἡ ἐρώτησις: — MAA$^g$B

† ἀτὰρ τί: εἰς ἀγγεῖον ἐσκεπασμένον βασταζούσης τῆς θεραπαίνης τὸν Πολύδωρον ἰδοῦσα ἡ Ἑκάβη τὸ ἀγγεῖον ἔξωθεν ἐδόκει ὡς τὸ τῆς Πολυξένης σῶμά ἐστι καί φησι· τί τὸ τῆς Πολυξένης μοι σῶμα κομίζεις, ἧς ἀπεγγέλθη ὁ τάφος σπουδαζόμενος παρὰ τῶν Ἑλλήνων: — A

673 πάντων Ἀχαιῶν: ἐπειδὴ ἤκουσεν ὅτι οἱ μὲν αὐτὴν ἐφυλλοβόλουν τιμῶντες, οἱ δὲ ξύλα παρεκόμισαν εἰς τὴν πυρκαϊάν, ταῦτά φησιν: — AB

1 τὴν θάλασσαν A 2 ἐλθοῦσα δείκνυσιν B 6 ποτέ B 7. 8 scholio quod praecedit praeponit B 9 νικήσασα A 11 initio στικτέον εἰσ τὸ τί δὲ add. B post ἐστι add. ἵνα καθ' ὑπόκρισιν ᾖ ἡ ἐρώτησισ B 14—15 πολλῶν—ὡς] πολλῶν προ . . . . . . . . λιψε . χρ . . . . . . . ὁμιλεῖν ἄδιαχ . . . . ὡς 24 ὑποστικτέον AA$^g$ εἴῃ A 31. 32 ταῦτά φησιν om. B

675 τῶν κατὰ τὸν Πολύδωρον: — $MA^{g}$

† νέων δὲ πημάτων οὐχ ἅπτεται: τῆς νεαρᾶς, φησί, βλάβης οὐχ ἅπτεται, ἤτοι τοῦ ἀποθανεῖν τὸν Πολύδωρον: — A

† τῆς νέας βλάβης, ἤγουν τῆς τοῦ Πολυδώρου σφαγῆς καὶ τῆς ἐν θαλάσσῃ τούτου ἀπορριφῆς οὐκ αἰσθάνεται: — A

676 † οἲ ἐγὼ τάλαινα: ἡ Ἑκάβη φησί· φεῦ ἐγὼ ἀθλία· εἶτα τὴν θεράπαιναν ἐρωτᾷ βλέπουσα ἀγγεῖον ἐσκεπασμένον βαστάζουσαν, ἐν ᾧ ἦν ὁ Πολύδωρος· ἆρα τὴν Κασάνδραν βαστάζεις. ἡ δὲ θεράπαινά φησι πρὸς τὴν Ἑκάβην· τὴν ζῶσαν λέγεις, τὸν θανόντα δ' οὐ στένεις καὶ κλαίεις τοῦτον. ἐπιδεικνύει γὰρ αὐτῇ τὸν νεκρὸν τοῦ Πολυδώρου: — A

ἆρα: — $M^{g}A^{g}$

τὸ μανικόν, τὸ τῷ βακχείῳ συνδιατιθέμενον: — $M^{g}B$

678 ἀντὶ τοῦ εἶπας: — $M^{g}$

† ζῶσαν λέλακας: τὸ λέλακας ἐπὶ ὄρνιθος μόνον λαμβάνεται, ὡς καὶ Ἡσίοδός φησι [opp. 207] 'δαιμονίη, τί λέληκας' περὶ ἀηδόνος λέγων. ὁ δὲ παρὼν τραγῳδὸς καὶ ἐπὶ τοῦ ἀνθρώπου ἐδέξατο τοῦτο: — A

679 βλέπε: — $M^{g}$

680 ταῦτα λέγουσα ἀνακαλύπτει τὸν νεκρὸν ⟨τοῦ Πολυδώρου ἡ Πολύβοια⟩: — $M^{i}AB^{i}$

† ἐπειδή σοι, φησί, τοῦτο θαυμαστὸν καὶ ξένον ὀφθήσεται ὡς παρ' ἐλπίδας ἀπα⟨ντῆσάν⟩ σοι: — A

685 γράφεται γόων: — $M^{g}$

ἀντὶ τοῦ θρηνητικῆς ᾠδῆς· νόμους γὰρ λέγουσιν οἱ παλαιοὶ τὰς ᾠδάς: — MAB

† αἰαῖ κατάρχομαι νόμον [αἰαῖ κατάρχομαι γόων] βακχεῖον ἐξ ἀλάστορος: οὐκ ἐκ Διονύσου τὸν βακχεῖον νόμον μαθοῦσα, ἀλλ' ἀπό τινος ἀλάστορος. οἱ γὰρ γόοι τῶν βακχῶν μετὰ ἡδονῆς γίνονται· μαινόμεναι γὰρ οὐ λυποῦνται. καί φησιν ἡ Ἑκάβη· καὶ ἐγὼ βακχείων γόων κατάρχομαι, ἀλλ' ἐξ ἀλάστορος καὶ ἀνηδόνου δαίμονος· οὐ γὰρ ἡδονὴν ἔχει ὁ ἐμὸς γόος ὥσπερ ὁ τῶν βακχῶν ... δαίμων: — A

686 κινητικὸν ἢ σύντονον. ἢ ἀντὶ τοῦ θρηνητικόν: — $M^{i}B$

ἄλλως: οὐκ ἐκ Διονύσου μαθοῦσα τὸν βακχεῖον νόμον: — $M^{i}AB$

---

4. 5 m. 1 postea addita esse uidentur A 12 μαντικὸν B 18. 19 bis scripta in A ultima suppleui ex Laur. 32, 33 23 ἔλεγον B ante τὰς ins. καὶ B 28 ἢ] καὶ A 31. 32 bis scripsit atque scholio 12 add. ἄλλως et scholio 23. 24 ins. βακχεῖον δὲ ($B^{a}$) adi. B 32 scholio 18 adi. A in fine ἀλλ' ἐξ ἀλαστόρων τινός add. $BB^{a}$

† οὐκ ἐκ Διονύσου μαθοῦσα τὸν βακχεῖον νόμον, ἀλλ' ἔκ τινος ἀλάστορος. βακχεῖος γὰρ γόος λέγεται, ὃν λέγει τις μεθύσας: — A

ἐκ κακοῦ δαίμονος: — MA[g]

687 γράφεται ἀρτιμαθῆ νόμον. ἀρτιμαθής δὲ ἀντὶ τοῦ ἀπηρτισμένως μαθοῦσα, ἢ ἀρτίως μαθοῦσα, ἀπὸ τοῦ ὀνείρου: — M[1]AB

ἀρτίως μαθοῦσα: — M

† ἀρτιμαθής: ἀντὶ τοῦ ἀπηρτισμένως καὶ ὑγιῶς καὶ ἀρτίως μαθοῦσα τὰ κακὰ ἀπὸ τοῦ ὀνείρου οὗ εἶδεν, ἔνθα φησὶν [90] 'εἶδον γὰρ βαλιὰν ἔλαφον' καὶ τὰ ἑξῆς: — A

λείπει τὸ οὖσα: — M[1]

688 † ἔγνως γὰρ ἄτην: ἤδη ἐπέγνως τὴν ἀληθῆ αἰτίαν καὶ τὸ συμβὰν περὶ τὸν παῖδά σου: — A

689 τὸ ἐπαναλαμβάνειν τοὺς αὐτοὺς λόγους ἐν τῷ θρηνεῖν σφόδρα σχετλιαστικὸν καὶ πάθος ἐγεῖρον ἐν τῇ τραγῳδίᾳ: — MAB

690 τυγχάνει: — M[g]

691 δακρύων, στεναγμῶν μὴ τυχοῦσα: — MA[g]

692 παύσει. ἢ σχήσει: — M[g]

695 τίνι μόρῳ: μόρῳ μὲν τῷ θανάτῳ, πότμῳ δὲ τῇ προφάσει. πρὸς τίνος δὲ ὑπὸ τίνος, ἵν' ᾖ· ποίῳ θανάτῳ καὶ ποίᾳ προφάσει, ἢ τίς ὁ ἀνελών σε· εἰπέ, τέκνον: — MAB

696 τύχῃ προφάσει: — M[1]A[g]

697 ὑπὸ τίνος: — M[g]

698 εὗρον ἔτυχον: — M[1]A[g]B[i]

699 ἀποπνιγέντα ὑπὸ θαλάσσης ἢ ἀναιρεθέντα ξίφει: — M[1]A[g]BB[i]

† φονίου δορός: ἀποπνιγέντα ὑπὸ τῆς θαλάσσης ἢ ἀναιρεθέντα τῷ φονικῷ δόρατι ὑπό τινος ἀνδροφόνου, εἶτα εἰς θάλασσαν ῥιφέντα: — A

ἐκβεβλημένον: — M[g]A[g]

πτῶμα: — M[g]A[g]B

700 τινὲς καὶ τοῦτο τῆς Ἑκάβης εἶναί φασιν: — M[1]B[i]

ὁμαλῇ ψάμμῳ: — M[1]B[i]

---

4. 5 scholio p. 61,32 adi. M[1]A   4 γράψον καὶ A γράφεται om. B   ἀντὶ τοῦ] ἐστιν A om. B   5 ἀπηρτισμένω M ἀπηρτισμένα A   ἢ — μαθοῦσα om. A   ὑπὸ MAB   8 ὑπὸ A   13 post θρηνεῖν ins. ὅτι ἐν τῇ τραγωδίᾳ διεγερμὸς καὶ A   14 ἐγεῖρον om. AB   θρηνωδία A   16 τετυχοῦσα M μετέχουσα A[g]   20 ὦ τέκνον A   24 ἀπὸ M[1]A[g]B[i] post θαλάσσης add. καὶ ἐκβεβλημένον B   25 ἀπὸ A   28 scholio 24 adi. B add. πέσημα γὰρ τὸ   29 εἶναί φασιν om. M[1]   30 scholio quod praecedit adi. M[1]

704 παρῆλθεν: — M$^g$

707 λείπει τὸ ὡς· ὡς οὐκέτ' ὄντα: — M$^1$AB$^i$

709 τίς γάρ νιν ἔκτεινε: ὦ ἐξ ὀνειράτων φρονοῦσα καὶ διανοουμένη Ἑκάβη: — MAB$^i$

710 κατ' εἰρωνείαν εἴρηται. ἢ ὀνομαζόμενος φίλος: — MAA$^g$B$^i$

714 ἀπόρρητα καὶ ἀδιήγητα, ταῦτα τὰ παρόντα δηλονότι: — MB$^i$

περαιτέρω καὶ μείζονα: — M$^1$B$^g$

715 ποῦ τὸ δίκαιον τὸ ἐν τοῖς ξένοις: — M$^1$B$^i$

716 ὦ καταρῶν ἄξιε ὑπὲρ πάντας ἀνθρώπους Πολυμῆστορ: — M$^g$B

μονονουχὶ καὶ εἰς μέρη διεῖλες: — MB

720 οὐδὲ ᾤκτειρας: — M$^g$

724 περιφραστικῶς τὸν δεσπότην: — MB$^i$

726 τί ὑπερτίθῃς: — M$^g$

727 ὡς τοῦ Ταλθυβίου ἀπαγγείλαντος αὐτῷ ἃ ἡ Ἑκάβη αὐτῷ ἐν τοῖς προλαβοῦσιν εἶπεν: — MB

730 ἐμβραδύνεις: — M$^g$

731 τὰ κατὰ τὴν Πολυξένην: — M$^g$

734 ὅτι γὰρ οὐκ ἔστιν Ἑλληνικὸς ὁ νεκρός, φανερόν μοι ποιοῦσιν οἱ πέπλοι μὴ ὄντες Ἑλληνικοί, ἀλλὰ Τρωικοί: — M$^1$B

735 δέμας περιστέλλοντες: — M$^g$B$^g$

736 ὦ δύστηνε Πολύδωρε, τί δράσω ἐγώ, ἡ Ἑκάβη: — MB

πρὸς ἑαυτὴν ἀποστραφεῖσα λέγει. δῆλον δὲ ἐξ ὧν ὁ Ἀγαμέμνων πρὸς αὐτὴν λέγει· τί μοι προσώπῳ νῶτον. τὸ δὲ δύστηνε ὁ Δίδυμός φησι πρὸς τὸν Πολύδωρον λέγειν καὶ ⟨πρὸς ἑαυτὴν⟩ τὴν Ἑκάβην· ὦ δύστηνε Πολύδωρε, ἐμαυτὴν γὰρ λέγω δύστηνον ἀποκαλοῦσά σε, τί δράσω· πότερον ἱκετεύσω Ἀγαμέμνονα ἢ σιωπήσω: — MB

---

3. 4 bis scriptum in A  3 initio add. ἐκ τίνος A$^a$  ὀνείρων AA$^a$ ὄνειρον B  4 in fine add. τίς ἐφόνευσεν αὐτὸν εἰπέ A λέξον περὶ τούτου A$^a$  5 scholio 3. 4 A$^a$ adi. A ins. τὸ δὲ ἐμὸσ ξένοσ  εἴρηται om. A  φίλος om. A  inter folia 16$^v$ et 19$^r$ exciderunt VIII folia quae continebant vss. 712—1069. folia 17 et 18 manu recenti scripta sunt.  8 φίλοισ B$^i$  10 scholio quod praecedit adi. B  in fine add. τὰ τοῦ παιδὸσ μέλη B  20 δέμας π.] γρ. στέλλοντεσ B$^g$  22—26 scholio 21 adi. B add. ἐγκύψασα δὲ διαλέγεται πρὸσ τὸν νεκρὸν πολύδωρον καὶ  22 initio ὦ δύστηνε πολύδωρε τί δράσω add. M  post ἑαυτὴν add. ὅτι γὰρ B  ante λέγει add. ταῦτα B  δὲ] ὅτι M om. B  ante ὁ add. καὶ B  23 φησὶ πρὸσ αὐτὴν B  post νῶτον add. ἐγκλίνασα τὸν δύρῃ add. B  24 καὶ π. ἑ.] καὶ M om. B  26 ἀγαμέμνονοσ M

ἐγκύψασα δὲ διαλέγεται πρὸς τὸν νεκρὸν Πολύδωρον καὶ πρὸς αὑτήν: — $M^i$

739 τί με ἀποστραφεῖσα καὶ τῷ προσώπῳ μου τὸν νῶτόν σου δοῦσα θρηνεῖς: — MB

740 κατὰ ἀφαίρεσιν τοῦ ο, τουτέστιν ὀδύρῃ: — $M^i B^i$

741 † ταῦτα καθ' ἑαυτήν φησιν ἡ Ἑκάβη: — $B^i$

744 ἀντὶ τοῦ μαθεῖν: — $M^g$

745 ἀντὶ τοῦ διαλογίζομαι: — $M^g$

† καὶ τοῦτο καθ' ἑαυτήν φησιν ἡ Ἑκάβη: — $B^i$

746 ἐὰν στίξωμεν εἰς τὸ τοῦδε, νοητέον οὕτως· ἆρα χαλεπὰς καὶ ἐχθρὰς λογίζομαι τὰς τούτου φρένας, τοῦ Ἀγαμέμνονος, οὐκ ὄντος δυσμενοῦς, ἵν' ᾖ τὸ πᾶν περὶ Ἀγαμέμνονος. ἢ εἰς τὸ μᾶλλον στικτέον. ἵνα ᾖ οὕτως· ἆρα πρὸς τὸ δυσμενὲς μᾶλλον ῥέπω τούτου ὄντος οὐχὶ δυσμενοῦς τὰς φρένας: — MB

748 τὰ αὐτά μοι βούλει: — $M^i$

750 τί σκέπτομαι: — $M^g B^i$

754 ποῖον πρᾶγμα ἐπιζητοῦσα: — $M^g$

ἆρα: — $M^g$

755 τὸ τυχεῖν τούτου: — $M^g$

760 ἀντὶ τοῦ ὑπὲρ οὗ: — $M^g$

762 τοῦτόν ποτ' ἔτεκον: πρωθύστερον ποίησον, ἵνα γένηται σαφές· τοῦτόν ποτε ἔφερον ζώνης ὕπο καὶ ἔτεκον: — MB

καὶ ἄλλως: τοῦτόν ποτε εἶχον κατὰ γαστρὸς ὑπὸ τὴν ζώνην καὶ ἐγέννησα αὐτόν: — MB

765 ἐρωτηματικὸς ὁ ἦ σύνδεσμος· ἆρα γάρ τινα ἄλλον ἐγέννησας παῖδα παρ' ἐκείνους ἑτέρῳ τινί: — MB

768 φοβούμενος: — $M^g$

772 πικρότατον τὸν χρυσὸν εἶπε διὰ τὸ αἴτιον αὐτὸν γενέσθαι θανάτου καὶ σφαγῆς: — MB

773 παρὰ τίνος: — $M^g$

775 ὦ ὑπομονητικὴ ἐν τοῖς κακοῖς. ἐὰν ⟨δὲ⟩ τὸν Πολυμήστορα. τλήμονα λέγει διὰ τὸ κέρδος ἀσεβείας κοινωνήσαντα: — MB

---

5 ὀδύρῃ γάρ ἐστιν $B^i$ 11 τούτου om. B post ὄντος add. αὐτοῦ B 13 οὕτως] ὁ M ῥέπων M 15 βουλεύῃ $M^i$ 16 in fine add. ταῦτα $B^i$ 23. 24 καὶ — αὐτόν om. B 26 ἐκείνου MB 28 τὸν om. M ἔφη B αὐτὸν om. B 31 δεινοῖς B ἐὰν . . M ἢ B post τλήμονα add. καὶ ὑπομονητικὸν B 32 ἀσεβεία B

776 πληθυντικῶς εἶπεν ἀντὶ τοῦ· τοιοῦτόν τί ἐστιν: — $M^g$

οἱ νεώτεροι τὴν αὐτὴν Φρυγίαν καὶ Τροίαν φασίν: — $M^iB$

778 τὴν θεράπαιναν δείκνυσιν: — $M^g$

781 ὁ Πολυμήστωρ: — $M^g$

784 † ὄλωλα κοὐδέν: ὄλωλα, φησίν, ὑπὸ τῶν κακῶν καὶ τῶν συμφορῶν καὶ εἰς τὸ οὐδὲν ἥκω. ἢ ἐλλειπτικῶς φησιν· ὄλωλα, ὦ Ἀγάμεμνον, καὶ οὐδὲν λοιπὸν τῶν κακῶν ἄκος εὑρεῖν δύναμαι. ἢ οὐδὲν ὑπολείπεταί μοι κακόν, ὃ οὐ πέπονθα: — B

786 τὴν δυστυχίαν δηλονότι: — M

788 εὐσεβῆ δίκαια: — $M^g$

790 κολαστής: — $M^g$

ἀκολάστου: — $M^g$

791 χθονίους μὲν διὰ τὸ ἄταφον ἐᾶσαι φονεύσαντα, οὐρανίους δὲ διὰ τὸν ξένιον καὶ φίλιον Δία: — MB

794 φιλίας: — $M^g$

γράφεται καὶ ξένων: — $M^i$

λείπει ἡ ἐν· ἐν τῷ ἀριθμῷ τῶν ἐμῶν φίλων πολλάκις τῆς κοινῆς τραπέζης καὶ τῆς ξενίας τὰ πρῶτα τυχών: — MB

795 καὶ λαβὼν τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν, ὅ ἐστι χρήματα: — MB

ἄλλως: πρόνοιαν τῶν κατ' ἐμὲ πραγμάτων, ὅτι πορθηθείσης τῆς Τροίας ἐδυστύχησα εἰς πολλὰ μεγάλως: — MB

800 † νόμῳ γὰρ τοὺς θεοὺς ἡγούμεθα: θεὸν γὰρ ἴσμεν τῷ σέβειν θεοῦ νόμους: — B

† ἄλλως: τῷ γὰρ φυλάττειν τὰ ὑπὸ θεοῦ νενομοθετημένα εἶναι καὶ τὸ θεῖον νομίζομεν: — B

νομίζομεν: — $M^g$

801 ἀφωρισμένα καὶ πρόδηλα ἔχοντες: — $M^i$

† καὶ ζῶμεν ἄδικα: κακοσυνθέτως εἶπεν. ἔδει γὰρ οὕτως εἰπεῖν· καὶ τὰ δίκαι' ὁρισθέντες παρὰ τοῦ θεοῦ τηρεῖν ἐν τοῖς πράγμασιν ἀδίκως ζῶμεν, ἀντὶ τοῦ βιοῦμεν: — B

802 τουτέστιν ὁ νόμος: — $M^g$

804 ἱεροσυλήσωσιν: — $M^g$

---

2 initio add. ὅτι B 17 λείπει ἡ ἐν om. M 19 λαβὴν M τὴν — πρόνοιαν] προμηθίαν B in fine add. καὶ πᾶσαν τὴν ὑπὲρ τοῦ παιδὸς πρόνοιαν B 21—22 ὅτι — μεγάλως om. B 28 ἀφωρισμένοι $M^i$ 29 δεῖ B

805 δίκαιον: — $M^{g}$

807 ὡς γραφεύς: ὡς ζωγράφος ἀπωτέρω στὰς κατανοεῖ τὰς εἰκόνας, εἰ καλῶς γέγραπται τὸ ζῴδιον: — MB

808 ἰδοῦ: βαρυτόνως τὸ ῥῆμα, ὀξυτόνως τὸ ἐπίρρημα: — MB

812 ποῦ μεταφέρεις τὸν πόδα σου: — $M^{i}$B

ποῖ μ': τὸ ἐντελές· ποῦ μοι ὑπεξέρχῃ. ἐδιχοστάτει γὰρ αὐτῇ ἐπικουρεῖν Ἀγαμέμνων διὰ τὸ φίλον εἶναι τὸν Πολυμήστορα. οὐ γὰρ συνεμάχησε τοῖς Τρωσὶ χαριζόμενος τοῖς Ἕλλησι: — MB

815 ζητοῦμεν ἃ οὐδέν ἐστι, τὴν δὲ πειθὼ μόνην οὐκ ἀσκοῦμεν μισθοὺς διδόντες: — MB

816 πειθὼ δὲ τὴν τύραννον: ὁ νοῦς· οὐ σπουδάζομεν τὴν πειθὼ μανθάνειν ἀκριβῶς, ἧς ἔδει μᾶλλον τῶν ἄλλων τεχνῶν ἀντιποιεῖσθαι: — MB

καὶ ἄλλως: οὐκ ἀνατίθησιν οὐδὲ τοῖς ῥήτορσι τὴν τοῦ ⟨ἀεὶ⟩ πείθειν δύναμιν: — M$M^{g}$B

818 ἵνα ὑπάρχῃ τὸ πείθειν εἰς ἃ τις βούλεται:— $M^{i}$B

820 πῶς οὖν: — $M^{g}$

εἰς τί οὖν ἐλπίσειέ τις πράξειν καλῶς: — M$B^{i}$

823 γράφεται καὶ ὑπερτέλλοντα: — $B^{g}$

824 μάταιον ἀδόκιμον: — $M^{g}$

825 οὐ μαστροπώδεις οἱ λόγοι, ἀλλ' ἀφαιρεθεῖσα τὸν τῆς τύχης ὄγκον εἰς πᾶν ὁτιοῦν καταβαίνει καθομιλοῦσα τοῖς καιροῖς καὶ λέγουσα ταῦτα δι' ὧν ἔμελλε θηρᾶσθαι βοήθειαν: — MB

827 ἡ Κασάνδρα: — $M^{g}$

φοιβάς: ἡ μάντις: — B

828 διὰ τὸ ἐν αὐταῖς σκέπτεσθαι: — MB

830 ἀπ' ἐκείνης δὲ ἐγώ: — $M^{g}B^{i}$

---

2 ὡς καὶ M  3 γέγραπται τ. ζ] ἐγράφησαν, οὕτω καὶ σύ με ἄθρησον οἵοις κακοῖς περιέπεσον B  4 ita scholio quod praecedit adi. B τὸ δὲ ἴδου βαρυτονεῖται ῥῆμα ὂν ἐπίρρημα δὲ ὀξύνεται  6—8 scholio quod praecedit adi. B  9 initio add. καὶ M  13 in fine add. ἵν' εἴποτε πείθειν ἔδει καὶ τὰ ἑξῆς B  14. 15 eis quae praecedunt adi. B  14 οὐδὲ $M^{g}$ οὔτε M δὲ ἀεὶ B τὴν om. $M^{g}$  16 eis quae praecedunt adi. B ins. εἰπὼν τὸ ποτὲ ὡς οὐκ ἀεὶ πείθειν δυναμένων ἀλλ' ὅτε δεῖ καὶ ἐν οἷς  post ὑπάρχῃ add. φησὶ B βούλοιτο B  26 eis quae secuntur adi. B ins. εὔφρόνας δὲ τὰς νύκτας ante σκέπτεσθαι add. καλῶς B

831 νυκτερινῶν: — Mg

834 ἀντὶ τοῦ γαμβροῦ κηδεστὴν εἶπεν: — MBi

838 ἢ Δαιδάλου τέχναισιν: περὶ τῶν Δαιδάλου ἔργων, ὅτι ἐκινεῖτο καὶ προΐει φωνήν, αὐτός τε ὁ Εὐριπίδης ἐν Εὐρυσθεῖ λέγει [frg. 373]· 'οὐκ ἔστιν, ὦ γεραιέ, μὴ δείσῃς τάδε· τὰ Δαιδάλεια πάντα κινεῖσθαι δοκεῖ βλέπειν τ' ἀγάλμαθ'· ὧδ' ἀνὴρ κεῖνος σοφός'· καὶ Κρατῖνος ἐν Θρᾴτταις [frg. 74]· † πανὶ κακὸν δεῦρο μαστεύων τινὰ ποτὲ χαλκοῦν ἢ ξύλινον καὶ χρύσεον προσῆν οὐδαμῶς ξύλινος ἐκεῖνος ἀλλὰ χαλκοῦς ὢν ἀπέδρα. πότερον Δαιδάλειος ἦν ἤ τις ἐξέκλεψεν αὐτόν'. καὶ Πλάτων [frg. 188]· 'οὗτος τίς εἶ, λέγε ταχύ, τί σιγᾷς· οὐκ ἐρεῖς. Ἑρμῆς ἔγωγε Δαιδάλου φωνὴν ἔχων ξύλινος βαδίζων αὐτόματος ἐλήλυθα': — MB

839 ἵνα [μου] τὰ μέλη πάντα φωνὴν ἀφιέντα κατὰ ταυτὸν ἱκετεύοιέν σε: — MgBi

ὁμοῦ: — Mg

840 παραγγέλλοντα: — Mg

843 βοηθόν: — Mg

ἀλλ' εἰ καὶ μηδέν ἐστιν ἡ ἱκετεύουσά σε, ἀντὶ τοῦ· μὴ ὡς αἰχμάλωτον καὶ δούλην παρίδῃς: — M

† εἰ καὶ μηδέν ἐστιν: εἰ καὶ μηδέν ἐστιν ἡ ἱκετεύουσά σε ὡς αἰχμάλωτος καὶ δούλη, ἀλλ' οὖν δι' αὐτὸ τὸ δίκαιον τιμώρησαι τὸν Πολυμήστορα. τοῦτο γάρ ἐστιν ἀνδρὸς ἀγαθοῦ, τὸ τοὺς κακοὺς ἐννόμως τιμωρεῖσθαι: — B

846 ὅτι: — Mg

847 καὶ τὰς ἀνάγκας οἱ νόμοι διώρισαν: μεταλλακτέον τὰς πτώσεις· ἔστι γάρ· καὶ αἱ ἀνάγκαι τοὺς νόμους διώρισαν. ὁ δὲ νοῦς· δεινὸν ὅτι πάντα συνέρχεται τὰ κακὰ κατὰ ταὐτὸν τοῖς ἀνθρώποις, καὶ αἱ ἀνάγκαι τὰ νενομισμένα τοῖς ἀνθρώποις μετήλλαξαν. ἐδέδοκτο γὰρ

2 initio add. τὸ χ̄ ὅτι Bi in fine add. ἀδελφὸσ γὰρ ἦν τῆσ κασσάνδρασ Bi 4—11 Tzetz. chil. 1, 512—519 4 ὁ om. B λέγει om. M 5 δαιδάλια M 6 βλέπειν Grotius βλέπει MB Tzetzes ὅδ' B 7 πανὶ — ἐκεῖνος] locus insanabilis .... Πανὶ κάδον δεῦρο βάστασόν τινα. | B. πότερα χαλκοῦν ἢ ξύλινον; A. καὶ χρυσοῦν ἐὰν προσῇ. | B. οὐδαμῶς, ξύλινος δ' ἐκεῖνος ⟨σοι. χαλκοῦς μοι ποτ' ἦν,⟩ G. Hermann et Dobree 6 μαστάω Meineke 8 post ἐκεῖνος lacunam statuit Meineke 9 πότερα Meineke ἔκλεψεν Meineke 10 οὗτος — σιγᾷς om. M 11 αὐτομάτωσ B 12 μου] ὁμοῦ Laurent. 32, 33 καταὐτῶν Mg 12. 13 ἱκετεύοιέν σε om. Mg ἱκέτευόν σε Bi 26 καταυτὸν M corr. man. rec. 27 αἱ om. M τοῖσ ἀνθρώποισ τὰ νεν. B γοῦν M

πολέμιον εἶναι τῇ Ἑκάβῃ τὸν Ἀγαμέμνονα, ἀλλ' ἡ ἀνάγκη τὸ νενομισμένον τῇ Ἑκάβῃ μετήλλαξεν: — MB

*καὶ ἄλλως*· ἐναντίως εἶπεν. ἔδει γάρ· καὶ τοὺς νόμους αἱ ἀνάγκαι διορίζουσιν· αὗται γὰρ καὶ νόμων ἐπικρατέστεραι, οὐ τὸ ἐναντίον, διότι οἱ νόμοι τὰ ἑκούσια τιμωροῦνται, οὐχὶ τὰ ἐξ ἀνάγκης δρώμενα· ὡς καὶ νῦν ἡ γραῦς ἐξ ἀνάγκης φίλον ποιεῖται τὸν πολέμιον: — MB

ὁ δὲ Δίδυμος οὕτως· μᾶλλον ὤφειλεν εἰπεῖν ὅτι τοὺς νόμους αἱ ἀνάγκαι διορίζουσιν· αἱ γὰρ ἀνάγκαι καὶ τῶν νόμων ἐπικρατέστεραι, οὐχ οἱ νόμοι τῶν ἀναγκῶν. καὶ νῦν οὖν τοὐναντίον εἶπεν: — M

*καὶ ἄλλως*: οἷον αἱ ἀνάγκαι οὐκ ἀκολούθως τοῖς νόμοις πράττουσιν: — MB$^1$

διετύπωσαν ἀφορίζουσιν: — M$^g$B$^1$

850 ἐγώ σε καὶ τὸν παῖδά σου καὶ τὰς δυστυχίας καὶ τὴν ἱκέσιον χεῖρα ἐλεῶ: — MB

852 *καὶ βούλομαι θεῶν θ' οὕνεκα*: τὸ ἑξῆς· καὶ βούλομαι θεῶν οὕνεκα καὶ τοῦ δικαίου ἀνόσιον ξένον τήνδε σοι δοῦναι δίκην: — M

854 *εἴ πως φανείη γ'*: εἴ πως φανείη σοι συμμαχία ὥστε καὶ σοὶ καλῶς γενέσθαι, καὶ τοῖς Ἕλλησι μὴ δόξω διὰ Κασάνδραν τιμωρεῖσθαι τὸν Πολυμήστορα: — MB

857 λείπει τὸ τί, ἵνα ᾖ· ἔστι γάρ τι καθ' ὃ τετάραγμαι· ποῖον τοῦτο. τὸν ἄνδρα τοῦτον φίλιον ἡγεῖται στρατός: — M$^1$B

*ἄλλως*: ἔμελλεν εἰπεῖν ὅτι ἐστὶ φίλος τοῖς Ἕλλησιν· εἶτα μεταλογιζόμενός φησι· ταραγμὸς ἐμπέπτωκέ μοι, ἀντὶ τοῦ τετάραγμαι, ἐννοήσας ὅτι φίλος ἐστὶ τῷ στρατεύματι ὁ Πολυμήστωρ: — M$^1$B

ὅπου: — M$^g$

860 δηλονότι ὁ Πολύδωρος: — M$^1$

862 βοηθῆσαι: — M

863 ἀκίνητον: — M$^g$

---

1 ἡ om. M 3 αἱ om. M 4 γὰρ om. B 5 καὶ om. M 6 φιλοποιεῖται M 7 οὕτως Cobet οὐ M 9 τοὐναντίον εἶπεν a consarcinatore addita. olim similia legebantur atque in scholio quod nunc praecedit 10. 11 scholio quod sequitur adi. B$^1$ in fine add. ὅθεν αἱ ἀνάγκαι τῶν νόμων ἐπικρατέστεραί εἰσιν οὐχ οἱ νόμοι τῶν ἀναγκῶν B$^1$ 13 ἱκεσίαν B 17 φανείη — συμμαχία] δυνατὸν γένοιτο B 19 τὸν Π. om. M 20 ante καθ' ὃ ins. φησὶ B 21 τοῦτο] τὸ M$^1$ φίλον B 22. 23 μεταλογισάμενος B 23 ἀντὶ τοῦ τετάραγμαι post εἶτα coll. M$^1$

864 φεῦ οὐκ ἔστι θνητῶν: ταῦτά φησιν, ὅτι ἐν ἐξουσίᾳ ὢν ὁ Ἀγαμέμνων οὐ δύναται αὐτῇ χάριν παρασχεῖν ὑφορώμενος τοὺς Ἕλληνας: — MB

865 ἢ χρημάτων γὰρ δοῦλός ἐστι: δοῦλος τύχης ἐστὶν ὁ ὑπὸ τῆς τύχης ἀναγκαζόμενος δουλεύειν: — MB

ἄλλως: τύχης: εὐτυχίας εὐδαίμονος ἀνδρός· τῇ γὰρ εὐτυχίᾳ τῶν μειζόνων δουλεύομεν. οὕτως τινές· οὐ τῆς θείας τύχης φησίν, ἀλλὰ τῆς μερικῆς καὶ ἐν ἀνδράσιν ὁρωμένης: — MB

εὐδαιμονίας: — M$^g$

868 οἷον τὰ κεχαρισμένα πράττεις τοῖς Ἕλλησιν: — MM$^g$B

870 συγγίνωσκε: — M$^g$

συγγίνωσκε μὲν γὰρ ἐάν τι κακὸν ἐργάσωμαι τῷ τόν⟨δε, τὸν⟩ Πολύδωρον δηλονότι, ἀποκτείναντι: — MB

875 διαθήσω καλῶς: — M$^g$

879 ποία δύναμίς σοι συμβάλλεται: — M$^g$

884 ἀκαταμάχητον: — M$^g$

886 τί δ'· οὐ γυναῖκες εἷλον Αἰγύπτου τέκνα: Αἴγυπτος καὶ Δαναὸς ἀδελφοὶ ἦσαν ἀπὸ Ἰοῦς τῆς Ἰνάχου θυγατρός. τούτων ὁ μὲν Αἴγυπτος ἔσχε ῡ παῖδας ἄρρενας, ὁ δὲ Δαναὸς εἶχε καὶ αὐτὸς ῡ θυγατέρας. οὗτος φθονῶν τῷ ἀδελφῷ Αἰγύπτῳ διὰ τὴν τῶν ἀρρένων παίδων κτῆσιν καὶ φοβηθεὶς ὅπως μὴ ὑπ' αὐτῶν ἐκβληθῇ ἐκ τῆς βασιλείας, [ἀνδρωθέντων τῶν υἱῶν αὐτοῦ] ἐδίωξεν αὐτὸν εἰς τὴν Αἴγυπτον ἅμα τοῖς παισίν, ὅθεν καὶ ἀπ' αὐτοῦ ἡ χώρα Αἴγυπτος ἐκλήθη. χρόνου δέ τινος διαγενομένου καὶ τῶν παίδων ἀνδρωθέντων θαρρῶν τῇ τούτων δυνάμει παρεγένετο εἰς τὸ Ἄργος. ὁ δὲ Δαναὸς φοβηθεὶς αὐτὸν καὶ πρόνοιαν ἑαυτοῦ ποιούμενος καὶ τῆς βασιλείας ἐπιβουλὴν κατὰ τῶν Αἰγύπτου υἱῶν ταύτην ἐσκέψατο. συνέθετο γὰρ τῷ Αἰγύπτῳ συνάψαι πρὸς γάμον τὰς ἑαυτοῦ θυγατέρας τοῖς υἱοῖς αὐτοῦ. ἑτοίμως δὲ τοῦτο κατεπαγγειλαμένου τοῦ Αἰγύπτου συνεβούλευσε ταῖς θυγατράσιν ὁ Δαναὸς ὥστε ἀνελεῖν νύκτωρ τοὺς ἑαυτῶν ἄνδρας πρὸ τῆς μίξεως τῆς πρὸς αὐτὰς θάνατον ἐπαπειλήσας ταῖς μὴ

---

1 ὅτι om. M 5 τῆς om. B 7 post θείας ins. οὖν B φησὶν in fine coll. B 10 scholio 6—8 adi. B om. οἷον et add. τῷ ὄχλῳ δὲ τὸ πλέον νέμεις ἀντὶ τοῦ οἷον om. M πράττεις] παρὰ M$^g$ 12 γὰρ om. B ἐάν—ἐργάσωμαι] οἱονεὶ M 13 δηλονότι om. B in fine add. πολυμήστορι μὴ μέντοι συμπράξῃς μοι B 19 ἔσχε B 21 ἐκ om. B 23 διαγενομένου Vat. 1135 γενομένου M παρελθόντος B 24 τούτων Vat. 1135 Laur. 32, 33 τούτου M τῶν παίδων B 28 κατεπαγγειλάμενος τῷ αἰγύπτῳ MB 30 αὐτοὺς B

τοῦτο ποιούσαις. αἱ μὲν οὖν πᾶσαι ἔχουσαι τὰ τοῦ πατρὸς προστάγματα ἀνεῖλον τοὺς ἄνδρας. μία δὲ μόνη τούτων ἡ Ὑπερμνήστρα ἐφείσατο τοῦ Λυγκέως, ἀπὸ τῆς μίξεως διάθεσιν ἐσχηκυῖα πρὸς αὐτόν. οὗτος δὲ σωθεὶς ἐξεδίκησε τοὺς ἀδελφούς. ἐφόνευσε γὰρ τὰς θυγατέρας τοῦ Δαναοῦ, ἅμα καὶ αὐτόν, καὶ τῆς τούτου βασιλείας ἐκράτησε τοῦ Ἄργους ἅμα τῇ Ὑπερμνήστρᾳ. καὶ γίνεται ἐκ τούτων Ἄβας· ἐξ Ἄβαντος Προῖτος καὶ Ἀκρίσιος· ἐξ Ἀκρισίου Δανάη· ἐκ Δανάης Περσεύς· ἐκ Περσέως Ἀλκαῖος, Ἠλεκτρύων, καὶ Σθένελος· ὧν ὁ μὲν Ἀλκαῖος Ἀμφιτρύωνα ἔσχε παῖδα, ὁ δὲ Ἠλεκτρύων τὴν Ἀλκμήνην. ἐξ Ἀλκμήνης Ἡρακλῆς καὶ Ἰφικλῆς, ἐξ οὗ Ἰόλαος: — MB

887 καὶ Λῆμνον ἄρδην: Δίδυμος οὕτως· Πελασγοὶ ἐπιθέμενοί ποτε ταῖς Ἀθήναις πολλὰ τῶν ἐξ Ἀθηνῶν ἁρπάσαντες ἤγαγον εἰς Λῆμνον, ἐν οἷς καὶ γυναῖκας Ἀττικάς, αἷς καὶ παλλακίσι χρησάμενοι ἔσχον παῖδας, οὓς αἱ μητέρες τήν τε πατρῴαν γλῶσσαν καὶ τὰ ἔθη ἐδίδαξαν. οἱ δὲ συνήρχοντό τε ἀλλήλοις καὶ εἴ τις τύπτοι τινὰ αὐτῶν, ἐβοήθουν ἅπαντες. καὶ τέλος ἄρχοντα ἴδιον ποιήσαντες παρώξυναν τοὺς Πελασγοὺς οὕτως ὥστε ἐκείνους ἀνελεῖν τε τοὺς παῖδας ἅπαντας καὶ Ἀττικὰς πάσας γυναῖκας. καὶ μετὰ ταῦτα καὶ αἱ Λήμνιαι γυναῖκες τοὺς σὺν Θόαντι πάντας ἀπέκτειναν. δι' ἀμφότερα οὖν ταῦτα ἡ παροιμία ἐδόθη· τὰ Λήμνια κακά: — MB

καὶ ἄλλως: Πελασγοὶ ταῖς Ἀθήναις ἐπιθέμενοι ἥρπασαν ἄλλα τε ⟨καὶ γύ⟩ναια, ἃ εἰς Λῆμνον ἤγαγον καὶ χρησάμενοι ἐπαιδοποίησαν. αἱ δὲ τοὺς παῖδας τὴν πάτριον φωνήν τε καὶ τὰ ἔθη ἐπαίδευσαν. οἱ δὲ ἡβή⟨σαντες⟩ φίλοι τε ἀλλήλοις ἦσαν καὶ ἠμύναν⟨το⟩ τοὺς ἀδικοῦντας. τέλος δὲ καὶ ἄρχοντα αὐτοῖς ⟨ἐπέ⟩στη⟨σαν⟩, ἐφ' οἷς ἀγανακτήσαντες οἱ πατέρες ⟨αὐτούς⟩ τε καὶ τὰς μητέρας ἀνεῖλον. μετὰ δὲ ταῦτα αἱ Λημνιάδες τοὺς σὺν Θόαντι ἀνεῖλον. δι' ἄμφω οὖν ἡ παροιμία ἐδόθη· τὰ Λήμνια κακά: — M

887 παντελῶς: — M[g]

889 πέμψον δέ μοι τήνδ' ἀσφαλῶς: ἀφόβως καὶ ἀκινδύνως, ἵνα μήτις τῶν Ἑλλήνων κωλύσῃ αὐτὴν αἰχμάλωτον οὖσαν: — M

---

1 τὸ — πρόσταγμα B 2 ἡ Υ.] om. MB add. Vat. 1135 5 ὑπερμήστρα MB 7 ἐκ Δ. om. B 9 ἴφικλος B 11—28 cf. Zenob. IV 91, praeterea Phot. Suid. Didymus exscripsit Herodot. VI 138 12 πολλοὺς B 13 γυναῖκας om. M καὶ om. B 15 τε] τότε B τύπτει M 16—18 τέλος—γυναῖκας καὶ om. B 17 ὡς M 18 καὶ om. B 19 δὴ οὖν B 21—28 quae in M detrita sunt, suppleui ex cod. Laur. 31,10 ubi idem scholion legitur 24. 25 τέλος δὲ Laur. 31,10 πελασγοὺς M

890 ἐγγίσασα: — M[g]

892 σὸν οὐκ ἔλασσον: ἀντὶ τοῦ μᾶλλον, ἵνα ᾖ· διὰ σὸν μᾶλλον χρέος ἤπερ ἐκείνης: — MB

893 καὶ παῖδας: σὺ δὲ κάλεσον καὶ τοὺς παῖδας ὡς ὅτι δεῖ καὶ τοὺς [ἐξ ἐκείνης] παῖδας εἰδέναι τοὺς ἡμετέρους λόγους: — MB

895 ἀντὶ τοῦ ἀναβαλοῦ τὴν ταφὴν αὐτῆς: — M[g]

896 ὡς τώδ' ἀδελφώ: δυϊκῶς τοὺς ἀδελφούς: — MB

ὅπως τοὺς ἐμοὺς παῖδας εἰς μίαν πυρκαϊὰν ἐμβαλοῦσα τῇ ἐμῇ μερίμνῃ θάψω. τὸν Πολύδωρον καὶ τὴν Πολυξένην: — MB

καὶ ἄλλως: ἵνα οὗτοι οἱ δύο ἀδελφοὶ πλησίον μιᾷ φλογὶ κρυφθῶσι χθονί. μέριμναι δὲ ἀλγηδόνες τῇ μητρί: — MB

898 ἔσται τάδ' οὕτως: οὐ καλῶς φησι ταῦτα ὁ Ἀγαμέμνων. ἐχρῆν γὰρ αὐτὸν ἅπαξ δόντα τὴν χάριν σιωπῆσαι καὶ μὴ ἐλέγξαι τὴν ἑαυτοῦ γνώμην· οὐ γὰρ ἀνάγκῃ τοιαύτῃ ὑπέκειτο βασιλεὺς ὤν: — MB

900 ἀφίησιν: — M[g]

ἐπιτηδείους: — M[g]

901 γαληνόν, χωρὶς ἀνέμου: — M[g]

902 γένοιτο δ' εὖ πως: εἴη δὲ πραχθῆναι τὸ κατὰ σὲ καλῶς, ὅτι πᾶσι καταθύμιον τοῦτο. ὁ γὰρ φόνον δράσας κοινὸν τοῖς ἀνθρώποις ἀδίκημα ἐποίησε λυμηνάμενος τῷ κοινῷ νόμῳ καὶ ἀδικήσας τὸ τῆς φύσεως ὁμοιογενές: — MB

906 ἀριθμηθήσῃ κληθήσῃ: — M[i]

907 ἀντὶ τοῦ ὁ πόλεμος: — M[i]

ἡ ἀμφί πρὸς τὸ κρύπτει, ὅ ἐστι περικαλύπτει: — M[i]

910 ἀπὸ δὲ στεφάναν κέκαρσαι: Καλλισθένης ἐν β τῶν Ἑλληνικῶν [frg. 15] οὕτως γράφει· 'ἑάλω μὲν ἡ Τροία Θαργηλιῶνος μηνός, ὡς μέν τινες τῶν ἱστορικῶν, ιβ ἱσταμένου, ὡς δὲ ὁ τὴν μικρὰν Ἰλιάδα,

2. 3 in M nihil extat nisi ἵνα ᾖ διὰ σὸν χρέος ..... 4 καὶ om. M 5 ἐκείνου B 6 ἀναβάλλου Mg 7 scholio quod sequitur adi. B de M non constat cum verba τοὺς — ὅπως detrita sint 8 post παῖδας ins. τόν τε πολύδωρον καὶ τὴν πολυξένην B 9 τὸν — Πολυξένην om. B 12 οὐ om. M 14 οὐ γὰρ] ἀλλ' οὐκ B τοιαύτῃ om. M βασιλεὺς ὤν] ἀφίησιν M 18 τὸ om. M 19 ὅτι καὶ B 20 λυμηνόμενος M 22—24 ita conglutinauit οὐκέτι φησὶν ὦ πατρὶς ἰλιὰς ταῖς ἀπορθήτοις πόλεσι συγκαταριθμηθήσῃ νέφος δὲ ἀντὶ τοῦ πόλεμον τὸ νέφος πορθεῖσάν σε τῶν ἑλλήνων ἀντὶ τοῦ ὁ πόλεμος ἡ δὲ ἀμφὶ πρὸς τὸ κρύπτει τουτέστι περικαλύπτει σε: — B[i] 25 — p. 72,6 cf. Marm. Par. 40 [CIG II 2374] Dionys. AR I 63 Plut. Camill. 19 Clem. Al. strom. I p. 381 P. 26 μὲν] δὲ B 27 τινες] τοι M $\overline{ιβ}$ scripsi coll. Clem. Al. $\overline{ν}$ M $\overline{η}$ B

ἢ φθίνοντος. διορίζει γὰρ αὐτὸς τὴν ἅλωσιν φάσκων συμβῆναι τότε τὴν κατάληψιν, ἡνίκα [frg. 11] 'νὺξ μὲν ἔην μέσση, λαμπρὰ δ' ἐπέτελλε σελήνη'. μεσονύκτιος δὲ μόνον τῇ ὀγδόῃ φθίνοντος ἀνατέλλει, ἐν ἄλλῃ δ' οὔ'. ⟨ᾧ⟩ συμπεφώνηκεν Εὐριπίδης ὡς ὁμολογουμένης τῆς δόξης. Λυσίμαχος [frg. 20] δέ φησι Δημοφῶντος Ἀθήνησι βασιλεύοντος ἔτους πρώτου Θαργηλιῶνος [ἱσταμένου] δωδεκάτῃ: — MB

τὸ κάλλος, τὴν ἐξοχὴν τοῦ τείχους: — M$^{i}$

ἀντὶ τοῦ ἀπεκόπης: — M$^{i}$

911 κατὰ δ' αἰθάλου καπνοῦ: τοῦ ἀπὸ αἰθάλης καὶ πυρὸς γενομένου καπνοῦ. ῥυπαρίαν τοῦ μελαίνοντος καπνοῦ: — M$^{i}$B$^{i}$

912 βάρος μίασμα: — M$^{g}$

κεκάπνισαι. ἢ κέκαυσαι: — M$^{g}$

913 ἐπιβήσομαι. ἀντὶ τοῦ· εἰσέλθω εἰς σέ: — M$^{i}$

915 ἡνίκα ἐκ δείπνων: — MB$^{i}$

ἐπὶ τοῖς ὀφθαλμοῖς: — MB$^{i}$

916 διασκορπίζεται: — M$^{i}$

μολπᾶν δ' ἄπο καὶ χαροποιῶν: τουτέστι· καταπαύσαντες τοὺς χοροὺς καὶ τὰς ᾠδὰς καὶ τὰς θυσίας οἱ ἄνδρες ἀνεπαύοντο ἐν τοῖς οἴκοις ἀμέριμνοι, ὡς ἀναπλευσάντων τῶν Ἑλλήνων: — MB

καὶ ἄλλως: καὶ παυσάμενοι, φησί, τῶν χορῶν καὶ τῶν θυσιῶν ἀνεπαύοντο πάντες οἱ ἄνδρες ἀμεριμνήσαντες διὰ τοὺς Ἕλληνας: — M

918 θυσίαν καταπαύσας: εἰς Τένεδον γὰρ προσορμισθέντες καὶ ἔμφασιν ποιήσαντες τῆς οἴκαδε ἐπανόδου νυκτὸς ἐπῆλθον τοῖς Τρωσὶν ἀπὸ χορειῶν καὶ εὐωχίας οὖσι διὰ τὴν καθίδρυσιν τοῦ δουρείου ἵππου καὶ κεκμηκότας ἀνεῖλον αὐτούς: — MB

919 πόσις ἐν θαλάμοις: τὸ ἑξῆς· πόσις ἐν θαλάμοις ἔκειτο ναυτᾶν οὐκέθ' ὁρῶν ὅμιλον, ξυστὸν δὲ ἐπὶ πασσάλῳ. ἀπὸ κοινοῦ δὲ τὸ ἔκειτο: — MB$^{i}$

920 ξυστὸν δ' ἐπὶ πασσάλῳ: τὸ δὲ ἀκόντιον ἐπὶ τῷ πασσάλῳ

---

1 ἢ] ὀγδόην M 2 μέση MB ἐπέστελλε M 3—4 ἀνατέλλει — ᾧ] ἀνατέλειειν ἄλλη δ' οὐ M ἀνατέλλει ἄλλα δ' οὔ B ἀνατέλλει, ἐν ἄλλοις δ' οὐ Cobet 6 πρώτου scripsi coll. Clem. Al. τετάρτου MB ἱσταμένου del. C. Müller 10 ἤτοι ante ῥυπαρίαν add. B$^{i}$ 14 et 15 coni. B$^{i}$ in fine add. ὁ γλυκὺσ ὕπνοσ κατασκεδάζεται 17 μολπὰν δὲ χαροποιῶν M μολπὰν δ' ἄπο καὶ χαροποιὸν B 22—25 scholio 17—19 adi. B add. οἱ γὰρ ἕλληνεσ 22 γὰρ om. B 25 κεκμηκόσιν M 27 ναυτῶν B$^{i}$ post πασσάλῳ add. ἔκειτο B$^{i}$ δὲ] γὰρ B$^{i}$ 29 τῶν πασσάλων MB

ἐκρέματο, ἐπεὶ τὸν τῶν Ἑλλήνων ὄχλον οὐκ ἐθεωροῦμεν ἐν τῇ Τροίᾳ. τὸ δὲ ἀκόντιον εἰπὼν ἀπὸ μέρους ἐδήλωσεν ὅλα τὰ ὅπλα: — MB

ἀπὸ ἑνὸς τὰ πάντα ὅπλα δηλοῖ: — $M^i$

λείπει τὸ ἐκρέμασεν: — $M^i$

923 διασυρτικῶς γυναικῶν τὸ καὶ μέσης νυκτὸς καλλωπίζεσθαι: — $MB^i$

924 μίτραισιν: μετὰ τὸ εὐωχηθῆναι ἐν ταῖς μίτραις ἐκαλλωπιζόμην καὶ ἀνεδέσμουν ἐπὶ τῷ καθεύδειν μετὰ τοῦ ἀνδρός, κατὰ τὸ γυναικεῖον ἔθος. μίτραις δὲ τοῖς κεφαλοδεσμίοις: — MB

κατεκόσμουν, κατὰ ῥυθμὸν ἐτίθουν: — $M^iB^i$

926 λεύσσουσ' ἀτέρμονας εἰς αὐγάς: περιφερεῖς· τούτων γὰρ οὐκ ἔστι τέρμα· τὰ γὰρ κυκλοτερῆ τέρματα οὐκ ἔχει. λέγει δὲ λεύσσουσ' εἰς κυκλοτερεῖς αὐγάς. οἱονεὶ τὰς κυκλοτερεῖς. τούτων γὰρ οὐκ ἔστι τέρμα. παρὰ τὸ εἰωθὸς δὲ ἔφη μεσονύκτιον ἐσοπτρίζεσθαι: — MB

ἀτέρμονας εἰς αὐγάς: ἀπληρώτους. ἢ κυκλοτερεῖς· ταῦτα γὰρ ἀτελῆ: — M

927 ἵνα: — $M^g$

930 πότε δὴ πότε: λείπει τὸ εἰ μὴ νῦν. ὁ δὲ νοῦς· τοῦτο δέ, φησίν, ἔλεγον οἱ Ἕλληνες παρακελευόμενοι ἀλλήλους· πότε δὴ τὴν ἀκρόπολιν πορθήσαντες τῆς Τροίας παραγένησθε εἰς τὰ οἰκεῖα: — $MB^i$

933 τὰ προσφιλῆ: — $M^gB^i$

934 λιποῦσα Δωρὶς ὡς κόρα: Δοῦρις ἐν τῇ β τῶν Ὥρων [frg. 50] γράφει οὕτως· κατὰ δὲ τοῦτον τὸν χρόνον ὑπὸ Αἰγινητῶν Ἀθηναῖοι κατὰ θάλατταν ὀχλούμενοι πέμπουσι πεζοὺς εἰς τὴν νῆσον ὑπολαμβάνοντες, ἂν φθάσωσι πεζοὺς ἀποβιβάσαντες, πολλὰ ⟨ἂν⟩ βλάψαι τὴν Αἴγιναν. οἱ δὲ ἐπεξελθόντες· ἔτυχον γὰρ αὐτοῖς προσκαταπεπλευκότες τῶν Σπαρτιατῶν τινες· τοὺς Ἀθηναίους ἀπαντῶντας ἀπέκτειναν πλὴν ἑνός, τοῦτον δὲ ἀπέστειλαν ἀπαγγελοῦντα. τὸν δέ, ὡς ἦλθεν, περιέστησαν αἱ τῶν τεθνεώτων γυναῖκες, αἱ μὲν ἐρωτῶσαι τοὺς ἄνδρας τί

---

2 εἰπὼν om. M ἐδήλωσεν] εἶπεν M 5. 6 scholio 10 adi. $B^i$ 5 διασυρτικῶς] εὑρετὴ καὶ M 9 μίτραις — κεφαλοδεσμίοις om. B, sed scholio 5. 6 adi. $B^i$ 11—15 scholio 7—9 adi. B add. ἀτέρμονας δὲ 13 οἱονεὶ τ. κ.] τουτέστι τὰς τέλος μὴ ἐχούσας B 14. 15 ἐνοπτρίζεσθαι B 20 ἀλλήλοις $B^i$ δὴ om. $B^i$ 21 παραγενέσθαι M 23 — p. 74,10 cf. Herodot. V 86—88 23 ιβ M corr. Hullemann 24 γράφει] γὰρ M 26 ἀποβάντες M corr. Cobet ἂν add. Cobet

γεγόνασιν, αἱ δὲ τοὺς υἱούς, αἱ δὲ τοὺς ἀδελφούς· ἐτύγχανον δὲ φοροῦσαι κατ' ἐκεῖνον τὸν χρόνον Δωρίδα στολήν. τὰς περόνας οὖν ἀπὸ τῶν ὤμων ἑλκυσάμεναι τὸν ἄνθρωπον πρῶτον ἐξετύφλωσαν, εἶτα ἀπέκτειναν. οἱ δὲ Ἀθηναῖοι μεγάλην ἡγήσαντο συμφορὰν τὸ γενόμενον πάθος, ἔδοξε δὲ αὐτοῖς περιελέσθαι τῶν γυναικῶν τὰς περόνας, ἐπείπερ εἰς ὁπλισμὸν αὐταῖς περιέστησαν, οὐ φυλακὴν τῆς ἀμπεχόνης. πάντων δὲ ἰδιαίτατον συνέβαινεν ἐπὶ τῶν Ἀθηναίων· οἱ μὲν γὰρ κόμας ἐφόρουν, αἱ δὲ γυναῖκες ἐκείροντο, καὶ τοῖς μὲν ἀνδράσι ποδήρεις ἦσαν χιτῶνες, αἱ δὲ γυναῖκες ἐβρύαζον ἐν τῇ Δωρίδι στολῇ. διόπερ καὶ εἰς ἡμᾶς πολλοὶ τὰς ἀχίτωνας δωριάζειν ἔφασαν: — M

αἱ Λακεδαιμόνιαι κόραι διημερεύουσιν ἄζωστοι καὶ ἀχίτωνες ἱματίδιον ἔχουσαι πεπορπημένον ἐφ' ἑκατέρου τῶν ὤμων. καὶ Καλλίμαχος [frg. 225]· 'ἔσχεν ὅτ' ἄζωστος χἀτερόπορπος ἔτι'. καὶ τῶν ἐν ταῖς ἀρχαίαις γραφαῖς οὐκ ὀλίγα οὕτως ἔσταλται. καὶ δωριάζειν τὸ γυμνουμένας φαίνεσθαι τὰς γυναῖκας. Ἀνακρέων [frg. 59]· 'ἐκδῦσα χιτῶνα δωριάζειν': — MB

ἄλλως: ὑπὸ Αἰγινητῶν πειρατευόμενοι Ἀθηναῖοι στρατιὰν κατ' αὐτῶν ἀποστέλλουσιν, οἱ δ' ἅμα Σπαρτιάταις ἅπαντας ἀπέκτειναν. εἷς δὲ σωθεὶς ὑπέστρεψεν ἄγγελος, ὃν ὑπαντήσασαι τῶν τεθνεώτων αἱ γυναῖκες, ἀφελόμεναι τὰς περόνας τῶν ὤμων, τυφλώσασαι πρῶτον ἀπέκτειναν. οἱ δὲ Ἀθηναῖοι δεινὸν ἡγησάμενοι περιεῖλον τῶν γυναικῶν τὰς περόνας, ἐπείπερ εἰς ὁπλισμὸν αὐταῖς ἐχρήσαντο, οὐ φυλακὴν τῆς ἀμπεχόνης. αὐτοί τε ἐκόμων, αἱ δὲ γυναῖκες ἐκείροντο, καὶ τοῖς μὲν ἀνδράσι ποδή-

1 φέρουσαι M corr. Cobet  5 ἐπεί γαρ M corr. Dindorf  9 ἔβρυον M corr. Dindorf  εἰς] ἕως M corr. Dindorf ἕως ἡμῶν Cobet  10 δωρίζειν M corr. Dindorf  11—15 et. m. p. 293,40 δωριάζειν: ἐκλήθη καθόλου δωριάζειν τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολὺ τοῦ σώματος τὰς γυναῖκας διὰ τὸ τοὺς Δωριεῖς χρῆσθαι οὕτως. αἱ γὰρ κατὰ Πελοπόννησον κόραι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες ἱμάτιον μόνον ἐπὶ θάτερα ἐπιπεπορπημέναι καὶ παρεμφαίνουσαι πολὺ τοῦ σώματος· καθάπερ καὶ ἐν ἀρχαίοις ὕμνοις ἔστιν εὑρεῖν. ἐν ὑπομνήματι Ἑκάβης. οὕτως Ὧρος. cf. Eust. p 975,37 Αἴλιος Διονύσιος δωριάζειν φησὶ τὸ παραφαίνειν καὶ παραγυμνοῦν πολύ τι τοῦ σώματος. αἱ γὰρ κατὰ Πελοπόννησον, φησί, κόραι διημέρευον ἄζωστοι καὶ ἀχίτωνες ἱμάτιον μόνον ἐπὶ θάτερα ἐπιπεπορπημέναι ... Παυσανίας δὲ καὶ αὐτὸς δωριάζειν φησὶ τὸ παραγυμνοῦσθαι. Δωρικὸν γάρ, φησί, τὸ παραφαίνειν τὸ σῶμα διὰ τὸ μηδὲ ζώνας ἔχειν, τὸ πολὺ δὲ χιτῶνας φορεῖν. ἐν δὲ Σπάρτῃ καὶ τὰς κόρας γυμνὰς φαίνεσθαι. cf. Moer. Hesych. Suid. Zon. p. 590  13 ἔτι δὲ M  τῶν om. B  14 ὀλίγαι M  οὕτως Cobet ὅτ' MB  16 initio add δοῦρισ ἐν τῶι ιβ τῶν ὥρων γράφει οὕτωσ ὡσ B  στρατευόμενοι M  18 περιστᾶσαι B  19 ἀφελόμεναι — πρῶτον] καὶ τὰσ περόνασ τῶν ὤμων ἀφελόμεναι ἐτύφλωσαν εἶτα B  20 ἡγησάμενοι δεινὸν M δ. ἡ. τὸ πραχθὲν B  22 τε] γε M

ρεις ἦσαν οἱ χιτῶνες, αἱ δὲ γυναῖκες ἐβρύαζον ἐν ταῖς Δωρίαις στολαῖς. διὸ καὶ εἰς ἡμᾶς τὰς ἀχίτωνας δωριάζειν ἔφασαν: — MB

936 ὡς καταφυγούσης αὐτῆς εἰς ἱερὸν Ἀρτέμιδος καὶ μηδὲν ὠφελησάσης: — M$^1$B$^1$

937 ἄγομαι δὲ, φησὶν, ἐπὶ τὸ πέλαγος ἑωρακυῖα τὸν ἄνδρα μου ἀποθανόντα: — M$^1$B$^1$

939 ἐπεὶ καὶ πόρρωθεν ἑωρᾶτο ἡ Τροία καιομένη, οἷον ἀπὸ Χερρονήσου: — M$^1$B$^1$

941 ἀφώρισεν ἐχώρισεν: — M$^g$B$^1$

942 ἀπείρηκα τοῖς κακοῖς ἡ ἀθλία ἐγώ: — M$^1$B$^1$

943 ὅτι ὀλιγάκις κεῖται τὸ κάσις ἐπὶ ἀδελφῆς, ἐπὶ δὲ ἀδελφοῦ πολλάκις: — M$^1$B

945 ἐπαρωμένη ὡς αἰτίοις τοῦ πολέμου: — M$^1$

947 γράφεται καὶ ἀπούρισεν: — M$^1$

948 ὁ τῆς Ἑλένης: — M$^1$

949 ἀλλὰ δαίμονος παλαμναίου τιμωρία καὶ ταλαιπωρία: — M$^1$B$^1$

951 τὸν τοῦ Τυνδάρεω: — M$^g$B$^1$

952 ὁ Πολυμήστωρ ἔρχεται, φησὶν, ἀκούσας ὅτι καλεῖ σε ἡ Ἑκάβη: — M$^1$B

Πολυμήστωρ ἀνακαλεῖται καὶ τεθνηκότα τὸν Πρίαμον: — M$^1$B

956 βέβαιον παραμόνιμον: — M$^g$

957 εὐτυχῶς: — M$^g$

958 φύρουσι δ' αὖθ' οἱ θεοί: ἀναμιγνύουσιν αὐτὰ οἱ θεοὶ εἰς ὀπίσω καὶ ἔμπροσθεν, ἀντὶ τοῦ· οὔτε εἰς τὰ παρελθόντα πράγματα τάξιν φυλάττουσιν οὔτε εἰς τὰ μέλλοντα, ἀλλ' ἄτακτα ἐῶσι τὰ πράγματα, ἵνα σέβωμεν αὐτούς: — MB

959 ἵνα: — M$^g$B

τῇ ἀγνωσίᾳ τοῦ μέλλοντος: — M$^g$B

960 † ἀλλὰ ταῦτα μέν: ἀλλὰ τί δεῖ με, φησί, ταῦτα θρηνεῖν μηδὲν ἐκ τοῦ θρηνεῖν δυνάμενον ἐπικόψαι τῶν κακῶν μὴ εἰς τὸ πρόσω βαίνειν: — B

5 δὲ om. B$^1$ 6 ἀποθανόντι M$^1$ 7 ἐπεὶ κ. π.] π. γὰρ B$^1$ 11. 12 cf. schol. 361 11 initio add. τὸν τοῖν διοσκόροιν: τὴν ἑλένην φησὶ τὴν τῶν διοσκούρων κάσιν κάστορος καὶ πολυδεύκους καὶ τὸν πάριν τὸν βουκόλον καταρωμένη ὡς αἰτίοις τοῦ πολέμου ἰστέον δὲ B 13 ὡς αἰτίοις] καὶ αἴτιος M$^1$ cf. notam quae praecedit 16 δαίμονος] διὰ μόνου M$^1$ τιμωρίαι B$^1$ ταλαιπωρίαι B$^1$ 18 ἔρχεται ὁ π. B φησὶν om. B 20 scholio quod praecedit adi. B om. Πολυμήστωρ et add. καὶ καὶ om. B 24 τουπίσω B 25 ἀλλὰ ἄτα κατὰ M 27 et 28 in unum coni. B in fine add. σέβωμεν αὐτοὺς 29. 30 confusa omnia

ταῦτα μὲν τί δεῖ θρηνεῖν: τί δεῖ με ταῦτα θρηνεῖν οὐδὲ τὸ τυχὸν προκόπτοντα τῶν κακῶν ἔμπροσθεν, ὅ ἐστιν· οὐ κατόπιν ἐῶντα τὰ κακά: — MB

961 ἀντὶ τοῦ περαιτέρω, εἰς τὸ βέλτιον: — $M^i$

963 ἐπίσχες παύου: — $M^g$

964 προφασίζεται πλαττόμενος. οὐκ ἐβούλετο γὰρ ὀφθῆναι τῇ Ἑκάβῃ, ἐπειδὴ ἀπέκτεινε τὸν Πολύδωρον: — MB

965 ἐπαίροντί μοι καὶ προσιόντι πρὸς σέ: — $M^gB^i$

968 τῇ μὲν ἀληθείᾳ οὐ θέλει αὐτὸν ὁρᾶν μισοῦσα ὡς φονεύσαντα τὸν υἱόν, προφασίζεται δὲ ⟨διὰ⟩ τὴν δυστυχίαν ἐρυθριᾶν: — MB

970 ᾧτινι γὰρ ὤφθην εὐτυχοῦσα: — M

971 ἐν δυστυχίᾳ: — $M^g$

ὀφθῆναι δηλονότι: — $M^g$

972 ἀτενέσιν: — $M^g$

973 ἐπεὶ εἶπεν· οὐ δύναμαί σε προσβλέπειν ὀρθαῖς κόραις, τὴν ὑποψίαν αὐτοῦ περιελεῖν βούλεται εἰποῦσα μὴ δύσνοιαν ἡγήσῃ σέθεν: — MB

975 γυναῖκας ἀνδρῶν: φυσικῷ νόμῳ αἱ γυναῖκες ἐνατενίζειν ἀνδράσι κωλύονται: — MB

977 μετεπέμψω: — $M^g$

† τί χρῆμ' ἐπέμψω: διὰ τί πρᾶγμα μετεπέμψω με καὶ προσεκαλέσω: — B

978 ἡμέτερον ἰδιάζον: — $M^g$

981 ἐν ἀσφαλεῖ γὰρ ἥδ' ἐρημία: ἐν οὐδενὶ φόβῳ. δειλοὶ δ' οἱ βάρβαροι περιφέροντες τοὺς ἀκολούθους ἑαυτοῖς διὰ τὸ μὴ ἀναιρεθῆναι ὑπό τινος ἀδικηθέντος ὑπ' αὐτῶν: — MB

982 διὰ τὸ μὴ συμμαχῆσαι αὐτὸν τοῖς Τρωσίν: — $M^iB$

984 ἐμὲ τὸν εὐτυχοῦντα σοὶ τῇ ἀτυχούσῃ προσήκει βοηθῆσαι: — MB

988 ἐρωτήσω: — $M^iB^i$

989 ὅσον δι' ἐκεῖνον εὐτυχεῖς: — $M^iB^i$

990 διαχλευάζουσα αὐτόν φησιν: — $M^gB^i$

996 ἀντὶ τοῦ δή: — $M^g$

---

2 προσκόπτον τὰ M 3 τὰ om. M 11 ἅτινι M 15. 16 scholio 9. 10 adi. B add. οὖν post ἐπεὶ 16 σέθεν] τὸ ῥηθέν M 22 ἐμέτερον M 23 δ'] γὰρ B 25 παρ' B 26 scholio quod praecedit adi. B add. προσφιλὲς δὲ εἶναι αὐτῷ ὁ πολυμήστωρ ἔφη τὸ ἑλληνικὸν στράτευμα

997 οὐ κέκτημαι ἰδίου ἀπολαύσαιμι: — $M^i$

1002 θησαυροί: — $M^g$

1003 ταῦτα ἃ διηγήσω: — $M^g$

τοῦτό ἐστι τὸ πρᾶγμα, θησαυροὶ κεκρυμμένοι τῶν Πριαμιδῶν: — $MB^i$

1007 ταύτῃ τῇ διανοίᾳ: — $M^iB^i$

1008 γινώσκεις τῆς Ἰλιακῆς Ἀθηνᾶς ποῦ ἐστιν ὁ ναός: — $MB^i$

1011 τί οὖν ἔτι βούλει: — $M^gB^i$

1013 ποῦ δῆτα ἔχεις: — $M^gB^i$

1014 ἐν τῷ πλήθει τῶν σκύλων: — $M^iB$

τὸ ταῖσδε ἀναφορικόν ἐστι καὶ δεικτικόν. ἡ μὲν οὖν Ἑκάβη δεικτικῶς εἶπε· ταύταις ταῖς σκηναῖς, ὁ δὲ Πολυμήστωρ ἀναφορικῶς νοήσας ἐρωτᾷ· ποῦ δὲ αἱ στέγαι αὗται, ἃς λέγεις ἔχειν τὸν χρυσόν· ἆρα τὰ ναύσταθμα τῶν Ἑλλήνων, τουτέστιν· ἐν ταῖς ναυσὶ λέγεις εἶναι τὸν χρυσόν. πρὸς ὃ ἐπάγει ἡ Ἑκάβη ὅτι οὐ τὰς ναῦς στέγας εἶπον· ἴδιαι γὰρ γυναικῶν αἰχμαλωτίδων στέγαι: — MB

1015 εἰς τὸ αἵδε στικτέον, τὸ δὲ λοιπὸν ἰδίᾳ κατ' ἐρώτησιν ἐν ὑποστιγμῇ: — MB

ναύλοχοι: περιφραστικῶς τὰ ναύσταθμα. φησὶν οὖν· ποῦ δέ ἐστιν· αὗται γὰρ αἱ τῶν Ἀχαιῶν εἰσι σκηναί: — MB

1016 χωρίς: — $M^g$

1020 τὰ ἀπόγεια σχοινία: — $M^i$

1021 ἵνα: — $M^g$

1024 τοῦτο ἠρέμα λέγει, ἵνα μὴ ὑποψίαν αὐτῷ δῷ ὧν μέλλει πάσχειν: — $MB^i$

1025 λιμένα μὴ ἔχον: — $M^g$

† ἄντλον δὲ λέγει τὸ πέλαγος καὶ ἀλίμενον τὸ λιμένα μὴ ἔχον: — B

ἀλίμενόν τις ὡς εἰς ἄντλον: τοῦτο πρὸς τὸ ἄνω συναπτέον τὸ οὔπω δέδωκας, ἀλλ' ἴσως δώσεις δίκην. τιμωρηθήσῃ, φησίν, ὡς τις εἰς ἄντλον λέχριος καταπέσῃ ἀπολέσας τὸν βίον τῆς φίλης καρδίας: — MB

---

6 τῆσ ἰλιακῆσ ἀ. γ. π. ἐ. ὁ. ν. $B^i$ 7 ἔτι] τι $M^g$ 9 in fine add. ἐν ταύταισ ταῖσ σκηναῖσ ἔνθα τὰ λάφυρά ἐστι πάντα B 10—15 scholio 9 adi. B add. δὲ post τὸ et καὶ post ταῖσδε 10 καὶ δεικτικὸν om. M 10. 11 δεικτικῶς] δεικτικὸν M 11 στέγαισ ἤτοι σκηναῖσ B 12 αὗται αἱ στέγαι B 14 εἶπον στέγασ B ἴδιαι B 16 λείπει M λεῖπον B 18 φησὶν οὖν om. B εἰσι φησὶν B 19 αἱ τῶν om. B 23 τοῦτο ἠ. λ.] καὶ τοῦτον ἔνιοί φασι τὸν στίχον τὴν ἑκάβην λέγειν ἠρέμα καθ' ἑαυτὴν $B^i$ αὐτῶν M τυγχάνειν $B^i$

1026 πλάγιος: — $M^g$

στερηθήσῃ: — $M^g$

1029 Δίδυμος οὕτως· ⟨τὸ⟩ ὑπέγγυον, τὸ ἀληθὲς, οὔτε παρὰ τῇ δίκῃ οὔτε παρὰ τοῖς θεοῖς συμπεσὸν ἀφανίζεται. τοῦτο δέ φησι διὰ τὸν Πολυμήστορα, ὅτι μέλλει τιμωρεῖσθαι πρῶτος ἀρξάμενος τῶν ἀτόπων: — MB

καὶ ἄλλως: ὑπέγγυον: δίκαιον. ὧδε ὑποστικτέον. τὸ ἠσφαλισμένον, φησί, τῇ δίκῃ καὶ παρὰ θεοῖς οὐ πίπτει, τουτέστιν· ὃ ἂν κυρώσῃ ἡ δίκη, τοῦτο βέβαιον παρὰ τοῖς θεοῖς. δικαίως οὖν κολαζόμενος ὁ Πολυμήστωρ καὶ τοὺς θεοὺς ἐχθροὺς ἔχει: — MB

1030 οὐκ ἀπόλλυται: — $M^gB^1$

1031 ἀπὸ ἑτέρας ἀρχῆς: — $M^1B^1$

λείπει ἡ εἰς· εἰς ὀλέθριον κακὸν, καὶ λέγει· ἡ ἐλπὶς ταύτης τῆς ὁδοῦ ἀπατήσει σε εἰς ὀλέθριον κακόν: — $M^1BB^1$

1034 ἀνάνδρῳ, γυναικείῳ: — $M^gB$

1035 ἔνδοθεν ὁ Πολυμήστωρ τυφλούμενος ταῦτα βοᾷ: — MB

1036 θρῆνον: — $M^g$

1037 λείπει τὸ ἕνεκεν: — $M^g$

1039 ταχυτάτῳ: — $M^gB^1$

1040 στηρίγματα: — $M^g$

1041 βέλος: πᾶν τὸ βαλλόμενον. ταῦτα δέ φησιν ὡς βάλλων λίθους ἐν τοῖς οἰκήμασιν, ἵνα καταπαίῃ τὰς αἰχμαλώτους: — MB

1042 θέλετε ἐπέλθωμεν, ἐπεὶ ὁ καιρὸς καλεῖ: — MB

1044 κτύπει: — $M^g$

1047 ὄντως ἐνίκησας τὸν Πολυμήστορα: — $M^gB$

1050 παραφόρῳ ποδί: παραφερομένῳ, οὐκ ὀρθῶς βαδίζοντι, ἀλλὰ σφαλλομένῳ διὰ τὸ τετυφλῶσθαι αὐτόν: — MB

3 ἀληθές τὸ ἀληθές φησιν B    4 ἐμπεσὸν MB    φησι] λέγει B    7 νίκη B    τοῖς θεοῖς B    διαπίπτει B    8 post θεοῖς ins. ἤγουν ὅτι τιμωροῦνται οἱ νόμοι ὡς ἄδικον τοῦτο καὶ θεοὶ τιμωροῦνται ἐπειδὴ οἱ νόμοι παρὰ θεῶν καὶ ταῦτα βούλονται τιμωρεῖν καὶ διεκδικεῖν ἃ καὶ οἱ θεοί B    12. 13 scholio quod praecedit adi. $M^1$ om. λείπει—εἰς (alterum)    12 λείπει—λέγει om. B    12. 13 καὶ—κακόν om. $B^1$    14 init. add. ἀντὶ τοῦ B    γυναικείῳ] τουτέστι τῶν γυναικῶν B    15 ταῦτα om. B    16 θρηνικός $M^g$    20 ταῦτα—βάλλων] καὶ τοῦτον δέ τινες τὸν στίχον ἀπὸ τοῦ πολυμήστορός φασι λέγεσθαι ὡς βάλλοντος B    21 παίῃ B    22 scholio quod praecedit adi. B add. τὸ δὲ βούλεσθ' ἐπεισπέσωμεν τοῦ ἡμιχορίου    post θέλετε add. ἵνα B    24 νενίκηκας B    25 καὶ οὐκ B

1055 θυμουμένῳ σφόδρα: — M$^{g}$

γράφεται δυσγενεστάτῳ: — B$^{g}$

1057 πᾷ κέλσω· προσπελάσω. κυρίως δὲ τὸ ναῦν προσορμίσαι τινὶ εὐόρμῳ τόπῳ. ἐξοκεῖλαι δὲ τὸ ἐκβληθῆναι τὴν ναῦν ἔξω τοῦ λιμένος ὑπὸ ἀνέμου: — MB

1058 ὑπόκειται γὰρ τετραποδίζων: — M$^{1}$B

ἀγρίου: — M$^{1}$

1059 ποιούμενος: — M$^{g}$

ποίαν παρέλθω ὁδόν· ἆρα ταύτην, ἆρα ἐκείνην, ἆρα τήνδε: — MB

λείπει ὁδόν: — M$^{1}$

1062 ἐπιδιῶξαι. καταλαβεῖν βουλόμενος: — M$^{1}$

τὰς φονικάς. τὰς Τρωικάς: — M$^{1}$

1064 αἱ τάλαιναι· οὐ γὰρ πρὸς αὐτὰς ὁ λόγος: — M$^{g}$B

εἰς τὸ Φρυγῶν τελεία: — M$^{g}$B

1066 ποῦ τῶν μυχῶν, ἀντὶ τοῦ τῶν κρυφίων τόπων: — M$^{g}$B$^{1}$

1067 ἀντὶ τοῦ τυφλὸν ὄμμα: — M$^{g}$

1068 θεραπεύσειας: — M$^{g}$

τυφλὸν φέγγος: τὸ σκότος, κακῶς· φέγγος γὰρ ἐπὶ σκότους οὐ λέγεται: — M

1069 εἰς ἀνάβλεψιν ἀγαγών: — M$^{g}$

ἀντὶ τοῦ ὦ ὦ: — MA$^{g}$

1070 λαθραίαν, ὡς ἠρέμα βαδιζουσῶν αὐτῶν: — M

† σίγα κρυπτὰν βάσιν αἰσθ(άνομαι): ... ἑαυτόν φησιν ὁ Πολυμήστωρ ὥσπερ αὐτὸς ἑαυτὸν παρορμῶν ἐπὶ δρόμον καὶ κτύπου τινὸς αἰσθανόμενος λαθραίου, ὡς ἠρέμα βαδιζουσῶν αὐτῶν: — A

ὡς θὴρ ταύτας καταθοινώμενος: — M$^{1}$A$^{g}$B

1073 † θοίναν ἀγρίων θηρῶν: ποῦ, φησί, κινήσας τὸν πόδα

---

3 τὸ ναῦν] τὴν νῆα M 4 ἐξοκεῖται M δὲ καὶ M 5 ὑπὸ ἀ. ἔξω τ. λ. B 6 scholio quod praecedit adi. B γὰρ] δὲ ὁ πολυμήστωρ B 9. 10 scholio 3—6 adi. B initio add. διὸ καὶ φησὶ τετράποδοσ βάσιν θηρὸσ τιθέμενοσ 13 φοινικὰσ M$^{1}$ 14 post τάλαιναι add. οὖν M$^{g}$ κόραι τῶν φρυγῶν B 15 scholio quod praecedit praeposuit B τελείαν B 16 κρυφίμων B$^{1}$ 17. 18 ita conglutinauit ἀντὶ τοῦ τὸ τυφλὸν καὶ ἠμαγμένον ὄμμα θεραπεύσειασ et praefixit scholio 19. 20 B 19. 20 ita mutauit τυφλὸν γὰρ φέγγοσ τὸ ὄμμα φησὶν ἐπειδὴ φέγγοσ ἐπὶ σκότουσ οὐ λέγεται B 22 cum scholio quod sequitur coni. M 24 suppleuerim τοῦτο πρὸς

κατάσχω ταύτας, δηλονότι τὰς μετὰ τῆς Ἑκάβης αἰχμαλώτους γυναῖκας, καὶ καταφάγω [καὶ] τὰς σάρκας καὶ τὰ ὀστᾶ τούτων θοίναν, ἤγουν εὐωχίαν καὶ τράπεζαν, ἀγρίων θηρίων ποιούμενος, τουτέστιν· ὡς ἄγριος θὴρ αὐτὰς θοινώμενος, ἤγουν ἐσθίων ἀφειδῶς. τὸ δὲ ἀρνύμενος ἀντὶ τοῦ ποιούμενος καὶ ὥσπερ ἀποδιδούς, ἢ μᾶλλον ἀπολαμβάνων καὶ ἔχων καὶ κρατῶν βλάβην ἀντίποινον τῆς ἐμῆς λύμης: — A

1074 ἀποδιδούς: — M

λαμβάνων. ἀφαιρούμενος τὴν ὕβριν. τῆς ἐμῆς τυφλώσεως ἀντάξια παρέχων: — $MM^1$

ἄλλως: ἀπαιτῶν τιμωρίαν ἀντὶ τῆς ἐμῆς λύμης, τουτέστι πηρώσεως: — $MM^1A^g$

† λαμβάνων καὶ ἀφαιρούμενος ἀντέκτισιν τῆς ἐμῆς βλάβης καὶ τυφλώσεως: — B

1076 † ποῖ πᾶ φέρομαι: ποῖ φέρομαι λιπὼν τὰ τέκνα μου ταῖς βάκχαις τοῦ Ἅιδου, ἤγουν ταῖς Τρωικαῖς γυναιξίν. ἐν γὰρ τῷ Ἅιδῃ ἔλεγον εἶναί τινας τιμωρητικὰς καὶ ἀνημέρους θεάς, βάκχας καλουμένας [καὶ] διὰ τὸ ἄγριον αὐτῶν, ⟨καὶ⟩ κατὰ τοῦτο ἐκάλεσε καὶ τὴν Ἑκάβην σὺν ταῖς λοιπαῖς αἰχμαλώτοις γυναιξὶ βάκχας. τὸ δὲ ὅλον· ποῖ φέρομαι καταλιπὼν τὰ τέκνα μου ταῖς βάκχαις καὶ τοῖς κυσὶ τροφὴν καὶ τοῖς ὄρεσι ῥίμμα. ὑπενόει γὰρ ὡς μετὰ τὴν αὐτοῦ ἐξέλευσιν ῥίψουσιν αὐτὰ ἐν ὄρει. ἡ δὲ σύνταξις οὕτω· ποῖ φέρομαι λιπὼν τὰ τέκνα μου ταῖς βάκχαις διαμοιρᾶσαι, ἤγουν διασπαράξαι μεληδόν, καὶ τοῖς κυσὶ πάλιν καταλιπὼν τὸν ἀπὸ σφαγῆς φόνον, ἤγουν αὐτὰ τὰ οἰκεῖα τέκνα, δαῖτα ἀνήμερον. καταλιμπάνω δὲ αὐτὰ καὶ ἐκβολήν, ἤγουν ῥίμμα, ὀρείαν, δηλονότι εἰς τὸ ὄρος, ῥιφῆναι. ἀπὸ κοινοῦ δὲ τὸ καταλιμπάνω: — A

1077 διασπαράξαι μεληδόν: — $M^1B^1$

1078 † ὑπενόει γὰρ αὐτὰς ῥῖψαι τοῖς κυσὶ μετὰ τὸ σφάξαι τοὺς παῖδας αὐτοῦ, φονικὴν καὶ ἀπάνθρωπον εὐωχίαν καὶ ὀρεινὴν ἀποβολήν: — B

ἀπάνθρωπον: — $M^g$

1079 εἰς ὄρη: — $M^g$

ῥῖψαι κυσὶ δαῖτα καὶ ὀρεινὴν ἀποβολήν: — $M^1$

---

2 καταφεύγω A 4 θοινούμενος A 8 initio add. ὡς θὴρ ταύτας $M^1$ 10 ὅ ἐστι $M^1$ 10. 11 τυφλώσεως $M^1A^g$ 16 θεὰς τινὰς A 19 τοῖς β. A 20 ῥίψωσιν A 21. 22 τοῖς β. A 27 αὐτοὺς B 31 ὄρη] ὄρειον M

1080 † πᾷ στῶ: ἐπὶ ταύτην δηλονότι τὴν κοίτην, ὅπου τὰ παιδία ἐσφαγμένα κεῖται, ὁρμηθεὶς καὶ κινηθείς· τοῦτο γὰρ σημαίνει τὸ ἐσσυθείς· βῶ περιπατήσας καὶ ἔλθω φύλαξ τῶν ἐμῶν τέκνων στέλλων, ἤγουν συστρέφων, τὸ λινόκροκον φᾶρος, περιφραστικῶς ἑαυτόν, καθὼς στέλλεται ἡ ναῦς ἐν τοῖς ποντίοις πείσμασι. πείσματα δὲ τὰ καλῴδιά φησιν· οἱ γὰρ ναῦται, ὅταν μέλλωσι στρέψαι τὴν ναῦν, τὰ σχοινία τοῦ καλουμένου ποδὸς τοῦ λαίφους ἕλκουσιν ἔσωθεν: — A

† ἄλλως: ποῦ, φησί, πορεύσομαι, ποῦ δὲ κάμψω, ποῦ δὲ στήσομαι, ἐπὶ ταύτην ὁρμήσας τὴν τῶν τέκνων μου κοίτην· λέγει δὲ τὸν τόπον, ἔνθα ἐσφαγμένα τὰ τούτου τέκνα κατέκειτο· ὀφείλων ταῦτα φυλάξαι πρὸς τὸ μὴ ὑπὸ τῶν Τρῳάδων ῥιφῆναι κυσίν, ὡς ναῦς τὸ ἄρμενον συστέλλων, δηλαδὴ τῶν ὀφθαλμῶν στερηθείς. ὅπερ γάρ ἐστι τῇ νηὶ τὸ ἱστίον, τοῦτο τῷ σώματι ὁ ὀφθαλμός: — AB

1081 τοῖς σχοινίοις τῆς νεώς: — M$^{i}$

ὡς ναῦς τὸ ἄρμενον τὸ λινοῦν ⟨συ⟩στέλλων: — M

λινόμιτον: — M$^{i}$

1082 ὁρμηθεὶς ἔνθα κεῖταί μοι τὰ παιδία τεθνηκότα εἰς τὴν θανάσιμον θήκην: — M

1083 ὁ νῦν ὀ⟨φείλων⟩ φύλαξ εἶναι τῶν τέκνων: — M$^{i}$

1084 τὸν θάνατον: — M$^{i}$A$^{g}$B$^{g}$

1085 δυσβάστακτα: — M$^{g}$B$^{g}$

πέπρακται: — M$^{g}$A$^{g}$B$^{g}$

1086 δειναὶ καὶ χαλεπαὶ αἱ τιμωρίαι: — M$^{i}$B$^{g}$

1089 ἐν δόρατι μαχόμενον: — M$^{i}$B$^{i}$

† ἔνοπλον: τοὺς συνελθόντας αὐτῷ δορυφόρους ἐπικαλεῖται. λογχοφόρους δὲ λέγει τοὺς δόρατα πολεμικὰ καὶ λόγχας φέροντας, ἤγουν τοὺς στρατιώτας: — A

1090 ὁρμητικὸν εἰς πόλεμον καὶ ἐνθουσιαστικὸν ἐν πολέμῳ: — M$^{i}$

1092 βοῶ: — M$^{g}$

1094 ἀκούει τις, ἢ ἀκούει μέν, οὐ δύναται δὲ βοηθῆσαι: — MA$^{g}$B

1098 ἕνεκα τῆς λώβης: — M$^{i}$

λωβήσεως καὶ ἀπωλείας τῶν ὀφθαλμῶν: — MA$^{g}$B$^{i}$

1099 † ποῖ τράπωμαι ποῖ πορευθῶ: εἰς τὸν αἰθέρα τὸν οὐράνιον, φησί, πετασθεὶς ἀπέλθω εἰς τὸ ὑψιπετὲς μέλαθρον, ἔνθα ὁ Ὠρίων

---

13 τῷ] τὸ B  15 συστέλλων Laur. 31, 10  17 οἰκεῖται M  19 suppleui ex Laur. 31,10  30 fere omnia detrita in B  32 init. τῆς add. B$^{i}$

ἢ ὁ Σείριος αὐγὰς φλογέας ἀφίησι τοῦ πυρὸς ἀπὸ τῶν αὐτοῦ ὀφθαλμῶν, ἢ ὁρμήσω ὁ τάλας εἰς τὸν πορθμόν, ἤγουν τὴν διάβασιν τὴν ἐπὶ τὸν Ἅιδην ἄγουσαν. ταῦτα δέ φησιν ἀδημονῶν: — A

1100 † ἔθος τοῖς δυσ⟨φοροῦσι ταῦτα λέγειν⟩: — B

ἔν τισι τὸ αἰθέρα οὐ φέρεται: — $A^{g}B^{1}$

ἀμπτάμενος: ἀναπτάμενος ἀναπετασθείς: — $MB^{1}$

1103 Ὠρίων καὶ κατὰ πλεονασμὸν τοῦ ᾱ Ὠαρίων: — $M^{1}B$

1104 Ἡσίοδος [opp. 417]· Σείριος ὁ Ἥλιος. νῦν δὲ τὸν ὑπὸ τὸ γένειον τοῦ κυνὸς ἀστέρα φησὶν ἀκολούθως Ὁμήρῳ [Χ 26 sq.]. ὅλον δὲ τὸ ἄστρον κύων λέγεται, ὅπερ ἐκ πολλῶν ἀστέρων σύγκειται, ὁ δὲ ὑπὸ τὸ γένειον τοῦ κυνὸς ἀστὴρ Σείριος λέγεται: — MAB

† ἐπὶ τοῦτο⟨ν⟩ δέ, φησὶ Πολυμήστωρ, τὸν ἀστέρα ἀνέλθω ἀναπετασθεὶς ἢ εἰς τὸν αἰθέρα. τοιαῦτα δὲ οἱ δυσανασχετοῦντες καὶ μὴ δυνάμενοι ὑπο⟨μένειν⟩ ἐν θλίψεσι φθέγγονται. σημείωσαι δὲ ὅτι δοκεῖ ὁ Σείριος οὗτος ἀστὴρ λαμπρότερος ἐνὼν τῷ κυνί: — A

1106 πορθμόν: πέραμα, πλοῦν. ἢ τὸν ἀόρατον πλοῦν: — $M^{1}$

1107 ὅταν τις, φησί, πάθῃ κακὰ μείζονα ὑπὲρ ὃ δύναται βαστάσαι, συγγνωστόν ἐστιν αὐτῷ τὸ ἑαυτὸν ἀπαλλάξαι τοῦ ζῆν: — MB

† συγγνώσθ' ὅταν: ἀντὶ τοῦ· συγγνωστὸς καὶ συγγνώμης ἄξιός ἐστιν ἀπαλλάξαι τὴν ζωὴν καὶ θανεῖν ὅστις πάθῃ δεινά, ἃ οὐ δύναται ὑπομεῖναι. τοῦτο γάρ ἐστι τὸ κρείσσον' ἢ φέρειν, ἀντὶ τοῦ ἐπέκεινα ὄντα ὑπομονῆς: — A

1109 † κραυγῆς ἀκούσας ἦλθον: τῆς κραυγῆς σου, φησὶν ὁ Ἀγαμέμνων πρὸς τὸν Πολυμήστορα, ἀκούσας ἦλθον· οὐ γὰρ ἠρέμα ἐβόησεν ἡ Ἠχώ, ἡ παῖς τῆς πέτρας. ὅταν γάρ τις βοήσῃ ὅπου ἐστὶν ὄρος, ἀντηχεῖ ἡ πέτρα καὶ οἷον εἰπεῖν γεννᾷ τὴν Ἠχώ· καὶ τοῦ Πολυμήστορος τοίνυν βοήσαντος ἐφώνησε καὶ ἤχησε μεγάλως τὸ ὄρος: — A

οὐ γὰρ ἠρέμα ἤχησεν ἡ θυγάτηρ τῆς πέτρας, ἡ Ἠχώ: — MB

---

1 αὐγέασ A 4 detrita in B, suppleui ex Laur. 31, 25 5 οὐ φέρεται] περισσόν Ag 6 scholio 5 adi. $B^{1}$ post ἀμπτάμενος add. δὲ 7 detrita in B in versu ὠ||| ἀρίων M m. 1. ὦ ὠρίων m. rec. 8—11 plurima detrita in B 8. 9 Ἡσίοδος—Ὁμήρῳ] ὁ μὲν ἡσίοδοσ σείριον τὸν ἥλιον φησὶν οὗτοσ δὲ σείριον ὀνομάζει ἀκολούθωσ καὶ ὁμοίωσ ὁμήρω τὸν ὑπὸ τὸ γένειον τοῦ κυνόσ ἀστέρα ἕτερον ὄντα ἀστέρα A 14 ὑπὸ A corr. Dindorf 15 συνὼν A 17 ὑπὲρ] ἢ B 18 τὸ om. M ἐξαπαλλάξαι ἑαυτὸν τῆσ ζωῆς B 28 horum loco habet καί φησιν ὁ ἀγαμέμνων οὐχ ἡσύχωσ ἡ ἠχὼ ἡ θυγάτηρ τῆσ πέτρασ ἐβόησεν et scholio quod praecedit adi. A ἡ ante Ἠ. om. B

1111 εἰ δὲ μὴ ᾔδειμεν ὅτι ἐπορθήσαμεν τὴν Τροίαν, ἐφοβήθημεν ἂν ἔφοδον νομίζοντες εἶναί τινα τῶν πολεμίων: — MAB

1113 οὐκ ὀλίγως: — $M^g$

1114 † ὦ φίλτατ' ᾐσθόμην γάρ: ἐπέγνω Πολυμήστωρ τὸν Ἀγαμέμνονα ἀπὸ τῆς φωνῆς, ἐπεὶ καὶ ὁ Ἀγαμέμνων πολλάκις τῆς Τροίας πολεμουμένης ἦν αὐτῷ συντυχών: — A

1116 ὑποκρίνεται ἀγνοεῖν, ἵνα κατὰ τὸ δίκαιον ὑπὲρ τῆς Ἑκάβης κρίνῃ, ἢ μή, γνωσθεὶς ὅτι προσωμίλησεν αὐτῇ, δόξῃ Ἑκάβῃ χαρίζεσθαι: — MAB

1120 † Ἑκάβη με σὺν γυναιξίν: Ἑκάβη με σὺν γυναιξὶν αἰχμαλώτοις ἀπώλεσεν· ἀλλ' οὐκ ἀπώλεσεν, ἀλλὰ καί τι μεῖζον ἀπωλείας ἐμὲ ἐπεπράχει. εἰ γὰρ ἐφόνευσέ με, κρεῖττον ἦν· νῦν δὲ τοὺς παῖδας ἐφόνευσε κἀμὲ ἐτύφλωσε, καὶ τοῦτο μεῖζον ἀπωλείας: — A

1123 πρὸς ἣν οὐκ ἔστι μηχανὴν καὶ λύσιν εὑρεῖν: — $MA^gB$

1127 Ἀττικῶς, ὦ οὗτος· σὺ δηλονότι: — $M^i$

1128 μεμηνυῖαν: — $M^g$

1129 τὸ θυμικόν: — $M^gA^g$

1135 προκατάσκοπος προορατὴς καραδοκητής: — MAB

1137 προγνώσει: — $M^g$

1141 ἐπάρειαν: — $M^gA^g$

γράφεται καὶ δόρυ: — $M^i$

1142 διαφθείροιεν: — $M^gA^gB^i$

1143 λείαν ἀπελαύνοντες: — $M^gA^g$

ἡμῖν, τοῖς Θρᾳξίν: — $M^gA^g$

1144 κακῷ: — $M^g$

1147 θησαυρούς: — $M^gA^g$

1150 ἀντὶ τοῦ ἱζόμην, ἐκαθεζόμην ἐν μέσῃ τῇ κλίνῃ: — M

1151 † πολλαὶ δὲ χεῖρες: οὕτω συντακτέον· πολλαὶ δὲ Τρώων κόραι ὥσπερ δὴ παρὰ φίλον θάκουν αἱ μὲν ἐξ ἀριστερᾶς, αἱ δὲ ἔνθεν,

1. 2 scholio quod praecedit adi. A 1 εἴδημεν A ἐπορθήθη ἡ ἴλιος A 2 post ἂν add. οὐ μικρῶς B νομίζοντες ἔφοδον εἶναι A τινα om. AB 7 ὑποκρίνεται ἀ.] πλάττεται ὁ ἀγαμέμνων ἀγνοεῖν τὸ εἰς τὸν πολυμήστορα συμβὰν A 8 κρίνῃ] εἴπῃ AB ἢ om. AB φωραθεὶς προσομιλῆσαι A προσωμίλησεν M αὐτῇ] αὐτῷ A 8. 9 δόξῃ—χαρίζεσθαι] καὶ διὰ τοῦτο ἐρωτᾷ τὸν πολυμήστορα τίς σε ἀπώλεσε A 8 Ἑκάβῃ] αὐτῆι B 18 προορατὴς προκατάσκοπος B in fine add. ἤδη τὴν τροίαν ἐλπίζων ἁλώσεσθαι B 20 ἐπάρειαν Mg

ἔχουσαι χερσὶ κερκίδ' Ἠδωνῆς χερός. ἀντὶ τοῦ· κατέχουσαι ταῖς χερσὶ τὸ ἱμάτιον τὸ ἐκ Θρᾳκικῆς χειρὸς ὑφανθέν: — A

† εἰς τὸ αὐτὸ ἐξήγησις: εἰσελθόντος τοῦ Πολυμήστορος μετὰ τῆς Ἑκάβης εἰς τὰς σκηνὰς καὶ καθεσθέντος προσῆλθον αὐτῷ αἳ εἶχον συμβουλὴν μετὰ τῆς Ἑκάβης αὐτὸν τυφλῶσαι αἰχμαλωτίδες καὶ αἱ μὲν ἐξ ἀριστερῶν αὐτοῦ ἐκάθισαν, αἱ δὲ ἐκ δεξιῶν ὥσπερ παρὰ φίλον Τρώων κόραι καὶ τοὺς αὐτοῦ πέπλους εἰληφυῖαι καὶ αἴρουσαι πρὸς τὰς τοῦ ἡλίου αὐγὰς ἐπῄνουν αὐτοὺς τοῦτο μὲν ὡς λαμπρούς, τοῦτο δὲ ὡς ἐπιστημόνως κατεσκευασμένους. πᾶς γὰρ ὁ μέλλων ἀκριβῶς σκοπῆσαι πέπλον εἰ καλός ἐστι πρὸς τὰς τοῦ ἡλίου ἀκτῖνας τοῦτον ὁρᾷ, καὶ αὗται δὲ πάστριαι οὖσαι ἐθαύμαζον αὐτόν. τοῦτο δὲ ἐποίουν ὅπως συλλήψωνται αὐτοῦ τὰς χεῖρας. καὶ αἱ μὲν ἐποίουν οὕτως, ἄλλαι δὲ τὸ ἀκόντιον αὐτοῦ ἐθαύμαζον καὶ ἑτέρα τῇ ἑτέρᾳ τοῦτο παρεχόμεναι εἰσήγαγον καὶ αὐτὸ εἰς τὴν ἔσωθεν σκηνήν. τοῦτο δὲ ἐποίουν, ὅπως ἔρημος γενόμενος παντὸς ξίφους συντόμως κατεργασθῇ. διηγεῖται δὲ ταῦτα ὁ Πολυμήστωρ τὸν δόλον αὐτῶν ἐκφαίνων καὶ πῶς αὐτὸν ἠπάτησαν: — A

ἀντὶ τοῦ γυναῖκες, ἀπὸ μέρους τὸ πᾶν, ὡς τὸ ʻτοίην γὰρ κεφαλήνʼ [α 343] ἀντὶ τοῦ τοιοῦτον ἄνδρα: — MAB

1153 κερκίδα φησὶ τὸ ἱμάτιον τὸ γενόμενον ἀπὸ Θρᾳκικῆς χειρός, ἀπὸ δὲ τοῦ ποιοῦντος τὸ ποιούμενον ὠνόμασεν: — MAB

καὶ ἄλλως: κερκίδας Θρᾳκικὰς κατέχουσαι· Ἠδωνοὶ γὰρ οἱ Θρᾷκες: — MB

1154 ἐπῄνουν κατέχουσαι καὶ σκοποῦσαι ὑπὸ τὰς αὐγάς: — M[g]

1155 τὸ Θρᾳκικὸν ἀκόντιον θεωροῦσαι: — M[g]A[g]B

† ἄλλαι δὲ κάμακα: κάμακα τὸ Θρᾳκικὸν ἀκόντιον λέγει. τὸ δὲ ⟨διπτύχου⟩ στολίσματος γυμνόν με ἔθηκαν, εἰ μὲθ ἀντὶ ⟨τοῦ⟩ δόρατος εἴπῃς, δίπτυχον νοήσεις δίστομον, τὸ ἀμφοτέρωθεν κόπτον· εἰ δὲ ἐπὶ τῆς χλαμύδος, τὸ διπλοῦν .... στολίσματος ἀντὶ τοῦ διπλῆς χλαμύδος γυμνόν με ἐποίησαν: — A

---

11 συλλήψονται A   16 ἠπάτησεν A   18 τοιοῦτον om. AB   ἄνδρασ A   19 κερκίδα — τὸ γ.] ἀντὶ τοῦ γινόμενον A   φησὶ om. B   ἀπὸ] ἐκ τῆσ AB   ante Θρᾳκικῆς ins. ἠδωνῆσ ὅ ἐστι B   post χειρὸς ins. ἱμάτιον A   20 δὲ om. A   in fine add. ὤφειλε γὰρ εἰπεῖν ἱμάτιον καὶ εἶπε κερκίδα ἐκ γὰρ τῆσ κερκίδοσ κάμνεται τὸ ἱμάτιον τὸ δὲ ἠδωνὶσ ἀντίπτωσίσ ἐστιν ἀντὶ τοῦ ἠδωνίδοσ χερόσ A   24 initio add. ἄλλαι δὲ B   in fine add. τοῦτο γὰρ εἶπε κάμακα B   25—29 pauca detrita in A   26 τὸ δὲ] τοῦ δὲ A

1156 διπτύχου στολίσματος: γράφεται καὶ στοχίσματος, ἵν' ᾖ τῶν λογχῶν. εἰ δὲ στολίσματος, τοῦ ἱματίου λέγει, οὐκέτι δὲ ὅλως γράφεται τὸ ⟨ἄλλαι δὲ⟩ κάμακα Θρῃκίαν θεώμεναι, ἀλλὰ πρὸς τὸ ᾔνουν θ' ὑπ' αὐγάς ⟨τὸ⟩ γυμνόν μ' ἔθηκαν διπτύχου στολίσματος, ἵνα λείπῃ ὁ καί, ἀντὶ τοῦ καὶ γυμνόν: — M$A^1$

καὶ ἄλλως: διπτύχου στολίσματος: τινὲς τῆς διπαλτίας, ἀλλ' οὐκ ἐᾷ τὸ κάμακα ἑνικόν: — M$A^1$B

καὶ ἄλλως: στοχίσματος: καὶ ἀλλαχοῦ [Bacch. 1205] 'οὐκ ἀγκυλωτοῖς Θεσσαλῶν στοχίσμασιν'. ἐὰν δὲ στολίσματος, λείπει ὁ καί, καὶ ἡ σύνταξις πρὸς τὸ ᾔνουν θ' ὑπ' αὐγάς: — M

ἐπὶ μὲν τοῦ δόρατος διστόμου, ἐπὶ δὲ τῆς χλανίδος διπλῆς: — $M^g A^1 A^g$B

† διπτύχου στολίσματός φησι τῆς τε χλανίδος καὶ τοῦ ἀκοντίου παρόσον καὶ αὐτὸ πρὸς ἄμυναν καὶ φυλακὴν τοῦ σώματος ἐβάσταζεν. Ὅμηρος [φ 340] 'δώσω δ' ὀξὺν ἄκοντα κυνῶν ἀλκτῆρα καὶ ἀνδρῶν': — B

† διπτύχου στολίσματος: δίπτυχον στόλισμα τὴν διπαλτίαν φησί. τὸ γὰρ παλαιὸν οἱ πολεμοῦντες δύο παλτὰ ἐβάσταζον, τὸ μὲν ἓν μικρόν, ὃ καὶ πόρρωθεν ῥιπτοῦντες ἠκόντιζον τοὺς ἐναντίους, τὸ δὲ ἕτερον μεῖζον. ἢ δίπτυχον στόλισμά φησι τὸ δόρυ διὰ τὸ τὰ Θρᾳκικὰ ἀκόντια δίστομα εἶναι καὶ ἄνω καὶ κάτω σιδήρους ἔχειν, τὸ μὲν κάτω, ἵνα πήγνυται ἐπὶ τῆς γῆς, τὸ δὲ ἄνω, ἵνα τιτρώσκῃ: — $A^1$

1157 ὅσαι, φησίν, ἦσαν τετοκυῖαι, τὰ ἐμὰ παιδία λαβοῦσαι, ὡς εὐειδῆ ὄντα, ἐξεθαύμαζον ἄλλη τῇ ἄλλῃ ἀνὰ μέρος ἀποδιδοῦσα, ὅπως ἐμοῦ, τοῦ πατρός, πορρωτάτω γένοιντο καὶ εὐχερέστατα αὐταῖς εἴη πρὸς ἀναίρεσιν: — MAB

ἐκπληττόμεναι τὰ ἐμὰ παιδία: — $M^g$

2 ἐὰν $A^1$ ὅλως om. $A^1$ 3 ἄλλαι δὲ add. Dindorf κάμακα] κατὰ $A^1$ ante ἀλλὰ ins. πάντα M$A^1$ 4 τὸ add. Dindorf 4. 5 στολῆς M 5 ἀντὶ τοῦ καὶ γυμνόν] καὶ ἡ σύνταξις πρὸς τὸ ᾔνουν θ' ὑπ' αὐγάς A 6. 7 scholio quod praecedit ita adi. $A^1$ ut initio scriberet διπτύχου δὲ τινὸς τῆς διπαλτίας 8 στολίσματος M 9 στοχίσματα M 11 scholio 6. 7 adi. $A^1$ χλαμύδος $A^1$ διπλᾶς $A^1$ λεπτῆς B in fine add. ἢ ὅ φησιν ὅμηρος δίπλακα B 13—15 scholio 6. 7 adi. B post διπτύχου add. δὲ 19 δίπτυχον] δίστομον $A^1$ 22—25 ὅσαι δὲ τετοκυῖαι ἦσαν τὰ ἐμὰ παιδία A cetera detrita 23 ἐθαύμαζον B ἀποδιδοῦσαι B 24 εὐχεριώτατα M 25 in fine add. τὰ ἐμὰ τέκνα M

1158 ἵνα βελτίονα τοῦ πατρὸς γένοιντο: — M$^{g}$

1159 γράφεται καὶ ἀμείβουσαι χεροῖν: — B$^{i}$

1160 εἶτα ἐκ κολακικῶν προσφθεγμάτων δοκεῖς λαβοῦσαι [κτείνουσι] παῖδας κεντοῦσι: — MAB

† καλῶς δὲ πρῶτον ἀπέκτειναν τοὺς παῖδας, ἵνα θεωρῶν ὁ πατὴρ πλέον ἀνιῷτο: — AB

δοκεῖς: τὰ ἀκόντια: — M$^{g}$

† πῶς δοκεῖς: τινὲς τὸ πῶς δοκεῖς ἀντὶ τοῦ ὥσπερ κατάσκοποι, ἀπὸ τῆς δοκεύς εὐθείας, ὅπερ εἰ καὶ ἀληθές ἐστι λέγειν ὀκνῶ: — A$^{1}$

1163 συλλαβοῦσαι ὡς αἰχμάλωτον: — M$^{i}$A$^{g}$

1167 † οὐδὲν ἴσχυον πρᾶξαι νικώμενος ὑπὸ τῶν πολλῶν γυναικῶν: — A

1170 περόνας: — M$^{g}$A$^{g}$

τὸ ἑξῆς· ἐμῶν ὀμμάτων τὰς ταλαιπώρους κόρας: — M$^{i}$B$^{i}$

1174 † ἄπαντ' ἐρευνῶν: ὥσπερ, φησίν, ὁ θηρατικὸς ἀνὴρ πάντα περισκοπῶν ἐξακριβοῦται μὴ λάθοι αὐτὸν τὸ θήραμα, οὕτως ἀνηρεύνων κἀγὼ τοὺς τοίχους βάλλων καὶ ἀράσσων καὶ κατασχεῖν ἔσπευδον τὰς Τρῳάδας γυναῖκας: — A

1182 γράφεται ὁ δ' αὐταῖς ξυντυχών: — M$^{g}$

1183 † μηδὲν θρασύνου: μὴ θράσος ἐνδείκνυσο καὶ ὡς βάρβαρος ἐκμαίνου τὰς πάσας ἡμῶν ψέγων· οὐ γὰρ συνετόν. ὁ χορὸς τῶν γυναικῶν ταῦτά φησι πρὸς τὸν Πολυμήστορα κοινῶς τὸ γυναικεῖον ἅπαν φῦλον μεμφόμενον: — A

1184 συμμίξας: — M$^{g}$A$^{g}$B$^{i}$

1185 ἐπίμεμπτοι, ἐπίψογοι, ὕβρεως ἄξιοι: — M$^{i}$B$^{i}$

1186 αἱ δὲ κατατατττόμεθα μὴ οὖσαι φαῦλαι εἰς ἀριθμὸν τῶν φαύλων: — M

1187 † ἀνθρώποισιν οὐκ ἐχρῆν ποτε: γνωμικόν. φιλοσοφώτατα ἄγαν τὰ ῥήματα· οὐκ ἐχρῆν γάρ, φησίν, ὑψηλοτέραν εἶναι τὴν γλῶσσαν τῶν πράξεων, ἀλλὰ ταῖς πράξεσι συμφωνεῖν: — A

1192 † σοφοὶ μὲν οὖν εἰσ' οἱ τάδ' ἠκριβωκότες: σοφοὶ μὲν

---

3 ἐκ τῶν A post κολακικῶν ins. καὶ ἡσύχων A καὶ ἡσυχίων B πῶς δοκεῖς προσφθεγμάτων A προσφωνημάτων ὅπως δοκεῖς B λαβοῦσαι om. AB 3. 4 κτείνουσι παῖδας κεντοῦσι M σφάζουσι τοὺς παῖδας A κεντοῦσι παῖδας B 5. 6 scholio quod praecedit adi. AB 6 πλέον om. B 14 ἐμῶν γὰρ B$^{i}$ in fine add. κεντοῦσιν B$^{i}$ 21 ἐκμαίνῃ A 25 ἐπίψογοι om. B$^{i}$

εἰσι, φησίν, οἱ τὸ δίκαιον ἄδικον ποιοῦντες ῥήτορες καὶ τὸ ἄδικον δίκαιον, ἀλλὰ καθὸ τὸ δίκαιον ἄδικον ποιοῦσιν, οὐ διὰ τέλους εἰσὶ σοφοί: — A

οἱ δυνάμενοι τὸ δίκαιον σοφίσασθαι ἐν ῥητορικῇ σοφοὶ μέν εἰσιν, οὐκέτι δὲ καὶ κατὰ τύχην: — MAB

ἢ ὡς τῆς ἀληθείας ἐν ὑστέρῳ φαινομένης· ὡς καὶ Ἡσίοδός φησι [opp. 215]· 'δίκη δ' ὑπὲρ ὕβριος ἴσχει, εἰς τέλος ἐξελθοῦσα': — AB

πανοῦργοι: — M^g

1195 τὸ πρός σέ μοι οὕτως ἔχει ἐν προοιμίοις: — M^gB^i

1197 † ὃς φῄς: ὃς φῄς τοὺς Ἕλληνας διπλοῦ πόνου ἀπαλλάσσων τὸν ἐμὸν υἱὸν πεφονευκέναι: — A^gB

γράφεται καὶ φόνον: — M^g

1199 πρῶτον γὰρ ἠδίκησαν οἱ Φοίνικες Ἕλληνας ἁρπάσαντες Ἰὼ τὴν Ἰνάχου θυγατέρα τοῦ ποταμοῦ, ὥς φησιν Ἡρόδοτος [I 1]. Ἕλληνες δὲ ἀντιτιμωρούμενοι τοὺς βαρβάρους ἥρπασαν τὴν Μήδειαν καὶ τὴν Ἡσιόνην, καὶ πάλιν βάρβαροι [Ἑλλήνων] Ἑλένην: — MAB

1201 † τίνα δὲ καὶ σπεύδων χάριν: τίνα δὲ καὶ χάριν ποιῶν τοῖς Ἕλλησιν ἐφόνευσας τὸν ἐμὸν παῖδα· ἆρα ὡς κηδεύσων τινὰ ἢ ὡς συγγενὴς ὢν Ἑλλήνων τοῦτο ἐποίησας: — A

διὰ τὸ χαρίσασθαι αὐτοῖς: — M^g

1202 μέλλων συνάπτεσθαι αὐτοῖς εἰς γένος: — M^g

1209 συνεῖχεν ὁ πύργος τὴν πόλιν: — M^gB^i

1215 φανερὰ ἦν ἡ Τροία καιομένη ὑπὸ τῶν πολεμίων: — M^gB

1219 οὐκ εἶπεν ὁ Πολυμήστωρ περὶ τοῦ χρυσοῦ· ἐπελάθετο οὖν ὁ ποιητὴς ἑαυτοῦ καί ἐστιν ἀκατασκεύαστα ταῦτα: — MAB

1220 † Τζέτζης νῦν ἀντὶ τοῦ ἐνδεέσι· πένης γὰρ ὁ χειρῶναξ: — A

1224 † καὶ μὴν τρέφων: καὶ σώσας τὸν ἐμὸν παῖδα, ὡς ἐχρῆν, καὶ τρέφων εἶχες ἂν δόξαν ἀγαθήν: — AB

1226 † ἀληθεῖς, τουτέστιν· ἐν πειρασμοῖς καὶ ταῖς θλίψεσι φαίνονται οἱ ἀληθεῖς φίλοι· ἡ γὰρ εὐτυχία πάντας φίλους ποιεῖ: — A

1227 † τὰ χρηστὰ δ' αὔθ' ἕκαστ' ἔχει φίλους: τὰ χρηστὰ

---

3 σοφίαι μὲν M σοφοί AB 4 ψυχήν AB 5. 6 scholio quod praecedit adi. AB 5 φανερουμένης A 5. 6 ὡς — ἐξελθοῦσα om. A 8 μ' εἰ οὕτως M^g οὕτως μοι B^i 12 ἰνὼ M ἰνὼ B 13 τοῦ π. θ. B 14 ἥρπασαν om. MB 15 ἑλλήνων ἑλένην M ἐξ ἑλλήνων τὴν ἑλένην A ἑλένην ἑλλήνων B 19 λείπει διὰ Laur. 31,10 λείπει M^g 22 initio add. ἀντὶ τοῦ ἐσημαίνετο B ὑπὸ τῶν πολεμίων] καὶ ἐπίσημος ἐγένετο B 23 Πολυμήστωρ] ποιητὴς A 24 ἀκατασκεύαστα εἰσὶ A

αὐτὰ ἐξ αὐτῶν ἔχει τοὺς φίλους· εἰ δὲ καὶ ἀνατραφέντος τοῦ παιδὸς σὺ μὲν ἐστέρησο χρημάτων, ὁ δὲ παῖς ἐπλούτει, πάντως ἂν ἐκοινώνεις αὐτῷ τοῦ πλούτου τὰ τροφεῖά σοι ἀποτιννύντι: — A

† τὰ γὰρ καλὰ πράγματα ἐξ ἑαυτῶν ἔχει τοὺς φίλους: — B

1233 † εἰ τῷδ' ἀρκέσεις: Ἀγάμεμνον, εἰ τῷδε βοηθήσεις, κακὸς φανῇς· οὔτε γὰρ ὡς ξένον πιστὸν ἢ εὐσεβῆ ἢ δίκαιον αὐτὸν εὖ δράσεις οἷς σε χρὴ εὖ δρᾶν, ἤγουν τοῖς εὐσεβέσι καὶ δικαίοις καὶ πιστοῖς: — A

1234 † οὔτ' εὐσεβῆ γάρ: τὸ ἑξῆς· οὔτε γὰρ εὐσεβῆ οὔτε πιστὸν οὔτε ὅσιον οὔτε δίκαιον ξένον εὖ δράσεις· τὸ δὲ οἷς ἐχρῆν διὰ μέσου: — AB

† οἷς εὔλογόν ἐστι: — B[1]

1235 † εὖ δράσεις ξένον: ὁ Πολυμήστωρ: — B

1236 † αὐτὸν δὲ χαίρειν: τινὲς δὲ ἰάσαντες τὸ ῥητὸν οὕτως ἤκουσαν· σὲ δέ, Ἀγάμεμνον, εἴπωμεν καταλιπεῖν αὐτὸν τὸν Πολυμήστορα χαίρειν τοῖς κακοῖς τοιοῦτον ὄντα, ἐξ ἤθους νοοῦντες τὸ καταλιπεῖν: — A[1]

1239 † εὐλόγους καὶ συντόμους ἔχει τὰς ἀπολογίας τὰ ἀληθῆ πράγματα: — A

† ἄλλως: τουτέστιν· ὁ ἀγαθόν τι πράξας ἢ κατορθώσας διὰ λόγων καὶ ἔργων δίδωσι τοῖς ἀνθρώποις ἀφορμὰς τῶν πρὸς αὐτὸν ἐπαίνων καλῶς: — A

1259 † ἀλλ' οὐ τάχ' ἡνίκ' ἄν σε ποντία νοτίς: εἰπόντος τοῦ Πολυμήστορος πρὸς τὴν Ἑκάβην· χαίρεις ὑβρίζουσά με, ἀποκριθεῖσα εἶπεν ἡ Ἑκάβη· οὐ γὰρ ἐνδέχεταί με χαίρειν με⟨τα⟩τιμωρουμένην σε. εἶτα ὁ Πολυμήστωρ ἀνταποκριθεὶς ἔφη· ἀλλ' οὐ τάχ' ἡνίκ' ἄν σε ποντί⟨α νοτί⟩ς, ἤγουν ἀλλ' οὐ χαρήσῃ τάχα, ὅταν σε ἡ ποντία νοτίς, καὶ ἔστη τοῦ λόγου. οὐ γὰρ ἐπλήρωσε τὸν αὐτοῦ λόγον, καὶ διὰ μέσου φησὶν Ἑκάβη· τί γάρ με ποιήσει ἡ νοτίς· ἆρά με ἀγάγῃ εἰς τὴν Ἑλληνίδα γῆν. καί φησι Πολυμήστωρ ὡς οὐκ ἔστι τοῦτο, ἀλλ' οὐ χαρήσῃ, ὅταν σε κρύψῃ ἡ ποντία νοτίς, δηλονότι ἡ θάλασσα, πεσοῦσαν ἐκ καρχησίων. μυθεύεται γὰρ ὡς εἰς κυνὸς εἶδος μεταβληθεῖσα Ἑκάβη καὶ ἀνελθοῦσα ἐν τῷ ἀνωτάτῳ τοῦ ἱστοῦ, ἤτοι τοῦ κέρατος, ἔρριψεν αὑτὴν εἰς τὴν θάλασσαν καὶ ἀπεπνίγη. ταῦτα δὲ προμαντεύεται ὁ Πολυμήστωρ ὡς δὴ λυπήσων αὐτήν. καὶ πάλιν φησὶν Ἑκάβη· παρὰ τίνος ῥιφῶ τυγχά-

---

10 εἰσ δίκαιον A δίκαιον εἰσ B    ὁρᾷσ AB    13 scholio 9—11 adi. B lemmate ita scripto ἢ ἔδρ^α εἰσ ξένον

νουσα τούτων τῶν βιαίων ἁλμάτων, καί φησιν ὁ Πολυμήστωρ· αὐτὴ ἐν τῷ ποδί σου ἐμβήσῃ, ἤγουν ἔλθῃς, εἰς τὸ ἄκρον τοῦ ἱστοῦ. καὶ πάλιν φησὶν ἡ Ἑκάβη· ἀνέλθω, ἀλλὰ πτερὰ φύσασα ἐν τοῖς νώτοις ἢ ἐν ἄλλῳ τινὶ τρόπῳ, καί φησι Πολυμήστωρ· οὐχ οὕτως, ἤγουν οὐχὶ πτεροφυήσεις, ἀλλὰ κύων γενήσῃ, πυρσώδη καὶ ἠγριωμένα βλέμματα ἔχουσα οἷα καὶ ὁ κύων: — A

1261 καρχήσια τὰ ἄκρα τοῦ ἱστοῦ. † τοῦ κέρατος τῶν πλοίων τῶν κεραταρίων τροχαλίων τοῦ ἱστοῦ: — M

1263 κατ' ἐνίους ἡ Ἑκάβη ἑαυτὴν ἔρριψεν εἰς τὴν θάλασσαν: — $M^gB$

1264 ἐπτερωμένοις: — $M^gB^1$

1266 σώματος μεταμόρφωσιν: — $M^g$

1267 οἱ μὲν περὶ τὸ Πάγγαιον εἶναι τὸ μαντεῖόν φασι τοῦ Διονύσου, οἱ δὲ περὶ τὸν Αἷμον, οὗ εἰσι καὶ Ὀρφέως ἐν σανίσιν ἀναγραφαί, περὶ ὧν φησιν ἐν Ἀλκήστιδι [966]· 'οὐδέ τι φάρμακον Θρῄσσαις ἐν σανίσιν, τὰς Ὀρφεία κατέγραψε γῆρυς'. ὅτι δὲ καὶ Διόνυσος μάντις, καὶ ἐν Βάκχαις φησὶ [298] 'μάντις δ' ὁ δαίμων ὅδε· τὸ γὰρ βακχεύσιμον καὶ ⟨τὸ⟩ μανιῶδες μαντικὴν πολλὴν ἔχει': — MAB

1270 θανοῦσα δ' ἐνθάδε ἐκπλήσω βίον ἢ ζῶσα ἐκπλήσω τὸν βίον, ὅ ἐστιν· ζῶσα εἰς τέλος τοῦ εἱμαρμένου μοι βίου προκόψω: — MB

† θανοῦσα δ' ἢ ζῶσα: μετὰ θάνατον δὲ ἀμειφθήσομαι εἰς κύνα, ἢ ζῶσα ἐν τοιούτῳ εἴδει κυνείῳ τὸν ἐπικεκλωσμένον μοι χρόνον τῆς ζωῆς ἐξανύσω καὶ ἐπιζήσομαι, ὅ ἐστι· μετὰ θάνατον ἐξαλλαγήσομαι καὶ ἀμειφθήσομαι εἰς κύνειον εἶδος ἢ ζῶσα ὥστε τὸν ἐπίλοιπον χρόνον τῆς ζωῆς μου κύων οὖσα ἐπιζῆσαι: — $A^1$

† ἄλλως: τοῦτο ὅσοι πρὸς τὸ κύων γενήσῃ συναρμόττουσιν οὕτως λέγουσι· θανοῦσα δὲ ἐνθάδε, ἤτοι ἐν τῷ τοιούτῳ κυνείῳ εἴδει, ἀπαλλάξω μου τὴν ζωὴν ἢ ζῶσα πάλιν μεταστραφήσομαι εἰς εἶδος ἀνθρώπου, ἔξωθεν ὑπακούοντες τὸ μεταλλαχθήσομαι εἰς εἶδος ἀνθρώπειον,

---

7. 8 cf. Hesych. καρχήσια τὰ κέρατα τὰ ἐπ' ἄκρῳ (ἐπάνω cod.) τῶν καταρτίων τῶν πλοίων καὶ τὰ ἄκρα τῶν ἱστῶν et Galen. lex. Hipp. καρχήσιον τὸ ἐπ' ἄκρῳ τῷ ἱστῷ τὸ ἔχον τὴν τροχιλίαν. καὶ καρχήσιοι κάλοι οἱ τεταμένοι ἀπ' αὐτοῦ scripserim τὰ κέρατα τὰ ἐπ' ἄκρῳ τῶν καταρτίων τῶν πλοίων τὰ ἔχοντα τὴν τροχιλίαν. $B^1$ habet τῶν ἀνωτάτω τοῦ ἱστοῦ ἤτοι τοῦ κέρατος τροχαλίων. praeterea cf. Asclepiad. Myrl. ap. Ath. XI p. 474f Eratosth. ap. schol. Ap. Rhod. I 566 Poll. I 91 schol. Pind. Nem. V 94 Phot. Zon. p. 1160 9 τὸ πέλαγος B 12—17 cf. schol. Alc. 968 12 φασὶν εἶ. τ. μ. A 13 αἵμονα M 14 litterae κον et σαις ἐν om. spatiis relictis B 15 ὀρφείας M ὀρφεῖας AB ὁ διόνυσος A 17 ἔχει πολλὴν M 18 initio add. ὁ νοῦς B ἢ — τὸν βίον om. B

ἵν' ᾖ τὸ λεγόμενον τοιοῦτον ὅτι κύων ἀποθανοῦμαι ἢ πάλιν ἄνθρωπος γενήσομαι. ὅσοι δὲ πρὸς τὸ ἡνίκ' ἄν σε [ἡ] ποντία νοτὶς κρύψῃ, πάλιν οὕτως εἶπον ὅτι ἐνθάδε τεθνήξομαι, ἤτοι πεσοῦσα εἰς θάλασσαν ἐκεῖ ἀποθανοῦμαι, ἢ ζῶσα πάλιν τὸν εἱμαρμένον μου βίον ἐκπληρώσω: — A[1]

† θανοῦσα δ' ἢ ζῶσα: ὁ νοῦς τοιοῦτός ἐστι τοῦ ῥητοῦ· θανοῦσα, ἤγουν πρὸ τῆς εἱμαρμένης τελευτήσω, ἢ ζῶσα, ἤτοι πληρώσασα τὰ δεδομένα μοι ἔτη παρὰ τῆς μοίρας τότε θάνω. καί φησι Πολυμήστωρ ὡς θανοῦσα, ἤγουν πρὸ τῆς εἱμαρμένης θανοῦσα, πληρώσεις τὸν βίον: — A

1271 † τύμβῳ δ' ὄνομα σὸν κεκλήσεται: ὁ τάφος σου, φησίν, τὸ σὸν ὄνομα εἰς κλῆσιν λάβῃ. πάντες γὰρ κυνὸς τάφον αὐτὸν καλοῦσι, καὶ Ἀσκληπιάδης φησὶν ὅτι κυνὸς καλοῦσι δυσμόρου σῆμα: — A

1272 † μορφῆς ἐπῳδόν: ἀντὶ τοῦ ἐπώνυμον τῆς ἐμῆς μορφῆς κληθήσεται τὸ σῆμα ἧς ἔχω νῦν, ἢ τί ἕτερον εἴπῃς. καί φησι Πολυμήστωρ· οὐ τάφος Ἑκάβης κληθήσεται, ἀλλὰ κυνὸς σημεῖον τοῖς ναύταις ἐπίδηλον· ὅταν γὰρ ἀπέλθωσιν εἰς ἐκεῖνον τὸν τόπον οἱ ναῦται ἔνθα ἐστὶν ὁ τῆς Ἑκάβης τάφος, τότε γινώσκουσιν ὡς εἰς ξηράν εἰσιν: — A

ἐπώνυμον: — M^g

1273 κυνὸς ταλαίνης: περὶ τοῦ κυνὸς σήματος καὶ Ἀσκληπιάδης φησὶν ὅτι κυνὸς καλοῦσι δυσμόρου σῆμα: — B

1276 σοὶ δὲ εἴη ταῦτα γενέσθαι ἅπερ ἐμοὶ μαντεύῃ: — M^gAB

1278 μὴ ἔλθοι εἰς τοσοῦτον μανίας ἡ Τυνδάρεω παῖς: — M^g

1279 πρὸς τὸν Ἀγαμέμνονα ὁ λόγος, ἀντὶ τοῦ· καὶ σὲ, ὦ Ἀγάμεμνον: — M^g

οἱ νεώτεροι μὴ νοήσαντες τὸ παρ' Ὁμήρῳ [δ 535] 'δειπνίσσας ὥς τίς τε κατέκτανε βοῦν ἐπὶ φάτνῃ' ἀντὶ τοῦ· ὃν ἔδει μετὰ τοὺς πόνους ἀπολαύσεως τυχεῖν, τοῦτον ὡς βοῦν ἀπέκτεινεν ἡ Κλυταιμνήστρα, προσέθηκαν ὅτι καὶ πελέκει ἀνῃρέθη. διὸ σημειωτέον ἐνταῦθα τὸ καὐτὸν τοῦτον πέλεκυν ἐξάρασ' ἄνω: — MAB

1281 † ἐπειδὴ ἐνδύσασα αὐτὸν τὸ ἱμάτιον τὸ μὴ ἔχον πέρας ξέμα αὐτῷ κατέχεεν ἡ Κλυταιμνήστρα: — AB

21 initio add. καταφρονῶ φησὶ παντὸς τοῦ σοῦ μαντεύματος A καταφρονῶ τῶν σῶν μαντευμάτων B  σοὶ δὲ εἴη] καὶ σοὶ αὐτῷ A  25 παρ' ὁμήρου M ὁμηρικόν AB δειπνήσασ M om. A δειπνίσασ B  26 κατέκτεινε B  φάτνην A  ἀντὶ — ὃν] ἀνθῶν M ὅτι ἀνθ' ὧν AB  27 τοῦτον τυχεῖν M  27. 28 προσέθηκεν M  28 post σημειωτέον add. τὸ M  καταὐτὸν M καὐτόν δε A καὐτόν δὲ B  29 ἄνω om. B  30 initio add. τοῦτο φησὶν A  ἐπεὶ A  αὐτὸν — πέρας] αὐτὸν ἱμάτιον τραχήλου μὴ ἔχον διέκδυσιν A  31 in fine add. διὰ τοῦτο εἴρηκε φόνια λουτρά A

1283 οὐ καθέξετε τὸ στόμα αὐτοῦ: — M$^{i}$B$^{i}$

1284 γράφεται καὶ πιέζετ', ὡς πιεζόντων αὐτοῦ τῶν οἰκετῶν τὸ στόμα: — M$^{i}$B$^{i}$

1285 ἐξορίσετε εἰς νήσους ἐρήμους: — M$^{i}$

1286 παρρησιάζεται: — M$^{g}$

1287 τοὺς δύο: — M$^{g}$

1288 † ταῦτά φησιν ὁ Ἀγαμέμνων πρὸς τὰς ἑτέρας Τρῳάδας γυναῖκας: — A

καλῶς καὶ † νηπτικῶς καὶ εὐκατασκευάστως πρὸς τὸν χορὸν ταῦτά φησιν, ἵνα εὐπροσώπως ἀναχωρήσῃ: — MAB$^{i}$

1289 ὁρῶ τὰ πνεύματα ἐπιτήδεια πρὸς πλοῦν ὄντα: — M$^{g}$AB

1291 καλῶς ἐπεύχεται, ἐπειδὴ ἄτοπα παρὰ τοῦ Πολυμήστορος ἤκουσεν: — MAB

1293 πρὸς ἑαυτὰς ταῦτά φασιν αἱ ἀπὸ τοῦ χοροῦ: — M$^{g}$AB$^{i}$

---

2 post πιεζόντων add. δὲ B$^{i}$ 3 in fine add. ταῦτά φησιν B$^{i}$ 9 παραινετικῶς? 10 φησιν om. A 11 τὸν πλοῦν AB ὄντα om. AB 12. 13 scholio quod praecedit adi. B add. δὲ post καλῶς 14 αἱ ἀπὸ τοῦ χοροῦ ταῦτα λέγουσιν B$^{i}$ αἱ τοῦ χοροῦ τ. λ. A

# ΥΠΟΘΕΣΙΣ ΟΡΕΣΤΟΥ

Ὀρέστης τὸν φόνον τοῦ πατρὸς μεταπορευόμενος ἀνεῖλεν Αἴγισθον καὶ Κλυταιμνήστραν· μητροκτονῆσαι δὲ τολμήσας παραχρῆμα τὴν δίκην ἔδωκεν ἐμμανὴς γενόμενος. Τυνδάρεω δὲ τοῦ πατρὸς τῆς ἀνῃρημένης κατηγορήσαντος κατ' αὐτοῦ ἔμελλον κοινὴν Ἀργεῖοι ψῆφον ἐκφέρεσθαι περὶ τοῦ παθεῖν τὸν ἀσεβήσαντα. κατὰ τύχην δὲ Μενέλαος ἐκ τῆς πλάνης ὑποστρέψας νυκτὸς μὲν Ἑλένην εἰσαπέστειλε, μεθ' ἡμέραν δὲ αὐτὸς ἦλθε. καὶ παρακαλούμενος ὑπὸ Ὀρέστου βοηθῆσαι αὐτῷ ἀντιλέγοντα Τυνδάρεων μᾶλλον ηὐλαβήθη. λεχθέντων δὲ λόγων ἐν τοῖς ὄχλοις ἐπηνέχθη τὸ πλῆθος ἀποκτείνειν Ὀρέστην. * * ἐπαγγειλάμενος αὐτὸν ἐκ τοῦ βίου προΐεσθαι· συνὼν δὲ τούτοις ὁ Πυλάδης ὁ φίλος αὐτοῦ συνεβούλευσε πρῶτον Μενελάου τιμωρίαν λαβεῖν Ἑλένην ἀποκτείναντας. αὐτοὶ μὲν οὖν ἐπὶ τούτοις ἐλθόντες διεψεύσθησαν τῆς ἐλπίδος θεῶν τὴν Ἑλένην ἁρπασάντων· Ἠλέκτρα δὲ Ἑρμιόνην ἐπιφανεῖσαν ἔδωκεν εἰς χεῖρας αὐτοῖς, οἱ δὲ ταύτην φονεύειν ἔμελλον. ἐπιφανεὶς δὲ Μενέλαος καὶ βλέπων ἑαυτὸν ἅμα γυναικὸς καὶ τέκνου στερούμενον ὑπ' αὐτῶν ἐπεβάλετο τὰ βασίλεια πορθεῖν. οἱ δὲ φθάσαντες ὑφάψειν ἠπείλησαν. ἐπιφανεὶς δὲ Ἀπόλλων Ἑλένην μὲν ἔφησεν εἰς θεοὺς διακομίζειν, Ὀρέστῃ δὲ Ἑρμιόνην ἐπέταξε λαβεῖν, Πυλάδῃ δὲ Ἠλέκτραν συνοικίσαι, καθαρθέντι δὲ τὸν φόνον Ἄργους ἄρχειν: — MAB

---

4 τυνδάρεωσ MB  5 κατ'] κ' M  ἀργεῖοι κοινὴν ψῆφον A  6 τοῦ παθεῖν] τούτου τί δεῖ παθεῖν Vat. 1345 Mon. 560  τοὺσ ἀσεβήσαντασ M  7 ἐκ τῆσ νυκτὸσ M  ἀπέστειλε A  7. 8 αὐτὸσ δὲ μ. ἡ. B  8 ἀνῆλθε A εἰσῆλθε B  τοῦ ὀρέστου A  10 ἐπηνέχη A  lacunam indicauit Porson  10. 11 ἐπαγγειλάμενον ἑαυτὸν B  11 εἰσ τὸν βίον M  ante φίλος om. ὁ M  12 αὐτῶ A  15 αὐτῶν A  16 ὁ μενέλαοσ A  17 ἐπεβάλλετο M ἐπεβα A (λ supra) 19 ὀρέστην MA  πυλάδην A  ἠλέκτρα MA  19. 20 συνοικῆσαι MAB em. Brunck  20 ante καθαρθέντι ins. καὶ A  τοῦ φόνου A τῶν φόνων B

Ἀριστοφάνους: Ὀρέστης διὰ τὴν τῆς μητρὸς σφαγὴν ἅμα καὶ ὑπὸ τῶν Ἐρινύων δειματούμενος καὶ ὑπὸ τῶν Ἀργείων κατακριθεὶς θανάτῳ, μέλλων φονεύειν Ἑλένην καὶ Ἑρμιόνην ἀνθ' ὧν Μενέλαος παρὼν οὐκ ἐβοήθησε, διεκωλύθη ὑπὸ Ἀπόλλωνος. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

Ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Ἄργει· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν Ἀργείων ἡλικιωτίδων Ἠλέκτρας, αἳ καὶ παραγίνονται ὑπὲρ τῆς τοῦ Ὀρέστου πυνθανόμεναι συμφορᾶς. προλογίζει δὲ Ἠλέκτρα.

τὸ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν. ἡ δὲ διασκευὴ τοῦ δράματός ἐστι τοιαύτη· πρὸς τὰ τοῦ Ἀγαμέμνονος βασίλεια ὑπόκειται Ὀρέστης κάμνων καὶ κείμενος ὑπὸ μανίας ἐπὶ κλινιδίου, ᾧ προσκαθέζεται πρὸς τοῖς ποσὶν Ἠλέκτρα. διαπορεῖται δὲ τί δήποτε οὐ πρὸς τῇ κεφαλῇ καθέζεται· οὕτως δὲ μᾶλλον ἐδόκει ⟨ἂν⟩ τὸν ἀδελφὸν τημελεῖν πλησιαίτερον [οὕτως] προσκαθεζομένη. ἔοικεν οὖν διὰ τὸν χορὸν ὁ ποιητὴς ⟨οὕτως⟩ διασκευάσαι. διηγέρθη γὰρ ἂν Ὀρέστης ἄρτι καὶ μόγις καταδαρθεὶς πλησιαίτερον αὐτῷ τῶν κατὰ τὸν χορὸν γυναικῶν παρισταμένων. ἔστι δὲ ὑπονοῆσαι τοῦτο ἐξ ὧν φησιν Ἠλέκτρα [140]· σῖγα σῖγα, λεπτὸν ἴχνος ἀρβύλης. πιθανὸν οὖν ταύτην εἶναι τὴν πρόφασιν τῆς τοιαύτης διαθέσεως.

τὸ δρᾶμα τῶν ἐπὶ σκηνῆς εὐδοκιμούντων, χείριστον δὲ τοῖς ἤθεσι. πλὴν γὰρ Πυλάδου πάντες φαῦλοι ἦσαν: — MAB

---

1—21 in A ordo est hic l. 5—8, 1—4, 9—21, in B 5—8, 20. 21, scholii instar in margine scripta sunt 1—4, 9—19   1 ἀριστοφάνουσ γραμματικοῦ ὑπόθεσισ B ἄλλως M om. A   2 ἐριννύων A ut semper   κατακριθεὶς θ. om. B   3 ἑρμιόνην καὶ ἑλένην B   4 τοῦ ἀπόλλωνοσ B   οὐδετέρῳ Dindorf, οὐδενὶ MAB   μυθολογία MA   7 τοῦ om. M   δὲ om. M   8 ἡ ἠλέκτρα A   9 τὸ δὲ B   9. 10 τοῦ δράματος] αὐτοῦ B   10 τοιαῦτα B   11. 12 προκαθέζεται πρὸ M   13 καθεξέζεται A   ἂν ins. Nauck et Kirchhoff   14 πλησιέστερον B   15 γὰρ ἂν] δὲ A   μόλισ B   16 καταδραθεὶσ MAB   πλησιέστερον B ἐγγὺσ A   τῶν] τῶι M   17 ἡ ἠλέκτρα A ἠλέκτρα τῷ χορῷ B   18 λεκτὸν M λευκὸν B   φασὶν εἶναι ταύτην A   20 τῆσ σκηνῆσ B

# ΣΧΟΛΙΑ ΕΙΣ ΟΡΕΣΤΗΝ

1 † οὐκ ἔστιν ⟨οὐδὲν⟩ δεινόν: τὸ δεινὸν ὄνομα γενικόν ἐστι, διαιρεῖται δὲ εἰς πάθος καὶ συμφοράν. καὶ πάθος μὲν λέγεται τὰ νοσήματα, συμφορὰ δὲ αἱ τοῦ βίου δυστυχίαι καὶ περιπέτειαι: — A

οὔτε ἀκοῇ οὔτε θέᾳ ἔστιν οὕτω δεινὸν ὅπερ οὐχ ὑφίσταται τῶν ἀνθρώπων ἡ φύσις. τοῦτο δέ φησι παρόσον ἔκτοπον καὶ ἀλλόκοτον ὑπέστη τιμωρίαν ὁ Τάνταλος· ἢ διὰ τὰς τοῦ γένους συμφοράς· ἢ δι' ἑαυτὴν ὡς ὅτι τλημόνως συνυποφέρει τῷ ἀδελφῷ τὴν τύχην· ἢ διὰ τὸν Ὀρέστην: — MTAB

† ἄλλως: ὧδ' εἰπεῖν ἔπος: ἤγουν ὡς ἐν συντόμῳ λόγῳ εἰπεῖν, οὐκ ἔστι τι δεινόν, οὔτε πάθος οὔτε συμφορά, ἧς οὐκ ἂν τὸ βάρος ἡ τῶν βροτῶν φύσις ὑπενέγκοιτο: — AB

2 οὐδὲ πάθος οὐδὲ συμφοράν: διὰ τί εἰρηκὼς ἔπος καὶ πάθος πρὸς τὸ θηλυκὸν τὰ ἑξῆς συνέταξε φάσκων ἧς οὐκ ἂν ἄραιτ' ἄχθος. φαμὲν οὖν ὅτι προτιμᾶται τοῦ οὐδετέρου τὸ θηλυκὸν καὶ διὰ τοῦτο πρὸς αὐτὸ ἐποίησε τὴν σύνταξιν: — MTA

---

5 θέα TB θέαμα M de A non constat ἔστιν om. A οὕτω Laur. 32, 33 οὔτε MTB οὔτ' ἄλλο τι A 5. 6 ἡ τῶν ἀνθρώπων M 7 τὴν τοῦ γένους τούτου συμφορὰν A 7. 8 ὡς ὅτι] ὥστε M ὡς ὅτε T ὅτι A ὥς γε B 8 συμφέρει M 10 ἤγουν om. B λόγῳ om. B 12 ἀπενέγκοιτο AB 13—16 scholio 10—12 adi. B ita contracta εἰς θηλυκὸν δὲ ἐξ οὐδετέρου τὸν λόγον ἀπέδωκεν ἐπειδὴ προτιμᾶται τοῦ οὐδετέρου τὸ θηλυκόν 13 τί] τὸ T 14 τὸ ἑξῆς T συνέταξας M φάσκων om. M ἂν ἄραιτ' ἂν M 15 οὖν om. A τὸ θηλυκὸν πρ. τ. οὐ. A τὸ θηλυκὸν γένος M

οὐδὲ συμφορὰν θεήλατον: γράφουσί τινες οὐδὲ συμφορὰ θεήλατος, ἀγνοοῦντες δέ· ἀπὸ κοινοῦ γὰρ ληπτέον τὸ οὐκ ἔστιν ⟨εἰπεῖν⟩: — MTA

† θεήλατος: θεόθεν ἐπερχομένη: — A

† κατασκευὴν ποιούμενος ὁ ποιητὴς τῆς ἰδίας προτάσεως τῆς ὅτι πάντα φέρει τὰ δεινὰ ἡ ἀνθρωπότης, ἐπιφέρει ὅτι καὶ αὐτοὶ οἱ μακάριοι καὶ ὄλβιοι δόξαντες ἄνθρωποι οὐκ ἄμοιροι συμφορῶν καὶ παθῶν γεγόνασιν· ἐξ ἑνὸς δὲ τοῦ Ταντάλου καὶ τοὺς ἄλλους παραδηλοῖ. τὸν Τάνταλον δὲ καὶ οὐκ ἄλλον τῇ ὑποθέσει προσείληφε διὰ τὸ ἐξ ἐκείνου τοῦ γένους καὶ τὸν Ὀρέστην κατάγεσθαι: — A

4 ὁ γὰρ μακάριος: μακάριον γὰρ αὐτὸν καλῶ καὶ οὐ δυστυχῆ, ἵνα μὴ ὀνειδίσω αὐτῷ: — MTAB

ἄλλως: ὁ ποτὲ μακάριος. οὐ γὰρ ὀνειδίσουσά φησιν, ἀλλὰ βουλομένη παραστῆσαι ὅτι πάντα τὰ δεινὰ ὑφίστανται οἱ ἄνθρωποι. καὶ Ὅμηρος [Ω 49]· 'τλητὸν γὰρ Μοῖραι θυμὸν θέσαν ἀνθρώποισι': — MTAB

† οὐκ ὀνειδίζω τύχας ἡ Ἠλέκτρα προσέθετο, ἵνα δείξῃ ὅτι οὐχὶ ὀνείδη τῷ πάππῳ προφέρουσα ταῦτα λέγει, ἀλλ' ἵνα τῆς ἀνθρωπείας φύσεως ἐκ τῆς ἐνδοξότητος τούτου ἀποδείξῃ τὸ εὐτελὲς καὶ ὅτι πᾶς ἄνθρωπος πάθεσι καὶ συμφοραῖς ὑπόκειται: — A

Διὸς πεφυκώς: Τμώλου καὶ Πλουτοῦς υἱὸς ὁ Τάνταλος, Ταντάλου δὲ καὶ Εὐρυανάσσης Πέλοψ, Βροτέας, Νιόβη, Πέλοπος δὲ καὶ Ἱπποδαμείας Ἀτρεύς, Θυέστης, Δίας, Κυνόσουρος, Κόρινθος, Ἵππαλκμος, Ἵππασος, Κλεωνός, Ἀργεῖος, Ἀλκάθους, Ἔλειος, Πιτθεύς, Τροιζήν, Νικίππη, Λυσιδίκη καὶ ἔκ τινος Ἀξιόχης νόθος Χρύσιππος. τούτῳ φθονοῦντες οἱ Πελοπίδαι ὡς προκρινομένῳ παρὰ τοῦ πατρὸς ἀναπείθουσιν ἅμα τῇ μητρὶ

1—3 ita contraxit B¹ γρ. καὶ οὐδὲ συμφορὰ θεήλατος ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ οὐκ ἔστι 1 γράφουσί τινες] φύσιν ἔνιοι T 2. 3 οὐκ—εἰπεῖν] οὐκ ἔστι δεινόν M οὐκ ἔστιν οὐδὲν δεινόν TA 11 γὰρ om. AB post καλῶ ins. φησὶ A 12 αὐτόν TAB 13 ὀνειδίζουσα TAB 14 οἱ om. MT καὶ] ὡς καὶ A ὡς TB 15 ὅμηρος φησὶ A 20—p. 96,11 Tzetz. exeg. in Il. p. 68 sq. mant. prov. 2,94 20 Tzetz. chil. 5, 444. 4, 416 20. 21 Ταντάλου—Νιόβη om. T 21 Βροντέας Tzetzes cf. Paus. II 22,3. III 22,4 22 διακυνόσουρος M Κόρινθος Tzetzes cf. et. m. p. 529,48 κορίνθιος MTAB Ἵππαλκμος Tzetzes cf. schol. Pind. Ol. I 144 ἵππαλμος MTAB 23 Κλεωνὸς Tzetzes κλέωνος T κλέων MAB 23—p. 96,3 Tzetz. chil. 1, 415—424 cf. schol. B 105 Hyg. 85 parall. min. 33 23 ἔλειος M ἐλεῖος T ἐλεῖος αἴλιος A αἴλιος B 24 φθονήσαντες AB

τοὺς πρεσβυτάτους Ἀτρέα καὶ Θυέστην ἀνελεῖν τὸν παῖδα. οἱ δὲ ἀποκτείναντες εἰς φρέαρ ἐνέβαλον. ὁ δὲ Πέλοψ ὑπόπτους ἔχων τοὺς παῖδας ἐκβάλλει ἐκ τῆς πατρίδος ἐπαρασάμενος. τούτων ἄλλοι μὲν ἄλλῃ ᾤκησαν, Ἀτρεὺς δὲ καὶ Θυέστης ἐν τῇ Τριφυλίᾳ κατῴκησαν ἐν Μακέστῳ. καὶ Ἀτρεὺς μὲν Κλεόλαν τὴν Δίαντος ἀγαγόμενος ἔσχε Πλεισθένη τὸ σῶμα ἀσθενῆ, ὃς Ἐριφύλην γήμας ἔσχεν Ἀγαμέμνονα καὶ Μενέλαον καὶ Ἀναξιβίαν. νέος δὲ τελευτῶν ὁ Πλεισθένης καταλείπει τῷ πατρὶ τοὺς παῖδας. Θυέστης δὲ λαβὼν Λαοδάμειαν ἔσχεν Ὀρχομενόν, Ἀγλαόν, Καλαόν. τῶν δὲ Ἡρακλειδῶν κατασχόντων Πελοπόννησον ἔχρησεν ὁ θεὸς αὐτοὺς μὲν ἀποστῆναι Λακεδαίμονος, τοὺς δὲ Πελοπίδας βασιλεῦσαι: — MTAB

ὡς λέγουσι: καλῶς τὸ ὡς λέγουσι· οὐ γὰρ πείθομαι τὸν Δία τοὺς ἰδίους παῖδας οὕτως αἰκίζεσθαι: — MTAB

ἄλλως: οὐκ ἐνδοιάζουσά φησιν εἰ παῖς ἦν τοῦ Διὸς ὁ Τάνταλος, ἀλλ' ὀνειδίζουσα τῷ δαίμονι ὅτι τοὺς ἰδίους ἐκγόνους τοσοῦτον ἐν ταῖς δυσδαιμονίαις παρορᾷ: —

6 ὑπερκείμενον: — M[κ]

7 ἀέρι ποτᾶται: ἐπεὶ διὰ γλωσσαλγίας ἥμαρτεν ὁ Τάνταλος, σιωπῇ αὐτὸν κολάζει ὁ Ζεύς. οὔτε γὰρ ἐν οὐρανῷ αὐτὸν τιμωρεῖται, ἵνα μὴ συνδιαλέγηται θεοῖς ἢ λαλούντων ἀκούῃ, οὔτε ἐπὶ γῆς, ὅπως μὴ ἐξείποι τοῖς ἀνθρώποις ἅτινα εἶδεν ἐν οὐρανῷ, οὔτε καθ' Ἅιδου, ὡς

---

1 πρεσβυτέρουσ A 2 ἐνέβαλλον A 3 ἐκβάλει A ἐκ om. AB 4 τοιφυλίαι M τρυφυλίᾳ T τρυφιλία A τρεφυλίαι B ὤκησαν A μακέστοισ M formam volgarem Μακίστῳ non restitui cf. Steph. Byz. p. 428,15 5 Κλεόλλαν Tzetzes τοῦ δίαντοσ T δίακτον M ἔσχεν υἱὸν A πλησθένην T πλεισθενην A 5. 6 τῷ σώματι M 6 ἐριφύλη M 7 πλησθένησ T 8. 9 Tzetz. chil. 1, 449 8 λαοδάμειαν Monac. 560 mant. pr. λαοδάμ M λαοδάμην TAB Ἀγλαὸν Tzetzes ἀγαυὴν MAB ἀγανήν T 9 κάλλεον MT κάλλαιον Tzetzes AB κάλλεα Mon. 560 Κάλεα mant. pr. 12—16 ita cum scholio p. 95,13—15 coni. AB ut initio scriberetur καλῶσ δὲ τὸ ὡσ λέγουσι προσέθηκεν. praeterea separatim extat in A (A[a]) 12 post πείθομαι ins. φησὶ A οἰκείουσ A 14 ἄλλως] ἀλλὰ T initio add. τὸ ὡσ λέγουσιν TAA[a]B ενδυάζουσα M ἐνδιάζουσα A[a] εἰ παῖς ἦν] εἴπωσ ἐκ A[a] 15 ὅτι] παρόσον A[a] 16 δυσειδαιμονίαισ T 18 ἐπειδὴ T 19 ἐκώλυσεν A ἐκόλασεν TB ὁ ζεύσ MT ὁ θεός B om. A τῷ οὐρανῷ A 20 πάλιν θεοῖσ A λαλούντων τούτων A ἀκούοι M ὅπως] ἵνα A 21 ἐξείπῃ A καθ'] ἐν A ἵνα TAB

μὴ καὶ ἄλλους ὁρῶν κολαζομένους ἁμαρτωλοὺς παραμυθοῖτο, ἀλλ' ἐν ἀέρι μετέωρον, ὅπως μηδενὶ προσφθεγγόμενος μᾶλλον ἀνιῷτο: — MTAB

8 οὐκ ἀπέδωκε τῷ μὲν τὸν δέ: — Mg

9 ἀξίωμ' ἔχων ἴσον: παρὰ τὸ 'δαιτὸς ἐίσης': — M

10 ἀκόλαστον: ἐπὶ ἀκολάστῳ τινὶ λόγῳ φασὶν αὐτὸν κολάζεσθαι. εἰ γὰρ μετέδωκε τῆς ἀμβροσίας κατὰ τὸν Πίνδαρον [Ol. I 62 sq.] τοῖς βροτοῖς, μᾶλλον ἂν τῆς φιλανθρωπίας παρὰ θεῶν ἐθαυμάζετο: — MTAB

τὴν γλωσσαλγίαν φησὶν αἰσχίστην νόσον, ὅτι πορνεία μὲν καὶ γαστριμαργία καὶ τὰ λοιπὰ πάθη σὺν τῇ βλάβῃ ἔχουσί τι καὶ τερπνόν, ἡ δὲ γλωσσαλγία καὶ τούτου ἐστέρηται, καὶ ὅτι τὰ μὲν ἄλλα πάθη τὸν χρώμενον βλάπτει, αὕτη δὲ καὶ κατὰ τοῦ θείου ὁπλίζεται: — MTAB

11 ἐξ Εὐρυθεμίστης τῆς Ξάνθου· ἢ Κλυτίας τῆς Ἀμφιδάμαντος, ὡς ἱστορεῖ Φερεκύδης [frg. 93] ἐν ι̅· ὡς δὲ ἱστορεῖ * ἐξ Εὐρυανάσσης τῆς Πακτωλοῦ: — MTB

ἀντὶ τοῦ γεννᾷ, μεταφορικῶς ἀπὸ τῶν δένδρων: — Mg

12 στέμματα: τὸν τῆς ἀρχῆς στέφανον. Αἰσχίνης γὰρ στέμματα τὰ ἔριά φησιν ἀπὸ τοῦ στέφειν τὰς ἠλακάτας· ἐξ ὧν γίνονται οἱ στέφανοι τῶν βασιλέων. ἐξήνασα δὲ ἀντὶ τοῦ προξενήσασα καὶ παρασχομένη. ὁ νοῦς· ἡ τῷ Ἀτρεῖ τὴν βασιλείαν περιποιησαμένη θεὰ πόλεμον καὶ ἔριν πρὸς τὸν ἀδελφὸν ἐπέκλωσε. γράφεται καὶ Ἔρις, ἵν' ᾖ· ἡ θεὰ Ἔρις τὸν πόλεμον ἐπέκλωσε Θυέστῃ καὶ Ἀτρεῖ. οὐ παράλογον δὲ καὶ ἄλλον θεὸν ἐπικλώθειν ἢ τὰς Μοίρας. Ὅμηρος γοῦν φησι [α 17]· 'τῷ οἱ ἐπεκλώσαντο θεοὶ οἰκόνδε νέεσθαι': — MTAB

---

2 φθεγγόμενος TAB ἀνιοῖτο M 5 ἐπὶ T ἐπεὶ MAB ἀκολάστως M 6 τοῖς om. A 7 τῆς om. TB 8 τὴν γλωσσαλγίαν μὲν αἰ. ν. φ. T τὴν γλωσσαλγίαν φησὶ ν. αἰ. A αἰσχίστην δὲ νόσον τὴν γ. φ. B his scholio 5—7 adiunctis μὲν om. A 10 καὶ—ἐστέρηται] καὶ βλάβην φέρει καὶ τοῦ τερπνοῦ ἀπεστέρηται A 11 καὶ om. AB, de M non constat, quod haud pauca detrita sunt 12—14 Tzetz. ad Lyc. p. 353 12 τῆς alterum om. T 13 ἐνιως (ως compendio scr.) MT om. spatio IV literarum relicto B. alterius auctoris nomen excidit ἱστορεῖσθαι M 13. 14 ultima detrita in M 15 ἀνύδρων Mg 16 γὰρ] δὲ T 18 post ἀντὶ τοῦ ins. ἐριουργήσασα καὶ κατασκευάσασα ἢ ἀντὶ τοῦ A ξενήσασα M καὶ om. M 19 post παρασχομένη ins. ὡς εἶναι διὰ διφθόγγου τὸ ξεῖ A ἢ ἀντὶ τοῦ ἐριουργήσασα κατασκευάσασα B ὁ δὲ νοῦς MAB post νοῦς ins. τοῦ ὅλου τοιοῦτος A περιπ. τ. β. TAB 20 ἀδελφὸν θυέστην A γράψον A post γράφεται ins. δὲ TAB 21 θεὰ om. A τῷ θυέστῃ καὶ τῷ ἀ. A 22. 23 γοῦν—οἱ om. M 22 ἢ] ὡς καὶ MTAB γοῦν Laur. 32, 33 γὰρ AB om. T 23 ὑπεκλώσαντο A θεὸν T

† ᾧ στέμματα ξήνασα: τοῦτό φησιν ὅτι ἡ Μοῖρα βασιλείαν μελετήσασα τῷ Ἀτρεῖ οὐ καθαρὰν ταύτην αὐτῷ ἐχαρίσατο, ἀλλὰ διὰ τῆς ἀδελφικῆς συμφορᾶς. δύο γὰρ ὄντοιν ἀδελφοῖν Πελοπίδαιν Θυέστου καὶ Ἀτρέως, τῆς βασιλείας ὀφειλομένης τῷ Θυέστῃ ὡς πρωτοτόκῳ, ταύτην ἡ Μοῖρα τῷ δευτέρῳ, Ἀτρεῖ, περιεποιήσατο. ἐκεῖνον μὲν γὰρ ἡ φύσις ἐκάλει πρὸς τὴν ἀρχήν, τοῦτον δὲ ἡ πονηρία καὶ ἐπιτέχνησις εἰς τὸ κράτος ἀνήγαγε. ταύτην γὰρ τὴν πονηρίαν καὶ ἐπιτέχνησιν Μοῖραν ἐμυθεύσαντο οἱ σοφοί· μόρος γὰρ λέγεται ἡ κακοπάθεια καὶ μορεῖν τὸ κακοπαθεῖν· ὅθεν προσλήψει τοῦ ἰῶτα μοῖρα· ἡ γὰρ πονηρία μετὰ πλείστης κακοπαθείας καὶ μόχθου νικᾷ τὴν εὐθύτητα. διὰ τοῦτο καὶ λέγεται ἡ Μοῖρα κλώθουσα καὶ ξαίνουσα: — A

13 ἀντὶ τοῦ τὴν αἰτίαν τῆς φιλονεικίας αὐτῶν: — M$^g$

ἀντὶ τοῦ πρὸς Θυέστην ὄντα σύγγονον θέσθαι: — M$^g$A$^g$

14 † τί τἄρρητα: ἐπειδὴ ἡ ἔρις τοῖς ἀδελφοῖς γέγονε διὰ τὴν μοιχείαν τῆς Ἀερόπης, ἣν γυναῖκα οὖσαν Ἀτρέως ὁ ἀδελφὸς αὐτοῦ Θυέστης ἐμοίχευσε καὶ ὤφειλεν ἐνταῦθα λαληθῆναι τὸ τῆς ἔριδος αἴτιον, διὰ τὸ ἄρρητον καὶ ἄφραστον τῆς ὑποθέσεως καὶ μηδὲ πρέπον διὰ κόρης τῆς Ἠλέκτρας ἐκλαληθῆναί φησιν ὁ ποιητὴς δι' αὐτῆς τί τἄρρητ' ἀναμετρήσασθαί με δεῖ, ἤγουν τί με δεῖ τὰ μὴ ἐνδεχόμενα λαλεῖσθαί τινι καὶ μάλιστα ἐμοὶ ὡς παρθένῳ ἀναμετρήσασθαι καὶ ἀπαριθμῆσαι [χρεών]. ἤτοι ἀπαριθμήσασθαι, ἐν τῷ ἀριθμῷ τῶν λεγομένων ἐκθεῖναι: — A

διὰ τοῦ ἀναμετρήσασθαι τὸ πλῆθος τῶν κακῶν ἐσήμηνεν. ἢ οὖν ὡς πολλά, ἢ ὡς ἄτοπα παραπέμπεται. ἢ ὡς παρθένος παραιτεῖται λέγειν διὰ τὴν μοιχείαν Θυέστου, ἢ τὴν ἄθεσμον Αἰγίσθου γονήν. ἐκ γὰρ Πελοπίας τῆς θυγατρὸς ἐποίησεν αὐτὸν Θυέστης: — MTAB

15 ἐδείπνησεν: — M$^g$

---

4 ὠφειλομένης A  21 ἢ τὸ A  23 διὰ τοῦ ἀ.] διαμετρήσασθαι T  ἐσήμινεν M ἐσήμανεν TB  24 ἄνομα καὶ ἄτοπα M  25 διὰ om. M  τοῦ θυέστου M  τὴν—γονὴν Vat. 1345 τὴν—γονὴν σιωπᾷ Par. 2810 Mon. 560 τὴν—γονὴν σιωπὴν Laur. 32, 33 τὸν—γάμον MTAB  26 ἐκ γὰρ πελοπίας Laur. 32, 33 ἐκ γὰρ πέλοπος Vat. 1345 ἐκ γὰρ τῆς πελοπέας Par. 2810 ἐκ γὰρ τῆς ἐπελοπίας Mon. 560 οὗτος γὰρ ἦν παῖς πελοπείας M οὗτος γὰρ ἦν παῖς πελοπίας TAB  τῆς πελοπίδος θυγατρὸς Vat. 1345 τῆς θ. ἀστερόπιδος Laur. 32, 33 τῆς θ. στεροπίδος Par. 2810 Mon. 560 τῆς θ. ἢ στερόπιδος MTB τῆς θ. ἢ ἀπὸ στερόπιδος A. extabat pro Πελοπίας uaria lectio Πελοπίδος, unde nomen Στεροπίδος finxerunt librarii

μετὰ τὸ ψωμισθῆναι τὰ τέκνα τῷ Θυέστῃ ἐχρήσθη ἐν τῇ Πυθοῖ ἐρωτῶντι, πῶς τιμωρήσεται τὸν ἀδελφόν, μιγῆναι τῇ θυγατρὶ Πελοπίᾳ καὶ τὸν ἐξ αὐτῆς γενόμενον δεινὰ κατεργάσεσθαι τοὺς Ἀτρείδας: — MTAB

ἐπειδὴ κακῆς πράξεως ὑπεμνήσθη, διὰ τοῦτο οὐκ εἶπεν ὁ πάππος ὁ ἐμός, ἀλλ' ὁ Ἀτρεύς: — M[g]TA[g]

16 πάλιν τὴν μοιχείαν Ἀερόπης αἰνίττεται ἢ τὴν γονὴν * * Πλεισθένους ὃν ἀνεῖλε⟨το⟩ Θυέστης: — M[1]T

18 Μενέλεως τε Κρήσσης: οὐ γὰρ ἂν Ἑλληνὶς γυνὴ τοιαῦτα ἔπραξε. τοῦτο οὖν προσέθηκεν ἐλευθερῶν μὲν τὰς Ἑλληνίδας, κωμῳδῶν δὲ τὰς Κρήσσας: — MM[1]TA

19 † στυγουμένην: οὐχ ὡς μισουμένην παρὰ θεῶν προφανῶς ἡ Ἠλέκτρα εἶπεν, ἀλλ' ὡς ἐν εὐχῆς τρόπῳ καὶ ὡς ἐὰν οὕτως εἶπεν· ἣν μισήσειαν οἱ θεοί: — A

21 ἐπίσημον: τὸ ἐπίσημον ἐπὶ σωφροσύνῃ ἔφη, ὡς Ὅμηρος [γ 265]· 'ἡ δή τοι τὸ πρὶν μὲν ἀναίνετο ἔργον ἀεικὲς δῖα Κλυταιμνήστρη· φρεσὶ γὰρ κέχρητ' ἀγαθῇσιν'. ἡ οὖν πρὸ τούτου ἐπίσημον ἡ νῦν ἐπὶ μοιχείᾳ ἐπίσημον: — M[1]TAB

22 ᾧ παρθένοι μὲν τρεῖς: Ὅμηρος [Ι 145]· 'Χρυσόθεμις καὶ Λαοδίκη καὶ Ἰφιάνασσα'. οὗτος Ἰφιγένειαν τὴν Ἰφιάνασσαν καλεῖ, Ἠλέκτραν δὲ τὴν Λαοδίκην διὰ τὸ πολυχρόνιον ἴσως τῆς παρθενίας οἷον

---

1—3 cf. Hygin. 87 Serv. ad Aen. XI 262 schol. Stat. Theb. I 684 myth. Vat. I 22 = II 147 1 initio add. ἐπεὶ T ἐπειδὴ B τὸν θυέστην MTB θυέστην A π[θ]υ M πυθία TAB 2 ἐρωτῶντι Vat. 1345 ἐρωτῶν MTAB πῶς om. M τιμωρήσεται Vat. 1345 τιμωρήσαιτο MTAB πελοπία MTAB πελοπίδι Vat. 1345 3 ἐκ ταύτης AB γινόμενον T γεννώμενον B τεχθησόμενον A κατεργάσασθαι MTAB τοῖς ἀτρείδαις A in fine add. αἴγισθον MTB οὗτος δ' ἦν αἴγισθος A 4 ἐπεμνήσθη T 6 cf. Hyg. 86 suppleuerim Αἰγίσθου ἢ τὸν φόνον nisi forte plura exciderint 7 πλησθένους M[1]T ἀνεῖλε M[1]T cf. Hyg. l. c. 8—10 scholio p. 97,4 adi. M 8 ἂν om. M[1]T ante γυνὴ add. ἣν A 14 ἐπὶ σωφροσύνῃ ἔφησεν ἐπίσημον A τὸ ἐπίσημον om. B ὡς καὶ B 15. 16 κλυταιμνήστρα A 16 πρὸ τούτου MTB τὸ πρὸ τοῦ Laur. 32, 33 πρὸ τούτου νοητέον ἐπὶ σωφροσύνῃ A 17 in fine add. ἤτοι φανερὸν καὶ διάδηλον καὶ περίφημον ἐπὶ μοιχείᾳ A 18—p. 100,2 et. m. p. 426,5 Ἠλέκτρα ἡ παρ' Ὁμήρῳ Λαοδίκη διὰ τὸ πολυχρόνιον τῆς παρθενίας οἷον ἄλεκτρός τις ὡς Εὐριπίδης 'ὦ παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου'. 18 ὡς καὶ ὅμηρος λέγει A καὶ ὅμηρος B καὶ om. M[1]T 19 καὶ οὗτος B οὗτος τὸ T ἰφιγένειαν μὲν B

ἄλεκτρός τις οὖσα ὡς αὐτός φησιν [72]· ‘[ὦ] παρθένε μακρὸν δὴ μῆκος Ἠλέκτρα χρόνου’: — M$^1$TAB

24 τὸ ἄρσην Ὁμηρικῶς, ὡς τὸ [α 1] ‘ἄνδρα μοι ἔννεπε Μοῦσα’: — M$^1$A$^g$

25 ἀπείρῳ περιβαλοῦσ’ ὑφάσματι: ἡ γὰρ Κλυταιμνήστρα χιτῶνα ὕφανεν οὔτε ταῖς χερσὶν οὔτε τῇ κεφαλῇ ἔκδυσιν ἔχοντα, ὅπως μὴ Ἀγαμέμνων ἀμύνασθαι δύναιτο τοὺς φονεύοντας: — M$^1$TAB

καὶ ἄλλως: ἀντὶ τοῦ χιτῶνι. ἄπειρον δ οὐκ ἦν περᾶσαι χερσὶν ἢ κεφαλῇ, ὥσπερ ἄπειρον δίκτυόν φασιν. καλῶς δὲ τὸ πόσιν· εἰ γὰρ εἶπε τὸν ἐμὸν πατέρα, δι’ ἑαυτὴν ἐδόκει ἂν κατηγορεῖν τῆς μητρός. Αἰσχύλος δέ φησιν [fr. 365]· ‘ἀμήχανον τέχνημα καὶ δυσέκδυτον’: — M$^1$TAB

28 Φοίβου δ’ ἀδικίαν μέν: ἐν ἤθει ταῦτα· φησὶ μὲν γὰρ οὐ κατηγορήσειν τοῦ θεοῦ, ὅμως γε μὴν ὕστερον ὑπερπαθήσασα καταβοᾷ τοῦ Ἀπόλλωνος καὶ δι’ ὧν ἐδόκει μὴ κατὰ τοῦ Ἀπόλλωνος λέγειν, διὰ τούτων ἐλέγχεται αὐτοῦ κατηγοροῦσα: — M$^1$TAB

τί δεῖ κατηγορεῖν: τὸ ἀκόλουθον ἦν· ὁ δὲ Ἀπόλλων οὐκ ἄδικος μέν, ὅμως πείθει Ὀρέστην ἀποκτεῖναι τὴν μητέρα: — M$^1$TAB

30 οἱ μὲν γὰρ ἐπῄνουν αὐτόν, οἱ δὲ οὔ. διὸ τὸ πρὸς οὐχ ἅπαντας εἶπεν: — M$^1$TAA$^g$B

εὐκλείαν φέρων: ἐκτατέον τὸ ᾰ τοῦ εὐκλεία. Ἀττικῶς, ἀντὶ τοῦ εὐκλείαν φέροντος, τοῦ κτεῖναι δηλονότι: — M$^1$TA$^g$

1 αὐτός] εἶναι οὕτωσ M$^1$ οὕτωσ T καὶ αὐτὸσ A αὐτὸσ οὗτοσ B ὦ παρθένε om. T μακρὰν A 2 ἠλέκτραν M$^1$ 5—12 cf. et. m. p. 120,45 sq. Gud. p. 63,56 Zon. p. 233 6 ὕφανεν] τὸν ἀγαμέμνονα ἐνέδυσεν A 7 ἀγαμέμνων μὴ A δύναται M$^1$T δύνητο A δύνηται B 8. 9 καὶ ἄλλως — φασιν om. AB 8 δ Laur. 32, 33 ὡσ M$^1$ ᾧ T scribas ἀπείρῳ δ διαπερᾶσαι Laur. 32, 33 περασ M$^1$T 9 ante καλῶς coll. 11. 12 A τὸ] εἶπεν ἢ AB 9. 10 ποίησιν T 10 ἔδοξεν ἂν δι’ ἑαυτὴν A ἂν om. M$^1$TB 11 καὶ αἰσχύλοσ A τέχνημα Nauck τεύχημα M$^1$TAB 12 δυσέκδυτον Dindorf δυσέκλυτον M$^1$TAB 13 ταῦτα νοητέον A οὐ] ὡσ οὐ δεῖ A 14 κατηγορήσασ M$^1$ ὑπερπαθήσασα βοᾷ M$^1$ literis σα in κατα correctis 15 καὶ— Ἀπόλλωνος om. M$^1$ δὲ ἐδόκει T κατὰ τοῦ ἀπόλλωνος T κατ’ αὐτοῦ AB 16 κατηγοροῦσα αὐτοῦ A 17. 18 scholio quod praecedit adi. AB add. δὲ post τὸ 18 μὲν ἦν A μητέρα αὐτοῦ A 19. 20 scholio quod praecedit adi. AB ita conformata πρὸσ οὐχ ἅπαντασ δὲ εὔκλειαν φέρων (φ$^ε$ B) εἴρηκεν ἐπειδὴ οἱ μὲν ἐπῄνουν αὐτὸν, οἱ δὲ οὔ: — 19 οἱ δὲ οὔ om. M$^1$ 21 ἐκτακτέον TA$^g$ ἀττικόν T 22 post φέροντος add. ἀττικῶσ M$^1$ ἀττικόν T

32 οἷα δὴ γυνὴ φόνου: ὥσπερ ἀδύνατος ἡ γυναικεία φύσις μεταλαβεῖν φόνου· οὐ γὰρ κεκοινώνηκε τοῦ φόνου Ἠλέκτρα, ὡς Ὀρέστης φησί [284]· 'σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασται δ' ἐμοί': — MTAB

ἄλλως: ζητεῖται, τί δήποτε ἀνωτέρω παρθένον ἑαυτὴν εἰρηκυῖα, ὅπου φησὶν [26]· 'ὧν δ' ἕκατι, παρθένῳ λέγειν οὐ καλόν', ἐνταῦθα γυναῖκα ἑαυτὴν λέγει. λεκτέον δὲ ὅτι οἷα δὴ γυνή πρὸς τὸ θηλυκὸν γένος σκοπουμένη, ὡς οὐδὲν μὲν ἔπραξεν, ἀλλὰ τοσοῦτον ὅσον ἂν γυνή τις ἐργάσαιτο: — MTAB

ἄλλως: ὡς γυνή, συμβουλεύσασα, παραθαρρύνασα, ὑπομνήσασα τοῦ πατρός. οὐ γὰρ αὐτόχειρ γέγονε τῆς μητρός, ἀλλὰ λόγοις παρώρμησε κατ' αὐτῆς τὸν ἀδελφόν. τάχα δὲ διὰ τοῦ οἷα δὴ γυνή παρονειδίζει τῇ μητρί· ἐκείνη γὰρ αὐτόχειρ γέγονε τοῦ Ἀγαμέμνονος οὐ κατὰ γυναῖκα: — MTAB

33 Πυλάδης θ': Φώκου παῖδες Κρῖσος καὶ Πανοπεύς. τούτων ὁ Κρῖσος ἔκτισε τὴν νῦν Κίρραν, τότε Κρῖσαν καλουμένην, καὶ παῖς αὐτῷ ἐξ Ἀντιφατείας τῆς Ναυβόλου Στρόφιος ἐγένετο, οὗ Ἀστυδάμεια καὶ Πυλάδης ἐκ Κυδραγόρας τῆς ἀδελφῆς Ἀγαμέμνονος: — MTAB

34 συγκολληθείς: — M[g]

35 παρὰ μὲν τῷ ποιητῇ τλήμων ὁ ὑπομονητικός, παρὰ δὲ τοῖς τραγικοῖς τλήμων ὁ δυστυχής: — M[i]TA

36 τροχηλατεῖ: κατεπείγει· τρόχος γὰρ ὁ δρόμος. οἷον μετὰ τροχοῦ καὶ ἁρμάτων ἐλαύνει: — MTAB

---

1 ὥσπερ] ταῦτα φησὶν ὅτι A  ἀδύνατον MT  2 μεταβαλεῖν M  ἐκοινώνησε A  post φόνου ins. τῷ ἀδελφῷ A  ἡ ἠλέκτρα AB  ὡς καὶ AB  3 γὰρ om. A  4—8 scholio quod praecedit adi. AB om. ἄλλως et add. δὲ post ζητεῖται  4 post δήποτε ins. εἰρήκυι M  παρθένῳ MT  4. 5 ἑαυτὴν—φησὶν om. MT  5 ὅπου] ἔνθα A  λέγειν οὐ καλόν om. M  6 δὲ] δὴ M  ὅτι τὸ A  7 γένος om. MT  σκοποῦμεν καὶ φαμὲν A  ἔπραξε πλέον A  8 ἐργάσοιτο AB  9. 10 τῶν τοῦ πατρὸς ἀγαθῶν A  10 αὐτόχειρ αὕτη A  λόγος M  12 τοῦ om. A  12. 13 γυναῖκας M  14—17 cf. schol. Or. 1233 Paus. II 29,4 schol. Lycophr. 53 Steph. Byz. p. 385,4  14. 15 κρίσσος TAB  14 τούτοις MTB  15 κρίσσαν MTAB  16 ἀφαντείας MT ἀντιφάνης A  ναυβούλου B  στρόφος A  17 κυδαγόρας A  19 μὲν om. M[i]T  20 τλήμων om. T  21. 22 bis scripta in A (A[a]), scholio quod sequitur adi. AB add. δὲ ἀντὶ τοῦ post τροχηλατεῖ A δὲ B  cf. Hesych. τροχηλατεῖ ἐλαύνει  21 τρόχος—δρόμος post κατεπείγει coll. Laur. 31,10 ubi cetera desunt, post ἐλαύνει MTAB  οἱονεὶ A  22 ἐλαύνεται T  in fine add. λέγεται A

37 ὀνομάζειν γὰρ αἰδοῦμαι θεάς: τὰς Ἐρινῦς. οὐκ ὀνομάζουσι δὲ, ἀλλ' εὐφημιζόμενοι σεμνὰς θεὰς ἢ Εὐμενίδας καλοῦσιν. ὀνόματα δὲ τῶν Ἐρινύων Τισιφόνη Μέγαιρα Ἀλληκτώ: — MTAB

39 φησὶν Ὅμηρος [γ 309]· ‘ἤτοι ὁ τὸν κτείνας δαίνυ τάφον Ἀργείοισιν· αὐτῆμαρ δέ οἱ ἦλθε’: — MTAB

40 καθήγνισται δέμας: καθωσίωται. κέκαυται. ἁγνείαν γὰρ ἐκάλεσε τὴν διὰ πυρὸς φθορὰν τοῦ σώματος: — MTAB

ἄλλως: κεκάθαρται· πάντα γὰρ καθαίρει τὸ πῦρ: — MTAB

ἄλλως: ἁγνὰ γὰρ δοκεῖ εἶναι τὰ καιόμενα, τὰ δὲ ἄταφα μεμιασμένα: — MTAB

41 ὧν οὔτε σῖτα: ἀφ' ὧν ἢ δι' ὧν, ἐξ ἡμερῶν, οὐκ ἔφαγεν. ἐμφαίνει δὲ ὡς προσηνέχθη μὲν τῷ στόματι αὐτοῦ τροφή, ἀλλὰ καταπιεῖν οὐκ ἠδύνατο: — MTAB

† .... ⟨δέ⟩ρην ὠνόμασεν ἀπὸ τοῦ περιέχοντος δηλῶν τὸ περιεχόμενον: — A

43 κουφισθῇ νόσου: ἀκόλουθον τῷ [3] ἄραιτ' ἄχθος τὸ κουφισθῇ νόσου: — MT

44 ἔμφρων δακρύει: ἀντὶ τοῦ ἔμφρων γενόμενος. ἄμεινον δὲ ὑφ' ἕν· ἔμφρων δακρύει: — MT

45 ὁ ἄποθεν τοῦ ζυγοῦ, ὅ ἐστιν ἀδάμαστος: — M[1]A[s]

46 ἔδοξε δ' Ἄργει: φανερὸν ὅτι ἐν Ἄργει ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται. Ὅμηρος δὲ ἐν Μυκήναις φησὶ τὰ βασίλεια Ἀγαμέμνονος, Στησίχορος [frg. 39] δὲ καὶ Σιμωνίδης [frg. 207] ἐν Λακεδαίμονι: — MTAB

47 μὴ πυρὶ δέχεσθαι: τὸ ἑξῆς· μήθ' ἡμᾶς στέγαις δέχεσθαι. πρὸς δὲ τὸ πῦρ οὐδὲν ἀνταπέδωκεν. ἔξωθεν οὖν ἀκουστέον τὸ ἐναύειν,

---

2 δὲ] γὰρ ταύτασ A εὐφημοῦντεσ A 3 καὶ ἀληκτώ A ἀληκτώ T 4 ὅμηροσ φασὶν A καὶ ὅμηροσ B ἤτοι om. A 6. 7 scholio quod praecedit adi. AB initio add. καθήγγιται δὲ ἀντὶ τοῦ A καθήγνισται δὲ B 6 καὶ κέκαυται A 7 τοῦ πυρὸσ T 8 κεκάθαρται om. B ἄλλως] ἀλλ' MT καὶ AB γὰρ om. AB 9 εἶναι δοκεῖ A 9. 10 μεμιαμένα MT 11 ἢ δι' ὧν] ἰδίων MT 12 προσήχθη A 13 ἠδυνήθη B 16 τὸ MT τῶ T 21 ἢ] ἐστι M 22—24 ὑπόκειται — Λακεδαίμονι om. M 22 μυκήνη A μυκήνηι B φησὶν εἶναι A 22. 23 τοῦ ἀγαμέμνονοσ A 23. 24 λακεδαίμονι Vat. 1135 λακεδαιμονία TAB 25 — p. 103,2 scholio quod praecedit adi. AB add. δ' post τὸ A δὲ B 25 post ἑξῆς add. ἔδοξε δ' ἄργει τῶδε MA ἔδοξε δ' ἄργει B στέγασ M 26 οὐδ' M οὖν] γὰρ A προσυπακουστέον A

καί ἐστι σχῆμα Ἀττικόν, μὴ πυρὶ ἐναύειν, ἀντὶ τοῦ μήτι πυρὸς ἐναύειν. οὐ γὰρ τὸ δέχεσθαι πρὸς τὸ πῦρ ληπτέον: — MTAB

50 τὸ νώ δυικῶς, ὅ ἐστιν· ἡμεῖς οἱ δύο: — $\mathrm{M^s}$

51 ἢ φάσγανον θήξαντ': δυικῶς τὸ θήξαντε: — MT

κέκριται, φησίν, ἡμᾶς τελευτῆσαι· πότερον δὲ λίθοις βληθέντας ἢ ξίφει, σήμερον κρινοῦσιν: — MTAB

54 λιμένα δὲ Ναυπλίειον: Ναύπλιος Ἀργεῖος ἀνὴρ ναυτικῆς ἔμπειρος λιμένα κατασκευάσας ἀφ' ἑαυτοῦ ἐκάλεσε Ναυπλίειον. ἦν δὲ υἱὸς Ποσειδῶνος καὶ Ἀμυμώνης. ἢ ὅτι ἐν λιμένι διέτριβεν, ἐκ τούτου ὁμώνυμος αὐτῷ ὁ λιμήν: — MTAB

πλάτῃ: τὴν ὁδόν. διαπεπερακὼς ταῖς κώπαις τὸν λιμένα προσορμίζεται ταῖς ἀκταῖς. ἀπὸ δὲ τῶν πλατῶν τὰς ναῦς σημαίνει. πλάτη δὲ τὸ πλατὺ τῆς κώπης, ὃ καθίεται εἰς τὴν θάλασσαν: — MTAB

57 νύκτα μή τις εἰσιδών: οὐκ ὀρθῶς νῦν ποιοῦσί τινες τῶν ὑποκριτῶν πρωῒ εἰσπορευομένην τὴν Ἑλένην καὶ τὰ λάφυρα. ῥητῶς γὰρ αὐτὴν νυκτὸς ἀπεστάλθαι φησί, τὰ δὲ κατὰ τὸ δρᾶμα ἡμέρᾳ συντελεῖται: — MTAB

† ἐδεδίει γὰρ ἡ Ἑλένη ἡμέρας ἐπιπολούσης εἰσελθεῖν, ἵνα μὴ ὑπὸ τῶν πατέρων, ὧν κατὰ Ἴλιον οἱ παῖδες ἔπεσον, ἀναιρεθῇ. αὕτη γὰρ τούτου αἰτία καὶ ἑτέρων πολλῶν. διὰ τοῦτο νυκτὸς ἐπικαταλαβούσης εἰσῄει μή † τινα ἔχουσα κατ' ὄψιν: — A

63 τίς ἔλιπεν· δηλονότι ὁ Μενέλαος ὅνπερ ἑξῆς ἐπάγει: — MA

71 ὦ παῖ Κλυταιμνήστρας: τοῦ προσήκοντος ἤθους ἐξέπεσεν ὁ Εὐριπίδης. νῦν γὰρ πρῶτον ἀλλήλας ἀποβλέπουσι καὶ ἀήθως πάνυ

---

1 σχῆμα om. A ἀντὶ—ἐναύειν om. A μήτι] μήτε MTB 5. 6 scholio quod praecedit adi. MT add. δὲ ante φησὶν 5 κέκριται om. T ἢ λίθοισ A 6 τήμερον M κρινοῦμεν M 7—10 cf. Paus. II 38,2 7 ante Ἀργεῖος ins. γὰρ M 8 ἐκάλεσεν αὐτὸν T ναύπλιον MB 9 ante υἱὸς ins. οὗτοσ A ἐν λιμένι] λιμένα MT διέτριβε καὶ T 11—13 scholio quod praecedit adi. AB initio add. ἐκπληρῶν δὲ πλάτῃ ἤτοι 11 ὁδὸν τῆσ θαλάσσησ A τὸν λιμένα om. AB 12 ἐσήμαινε A 14 ποιοῦσι τινὲσ Laur. 32, 33 ποιοῦσι τὴν MT ποιοῦσιν αὐτὴν AB 15 προεισπορευομένην codd. omnes τὴν ἑλένην add. Laur. 32, 33 om. MTAB post λάφυρα add. προεισπορευόμενα MTAB μεθ' ἡμέραν Laur. 32, 33 ῥητῶσ Laur. 32, 33 ἀρρήτω MT ἀρρήτωσ AB 21 scripserim τινι ἔλθῃ 22 scholio quod praecedit praeposuit A τίς—Μενέλαος] ὁ μενέλαοσ δηλονότι A ὅπερ M ὥπερ A τὸ ἑξῆσ M 24 ὁ om. A γὰρ] δὲ T πρώτωσ MT βλέπουσι AB εὐήθουσ A

οὔτε ἀσπάζονται ἀλλήλας οὔτε προσφωνοῦσι, καὶ ἡ μὲν Ἑλένη ἔξεισιν ἔχουσα χοὰς καὶ τὸν βόστρυχον ἀποτετμημένον, ἅμα δὲ δυσωπεῖ τὴν Ἠλέκτραν καὶ λυπεῖ ὑπομιμνήσκουσα τοῦ ὀνόματος Κλυταιμνήστρας καὶ προτάσσουσα. ἀ(να)κολούθως δὲ καὶ τὸ διὰ μέσου. τὸ δὲ ἑξῆς· μακρὸν δὴ μῆκος χρόνου παρθένε, Ἠλέκτρα, ἀντὶ τοῦ· ὦ πολυχρόνιε παρθένε: — MTAB

ἄλλως: παρθένε μακρὸν δὴ μῆκος: ὅ ἐστι· πολλῷ χρόνῳ παρθενευομένη. τοῦτο δὲ ὑβρίζουσα αὐτήν φησιν ὡς αἰτίαν ἐχούσης καὶ διὰ τοῦτο μὴ γαμουμένης. καὶ διὰ τούτου παρεμφαίνει ὅτι εὐμοιρίας νομίζει τέλος τὸν γάμον: — MTAB

73 πῶς ὦ τάλαινα: διὰ τούτου ὠνείδισεν αὐτὴν ὡς μητροφόνου ἀδελφήν. οἱ δὲ τοῖς ἐναγέσι προσφθεγγόμενοι καὶ αὐτοὶ δοκοῦσι μιαίνεσθαι, ὡς καὶ ἐν Ἡρακλεῖ [1219] καὶ Ἰξίονι δέδεικται: — A

76 εἰς Φοῖβον ἀναφέρουσα τὴν ἁμαρτίαν: καὶ τοῦτο πανούργως· ἀναμάρτητον γὰρ τὸ θεῖον. ἐμφαίνει ὡς καταψευδομένων αὐτῶν τοῦ Ἀπόλλωνος: — MTAB

78 ἣν ἐπεὶ πρὸς Ἴλιον: ἣν οὐκ εἶδον ἀφ᾽ οὗ εἰς τὴν Ἴλιον ἔπλευσα· διὰ μέσου γὰρ τὸ ὅπως ἔπλευσα, εἶτα ὥσπερ αἰτίαν λέγουσα τοῦ πλοῦ θεομανεῖ πότμῳ φησίν, ἀντὶ τοῦ· ὑπὸ εἱμαρμένης μανεῖσα. ἢ μοίρᾳ θεοῦ μανεῖσα: — MTAB

ἄλλως: ἣν οὐκ εἶδον ἀφ᾽ οὗ πρὸς Ἴλιον ἔπλευσα· εἰ δὲ θέλεις γνῶναι πῶς ἔπλευσα, γίνωσκε ὅτι θεομανεῖ πότμῳ. κρύπτει δὲ τὴν μοιχείαν καὶ ὑπὸ δαίμονός τινος βίᾳ ἦχθαι εἰς Τροίαν φησίν: — MTAB

λείπει τὸ οὐκ εἶδον: — M[1]

80 ἀπολειφθεῖσα δ᾽ αἰάζω τύχας: ἄδηλον τίνος ἀπολειφθεῖσα

---

1. 2 καὶ — ἀποτετμημένον hic coll. Laur. 32, 33 post διὰ μέσου MTAB om. καὶ 3 λυπεῖ ὑ.] διυπομιμνήσκουσα A 4 προστάσσουσα AB. hic claudit scholion A τὸ] τόδε MB τὸ δὲ T 5 χρόνου post Ἠλέκτρα coll. MT 7—10 scholio quod praecedit adi. B ὅ ἐστι mutato in ἤτοι 7. 8 πολὺν χρόνον παρθενεύουσα A 8 δὲ καὶ A αὐτήν om. A ἐχούσῃ A ἔχουσαν B 9 γαμουμένη TA γαμουμένην MB 9. 10 καὶ—γάμον om. A 9 παρεμφαίνει δὲ διὰ τούτου B 11 τοῦτο A ὡς] ὦ A 15 post ἐμφαίνει add. οὖν MA ὁ ποιητὴσ B καὶ ψευδομένων MT 16 Ἀπόλλωνος] ἡλίου A 17 τὴν] τὸν M 18 τὸ om. MT ὅπως δ᾽ A ὥσπερ] ὡσ A 19 τοῦ πλοῦ om. A ante φησὶν ins. τὴν εἱμαρμένην A φησὶν — μανεῖσα (prius) om. T 19—22 ἀντὶ— πότμῳ om. A 23 ὑπὸ δαίμονοσ τινὸσ καὶ βίασ M ὑ. δ. τ. βίασ T ὑπὸ δαίμονοσ τινὸσ A ὑπὸ βίασ δαίμονόσ τινοσ B φησίν om. M

θρηνεῖ, τοῦ [μὴ] ἰδεῖν τὴν Κλυταιμνήστραν ἢ τοῦ γνῶναι τῆς πορνείας τὴν αἰτίαν: — MTAB[i]

† ἢ τοῦ καταλαβεῖν ζῶσαν τὴν Κλυταιμνήστραν ἀπολειφθεῖσα ⟨ἢ⟩ τοῦ γνῶναι τὸν τρόπον τῆς ἐμῆς φυγῆς: — A

81 Ἑλένη, τί σοι λέγοιμ' ἄν: πρὸς πάσας τὰς ὕβρεις ἀντέθηκε τὸ Ἑλένη, ὅθεν καὶ χιάζεται ὁ στίχος· σεσημείωται γὰρ τὸ ὄνομα τῆς Ἑλένης. αἰνίττεται δὲ ὅτι πονηρῶς κερτομεῖ περὶ τούτων πυνθανομένη ὧν παροῦσα ὁρᾷ: — MTAB

82 ἐν συμφοραῖσι: τὴν ἀπολογίαν δι' ἑνὸς ἐδήλωσεν ὀνόματος· καὶ Ὀρέστης γὰρ κρινόμενος εἰς τὴν ⟨ἀπὸ⟩ τοῦ πατρὸς κατέφυγεν ἀπολογίαν: — MTAB

† τί χρεὼν εἰπεῖν ἅτινα ὁρᾷς. τί δὲ ὁρᾷς· ἐν συμφοραῖσι τὸν Ἀγαμέμνονος γόνον. δῆλον δὲ ὅτι οὐ τὸν Ὀρέστην μόνον λέγει ἀλλὰ καὶ ἑαυτὴν Ἀγαμέμνονος γόνον. περὶ τῶν δύο γὰρ ἡ Ἑλένη ἐπύθετο λέγουσα πῶς, ὦ τάλαινα, σύ τε κασίγνητός τε σός. εἰκότως οὖν καὶ αὐτὴ ἐπάγει τὴν ἑαυτῆς ἄυπνον κηδεμονίαν καὶ τὴν Ὀρέστου νόσον: — TAB

83 ἐγὼ μὲν ἄυπνος πάρεδρος: ἐγὼ μὲν μὴ καθεύδουσα παρεδρεύω ἕνεκα τοῦ μικρὸν ἐμπνεῖν τοῦτον. εἶτα δυσχεραίνουσά φησι τῷ ἀθλίῳ νεκρῷ, ἵν' ᾖ· νεκρῷ ὄντι ἀθλίῳ. καὶ βεβαίωσις τούτου νεκρὸς γὰρ οὗτος: — MTAB

ἄλλως: ἐγὼ μὲν ἄυπνος θάσσω παρεδρεύουσα τῷ ἀθλίῳ νεκρῷ οὕνεκα σμικρᾶς πνοῆς, ὅ ἐστιν· ὅπως μὴ ἀποψύξας λάθῃ με, φυλάττω: — MTAB

---

1 ἰδεῖν] εἰδέναι MTB[i]  3 τοῦ] τὸ A  3. 4 scholio quod praecedit adi. A  6 γὰρ om. A  7 πονήρου M  8 περὶ ὧν MTAB ἃ Laur. 32, 33  ὁρᾶις M  9—11 scholio quod sequitur adi. B post ἀπολογίαν add. δὲ  10 ὀρέστην A  κρινόμενον A  10. 11 ἀπολογίαν κατέφυγεν A κατέφυγε φιλοτιμίαν B  12 pro lemmate ἄγε καὶ παροῦσ' ὁρᾶσ· ἣν ἐπεὶ προσίλιον ἔπλευσα, εἴγε καὶ παροῦσ' ὁρᾶσ T τί σοι λεγοιμ' ἂν ἄγε καὶ παροῦσα B  12—17 scholio quod praecedit adi. A add. ὁ δὲ νοῦσ  12 τί—εἰπεῖν] τί ἔχω εἰπεῖν T τί ἔχων εἰπεῖν A τίσ χρεία διηγήσασθαί σοι B  ἃ A  συμφοραῖσ B  13 δὲ om. TA  13. 14 οὐ—γόνον] ἐμὲ καὶ ὀρέστην καὶ γὰρ καὶ αὐτὴ A  14 τῶν δύο γὰρ] τὸν βωμὸν A  ἡ ἑλένη T καὶ ἡ ἑ. B om. A  14. 15 λέγουσα om. A  15 κασίγνητός τε σός] κασίγνητε A  16 ἐπάγη T ἀπάγει B ἐπιφέρει A  δυσδαιμονίαν TB  16. 17 νόσον ὀρέστου A  18—21 scholio p. 106,1.2 adi. A add. initio ὁ δὲ λόγοσ  20 ἵν' ᾖ νεκρῷ om. M  20—21 ἵν'—οὗτος om. A  20 νεκροῦ M  23 ἀψύξασ M ἀποψύχασ T

84 νεκρὸς γὰρ οὗτος: ἕνεκα τοῦ πνεύματος νεκρός ἐστι· μικρὸν γάρ τι ἔχει πνεῦμα καὶ μόλις ἀναπνεῖ: — MTAB$^i$

αὐτὸ γάρ, φησί, τὸ πνεῦμα αὐτοῦ νεκρόν ἐστιν: — M$^g$B$^i$

85 τὰ τούτου δ' οὐκ ὀνειδίζω κακά: σιωπῶ τὰ κακὰ τούτου, ἵνα μὴ δόξω αὐτῷ ὀνειδίζειν τὴν μητροκτονίαν. καὶ διὰ μὲν τῆς σιωπῆς τὸ πλῆθος τῶν κακῶν αὐτοῦ ἐσήμηνεν, ἐμφαίνει δὲ ὅτι σὺ μὲν ὠνείδισας αὐτῷ εἰποῦσα ὅτι μητρὸς ὅδε φονεύς, ἐγὼ δὲ οὔ: — MTAB

86 σὺ δ' εἶ μακαρία: πλεονάζει τὸ ὑπαρκτικὸν ῥῆμα, ἵν' ᾖ· σὺ δὲ [εἶ] μακαρία καὶ ὁ ἀνὴρ ὁ σὸς μακάριος. εἰς τὸ πόσις τελεία στιγμή, τὰ δὲ ἑξῆς ἀπολύτως: — MTB

87 ἥκετον ἐφ' ἡμᾶς: ἤλθετε πρὸς ἡμᾶς. τῇ προσθήκῃ δὲ τοῦ ἐφ' ἡμᾶς τραχύτερον αὐτὸ ἐποίησεν· ἁρπασόμενοι γὰρ ἤλθετε ἡμᾶς, φησίν. ἔοικε δὲ τῷ Ἑπτὰ ἐπὶ Θήβας: — MTAB

88 πόσον χρόνον δέ: πάντως δέδοικε μὴ ὀλίγον χρόνον δυστυχοῦσι· διὸ οὐδὲ τὸν χρόνον εἶπεν ἡ Ἠλέκτρα: — MTAB$^i$

89 ἐξ οὗπερ αἷμα: οὐ πρὸς τὴν πεῦσιν ἀπεκρίνατο· ἡ μὲν γὰρ ἤρετο ἀπὸ ποίου χρόνου νοσεῖ, ἡ δὲ εἶπεν ἀφ' οὗ τὴν μητέρα ἀνεῖλε. τοῦτο δὲ πάλιν ὁμοίως ἄδηλον τῇ Ἑλένῃ: — MTAB

90 ὦ μέλεος: καὶ οὗτος, ὅτι μητέρα ἀνεῖλε, μέλεος, κἀκείνη, ὅτι ὑπὸ παιδὸς ἀνῃρέθη, μελέα: — MTAB$^i$

91 οὕτως ἔχει τάδ': οὕτως ἔχει ὁ Ὀρέστης ἀτυχίας ὡς μηδὲν ἰσχύειν ὑπὸ τῶν κακῶν: — MT

93 ὡς ἄσχολός γε συγγόνου προσεδρίᾳ: οὕτως σοι πείσομαι

---

1 πατρὸσ T  νεκρός ἐστι om. A  μικρὸν] νεκρὸν A  2 ἀναπνέει T  3 scholio 1. 2 adi. B$^i$ add. ἢ οὕτωσ  γὰρ om. B$^i$  4 κατὰ τοῦτον MTB  5 δόξῃ A  μὲν post σιωπῆς coll. B post τὸ A  6 ἐσήμανεν MB  7 εἰπὼν A  ὅτι om. B  ὅδε] δὲ MTB  8—10 scholio quod praecedit adi. B add. δὲ post πλεονάζει  8 σὺ] οὐ B  9 post εἰς add. δὲ T  post πόσις add. οὖν B  10 τὰ δὲ ἑξῆς] τὸ δὲ ἥκετον ἐφ' ἡμᾶσ B  11—13 scholio quod praecedit adi. B  11 ἦλθε A  12 αὐτὸν A  ἁρπασάμενοσ M ἁρπασόμενοσ A  12. 13 ἡμᾶσ ἤλθετε A  13 φησίν—Θήβας om. A  τῷ] τὸ MT  θήβαισ MT  14 πάντως om. B$^i$  δέδοικασ M  15 οὔτε MTB$^i$  16 τὴν om. MT  ἀπεκρίνετο T  17 εἴρετο M  κατὰ ποῖον χρόνον A  ἐξ AB  18 ἄδηλον ἐστι AB  19 οὗτος] αὐτὸσ A  τὴν μητέρα T  μενέλεοσ M καὶ αὕτη A  in fine add. τε ἡ ἑλένη A  τυγχάνει B  21 μήδε MT  23 οὔ σοι A  πήσομαι M

ὡς ἀσχολουμένη περὶ τὴν προσεδρίαν τοῦ ἀδελφοῦ, ἀντὶ τοῦ· εἰ μὲν τὸ κελευόμενον παρὰ σοῦ χωρίζει με τοῦ ἀδελφοῦ, οὐ πείσομαι· εἰ δὲ οὐ χωρίζει, πείσομαι: — MTA

ἄλλως: τοῦτό σοι, φησί, πεισθείην, ὃ μὴ ἀπασχολήσει με τῆς προσεδρίας τοῦ ἀδελφοῦ. ἢ παντελῶς ἀπαρνεῖται τὴν ὑπούργησιν, τουτέστιν· οὐ πείθομαί σοι, ὅτι ἄσχολός εἰμι τῇ προσεδρίᾳ τοῦ ἀδελφοῦ, ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτι. ἔνιοι δὲ λείπειν φασὶ τὸ μή, ἵν' ᾖ εἰρωνεία· πείθομαί σοι, ὅτι μὴ ἄσχολός εἰμι τῇ τοῦ ἀδελφοῦ προσεδρίᾳ· ἄσχολος γάρ ἐστιν. ἔνιοι ἐν ἐρωτήσει· πῶς οὖν, φησί, πεισθῶ ἀσχολουμένη τῇ νοσοκομίᾳ τοῦ ἀδελφοῦ. ἢ ὡς σχολὴν ⟨μὴ⟩ ἄγουσα, ἀντὶ τοῦ· μέγα ἐστὶ τὸ πρᾶγμα. ἢ τάχα τὸ ὡς ἀντὶ τοῦ ὅτε, ἵν' ᾖ· ὅτε μὴ ἄσχολος. λείπει γὰρ τὸ μή: — MTAB

94 βούλει τάφον μοι πρὸς κασιγνήτης μολεῖν: ἁπλούστερον αὐτῇ διαλέγεται, ὅτι μέλλει δεῖσθαι αὐτῆς, ἐν ταὐτῷ δὲ παραφυλάττεται καὶ μητρὸς εἰπεῖν, ἵνα μὴ δόξῃ ὀνειδίζειν αὐτῇ. δεῖ γὰρ εἶναι κολακικὸν τὸν δεόμενον * * *: — MTAB

95 μητρὸς κελεύεις τῆς ἐμῆς: νῦν μητέρα αὐτὴν ἐκάλεσε δεικνύουσα ὅτι οὐδὲ τὴν πρώτην λοιδορίαν προσήκατο: — MTAB

διὰ τοῦ ὀνόματος τῆς ἔχθρᾶς μητρὸς παραιτεῖται τὴν αἴτησιν: — MTB

ἄλλως: ἡ μὲν κολακεύουσα συγγενικῷ ὀνόματι ἐχρήσατο, ἡ δὲ παραιτουμένη τὴν κολακείαν εἶπε μητρός: — MTB

---

1 ὅτι ἀσχολοῦμαι A    προσεδρείαν TA    ἀντὶ τοῦ om. A αὐτοῦ T    εἰ] ἡ M    2 post οὐ πείσομαι add. ὡσ ἀσχολουμένη MT    2. 3 εἰ — πείσομαι om. M    3 πείσομαι] ποιήσω A    4 φησὶ om. A    ἀπασχολήσει με] ἀσχολήσηι M    4. 5 προσεδρείασ TAB    5 post ἀδελφοῦ ex scholio quod praecedit ins. τουτέστιν εἰ μὲν τὸ κελευόμενον παρὰ σοῦ χωρίζει με τοῦ ἀδελφοῦ οὐ πείσομαι οὐδὲ οὐ χωρίζει πείσομαι B    ἢ ὅτι B    5—12 ἢ — μή om. A    6 προσεδρεία TB    8 προσεδρία τ. ἀ. M τ. ἀ. προσεδρεία TB    9 ἐστιν] ἦν B    ἔνιοι ἐν ἐρωτήσει om. B    οὖν] σοι B    11 ἀντὶ — πρᾶγμα] ἵνα ᾖ ἐρωτηματικῶσ B    11. 12 ἢ — μή om B    11 τάχα] βᾱ (γ) T βραχὺ M    13 ἁπλούστερον μὲν A    14 λέγεται A    ἐνταῦθα MT ἐνταύτη A    δὲ καὶ παραφυλάττεσθαι A    15 post εἰπεῖν add. σῆσ B    αὐτὴν M    16 δεόμενόν τινοσ A    in fine add. οὐ διατοῦτο οὖν συγγονίασάτω M οὐ διατοῦτο οὖν συγγονίασ ἄγω T correxerim διὰ τοῦτο ὀνόματι συγγενικῷ ἐχρήσατο    17 μητρόσ A    18 δεικνύουσαν T δεικνῦσα B    19—21 scholio quod praecedit adi. MTB add. ἢ ὅτι M add. ὅτι T add. ἢ τάχα B    19 τὸ ō M τοῦτο T    20 ἄλλως] ἀλλ' MTB scholiis conglutinatis    συγγενικῶσ B    21 τὴν om. MT    in fine add. τῆσ ἐμῆσ B

96 χοαὶ αἱ χεόμεναι τοῖς νεκροῖς σπονδαί: — MT

97 σοὶ δ' οὐχὶ θεμιτόν: οὐκ ἐν καιρῷ παρρησιάζεται ἡ Ἠλέκτρα, καὶ ταῦτα πρὸ ὀλίγου φάσκουσα ἐλπίδα ἔχειν εἰς τὸν Μενέλαον. ἐὰν μὲν ἐν ἐρωτήσει ᾖ ὁ λόγος, μετριώτερός ἐστιν· ἐὰν δὲ ἑτέρως, ἄντικρυς ἐναγῆ καὶ μὴ ἀξίαν οὖσαν προσπελάζειν τῷ τάφῳ ἀποδεικνύει τὴν Ἑλένην διὰ τὰ πεπραγμένα αὐτῇ [τοῖς φίλοις]: — MTAB

ἢ ἄλλως: πῶς· πικρῶς θέλει αὐτὴν ὁμολο(γεῖν ποι)ῆσαι δι' ὃ φυλάσσεται προσελθεῖν τῷ τάφῳ: — MT

99 ὀψέ γε φρονεῖς εὖ: οὐδαμοῦ ἀνώμαλον τὸ τῆς Ἠλέκτρας ἦθος: — M$^{1}$TA

εἰ μὴ τότε, φησὶν, ἀπῆλθες, ταῦτα οὐκ ἂν ἐγίνοντο· σὺ τούτων ἀρχηγός. δακρύουσα δὲ τοῦτό φησιν: — M$^{1}$

100 ἀληθῶς εἶπας, οὐ μέντοι προσφιλῶς ἐμοί: — M$^{g}$TA

101 πανούργως τὸν φόβον αἰδῶ ἐκάλεσεν: — TA$^{g}$

102 μόλις ἐλεγχομένη τὸ ἀληθὲς εἶπεν: — M$^{1}$A$^{g}$

103 ἀναβοᾷ: τὸ ἀναβοᾷ δευτέρου ἐστὶ προσώπου παθητικῆς διαθέσεως, ἀναβοᾷ σύ, ἀντὶ τοῦ καταβοᾷ. ὁ δὲ νοῦς· δεινῶς γὰρ διὰ στόματος τοῦ Ἄργους ἀναβοᾷ σύ: — MTAB

ἄλλως: διὰ τοῦ στόματος, ὡς τὸ [K 298] 'διά τ' ἔντεα καὶ μέλαν αἷμα'. τοῦτο δὲ ἀπολογίας ἔχεται ὡς ὅτι συμπάσχουσά σοι εἴρηκα. πλεονάζει δὲ τὸ τέ: — MTA

106 κυρίως δὲ πρόσπολοι λέγονται αἱ δοῦλαι: — M$^{1}$

108 ἕρπειν: ταῖς νεάνισιν· οὐ γὰρ ταῖς ἀγάμοις. ἄγαμος γὰρ καὶ ἡ Ἠλέκτρα. παρθένος δέ ἐστιν ἥ τε ἀμιγὴς καὶ ἡ ἄρτι ἡβῶσα.

---

3 καὶ τα M καὶ τὰ T καίτοι B    ἔχειν om. MT    εἰς τὸν om. A
4 καὶ ἐὰν μὲν A εἰ μὲν οὖν B    ὁ λόγοσ ἦι B    μετριότερον M μετριώτερον T    5 ἀντικρὺ ἐναγῆ γὰρ καὶ μεμιασμένην οὖσαν καὶ μὴ ἀξίαν εἶναι πελάζειν A    5. 6 ἀποδεικνύει τ. Ἑ. om. A τὴν ἑ. ἀποδεικνύει B
6 τῶν πεπραγμένων B    9 οὐδαμῶσ M    11 εἰ μὴ τότε Dindorf τοῦτο M$^{1}$
13 ἀληθῆ A    προσφιλῆ M$^{g}$TA    16—18 scholio quod sequitur adi. A add. δὲ post τὸ    16 ἐστὶ δευτέρου προσώπου T προσώπου δευτέρου ἐστι A προσώπου ἐστὶ δευτέρου B    τῶν παθητικῶν A    16. 17 διαθέσεως om. A    17 ἀναβοᾷ σὺ] ἀντὶ τοῦ βοᾷ σὺ MT ἀναβοᾷ σοι A om. B    καταβοᾶι σὺ B    δεινῶς γὰρ om. A    διὰ τοῦ B    18 σὺ om. B    19 ἀνά τ' T    καὶ διὰ MT
20. 21 τοῦτο — τέ om. A    20 εἴρηκασ M    21 τὸ] ὁ T    23—26 scholio p. 109,4—8 adi. A initio add. ἡ παρθένοισι    23 καὶ om. MTA
24 Ἠλέκτρα] ἑλένη T    δέ] τε MAB    ἄργη T

ἢ πάλιν κακονόως οὐ παρθένον δεῖξαι βούλεται τὴν Ἠλέκτραν, ὅτι οὐκ ἐπείσθη αὐτῇ: — MTAB

τὸ ἕρπειν κυρίως ἐπὶ ὄφεως: — M$^{g}$T

εἰς ὄχλον ἕρπειν παρθένοισιν: τί οὖν· ταῖς τελείαις καλόν· ἔστιν οὖν εἰπεῖν ὅτι ἐν Σπάρτῃ εἰώθασι γυμνάζεσθαι αἱ γυναῖκες καὶ παρθένοι, ὥστε δέδοται μὲν παρθένοις εἰς ὄχλον ἕρπειν, οὐ μὴν καθόλου, ἀλλ' ἐπὶ ὡρισμένοις πράγμασιν οἷον κανηφορούσαις ἢ γυμναζομέναις, οὐ μὴν ἄλλο τι πραγματευομέναις: — MTAB

109 ἀντὶ τοῦ τροφεῖα· ἀνθ' ὧν ἀνετράφη ὑπ' αὐτῆς, ἀμοιβὴν διδοῦσα: — M$^{1}$A

115 λείπει ἡ μετά, ἵν' ᾖ· μετὰ γάλακτος: — M$^{1}$

μελίκρατ' ἄφες γάλακτος οἰνωπόν τ' ἄχνην: ἐμφαντικῶς τὴν δαψιλῆ τοῦ οἴνου ῥύσιν διὰ τῆς ἄχνης ἐσήμανε. τοῦτο δὲ ἐπὶ τῶν κυμάτων εἴρηται [Δ 426]· 'ἀποπτύει δ' ἁλὸς ἄχνην'. οἱ δὲ ἀκύρως τὴν οἰνόχροα τρίχα φασί. λάχνη γὰρ ἡ θρίξ. ἀλλ' ἄχνη τὸ λεπτὸν μέρος, ὃ κατέχειν τις οὐ δύναται, οἱονεὶ ἀέχη τις οὖσα: — MTAB

116 ἀντὶ τοῦ ἐπ' ἄκρον χῶμα: — M$^{1}$

118 περιττὸς ὁ τέ· βούλεται δὲ λέγειν φόβῳ ταρβοῦσα: — M$^{1}$

119 γράφεται πρευμενῆ, ὅ ἐστι πραϋμενῆ καὶ προσφιλῆ: — M$^{1}$T

120 καὶ πόσει γνώμην ἔχειν: ἐνταῦθα ἡ βελτίστη οὐδὲ τὴν θυγατέρα ἑαυτῆς προέκρινε· τοῦ γὰρ ἀνδρὸς μικροῦ δεῖν καὶ ἐπελάθετο: — MT

121 τοῖν τ' ἀθλίοιν: καὶ αὐτῶν μέμνηται, ἵνα μὴ δόξῃ παντελῶς λιθοκάρδιος εἶναι, ὅμως μετὰ ἀρᾶς. τὸ γὰρ οὓς ἀπώλεσεν θεὸς δοκεῖ μὲν συναχθομένη λέγειν, πανούργως δὲ ἐμφαίνει ὅτι θεοῖς ἀπηχθημένοι εἰσίν. οὐ γὰρ ἀπολλύει εἶπεν, ἀλλ' ἀπώλεσεν, ὡς ἐγνωσμένης ἤδη τῆς παρὰ θεῶν δυσμενείας: — MTAB

---

1 κακοήθωσ A  3 scholio quod praecedit adi. T add. δὲ post τὸ et in fine λέγεται  4 initio add. εἴποι τισ AB  τὸ καλὸν T τοῦτο καλὸν B  6 δίδοται A  7 κανισκοφοροῦσαισ A  9 ἀντὶ τοῦ om. A  12—16 cf. Eust. p. 492,3. 575,26 Orion. p. 7,12 et. m. p. 181,53 Gud. p. 99,11 Zon. p. 362  12 ἐκφαντικῶσ T  13 τοῦ οἴνου δαψιλῆ TB  post διὰ ins. γὰρ MTA  τοῦτο ἐσήμανε A  13. 14 τοῦτο—εἴρηται] ὅμηροσ γὰρ ἐπὶ κυμάτων A  14 ἄχνη A  κυρίωσ MTB  15 λεπτὸν μέρος] λεπτόμενον A  16 ἔχνη T  τί M  19 cf. schol. Hec. 538  γρ. καὶ T  21 τοῦ] τοῦτο M  23 δόξῃ] λέξῃι B  24 μετὰ ἀρᾶς] μιαροὺσ καλεῖ A  τὸ γὰρ οὓς] οὓσ γάρ φησι A  εὐδοκεῖ M  25 λέγειν om. A  ὅτι καὶ AB  ἀπηχθομένοι B ἀπηχθημένη A  26 ἀπολύει MA  εἶπεν om. A  26. 27 ὡς—δυσμενείας om. A  27 θεῷ T

122 ἃ δ' εἰς ἀδελφήν: ἃ δὲ νενόμισται τοῖς νεκροῖς ποιεῖν, ταῦτα κἀμὲ ὑπισχνοῦ εἰς τὴν ἀδελφὴν ποιεῖν: — MTAB

ἅπαντα τὰ τῶν νεκρῶν δωρήματα, ἃ εὔκαιρον εἰς ἀδελφὴν ἐμὴν ἐκπονεῖν, ὑπισχνοῦ: — MTAB

126 † ὦ φύσις ἐν ἀνθρώποισι: τὸν τρόπον λέγει καὶ τὴν ἑκάστου γνώμην. ἢ φύσιν τὴν εὐμορφίαν: — A

ὦ φύσις ἐν ἀνθρώποισιν: οἱ μέν φασι συνωνυμεῖν τῇ μορφῇ καὶ τῇ δομῇ, οἱ δὲ τὴν εὐπρέπειαν τοῦ σώματος καὶ τὸ κάλλος, οἱ δὲ τὸν τρόπον καὶ τὴν φύσιν ἑκάστου, ὡς μέγα κακὸν ὁ [φαῦλος] τρόπος καὶ ἐπιβλαβής ἐστι τοῖς ⟨κακῶς⟩ κεκτημένοις καὶ πάλιν ἐπωφελής ἐστι τοῖς καλῶς κεκτημένοις: — MTAB

πολλοὶ γὰρ διὰ τὸ κάλλος εὐεργέτησαν τὰς πατρίδας: — M

127 σωτήριόν τε τοῖς καλῶς κεκτημένοις: πολλοὶ γὰρ τὸ κάλλος ἐπὶ σωτηρίᾳ ἑαυτῶν καὶ τῆς πατρίδος ἐκτήσαντο, ὧν ἐστιν εἷς ὁ Γανυμήδης παρὰ θεοῖς εἶναι ἀξιωθεὶς καὶ ἵπποις ἀθανάτοις κοσμήσας τὴν θρεψαμένην. καὶ Ἀμυμώνη δὲ διὰ τὸ ἴδιον κάλλος τὸ ἄνυδρον Ἄργος πολύυδρον ἐποίησε διὰ τῆς ἐπιμιξίας τοῦ Ποσειδῶνος: — MTAB

128 εἴδετε παρ' ἄκρας: τὸ εἴδετε ἀντὶ τοῦ ἴδοι τις ἄν, ὡς τὸ [Γ 220] 'φαίης κε ζάκοτον' καὶ [Δ 223] 'ἔνθ' οὐκ ἂν βρίζοντα ἴδοις'. ἔνιοι δέ φασι ταῖς δμωσὶ ταῦτα λέγειν. οἱ δὲ πρὸς τὸ θέατρον, ὃ καὶ ἄμεινον. ἐφελκυστικὸς γάρ ἐστιν ἀεὶ μᾶλλον τῶν θεατῶν ὁ ποιητής, οὐ φροντίζων τῶν ἀκριβολογούντων: — MTAB

---

2 ταῦτα — ποιεῖν om. A 3. 4 scholio quod praecedit adi. A intercalatis ἀναθήματα στέμματα et add. δὲ post ἅπαντα post ἅπαντα ins. δὲ δωρήματα M δὲ B 3 εὔκαιρα M τὴν ἐμὴν A 4 ἐκπονεῖν ἐμὴν B praeterea scholio l. 2 praeposuit ἃ δὲ εὔκαιρον εἰς ἀδελφὴν ἐκπονεῖν νεκρῶν δωρήματα ἅττα ὑπισχνοῦμαι ἄλλως A 8 δομῇ] ὁρμῇ T ὁρμῆι B τῇ εὐπρεπείᾳ A 9—11 μέγα — κεκτημένοις] μέγ' εἰ κακὸν καὶ τοῖς μὲν κακῶς χρωμένοις ἐπιβλαβὴς ἐστι τοῖς δὲ καλῶς κεχρημένοις ἐπωφελὴς A 10 ἐστι post κακὸν coll. B ὁ ἀγαθὸς ante πάλιν add. B 10. 11 ἐστι — κεκτημένοις om. B 14 τῆς om. A εἷς ἐστι καὶ B 15 ὁ om. B γαννυμήδης A εἶναι om. MTB κοσμῆσαι B 16 καὶ ἡ AB 19 φαίης A κεν M post ζάκοτον add. τέ τιν' ἔμεναι B καὶ τὸ B ἔνθ' οὐκ ἂν om. A βρίθοντα A 20 δμωῇσι MTA πρὸς] φησὶ A ὃ] ὅτι A 21 ἐφελκυστικὸν MT μᾶλλον ἀεὶ A ὁ] ὡς T 22 ἀκριβολογουμένων M

ὡς ἐν τῇ σμικρότητι τῆς ἀφαιρέσεως μηδὲν ἀπολίποι τοῦ ὑγιοῦς: — M[1]TAB

129 ἡ πάλαι γυνή: ἤτοι πονηρά, ἢ τὰ αὐτὰ φρονοῦσα ἃ καὶ πρότερον· τοῦ γὰρ εἶναι εὔμορφος ἐπιμελεῖται. ἐλέγχει δὲ αὐτὴν ὅτι οὐδὲ τοῖς ἁμαρτήμασι σεσωφρόνισται, ἀλλ' ἐν τοῖς αὐτοῖς ἤθεσι μεμένηκεν: — MTAB

131 πᾶσάν θ' Ἑλλάδα: τὸ κατὰ μέρος εἰποῦσα ἐπήνεγκε τὸ καθόλου· ὡς Ὅμηρος [Α 255]· 'ἦ κεν γηθήσαι Πρίαμος Πριάμοιό τε παῖδες ἄλλοι τε Τρῶες': — MTAB

132 κατὰ τὸ σιωπώμενον ἔρχονται αἱ γυναῖκες ἰδεῖν τὸν Ὀρέστην πῶς ἔχει, καὶ ἐθεάσατο αὐτάς: — MTB

135 † δακρύοις ἀδελφόν: προσεκτικῶς μετὰ ἤθους προενεκτέον τὸν λόγον: — A

138 ἀντὶ τοῦ πραεῖα προσφιλὴς πραϋμενής: — M[1]A[g]

140 σῖγα σῖγα: ἠρέμα, ἀψοφητὶ καὶ μετὰ ἡσυχίας. πρόσφορος τῷ πάθει ἡ τοῦ ῥυθμοῦ ἀγωγὴ δοχμιάζουσα: — MTAB

† λεπτὸν ἴχνος ἀρβύλης: ἀντὶ τοῦ· κούφως καὶ ἐλαφρῶς τιθεῖτε τὸν πόδα μετὰ τῆς ἀρβύλης. εἰ δὲ γράφεται λευκὸν ἴχνος, ἀπὸ μέρους τὸ ὅλον ὡς τὸ [Α 538] 'ἀργυρόπεζα Θέτις': — B

εἶδος ὑποδήματος κοίλου βαθέος γυναικείου: — M[1]TB

141 † τιθεῖτε: ποιητικῶς, ἀντὶ τοῦ τιθῶμεν. εἰσελήλυθε δὲ ὁ χορὸς κατὰ ὑπόθεσιν ἔσω: — TAB

142 ἀποπρὸ βᾶτ' ἐκεῖσ': τὸ ὁλόκληρον τούτου τινές φασι τὸ ἀπόπροθι καὶ παρὰ τὸ Ὁμηρικὸν οὕτως ἐκδέχονται [Η 334] 'τυτθὸν ἀποπρὸ νεῶν': — MTAB

ἀντὶ τοῦ πόρρω μοι καὶ χωρὶς τῆς κοίτης γίνεσθε. διαθέσεως δέ

---

1 μὴ δὲ A ἀπολείπει MT ἀπολείπειν B ἀπολίποιτο A in fine add. μηδὲ τῶι κάλλει λυμήνασθαί τι B 4 τοῦ] τοῦτο B εὔμορφον MT 5 αὐτοῖς om. MTB 7 τὸ] τὰ A 8 ὡς καὶ AB ὥσμηρος T γηθήσηι B 11 θεασαμένη αὐτὰς ταῦτα φησὶ B 14 cf. schol. Hec. 538 15 ἡμέρα M 15. 16 προσφόρως A πρόσφορος δὲ B 17—19 scholio quod praecedit adi. B add. δὲ post λεπτόν 20 scholio quod praecedit adi. B add. ἴχνος δὲ λέγει τὸν πόδα καὶ ἀρβύλη ἐστὶν γυναικείου κοίλου καὶ β. B 22 κατὰ τὴν A ἔνδον B 23 τινὲς τούτου B τινὲς om. A τὸ om. AB 24 παρὰ τὸ Ὁ.] τῷ παρ' ὁμήρῳ A τὸ παρὰ τῶι ὁμήρωι B οὕτως om. A ἐδέχοντο MT ἐξεδέχοντο A τυτθὸν om. T 26—p. 112,2 scholio p. 112,13—15 adi. B om. ἀντὶ—γίνεσθε, sed habet πόρρω—κοίτης B[1] 26 praefixerunt σύριγγος ὅπως πνοά: σύριγγος MT πόρρω—κοίτης om. M τοῦ—κοίτης om. T post γίνεσθε ins. τὸ δὲ ὁλόκληρον τινὲς ἀπόπροθεν A

ἐστιν ἐμφαντικὸν τὸ μοι, ὡς τὸ [Σ 287] 'Πάτροκλέ μοι δειλῇ πλεῖστον': — MTAB

144 ἰδοὺ πείθομαι: τοῦτο εἰκὸς ὀξύτερον εἰρηκέναι τὸν χορόν, διὸ καὶ Ἠλέκτρα περιδεὴς γενομένη εἶπεν ἃ ἅ. φυσικῶς δὲ τὸ ἃ ἅ εἶπε πρῶτον ἐπειδὴ καὶ αὕτη ὑπὸ τῆς φύσεως πρώτη φωνὴ εὕρηται. ἀμέλει γοῦν, ἐπειδὰν πλῆθός τι θεάσηται παράδοξον, εὐθὺς οὐδὲν ἕτερον ἀναβοᾷ ἢ τὸ ἃ ἅ τῆς φύσεως ἀγούσης ἐπὶ τοῦτο. εἶτά φησι πρὸς τὸν χορόν· τοιαύτην πέμπε φωνὴν οἷός ἐστιν ὁ ἦχος σύριγγος καλάμων λεπτῶν ἐν τοῖς ἕλεσιν ἀποτελούμενος. οὐ γὰρ τὸ ὄργανον τῆς σύριγγός φησι· τοῦτο γὰρ πολύφωνον ὂν καὶ Ἐνδυμίωνα ἐγεῖραι δύναιτ' ἄν: — MTAB

145 ἀπήχησις συρίγξεως: — M[i]

σύριγγος ὅπως πνοά: ἀθορύβως φώνει μοι, ὡς πνοὴ συρίγξεως δόνακος. οὐ γάρ φησι σύριγγος τοῦ αὐλοῦ· οὗτος γὰρ καὶ Ἐνδυμίωνα ἂν ἐγείραι: — MTAB

147 ἴδ' ἀτρεμαῖον ὡς ὑπόροφον: μικρὸν σύ, φησί, κελεύεις με φωνεῖν, ὡς ψιθυρίζει τῇ τοῦ ἀνέμου πνοῇ κάλαμος· ἐγὼ δὲ καὶ ἐλάττονα τούτου φέρω βοὴν ὡς ὑπὸ ὀρόφου γινομένην. ὁ δὲ ὄροφος κάλαμός ἐστιν ἀσθενής τε καὶ λεπτὸς καὶ παπυρώδης, οὗ μέμνηται καὶ Ὅμηρος [Ω 451]· 'λαχνήεντ' ὄροφον λειμωνόθεν ἀμήσαντες'. ἐκ τούτων δέ εἰσι καὶ αἱ γλωσσίδες τῶν αὐλῶν. ὡς ἀσθενὴς δὲ ἀσθενῆ ποιεῖται τὴν ἀπήχησιν τῷ μὴ ἀνθίστασθαι τῇ βίᾳ τοῦ πνεύματος: — MTAB

---

1 ἐστιν ἐ.] ἀπήχησις ἐστιν ἐμφαντικῶς MT ἐμφαντικῶς A ἐμφαντικὸν B    post τὸ ins. συρίγξεως MT    δειλοὶ MA    1. 2 πλεῖστον om. B    3—10 scholio p. 111,23—25 adi. B ante ἰδοὺ add. τὸ δὲ et om. τοῦτο    4 καὶ ἡ TA    πεδεὴς γινομένη M    τὸ ἃ ἅ] τοῦτο B    5 πρῶτον εἶπεν AB    πρ. ὑπὸ τ. φ. A    πρώτη Vat. 1345 πρῶτον MTAB    6 οὖν A    ἐπειδὴ A    πλῆθος om. B    τι om. A    τεθέαται A θεάσηταί τις B    παραδόξων MT    παραδόξως A    8 πέμπει M πέμπε μοι A    ὁ om. AB    9 σέλεσιν M    τῆς σ.] σύριγγα B    10 ὂν om. TB    καὶ τὸν AB    δυνάμενον MTB    12 ἀπηγήσεως M[i]    13 οὕτως ἀθορύβως A ἀθορύβως φησὶ B    πνοὴ] φωνὴ A    14 οὗτος] οὕτως M    15 ἂν ἐγεῖραι δύναται M ἐγεῖραι δύναται T ἤγειρεν A ἀνεγείρει B    16 μικρὰν MT om. A    post σὺ ins. φωνὴν M    17 μοι AB    φωνεῖν om. M φωνὴν T    τῇ — πνοῇ] ὑπὸ ἀνέμου A    πνοῇ] φωνῇ T κινήσει B    καὶ om. MT    18 ἔλαττον αὐτοῦ MTB    φέρω σοι AB    ὄροφος] ὀροφεας A    19 ἐστιν om. T    λεπτὸς καὶ om. MB    πυριώδης M    ante οὗ add. εἰς ὀροφὰς ἐπιτήδειος Laur. 31, 10    20 ἐκ] εἰς M    τούτου A    21 ἐστι T γίνονται B    ἀσθενὴς] ἀσθενεῖς TA de M non constat    δὲ καὶ A    22 βοῆι MTB

ὄροφος λεπτὸς κάλαμος εἰς ὀροφὰς ἐπιτήδειος. τὴν μὴ διϊκνουμένην ἔξω τοῦ ὀρόφου, ὅ ἐστι βραχεῖαν: — M[1]B[1]

149 κάταγε κάταγε: τὸ κάταγε ἐναντίον ἐστὶ τῇ ἀνατάσει τῆς βοῆς. σημαίνει δὲ τὸ κάταγε ⟨κάταγε⟩ τὸ πρόσελθε πρόσελθε· ἀφ' οὗ καὶ καταγωγαὶ οἱ λιμένες: — MTAB

ἀτρέμας ἴθι: τῇ ἐπαναλήψει μεμίμηται τὴν ἠρεμαίαν προϊεμένη φωνήν· ἅτε γὰρ οὐκ ἐξακουομένη δεύτερον ταῖς αὐταῖς κέχρηται λέξεσι: — M[1]TAB[1]

151 χρόνια: ἀντὶ τοῦ ἀπὸ πολλοῦ χρόνου. τοῦτο δὲ ἀναφορὰν ἔχει πρὸς τὸ πρόσιθ' ἀτρέμας. ὁ δὲ νοῦς· χρονίως, ὅ ἐστι διὰ χρόνου, ἐκοιμήθη: — M[1]TAB

154 τίνα τύχαν εἴπω: τὴν περὶ αὐτοῦ τύχην πότερον ἐπὶ τὸ χεῖρον ἢ ἐπὶ τὸ ἄμεινον νένευκεν: — MTB[1]

156 τί φῄς ὦ τάλας: οἰκειούμενος τὰς συμφορὰς ὁ χορὸς καὶ συναχθόμενος γεγωνότερον ἀνέκραγε τὸ ὦ τάλας· διό φησιν ὀλεῖς, εἰ βλέφαρα κινήσεις: — MTAB

ὦ τάλας: δεῖ νοεῖν στεναγμόν τινα γεγενῆσθαι μετὰ τὸ ὦ τάλας ὑπὸ τοῦ χοροῦ, ἵνα εὔλογον ᾖ τὸ παρὰ τῆς Ἠλέκτρας εἰρημένον [167] σὺ γάρ νιν, ὦ τάλαινα, θωΰξασ' ἔβαλες ἐξ ὕπνου: — MTB

157 εἰ τοῦ ὕπνου ἀλλοτριώσεις καὶ μεταστήσεις: — M[1]

159 τὸ βαθύτατον τοῦ ὕπνου, ὃ ἐν τοῖς ἑξῆς [211] ὕπνου θέλγητρόν φησιν: — MAB[1]

160 μέλεος αὐτὸς διὰ τὰς ἐκ θεῶν πράξεις. ἠρέμα δέ πως

1 cf. Eust. p. 36,4. 333,13 ante τὴν ins. ὑπώροφον οὖν B τὸ M 1. 2 διικνούμενον M 3 τὸ κάταγε om. A ἀναστάσει M 3. 4 τῆς βοῆς om. A 4 τὸ κάταγε om. A πρόσελθε (alterum) om. AB 5 καταγωγοὶ MTB 6 τῇ om. M[1]T τῇ ἐπαναλήψει] πρόσελθε πρόσελθε ἀφ' οὗ κατάγομαι τῇ δὲ τῶν λέξεων ἐπαναλήψει A μέμνηται M[1]TA 7 ἐξακουομένην M[1]A ταῖς αὐταῖς] τοιαύταισ A λέξεσι om. M[1]T in fine add. τὸ ἑξῆσ καὶ πρόσιθι ἀτρέμασ A 9—11 scholio quod praecedit adi. B add. δὲ post χρόνια 9 χρόνια γὰρ πεσὼν ὅδ' εὐνάζεται: χρόνια δὲ A τοῦ ἀπὸ om. T ἀπὸ] διὰ A 10 τὸ—ἀτρέμας spatio relicto om. A ὅ ἐστι] ὅτι A 13 ἢ om. M ἥμεινον M νενευκέναι MT 15 ἀνεκέκραγε A 16 in fine add. τοῦ ὕπνου A 17—19 scholio quod praecedit adi. B add. δὲ post δεῖ 18 παρὰ om. MT 21 ὃ καὶ A ἑξῆς ὕπνου] ἐξύπνου A 23 ἐκ] εἰσ M

ἀρνεῖται τὴν πρᾶξιν Ὀρέστου εἰς τὸν θεὸν ἀναφέρουσα τὴν ἁμαρτίαν: — $\mathrm{MTAB^i}$

162 ἀντὶ τοῦ ἀδίκως: — $\mathrm{M^gA^g}$

ἄδικος ἄδικα: τοῦτ' ἐστὶ τὸ ἀλλαχοῦ [Hipp. 701] εἰρημένον· 'πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα'. ἐπεὶ γὰρ ἔδοξεν ἀτυχῶς τῷ Ὀρέστῃ πεπτωκέναι τῆς μητρὸς ὁ φόνος, ἄδικος ὁ Λοξίας νενόμισται. ἢ τὸ ἄδικα ἐδίκασεν ἐμφαίνει ὅτι δικαίως μὲν ἐμαντεύσατο τὸν φόνον τῆς μητρός, ἀδικεῖ δὲ τῷ δράσαντι μὴ ἐπικουρῶν. τὸ δὲ ἑξῆς οὕτως· ὁ ἄδικος Λοξίας ἄδικα τότε ἐδίκασεν, ὅτε ἐπὶ τρίποδι Θέμιδος τὸν ἀπόφονον φόνον ἔλακεν ἐμῆς μητρός: — MTAB

ἔλακεν: καὶ Ἀριστοφάνης [Plut. 39]· 'ἔλακεν ἐκ τῶν στεμμάτων' τραγικῇ λέξει χρησάμενος. ὅτε τὸν ἀπόφονον ⟨φόνον⟩ τῆς ἐμῆς μητρὸς ἐπὶ τρίποδι Θέμιδος ἐδίκασεν ὁ Λοξίας: — MTB

ἄλλως: τὸ ἀπόφονον Ἀπόλλωνι, οὐκ Ὀρέστῃ ἐγκαλοῦσά φησιν. ἔνιοι δὲ ἀπόφονον ἐδέξαντο τὸν ἄτοπον φόνον. τὴν δὲ ἀπό πρὸς τὸ ἔλακεν, ἀπέλακεν, ἀντὶ τοῦ ἀπεφθέγξατο: — MTAB

ἀντὶ τῆς περί: — $\mathrm{M^g}$

164 πρῶτον γὰρ εἶχεν ἡ Γῆ τὸν τρίποδα, εἶτα δεύτερον ἡ Θέμις, εἶτα Ἀπόλλων παρὰ Θέμιδος λαβών: — $\mathrm{MTB^i}$

165 † τὸ μὲν παλαιὸν βοσκός τις ἔβοσκε πρόβατα εἰς ὄρος καὶ ἀναμεταξὺ τοῦ ὄρους ἐκείνου ἦν χάος, ὃ εὑρέθη πρῶτον ὑπὸ ἑνὸς τῶν προβάτων. ἰδὼν δὲ τοῦτο ὁ βοσκὸς ὅτι παρὰ φύσιν λαλεῖ τὸ πρόβατον καὶ παρακύψας καὶ αὐτὸς ἐκεῖσε ἤρξατο λαλεῖν στίχων πλοκὰς καὶ ἕτερα ἐξαίσια. ἰδόντες δὲ τοῦτόν τινες τῶν ἀνθρώπων στίχων πλοκὰς λέγοντα

---

1 ὀρέστησ A   τὸν om. B   in fine add. μετὰ στεναγμοῦ δὲ ταῦτα λέγει ὥσ φησιν ἠλέκτρα σὺ γάρ νιν ὦ τάλασ θωύξασ' ἔβαλεσ ἐξ ὕπνου A (cf. p. 113, 17—19)   4. 5 τοῦτ'—κεκτήμεθα om. A   4 τοῦτ'] του δε M   5 τύχας] φρένασ MT   φρένας] τύχασ MT   5—7 ἐπεὶ—νενόμισται] ἄδικοσ ὁ λοξίασ ἔδοξεν ἄδικα δικάσασ A   5 ἐπειδὴ B   7. 8 ἢ—ἐπικουρῶν] ἢ δικαίωσ ἐψηφίσατο τὸν φόνον ἀδίκωσ δὲ οὐ βοηθεῖ A   7 ἄδικα] ἄκα M   9 οὕτως ὁ om. A   post ἄδικα add. γὰρ A   10 φόνον om. MTB   ἐμᾶσ TB ματρόσ B   14—16 scholio quod praecedit adi. B add. δὲ post ἀπόφονον   14 τὸ—φησίν om. A   τὸ] τὸν MT   ἐγκαλοῦσι T   15 ἔνιοι—ἐδέξαντο] τινὲσ A   τὴν δὲ] τινὲσ δὲ τὴν A   πρὸς] εἰ A   16 ἀπέλακεν om. A   18 initio add. ἀντὶ τοῦ οὐ δικαίωσ ἔδοξεν εἰρηκέναι (cf. 3), tum pergit πρῶτον δὲ ἡ γῆ εἶχε $\mathrm{B^i}$   Θέμις] θεὸσ $\mathrm{TB^i}$   20 τις] τε Vat.   21 ἀπὸ Vat. Par.   23 ante αὐτὸς om. καὶ Par.

ἠρώτων αὐτὸν πῶς ἄρα τοιαῦτα λαλεῖ. ὁ δὲ εἶπεν ὅτι εἰς τὸ ὄρος, ἐν ᾧ ἔβοσκον τὰ πρόβατα, ἐκεῖσε μεμάθηκα ἀπὸ χάους τινός. ἀκούσαντες δὲ οἱ ἐγχώριοι ἔκτισαν ἐκεῖσε ναὸν τῷ Ἀπόλλωνι, ἐν ᾧ καὶ τρίποδα χαλκοῦν ἔστησαν διὰ τὸ χρᾶσθαι αὐτοῦ τῇ μαντείᾳ στήσαντες ἄνωθεν τοῦ χαλκοῦ γυναῖκα παρθένον, ἵνα ἀνακρούῃ αὐτὸν καὶ ἐξ αὐτοῦ τοὺς χρησμοὺς δέχωνται. Λοξίαν δὲ λέγουσι τὸν Ἀπόλλωνα διὰ τὸ ποιεῖσθαι ἐξεστραμμένους τοὺς χρησμούς: — Vat. 1345 Paris. 2810

168 θωΰξασ' ἔβαλες: ἀγρίως βοήσασα. τὸ γὰρ ὦ τάλας γεγωνότερον εἶπεν ὁ χορός: — MTAB

θωΰξασα: θηριώδει βοῇ χρησαμένη. καὶ ἴσως εἴρηται παρὰ τοὺς θῶας. τινὲς δέ φασιν ὅτι φωνῇ ἐχρήσατο θρηνώδει ὁ χορὸς γραφῆναι μὴ δυναμένῃ, ἰυγμῷ ἢ καὶ ἰυγμοῦ τραχυτέρᾳ, ὅπερ εἰώθασι ποιεῖν αἱ γυναῖκες ἐπὶ τοῖς ὑπερβάλλουσι κακοῖς. ἃ γὰρ μὴ δύναται γράφεσθαι, ταῦτα δι' ἑτέρων προσώπων δηλοῦται, οἷόν τι καὶ παρὰ τῷ κωμικῷ οἰκέτου στενάξαντος ἕτερός φησιν· 'ἀκούεις, ὡς στένει': — MTB

γράφεται καὶ † ἐλάσασα: — $M^{g}$

ἀπὸ τοῦ σὺ γάρ νιν ἕως τοῦ θωΰξασα τὸ κῶλον: — $M^{i}B^{i}$

ἡ ἐξ πρόθεσις πρὸς τὸ ἔβαλες, ἐξέβαλες δὲ ἀντὶ τοῦ ἐξήγειρας: — $M^{i}B^{i}$

169 † εὕδειν μὲν οὖν ἔδοξα: ἐνόμισα αὐτὸν ἐν βάθει κοιμᾶσθαι: — A

ἀντὶ τοῦ δοκῶ. καθησυχάσουσα δὲ τὴν Ἠλέκτραν φησὶν ὅτι καθεύδειν αὐτὸν νομίζω. διὸ ἐπιφέρει τὸ ὑπνώσσει ὁριστικόν, ἐπεὶ πρώην ἀμφίβολον εἰποῦσα οὐκ ἔπεισεν: — TAB

171 ὑποστρέψεις: — $M^{i}A^{g}$

173 ὑπνώσσει: μὴ ταράσσου, φησὶν ὁ χορός, κοιμᾶται γάρ. τὰ γὰρ δύο σσ ἐνεστῶτος ποιοῦσι τὸ ῥῆμα: — $MTB^{i}$

---

4 χαλκὸν Par. 7 ἐξεστρεμμένους Vat. ἐξεστραμένους Par. 8 τὸν M 9 in fine add. θηριώδει φωνῇ καὶ ἀσήμῳ χρησάμενος A (cf. 10sq.) 10—15 scholio quod praecedit adi. MTB add. δὲ post θωΰξασα cf. et. m. p. 461,3 Hesych. 11 θόας MTB θρηνώδει] θηριώδει T 12 ὑγμοῦ M ἰυγμῷ τραχυτέρῳ T 13 δύνανται T 14 δηλοῦνται T 15 ἕτερος om. φησὶ post ἀκούεις ins. MT ὡς] ᾧ T 16 fortasse ἐγείρασα 18 ἡ—ἔβαλες om. $B^{i}$ δὲ om. $B^{i}$ 22 initio add. τὸ ἔδοξα A 22. 23 καθησυχάσουσα—νομίζω om. A 22 κατησυχάζουσα T 23 διὸ] ἐξ οὗ A ἐπάγει A ἐπεὶ πρώην] λέγειν ὡς T λέγει νῦν ὡς B 24 εἰποῦσα] εἶπε καὶ A 27 δύο om. T ἐνεστῶ ῥῆμα ποιοῦσι τὸ ὑπνώσσει B ἐνεστώτα M ἐνεστῶτα T

λέγεις εὖ: ἀληθῶς καὶ καλῶς λέγεις. ταῦτα δέ φησι σκοπήσασα αὐτὸν κοιμώμενον: — MTB[1]

† λέγεις εὖ: ἀντὶ τοῦ ἀληθῶς λέγεις. ὡς καὶ αὐτὴ θεωρήσασα αὐτὸν κοιμώμενόν φησιν: — A

174 ἐπικαλεῖται τὴν Νύκτα πρὸς τὸ κοιμίσαι τὸν Ὀρέστην: — M[1]TA

πότνια πότνια νὺξ ὑπνοδότειρα: ὁ κατὰ φύσιν ὕπνος ἐξ ὑγρότητος γίνεται· ὑγρὰ δὲ ἡ νὺξ ἀφισταμένου τοῦ ἡλίου τοῦ ξηραίνοντος καὶ θερμαίνοντος τὸν ἀέρα. ὁ τοίνυν Ὀρέστης ἐξηραμμένος ὑπὸ νόσου τε καὶ ἀσιτίας, ὑγρανθεὶς τῷ νυκτερινῷ καταστήματι μᾶλλον κοιμηθήσεται ἄλλως τε καὶ τῶν αἰσθήσεων ἠρεμουσῶν ἐν σκότῳ. ἕπεται ὕπνος ἡσυχίᾳ αἰσθήσεων καὶ κινήσεων: — MTAB

176 Ἐρεβόθεν ἴθι: ἔδει ἐκ Χάους εἰπεῖν, ὡς Ἡσίοδος [Theog. 123]· 'ἐκ Χάεος Ἔρεβός τε μέλαινά τε Νὺξ ἐγένοντο': — MTAB

ἄλλως: τοῦτο τὸ μέλος ἐπὶ ταῖς λεγομέναις νήταις ᾄδεται καί ἐστιν ὀξύτατον. ἀπίθανον οὖν τὴν Ἠλέκτραν ὀξείᾳ φωνῇ κεχρῆσθαι, καὶ ταῦτα ἐπιπλήσσουσαν τῷ χορῷ. ἀλλὰ κέχρηται μὲν τῷ ὀξεῖ ἀναγκαίως, οἰκεῖον γὰρ τῶν θρηνούντων, λεπτότατα δὲ ὡς ἔνι μάλιστα: — B

178 ταχεῖα: — M[1]

179 γράφεται καὶ ἐπὶ δόμον: — M[1]

183 καὶ τοῦτο κατὰ ἀναφώνησιν λέγει ἡ Ἠλέκτρα: — M[1]

σῖγα σῖγα φυλασσομένα: οὐ σιωπήσεις, φησίν, ἀπὸ τοῦ στόματος φυλασσομένη τὸ ἀνακελαδεῖν καὶ τὴν ἀπὸ τῆς κοίτης ὕπνου χάριν ἥσυχον αὐτῷ παρέξεις. ἢ τὸν κέλαδον ἄποθεν τοῦ λέχους ποιουμένη. οἷον· οὐ σιγήσεις καὶ μετὰ ἡσυχίας αὐτὸν ἐάσεις κοιμηθῆναι: — MTAB

185 τὴν ἀπὸ τοῦ λέχους χαράν: — M[1]

187 εἰπέ: — M[g]

---

2 αὐτὸν κ.] ἀπὸ τοῦ κοιμωμένου MTB[1] 5 κοιμηθῆναι M 6—11 scholio quod praecedit adi. A add. γὰρ post ὁ 7 post δὲ ins. οὖσα A 7. 8 καὶ θερμαίνοντος om. M 8 post ἀέρα add. ἐπάγει τὸν ἐξ ὑγρότητος γινόμενον ὕπνον A ἐξηραμένος A 9. 10 ἄλλως τε om. M 10 σκότει TA ὁ ὕπνος A 10. 11 ἡσυχίᾳ — κινήσεων om. A 10 ἡσυχίαν M ἡσυχίαν T 12. 13 scholio quod praecedit adi. B add. δὲ post ἔδει ἐκ] εἰς MT 13 ἐκ] εἰς M χάους A μέλαιναί T ἐγένετο B om. M 14 λεγομέναι B 15 ὀξέα B 17 λεπτότερον B 19 δόμων M[1] γρ. γόνον habere dicitur A[g] 22 τοῦ ὕπνου A 23 αὐτὸν M λέχεος MT 24 ἑαυτὸν M 26 τὴν] τινὰ M[1]

θρόει: λέγε ποῖον τέλος αὐτὸν ἐκδέχεται, πότερον δύναται ῥαῖσαι, ἢ οὔ: — M[i]TB

εἰπὲ ποῖον ἔσται τὸ πέρας, ποῖον τέλος αὐτὸν μένει, ἆρά γε ῥαΐσει τῆς νόσου ἢ οὔ: — M[i]TB

190 εἰ μὴ γὰρ ἐσθίει, τεθνήξεται: — M[g]A[g]

191 ἐξέθυσ' ὁ Φοῖβος ἡμᾶς: ἀντὶ τοῦ ἀπώλεσεν ἡμᾶς ὁ Ἀπόλλων πατροφόνου μητρὸς αἷμα δούς, οἷον ἐνδοὺς ἡμῖν καὶ κελεύσας τὸν τῆς μητρὸς φόνον ἐργάσασθαι. τὸ δὲ ἑξῆς· μέλεον ἀποδοὺς αἷμα φόνον πατροκτόνου μητρός: — MTAB

Ἄλλως: ἡ ἐξ πρὸς τὸ πατροφόνου. τουτέστι· δοὺς ἡμῖν τὸ αἷμα καὶ τὸν φόνον τῆς πατροφόνου μητρός. οἷον· ἐγχειρίσας ἡμῖν καὶ κελεύσας ἀπὸ τοῦ φόνου καὶ τοῦ αἵματος τῆς μητρὸς τιμωρῆσαι τῷ πατρί. δύναται δὲ καὶ ἀποδούς: — MTAB

194 ὠφείλετο μὲν γὰρ αὐτὴ ἀναιρεθῆναι, οὐ μέντοι ὑπὸ τοῦ παιδός: — MTAB

δίκαια μέν, καλῶς δ' οὔ: ἀντὶ τοῦ δίκαιον μὲν αὐτὴν ἀναιρεθῆναι ἀνελοῦσαν τὸν ἄνδρα, οὐ μέντοι εὐκλεὲς οὐδὲ πρέπον ἦν ὑπὸ τοῦ παιδὸς αὐτὴν εὐθύνας δοῦναι τοῦ φόνου. ἐν δὲ τῷ ὑπομνήματι καὶ ταῦτα τῆς Ἠλέκτρας: — MTAB

195 ἔκανες ἔθανες: ἐφόνευσας. ὅθεν τὸ κανοῦν λέγεται, εἰς ὃ φέρεται ἡ ἱερουργικὴ μάχαιρα: — MTAB

ἄλλως: φονεύσασα ἀνῃρέθης, τουτέστιν· ὁ κατὰ σοῦ πραχθεὶς φόνος ἄμυνα ἐγένετο καὶ οὐκ ἀδικία· σὺ γὰρ πρώτη ἐφόνευσας τὸν πατέρα: — MTAB

196 ἀπὸ δ' ὤλεσας: ὁ δέ ἀντὶ τοῦ γάρ, ἵν' ᾖ ὁ νοῦς ἐπεξήγησις ⟨τοῦ⟩ ἔκανες ἔθανες· ἀπώλεσας γὰρ τὸν πατέρα ζῶσα καὶ θανοῦσα τὰ τέκνα διὰ τοῦ αἵματος: — MTAB

---

1 εἰσδέχεται M[i] πότερον] ἄρα B 3 πέρας] τέλοσ B τέλος] τὸ πέρασ B ἑαυτὸν M[i] ἑαυτὸν T 3. 4 ἄρα—οὖ om. B 7 ἅμα M 8 φόνον αἷμα A (φόνον ex φόνου corr.) 10 ἡ—πατροφόνου om. A 12 καὶ τῶ A 13 δὲ] γὰρ A 14. 15 scholio quod praecedit adi. MTAB 14 γὰρ] καὶ A αὐτὴν MB ἀπὸ MTA παρα B 16 ἀντὶ τοῦ om. A μὲν οὖν A 16. 17 ἀναιρεθῆναι αὐτὴν A 18. 19 ἐν—Ἠλέκτρας] om. AB 19 ταῦτα] τὰ M τὸν T 20. 21 cf. schol. Arist. Pac. 948 Hesych. s. v. κανεῖν Orion. p. 83,25 et. m. p. 489,9 Gud. p. 297,45 20 ἐφόνευσας om. A τὸ] τοῦ M καὶ A 22 ἐφόνευσασ καὶ A προσταγεὶσ M προσταχθεὶσ T 24 in fine add καὶ ἀνῃρέθησ MTB 25. 26 ἐξήγησισ A 26 ἔκανες ἔθανες] ἔθανεσπω MT ἔκανεσ A ἔθανεσ B γὰρ om. A 27 τὰ om. MA τοῦ σοῦ A

199 † δεικτικῶς φησιν ἑαυτὴν καὶ Ὀρέστην: — B[1]

ἀντὶ τοῦ· διὰ τὸν σὸν φόνον καὶ ἡμεῖς ἀπολώλαμεν: — AB[1]

200 † ἰσονέκυες: ἐπειδὴ εἶπεν ἰσονέκυες, κατασκευάζει πῶς εἰσιν ἰσονέκυες, λέγουσα πρὸς τὸν Ὀρέστην· σὺ γάρ, Ὀρέστα, ἐν νεκροῖς τό τε πλεῖον μέρος τῆς ἐμῆς ζωῆς οἴχεται ἐν δάκρυσι συνεχέσι καὶ στεναγμοῖς. τὸ δὲ ἄγαμος ἐπὶ δ' ἄτεκνος οὕτως συντακτέον· τὸ ἐπί εἰς τὸ ἕλκω καταβιβαστέον, ἵν' ᾖ οὕτως· ἐπιέλκω δὲ, ἤτοι ἐφέλκω, εἰς τὸν αἰὲν χρόνον ἢ μέλεος τὸν βίοτον καὶ τὴν ζωήν μου ἄτεκνος ἄγαμος, ἅτε, ἀντὶ τοῦ καθά, ἄγαμος: — A

206 ἐπὶ δ' ἄτεκνος ἅτε βίοτον: περισσὸν τὸ ἄτεκνος. ἀναστρεπτέον οὖν τὴν σύνταξιν· ἄτεκνος, ἐπειδὴ ἄγαμος· δυνατὸν γὰρ τὴν γήμασαν εἶναι ἄτεκνον: — MTAB

210 οὐ γάρ μ' ἀρέσκει: Ἀττικὸν τὸ σχῆμα· Ἀριστοφάνης [Ran. 103]· 'σὲ δὲ ταῦτ' ἀρέσκει': — A

τῷ πάνυ ἐκλελυμένῳ, τῷ σώματι: — M[1]B[1]

211 † νῦν οὐ τραγῳδεῖ, ἀλλ' ἐν τῇ μανίᾳ: — B[1]

ὕπνου θέλγητρον: τὸ βαθύτατον τοῦ ὕπνου, τὸ μάλιστα θέλγειν δυνάμενον τοὺς ἀσθενοῦντας· ὁ γὰρ ἐλαφρὸς φαντασίαις ἀναμέμικται: — MTAB

† ἄλλως: θέλγητρον: τὸ θέλγον, ἡδῦνον, τὸ προσφιλέστατον καὶ βαθύτατον καὶ κάλλιστον τοῦ ὕπνου: — A

φυσικῶς τὸν ὕπνον οἶδεν ἐπίκουρον τῶν κακῶν: — M[1]B

† ἐπίκουρον νόσου: φυσικῶς αὐτὸ εἶπεν· παραμύθιον γὰρ τῶν κακῶν οἶδε τὸν ὕπνον: — A

213 ὦ πότνια λήθη τῶν κακῶν: πότνιαν εἶπεν αὐτήν, ἐπεὶ πάντας τιμῶμεν τοὺς παραμυθουμένους. τὸ δὲ ὡς εἶ σοφή ἀντὶ τοῦ· λίαν σοφῶς ἐπενοήθης ὑπὸ τῆς φύσεως. τὸ δὲ τῶν κακῶν οἰκείως προσέθηκεν, ἐπειδὴ καλὴ τῶν κακῶν ἐστιν ἡ λήθη: — MTAB

---

2 scholio quod praecedit adi. B[1] add. ἰσονέκυεσ δὲ καὶ om. B[1] 10 lemma dedi ex M, ἐπὶ δ' ἄτεκνοσ AB τὸ ἄ. περισσόν B 11 ante ἀναστρεπτέον ins. εἰ γὰρ ἄγαμοσ καὶ ἄτεκνοσ ᾖ A ἡ γὰρ ἄγαμοσ καὶ ἄτεκνοσ B οὖν om. A δύναται MT ἐνεδέχετο A 12 γαμήσασαν A μὴ γήμασαν B εἶναι om. A in fine add. διὸ προσέθηκεν ἄγαμοσ A 17. 18 cf. schol. p. 113,21. 22 18 ἐλαφρὸσ ὕπνοσ A 22 scholio 17—19 adi. B add. δὲ post φυσικῶς οἶπνον M 25—28 scholio 22 adi. B add. δὲ post πότνιαν et τὴν λήθην τῶν κακῶν post εἶπε et om. αὐτήν 25 αὐτὴν εἶπεν A 25. 26 ἐπειδὴ πάντεσ A 27 ὑπενοήθησ MT 28 καλὴ] καλόν τι χρῆμα AB ἐστιν om. A in fine add. ἢ ἐπειδὴ καλὴ τῶν κακῶν ἡ λήθη A

216 ἀπολειφθεὶς φρενῶν: τῶν πρὶν φρενῶν ἀπολειφθεὶς ἐν τῇ μανίᾳ. οὐχὶ νῦν ἀπολειφθεὶς τῶν φρενῶν ἀμνημονῶ, ἀλλ' ἐν τῇ νόσῳ. τὸ γὰρ ὄργανον, δι' οὗ ἀναφέρομεν τὰ πραττόμενα, συννοσεῖ τῷ σώματι. ἀμνημονῶ τί πέπρακταί μοι ἐν τῇ νόσῳ. τῶν προτέρων φρενῶν ἀπολειφθεὶς καὶ μανείς: — MTAB

† ἄλλως: τί πέπονθα ἀπολειφθεὶς τῶν πρὸ τῆς μανίας φρενῶν: — A

† ἄλλως: ἀμνημονῶ γὰρ τῶν πρὶν ἀπολειφθεὶς φρενῶν: τῶν πρίν: ἕως τούτου ὀφείλει⟨ς⟩ στίζειν, εἶτα ἀπολειφθεὶς φρενῶν. δεῖ δὲ νοεῖν· οὐχὶ νῦν ἀπολειφθεὶς τῶν φρενῶν, ἀλλὰ τότε· νῦν γὰρ φρονίμως διαλέγεται: — A

218 βούλει θίγω σου: φιλαδέλφου κόρης ἦθος καὶ λόγους ἐμιμήσατο: — MTB[1]

219 λαβοῦ λαβοῦ δῆτ': σφόδρα δεομένου ἡ φωνή· διὸ τῇ ἐπαναλήψει κέχρηται: — MTAB[1]

† καὶ αὐχμώδη κόμην ἄφελε προσώπου: — A

220 στόματος ἀφρώδη: τὸν πεπηγότα ῥύπον ὑπὸ τοῦ ἀφροῦ: — MTAB[1]

πέλανον: κυρίως πέλανος. τὸ λεπτὸν πέμμα, ᾧ χρῶνται πρὸς τὰς

---

1. 2 ἐν — ἀπολειφθεὶς om. M  2 νῦν] νοῦν B  νῦν ἀμνημονῶ AB  ἀλλ'] ἢ ἀμνημονῶ ἃ πέπρακταί μοι A  3 σὺ νοσεῖ M  4 ἀμνημονῶ — νόσῳ om. A  τῶν φρενῶν πρότερον MT  πρότερον A  14 τοῦ σφόδρα A  φωνή ἐστι A  διὸ καὶ AB[1]  17 scholio 14. 15 adi. B[1] add. initio πέλανον δὲ  19 — p. 120,5 cf. schol. Rhes. 430 ὡς πέμμα ξηρανθὲν τὸ αἷμα τοῦ φόνου. ἀκύρως δὲ κέχρηται τῷ πέλανος, ἄμεινον δὲ ἑτέρωθι εἶπεν ἀφρώδη πέλανον διὰ τὴν λευκότητα. οὕτως γὰρ * ἔλεγον πελάνους τὰ πόπανα ἀπὸ τοῦ πεπλατύνθαι. ἢ ἀπὸ τῆς παιπάλης· ἀπὸ γὰρ τοῦ λεπτοτάτου κατασκευάζονται * καὶ Ὅμηρος τὸ λευκᾶναι παλῦναί φησιν· 'ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας'. et. m. p. 659,15 πέλανοι: πέμματά εἰσί τινα λεπτά (ποιά codd.). Ἀττικοὶ δὲ πέλανον λέγουσι πᾶν τὸ πεπηγός, ὡς Εὐριπίδης περὶ τοῦ ἀφροῦ τοῦ πεπηγότος περὶ τοὺς ὀδόντας οὕτως ἔθηκε τὴν λέξιν ἀφρώδη πέλανον εἰπών ... πέλανοι λέγονται τὰ πόπανα ἀπὸ τοῦ πεπλατύνθαι. ἢ ἀπὸ τῆς παιπάλης· ἀπὸ γὰρ τοῦ λεπτοτάτου κατασκευάζονται. * καὶ Ὅμηρος τὸ λευκᾶναι παλῦναί φησι· λευκὸν δὲ τὸ πέμμα. ἢ ἀπὸ τοῦ πελάζειν καὶ ἱκετεύειν τοὺς θεοὺς διὰ τούτων. Harpocr. (= Phot. Suid.) πέλανος ... Δίδυμος δὲ κυρίως φησὶ τὸ ἐκ τῆς παιπάλης πέμμα, ἐξ ἧς ποιοῦνται πέμματα. ἢ καὶ ἀπὸ τοῦ πεπλατύνθαι. ἢ ὅτι λευκά ἐστιν· Ὅμηρος· 'ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας'. ἢ διὰ τὸ φανὸν εἶναι, ὅ ἐστι λευκόν. Εὐριπίδης μέντοι ἐν τῷ Ὀρέστῃ ἰδίως φησὶν ἐκ δ' ὄμορξον ἀθλίου στόματος ἀφρώδη πέ-

θυσίας, παρὰ τὸ πεπλατύνθαι. οἱ δέ φασι καὶ πᾶν ἐξ ὑγροῦ πεπηγός. ἔνιοι παρὰ τὴν παιπάλην· ἐκ γὰρ ταύτης ὡς ἐπὶ τὸ πλεῖστον γίνεται. ἢ παρὰ τὸ παλῦναι, ὅ ἐστι λευκᾶναι· Ὅμηρος [K 7]· 'ἐπάλυνεν ἀρούρας'. λευκὸν γὰρ τὸ πέμμα. οἱ δέ ἀπὸ τοῦ πελάζειν καὶ ἱκετεύειν τοὺς θεοὺς δι' αὐτῶν: — MTAB

† καλῶς εἶπεν ἀφρώδη πέλανον ἐπὶ τοῦ στόματος, ἐπὶ δὲ τῶν ὀμμάτων οὐ δεῖ προσλαμβάνειν τὸ ἀφρώδη πέλανον, ἀλλὰ μόνον πέλανον. ἐπὶ γὰρ τῶν ὀμμάτων ῥύπος μὲν γίνεται, ἀφρῶδες δὲ οὔ: — A

221 ἰδοὺ τὸ δούλευμ' ἡδύ: τὴν ἀπὸ τοῦ γένους ἀνάγκην προβάλλεται πρὸς τὸ μὴ δυσωπῆσαι τῇ θεραπείᾳ τὸν ἀδελφόν: — MTAB

223 ὑπόβαλε ⟨πλευροῖς⟩ πλευρά: ἀστείως ταῦτα πεποίηται τοῖς λόγοις καὶ τοῖς ἤθεσι καὶ τῇ κατὰ τὴν σκηνὴν διαθέσει: — MTAB[i]

224 λεπτὰ γὰρ λεύσσω κόραις: τουτέστιν· ἀποδιάστησον τὴν ἔμπροσθεν οὖσαν τῶν ὀφθαλμῶν μου κόμην. ἀσθενῆ γὰρ λεύσσω ταῖς κόραις διὰ τὸ ἐπικεῖσθαί μοι τὰς τρίχας: — MTAB

γράφεται λεύσσω νόσῳ, ἵν' ᾖ· ἡ νόσος με ποιεῖ λεπτὸν λεύσσειν: — MTAB

225 αὐχμηρὸν ῥυπαρόν: — M[g]B

πῖνος ὁ ῥύπος· 'πίνῳ δέ οἱ αὐαλέος χρὼς ἐσκλήκει' [Apoll. Rh. II 200]: — M[i]TB

ὦ βοστρύχων πινῶδες ἄθλιον κάρα· κατὰ ἀναστροφὴν εἶπεν· οὐ γάρ ἐστι τῶν βοστρύχων τὸ κάρα, ἀλλὰ τοῦ κάρατος οἱ βόστρυχοι. ἢ ὅτι οὐδὲν ἄλλο ἐπιλείπεται τῇ κεφαλῇ ἢ μόνον οἱ βόστρυχοι,

---

λανον, ὅπερ τὸν ἐπὶ τοῦ στόματος ἀφρὸν δηλοῖ. cf. Hesych. Phot. Suid. scholl. Hipp. 147 Alc. 851 Timae. p. 211  p. 119,19 πέλανον MT  πέλανον κυρίως B  ᾧ] ὃ MA  1 οἱ] ὁ MTB  φησὶ MTB  2 ἔνιοι δὲ MA  τὴν πετάλην M  τὸ πεπάλην TA  εἰς M  ταύτην M  3 πλῦναι T πλατῦναι B  καὶ ὅμηρος TA  4 πέλημα M  παρὰ τὸ A  9 τὴν] τὸν M  ἀπὸ om. A  10 μὴ om. B  12 τὴν] τοῦ M

in fine add. ἵν' ᾖ ἡ νόσος ποίει με λα λεύσσειν A  13 τουτέστιν] ἀντὶ τοῦ A  διάστησον M  14 κώμην M  16 γράφεται — ᾖ] οἷον A scholio quod praecedit adiungens  ante λεύσσω ins. καὶ λεπτὰ γὰρ B  λεπτὰ A  18 ἀντὶ τοῦ αὐχμηρὸν καὶ ῥυπῶδες B  19. 20 scholio quod praecedit adi. B add. γὰρ post πῖνος  19 πῖνος δὲ λέγεται T  21—p. 121,2 scholio quod praecedit adi. B add. δὲ post ἀναστροφὴν  22 ἀλλ' οἱ βόστρυχοι MT ἀλλ' οἱ β. τῆς κεφαλῆς B  κάρατος Vat. 1345 κάρα A

ἵν' ᾖ οὕτως· ὦ τῶν βοστρύχων ἄθλιον κάρα. παρακαθίσασα δὲ ἔξωθεν καὶ εἰς πλευρὸν δεξαμένη τὸν Ὀρέστην ταῦτα λέγει: — MTAB

227 ὅταν μ' ἀνῇ νόσος: περὶ γὰρ τὸν καιρὸν τῆς μανίας εὐτονοῦσιν οἱ μαινόμενοι ἐντεινομένων τῶν νεύρων καὶ πνεύματος πληρουμένων· χαλωμένης δὲ τῆς μανίας καὶ τοῦ πνεύματος ἐπιλείποντος παρίενται: — MTAB

ἀνῇ: ἐν ἀνέσει διαγενόμενος Ὀρέστης λέλυται: — MTAB

† τὸ ἀνῇ ἀντὶ τοῦ ἀφήσει καταλείψει. τουτέστιν· ⟨ἐὰν⟩ ἐν ἀνέσει γένωμαι: — A

ἢ ἡ διὰ τῆς μανίας νόσος, ἢ ἐπιθετικῶς· μανιὰς νόσος: — MTB$^1$

228 ἀδύνατος, μὴ δυνάμενος κεχρῆσθαι τοῖς ἄρθροις: — M$^1$A$^s$B$^1$

231 ἀνακύκλει δέμας: ἀνακίνει ἀνόρθου ἐξέγειρε· συμβαίνει γὰρ τὸν κείμενον κυκλοτερῆ τὴν ἀνάστασιν ποιεῖσθαι: — MTA$^s$B

οἱ γὰρ νοσοῦντες οὐκ ἀρέσκονται τοῖς παροῦσιν, ἀεὶ δὲ πρὸς τὸ μέλλον ὁρῶσιν: — MTAB

233 † ἢ καὶ ἐπὶ γῆς ἐφίεσαι τοὺς πόδας κινῆσαι, ὅ ἐστι περιπατῆσαι· τὸ γὰρ τῇ γῇ ἁρμόσαι χρόνιον ἴχνος πάντων γλυκύτατον. ἡ γὰρ μεταβολή, ὅ ἐστιν ἡ ἐκ τόπου εἰς τόπον ἄμειψις, μεγίστην τὴν ὠφέλειαν παρέχει. τὸ δὲ χρόνιον ἴχνος σημαίνει * * οἱ δὲ τὸ κατακεῖσθαι αὐτὸν ὑπὸ τῆς νόσου· αὕτη γὰρ κώλυμα αὐτῷ τοῦ μὴ περιπατεῖν: — T

234 μεταβολὴ πάντων γλυκύ: προσυπακουστέον τὸ κακῶν. κεκωμῴδηται δὲ ὁ στίχος. τὸ γὰρ ἐξ ὑγείας εἰς νόσον μεταβάλλειν οὐκ ἔστιν ἡδύ. φησὶ γοῦν ὁ κωμικός [frg. anon. 327]·

---

1 οὕτως] ὅτι MT om. AB ὦ om. A 2 καὶ — λέγει] εἰσ πλευρὰν καὶ ἁψαμένη τῶν τριχῶν ταῦτα φησι πρὸσ τὸν ὀρέστην A 3 γὰρ τὸν om. A 4 ἐκτεινομένων MA 4. 5 πληρουμένων ὑπὸ πνεύματοσ A 5 χαλουμένησ MT 7 scholio quod praecedit adi. MTAB pro ἀνῇ scripto ἐν ῆι MB ἐν ῇ T, add. δὲ post ἀνέσει A γεγενημένοσ A 8. 9 pauca detrita in A 8 καταλη· ει A 10 ἢ ἡ] ἵνῇ M μανιὰς νόσος] ἡ μανίασ νόσου MT 11 scholio quod praecedit adi. B$^1$ add. initio ἄναρθροσ δὲ ἀδύναμοσ M$^1$B$^1$ ante τοῖς add. τὰ μέλη M$^1$ 13 κυκλωτερῆ B 14 οἱ] οὐ M 15 ὁρῶ B 17 γλυκύτερον T 18 ὅ] ἢ T 19 σημαίνειν T 22 τῶν MT κακόν A 23 δὲ om. M μεταβαλεῖν TB 24 φήσει B γοῦν] γὰρ AB 24 — p. 122,7 ὁ κωμικὸς — γλυκύ] ὡσ ἐκ μὲν κόπου γλυκύτατον ἡ ἀνάπαυσισ καὶ ἕτερα τοιαῦτα ἐκ δὲ πλουσίου πτωχὸν γενέσθαι μεταβολὴ μὲν ἡδὺ δ' οὔ ὥστε οὐχὶ πάντων ἡ μεταβολὴ γλυκύ B

ὁ πρῶτος εἰπὼν 'μεταβολὴ πάντων γλυκύ'
οὐχ ὑγίαινε, δέσποτ'· ἐκ μὲν γὰρ κόπου
γλυκεῖ' ἀνάπαυσις, ἐξ ἀλουσίας δ' ὕδωρ
καὶ τὰ τοιαῦτα·
ἢν δ' ἐκ πλουσίου
πτωχὸν γενέσθαι, μεταβολὴ μέν, ἡδὺ δ' οὔ.
ὥστ' οὐχὶ πάντων ἐστὶ μεταβολὴ γλυκύ: — MTAB

235 δόξαν γὰρ τόδ' ὑγιείας ἔχει: τὸ ἀναστῆναι. ὁπόταν γὰρ εὐθυμῇ ψυχὴ τῇ τῆς ἐλπίδος ὑπολήψει, συνδιασῴζεται τὸ σῶμα. καὶ Σιμωνίδης [frg. 76]· 'τὸ δοκεῖν καὶ τὰν ἀλάθειαν βιᾶται': — MTAB

236 ἀντὶ τοῦ ἰσχυρόν: — $M^gA^g$

239 πάντως καινότερόν τι ἀπαγγελεῖς: — $M^1A^g$

χάριν φέρεις: οἱ ἐν περιστάσει ὄντες ἀεὶ τὸ ἐπάγγελμα τοῦ μέλλοντος λέγεσθαι δεδοίκασιν: — $MM^gTA$

240 ἡ παρά καὶ τὸ ἐμοῦ προσληπτέον: — $M^1$

241 σοῦ κασίγνητος πατρός: διὰ τοῦ σοῦ κασίγνητος πατρός ψυχαγωγεῖ τὸν ἀδελφὸν ὑπομιμνήσκουσα τοῦ πατρὸς καὶ ἐλπίδας ἀγαθὰς ὑποτίθεται διὰ τοῦ θείου. περιπαθέστερον δὲ ποιεῖ τὸ δρᾶμα καὶ πόρρωθεν διαβάλλουσα τὸν Μενέλαον, καθὸ ἐλπισθεὶς βοηθήσειν οὐκ ἐβοήθησεν: — MTAB

245 ἥκει· τὸ πιστόν: τὸ ἑξῆς οὕτως· τοῦτο πιστὸν δέχου τῶν ἐμῶν λόγων: — A

---

1 πρῶτον A γλυκὺ] ἡδὺ A 2 ὑγιαίνει δέσποτα MT ὑγιαίνει δὲ ποσῶσ A corr. Porson εἰσ M 3 γλυκεῖα A γλυκύτατ' M γλυκύτατοσ T ἀνάπασισ M ἐξαλούσασ T δὲ MTA 4. 5 καὶ τἄλλα δὴ τοιαῦτ' ἐὰν δ' Porson καὶ τἄλλα δὴ τὰ τοιαῦτ' ἐὰν δ' Meineke καὶ τἄλλα τά γε τοιαῦτα· τὸ δέ σ' Hermann Phil. 2, 134 καὶ τἄλλα τὰ τοιαῦτ' ἢν δέῃ δ' Nauck Phil. 5, 527. 6, 425 5 δὲ MTA εἰσ M καὶ ἐκ T 6 πτωχὸσ γένηται Vat. 1345 conieceris πτωχὸς γένῃ σύ, cum tamen non constat quae praecesserint, in mutatione periculum esse censeo μεταβολὺ A δὲ A 7 ὥστε A οὕτωσ MT ἐστὶ] ἡ A 9 ἐνθυμηθῇ M ἐνθύμῃ T ψυχῆι M ὑπολείψει M 10 σιμωνίδησ φησὶν A τὴν ἀλήθειαν A τὰ μάλα θεῖα MTB 11 in fine add. μὲν $M^g$ 12 ἀπαγγέλεισ $M^1$ ἀγγε $A^g$ 13 οἱ om. A 13. 14 μέλλοντος om. T 14 λέγεσθαι om. $M^g$ 16 τοῦ — πατρός] τούτου B κασιγνήτου A 17 ψυχαγωγεῖται A τῷ πατρὶ M 18 προσπαθέστερον MTB ποιεῖται A καὶ τὸ B 19 διαβάλλουσιν M διαβάλλουσι T διαβάλλεσθαι B καθὸ ἐ.] ἢ ἐμπισθεὶσ A βοηθῆσαι MTB

τὸ πιστὸν τόδε λόγων: ἀντὶ τοῦ πίστευε τοῖς ἐμοῖς λόγοις. πίστιν δέχου ταύτην βεβαίαν καὶ ἀσφαλῆ μαρτυρίαν, τὸ καὶ τὴν Ἑλένην αὐτῷ συνεπιδημῆσαι· ὅπου γὰρ Ἑλένη, πάντως που καὶ Μενέλαος: — MTAB

247 ὡς τοῦ τὴν Ἑλένην ἀχθῆναι ἐπιμολύναντος τὴν εὐπραξίαν Μενελάου: — MTA

249 μέγα γὰρ αὐτὴν κακὸν τῇ Ἑλλάδι ἔτεκεν: — M[1]

ἐπίσημον ἔτεκε Τυνδάρεως: Στησίχορός φησιν ὡς θύων τοῖς θεοῖς Τυνδάρεως Ἀφροδίτης ἐπελάθετο· διὸ ὀργισθεῖσαν τὴν θεὸν διγάμους τε καὶ τριγάμους καὶ λειψάνδρους αὐτοῦ τὰς θυγατέρας ποιῆσαι. ἔχει δὲ ἡ χρῆσις οὕτως [frg. 26]· ʽοὕνεκά ποτε Τυνδάρεως ῥέζων πᾶσι θεοῖς μόνης λάθετ' ἠπιοδώρου Κύπριδος, κείνα δὲ Τυνδάρεω κούραις χολωσαμένη διγάμους τε καὶ τριγάμους τίθησι καὶ λιπεσάνορας'. καὶ Ἡσίοδος δέ [frg. 117]·

τῇσιν δὲ φιλομμειδὴς Ἀφροδίτη
ἠγάσθη προσιδοῦσα, κακὴν δέ σφ' ἔμβαλε φήμην.
Τιμάνδρη μὲν ἔπειτ' Ἔχεμον προλιποῦσ' ἐβεβήκει,
ἵκετο δ' ἐς Φυλῆα φίλον μακάρεσσι θεοῖσιν.
ὡς δὲ Κλυταιμνήστρη ⟨προ⟩λιποῦσ' Ἀγαμέμνονα δῖον
Αἰγίσθῳ παρέλεκτο, καὶ εἵλετο χείρον' ἀκοίτην.
ὡς δ' Ἑλένη ἤσχυνε λέχος ξανθοῦ Μενελάου: — MTAB

---

1—3 scholio quod praecedit adi. A initio add. οἱ δὲ οὕτωσ τὸ πιστὸν τῶν ἐμῶν λόγων δέχου τοῦτο 1 τοὺσ ἐμοὺσ λόγουσ M 2 πίστην T μαρτυρίαν ἀσφαλῆ A τῶ AB 5. 6 scholio quod praecedit adi. MT 5 ὡς τοῦ] ὥσ τε A 8—21 cf. Paus. III 15,11 Eust. p. 305,17 8 θύων] θεοῦ M 9 ἐλάθετο MTA ὀργισθεῖσα MB ἡ θεὸσ B 10 τε om. A τὰσ θυγατέρασ αὐτοῦ A ἐποίησεν MTAB 11 οὕτως om. M ἅπασι AB οὕνεκα Τυνδάρεος ῥ. ποτὲ πᾶσι siue ποθ' ἅπασι Bergk 12 μόνησ A μιᾶσ MTB μούνασ Bergk λάθετο B λήθετο A ἐπελάθετο MT κούραισ B κούρου M κούρασ T κόραισ A 13 τε om. A λειπεσάνορασ A λιπεσιόρασ M λιπεσήνορασ TB 14 δέ om. AB 15 τῆσι MTAB φιλομειδὴσ MAB φιλομηδὴσ T 16 προιδοῦσα MA scripserim κακῇ— φήμῃ δέ σφ'] δέ φ' A δέ φ' T ἤμβαλε M ἔβαλε T ἔβαλλε A 17 Τιμάνδρη μὲν om. B spatio relicto τίσ ἀνδρὶ μένει MT πεισάνδρη μὲν A corr. Geel εἴτ' ἔχετον MT ἐπεί τ' ἔχετον A τ' ἔχετον B 18 εἰσ MTB φιλία M φλῆα A θεοῖσιν om. A 19 κλυταιμνήστρα MTAB λιποῦσ' MTAB corr. Cobet 20 ἀκοίταν B 21 ὧδ' M

ἀντὶ τοῦ πολυθρύλητον. περισσὸν δὲ τὸ ἄρθρον: — M[g]

251 αὐτεξούσιος γὰρ ἡ ἀρετή. καὶ Ὅμηρος [Z 444]· 'ἐπεὶ μάθον ἔμμεναι ἐσθλός': — M[1]A

253 ὄμμα σόν: φυσικῶς· καθόλου γὰρ τῶν τῆς ψυχῆς παθῶν εἰκόνες οἱ ὀφθαλμοί. αἰφνίδιοι δὲ τῶν λυσσωδῶν νοσημάτων αἱ μεταβολαὶ γίνονται: — MTAB

254 ταχὺς δὲ μετέθου: ταχέως εἰς μανίαν μετεβλήθης ἄρτι σώας ἔχων τὰς φρένας: — MTAB

ὁ νοῦς· μετεποιήθης καὶ μετεβλήθης εἰς λύσσαν, ἐν δὲ τῷ πρὸ τούτου * * * μεταθεὶς, ἀντὶ τοῦ μετατρέχεις: — MT

255 ὦ μῆτερ: δοκεῖ τὸ εἴδωλον τῆς μητρὸς παριστάμενον ὁρᾶν καὶ ἐπισεῖον κατ' αὐτοῦ τὰς Ἐρινύας: — A

ὦ μῆτερ, τὰς αἱματοποιοὺς καὶ δρακοντώδεις κόρας ἐπ' ἐμοὶ μὴ ἐπίσειε, ἤγουν μὴ μετακίνει: — M[g]

256 τὰς αἱματωπούς: τὰ συμβαίνοντα τοῖς πάσχουσί τι τοῖς προεστῶσι τοῦ πάθους θεοῖς ἀνατιθέασιν οἱ ποιηταί· οἷόν τι καὶ Ὅμηρός φησι περὶ τῶν Λιτῶν [I 499]· 'χωλαί τε ῥυσαί τε παραβλῶπές τ' ὀφθαλμώ'· ἐκ τῶν ἀποβαινόντων παθῶν εἰδωλοποιήσας. καὶ τὸν Πλοῦτον τυφλὸν λέγουσιν, ὅτι ἀκρίτως ποιεῖ πλουσίους, καὶ τὸν Καιρὸν ὀπισθοφάλακρον, ὅτι τοῦ παρῳχημένου ἀδύνατον ἀντιλαμβάνεσθαι· καὶ κωφὸν δὲ αὐτὸν ὁ Δημοσθένης [frg. 12] φησὶν, ὅτι μετακαλούμενος οὐχ ὑπακούει. καὶ νῦν αἱματωποὺς εἶπε τὰς Ἐρινύας ὁ Εὐριπίδης ἐκ τοῦ τοὺς μαινομένους ὕφαιμον βλέπειν καὶ ταραχῶδες, ὡς Φοῖβος ὁ τοῦ φοιβᾶν τοὺς μάντεις, ὅ ἐστι μαίνεσθαι, αἴτιος καὶ 'πολύμοχθος Ἄρης' [Phoen. 784]: — MTAB

257 τὰς Ἐρινύας ἐνθουσιαστικῶς φαντάζεται ὁρᾶν: — M[1]AB

---

2 αὐτεξούσιον M[1] γὰρ om. M[1] 3 ἐσθλοῦ M[1] 4 φυσικῶς om. A 5 αἱ. δὲ] καὶ αἰφνίδιοι A 7 initio add. ἀντὶ τοῦ B 7. 8 ἀρτίως ἔχων σώας A 10 suppleas e. g. ἐσωφρόνεις. γράφεται καὶ μεταθεὶς ἀντὶ T μετὰ θήσαν M 12 ἐπισείειν A 14 μαν ἐπίσει Mg 15 τι] τὰ MT ταῦτα A om. B 16 παρεστῶσι M 17 ἐπὶ A λιτῶν A αὐτῶν MTB 17. 18 παραβλῶπες τ' ὀφθαλμώ om. A 18 ὀφθαλμῶν MTB συμβαινόντων A 19 ὅτι—Καιρὸν om. M 19—21 Tzetz. chil. 10, 289 19. 20 φάλακρον M Tzetzes 20 ἀντιλαβέσθαι B ἐπιλαβέσθαι A 21 δὲ om. A μετακαλουμένου M 22 τὰς ἐρινύας εἶπεν B 23 καὶ τ. βλ. B ὁ] ἐκ A 24 αἴτιον A ὁ ἄρης A in fine add. καὶ τὰ τοιαῦτα B 26 scholio quod praecedit adi. A initio add. αἱματωποὺς δέ, scholio p. 125,7. 8 adi. B add. ὅθεν καὶ οὗτος ἐρινὺς M[1]

αὗται γὰρ αὗται: ἐκ τοῦ ἀφανοῦς ὑπέθετο τὰς Ἐρινύας αὐτὸν διωκούσας, ἵνα τὴν δόξαν τοῦ μεμηνότος ἡμῖν παραστήσῃ· ὡς εἴγε παρήγαγεν αὐτὰς εἰς μέσον, ἐσωφρόνει ἂν Ὀρέστης τὰ αὐτὰ πᾶσιν ὁρῶν. ταῦτα δὲ νεώτερα· Ὅμηρος γὰρ οὐδὲν τοιοῦτον εἶπε περὶ Ὀρέστου: — MTAB

259 τὰ γὰρ φαντασιώδη ἀνυπόστατα: — M[g]A

ὁρᾷς γὰρ οὐδέν: ὃ γὰρ τὸ τῶν σωφρονούντων ὄμμα διαφεύγειν συμβέβηκεν, τοῦτο κατὰ τὴν πλάνην τοῖς μαινομένοις * *: — MTAB

261 ἱέρ[ε]ιαι δειναὶ θεαί: τὸ ἱέριαι προπαροξύνουσιν ὡς τὸ τιμώριαι καὶ αἴτιαι: — MTB

ἐνέρων ἱέρειαι: ἱερείας αὐτὰς καλεῖ παρόσον ἐξυπηρετοῦνται αὐτοῖς· ἀποστέλλουσι γὰρ αὐτοῖς τὰς ψυχάς: — MTAB

264 μί' οὖσα: μία οὖσα τῶν κατ' ἐμοῦ Ἐρινύων ἀπόστηθι. Ἐρινύων δὲ τῶν μανιῶν, ἵν' ᾖ· ἄνες με τῆς μανίας ἀναχωρήσασά μου: — MTAB

265 μέσον μ' ὀχμάζεις: συνέχεις ἐπαίρεις. ἴδιον δὲ τῶν μαινομένων τὸ τοὺς κηδομένους ἀποσείεσθαι καὶ δοκεῖν βλάπτεσθαι μᾶλλον: — MTAB

268 ὡς τῶν Ἐρινύων ἐφαυκυιῶν αὐτοῦ: — M[g]AB[i]

κερουλκά: διὰ τῶν κεράτων ἕλκοντα τὴν νευρὰν, ἢ τὸ βέλος, ὡς τὸ κεραελκὴς ταῦρος. ἢ παρὰ τὸ ἐκ κεράτων εἶναι καὶ ἕλκεσθαι: — MTAB

---

1 ἔθετο MTB 2 διοικούσας MT διακούσας B 2. 3 ὡς—αὐτοῦ spatio uacuo ins. A[1] 3 αὐτοῦ A[1] ἂν om. MT ὁ ὀρέστης A τὰ αὐτὰ] ταῦτα A 4 ταῦτα B τὰ MTA δὲ om. A καὶ ὅμηρος A γὰρ om. A τοιοῦτον om. MT post Ὀρέστου coll. A 7 τὸ om. TA ὄμμα] ἅπαντα A διαφυγεῖν A 8 τοῦτο—συμβέβηκεν spatio uacuo ins. A[1] τὴν om. A[1] μαινομένοις] γινομένοις A[1] in fine συμβέβηκεν MT ὁρᾶσθαι συμβέβηκεν A[1]B 9. 10 scholiis 7—8. p. 124,26 adi. B add. δὲ post τὸ 9 ἱέρειαι M ἱέραι T προπαροξύνεται B τὸ om. M 9. 10 τιμώρια καὶ om. B 10 in fine add. καὶ τὰ τοιαῦτα B 11. 12 scholio quod praecedit adi. MTB add. δὲ post ἱερείας 12 τύχας A 13 initio add. καὶ σὺ A ἐμὲ MT ἀπόστα MT 14 Ἐρινύων δὲ] τινὲς δὲ ἐριννύων A μηνιῶν T 16—18 scholio quod praecedit adi. B initio add. ὀχμάζεις δὲ ἀντὶ τοῦ 16 ἢ ἐπαίρεις A καὶ ἐπαίρεις B ἰδία A 16. 17 τοὺς κηδομένους τῶν μαινομένων A om. τὸ 17 κηδεμόνους M 17. 18 μᾶλλον βλάπτεσθαι A 18 in fine add. παρ' αὐτῶν B 19 scholio quod sequitur adi. A initio add. τοῦτο δὲ εἶπεν 20 διὰ τῶν om. B ἢ] ἤτοι A ὡς] ἢ M 21 τὸ om. MTB κεραλκῆς M κεραλκὴς T κεραελκεῖς B ταύρους B εἰς M

Στησιχόρῳ [frg. 40] ἑπόμενος τόξα φησὶν αὐτὸν εἰληφέναι παρὰ Ἀπόλλωνος. ἔδει οὖν τὸν ὑποκριτὴν τόξα λαβόντα τοξεύειν. οἱ δὲ νῦν ὑποκρινόμενοι τὸν ἥρωα αἰτοῦσι μὲν τὰ τόξα, μὴ δεχόμενοι δὲ σχηματίζονται τοξεύειν. εἰ δὲ καὶ μαινόμενος ἐπ' ἐνίων ὑγιαίνει, μὴ θαυμάσωμεν. ἡ γὰρ νόσος ποικίλη τῶν μεμηνότων· ὡς κἂν ταῖς Τρῳάσιν ἡ Κασάνδρα [369]· 'τοσόνδε δ' ἐκτὸς στήσομαι βακχευμάτων': — MTB

270 μανιάσιν λυσσήμασιν: ταῖς μανιώδεσι λύσσαις. σχῆμα δέ ἐστι περίφρασις: — M[1]TAB

μανιάσιν λυσσήμασιν: ὡς τὸ 'φοίνικι λίνῳ', ἀρσενικὸν μετὰ οὐδετέρου. ἀπὸ δὲ τοῦ ἡ μανιὰς τὸ μανιάσι: — M[1]TB

μανιώδεσι λυσσήμασιν· ἢ μανίαις καὶ λυσσήμασιν: — M[g]TB

272 εἰ μὴ 'ξαμείψει: εἰ μὴ ἀποστήσεταί τις τῶν Ἐρινύων τοῦ ἐμοῦ προσώπου: — MTAB[1]

275 τί δῆτα μέλλετ'· ἐξακρίζετ' αἰθέρα: στιγμὴ εἰς τὸ μέλλετε. τὸ δὲ ἑξῆς· εἰς τὰ ἄκρα τοῦ αἰθέρος πέτεσθε καὶ μέμφεσθε τὰ λόγια τοῦ Ἀπόλλωνος καὶ μὴ ἐμέ: — MTAB

τὰ ἄκρα τοῦ αἰθέρος καταλαμβάνετε: — MT

πτερωτὰς καὶ οὗτος τὰς Ἐρινύας ὑπέθετο: — MTAB

277 † ἔα: ἐκπληκτικὸν ἢ θαυμαστικὸν ἐπίρρημα τὸ ἔα: — TA

τί χρῆμ' ἀλύω: διὰ ποίαν αἰτίαν ἀδημονῶ: — MTB[1]

ἄλλως: τί τὸ πρᾶγμα καὶ τίς ἡ νόσος αὕτη, καθ' ἃ ἀδημονῶ καὶ ἠπόρημαι. παρὰ τὴν ἄλην· 'ἡ δ' ἀλύουσ' ἀπεβήσετο' [E 352]: — MTAB

279 ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ: κεκωμῴδηται ὁ

1—6 scholio p. 125,20—22 adi. MT, add. δὲ post Στ. B   1 στησίχορος MT   παρὰ om. MT   2 ἀπόλλων M   τόξα om. MT   2—5 οἱ—μεμηνότων] ὁ δὲ νοῦσ   νόμενοι τὸν | ἥρωα αἰτοῦσι μὲν τὸ   | δεχόμενοι δὲ σχηματίζον |..... εἰ δὲ καὶ μαινόμενοσ ὑπ   |..... νει· μὴ θαυμάσωμεν· ἡ γὰρ | μεμηνότων B et spatiis et rasuris mutilatus   3 εχόμενοι MT   4 ὑπ ἐνίων MT   7. 8 scholio quod praecedit adi. B add. δὲ post μανιάσι   7 τὸ δὲ σχῆμα A   8 ἐστι om. A   9. 10 scholio quod praecedit adi. M[1]TB add. ταῖσ ante μανιάσι   11 scholio quod praecedit adi. B   12 τις] τί φησι A   post Ἐρινύων ins. φησι M   14. 15 στιγμὴ—ἑξῆς om. A   16 ἡλίου A   in fine rep. μέμφεσθε A   18 scholio 17 adi. MT, scholio 14—16 AB, add. δὲ post πτερωτὰς MTAB   καὶ οὗτος om. A   ὑποτίθεται B   21. 22 cf. Hesych. Orion. p. 6,15 et m. p. 72,30 schol. Eur. Hipp. 1182 Eust. p. 1636,21 Suid. Erotian. p. 30 Fr.   22 ἠπόρημαι καὶ ἀ. B   τὴν om. A   ἄλλην MTA   ἡ—ἀπεβήσετο om. A   ἀπεβήσατο T   23—p. 127,17 cf. schol. Arist. Ran. 303 (= Suid. s. v. Ἡγέλοχος) Ἡγέλοχος τραγῳδίας ὑποκριτής, ὃν καὶ ἐν τῷ

στίχος διὰ Ἡγέλοχον τὸν ὑποκριτήν· οὐ γὰρ φθάσαντα διελεῖν τὴν συναλοιφὴν ἐπιλείψαντος τοῦ πνεύματος τοῖς ἀκροωμένοις τὴν γαλῆν δόξαι λέγειν τὸ ζῷον, ἀλλ' οὐχὶ τὰ γαληνά. πολλοὶ μὲν οὖν αὐτὸ διέπαιξαν τῶν κωμικῶν, Ἀριστοφάνης * * καὶ Στράττις ἐν Ἀνθρωπορραίστῃ [frg. 1]·

καὶ τῶν μὲν ἄλλων οὐκ ἐμέλησέ μοι μελῶν,
Εὐριπίδου δὲ δρᾶμα δεξιώτατον
διέκναισ' Ὀρέστην, Ἡγέλοχον τὸν Κυντάρου
μισθωσάμενος τὰ πρῶτα τῶν ἐπῶν λέγειν.

καὶ ἐν ἄλλοις παίζων φησί [frg. 60]·

γαλήν' ὁρῶ. — ποῖ πρὸς θεῶν, ποῖ ποῖ γαλῆν·
— γαληνά. — ἐγὼ δ' ᾤμην σε γαλῆν λέγειν ὁρῶ.

καὶ Σαννυρίων ἐν Δανάῃ [frg. 8]·

τί οὖν γενόμενος εἰς ὀπὴν ἐνδύσομαι·
ζητητέον. φέρ' εἰ γενοίμην † γαλῆ·
ἀλλ' Ἡγέλοχος ⟨εὐθύς⟩ με μηνύσειεν ⟨ἂν⟩
ὁ τραγικὸς ἀνακράγοι τ' ἂν [εὐθὺς] εἰσιδὼν μέγα·
'ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλῆν ὁρῶ': — MTAB

284 σὺ μὲν γὰρ ἐπένευσας τάδ', εἴργασται δ' ἐμοί: ἐγὼ μὲν εἰργασάμην, σὺ δὲ ἐπένευσας. θέλει δὲ εἰπεῖν ὅτι οὐ μετέχεις τοῦ φόνου, ἐπεὶ οὐδὲ ἔπραξας· διὸ οὐδὲ ὀφείλεις ἄχθεσθαι: — MTAB

---

Ὀρέστῃ Εὐριπίδου προστάντος αὐτῷ τοῦ πνεύματος ἐν τῷδε τῷ στίχῳ 'ἐκ κυμάτων γὰρ αὖθις αὖ γαλήν' ὁρῶ' αἰφνιδίως οὐ φθῆναι συν⟨έβη δι⟩ελόντα τὴν συναλοιφήν ... 1. 2 συναλιφὴν MTB 2 γαλὴν MTA 4 ἀνθρωποραίστηι B ἀνθρωπορέστη MTA 6 εὐριπίδησ B 7 δι' αἰκνεσ A ὀρεστη T ὀρέστηι B ἢ ἡγέλοχον A κυν^{τρ} A Κιννάρου Bentley Κυννάρου Dindorf 10 γαλήν M γαλὴν TA γαλῆν B ποῖ A ποῖ ποῖ MTB θεὸν MT post ποῖ ποῖ ins. χρῆ με παρὰ τὸ θέλημα ποιεῖν A, quae corrigas τί χρή με π. τ. θ. πονεῖν et ad vs. 277 referas γαλήν' M γαλὴν TA 11 γαληνά TB γαλῆνα MA δὲ MTAB γαλήν M γαλὴν TA ὁρᾶσ A γαλῆν λέγειν σ' ὁρᾶν Dindorf 12—17 καὶ—ὁρῶ om. A 12 θαν.. M θανάη T θανάηι B 14 φέρων MT γαλή M γαλῆ TB μυγαλῆ anonymus apud Dindorfium 15 εὐθὺς om. MTB οὗτος add. Dindorf με μηνύσειεν] μεμήνυσεν MT ἂν om. MTB 16 εὐθὺσ MT οὗτοσ B del. Dindorf εἰσιδὼν] εἰσίδ' ἢ M εἰσίδην ἢ T εἰς ἐχθροὺς Arsenius 17 αὖ om. M γαλὴν M γαλήν' T γαλῆν' B 19 μὴ M μὲν γὰρ B θέλουσι A 20 οὐδὲ] οὖν οὐχ A διὸ om. A

285 οὐ σοὶ μέμφομαι ἀλλὰ τῷ Ἀπόλλωνι, ὅτι πείσας με μητέρα φονεῦσαι οὐ βοηθεῖ: — M$^{i}$TAB

286 ὅστις μ' ἐπάρας: ἀναπτερώσας καὶ ἀναπείσας εἰς ἔργον ἀνοσιώτατον: — MTAB

ἔργον ἀνοσιώτατον: ἀπειρηκὼς τῇ νόσῳ ὃ πρὶν εὐσεβὲς ᾤετο νῦν ἀνόσιον καλεῖ: — MTAB$^{i}$

287 ὡς ὑποσχομένου τοῦ θεοῦ βοηθήσειν: — MTA

289 ἠρώτων ἐξέταζον: — M$^{g}$TA$^{g}$B$^{i}$

τὸ νίν ἐπὶ τῶν τριῶν γενῶν λαμβάνεται, αὐτόν, αὐτήν, αὐτό: — MTB$^{i}$

291 μήποτε τεκούσης: μηδέποτε ἐπὶ τῇ σφαγῇ τῆς μητρὸς ὠθῆσαι τὸ ξίφος: — MTAB$^{i}$

294 καὶ νῦν ἀνακάλυπτ': τὴν ὄψιν δηλονότι· ἐσκεπάσατο γὰρ ὑπὲρ τοῦ μὴ λυπεῖν τὸν ἀδελφὸν δακρύοις: — MTAB

ἄλλως: σεαυτὴν ἀποκάλυπτε· ἔκλαιε γὰρ 'κρᾶτα θεῖσ' εἴσω πέπλων' [280]: — MTAB

298 ἴσχναινε: λέπτυνε. παρὰ τὸ ⟨ἴσχω⟩ ἰσχνῶ ἰσχναίνω παραγώγως· ὅθεν καὶ ἰσχάς: — MTB

γράφεται καὶ ἴσχανε, ἀντὶ τοῦ ἔπεχε πράυνε κούφιζε: — MTB

γράφεται καὶ ἴσχναινε: — M$^{i}$

299 χρή σε νουθετεῖν φίλα: νουθετεῖν [σε τὰ φίλα] καὶ παραμυθεῖσθαί σε τὰ φίλα καὶ προσηνῆ λέγοντα. λείπει οὖν τὸ λέγοντα· τὰ φίλα λέγοντα: — MTAB$^{i}$

---

1 τῶι λοξίαι μέμφομαι ἤτοι τῶι ἀπόλλωνι καὶ οὐχὶ σοὶ B  1. 2 πατέρα φονεῦσαι M$^{i}$T φονεῦσαι τὴν μητέρα AB  2 οὐ βοηθεῖ spatio uacuo ins. A$^{1}$  3. 4 scholio quod praecedit adi. B initio add. τοῦτο γὰρ σημαίνει τὸ ἐπάρασ πείσασ B ἀνατείνασ T διατείνασ M  5. 6 scholio quod sequitur adi. A  5 πρὶν μὲν M  ἀσεβὲσ M  7 scholio 3. 4 adi. MTA  βοηθῆσαι μοι A  8 ἀντὶ add. initio T  9 scholio 8 adi. TB$^{i}$ add. δὲ post τὸ  10 μηδέποτε] μήποτε A  τῇ om. A  11 ὠθῆσαι τὸ ξίφος spatio relicto om. A  12 ἐσκέπαστο A  13 ἐπὶ τῶ A  καὶ δακρύω A  14. 15 scholio quod praecedit adi. A  14 σεαυτὸν ἀποκαλύπτω A  κρατηθεῖσα A  16. 17 cf. Orion. p. 76,1. 77,21 et. m. p. 479,3. 17 Gud. p. 283,56 Zon. p. 1124 Eust. p. 554,10. 1863,60. 1963,52  16—18 horum loco habet ἴσχανεν: ἀντὶ τοῦ ἔπεχε πράυνε κούφιζε ἴσχανε δὲ ἀντὶ τοῦ λέπτυνε παρὰ τὸ ἴσχω ἰσχάνω παραγώγωσ ὅθεν καὶ ἰσχάσ: — A  16 ἴσχω—ἰσχναίνω] ἰχῶ ἰχαίνω M ἰχνῶ ἰχναίνω T ἰσχνῶ ἰσχναίνω B  18 ἴσχαινε B  21 σε om. A  21. 22 καὶ—φίλα λέγοντα] ἢ φίλα ἀντὶ τοῦ φίλωσ A  21 καὶ om. T  22 τὰ om. B$^{i}$

303 σῖτόν τ' ὄρεξαι: διὰ τούτων φησίν· μὴ ἄγαν ἀγρυπνίᾳ καὶ λιμῷ διάφθειρε σεαυτήν, ἵνα μὴ νοσήσῃς· εἰ γὰρ τῷ προσεδρεύειν μοι κτήσῃ νόσον τινὰ καὶ ἀποστῇς, κἀγὼ τῆς σῆς παρουσίας ἐστερημένος ἀπόλλυμαι: — MTAB

ἔκτεινον τὰς χεῖράς σου εἰς τροφήν: — M[g]B[i]

ἀντὶ τοῦ ἐκτείνασα τὴν χεῖρα λάβε: — M[i]B[i]

307 οὐκ ἔστι· σὺν σοί: ἐπειδὴ εἶπεν αὐτῇ εἰ προλείψεις με, φησὶν οὐκ ἔστι, ἀντὶ τοῦ· οὐ προλείψω σε: — MTAB[i]

308 καὶ ζῆν· ἔχει γὰρ ταὐτόν: τὸ ζῆν με καὶ ἀποθανεῖν ταὐτόν ἐστιν, ἐὰν σὺ τελευτήσῃς. ἢ τὸ ἔχει ἀντὶ τοῦ σχήσει· ὁ δὲ λόγος· ἐὰν σὺ ἀποθάνῃς, ταὐτόν μοι πάθος γενήσεται, ὅ ἐστι· κἀγὼ συντεθνήξομαί σοι: — MTAB

ἕξει γὰρ ταὐτόν με πάθος, ὅπερ καὶ σέ: — M[i]A[g]

310 τουτέστιν· εἰ βούλει με φαγεῖν, πείθομαι: — M[i]B[i]

312 καὶ μὴ τὸ ταρβοῦν: μὴ ἐν ὑποψίᾳ ἔχε μηδὲ φαντάζου τὸ ἐκφοβοῦν σε. ἀποδέχου δὲ ἀντὶ τοῦ ὑποδέχου προσδέχου: — MTAB[i]

314 κἂν μὴ νοσῇς γάρ: Καλλίστρατος τὴν ἐκτὸς τοῦ σ̄ γραφὴν διδάσκει· κἂν μὴ νοσῇ γάρ, ἀλλὰ δοξάζῃ νοσεῖν, ἵν' ᾖ ἀπὸ τοῦ Ὀρέστου εἰς κοινὸν μεταβεβηκὼς ὁ λόγος: — MTAB

δοξάζῃς: ἀντὶ τοῦ δοξάζῃ τις, ὡς τὸ [Γ 220] 'φαίης κε ζάκοτόν τ⟨έ τιν'⟩ ἔμμεναι': — MTB

317 δρομάδες ὦ πτεροφόροι: πανταχοῦ περιτρέχουσαι καὶ τιμωρούμεναι τοὺς ἀνθρώπους. ἢ περιτρέχειν ποιοῦσαι τοὺς μεμηνότας: — MTAB

---

1 τοῦτο AB  ἀγρύπνει MTB  2 διαφθεῖραι MT  τὸ M  μοι] μὴ T  3 ἀποστῇ M  ἀποστήσῃς A  σῆς om. T  ἐστερουμένος M  6 βάλε M[i]  in fine add. εἰ γὰρ καταλίπῃς με ἀπολιγωρήσασα τῆς νοσοκομίας ἀπόλλυμαι B[i]  7 αὐτὸς A  εἰ γὰρ AB[i]  8 φησὶν om. B[i]  οὐκ—τοῦ] ὅτι A  10 ἐστιν om. A  σὺ] οὐ M  σχήσῃ M  11 ἀποθάνῃ M  παθεῖν A  13 ἥξῃ M[i]  ἥξει A[g]  15 initio add. καὶ B[i]  ἐν ὑποψίᾳ] τὴν ὑποψίαν MTB[i]  16 εἰσφοβοῦν M  προσδέχου] προσδόκα τὴν ἐκτὸς A  18 νοσήσῃς M  τὴν ἐκτὸς] χωρὶς A  γράφειν A  19 δοξάζει T  δοκιμάζει A  νοσήσῃ M  νοσήσῃ T  νοσῇς A  γὰρ om. A  δοξάζει MT  δοξάζεις A  ᾖ om. MT  ἀπὸ] ἐκ A  20 ἐπὶ τὸ A  εἰς τὸ B  21 ἀντὶ—τις] κἂν μὴ νοσῇ τις ἀλλὰ δοξάζῃ B  δοξάζει M  κεν M  22 τέ τιν'] τ' MTB  ἔμμεναι om. B

318 Ποτνιάδες θεαί: μανιοποιοί. Πότνιαι γὰρ χωρίον ἐστὶ Βοιωτίας, ἔνθα φαγοῦσαι βοτάνην αἱ Γλαύκου ἵπποι καὶ μανεῖσαι διεσπάσαντο τὸν ἴδιον δεσπότην Γλαῦκον τὸν Βελλεροφόντου πατέρα ἐν τῷ ἐπιταφίῳ Πελίου. Πότνιαι δὲ πόλις Βοιωτίας, ὅθεν καὶ Γλαῦκος * * γευσάμενον * * ἐμμανὴς γέγονε καὶ ἥλατο εἰς θάλασσαν [ὁ Ἀνθηδόνιος]: — MTAB

ἀπὸ ⟨τῶν⟩ Ποτνιάδων ἵππων μετήνεγκεν, αἳ μανεῖσαι ἔφαγον τὸν Γλαῦκον: — M$^1$TB$^1$

319 ἀβάκχευτον αἳ θίασον: ἤτοι κακοβάκχευτον, τὸν κακὴν ἔχοντα βακχείαν οὐ πρέπουσαν τῷ Διονύσῳ, ἀλλ' ἐν θρήνοις καὶ γόοις ἐξεταζομένην. ἢ παρόσον ἄοινα καὶ νηφάλια ταῖς θεαῖς ταύταις τὰ ἱερὰ συντελεῖται. ἢ τὸν μεγάλως ἐκβακχεύοντα: — MTAB

321 μελάγχρωτες: μέλαιναι· χθόνιαι γάρ εἰσιν. ἢ μελαίνουσαι τοὺς νοσοῦντας. ὡς καὶ πρὸς τὸν Μενέλαον Ὀρέστης φησὶν [408]· 'ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας': — MTAB

322 ταναὸν αἰθέρα: ἀνὰ τὸν αἰθέρα πάλλεσθε πτερωταὶ οὖσαι. Ὅμηρος [I 571]· 'ἠεροφοῖτις Ἐρινύς': — MTAB

---

1—6 et. m. p. 685,40 Ποτνιάδες θεαί: αἱ μανιοποιοί. Εὐριπίδης Ὀρέστῃ περὶ τῶν Ἐρινύων. Πότνιαι γὰρ χωρίον Βοιωτίας, ἔνθα φαγοῦσαι βοτάνην αἱ Γλαύκου ἵπποι τοῦ Βελλεροφόντου ⟨πατρὸς⟩ καὶ μανεῖσαι διεσπάσαντο τὸν ἴδιον δεσπότην. ἄλλως (ἀλλὰ codd.): καὶ Γλαῦκος ὁ Ἀνθηδόνιος ἁλιεὺς ἑωρακὼς ἰχθὺν παρὰ ψάμμῳ βοτάνης γευσάμενον καὶ ἀναζήσαντα φαγὼν καὶ αὐτὸς ἐμμανὴς γέγονε καὶ ἥλατο εἰς τὴν θάλασσαν. ἢ ὅτι ἀθάνατος μὲν, οὐκ ἀγήρως δὲ γεγονὼς, ἐπὶ τούτῳ ἑαυτὸν κατεπόντισεν. Tzetz. ad Lycophr. p. 769. cf. schol. Phoen. 1124 Hyg. 250. 273 Philarg. et Serv. ad Verg. Georg. III 267 Prob. ad Verg. Georg. p. 62 Keil. Paus. VI 20,19 Nicand. ap. Ath. VII p. 297a Ouid. met. XIII 944 sq. scholio quod praecedit adi. B add. δὲ post Ποτνιάδες 1 χωρά A 2 γλαυκοσ A 4 Πελίου] ὀρπεδίου A πότνια MT ποτνιάδεσ A δὲ] οὖν B πόλις om. A Πότνιαι — ὅθεν postea interpolata cum Glauci Anthedonii fabulam historiae Glauci Potniei non apte additam adsimilatamque esse non iam intellegeretur 4. 5 γευσάμενοσ MTA spatio relicto om. B 5 ἐκμανεὶσ T ante ὁ ins. ὡσ T ὁ om. spatio relicto B ὁ Ἀνθηδόνιος ex eis quae in lacuna interierunt in hunc locum delata 7 ἀπὸ ποτνιάδων M$^1$B$^1$ ἀποτνιάδων T μανῆσαι M$^1$ 9 τὸ MT 11 ἄοιν M ταῦτα A 13—15 scholio quod praecedit adi. B add. δὲ post μελάγχρωτες 13 ante χθόνιοι ins. οὐ M οὐ T 13. 14 μελαίνουσι M 14 ὁ ὀρέστησ A 15 ἔδοξεν MT προσφορεῖσ M κόρας om. B 16 πάλλεσθαι πτερωταῖσ οὔσαισ A 17 καὶ ὅμηρος A ἱεροφοῖτισ M

ταναὸν αἰθέρα: τὸν λεπτομερῆ, τροπικῶς· τὰ γὰρ τεινόμενα τῶν σωμάτων λεπτύνεται. τὸ ἀμπάλλεσθε ὡς ἀνακινουσῶν αὐτῶν τὸν ἀέρα ἐμφαντικῶς, τουτέστιν· ἀναπάλλεσθε τοῖς πτεροῖς, κατὰ τὸν Ὁμηρικὸν [Ν 18] Ποσειδῶνα τὸν σείοντα τοῖς ποσὶ καὶ τῇ πορείᾳ τὸ ὄρος: — MTAB

323 τιμωρίαν λαμβάνουσαι ὑπὲρ αἵματος καὶ φόνου: — M$^{1}$TAB

327 τῆς λύσσης τῆς καὶ μαίνεσθαι ποιούσης ⟨καὶ⟩ φοιτᾶν, ὅ ἐστι περιϊέναι: — M$^{1}$

λύσσα καὶ μανία καὶ φοῖτος ἕν ἐστιν: — M$^{1}$B$^{1}$

τὸ φεῦ μόχθων καθ' ἑαυτό. τουτέστι· δυστυχὴς ἐστι χάριν τῶν μόχθων: — M$^{1}$B

τοῦτο κατ' ἰδίαν ἀναπεφώνηται. ἢ τὸ φεῦ συντέτακται, ἵν' ᾖ· φεῦ [ἰὼ Ζεῦ] οἵων μόχθων ὁ τάλας ὀρεχθεὶς ἔρρεις: — MT

328 ἐπιθυμήσας· ἐκτείνεται γὰρ τὴν διάνοιαν ὁ ἐπιθυμῶν: — MM$^{g}$TAB

πρὸς αὐτὸν ἀπέτεινε τὸν λόγον· οἵων πραγμάτων ὁ τάλας ἐπιθυμήσας· λέγει δὲ τοῦ φόνου τοῦ κατὰ τῆς μητρός· οἴχῃ καὶ διέφθαρσαι ἀπὸ τοῦ τρίποδος δεξάμενος τὴν μαντείαν, ἣν ὁ Φοῖβος ἔλακεν: — MTB

329 † ἀπόφατιν: ἀντὶ τοῦ ἀπόφασιν πρόσταξιν: — TA$^{g}$B$^{1}$

330 † κατ' ἐκεῖνο τὸ δάπεδον: — TB$^{1}$

331 † ἵνα μεσόμφαλοι λέγονται: ἡ Δῆλος γὰρ μεσαιτάτη ἐστὶ τοῦ παντὸς κόσμου. ἢ τῶν Κυκλάδων νήσων. ἢ παρὰ τὰς ὀμφὰς καὶ τὰς φήμας: — TAB

---

1—5 scholio quod praecedit adi. B add. δὲ post ταναὸν  1 τροπικῶς] μεταφορικῶς A  τινόμενα M  2 τὸ δὲ B  τὸ ἀμπάλλεσθε] ἐμφαντικῶς τὸν αἰθέρα ἀμπάλλεσθαι A  ἀνακινοῦσιν αὐτὸν MTB  3 ἐμφαντικῶς — ἀναπάλλεσθε om. A  4 ὅμηρον A  σείοντα — πορείᾳ] εἰπόντα καὶ πορεία τοῖς ποσὶ σείοντα A  6 initio add. καὶ τὸ τινύμεναι δίκαν ἀντὶ τοῦ B  ὑπὲρ τοῦ T  7 τῆς καὶ] καὶ τοῦ M$^{1}$  ποιοῦσαι M$^{1}$  9 scholio quod sequitur adi. M$^{1}$ add. δὲ post λύσσα  10 καὶ χάριν M$^{1}$  12 ἀναπεφώνηκεν M  14 bis habet T  ἐκτείνονται M$^{g}$A  ὁ γὰρ ἐπιθυμῶν ante ἐκτείνεται coll. B$^{1}$  γὰρ] ὥσπερ B$^{1}$  ὁ ἐπιθυμῶν τ. δ. T$^{a}$  οἱ ἐπιθυμοῦντες M$^{g}$A in fine add. πρὸς τὸ ποθούμενον B$^{1}$  16 initio add. ὡς TB  ἀποτίνει T  τὸν λόγον om. T  ὁ] ὦ T σὺ ὁ B  17 ὤχῃ M  διεφθάρης T  18 τοῦ om. M  19 scholio 14 adi. B$^{1}$ add. δὲ post ἀπόφατιν  ἀντὶ τοῦ om. A$^{g}$B$^{1}$  20 scholio quod praecedit adi. TB$^{1}$  πέδον B$^{1}$  21—23 post scholion p. 132,1—7 coll. B praefixo ἄλλως  21 μεσαίτατον A  22 παντὸς τοῦ A  ἢ (prius)] καὶ A  22. 23 ἢ — φήμας om. A  22 παρὰ τὸ τὰς T

ἵνα μεσόμφαλοι λέγονται: ὀμφαλὸς κέκληται ἡ Πυθὼ παρὰ τὰς ὀμφὰς τὰς ὑπὸ τοῦ θεοῦ χρηστηριαζομένας. ἢ παρὰ τὸ εἶναι ἐν μέσῳ τῆς οἰκουμένης τὴν Πυθώ. λέγεται γὰρ τὸν Δία μαθεῖν βουλόμενον τὸ μέσον τῆς γῆς δύο ἀετοὺς ἰσοταχεῖς ἀφεῖναι, τὸν μὲν ἀπὸ δύσεως, τὸν δὲ ἀπὸ ἀνατολῆς, καὶ ἐκεῖσε αὐτοὺς ἀπαντῆσαι, ὅθεν ὀμφαλὸς ἐκλήθη. ἀνακεῖσθαί τε χρυσοῦς ἀετούς φασι τῶν μυθευομένων ἀετῶν ὑπομνήματα: — MTAB

332 ἰὼ Ζεῦ: πρὸς τὸ ἄνω τοῦτο σχετλιαστικῶς μετὰ ἤθους ἀναπεφώνηται: — MT

333 τὸ δεύτερον τίς ἀντὶ τοῦ οὐδείς: — M[g]

τίς ἔλεος: εἰς τὸ τίς ἔλεος στιγμὴν δεδωκότες λείπειν τῷ λόγῳ φήσομεν τὸ γενήσεται καὶ τὸ ἄλλο τίς ἀντὶ τοῦ οὐδείς, ἵν' ᾖ ὁ νοῦς οὕτως· τίς ἔλεος γενήσεται, ἀντὶ τοῦ· τίς ἐλεήσει σε, Ὀρέστα: — MTAB

ἄλλως: τίς ἄρα, φησί, τοῦτον ἐλεήσει, τίς δὲ ὁ κίνδυνος οὗτος καὶ ἡ μανιώδης νόσος ἐπέρχεται ἐπὶ σὲ τὸν μέλεον, ταχύνων σε καὶ ἐξεγείρων. τουτέστιν· ἆρα δαίμων τις ἐπιπέμπει τούτῳ τὰς Ἐρινύας: — MTAB

ἢ καὶ ἄλλως: τίς ἐλεήσει αὐτόν· ἔξωθεν ἀκουσόμεθα τὸ οὐδείς. διὰ τί· οὗτος γὰρ αὐτῷ ὁ κίνδυνος, ὁ ἐκ τῶν Ἐρινύων, ἐπέρχεται φόνιος, μεθ' ὁρμῆς φερόμενος ἐπὶ σὲ τὸν μέλεον: — MTB

ἄλλως: τίς ἔλεός ἐστι τούτῳ τῷ Ὀρέστῃ, τίς, ὦ Ζεῦ, ᾧ δάκρυα δάκρυσι συμβάλλεταί τις ἀλάστωρ, πορεύων εἰς δόμους, ἀντὶ τοῦ περιέλκων αὐτὸν τῇ μανίᾳ [καὶ ἀναβακχεύων] κατὰ τὸν οἶκον, ὅστις, ὁ ἀλάστωρ, ἀνεγείρει τὸ αἷμα τῆς μητρός: — MTAB

---

1—7 scholio p. 131,16—18 adi. B add. δὲ post ὀμφαλὸς  1—3 ὀμφαλὸς — Πυθώ] ἢ ὀμφαλὸν τὴν πυθὼ λέγειν A, ubi haec scholio p. 131,21—23 adiuncta sunt, sed infra post ἀπαντῆσαι (5) habet ὀμφαλὸσ δὲ κέκληται ἡ πυθὼ παρὰ τὸ ὀμφὰσ τὰσ ὑπὸ θεοῦ χρηστηριαζομένασ A  1 πυθῶν M  παρὰ τὸ τὰσ MB παρὰ τὸ T  2 τὰς om. M  τοῦ om. B  post χρηστηριαζομένας add. λέγειν B  2—7 schol. Pind. Pyth. IV 6 schol. Soph. O. T. 480 cf. Strab. IX p. 420 Paus. X 16,3 Plut. de def. orac. p. 409 F Claudian. XVI 11  2 εἶναι om. T  3 τὴν Πυθώ om. B  4 ἀφεῖναι ἰσοταχεῖσ A  ἀφιέναι MT  5 συναντῆσαι B  5—7 ὅθεν — ὑπομνήματα] om. A  8 τοῦτο om. M  σχετλιαστικὸν MT  11. 12 εἰς — φήσομεν] λείπει A  11 στιγμὴ M  12 καὶ — οὐδείς om. A  13 οὕτως — τοῦ om. A  post γενήσεται add. τῶι ὀρέστηι B  14 ἄλλως — ἐλεήσει om. A  15 σε om. A  16 τουτέστιν — Ἐρινύας om. A  δαίμων ἆρα M  18 ἐκ om. T  ἔρχεται B  20 τίς ὦ Ζεῦ om. B  21 ἀλαστόρων A  post δόμους add. αὐτὸν A  21. 22 ἕλκων B  22 αὐτῷ T om. A  post μανίᾳ ins. τὸ γὰρ πορεύων δηλοῖ τὸ περιέλκον αὐτὸν τῇ μανίᾳ T  ἀναβακχεύω A  τῶν οἴκων A  ὁ om. TAB  22. 23 ἀλαστόρων A  23 ἐγείρει MTB

† ἄλλως: τίς ἔλεός ἐστι τούτῳ, ᾧ δάκρυα ἐπιβάλλει τις τῶν ἀλαστόρων δαιμόνων, τὸ αἷμα τῆς μητρός πορεύεσθαι καὶ διατρέχειν αὐτὸν κατὰ τὸν οἶκον ποιοῦν. τινὲς δὲ ἤκουσαν εἰς ἀλαστόρων δόμον ἀντὶ τοῦ εἰς Ἅιδου, εἰς τὸν οἶκον τῶν ἀλαστόρων· καὶ τίς δὲ ἡ νόσος πορεύεσθαι αὐτὸν ποιοῦσα εἰς Ἅιδου. ἡ δὲ περικοπή· οἵων μόχθων ἐπιθυμήσας, ὦ τάλας, διέφθαρσαι, δεξάμενος ἀπὸ τοῦ τρίποδος τὴν μαντείαν, ἣν ὁ Ἀπόλλων εἶπε κατὰ τοὺς Δελφούς, ἔνθα γῆς ὀμφαλὸς λέγεται. τίς ἐλεήσει αὐτόν, ὦ Ζεῦ· τί· οὗτος γὰρ αὐτῷ ὁ ἀγὼν ἐκ τῶν Ἐρινύων ἐπέρχεται διὰ τὸν τῆς μητρὸς φόνον, μεθ' ὁρμῆς φερόμενος ἐπὶ σὲ τὸν μέλεον. μετέβαλε δὲ ἀπὸ τοῦ περὶ αὐτοῦ λόγου εἰς τὸν πρὸς αὐτόν: — TB

τίς ὅδ' ἀγὼν ⟨φόνιος⟩ ἔρχεται ἕως τοῦ ματέρος αἷμα σᾶς ⟨ὅ σ'⟩ ἀναβακχεύει: τὸ ἑξῆς· τίς φόνιος οὗτος ἀγών, ματέρος αἷμα σᾶς ὅ σε ἀναβακχεύει, ἔρχεται θοάζων σε τὸν μέλεον, ᾧτινι, τῷ ἀγῶνι, δάκρυα δάκρυσι συμμίσγει τις τῶν ἀλαστόρων μαίνεσθαί σε ποιῶν κατὰ τοὺς οἴκους: — M[1]TA

335 θοάζων: ἐπιδιώκων ταχύνων διεγείρων ἐκμαίνων. 'κῆτος θοάζον' Ἀνδρομέδᾳ [frg. 949]: — MTB[i]

ᾧ δάκρυα δάκρυσι: συνάγει καὶ συμμίσγει ἐπάλληλα δάκρυα. Ὅμηρος [Δ 453]· 'συμβάλλετον ὄμβριμον ὕδωρ'. ἢ συνάπτει, ἵνα ᾖ ἡ μεταφορὰ ἀπὸ τῶν συμβαλλόντων τοῖς σχοινίοις ἕτερα καὶ ἐπιμηκέστερα ποιούντων, οἷον· ἐπὶ τοῖς δάκρυσι συνάπτει δάκρυα. Ἀριστοφάνης [Pac. 37]· 'ὥσπερ οἱ ⟨τὰ⟩ σχοινία συμβάλλοντες εἰς τὰς ὁλκάδας': — MTAB

---

1—11 horum loco scholio quod praecedit haec adi. τινὲς δὲ ἤκουσαν εἰς ἀλαστόρων δόμον ἀντὶ τοῦ εἰς ᾅδου πορεύεσθαι αὐτῷ ποιεῖ εἰς τοὺς καταχθονίους A 1 τούτωι τῶι ὀρέστηι B 2 διατρέχων αὐτὸ T 3 ποιεῖ T εἰς] τὸ B 5 οἷον T 8 τί οὗτος T τοιοῦτος B 9 τὸν om. T post ὁρμῆς add. δὲ B φερομένη T 12—16 bis scripsit T 13 τὸ ἑξῆς om. T[a] τίς ὅδ' ἀγὼν φόνιος A τίς οὗτος σε φόνιος ἀγὼν T[a] 13. 14 ματέρος - ἀναβακχεύει om. AT[a] 13 ὅ σε] ὅτι M[1]T 14 σε τὸν om. AT[a] τῷ om. A 15 συνεισάγει AT[a] τις om. AT[a] 15. 16 μαίνεσθαι — οἴκους] ματέρος αἷμα σᾶς ὅς ἀνακινεῖ πορεῦον καὶ μαίνεσθαι κατὰ τοὺς δόμους A αἷμα σᾶς ὅς ἀναβακχεύων καὶ ἀνακινεῖ πορεύων καὶ σημαίνεσθαι κατὰ τοὺς δόμους T[a] 15 σε] σοι T ex σοι corr. M 17. 18 scholio p. 132, 17—19 adi. MT add. δὲ post θοάζων 18 θοάζων MTB[i] ἀνδρομέδη T 19 ἄγει MTA ἀλλεπάλληλα δακρύων A 20—22 Ὅμηρος — ποιούντων om. A 20 καὶ ὅμηρος M ὄβριμον B 21 ἔτε M 21. 22 καὶ — ἐπὶ om. M 21 καὶ om. T 22 συνάπτειν T 22. 23 Ἀριστοφάνης — ὁλκάδας om. A 23 οἱ om. B

ᾧ δάκρυα: ᾧ, τῷ Ὀρέστῃ, δάκρυα δαίμων τις κακὸς ἀλλεπάλληλα συνάπτει δίκην τοῦ αἵματος τῆς μητρὸς αὐτοῦ εἰσπραττόμενος: — M'T

337 † εἰς δόμους ἀλαστόρων: ἀντὶ τοῦ εἰς δόμους τοῦ Ἅιδου τὴν σὴν μητέρα ἢ σέ, τὸν Ὀρέστην: — A

338 ὅ σ' ἀναβακχεύει: διχῶς στίζουσιν. ἀποδίδοται οὖν πρὸς μὲν τὴν πρώτην στιγμήν· τίς οὗτος φόνιος ἔρχεται ἀγών, ᾧ, ἀγῶνι, δάκρυα δάκρυσι συμμίσγει καὶ συμβάλλει τις τῶν ἀλαστόρων πορεύεσθαι ποιῶν τὸ αἷμα τῆς σῆς μητρὸς εἰς τοὺς οἴκους καὶ μὴ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον, [ἢ] ὅ σε, τὸ αἷμα δηλονότι, ἀναβακχεύει καὶ μαίνεσθαι ποιεῖ. πρὸς δὲ τὴν δευτέραν στιγμὴν οὕτως· τίς οὗτος ἔρχεται φόνιος ἀγών, ⟨ᾧ, τῷ ἀγῶνι,⟩ δάκρυα δάκρυσι συμμίσγει τις τῶν ἀλαστόρων, ὅς σε ἀναβακχεύει πορεύων καὶ περιέλκων ματέρος αἷμα σᾶς, ὅ ἐστιν· ἀνακινῶν τὸ αἷμα τῆς μητρός σου κατὰ τοὺς οἴκους καὶ μὴ ἠρεμεῖν αὐτὸ ἐῶν ἀτιμώρητον: — MTB

ὅ σ' ἀναβακχεύει: τινὲς στίζουσιν εἰς τὸ ὅ σ' ἀναβακχεύει, ἵν' ᾖ ὅπερ σε, τὸ αἷμα. γράφεται δὲ καὶ ὅς σε ἀναβακχεύει, ἀλάστωρ ⟨ὅς⟩ σε ἀνακινεῖ καὶ μαίνεσθαι ποιεῖ: — M'T

† ὅ σ' ἀναβακχεύει: τουτέστιν· ὅπερ, ⟨τὸ αἷμα⟩ τῆς μητρός, ἀναβακχεύει σε καὶ μαίνεσθαι ποιεῖ. ἢ ὅστις ἀλαστόρων ἀνακινεῖ τὸ αἷμα τῆς μητρός σου μὴ ἐῶν αὐτὸ ἠρεμεῖν ἀτιμώρητον: — B

340 ὁ μέγας ὄλβος: περισσὸν τὸ ἓν ὡς: — M'TA

οὐ μόνιμος ὁ μέγας ὄλβος. κατέκλυσε γὰρ αὐτὸν δαίμων τις, ὡσεὶ λαῖφος ἀκάτου θοᾶς τινάξας κατέκλυσε τοῖς ὀλεθρίοις καὶ λάβροις κύμασι πόντου. τὸ δὲ δεινῶν πόνων ἐν μέσῳ ἀναπεφώνηται. ἢ οὕτως· ὡς δὲ πόντου λάβροις ὀλεθρίοις ἐν κύμασι δαίμων τις ἀκάτου θοᾶς λαῖ-

---

5 διχὸσ M  post στίζουσιν ins. ὡσ ἀναβακχεύει M ὅσ ἀναβακχεύει T  7. 8 ποιῶν πορεύεσθαι B  8 σῆσ om. B  9 ὅ] ὅσ M  δηλονότι om. B  10 οὕτως· τίς οὗτος] ὅτι τοσοῦτον MTB  12 χορεύων T  13. 14 οὐκ ἐῶν αὐτὸ ἠρεμεῖν B  14 ἐῶν] εἶναι MT  22 — p. 135,2 scholio quod praecedit adi. MTA add. καὶ ἔσται ὁ λόγοσ M καὶ ἔσται λόγοσ T ὁ δὲ λόγοσ A  22 κατέλυσεν MT  τίσ αὐτὸν δαίμων M  23 κατέκλεισε T κατέκλυσεν ἐν M  24 — p. 135,2 horum loco habet οὕτωσ καὶ τὸν ὄλβον κατέκλυσε τινάξασ ὑπὸ δεινῶν πόνων (= p. 135,1. 2) ὅσον γὰρ δύναται πνεῦμα κατὰ νηὸσ ἐν θαλάσση τοσοῦτον ἄνθρωπον ἡ τύχη: — (= p. 135,5. 6) ἄλλως: ὡσ ἐν πόντου λάβροισ ὀλεθρίοισ ἐν κύμασι δαίμων τίσ ἀκάτου θοᾶσ λαῖφοσ κατέκλυσεν οὕτωσ καὶ τὸν μέγαν ὄλβον κατέκλυσε τινάξασ ὑπὸ δεινῶν πόνων: — (= 25 — p. 135,2) A

φος κατέκλυσεν, οὕτως καὶ τὸν μέγαν ὄλβον κατέκλυσε τινάξας ὑπὸ δεινῶν πόνων: — M[1]TAB

341 ἀνὰ δὲ λαῖφος: ἀνατινάξας δέ τις δαίμων τὸν ὄλβον κατέκλυσεν αὐτὸν καὶ κατεπόντισεν, ὡς ἀκάτου θοᾶς λαῖφος πόντου λάβροις ὀλεθρίοις κύμασιν. ὅσον γὰρ δύναται πνεῦμα κατὰ νηὸς ἐν θαλάσσῃ, τοσοῦτον κατὰ τὸν βίον τῶν ἀνθρώπων ἡ τύχη: — MTAB

343 κατέκλυσεν δεινῶν: κλύζεσθαι παρεσκεύασεν. ἄστατον ὄντα ὑπὸ τῶν δεινῶν πόνων, τουτέστιν ἔργων. Ὅμηρος [A 467]· ʻαὐτὰρ ἐπεὶ παύσαντο πόνουʼ. ὡς γὰρ κλύζεται ναῦς ἐν θαλάσσῃ, οὕτω καὶ ἡ τῶν ἀνθρώπων τύχη ὑπὸ ἀστάτων ἔργων. τὸ γὰρ τῆς τύχης ῥεῦμα μεταπίπτει ταχύ: — MTB

† ἀνὰ δὲ λαῖφος: οὕτως κλύζεσθαι δαίμων τις παρεσκεύασεν ὑπὸ ἀστάτων ἔργων, δηλονότι τὸν ὄλβον, ὡς λαῖφος ἀκάτου θοᾶς ἀνατινάξας κλύζεσθαι ἐποίησεν ἐν κύμασι πόντου λάβροις καὶ ὀλεθρίοις: — TA

† καὶ ἄλλως: ἀνατινάξας γὰρ δαίμων τις, ὅ ἐστιν ἄνωθεν ἐκ τοῦ οὐρανοῦ πέμψας, δηλονότι τὸν ὄλβον, οὕτως κλύζεσθαι ἐποίησεν ὑπὸ τῶν ἀστάτων ἔργων ὡς ναῦν ἐν κύμασι πόντου λάβροις καὶ ὀλεθρίοις. τὸ γὰρ λαῖφος ἀκάτου θοᾶς περιφραστικῶς τὴν ναῦν: — TA

345 τίνα γὰρ: ἀλγῶ οὖν, φησίν, ὡς ἐπὶ ἰδίοις κακοῖς καὶ συνυποφέρομαι τὴν τύχην. τίς γὰρ ἕτερος οἶκός ἐστι σέβεσθαι παρ' ἡμῶν ἄξιος ἢ οὗτος, ὃς ἐκ θεῶν ἔχει τὴν καταβολήν. ἀρχηγὸς γὰρ τῆς γονῆς ὁ Ζεύς, ὅστις ἐφύτευσε Τάνταλον Πλουτοῖ συνελθών: — MTAB

πρὸς τὰ ἄνω. πρὸς τὸ κατολοφύρομαι ⟨τὸ⟩ τίνα γὰρ ἔτι πάρος: — M[g]B[i]

---

1 οὕτως — κατέκλυσε om. M 3—6 scholio 15—18 adi. A 4 λάβροισ καὶ B 5 ὅσον] ὅσ M γὰρ om. MT 6 καὶ κατὰ AB ἡ τύχη τῶν ἀνθρώπων MT 7—11 scholio quod praecedit adi. B initio add. ἢ οὕτωσ post παρεσκεύασεν ins. τισ θεῶν τὸν ὄλβον B 9—11 οὕτω— ταχύ] τοσοῦτον καὶ κατὰ τὸν βίον ἡ τύχη τῶν ἀνθρώπων M 14 ἐποίησεν spatio uacuo ins. A[1] ἐν λάβροισ A 16 τῶν om. T 17 γὰρ om. T 19. 20 ἀλγῶ — τύχην om. A. referenda sunt ad vs. 339 19 ante ὡς ins. τὴν ψυχὴν MT 19. 20 συναποφέρομαι τὴν ψυχὴν MTB 20 τίνα γὰρ ἕτερον A ἕτερον in ἕτεροσ corr. A[1] οἶκοσ ἐστι spatio uacuo ins. A[1] ἐστι om. B ἡμῖν A 21 ἄξιος om. MTA ἢ οὕτωσ ὅτι ἐκ spatio uacuo ins. A[1] ὅς] ὅτι MT ἔχειν M ἔχων A καταμονὴν A ἀρχηγόσ spatio uacuo ins. A[1] 22 ὅστισ — τάνταλον spatio uacuo ins. A[1] τὸν τάνταλον T Πλουτοῖ συνελθὼν om. A 23 post ἄνω ins. καὶ κάτω M[g] κακὰ τουτέστι B[i] ὀλοφύρομαι M[g]B[i]

348 ἐν τοῖς τέλεσιν εἰώθασιν οἱ ἀπὸ τοῦ χοροῦ μεταλλάττειν φεύγοντες τὴν μονῳδίαν τοῦ λόγου: — M$^{g}$TABB$^{1}$

καὶ μὴν βασιλεύς: τὸ ἑξῆς· καὶ μὴν βασιλεὺς ὅδε δὴ στείχει Μενέλαος ἄναξ, τῶν Ταντανλιδῶν ἐξ αἵματος ὤν, πολλῇ δ' ἁβροσύνῃ δῆλος ὁρᾶσθαι: — MTB

349 ὅ ἐστι· διὰ τῆς ὄψεως ἐμφαίνει τὴν εὐγένειαν: — M$^{g}$TAB

τῇ τρυφῇ τοῦ βαδίσματος. ἢ τῆς ὄψεως: — M$^{g}$A$^{g}$

352 ὦ χιλιόναυν στρατὸν ὁρμήσας: δι' ὧν δοκεῖ αὐτὸν ἐπαινεῖν, διὰ τούτων λυπεῖ ἀναμιμνήσκουσα τῶν ἀπολομένων ἐν τῇ Τροίᾳ: — MTAB

353 εἰς γῆν Ἀσίαν: ἀπὸ τούτων αὐτὸν ἐγκωμιάζει, ἀφ' ὧν ἐμεγαλύνετο. τῷ δὲ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο· τοσαῦται γὰρ ἦσαν αἱ νῆες τῶν Ἑλλήνων, ͵αρπς: — MTAB

νεώτερον τὸ τῆς Ἀσίας ὄνομα: — AB$^{1}$

354 σύ, φησίν, οὐ μετέχεις τῆς δυστυχίας τῶν Ταντανλιδῶν: — M$^{1}$TA$^{g}$B$^{1}$

355 θεόθεν πράξας ἅπερ ηὔχου: τὸν γὰρ πόλεμον κατορθώσας ἔλαβε τὴν Ἑλένην. σὺ μὲν οὖν, φησίν, εὐτυχῶς ἀπηλλάχθης, ὁ δὲ Ὀρέστης δυστυχεῖ: — MTAB

356 ὦ δῶμα: ἀπὸ πρώτης παρόδου σημειοῦται τὸ κακόηθες τῆς γνώμης Μενελάου. καὶ γὰρ οὐδὲ εἰς Σπάρτην ἀνήχθη, ἀλλὰ πρότερον εἰς Ἄργος ὡς ἐξελάσων Ὀρέστην, ὡς ἐν τοῖς ἑξῆς δῆλός ἐστι. καίτοι παρὰ τῷ ποιητῇ εὑρίσκεται τῶν πάλαι πολεμίων φειδόμενος· ἐν γὰρ τῇ

---

1 τέλεσιν spatio relicto om. A  οἱ ἀπὸ] τί κατὰ A  μεταλλάττειν] πλάττειν τι A  1. 2 φεύγοντες—λόγου om. M$^{g}$B  2 λέγειν A  3—5 scholio quod praecedit adi. B add. δὲ post τὸ  3 ὅδε δὴ] ὧδε M ὧδε T  4 πολὺ B  6 post ἐστι ins. πολὺ δ' ἁβρότατοσ ἰδεῖν καὶ A  8. 9 scholio quod sequitur adi. A  9 μιμνήσκουσα M  ἀπολυμένων A ἀπολλυμένων MTB  εἰσ τὴν τροίαν A  12 ἐσεμνύνετο A  ἀπηρτισμένω δὲ A ἐχρήσατο ἀριθμῶι B  τοσαῦται om. A  12. 13 Eust. p. 338,35 Tzetz. antehom. 192  13 ἦσαν γὰρ A  χίλιαι πρὸσ ρπς' B  14 scholiis 11—13. 8. 9 adi. A add. δὲ post νεώτερον  16—18 scholio quod praecedit adi. B initio ita conformato τὸ δὲ θεόθεν πράξασ ἅπερ ηὔχου προσέθηκεν ἐπειδὴ  16 γὰρ om. B  17 οὖν om. B  ἀπηλάγχθησ M  18 Ὀρέστης om. A  δυστυχῶσ A  17. 18 σὺ μὲν οὖν φησιν εὐτυχῶσ ἀπηλάχθαι ὁ δὲ δυστυχῶσ habet M$^{g}$  19 ἀπὸ τῆσ A  20 οὐδὲ—πρότερον] πρότερον οὐκ εἰσ σπάρτην κατήχθη ἀλλ' A  Σπάρτην] πράπειν M  ἀνηνέχθη M  πρότεροσ M  21 ὡς om. MT  post Ὀρέστην ins. τῶν οἴκων A  ὡσ καὶ AB  καίτοι B καὶ MTA  22 παρὰ—φειδόμενος] παρ' ὁμήρω A  παρὰ—εὑρίσκεται om. B  εὑρίσκεται T  ἔρισ τούτου M  τῶν om. M  γὰρ om. A

Ζ ῥαψῳδίᾳ [37—65] κωμῳδεῖται συγχωρῶν ζῆν τὸν Ἄδραστον δόσιν χρημάτων ἐπαγγειλάμενον: — MTAB

362 ὄρος Λακωνικῆς· καὶ Ὅμηρος [γ 287]· ʻΜαλειάων ὄρος αἰπύʼ: — A[g]B[1]

363 † ὁ ναυτίλοισι: τοῖς γὰρ ναύταις οὗτος, ὅς φίλος καὶ θαλάσσῃ ἐστὶ καὶ ἰχθύσι, τὰ πεπρωμένα βάζει: — A

364 Νηρέως προφήτης: οὗτος Ἀνθηδόνιος ἁλιεύς· ἑωρακὼς δὲ ἰχθὺν παρὰ τὴν ψάμμον βοτάνης γευσάμενον καὶ ἀναζήσαντα, φαγὼν καὶ αὐτὸς γέγονεν ἀθάνατος, ἀλλʼ οὐκ ἀγήραος, ἐφʼ ᾧ κατεπόντισεν ἑαυτόν. μαντεύεται δὲ ὡς ὁ παρʼ Ὁμήρῳ [δ 365 sq.] Πρωτεὺς καὶ παρὰ Πινδάρῳ [Pyth. IV 20] Τρίτων τοῖς Ἀργοναύταις: — MTAB

367 περιπεσὼν πανυστάτοις: περισσὴ ἡ περί. καί ἐστιν ὁ νοῦς· ἀποθανών, πεσών, ἀπολωλὼς τοῖς πανυστάτοις λουτροῖς τῆς ἀλόχου. ἢ περιπεσὼν ἀντὶ τοῦ συντυχὼν τοῖς λουτροῖς τῆς ἀλόχου· λουσαμένῳ γὰρ τὸν χιτῶνα περιήγαγεν· ὡς ἐν Ἑκάβῃ [1281]· ʻκτεῖνʼ ὡς ἐν Ἄργει φόνια λουτρά σʼ ἀναμένειʼ: — MTAB

369 ἀπὸ Ναυπλίου τοῦ πατρὸς Παλαμήδους: — M[g]B[1]

370 ἤδη δάμαρτος: μέμνηται τῆς γυναικὸς οὐκ ἐν δέοντι ἔρωτι, μεγίστῳ δὲ μᾶλλον: — A

371 δοκῶν Ὀρέστην: ὕπουλα πάντα τὰ ῥήματα Μενελάου, ἀφʼ οὗ ὁ ποιητὴς τὸ ἄστατον τῆς Λακεδαιμονίων γνώμης κωμῳδεῖ, ὡς καὶ ἐν Ἀνδρομάχῃ [445 sq.]· ʻὦ πᾶσιν ἀνθρώποισιν ἔχθιστοι βροτῶν, Σπάρτης ἔνοικοι, δόλια βουλευτήριαʼ. πρὸ γὰρ Διοκλέους, ἐφʼ οὗ τὸν Ὀρέστην ἐδίδαξε, Λακεδαιμονίων πρεσβευσαμένων περὶ εἰρήνης ἀπιστήσαντες

1 ἑβδόμῃ T post κωμῳδεῖται ins. παρὰ τῶι ποιητῆι B ζῆν om. MT Ἄδραστον] ἄνδρα τὸν A 2 ἐπαγγελόμενον MA ἐπαγγελλόμενον B 3 καὶ] ἐστι τὸ μάλεον B[1] 3. 4 ὄρος αἰπύ om. A[g] 5 ὅς] ὡσ A 7—11 Tzetz. ad Lycophr. p. 769 cf. Paus. IX 22,7 schol. Apoll. I 1310 schol. Lycophr. 754 Serv. ad Verg. Aen. V 823 Georg. I 437 Alex. Aet. ap. Ath. VII p. 296 e 7 ἦν ἁλιεὺσ A 8 τὴν om. A βοτάνην MT 9 ἀγήρατοσ A ἐφʼ— ἑαυτόν om. A 10 ὁ om. A 11 τρίτοσ M τρίτον T τρι^{π} A ἀργαιτ.. M 12 initio add. ἢ T 13 ἀποθανὼν — ἀπολωλὼς om. B sed post ἀλόχου add. πεσών· ὅ ἐστιν ἀπολωλῶσ 14 ἢ — ἀλόχου om. A 15 γὰρ τὸν om. M post γὰρ add. ἀγαμέμνονι B προσήγαγεν TA προσήνεγκεν B ὡς] καὶ A post Ἑκάβῃ add. φησι AB κτεῖνʼ om. A 16 λουτρά σʼ] λουτρʼ T λουτρά σʼ ἀναμένει om. B σʼ ἀναμένει om. M 19 δὲ om. A 21 ἐκωμώδει MTA 22 ὦ] ὡσ MTA 23 ἀφʼ A 24 πρεσβευσάμενοσ A

Ἀθηναῖοι οὐ προσήκαντο, ἐπὶ ἄρχοντος Θεοπόμπου [ὅ ἐστι πρὸ Διοκλέους]. οὕτως ἱστορεῖ Φιλόχορος [frg. 117]: — MTAB

372 ἀντὶ τοῦ περιλαβεῖν: — M[g]

373 ὡς εὐτυχοῦντας: εἰώθασιν οἱ ἄνθρωποι τὰς τῶν ἐχθρῶν ἀτυχίας εὐτελεῖς λογίζεσθαι βουλόμενοι μέχρι θανάτου τὴν ἀτυχίαν αὐτοῖς προκόπτειν. καὶ ὁ Μενέλαος τοίνυν ἔφεδρος ὢν τῇ τοῦ Ὀρέστου ἀρχῇ μόνον τὸ ζῆν αὐτὸν εὐτυχίαν ὁρίζεται: — MTAB

ἄλλως: τὰ κατὰ τὸν Ἀγαμέμνονα ἠπιστάμην καὶ τὸν ἐκείνου θάνατον ἐδάκρυσα. ἐλπίζων δὲ περιπτύσσεσθαι τὸν Ὀρέστην καὶ τὴν μητέρα ὡς σῳζομένους, παρ' ἐλπίδας ἤκουσα τῆς Κλυταιμνήστρας τὸν θάνατον. τὸ γὰρ εὐτυχοῦντας ἀντὶ τοῦ σώους καὶ ὑγιεῖς: — MTAB

τὸ εὐτυχοῦντας κακοήθως: — MT

τῶν ἁλιέων, ἀπὸ τοῦ κτυπεῖν ταῖς κώπαις. ἢ τῶν ναυτῶν: — M[1]B[1]

374 δέον εἰπεῖν εὐσεβῆ φόνον, κακοήθως ἀνόσιον καὶ ἀσεβῆ φόνον καλεῖ τὴν τιμωρίαν Κλυταιμνήστρας: — TB[i]

γράφεται θυγατρός: — M[g]

375 ἀντὶ τοῦ· ὅπου ἐστὶν ὁ Ἀγαμέμνονος γόνος: — M[g]

376 ὃς τὰ δείν' ἔτλη: καὶ ἐκ τούτου δῆλός ἐστιν ὁ Μενέλαος πονηρῶς ταῦτα λέγων. δέον γὰρ εἰπεῖν· ὃς ἤμυνε τῷ πατρί, φησίν· ὃς τὰ δεινὰ εἰργάσατο κακά: — MTB[i]

380 † ἢ περὶ οὗ ἐρωτᾷς, ἢ ὃν ὁρᾷς. εἴρηται γὰρ ἡ ὄψις ἱστορία, ὡς ἂν εἴποιμεν· ἱστόρησα τὴν πόλιν: — TB[i]

382 πρωτόλεια θιγγάνω: ἀντὶ τοῦ πρὸ πάντων σε λιτανεύω καὶ ταύτην πρώτην ἱκεσίαν ἐπὶ σὲ ποιοῦμαι οὐπώποτέ τινα ἄλλον ἱκετεύσας. πρωτόλεια δὲ κυρίως ἡ τῆς λείας ἀπαρχή· νῦν δὲ πρωτόλειά φησι τῆς ἱκεσίας τὴν ἀπαρχήν. καταχρηστικῶς γὰρ πρωτόλεια πάντα τὰ πρῶτά φασιν: — MTB

---

1 Ἀθηναῖοι om. A   1. 2 ἐπὶ—οὕτως om. A   1 ὅ ἐστι] ὅσ ἦν B   2 οὗ των M ὡσ B   4 εἰώθαμεν A εἰώθασι μὲν M   5 αὐτῶν TAB   6 ἐφεδρεύων AB   8 ἄλλως] ἀλλὰ MTAB   τοῦ ἀγαμέμνονοσ A   9 περιπτύσσεσθαι post μητέρα coll. A   10 παρ' ἐλπίδας] καὶ A   10. 11 τὸν θάνατον] ἀνόσιον φόνον A   11 τὸ—ὑγιεῖς om. A   12 scholio quod praecedit adi. MT   horum loco habet κακοήθωσ ὡσ ὑγιῶσ ἔχοντασ A   13 initio om. τῶν B[i]   19 δέον] δὲ M   20 εἴργασται MB[i] καλά M   21 οὗ] ὃν T   23 ἀντὶ—πάντων] ἀντιπροσωπούντων T   24 σοῦ B   25—27 cf Hesych. προτέλειαι αἱ ἀπαρχαὶ κυρίως μὲν τῆς λείας ἤγουν τῆς αἰχμαλωσίας· καταχρηστικῶς πᾶσα ἀπαρχή. et. m. p. 693,11 .... δηλοῖ δὲ ⟨πάσας⟩ τὰς ἀπαρχάς. Gud. p. 434,30 πρωτόλειον ἡ ἀπαρχή· τοῦτο δὲ ἐξ ἀπολείποντος καὶ τελείου. Suid. πρωτόλειον ἀπαρχήν   26 γὰρ] δὲ T   27 φησὶ ante πάντα coll. B   φησι MTB

ἀντὶ τοῦ πρῶτον, σύνθετον ἀντὶ ἁπλοῦ: — M$^{g}$B$^{1}$

† τῶν σῶν δὲ γονάτων πρωτόλεια: πρωτόλειον μὲν κυρίως λέγεται τὸ ἀπὸ τῆς λείας ἐξαίρετον, τὸ ἀνατιθέμενον τῷ θεῷ· ἐνταῦθα δὲ τὸ πρωτόλειον ὡς ἐπίρρημα ἐδέξατο ἀντὶ τοῦ κατὰ πρῶτον λόγον ἢ πρωτοτύπως: — A

383 ἱκέτης ἀφύλλου στόματος: ἀντὶ τοῦ ἄνευ στεμμάτων: — MTA

τὴν φυλλάδα ἱκετεύοντες προέτεινον, ὡς παρ' Ὁμήρῳ [A 14] ὁ Χρύσης 'στέμματ' ἔχων ἐν χερσίν'. κέκληται δὲ φυλλάς, ἐπεὶ ἐκ φύλλων ἤτοι ἐλαίας ἢ δάφνης [ἤ, ὥς τινες, τὸ ἐκ τούτων ἄνθος] ἐστί, καὶ ταύτην τῶν γονάτων ἐξάπτουσι τῶν ἱκετευομένων. ἐπεὶ οὖν ἔθος ἐστὶ τοῖς ἱκετεύουσι φυλλάδα προτείνειν, τοῦτο δὲ νῦν οὐ πάρεστι, διὰ τοῦτό φησι τὴν ἐκ στόματος καὶ λόγων μόνων ἱκεσίαν ποιεῖσθαι. τὸ δὲ ἐξάπτων ἔφη παρόσον οὓς ἱκέτευον, τούτοις παρετίθεσαν τὰς ἱκετηρίας. Ἀχαιὸς Ἀζᾶσι [frg. 2]· 'νῦν οὖν ἡμεῖς ἱκέται * * θαλλούς τε θεῶν † τε σέβας τίθεμεν πρὸ ποδῶν τῶν σῶν λῆξαι τῆς ἀστερόπου Ζηνὸς θυσίας'. τινὲς δὲ ἀφύλλου στόματος ἤκουσαν τοῦ κατεξηραμμένου διὰ τὴν νόσον [ἀντὶ τοῦ ἄνευ ἱκετηρίας] ἀπὸ μεταφορᾶς τῶν δένδρων, ἅτινα μὴ ἔχοντα φύλλα ὡς ἐπὶ πολὺ ξηρὰ εὑρίσκεται: — MTAB

† ἀφύλλου στόματος ἐξάπτων λιτάς: τὸ ἀφύλλους λιτὰς ἐνταῦθα εἰς τιμὴν τοῦ Μενελάου Ὀρέστης εἶπε ταῖς μεγίσταις τιμαῖς βιάζων ἐκεῖνον γενέσθαι αὐτῷ εἰς βοηθόν. οἱ γὰρ ποιούμενοι τὰς λιτὰς πρὸς τὸ θεῖον ἀεὶ κλάδους ἐπεφέροντο νεωστὶ δρεφθέντας ἐκ δένδρων καὶ θάλλοντας καὶ φύλλων κομῶντας καὶ εἰρίοις πολυχρόοις ἀναδεδεμένους, οὓς καὶ εἰρεσιώνας ἐκάλουν. τρόπον οὖν τινα ταῦτα λέγει ὁ Ὀρέστης πρὸς τὸν Μενέλαον ὅτι ἔδει τὰς λιτὰς ὡς θεῷ σοι προσαγαγεῖν

---

6 ἀντὶ τοῦ om. A  στέμματοσ A  8—19 scholio quod praecedit adi. MTA, add. γὰρ post τὴν A  8 initio add. ἀφύλλου δὲ στόματοσ ὅτι B  ὡς] καὶ A  ὁ om. A  9—11 ἐν χερσὶν—ἱκετευομένων om. A  9 post χερσὶν add. $\overset{η}{ἐκ}$ B  ante κέκληται add. ἢ MTB  δὲ] δὲ καὶ M om. B  9. 10 εἰσ φύλλον MT  10 ἐκ] εἰσ M  10. 11 ἐστί—ταύτην om. B  11 ἐστὶ om. A  12 τούτω δὲ MTB τὸν τῶνδε A corr. Dindorf  13 τὴν] τῶν A  καὶ om. A  μόνον A  13—17 τὸ—θυσίας om. A  13 δὲ om. M  14 οἷσ M  παρεπίθεσαν M  15 Ἀχαιὸς Ἀζᾶσι om. M  θῶν M  16 τε σέβας] γέρασ Arsenius  ἀστερόπου MB ἀστεροπῆσ T  17 στόματος ἤκουσαν om. A  19 ὡς—πολὺ om. A  τὸ πολὺ B  εὑρίσκονται A  23 δρεσθέντασ A

μετὰ κλάδων, νῦν δὲ διὰ τὸ μὴ δύνασθαι τοῦτο, ἐπειδὴ πανταχόθεν εἰλοῦμαι παγχάλκοις ὅπλοις καὶ κωλύομαι, τὰς ἐκ στόματος προαγομένας ταύτας προσάγω: — A

385 τίνα ἐκ τῶν νεκρῶν βλέπω: — M[g]

386 εὖ γ' εἶπας: καλῶς με νεκρὸν ἐκάλεσας· οὐ γὰρ ζῶ ὑπὸ τῶν κακῶν. ὅσον ἥκει εἰς τὰ κακά, ⟨οὐ⟩ ζῶ: — MTB[1]

390 τὸ σῶμα φροῦδον: ἀντὶ τοῦ εἰς ὄνομα μόνον λείπεται τὰ ἐμά. καὶ εἰς ὄνομα μόνον λείπεται τὰ κατ' ἐμέ, ἐπεὶ τὸ σῶμα ἅπαν μοι φροῦδον γέγονεν: — MTA

392 ὅδ' εἰμὶ μητρός: ἤτοι ὅτι μετανοεῖ ἀνελὼν αὐτήν, ταλαίπωρόν φησιν· οὐ γὰρ πρὸ πράξεως καὶ μετὰ τὴν πρᾶξιν οἱ αὐτοὶ τυγχάνομεν· ἢ προσαγόμενος αὐτὸν εἰς ἔλεον διὰ τοῦ καθομολογεῖν τὴν ἀνοσίαν ἑαυτοῦ πρᾶξιν· ἢ ὑπομιμνήσκων αὐτὸν ὅτι ἔκδικος τοῦ πατρὸς ὑπάρχει. τὸ δὲ ταλαίπωρος παρὰ τὴν πώρην, ὃ δηλοῖ τὸ πένθος. Ἀντίμαχος [frg. 58]· 'πωρητὺν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος', ἀντὶ τοῦ πένθος: — MTAB

393 φείδου δ' ὀλιγάκις λέγειν κακά: λείπει τὸ ὥστε· ἤκουσα, ὥστε φείδου λέγειν τὰ κακά. οἷον· παραιτοῦ τὰ κακὰ πολλάκις λέγειν. ὀλιγάκις δὲ ἀντὶ τοῦ οὐδ' ὅλως, ὡς τὸ 'ἦ ὀλίγον οἱ παῖδα ἐοικότα γείνατο Τυδεύς' [E 800]: — MTAB

---

2 κωλυόμενοσ A τοῦ—προαγομένου A 5 ὠνόμασασ B[1] οὐ] οὕτωσ T ζῶν T 6 ἧκεν MTB[1] 8 λείπετε M σαλεύει A πᾶν A 9 γεγονόσ A 10—12 ἤτοι—διὰ τοῦ spatio uacuo ins. A[1] 10 μετανοεῖ ἀνελὼν] ἀνεῖλεν A[1] 11 ἔφη B 11. 12 οὐ—τυγχάνομεν om. A[1], post πρᾶξιν coll. B 11 οὐ] εἰ MT 12 ante ἢ ins. ταλαίπωρον ἔφη MT ἢ om. B προσαγόμενον MTA[1] τοῦ] τὸ MTB 13 ἀνόσιον A αὐτοῦ MT ἢ om. M μιμνήσκων M ἑαυτὸν A 14—16 et. m. p. 744,53 ... Ἀντίμαχος· 'πώρη ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος'. cf. schol. Soph. O. C. 14 ... πωρεῖν δὲ οἱ Ἠλεῖοι τὸ πενθεῖν φασί. καὶ Ἀντίμαχος· 'πωρήτοιν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος'. παρὰ τοῦτο οὖν ταλαίπωρος ἐτυμολογεῖται. Suid. ταλαίπωρος ὁ ἄθλιος παρὰ τὸ τλῆναι καὶ τὸν πῶρον ὅ ἐστι πάθος. ὅτι δὲ πῶρος πάθος τί ἐστιν, Ἀντίμαχός φησι· 'πῶρόν τιν' ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἔθεντο'. καὶ πωρεῖν Ἠλεῖοι τὸ πενθεῖν φασί. καὶ Ἀντίμαχος αὖθις 'πωρητὺν ἀλόχοισι καὶ οἷς τεκέεσσιν ἕκαστος'. παρὰ τοῦτο οὖν τὸ ταλαίπωρος ἐτυμολογεῖται. Hesych. πωρητύς ταλαιπωρία πένθος cf. πωρεῖν κηδεύειν πενθεῖν. πωρῆσαι λυπῆσαι καὶ τὰ ὅμοια. πῶρος ὁ ταλαίπωρος τὸ—πένθος om. A 14 τὸ om. δὲ post ταλαίπωρος coll. B 15 πωρηαλεχοισιν M πωρηαλόχοισι T πώρητυ ἀλόχοισι B 15 τέκεσι M 17 λείπει—ὥστε] ἵν' ἦ A τὸ om. M 18 τὰ om. A 18. 19 οἷον—λέγειν om. A 19 τὸ δὲ ὀλιγάκισ A παῖδεσ A 20 ἐοικότα—Τυδεύς om. A Τυδεύς om. M

† ἄλλως: οὕτως συντάξεις· φείδου λέγειν τὰ κακά, ἀντὶ τοῦ· πεφεισμένως λέγε τὰ κακά. ὀλιγάκις δὲ ἀντὶ τοῦ καὶ ὀλιγάκις, τοῦ δέ ἐνταῦθα ἀντὶ τοῦ καί κειμένου: — A

394 διὸ λέγειν ἀναγκάζεται πλουσίως καὶ πολυτελῶς ἔχων τὰ κακά: — M$^{g}$TB

395 πρᾶγμα: — M$^{g}$B$^{g}$

396 ἡ σύνεσις ὅτι σύνοιδα: ἐγκαλοῦσί τινες· πῶς γάρ, φασὶν, αἰτιᾶται τὴν σύνεσιν, τὸ πᾶν αἴτιον τῶν Ἐρινύων ἐχουσῶν. ἀγνοοῦσι δὲ ὅτι ὑπὸ δισσῶν φησιν ἀπόλλυσθαι, περὶ μὲν τὸν καιρὸν τῆς ὑγιείας ὑπὸ τῆς συνειδήσεως, ἐν δὲ τῇ λύσσῃ ὑπὸ τῶν Ἐρινύων· ὃ καὶ ἐπάγει· 'μανίαι τε': — MTAB

μετὰ γὰρ τὴν μανίαν ἡ ἔννοια τῶν κακῶν αὐτὸν ἐδάμαζεν: — M$^{g}$TAB

397 πῶς φής: διὰ τὸ μὴ πρὸς ἔπος ποιήσασθαι τὴν ἀπόκρισιν, τούτου ἕνεκεν λέγει αὐτὸν ἀσαφῶς εἰρηκέναι: — MTAB

† ἄλλως: ἐπεὶ αὐτὸς μὲν τὴν ἰδέαν ἐπύθετο τῆς νόσου, ὁ δὲ τὸ συνειδὸς ἔφη, τοῦτο δὲ οὐ πάντως νόσος, τούτου χάριν φησὶν αὐτὸν ἀσαφῶς εἰρηκέναι. τίς οὖν ἐστιν ἡ ἀπὸ τῆς συνειδήσεως νόσος· ἡ λύπη, ὡς ἑξῆς λέγει: — TAB

οὐ τὸ μὴ σαφὲς λέγειν ἐστὶ σοφόν, ἀλλὰ τὸ λέγειν σαφές: — M$^{g}$B$^{i}$

400 μανίαι τε μητρὸς αἵματος τιμωρίαι: αἱ τιμωρητικαὶ τοῦ αἵματος τῆς μητρὸς, ἃς ὑφίσταμαι τιμωρίαν ταύτην διδοὺς ὑπὲρ τοῦ τῆς μητρὸς φόνου: — MTA

κατὰ κοινοῦ τὸ διαφθείρουσά με: — M$^{g}$B$^{i}$

401 ἤρξω δὲ λύσσης πότε: καὶ τοῦτο πονηρῶς. θέλων γὰρ ἐλέγξαι ὡς θεομισῆ φησιν ἤρξω δὲ λύσσης πότε. ἤθελε γὰρ μαθεῖν εἰ χρόνιόν ἐστι τὸ νόσημα καὶ δυσίατον: — MTAB

---

4. 5 scholio quod praecedit adi. B 4 post ἀναγκάζεται add. ὁ ὀρέστησ B ἔχω B 7 γὰρ om. T φησιν MTAB 9 ὑπὲρ A ὑγείασ T 10 ὑπὲρ A ἐκ MT ἐπάγῃ T 11 in fine add. μητρόσ T μητρόσ θ' αἵματοσ τῆσ μητρὸσ ἣν ὑφίσταμαι τιμωρίαν ταύτην διδοὺσ ὑπὸ τοῦ τῆσ μητρὸσ φόνου (= 22. 23) B 12 μανίαν] κακίαν M · αὐτῶν T 15 ἕνεκα A λέγειν A σαφῶσ A ἅσα ὅτι M 16 μὲν om. T ὁ] ὡσ T 17 αὐτῶ A 20 σαφῶσ (bis) B$^{i}$ λέγειν (alterum) om. B$^{i}$ 25 ante θέλων ins. μὴ MTA 26 ἐξελέγξαι τὸν ἀνεψιὸν B 27 δὸσ A

402 ἐν ᾗ τάλαιναν μητέρ' ἐξώγκουν: ἐν ᾗ, ἡμέρᾳ, ὑψηλοποίουν τὸ τῆς μητρὸς μνῆμα: — MTA

γράφεται ἐν ᾗ ταλαίνης μητρὸς ἐξώγκουν τάφον: — MB[1]

ὅ ἐστι· τὸ χῶμα ἐπέβαλλον: — MT

ἐτίμων: — M[s]

403 πότερα κατ' οἴκους: ἀπὸ κοινοῦ τὸ ἦρξω, τουτέστιν· ἐν ποίᾳ ἡμέρᾳ ἦρξω καὶ ἐν ποίῳ τόπῳ. κακοήθως δὲ καὶ τοῦτο: — MTAB

404 νυκτὸς φυλάσσων: μήποτέ τις ἀφέληται τὰ ὀστᾶ. ἢ παρατηρῶν πότε σβεσθείσης τῆς φλογὸς ἀφέλωμαι τὰ ὀστᾶ: — TAB

408 ἀντὶ τοῦ φοβεράς, ὡς ὁ ποιητής [A 49]· 'νυκτὶ ἐοικώς': — M[s]

410 εὐπαίδευτα δ' ἀποτρέπου: κατὰ ἀντίφρασιν, ἀντὶ τοῦ ἀπαιδεύτως. ἢ οὕτως· εὐπαιδεύτως δὲ ποιεῖς ὀνομάζειν αὐτὰς Ἐρινύας παραιτούμενος: — MTB

ἄλλως: ἀπαιδεύτως φυλάττου ὀνομάζειν αὐτάς. πῶς δὲ ἀπαιδεύτως· καλῶν αὐτὰς Ἐρινύας: — MTAB

411 αὗταί σε βακχεύουσιν: κακοήθως τῷ ὀνόματι ἐχρήσατο ⟨ἀντὶ⟩ τῆς μανίας. κακόηθες δὲ καὶ τὸ ὑπομιμνήσκειν αὐτὸν τοῦ φόνου τῆς μητρός. ἤρκει γὰρ αὗταί σε βακχεύουσιν. λείπει δὲ ἡ διά, ἵν' ᾖ διὰ τὸν συγγενῆ φόνον: — MTAB

† τὸ δὲ συγγενεῖ φόνῳ διὰ τὴν μητέρα. ἀλλ' ἔστιν ἡμῖν ἀναφορὰ τῆς συμφορᾶς Ὀρέστης εἶπεν, ὁ δὲ Μενέλαος οὐ δεινὰ πάσχειν δεινὰ τοὺς πεπραγμένους καὶ κατέκρινεν αὐτὸν [φησὶν Ὀρέστης] χωρὶς κρίσεως: — A

---

1. 2 scholio quod praecedit adi. B initio add. ὁ δέ φησιν   ὑψηλοποίουν— μνῆμα] τὸ τῆς μητρὸς μνῆμα ἐξώγκουν .. τιμῶν καὶ τὸ χῶμα ἐπιβάλλων ὑψηλοποίουν B   3 τάλαιναν μ̅ρ̅' M   4 scholio 3 adi. M scholio 1. 2 T   6 τοῦ δέ ἐστιν M om. A   6. 7 ἐμποῖα M   ἐν—ἦρξω] δὲ ποίαν ἡμέραν A   7 κακόηθες A   δὲ - τοῦτο om. A   9. 10 scholio quod praecedit adi. B initio add. ὁ δὲ φιλαλήθως .... πέπονθα φυλάσσων   10 ἀφεθείσης T   τὰ ὀστᾶ] ταῦτα A   14 δὲ om. M   16 initio add. ἀντὶ τοῦ AB   ἀπαίδευτα A ἀπαιδεύτους MT   φυλάττουσιν A   16. 17 ἀπαίδευτα A corr. A[1]   17 καλῶν spatio uacuo ins. A[1]·   18 τοῖς ὀνόμασι A   ἐχρήσαντο MT   19 ἀντὶ τῆς] τὸν τῆς M τῆς TAB   κακοήθως M   αὐτὸν om. A   20 τὸ post γὰρ add. A   20. 21 λείπει—φόνον om. TAB   22—25 scholio quod praecedit adi. A

413 γυμνὸν ἐνταῦθα δείκνυται τὸ ἦθος τοῦ Μενελάου· κατέκρινε γὰρ αὐτὸν ἄνευ κρίσεως: — M[g]B

414 τῶν συμβάντων πραγμάτων: — M[g]

ἀλλ' ἔστιν ἡμῖν ἀναφορά: ἐπεὶ εἶπεν ὁ Μενέλαος οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους καὶ κατέκρινεν αὐτὸν δεινὰ πεπραχέναι, φησὶν Ὀρέστης· ἀλλ' ἔστιν ἡμῖν τῆς συμβάσης τύχης ἀναφορά, ὅ ἐστι· δυνάμεθα τοῦ συμβάντος πράγματος τὴν αἰτίαν ἀναγαγεῖν εἴς τινα, ὥστε μὴ εἶναι ἡμᾶς αἰτίους δεινῶν πράξεων. εἶτα ὁ Μενέλαος· μὴ θάνατον εἴπῃς τοῦ πατρός· οὐ γὰρ σοφόν. εἰ γὰρ καὶ διὰ τὸν πατέρα ἀνεῖλες τὴν μητέρα, δεινὰ πέπραχας· σὺ γὰρ οὐκ ὤφειλες θάνατον ἐπαγαγεῖν τῇ μητρί, ἀλλ' ἡ δημοσία κρίσις. εἶτα Ὀρέστης λέγει ὅτι ὁ Ἀπόλλων ἔκρινε καὶ διὰ τοῦτο οὐ δεινὰ διεπραξάμην, εἴγε θεὸς ὁ κρίνας καὶ κελεύσας. εἶτα ὁ Μενέλαος· τοῦτο, τὸ δεινόν, ἔκρινεν ἀμαθὴς ὤν. εἶτα Ὀρέστης· εἴτε ἀμαθεῖς εἴτε σοφοὶ οἱ θεοί, οὐκ οἶδα, τοῦτο δὲ οἶδα ὅτι δουλεύομεν καὶ πειθόμεθα αὐτοῖς, ὁποῖοι ἂν εἰσιν, εἴτε σοφοὶ εἴτε φαῦλοι. εἶτα ὁ Μενέλαος· εἰ αὐτός σοι ἐκέλευσε, πῶς οὐκ ἐλεεῖ νοσοῦντα καὶ μαινόμενον. εἶτα Ὀρέστης· ἴσως ἐλεήσει, ἀεὶ γὰρ βραδύνει τὸ θεῖον: — MTAB

† ἄλλως: ὅρα τὸ εὐφυὲς τοῦ ποιητοῦ, πῶς δι' ἀμφοτέρων τῶν προσώπων τούτων, τοῦ Ὀρέστου καὶ τοῦ Μενελάου, τὰς ἐναντίας τῶν ἀνθρώπων δόξας ὑποδηλοῖ. ἐπεὶ γὰρ οἱ μὲν τῶν ἀνθρώπων λέγουσι τιμωρεῖν τὸ θεῖον τοῖς πάσχουσιν, οἱ δ' ἀδιαφοροῦσι, διὰ μὲν τοῦ Ὀρέστου τὸ βοηθεῖσθαι παρὰ τοῦ θείου τοὺς κάμνοντας συνίστησι, διὰ δὲ τοῦ Μενελάου σοφιστικῶς ἀπαγορεύει. ἐκεῖθεν δὲ τὴν ὑφὴν τοῦ λόγου προὐκατεσκεύασεν. εἰπόντος γὰρ τοῦ Μενελάου ἀπὸ τοῦ 'οἶδα μὲν αὐτάς, ὀνομάσαι δ' οὐ βούλομαι' καὶ καθεξῆς, τοῦ Ὀρέστου εἰς μομφὴν τῶν Εὐμενίδων κινηθέντος ὁ Μενέλαος τρόπον τινὰ τοῦτον ἀπεστρέψατο εἰπὼν

1. 2 scholio p. 142,18—21 adi. B initio add. ὁμοίωσ δὲ καὶ τῶι εἰπεῖν οὐ δεινὰ πάσχειν δεινὰ τοὺσ εἰργασμένουσ et om. ἐνταῦθα 1 κακόηθεσ B τοῦ om B 2 χωρὶσ B 4—6 ἐπεὶ—ἀναφορὰ om. A 5 δεινὰ (prius) om. T 5 τοῖσ εἰργασμένοισ MT 5. 6 δεινὰ κεκρικέναι MT om. B 7 ὅ ἐστι] ἢ A corr. A[1] 8 μὴ om. A ἀναιτίουσ A 9 τὸν τοῦ A οὐ γὰρ] τοῦτο γὰρ οὐ B τὸν σὸν A 10 ἀνῄρηκεσ M πρὸσ A πέπρακασ MT 11. 12 λέγει—Ἀπόλλων] ἀντιλέγει ὁ φοῖβοσ A 12 εἰ γὰρ M 13 ἀμαθὴσ ὤν ante τοῦτο coll. B post ὤν ins. τοῦ καλοῦ A 15 δουλευόμεθα T post αὐτοῖς add. ὅτι θεοὶ A 16 αὐτός] οὗτοσ A 17. 18 ἀεὶ—θεῖον] τὸ δὲ θεῖον ἀεὶ μακροθυμεῖ A

αὗταί σε βακχεύουσι συγγενεῖ φόνῳ, δηλονότι ἃς κατευτελίζεις καὶ οὐ θέλεις καλεῖσθαι Εὐμενίδας λέγων εὐπαίδευτα δ' ἀποτρέπου λέγειν, ἤτοι ἀπόφευγε τὸ προστιθέμενον αὐταῖς ὄνομα, τὸ Εὐμενίδες, παρὰ τῶν εὖ πεπαιδευμένων καὶ σοφῶν λέγειν καὶ λέγε δήπουθεν τὸ οἰκεῖον αὐταῖς ὄνομα ἤγουν αἱ ἀλάστορες, αἱ Τελχῖνες, αἱ φονεύτριαι. πρὸς τὸ βακχεύουσιν ὁ Ὀρέστης ἐπιτατικῶς εἶπε τὸ οἴμοι διωγμῶν οἷς ἐλαύνομαι τάλας, ὁ δ' ἀντεῖπεν οὐ δεινὰ πάσχειν δεινὰ τοὺς εἰργασμένους ἤγουν μὴ τὰς θεὰς μέμφου, ἑαυτὸν δὲ τὸν αἴτιον τοῦ πάσχειν τὰ δεινὰ ὡς δεινὰ ἐργασάμενον. εἶτα ἐκείνου φεύγοντος τὴν πρᾶξιν καὶ πρὸς τὸν Φοῖβον ταύτην ἀναφέροντος ὁ Μενέλαος ἀπεστρέψατο μὴ εἶναι λέγων τὸ θεῖον ἀμαθὲς τοῦ καλοῦ καὶ τοῦ δικαίου. ἐκείνου δὲ ἐπιμείναντος τῇ ἐνστάσει καὶ λέξαντος ὅτι δουλεύομεν τοῖς θεοῖς, ἤτοι ποιοῦμεν ἃ παρ' αὐτῶν κελευόμεθα κἂν μὴ λίαν ἐπιστάμεθα τί πρᾶγμά εἰσιν οἱ θεοί, ὁ Μενέλαος τὸν οἰκεῖον βουλόμενος συστῆσαι λόγον ὅτι οὐκ ἐκ θεοῦ ἐκεῖνο, ἀλλ' ἐκ θυμοῦ τὸ πραχθέν, φησὶν ὅτι πάντως ἂν ἐβοήθησέ σοι ὁ θεός, εἴπερ καὶ προσέταξεν. ὡς δ' εἶπεν ἐκεῖνος μέλλει τὸ θεῖον, ἤτοι βραδύνει ἐν ταῖς ἀντιδόσεσι ταῖς φαύλαις τε καὶ ταῖς ἀγαθαῖς ὡς ὂν φύσει τοιοῦτον, σοφιστικῶς ἐκεῖνος ἐπήγαγε τὸ ὡς ταχὺ μετῆλθόν σ' αἷμα μητρὸς αἱ θεαί, ἤτοι ἀπήτησαν. ἔκλεψε δ' αὐτὸν διὰ τῆς μέσης ἐρωτήσεως τῆς πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί. ἀποκριθέντος ἐκείνου τὸ πόσον τοῦ καιροῦ, ἀνεῖλεν ἐκεῖ τὸ μέλλει τὸ θεῖον διὰ τοῦ ὡς ταχὺ μετῆλθόν σ' αἷμα μητρός: — A

415 μὴ θάνατον εἴπῃς: ὁ μὲν τὸν Ἀπόλλωνα ᾐνίξατο αἴτιον τῆς μανίας, ὁ δὲ ᾤετο τὸν τοῦ πατρὸς λέγειν θάνατον. ἐκκλείων οὖν αὐτὸν ἀπολογίας φησί· μὴ λέγε τὸν θάνατον τοῦ πατρὸς μηδ' αὐτὸς ἁμαρτὼν εἰς τὸν πατέρα ἀνάφερε τὴν ἁμαρτίαν. εὔηθες γὰρ τὸ αὐτόν τινα ἁμαρτάνοντα ἄλλῳ περιτιθέναι τὴν αἰτίαν: — MTB

σὺ γάρ, φησίν, αὐτὸς αἴτιος τυγχάνεις. ἢ οὕτω· μὴ ὀνομάσῃς τὸν [περὶ] μητρὸς φόνον μηδὲ λέγε ὅτι τοῦτον προστέταξαι παρὰ τοῦ κρείττονος πράττειν. οὐ γὰρ ἁρμόζει θεῷ τὸ πρόσταγμα, ὅθεν σιώπα καὶ

---

10. 11 ἀπεπέμψατο A 25 τῆς μητρὸς MT ἀποκλείων MT αὐτῷ MT 26 ἀπολογίας om. MT τοῦ πατρὸς] σοι τῆς μητρὸς ἀπὸ μανίας MT ἁμαρτήσας B 27 τὴν μητέρα MT τὸν MT 28 ἄλλα M ἁμαρτίαν B 28—p. 145,2 scholio quod praecedit adi. MT 30 προσέταξε T 31 ἁρμόζει om. T θεῶν T πρᾶγμα M

κρύπτε τὸ ἀμαθὲς τοῦ δαίμονος. ἢ μὴ εἰς τὴν εἱμαρμένην καὶ τὸν θάνατον ἀνενέγκῃς· οὐ γάρ ἐστι σοφὸν τοῦτο: — MT

ἄλλως: τὸν θάνατον τοῦ πατρός. τοῦτο γὰρ οὐ βέβαιον· οὐ γὰρ δεῖ ἀντιφονεύειν τοὺς φονέας: — MT

ἄλλως: ὁ Μενέλαος βουλόμενος αὐτὸν θανεῖν λέγει τὸ νομιζόμενον ὅτι μέλλει(ς) λέγειν θάνατον, ἐν ἑαυτῷ βουλόμενος † ἀγαγεῖν: — T

416 † Φοῖβος κελεύσας: ἀπὸ κοινοῦ οὕτως συντάξεις ὅτι ἐκέλευσεν ἂν τοῦτο ὁ Φοῖβος καὶ ἐπιστεύθης ἀληθεύειν, ἐὰν ἦν ἀμαθέστερος καὶ πλέον σοῦ ἀμαθὴς τοῦ καλοῦ καὶ τοῦ δικαίου. τοῦτο δὲ εἶπεν ὡς φαυλίσας τὴν ἀναφοράν, ὡς τάχα ψευσαμένου τοῦ Ὀρέστου καὶ τούτῳ τῷ τρόπῳ φεύγοντος τὴν μομφὴν τοῦ μητρικοῦ φόνου. κρείσσων γὰρ ἦν ἡ αἰτία, ἐὰν ἦν αὕτη ὁ θάνατος τοῦ πατρός, τοῦ θεὸν * * *: — A

417 ἀμαθέστερός γ' ὤν: εἰ τοῦτο ἐκέλευσεν, ἀμαθής ἐστιν, ἵνα ἐκ τῶν ἐναντίων δηλώσῃ ὅτι οὐκ ἐκέλευσεν ὁ θεός· οὐ γάρ ἐστιν ὁ θεὸς ἀμαθής: — MTAB

ἄλλως: μετὰ συλλογισμοῦ τοῦτο εἴρηκεν· εἰ γὰρ οὐκ ἀμαθὴς ὁ θεός, δῆλον ὅτι οὐδὲ προσέταξε τοῦτο ποιεῖν: — MTAB

ἀντὶ τοῦ ἀμαθής ἐστιν: — M[b]

418 δουλεύομεν θεοῖς: † ἀνθρώπων ἐχόντων τὴν μορφήν. ἢ ὁποίας ὦσι δυνάμεως καὶ κρίσεως, δουλεύομεν αὐτοῖς. τοῦτο δὲ πρὸς τὸ ἀμαθέστερος: — MTB

ὅ τι ποτ' εἰσί(ν οἱ) θεοί: ἀκαίρως τοῦτο· ἑώρακε γὰρ τὸν Ἀπόλλωνα καὶ ἀκήκοεν αὐτὸν αἴτιον· ὡσεί τις ἰδὼν ἀετὸν λέγει· τί ποτέ ἐστιν· ἢ ἀετός: — MTB

δουλεύομεν: ἀνεπίγνωστον γὰρ ἔχουσι τοῖς ἀνθρώποις τὴν γνώμην. ὁποίας ἄρα, φησίν, εἰσὶ δυνάμεως, δουλεύομεν αὐτοῖς: — A

---

1 ἀπαθὲσ MT ἢ T εἰ M 2 post ἀνενέγκῃς add. αἰτίαν T 3 ἄλλως] ἀλλὰ M om. T βαίβιον M ut uidetur οὐ γὰρ om. M 5 τὸ νομίζον T 6 scripserim θανεῖν ut ἐν—θανεῖν dittographia sit eorum quae praecedunt 9 ἀμαθῶσ A 11 κρεῖσσον A 12 in fine spatium uacuum rel. A 13 εἰ] εἰσ B post ἐκέλευσεν add. φησὶν B 14 ἐκ τῶν ἐκ τῶν A τοῦ ἐναντίου B 14. 15 οὐ—ἀμαθής] οὐδὲ προσέταξε τοῦτο ποιῆσαι A 16 τοῦτο ἐκ συλλογισμοῦ A 17 δῆλον ὅτι om. A οὐ A ποιῆσαι spatio uacuo ins. A[1] 19 emendanda ex scholio A 20 καὶ om. M ἢ B 21 in fine add. γ' ὢν B 22 ἑωρακὼσ MT γάρ] ἢ M τὸν ἀπόλλωνα post ἀκήκοε coll. B om. αὐτὸν 23 ἀκηκοὼσ αὐτοῦ MT εἰ MT ἢ om. M

419 κἆτ' οὐκ ἀμύνει: πανούργως ἔχει πᾶσα ἡ ἐρώτησις. ὁ μὲν γάρ φησιν ὅτι ὁ Ἀπόλλων μοι ἐκέλευσεν ἀνελεῖν τὴν μητέρα. ὁ δὲ ἀντεπάγει· καὶ πῶς ὁ κελεύσας ἀνελεῖν τὴν μητέρα οὐκ ἐλεεῖ σε μαινόμενον. τοῦ δὲ εἰπόντος ὅτι μελλητικόν ἐστι τὸ θεῖον, πάλιν ὁ Μενέλαός φησι· πῶς οὖν Ἐρινύες σε ταχέως μετῆλθον· οὐκ εἰσὶ καὶ αὗται θεαί. ἐλέγχει οὖν αὐτὸν ὡς καταψευδόμενον: — MTB

421 πόσον χρόνον δὲ μητρὸς οἴχονται πνοαί: ἐχρῆν εἰπεῖν πόσῳ χρόνῳ. τὸ δὲ μητρός κακοήθως καὶ δυσωπητικῶς: — MTB

423 ὡς ταχὺ μετῆλθόν σ': διὰ τούτων ἐλέγχει αὐτὸν ὡς ἀθέως πεπραχότα τὸν φόνον, ὅπου γε αἱ μὲν Ἐρινύες εὐθέως τῇ μητρὶ συνεμάχησαν, ὁ δὲ Ἀπόλλων ἀναβάλλεται τὴν συμμαχίαν. καὶ ἀνθυποφορά ἐστι τοῦ εἰρημένου ὑπὸ Ὀρέστου τὸ θεῖόν ἐστι τοιοῦτον φύσει: — MTAB

424 οὐ σοφός: οὐ σοφὸς διαρρήδην μοι ὀνειδίζων τῆς μητρὸς τὸ αἷμα, ἀληθὴς δέ. ἀληθὲς γὰρ διὰ τὸν φόνον ἀμύνεσθαι αὐτὸν τὰς Ἐρινύας: — M'TAB

† ἄλλως: πρὸς ὃ κλαπεὶς ὁ Ὀρέστης εἰς κολακείαν αὐτοῦ προὔθετο τὸ οὐ σοφός, ἀληθὴς δ' εἰς φίλους ἔφυς κακός. τοῦτο δὲ τὸ ἔπος ἐναντιοφανές ἐστιν. ἐναντιοφανῆ δὲ λέγεται τὰ ῥητὰ τὰ μὴ τῇ κειμένῃ φράσει συναρμοζόμενα, νοήματι δὲ ἢ συντάξει θεραπευόμενα. σκόπει γὰρ ὅτι πρὸς ὕβριν ἐστὶ τοῦ Μενελάου τὸ οὕτως εἰπεῖν 'οὐ σοφὸς ἔφυς, ἀληθὴς δὲ καὶ τέλειος κακὸς εἰς τοὺς φίλους' καὶ ποῦ δέον τὸν ἱκέτην ὑβρίζειν τὸν ἱκετευόμενον. θεραπεύεται δὲ τὸ ἔπος τῇ συντάξει οὕτως· οὐ σοφὸς κακὸς εἰς φίλους ἔφυς, ἀληθὴς δὲ ἔφυς σοφός. τὸ δὲ νόημα τοιοῦτον· σοφὸς μὲν ἀληθὴς λέγεται ὁ ὄντως σοφός, σοφὸς δὲ κακὸς ὁ σοφιστὴς καὶ ἀπατεὼν καὶ πιθανολογούμενος. λέγει τοίνυν αὐτῷ κολακικῶς ὅτι ⟨οὐκ⟩ ἐσόφισάς με, ὦ Μενέλαε, εἰπόντα βραδὺ εἶναι τὸ θεῖον πρὸς συνασπισμὸν ἀντειπὼν ὡς ταχὺ μετῆλθόν σ' αἷμα μη-

1 πανοῦργος B om. ἔχει 3 ἀντεπάγη T κελεύσας σε M ἀναιρεῖν M ἐλεῆ T 4 τούτου M 5 αἱ ἐρινύες B σε om. B 8 καὶ om. M 9—12 scholio quod praecedit adi. B ante ὡς add. καὶ διὰ τοῦ εἰπεῖν δὲ et om. διὰ τούτων 9 καὶ διὰ A ἀθεεὶ A 11 Ἀπόλλων] ἥλιος A ἀνυπόφορά A 12 τὸ εἰρημένον T τὰ εἰρημένα A 14 οὐ σοφὸς om. A οὐ σοφὸς εἶ B 14. 15 τὸ αἷμα τ. μ. A 15 ἀληθὲς] ἀληθεύει MTB ἀληθεύειν A γὰρ om. A γὰρ λέγων B 17 cohaeret cum p. 144,23 ὃν A 19. 20 μὴ τῇ κειμένῃ] μὴ τοῖς ἄνωθεν τ..ω (sine ου) τῶν τῇ ἀπα(τ) κειμένῃ A

τέρος θεαί, σὺ δὲ ἀληθὴς εἶ σοφός, οὐ κακὸς σοφὸς εἰς φίλους, ἤγουν διὰ τῆς σοφιστείας καὶ πιθανότητος πλανήτης τῶν φίλων: — A

ἀντὶ τοῦ ὑπάρχεις: — M$^{g}$

425 πατρὸς δὲ δὴ τί σ' ὠφελεῖ τιμωρία; ἐν ἐρωτήσει ὁ λόγος ἀντὶ τοῦ· τὸ τῆς ἀναιρέσεως τοῦ πατρὸς τιμωρίαν σε λαμβάνοντα φονεῦσαι τὴν μητέρα τί δύναται συνάρασθαί σοι πρὸς τὸ μηδὲν παθεῖν ὡς φονέα. ἢ οὐ προέστη σου ὁ πατὴρ, ὥστε ἀποσοβῆσαι τὰς Ἐρινύας: — MTAB

οἱ Ἀττικοὶ προπαροξύνουσι· [μόνον τοῦτο] τιμώρια. τὸ δὲ ⟨δη⟩τι σ' ἄμεινον βαρύνειν· δή τί σ': — M$^{1}$TB

427 τὰ πρὸς πόλιν δὲ πῶς ἔχεις; πονηρῶς πάλιν ἐρωτᾷ, ἵνα, εἰ μὲν εὐμενεῖς ἔχει τοὺς πολίτας, ἀφέξηται τοῦ ἐπιχειρήματος, εἰ δὲ ἐχθραίνοντας, ἐπιθέμενος κρατήσῃ: — MTAB

429 οὐδ' ἥγνισαι σὸν αἷμα: νόμος γὰρ ἀποκαθαίρεσθαι τοὺς ἐμφύλιον φόνον πεπραχότας. ὁ δὲ νοῦς· οὐκ ἐκαθάρθης ἀπὸ τοῦ ὑπὸ σοῦ πεπραγμένου φόνου. ἢ σὸν αἷμα ἀντὶ τοῦ συγγενικὸν φόνον: — MTAB

431 ἀντὶ τοῦ φιλονεικοῦσιν ἐκβάλλειν σε τῆς γῆς σπουδάζοντες: — M$^{g}$A$^{g}$

ἐκδιώκουσιν [ἐνήλλακται δὲ ἡ πτῶσις]: — M

432 Οἴαξ τὸ Τροίας μῖσος: Ναυπλίου καὶ Κλυμένης τῆς Κατρέως ἐγένοντο Οἴαξ καὶ Παλαμήδης. ὁ δὲ Παλαμήδης ἀπελθὼν εἰς Τροίαν τὰ μέγιστα ὤνησε τὸν Ἑλληνικὸν λαόν. λιμωσσόντων γὰρ ἐν

---

4 post λόγος ins. ὠφελεῖ τί σε ἡ εἰς τὸν πατέρα γενομένη ἐκδικίαι ἢ οὕτως οὐ προέστη σου ὁ πατὴρ ὥστε ἀποσοβῆσαι τὰς ἐρινύας: ἄλλως: B   5 ἀντὶ τοῦ· τὸ τῆς] ἀντὶ τοῦ M ἀντὶ τῆς T ἀντὶ τοῦ τῆς A τῆς B   τὸ τιμωρίαν A   σοῦ λαμβάνοντος B   λαβόντα T   5. 6 τὸ φονεῦσαι B   6 τί] τίς MTAB   συνεράσθαί MT συναρέσθαι A   7 ἢ—Ἐρινύας om. B   πρόσεστί A   σοι MTA   9. 10 scholio quod praecedit adi. B initio add. τὸ δὲ τιμωρία   9 οἱ om. M$^{1}$T   μόνον τοῦτο om. B   9. 10 τὸ δέ τις M$^{1}$T καὶ τὸ τίς σ' B   10 δή τίς MT δή τις σ' B   12 εἰ μὲν om. A   εὐμενές A   ἔχῃ TA   ἀφέξεται TAB   13 διεχθραίνοντας ἔπει κρατῆσαι A   κρατήσειν T   14 τὸ δὲ οὐδ' ἥγνισαι σὸν αἷμα φησὶν ἐπειδὴ νόμος B om. γὰρ   ἀποκαθαίρεσθαι] αὐτοῖς καθαίρεσθαι A   14. 15 τὸν ἐμφύλιον δράσαντα φόνον B   15 φόνον] πόλεμον TA   16 ἢ om. A   συγγενῆ A   17 φόνον om. B   21 ναυπλίας MT   τῆς om. M   21. 22 κάτρέως B κεντρέως T ἀτρέως M κρατεροῦ A   22 ἐγένετο A   23 τὰ ὡς μέγιστα A

Αὐλίδι καὶ περὶ τὴν διανομὴν τοῦ σίτου δυσχεραινόντων τε καὶ στασιαζόντων, πρῶτον μὲν τὰ Φοινίκια διδάξας γράμματα αὐτοὺς ἴσην τε καὶ ἀνεπίληπτον τὴν διανομὴν ἐν τούτοις ἐπραγματεύσατο. ἔπειτα καὶ περὶ κύβους ἔτρεψεν αὐτῶν τὴν ὀλιγωρίαν καὶ μέτρα ἐξεῦρε καὶ ψῆφον ὥστε μέγα σχεῖν ὄνομα παρὰ τοῖς Ἕλλησιν. ἐπὶ τούτῳ δὲ φθονήσαντες οἱ περὶ Ἀγαμέμνονα καὶ Ὀδυσσέα καὶ Διομήδην τοιόνδε τι σκευωροῦσι κατ' αὐτοῦ. λαβόντες γὰρ Φρύγα αἰχμάλωτον χρυσίον κομίζοντα Σαρπηδόνι ἠνάγκασαν γράψαι Φρυγίοις γράμμασι περὶ προδοσίας ὡς παρὰ Πριάμου πρὸς Παλαμήδην. καὶ τοῦτον μὲν φονεύουσι, θεράποντα δὲ Παλαμήδους πείθουσι χρήμασιν ἅμα τοῖς Τρωϊκοῖς χρήμασι καὶ τὸ γραφὲν πινάκιον ὑπὸ τὴν κλίνην θέσθαι Παλαμήδους. αὐτοὶ δὲ παρελθόντες προδοσίαν κατήγγελλον τοῦ ἥρωος καὶ φωραθῆναι τὴν σκηνὴν ἐκέλευον. εὑρεθέντος δὲ τοῦ πινακίου καὶ τῶν χρημάτων ὑπὸ τὴν κλίνην λίθοις φονεύεται Παλαμήδης. Ναύπλιος δὲ ἀκούσας ἧκεν εἰς Ἴλιον δικάσαι τὸν φόνον τοῦ παιδός. τῶν δὲ Ἑλλήνων κατολιγωρούντων αὐτοῦ πρὸς τὸ κεχαρισμένον τοῖς βασιλεῦσιν ἀποπλεύσας εἰς τὴν πατρίδα καὶ πυθόμενος ἀποπλεῖν τοὺς Ἕλληνας ἧκεν εἰς Εὔβοιαν καὶ χειμῶνα φυλάξας φρυκτωρίας ἧψε περὶ τὰς ἄκρας τῆς Εὐβοίας. οἱ δὲ εὐεπίβατον νομίσαντες τὸν τόπον προσορμίζονται καὶ ἐν ταῖς πέτραις ἀπόλλυνται: — MTAB

ἄλλως: τὸν Παλαμήδους θάνατον οἱ μὲν ἐν Γεραιστῷ, οἱ δὲ ἐν Τενέδῳ, οἱ δὲ ἐν Κολωναῖς τῆς Τρῳάδος ὑποτίθενται. φασὶ δὲ αὐτὸν εὑρεῖν φρυκτωρίας καὶ μέτρα καὶ σταθμοὺς καὶ πεττοὺς καὶ γράμματα καὶ φυλακὰς καὶ ἀστραγάλους: — MTAB

1 καὶ om. A  τοῦ σίτου] αὐτῶν MA  1. 2 δυσχεραίνοντεσ καὶ στασιάζοντεσ A 2 φοινίκων M  γράμματα] ἦγεν TB om. MA  αὐτοῖσ ἴσην TB ἴσην αὐτοῖσ MA  τε om. MA  3 ἐν τούτοις om. A  ἐπραγματεύσαντο M 4 ἔτρεψεν] ἔραισεν A  καὶ—ψῆφον om. A  5 ἔχειν TA  τοῖσ om. A τῶν ἑλλήνων T  ἐπὶ τοῦτο M τοῦτο B  6 σκευοροῦσι M σκαιωροῦσι B 8 φρύγια γράμματα A  9 καὶ om. M  10 χρήμασι (alterum) om. T 12 προδοσίασ AB  κατήγγελον MT κατήγγειλον A  σκῆψιν A 13 καὶ—κλίνην om. A  13. 14 λίθοις φ.] καταλύεται A  14—16 Tzetz. ad Lyc. p. 572  14 εἰς om. A  15 ὀλιγωρούντων A  16. 17 πευθόμενοσ A  17 εὔοιαν A  18 ἀκτάσ TB  εὐοίασ A  19 τε καὶ AB  ἀπόλλονται M ἀπόλυνται A  in fine add. πάμπολλοι B 20. 21 ἄλλως—ὑποτίθενται om. A  20 ἄλλως om. M  τὸν δὲ MT 21 κολωνοῖσ MTB  ὑποτίθονται T  21. 22 τὸν δὲ παλαμήδην φησὶν εὑρηκέναι A  22 φρυκτωρία M φρυκτωρίαν T φρυκτήρια A  πεττείασ TB 22. 23 καὶ ante γράμματα et φυλακὰς om. A  23 post φυλακὰς add. καὶ δίσκουσ B  ἀστραγάλουσ Matthiae ἀστρολογίασ MTAB

ἀντὶ τοῦ ⟨τὸ⟩ ἐπὶ Τροίας μῖσος τοῦ πατρὸς ἀναφέρων εἰς ἐμέ. ἐνήλλακται ἡ πτῶσις: — $M^g A^g$

434 διὰ τριῶν δ' ἀπόλλυμαι: πρῶτον τῶν πολιτῶν, δεύτερον Οἴακος. διὸ ἐπάγει τίς ἄλλος, ἵνα πληρώσῃ τοὺς τρεῖς. τινὲς δὲ τριῶν φασι τῶν Ἐρινύων. προεῖπε γὰρ [408] ἔδοξ' ἰδεῖν τρεῖς νυκτὶ προσφερεῖς κόρας. τινὲς δέ φασι τῆς συνέσεως, τῆς λύπης καὶ τῆς μανίας. ἐν δὲ τοῖς Καλλιστράτου γέγραπται· ἐπιζητήσειεν ἄν τις πῶς διὰ τριῶν εἴρηκεν, εἰ μὴ διὰ τὸ Ἀγαμέμνονα καὶ Διομήδην καὶ Ὀδυσσέα μετασχεῖν τοῦ φόνου Παλαμήδους: — MTAB

ἀντὶ τοῦ διὰ πολλῶν: — $M^g$

437 πάλιν φιλοπράγμονος ὁ Μενέλαος παραγυμνοῖ τὸ ἦθος φροντίζων περὶ τῆς βασιλείας: — $M^g$TAB

438 τὸ οἵτινες οὐ πρὸς τὴν πόλιν, ἀλλὰ πρὸς τοὺς ἐν τῇ πόλει: — $M^g A A^g$

439 τί δρῶντες: εἰπέ μοι σαφῶς ὃ ἔχεις εἰπεῖν· τί δρῶντες οὐκ ἐῶσί σε ζῆν. οὐ γὰρ αἰτιῶδες νῦν τὸ ὅτι, ἀλλὰ ἀντὶ τοῦ τί Ἀττικῶς: — MTAB

ἄλλως: ὁ λόγος· εἰπέ μοι σαφῶς ὅ τι δρῶντες οὐκ ἐῶσί σε ζῆν. καὶ ἔστιν Ἀττικόν, τὸ ὅ τι ἀντὶ τοῦ τί. ἐὰν δὲ γράφηται ἢ τί, ὁ στίχος οὕτως· τί δρῶντες· ἢ τί καὶ σαφὲς εἰπεῖν ἔχεις: — MTAB

445 γράφεται χθονός: — $A^g$

446 πάντων πρὸς ἀστῶν: τοῦτο καθ' ἑαυτό. βραχέως, φησί, καὶ συντόμως εἴρηκα ὅπερ ἔδει: — $M^i T A^g B^i$

451 καὶ μὴ μόνος τὸ χρηστὸν ἀπολαβὼν ἔχε: Ἀττικόν, ἀντὶ τοῦ ἀπόλαβε τὰ κατὰ σαυτὸν φυλάσσων. ὅμοιόν ἐστι τῷ [Sophocl. frg. 807] 'εὐφημίαν μὲν πρῶτα κήρυξας ἔχω', ἀντὶ τοῦ ἐκήρυξα: — $MTAB^i$

---

4 διὸ om. A    ἐπάγει δὲ A    τίσ δ' B    τίνων T    4. 5 φασι τριῶν B    5 post Ἐρινύων add. ἐστὶν M    εἰδέναι A    6 κόρας om. B    λύσσησ T    καὶ τῆς om. M καὶ om. A    7—9 ἐν—Παλαμήδους om. A    8 εἰρήκοι B    τὸν MT τὸ τὸν B    καὶ ὁ. καὶ διομήδην B    in fine add. χρήσησ M    11 φιλοπραγμονεῖ $M^g$T φιλοπραγμόνωσ AB    εἶδοσ A    13 initio add. ὅτι A    τὴν om. A    15 εἰπέ—δρῶντες om. A    16 γάρ ἐστιν AB    τὸ] δὲ A    16. 17 ἀλλὰ—ἄλλως om. A    17 ἄλλως om. MT    ὁ δὲ λόγοσ MT ἀττικὸσ ὁ λόγοσ B    σαφὲσ B    17—19 οὐκ—ἔχεις om. A    17. 18 οὐκ—τοῦ τί om. M    18 καὶ—Ἀττικὸν om. B    ὅ τι γὰρ B    18 τί ἀττικόν B    21 καθεαυτὸν $M^i$ καθαυτὸν T    22 εἴρηκα—ἔδει om. $M^i$    ὥσπερ ἔχει $A^g$    23. 24 Ἀττικὸν—τοῦ om. MT μὴ μόνοσ A    24 ἀπολάμβανε B ἀπόλαυε A    post σαυτὸν add. μόνον B    24. 25 cf. schol. Med. 33    24 ὅμοιον δέ A    τὸ MTA    25 ἔχω om. A    ἀντί—ἐκήρυξα] ἀνακεκηρυχέναι A    in fine add. ἀπολαβὼν ἔχε ἀντὶ τοῦ ἀπολάμβανε A

452 ἀντιλαμβάνου: — M$^g$A$^g$

454 ἔδει οἱ συγγενεῖς εἰπεῖν: — B$^1$

οἱ φίλοι, εἰ μὴ ἐπὶ ταῖς συμφοραῖς τῶν φίλων εἰσὶ φίλοι, οὐδέ εἰσι φίλοι, ἀλλὰ λόγῳ μέν εἰσιν, ἔργῳ δ' οὔ: — M$^1$B$^1$

456 τὸ ἑξῆς· γέροντι ποδὶ βαδίζει ἐνταῦθα: — M$^g$AB$^1$

457 Τυνδάρεως μελάμπεπλος: Οἰβάλου τοῦ Περιήρους παῖδες οὗτοι· Τυνδάρεως, Ἰκάριος, Ἀρήνη, καὶ νόθος ἐκ Νικοστράτης Ἱπποκόων. οὗτοι μετὰ θάνατον Οἰβάλου ἐστασίασαν περὶ τῆς ἀρχῆς. Ἰκάριος δὲ συνθέμενος μετὰ Ἱπποκόωντος ἐξελαύνει τὸν Τυνδάρεων τῆς Σπάρτης. ὁ δὲ οἰκεῖ ἐν τοῖς ἐσχάτοις τῆς Λακεδαιμονίας καὶ γαμεῖ Λήδαν τὴν Θεστίου τοῦ Αἰτωλοῦ, ἐξ ἧς ἔσχε Κάστορα καὶ Πολυδεύκην καὶ Τιμάνδραν καὶ Κλυταιμνήστραν καὶ Ἑλένην. ὕστερον δὲ Ἡρακλῆς ἐπὶ τῷ φόνῳ τοῦ Οἰωνοῦ φονεύσας Ἱπποκόωντα ἅμα τοῖς παισὶ καὶ καταγαγὼν τὸν Τυνδάρεων ἀπὸ Φρίξης καὶ Πελλήνης ἐγχειρεῖ αὐτῷ τὴν ἀρχὴν τῆς Σπάρτης. ἐγάμει γὰρ Ἡρακλῆς Δηϊάνειραν τὴν Λήδας ἀδελφιδῆν: — MTAB

458 δείκνυται τῇ κουρᾷ τῇ ἐκθέσμῳ ὅτι ἐπὶ πένθει ἐξύρηται: — M$^g$A$^1$

ἀντὶ τοῦ ἐξυρημένος: — M$^g$

462 πολλὰ δὲ φιλήματ' ἐξέπλησε: ἀντὶ τοῦ πολλῶν φιλημάτων με ἐξεπλήρωσεν, ὡς τὸ [K 298] 'διά τ' ἔντεα καὶ μέλαν αἷμα': — MTAB

† ἐξηριθμήσατο καὶ ἐπλήρωσε τὴν ἐπιθυμίαν: — A

---

3 εἰ] οἱ B$^1$ εἰσὶ] ὄντεσ B$^1$ οὐδέ] ὥστε οὐδὲ M$^1$ οὐκ B$^1$ 5 ποδὶ— ἐνταῦθα spatio uacuo ins. A$^1$ 6—15 cf. Diodor. IV 33,5 Paus. III, 1,4.5 (= II 18,7). 15,4 Apollod. III 10,5 schol. B 581 6 βάλου ante spatio rel. B περι ἦροσ M περιῆροσ T περιήρου A 7 οἶδε A ἴκαροσ MTAB et infra ἄρνη MTAB sed cf. Paus. IV 2,4 Apollod. III 10,3,4 στρατονίκησ A 7—9 Ἱπποκόων—μετὰ om. M 8 βάλου B τῆς om. TA 10 τοῖς ἐ.] ἐσχατιᾶ A λακεδαίμονοσ A ἐγάμει A λήδα A 11 θυεστίου T αἰτωλῶν A 11—15 καὶ Τιμάνδραν—ἀδελφιδῆν om. A τιμάνδραν καὶ ἑλένην add. A$^1$ 12. 13 τὸν φόνον MT 13 υἰωνοῦ B ἱπποθόοντα M 14 πέλλησ MTB em. Meursius ἐγχειρίζει B 15 ἀδελφήν MTB em. Barnes 17 δείκνυται] καὶ δοτικὴ κεῖται M$^g$ δεικτικὴ κεῖται A$^1$ τῆσ ἐν θέσμω M$^g$ om. A$^1$ ἐπὶ πένθουσ M$^g$ ἐπὶ τῷ πένθει A$^1$ ἐξεύρηται M$^g$A$^1$ 19 ἐξυρημένος] ἐφ' οἷσ ἥμενοσ M$^g$ 20 πολλῶν] ἀπὸ πολλῶν δὲ A 20. 21 φιλημάτων με ἐ. om. A 23 in fine add. ὁ δὲ λόγοσ περιφέρων καὶ περιάγων ἐμέ A

ἄλλως: ἀντὶ τοῦ τὴν ἐπιθυμίαν τῶν φιλημάτων εἰς ἐμὲ ἐτέλεσεν: — MTAB

τὸν Ἀγαμέμνονος: ὡς περὶ ἑτέρου φησίν. ἀντὶ τοῦ εἰπεῖν περιφέρων ἐμὲ εἶπε τὸν Ἀγαμέμνονος. ἀντὶ τοῦ ἐμὲ, παῖδα ὄντα: — MB

465 τιμῶντε μ' οὐδὲν ἧσσον: τιμῶντές με οὐδὲν ἧττον ἢ τοὺς Διοσκόρους. Ἀττικὴ δὲ ἡ σύνταξις, ἀντὶ τοῦ οὐκ ἔλαττον τῶν Διοσκόρων: — MTB

468 ποῖον ἐπίπροσθεν νέφος: ποίαν Ἄιδος κυνέην ἢ ποῖον νέφος προβάλωμαι: — $MB^{i}$

469 ἐν προσώπῳ θῶμαι: — $M^{g}$

ἵνα μὴ ὁρῶμαι ὑπ' αὐτοῦ: — $M^{g}A^{g}B^{i}$

470 οὐκ ἐπιζητεῖ τὴν Ἑλένην δυσαρεστῶν τοῖς πεπραγμένοις αὐτῇ: — $M^{g}AB$

472 χοὰς χεόμενος: εὐοικονομήτως ἐποίησε τὸν Τυνδάρεων ἀπὸ τῆς Σπάρτης διὰ τὰς χοὰς τῆς θυγατρὸς ἐληλυθέναι, ἵνα εὐκαίρως τῷ Μενελάῳ καὶ τῷ Ὀρέστῃ διαλεχθῇ: — MTAB

εἰς τὸ Ἄργος: — $B^{i}$

478 ἔα· τὸ μέλλον ὡς κακὸν τὸ μὴ εἰδέναι: εἰ γὰρ ᾔδειν παρόντα Ὀρέστην, ἥκιστα ἂν ἐληλύθειν. ἔοικε, φησί, τῷ ὄντι κακὸν εἶναι τὸ μὴ εἰδέναι τὸ μέλλον. ἢ γὰρ ἂν οὐκ ἦλθον, εἰ τοῦτον προσεδόκων ἐνθάδε: — MTAB

479 πρὸ δωμάτων δράκων: εἶδος ἀντὶ γένους ἔλαβεν· γένος μὲν γὰρ ὁ ὄφις, εἶδος δὲ ὁ δράκων καὶ ἔχις καὶ τὰ λοιπὰ τῶν ὄφεων· νῦν δὲ δράκων ἀντὶ τοῦ ἔχις. οὗτοι γὰρ οὐκ ἐξ ᾠῶν γεννῶνται, ἀλλὰ ζῳοτοκοῦνται καὶ τικτόμενοι διαρρηγνύουσι τὰς τῶν μητέρων γαστέρας, ὡς

---

1 εἰσ ἐμὲ post ἀντὶ τοῦ coll. A  in fine add. τὸν ἀγαμέμνονοσ παῖδα B  3. 4 scholio quod praecedit adi. B add. δὲ post ἑτέρου  3 ὡς om. M  4 τὸν Ἀγαμέμνονος om. M  5—7 scholio quod praecedit adi. B initio ita scripto τιμῶμεν οὐχ ἧττον  με] σε T  5. 6 διοσκούρων MT  9 προσβάλλομαι M προβάλλωμαι $B^{i}$  11 initio add. λείπει $M^{g}$  ὑπὸ τοῦ γέροντοσ $B^{i}$  12 τὴν om. $M^{g}$  post Ἑλένην add. τυνδάρεωσ A  οἷ ἔπραξεν αὐτῇ A  14—16 scholio quod praecedit adi. AB add. δὲ post εὐοικονομήτως  14 οἰκονομικῶσ A  14—16 ἐποίησε—διαλεχθῇ] ἀπὸ τῆσ σπάρτησ ποιεῖται τὸν τυνδάρεω ἐληλυθότα ἵνα χοὰσ τῇ κλυταιμνήστρα καὶ συντύχημα καὶ ὀρέστῃ A  14 τὸν om. T  16 in fine add. μενέλαον καὶ ἑλένην T  18. 19 εἰ—ἐληλύθειν post μέλλον (20) coll. B  19 ἔοικε δὲ MT  τῷ ὄντι φησὶ MT  20. 21 ἢ—ἐνθάδε om. B  20 εἰσ τοῦτο M  22 γένουσ] εἴδουσ MTAB corr. B m. rec.  24 ἐξ ᾠῶν γεννῶνται] ἐξωῶνται A ἐκ M  ζώων MTB  24. 25 ἀλλὰ ζῳοτοκοῦνται om. M  25 διαρρήγνυσι A

φησι Νίκανδρος [Ther. 134]· 'γαστέρ' ἀναβρώσαντες ἀμήτορες ἐξεγένοντο'. διὸ ἔχιν αὐτὸν ὡς μητροκτόνον φησίν: — MTAB

ἀντὶ τοῦ ἄγριος ὡς δράκων, ὅτι ὠμῶς ἔπραξεν. λείπει δὲ τὸ ὡς, ἵν' ᾖ· ὡς δράκων: — $M^g$TAB

480 τὴν μανίαν λέγει: — $MA^g$

νόσον δηλονότι. ὃ ἔστιν ὠδίνει: — MA

481 Μενέλαε προσφθέγγῃ νιν: προσφθέγγῃ αὐτόν, τὴν ἀνοσίαν κεφαλήν. ἔθος γὰρ ἦν μὴ διαλέγεσθαι τοῖς ἐναγέσιν: — MTAB

γράφεται καὶ ἀκάθαρτον κάρα. εἶπε δὲ τοῦτο, ὅτι οὐκ ἦν καθαρός: — MTB

482 φίλου μοι πατρὸς ἐστιν ἔκγονος: δέον εἰπεῖν ὅτι τοῦ ἀδελφοῦ μου υἱός ἐστι, φησὶ τοῦ πατρός μου ἔκγονος. ἔκγονος γὰρ τοῦ Ἀτρέως Ὀρέστης: — MTAB

ἄλλως: φίλου μοι πατρός: ὅ ἐστι συγγενοῦς μοι πατρὸς υἱός. πάλιν δὲ τὸ κακόηθες τοῦ ἀνδρὸς δείκνυται, ὅτι τὸν ἀδελφὸν φίλον εἶπεν: — MTB

485 γράφεται ἀφ' Ἑλλάδος: — $M^i$

486 τὸν πρὸς γένους συγγενῆ: — $M^gB^i$

εἰς παροιμίαν ὁ στίχος οὗτος ἐχώρησιν: — $M^iB^i$

487 καὶ τῶν νόμων γε μὴ πρότερον εἶναι θέλειν: σὺ τοίνυν ἀδικεῖς τοὺς νόμους ἀγαπῶν τὸν μιαιφόνον. ὁ δέ φησιν ὅτι ἀναγκάζει με τὸ συγγενές: — MTAB

ἄλλως: ἐπεὶ Ὀρέστης καὶ παρὰ νόμους καὶ παρὰ φύσιν τὴν μητέρα ἀνεῖλε, καίτοι, φησίν, Ἑλληνικὸν τὸ μὴ κρείττονα τῶν νόμων ἐθέλειν εἶναι καὶ φθάνειν τὴν τούτων βούλησιν: — MTAB

---

1 γαστέρων TB γαστέρρων M  ἀναβρόξαντεσ M ἀναβρώξαντεσ T  2 αὐτὸν ante φησίν rep. B  3. 4 ὅτι—δράκων om. $M^g$  3 ἐνλείπει A ἐλλείπει B  5. 6 horum loco habet ἀντὶ νοσεῖ τὴν μανίαν δὲ λέγει νόσον $B^i$  6 νόσων M  7. 8 προσφθέγγῃ—κεφαλήν om. A  8 γὰρ om. A  δε λέγεσθαι M δὲ φθέγγεσθαι T  9. 10 scholio quod praecedit adi. B add. δὲ post γράφεται  11 δεῖν M  ὅτι om. A  12 post ἐστι add. οὗτοσ δὲ A  μοι B  ἔκγονόσ ἐστιν ἔκγονος B  14 πατρὸς om. B  17 ἀφελλάδα $M^i$  18 τοῦ $M^g$  19 scholio 17 adi. $M^i$, scholio 18 $B^i$, uterque add. δὲ post παροιμίαν  22 μὲν A  23 ἄλλως] ἀλλὰ A  23. 24 ἐπεὶ—ἀνεῖλε om. A  25 καὶ φθάνειν om. MTB  τῇ—βουλήσει MTB  in fine add. οὗτοσ δὲ καὶ παρὰ νόμουσ τὴν μητέρα ἀνεῖλεν A

488 πᾶν τοὐξ ἀνάγκης δοῦλόν ἐστ' ἐν τοῖς σοφοῖς: ἡ τῆς φύσεως ἀνάγκη, ὅ ἐστιν ἡ συγγένεια, πάντα δουλοῖ κατά τε τὴν κρίσιν τῶν νόμων καὶ τῶν σοφῶν. δοῦλον οὖν ἀντὶ τοῦ δουλοποιόν· οὐχ οἷόν τε γὰρ παραιτήσασθαι τὴν συγγένειαν: — MTAB

ἄλλως: δοῦλον: δουλοποιόν, τουτέστι· παρὰ τοῖς φρονίμοις ἡ ἀνάγκη νικᾷ. τιμῶμεν οὖν τὸν Ὀρέστην διὰ τὴν συγγένειαν καὶ δουλεύομεν τῇ ἀνάγκῃ ταύτῃ: — MTAB

ἄλλως: πᾶν τὸ ἐξ ἀνάγκης δοῦλόν ἐστι καὶ ὑπήκοον, οἷον· πάντα κατὰ ἀνάγκην ποιοῦμεν. καὶ κατὰ τὴν τῶν σοφῶν κρίσιν πάντα τὰ ἀπὸ ἀνάγκης δουλοῖ καὶ ὑπηκόους ποιεῖ τοὺς ἀνθρώπους. καθὸ προείρηκεν ἐπὶ τοῦ Ὀρέστου εἰ δὲ δυστυχεῖ, τιμητέος, διὰ τοῦτο καὶ νῦν εἶπε ⟨πᾶν τοὐξ ἀνάγκης δοῦλόν ἐστ' ἐν τοῖς σοφοῖς⟩. ἔστι δὲ ὁ λόγος ὅτι τιμᾶν ἀναγκαῖον τὸν Ὀρέστην διὰ τὴν συγγένειαν. ταῦτα δὲ ἐν ὑποκρίσει λέγει, οὐ σπουδῇ. ὁ δὲ Ἀριστοφάνης φησὶ * * * πᾶν τὸ ἐξ ἀνάγκης γινόμενον δουλοῖ, οἷον ταπεινοῖ, κατὰ τὴν τῶν σοφῶν κρίσιν. δύναται καὶ οὕτως· πᾶν τὸ ἀναγκαῖον δοῦλόν ἐστιν, οἷον ὑπήκοον, καὶ πάντα κατὰ ἀνάγκην ποιοῦμεν διότι δουλοῖ πᾶν: — MTAB

489 τὸ Ἑλληνικὸν φρόνημα: — M[g]B[i]

490 ὀργὴ γὰρ ἅμα σου καὶ τὸ γῆρας: πρὸς τῷ εἶναί σε γέροντα καὶ ὀργίλος εἶ. διὰ τοῦτο, φησί, παραιτῇ τὰ αὐτὰ τοῖς σοφοῖς φρονεῖν, ἐπεὶ συνελθοῦσα τῷ γήρᾳ σου ἡ ὀργὴ ἀπαίδευτόν σε ποιεῖ· ὡς καὶ Σοφοκλῆς [frg. 808]· 'ὀργὴ γέροντος ὥστε μαλθακὴ κοπὶς † ἐν χειρὶ θήγει, ἐν τάχει δ' ἀμβλύνεται': — MTAB

2 ὃ om. T πάντας A 4 γὰρ om. T 5 ἄλλως] ἀλλὰ MTB post δοῦλον add. ἀντὶ τοῦ A παρὰ φρονίμων A 6 καὶ τιμῶμεν MTB 8 ἄλλως] δύναται δὲ καὶ οὕτως A πάντα τὰ B 9 ποιοῦμεν] γινόμενα δουλοῖ τοὺς ἀνθρώπους A καὶ κατὰ] κατά τε A 10 ἀπὸ A ὑπ' MTB 11 εἶπεν ἐπὶ τοῦ ὀ. MTA ἐπὶ τ. ὀ. εἶπεν B 11—13 εἰ—Ὀρέστην om. M 12 εἶπε] προείρηκεν TAB δὲ] γὰρ B 13 ὅτι] ὅθεν TAB ἀναγκαῖον] αὐτὸν T 13. 14 ταῦτα—σπουδῇ om. A 14 λέγων MT ultimis uerbis per dittographiam intrusis Aristophanis sententia interiit ἀρίσταρχος A 15 τιμώμενον T post δουλοῖ ins. τοὺς ἀνθρώπους A 16 πάντα] πᾶν τὸ B 17 διότι—πᾶν om. B in fine add. τουτέστιν παρὰ φρονίμοις ἡ ἀνάγκη κρατεῖ καὶ νικᾷ οἷον τιμῶμεν τὸν ὀρέστην καὶ τὴν συγγένειαν τῇ ἀνάγκῃ ταῦτα δύναται δὲ καὶ ὅτι πᾶν τοὐξανάγκης δοῦλον ἐστὶ καὶ ὑπήκοον οἷον πάντα κατὰ ἀνάγκην ποιοῦμεν A 19 τὸ MTAB corr. Matthiae 20 καὶ om. MT παραιτῆι τὰ B παραιτεῖται MTA 21 τὸ γῆρας MT ἡ om. T 22 ὡς om. TB κώπης MT 23 corruptelae signum posuit Nauck

ἡ ὀργή σου καὶ τὸ γῆράς σου ἅμα γεγονότα οὐ σοφόν σε ποιεῖ: — MTAB

αὐτὸ καθ' ἑαυτὸ τὸ γῆρας μελαγχολικώτερόν ἐστι τῆς νεότητος· εἰ δὲ συμβῇ τοὺς γέροντας ὀργισθῆναι, διπλάσιον γίνεται τὸ κακόν. τὸ γῆράς σου οὖν, φησὶν, ἅμα ὀργῇ γεγονὸς οὐ σκοπεῖ τὸ δέον: — MTAB

ὀργῇ διὰ τοῦ ῑ: — M$^1$

491 πρὸς τόνδ' ἀγὼν τίς σοφίας ἥκει πέρι: οἷον· ἡ περὶ τὸν Ὀρέστην μητροκτονία οὐ δεῖται ἀγῶνος σοφίας. προῦπτος γὰρ ἡ κρίσις, ὥστε μάτην ἡμᾶς οὐ σοφοὺς ἀπεκάλεσας. οὐ σοφισμάτων γὰρ προσδεῖται ἡ κρίσις, τουτέστιν· οὐ καιρὸς ἡμᾶς περὶ σοφίας ἀγωνίζεσθαι· περὶ γὰρ μητροκτονίας ἐστὶν ὁ λόγος: — MTAB

ἐπεὶ εἶπεν ὁ Μενέλαος καὶ τὸ γῆρας οὐ σοφόν, φησὶν ὁ Τυνδάρεως ὅτι τίς χρεία ὅλως σοφίας, ὅπου γε προφανὲς τοῦ Ὀρέστου τὸ πλημμέλημα: — MTAB

ἐρωτηματικῶς: — M$^g$

494 οὐ κατενόησεν, οὐ κατέμαθεν: — M$^g$B$^1$

495 οὐδ' ἦλθεν ἐπὶ τὸν κοινόν: ὡς ἐπὶ ὁδοῦ· οὐκ ἐβάδισε κατὰ τὸν Ἑλληνικὸν νόμον. ὁ γὰρ νόμος οὐκ ἐπιτρέπει αὐτόχειρά τινα γίνεσθαι: — MTAB

497 πληγεὶς τῆς ἐμῆς: οὐκ εἶπεν ὑπὸ Αἰγίσθου, ἀλλὰ τὴν δοῦσαν τὴν ἀρχὴν αἰτίαν ἡγήσατο: — M$^1$TAB$^1$

499 ὅπερ ἔχθιστον ἔργον, πληγῆναι τὸν Ἀγαμέμνονα ὑπὸ τῆς ἰδίας γαμετῆς: — M$^1$TB$^1$

501 ἀντὶ τοῦ πρέπουσαν: — M$^g$B

ταύτην ὁσίαν δίκην φησὶ, τὸ φυγαδεῦσαι μόνον αὐτήν: — B

ὁσίαν διώκοντ': ἀντὶ τοῦ κατηγοροῦντα. καὶ οὕτως ἄν,

---

1 καὶ] ὅτι A σου (alterum) om. AB 3—5 scholio quod praecedit adi. B add. γὰρ post αὐτὸ 3 αὐτὸ] οὐ τὸ A μελαγχονικώτερον M 4 συμβεῖ M διπλὸν A 5 σου om. A 7—10 ἡ—κρίσις] εἰσ τὸν περὶ τῆσ μητροκτονίασ λόγον οὐκ ἔστιν ἀγὼν τῆσ σοφίασ A 10 καιρὸσ νῦν A 11 in fine add. ὥστε μάτην ἡμᾶσ σοφοὺσ ἀπεκάλεσασ A 12—14 scholio 3—5 adi. A add. δὲ post ἐπεὶ 12 οὐ] σου M φησὶν om. A 13 ὅτι om. A σοφίασ om. M 13. 14 τὸ τοῦ ὀ. πλ. A 16 οὐκ ἔμαθεν M$^g$ 17 ἐπὶ—οὐκ] ἐπρο tum spatium rel. A 18 ἑλλήνων A 19 γίνεσθαι ex γενέσθαι corr. M γενέσθαι T 20 εἶπεν A ἐπειδὴ MTB 23 γυναικόσ T 26—p. 155,4 scholio quod praecedit adi. B initio add. διώκοντα δὲ 26 καὶ—ἂν spatio uacuo ins. A$^1$

φησί, τοῦ κακοῦ τὸ σῶφρον ἐπελέξατο διώκων καὶ μὴ φονεύων καὶ τὴν πρέπουσαν τιμωρίαν ἀπῄτησεν ἂν ἐκβαλὼν τὴν μητέρα καὶ νόμῳ πειθαρχῶν ἐφαίνετο. ἢ οὕτως· ἀνθ' ἧς ὑπέμεινε συμφορᾶς ἔδοξεν εἶναι σώφρων: — MTAB

ἄλλως: εἰ φυγῇ μόνον ἦν ζημιώσας τὴν μητέρα, οὕτως ἂν ἔδοξε σωφρόνως κεχρῆσθαι τῇ τιμωρίᾳ τῇ κατὰ τῆς συμφορᾶς τοῦ πατρός [ἢ τῆς μητρός]: — MTAB

502 τὸ σῶφρόν τ' ἔλαβεν ἄν: καὶ σωφρόνως καὶ ἐγκρατῶς ἔμελλε τὰ τῆς συμφορᾶς τιμωρεῖσθαι. ἢ σῶφρον εἶπε τὸ μέτριον, συμφορὰν δὲ τὴν τιμωρίαν, ἵν' ᾖ· μετρίως γ' ἂν τὴν τιμωρίαν ἐλάμβανε φυγῇ ζημιώσας αὐτήν. μετριωτέρα γὰρ αὕτη ἡ τιμωρία τοῦ θανάτου: — MTAB

504 εἰς τὸν αὐτὸν δ⟨αίμον⟩' ἦλθε: εἰς τὴν αὐτὴν ἁμαρτίαν· καὶ γὰρ παρανόμως ἐφόνευσε. πλέον δὲ τοῦτο κακόν· οὐ γὰρ δίκαιόν ἐστι γυναικὶ πρὸς ἄνδρα ὅσον υἱῷ πρὸς μητέρα. ὁ μὲν γὰρ φύσει ἐστὶν υἱός, ὁ δὲ ἀνὴρ συγγενής: — MTA$B^i$

508 εἰ τόνδ' ἀποκτείνειεν: καθ' ὑπόθεσίν ἐστιν ὁ λόγος. ὡς ἐν παραδείγματι ταῦτά φησι. ἀντὶ τοῦ εἴ τινα. τὸ τόνδε ὡρισμένον ἔλαβεν ἀντὶ ἀορίστου τοῦ τινά: — MTB

510 εἶτα ὁ ἐξ ἐκείνου γενόμενος ἐκδικήσει τὸ προγονικὸν αἷμα: — MTA$B^i$

514 ἀντὶ τοῦ ἔνοχος αἵματος: — M$M^1$T$B^i$

εὐκτικόν ἐστι· κυροῖμι κυροῖς κυροῖ: — MTA$B^i$

---

1 ἀπελέξατο A    διώκων spatio uacuo ins. $A^1$    καὶ μὴ] ὁ γὰρ A
2 ἐκβαλὼν spatio uacuo ins. $A^1$    νόμου M νόμους T    3. 4 ἢ—σώφρων om. B    3 ἢ—ὑπέμεινε spatio uacuo ins. $A^1$    οὕτως] ὅτι MT$A^1$
αὖθις ἧς MT μεθ' ἧς $A^1$    4 σῶφρον MA corr. $A^1$    5 εἰ—ἦν] εἰ τοιαύτη συμφορὰ ἦν προστρεψάμενος φυγῇ τε A    6 τῇ—πατρὸς] περὶ τὴν τοῦ πατρὸς συμφορὰν A    8 initio add. τουτέστι A    σῶφρον A    10 γ' A γὰρ MTB    ἂν om. B    ἔλαβεν M    11 ἐν φυγῇ MTA    14 δὲ—κακόν] κακὸς A    δίκαιον] ἴσον $B^i$    15 γυναικὶ—μητέρα] τὸ γυναῖκα φονεῦσαι ἄνδρα καὶ υἱὸν μητέρα $B^i$    ὅσον] ὡς M    υἱὸς MT
15. 16 υἱός ἐστιν T    16 κατὰ συγγενής A    17 ὁ λόγος] ὅλος T
18 καὶ ὡς B    τὸ τόνδε] τοῦτον δὲ MTB    19 ἀντὶ τοῦ B    τὸ τινά T τινά M    20 initio add. τὸ δὲ ποῖ ἀντὶ τοῦ δὴ A    23 scholio quod praecedit adi. $B^i$ add. δὲ post εὐκτικὸν

515 φυγαῖσι δ' ὡσίουν: ἀντὶ τοῦ ἐκάθαιρον, ὁσίους καὶ καθαροὺς ἐποίουν. τὸ δὲ μὴ ἀνταποκτείνειν ὅσιον ἐνόμιζον: — MTAB

ὅσιον νομίζειν: — $M^g$

ἀπὸ κοινοῦ τὸ ὁσιοῦν: — $M^i$T

516 ἀντὶ τοῦ ἐνέχεσθαι: — $M^gB^i$

517 τὸ λοίσθιον μίασμα: τὸ ἔσχατον, τὸ ⟨μὴ⟩ ἀφ' ἑτέρου εἰς ἕτερον διαβαῖνον. Ὅμηρος [Ψ 536] 'λοῖσθος ἀνὴρ ὤριστος'. εἷς δέ, φησίν, ὁ πρὸς τῷ τέλει ἤμελλεν εἶναι μεμιασμένος, ὁ ὕστατος, ὁ μηκέτι ἔχων ἕτερον μεθ' ἑαυτόν. οἷον· εἷς ἕνα φονεύει κατὰ διαδοχήν, καὶ οὐδείς ἐστι μύσους αἴτιος, ἐν ὅσῳ φονεύεσθαι μέλλει, εἰ μὴ εἷς. ἐκεῖνος μέντοι ὁ μὴ φονευθησόμενος μεμιασμένος ἐστίν, ὁ πρὸς τῷ τέλει: — $MTAB^i$

524 τὸ θηριῶδες τοῦτο: τοῦτο διὰ τὸ λεγόμενον περὶ τῶν ἐχιδνῶν ὅτι μετὰ τὴν συνουσίαν φονεύει τὸν ἄρρενα ἡ ἔχιδνα, οἱ δὲ γεννώμενοι ὥσπερ τιμωρούμενοι τὸν τοῦ πατρὸς φόνον διατρήσαντες τὴν κοιλίαν τῆς μητρὸς καὶ φονεύσαντες αὐτὴν γεννῶνται ὡς Νίκανδρος ἐν τοῖς Θηριακοῖς [130 sq.]. οἷς ὅμοιόν ἐστι καὶ τὸ κατ' Ὀρέστην καὶ Κλυταιμνήστραν γενόμενον: — MTAB

526 ἐπεὶ τίν' εἶχες, ὦ τάλας, ψυχὴν τότε: ἰδίως ἀπέστρεψε τὸν λόγον καὶ διαλέγεται πρὸς αὐτὸν ὁ περὶ τούτου πρὸ ὀλίγων ἐγκαλῶν Μενελάῳ: — MTB

529 δακρύοις γέροντ' ὀφθαλμόν: καίπερ, φησίν, ἐγὼ μὴ γενόμενος θεατὴς τῶν κακῶν τούτων ὅμως δακρύω. σὺ δὲ θαυμαστὸς τῆς ἀπηνείας ὁ καὶ πρὸς τὴν θέαν ἀντισχών: — $MTAB^i$

530 ἓν οὖν λόγοισι τοῖς ἐμοῖς: ὅ ἐστι· κεφάλαιον ἔχω προσθεῖναι τοῖς ἐμοῖς λόγοις: — MTB

---

1. 2 scholio p. 155,17—19 adi. B initio add. τὸ δὲ φυγαῖσι δ' ὡσίουν
1 ὡσίουν] ὁσιοῦν M ante ἐκάθαιρον ins. ἐνωσίουν χωρὶς αἵματος ὡσίουν A ὁσίους] ὡσίουν A 2 δὲ] γὰρ B ὅσιον] ὁσίους εἶναι A in fine add. ἀλλ' ὡς ὁσίους ἐκάθαιρον T 7 εἷς] εἰς ὃν A 8 ἔμελλεν $B^i$ ὁ ὕστερος MT ὕστερος $AB^i$ 9 ἕτερον om. $B^i$ ὕστερον T post ἑαυτὸν add. ἄλλον $B^i$ εἰς $TAB^i$ φονέα $MTAB^i$ 10 ὢ σωφρονεύεσθαι M ὢ σωφρονίζεσθαι T ὧι φονεύεσθαι $B^i$ εἰ μὴ εἷς om. A 11 ὁ — τέλει add. $A^1$ 12—17 cf. schol. vs. 479 12 τοῦτο om. A τῶν om. A 15 ὥς φησι AB 16 ἐν τοῖς Θηριακοῖς om. MTB οἷς om. B κατὰ τὸν A 16. 17 καὶ τὴν A 17 γινόμενον T om. AB 18. 19 ἀπέστρεψε—καὶ om. MT 19 λέγεται MT ὀλίγου B 21 καίπερ om. A μὴ δὲ B 22 τούτων τῶν κακῶν A ὅμως δ.] ἐπιδακρύω A θαυμαστὸς εἶ B 23 ὁ καὶ] ὃς T 24 ὅ ἐστι] ἀντὶ τοῦ ἓν B κεφάλαιον post προσθεῖναι coll. B

ὁμορροθεῖ: ἀντὶ τοῦ ἀκολουθεῖ καὶ συμφωνεῖ. θέλει δὲ εἰπεῖν ὅτι τοῖς ἐμοῖς λόγοις ἐκεῖνο τὸ κεφάλαιον ἔχω προσθεῖναι, τὸ ὑπὸ θεῶν σε μισεῖσθαι πλανώμενον: — MTAB

532 τί μαρτύρων: ἀντὶ τοῦ· οὐ δεῖ με πλείονας ζητεῖν μάρτυρας· αὐτὰ δυνατὸν ὁρᾶν τὰ πράγματα: — A

534 ἀντὶ τοῦ· ἵνα οὖν μάθῃς: — $M^gB^i$

538 θυγάτηρ δ' ἐμὴ θανοῦσ' ἔπραξεν: ἔπαθε μὲν δίκαια, καθὸ ἀπέθανε, καὶ δικαίαν τιμωρίαν δέδωκε· καθὸ δὲ ὑπὸ τούτου ἀπέθανεν, ἠδίκηται: — MTAB

541 ἀντὶ τοῦ εἰς τοῦτο: — $M^iB^i$

543 μεγάλας. ἢ φανερὰς, ὡμολογημένας: — $M^gB$

544 δέδοικα λέγειν· ἴσως γάρ σε λυπήσω: — $M^i$

547 ὅσιος δ' ἕτερον ὄνομα: καθ' ἕτερον ὄνομα. οἷον κατὰ τὸ ἐναντίον τοῦ ἀνοσίου, τὸ ὅσιον· ἀνόσιος μέν εἰμι τὴν μητέρα κτανὼν, τετύχηκα δὲ τοῦ ὁσίου ὀνόματος καθ' ἕτερον τρόπον, ἢ μέρος: — MTAB

548 ὅ ἐστιν ἀπόστα, καὶ δεόντως ἀπολογήσομαι: — $M^i$TA

ἄλλως: ἀντὶ τοῦ· σὺ ἀναχώρει καὶ τὰς ἀληθείας ἐρῶ: — $M^i$TAB

549 ἀντὶ τοῦ· ἐξίστησι τοῦ λέγειν: — $M^i$

550 τῷ λόγῳ προβαίνω: — $M^gB^i$

551 δύο πράγματα δύο πράγμασιν ἀντίθες, τῷ πατρὶ τὸ σπέρμα, τῇ μητρὶ τὴν ἄρουραν: — MTA

554 ἄνευ δὲ πατρός: λέγεταί τις αὐτοῦ εἰπόντος τοῦτο εἰρηκέναι· 'ἄνευ δὲ μητρὸς, ὦ κάθαρμ' Εὐριπίδη': — $M^i$TAB

558 ἰδίοισιν ὑμεναίοισι: τοῖς οὐ νενομισμένοις. ἢ τοῖς λαθραίοις: — MTAB

560 ἐὰν ἐκείνην, φησὶ, λέγω κακῶς, ἐμαυτὸν ἐρῶ κακῶς: — $M^i$TAB

---

1—3 scholio quod praecedit adi. B add. δὲ post ὁμορροθεῖ 2 ἐμοῖς λόγοις B νόμοις MT νόμοις ἐν A ἐκεῖνο κεφάλαιον MTA τὸ κεφάλαιον post προσθεῖναι coll. B 3 σε om. B μιμεῖσθαι A in fine add. καὶ μαινόμενον B 7 initio add. ἀντὶ τοῦ A μὲν om. T 8 καὶ om. A δέδωκε om. A 13 ποῖον A 14 ἀνοσίου] ὁσίου ὀνόματος A οἷον ἀνόσιος A 15. 16 τρόπον ἢ μέρος MT μέρος B ὄνομα A 16 in fine add. τὸν πατέρα ἐκδικήσας B 17 ὅ—ἀπόστα] ἤγουν ἀπίτω A 18 ἀντὶ τοῦ om. A τῆς T in fine add. καὶ δεόντως ἀπολογήσομαι B 21 δυσὶ πράγμασιν A 23. 24 Eustath. ad Od. p. 1498,59 25 ἢ om. B 27 κακῶς (alterum) om. A

562 τοῦτον κατέκτειν᾽: ἀπρεπῶς τὸ ἔθυσα. ἢ τάχα ἵνα δείξῃ ὅτι εὐσεβῶς διεπράξατο φονεύσας αὐτήν, ἔφη τὸ ἔθυσα· τὸν Αἴγισθον μὲν ἔκτεινα, ἐπὶ τούτῳ δὲ τὴν μητέρα ἔθυσα: — MTAB

569 παρ᾽ οὐδὲν αὐταῖς ἦν: ἐν ὀλίγῃ προφάσει καὶ πάρεργον ἦν αὐταῖς τοὺς ἰδίους ἄνδρας φονεύειν: — MTAB$^{i}$

570 ἐπίκλημ᾽ ἐχούσαις: εἴπερ ἔμελλεν αὐταῖς, φησίν, εἰς ἔγκλημα μόνον περιίστασθαι τὰ τῆς τιμωρίας, ἀκωλύτως ἂν ἐχώρουν κατὰ τῶν ἀνδρῶν: — MTAB

ἄλλως: ἀντὶ τοῦ ἔγκλημα, τουτέστιν· ἐγκαλουμέναις, ἀντὶ τοῦ διαβαλλομέναις καὶ προφασιζομέναις, ὅ τι δήποτε. καὶ αὕτη γὰρ προεφασίζετο τὰ κατὰ τὴν Ἰφιγένειαν ὅτι διὰ τοῦτο ἀνεῖλεν αὐτόν, ὅτι ἐν Αὐλίδι ἐσφαγίασεν Ἰφιγένειαν: — MTAB

576 οὐχ αὑτῇ δίκην ἐπέθηκεν: οὐχ ἑαυτὴν ἐτιμωρήσατο δέον τοῦτο ποιεῖν, ἀλλ᾽ ἵνα μὴ δίκας ἀπαιτηθῇ τῆς μοιχείας, προτέρα ἐφόνευσεν: — MTAB$^{i}$

580 περὶ τοῦ φόνου δικαζόμενος: — M$^{i}$TA$^{g}$

582 παρεδίδου εἰς μανίαν: — M$^{i}$T

585 σύ τοι φυτεύσας: Ὁμηρικὸν ὡς τὸ [E 875]· 'σοὶ πάντες μαχόμεσθα· σὺ γὰρ τέκες ἄφρονα κούρην': — MTA$^{1}$B

590 ἀντὶ τοῦ ἀμίαντον σῶφρον: — M$^{i}$TA$^{1}$B$^{i}$

† τὴν γὰρ κοίτην τοῦ ἀνδρὸς ἀπαράθραυστον διετήρησεν: — A$^{1}$

592 διαδίδωσιν: — M$^{g}$TA$^{g}$B$^{i}$

597 ἢ οὐκ ἀξιόχρεως ὁ θεός: εἴπερ ὁ θεός, εἰς ὃν ἀναφέρω τὴν αἰτίαν τοῦ μύσους, οὐκ ἔστιν ἱκανὸς λῦσαι με τοῦ μιάσματος, ποῖ φύγω: — MTAB

---

1 initio add. ἀπρεπῶσ ἔφρασεν ἔθυσα δὲ καὶ ἐπὶ τούτω τὴν μητέρα MTA ἢ τάχα] τάχα δὲ B 2 εὐσεβέσ A 3 δὲ καὶ AB 4 initio add. ἀντὶ τοῦ A ὀλίγει TA φράσει A καὶ om. A 5 τὸ φονεύειν τ. ἰ. ἄ. AB$^{i}$ 6 ἔμελλεν] ἦν A 7 μόνον om. A τὰ τῆς] τάσ MT 9 ἀντὶ τοῦ ἔ.—ἐγκαλουμέναις om. B 9. 10 ἀντὶ τοῦ διαβαλλομέναις] αὐταῖσ διαβαλλουμέναισ M αὐταῖσ διαβαλουμέναισ T ἐφῶτινι δεῖ ἢ αὐταῖσ ἐγκαλούσαισ A προφαλλομέναισ B 10 ὅτι τύχοι καὶ ὅτι δήποτε B 11 ὅτι—αὐτὸν om. A ἀνεῖλον T 13 ἑαυτὸν T 14 τοῦτο εἰπεῖν MT εἰπεῖν τοῦτο A ante ἀλλ᾽ ins. τουτέστιν οὐχ᾽ ἑαυτὴν ἐτιμωρήσατο A ἀπαιτηθείη A 14. 15 ἐφόνευσε πρῶτον A 18 ὡς om. MTB 19 ἔτεκες T κούρην om. A$^{1}$ 20 ἀντὶ τοῦ om. B$^{i}$ 21 scholio quod praecedit add. A$^{1}$ 23 εἴπερ om. T ἢ B 24 ἔσται A post ἱκανὸς add. καὶ ἀξιόπιστοσ ἐχέγγυοσ τοῦ B λῦσαι με] λαιμε M με τοῦ μιάσματος om. TA 24. 25 ποῖ φύγω om. B

ἱκανὸς ἐχέγγυος ἀξιόπιστος: — M[1]T

599 εἰ μὴ ὁ κελεύσας: παρὰ τὸ σχῆμα καὶ τὸ χ̅ παράκειται: — MTAB

γράφεται ῥύσεται τὸ μὴ θανεῖν. περισσὸν δὲ τὸ ἓν μή. ἔστιν Ἀττικόν: — MTAB

600 ἀλλ' ὡς μὲν οὐκ εὖ: τὸ ἑξῆς· ἀλλ' ὡς μὲν οὐκ εὖ τάδε εἴργασται, μὴ λέγε: — MB[i]

603 μὴ πίπτουσιν εὖ: ἀντὶ τοῦ ἀπαντῶσιν. εἴρηται δὲ ἀπὸ μεταφορᾶς τῶν κύβων. καὶ Σοφοκλῆς [frg. 809]· 'ἀεὶ γὰρ εὖ πίπτουσιν οἱ Διὸς κύβοι': — MTAB

605 ἀεὶ γυναῖκες ἐμποδών: ἀεί, φησίν, αἱ γυναῖκες ταῖς ἰδίαις δυστυχίαις ἐμποδίζουσι ταῖς εὐτυχίαις τῶν ἀνδρῶν: — MTAB

ἄλλως: ἀεὶ γυναῖκες ἐμποδίζουσι ταῖς ἀγαθαῖς συντυχίαις καὶ πρὸς τὸ δυστυχεῖν ἄγουσι τοὺς ἄνδρας. συμφορὰς δὲ νῦν τὰς συντυχίας. πεφύκασι, φησίν, αἱ γυναῖκες ἐμποδίζειν τοῖς ἀνδράσι καὶ ἐν ταῖς πρὸς τούτους συντυχίαις καὶ κοινωνίαις ἄγειν αὐτοὺς πρὸς τὸ δυστυχέστερον. ἢ οὕτως· πεφύκασιν αἱ γυναῖκες ἐμποδίζειν τοῖς ἀνδράσι ταῖς παρ' ἑαυτῶν συμφοραῖς ἐν τοῖς καλοῖς καὶ πρὸς τὸ δυστυχέστερον αὐτοὺς ἄγειν: — MTAB

609 παρορμήσεις: — M[g]A[g]B[i]

2 initio add. ἄλλως εἰ μὴ ὁ κελεύσας ποῦ φύγω εἰ μὴ ῥύσεταί με μὴ θανεῖν B    περὶ MTAB    δὲ καὶ B    2—4 παράκειται—θανεῖν om. B    2 παράκειται A  παρὰ MT    4 γράφεται] γὰρ MTA    τὸ] αὐτὸν MTA    θανεῖν θανεῖται MTA    δὲ] γὰρ B    ἓν om. T  ἐν A  δὲ B    μή om. spatio relicto A    5 καὶ ἔστιν A  τὸ ἔτι καὶ ἔστιν B    in fine add. τὸ τοιοῦτον A    7 καὶ μὴ M    8 ἐκ A    9 πεσσῶν A    Σοφοκλῆς] σοφὸς A    ἀεὶ] δεῖ A    9. 10 εὖ πίπτουσιν alii quos uideas apud Nauckium ἐμπίπτουσιν MTAB    12 εὐτυχίαις] δυστυχίαις A    13 ταῖς συντυχίαις τῶν ἀνδρῶν A    13. 14 καὶ—ἄνδρας om. A    14 συμφορὰς] συμφ^ὸρ A    post νῦν add. λέγει T  λέγειν A  post συντυχίας add. καλεῖ B    15 φησὶν om. A    16 τούτοις M  τούτου B    17 ἐμποδίζειν αἱ γ. B    17. 18 ταῖς—κακοῖς spatio uacuo ins. A[1]    τοῖς ἀνδράσιν post συμφοραῖς coll. A[1]B    18 κακοῖς A[1]    καὶ—ἄγειν om. A, sed spatio satis magno a ceteris separata habet ταῖς ἀγαθαῖς κοινωνίαις· εἰς τὸ δυστυχέστερον A add. ἄγειν αὐτοὺς A[1]    τὸ om. M    δυστυχέστατον MT    praeterea habet ἀεὶ γυναῖκες: ἀεὶ αἱ γυναῖκες ἐμποδίζουσι ταῖς ἀγαθαῖς συντυχίαις καὶ πρὸς τὸ συντυχεῖν ἄγουσι τοὺς ἄνδρας συμφορὰς νῦν λέγει τὰς συντυχίας A[1]

610 καλὸν πάρεργον: ἀντὶ τοῦ σπουδαῖον. τῶν ἐμῶν πόνων καλὸν αὐτὸ ἡγήσομαι πάρεργον. πόνων δὲ λέγει τῶν κατὰ τὸν τάφον θυσιῶν· ὡς ἐν παρέργῳ δὲ τὸν κατὰ Ὀρέστου λόγον ποιεῖται. καὶ τὸ πάρεργον ὡς ἔργον, φησί, θήσομαι: — MTAB

καὶ ἐγὼ μέν, φησίν, ἦλθον τὰ πρὸς τὴν θυσίαν ἐκπονήσων τῇ θυγατρί, νῦν δὲ ὑπὸ σοῦ παροξυνθεὶς διὰ σπουδῆς καὶ τοῦτο θήσομαι τὸ ἔργον, τὸ σὲ φονευθῆναι, καὶ παραγενόμενος εἰς τὴν ἐκκλησίαν ἤδη παροξυνῶ πάντας κατὰ σοῦ καὶ μὴ βουλομένους. πάρεργον δὲ εἶπεν, ἐπεὶ οὐ τοῦτο ἦν αὐτῷ τὸ προκείμενον: — MTAB

612 τὸν ἐκκλησιάζοντα: — M[g]A[x]B[i]

618 ὀνείρατ': τὴν μοιχείαν λέγει· κατὰ κοινοῦ δὲ τὸ ἀπαγγέλλουσα, ἵν' ᾖ· καὶ τὸ Αἰγίσθου λέχος ἀπαγγέλλουσα ὃ μισήσειαν οἱ θεοί: — MTB

620 οἱ νέρτεροι θεοί: ἐπειδὴ περὶ τεθνεῶτος διαλέγεται, νερτέρους εἶπεν: — MAB

καὶ γὰρ ἐνθάδ' ἦν πικρόν: καὶ γὰρ ἐνταῦθα τοῦ ἔργου πικρὸν ἦν, φησί, τὸ πραττόμενον ὑπὸ ταύτης. τουτέστι· κατ' αὐτὸ γὰρ τοῦτο μάλιστα πικρότατον ἦν αὐτῇ συνεχῶς τὸ λέχος καὶ τὴν μοιχείαν ὀνομάζουσα κἀκ τούτου παροξύνουσα τὸν ἀδελφόν. ἢ οὕτως· καὶ γὰρ κατ' αὐτὸ τοῦτο πικρὸν ἦν τὸ πρᾶγμα, ὅτι μοιχεία ἦν. ἢ τὸ ἐνθάδε ἀντὶ τοῦ κατὰ τὸν ἐν τῷ ζῆν βίον, οἷον· αὕτη σε ἐξηγρίωσεν ὀνομάζουσα τὸ ἐκείνης λέχος καὶ τὴν μοιχείαν Αἰγίσθου, ἣν εἴη καὶ τοὺς χθονίους μισῆσαι θεοὺς καὶ τὰς τῶν κατοιχομένων ψυχάς. καὶ γὰρ τοῖς ζῶσι πικρὸν ἦν ἡ μοιχεία: — MTAB

---

2 αὐτὸν M om. B  δὲ λέγων MT λέγων A  κατὰ τάφω M κατὰ ταφὴν T  3 τοῦ ὀρέστου A  4 ἔργω T  5 τὰ] τὸ B  ἐκπονῆσαι B  7 παραγενάμενος MT παραγενομένων A  8 παροξύνων T  10 lex. Cant. p. 339,10  11 κατὰ] ἀπὸ B  12 ἀπαγγέλλουσα (alterum) om. MTA  12. 13 οἱ πάντες θεοὶ A om. B  14 ἐπεὶ A ἐπεὶ δὲ B ubi haec scholio quod praecedit adiuncta sunt  τεθνεώτων M νεκροῦ A  14. 15 νερτέρους εἶπεν] διὰ τοῦτο εἶπεν οἱ νέρτεροι θεοὶ μισήσειαν B  17 φησὶ om. A  ὑπὲρ MT  post ταύτης ins. γὰρ A  19 ὀνομάζουσαν T ex ὀνομάζουσιν corr. A  παροξύνουσι A  ante ἢ οὕτως ins. ἄλλως A  20 ἢ om. A  τὸ] τοῦ MT  21 ἐξώγρησεν B  22 τὸν ἐκείνης λόγον A  Αἰγίσθου om. A signo lacunae posito  ἣν] ἵν' A  εἴην M  23 μισεῖσθαι B  θεοὺς μισῆσαι A  τὰς om. A  κατοιχουμένων MT  23. 24 καὶ—μοιχεία om. A signo lacunae posito  24 ἦν ἡ T ἦν M ἡ B

621 ἕως ὑφῆψε: ἐπεὶ τὸ ὑφῆψεν εἶπεν ἀντὶ τοῦ ἀπώλεσεν, προσέθηκε καὶ τὸ δίχα πυρός: — MTAB

ἐπεὶ μεταφορᾷ χρώμενος εἶπεν ὑφῆψε δῶμα, οἷον ἀπώλεσεν, ἐπήνεγκεν ἀνηφαίστῳ πυρί, δηλονότι ἄνευ πυρὸς διέφθειρε τὸν οἶκον: — MTAB

623 ἐν φροντίδι ἔχεις: — M$^g$A$^g$

κῆδός τ' ἐμόν: ἐν φροντίδι ἔχεις. οἷον· εἰ ἐφορᾷς τὸ παρ' ἐμοῦ μῖσος καὶ τὴν ἐμὴν συγγένειαν καὶ φιλίαν: — TAB

626 ἢ μὴ 'πίβαινε Σπαρτιάτιδος: Λακεδαίμονος πρῶτος ἦρξε Λέλεξ, ἀφ' οὗ καὶ Λέλεγες ὠνομάζοντο. ἔσχε δὲ παῖδας ἐκ Περιδίκης Μύλην, Πολυκάονα, † βωμολόχον, Θεράπνην. τούτων ὁ Μύλης ἐκ Κλεοχαρείας ἴσχει Εὐρώταν καὶ Πελίαν. Εὐρώτας δὲ ἄρξας μετὰ τὸν κατακλυσμὸν ⟨τὸ⟩ λιμναζόμενον ἐργασάμενος καὶ ποταμὸν ποιήσας Εὐρώταν ὠνόμασεν. οὗτος ἐκ Κλήτας ἴσχει θυγατέρα Σπάρτην, ἣν ἀγαγόμενος Λακεδαίμων ὁ Ταϋγέτης ἄρξας τοὺς μὲν Λέλεγας Λακεδαιμονίους, τὸ δὲ ὄρος Ταΰγετον καὶ πόλιν κτίσας Σπάρτην ὠνόμασεν: — MTAB

ταύτην γὰρ αὐτῷ εἰς προῖκα ἔδωκεν ὁ Τυνδάρεως: — A$^g$B$^i$

630 στεῖχ' ὡς ἀθορύβως: πορεύου, ὅπως ὁ προσελθών μοι λόγος τοῦ γήρως τοῦ σοῦ ὑπείκοντος ἀθορύβως πρὸς τὸν Μενέλαον γένηται: — MTAB

632 ποῖ σὸν πόδ': ὡς τῷ ποδὶ τὸ ἔδαφος περιγράφοντος αὐτοῦ

2 εἰκότως καὶ τὸ δίχα πυρὸς προσέθηκεν B  καὶ om. A  3 ἐπὶ μεταφορᾶς χρώματος spatio uacuo ins. A$^1$  ἐπι μεταφορὰς M ἐπὶ μεταφορᾶς T  ἀνῆψε MTB  4 δηλονότι] διότι A  διεφθάρη A  4. 5 τὸν οἶκον om. A  7. 8 scholiis 3—5. 1. 2 adi. B initio add. ἐναριθμῆι δὲ ἀντὶ  7 ἐν—ἔχεις om. T  8 ante μῖσος add. πρὸς αὐτὸν A  φιλίαν καὶ συγγένειαν A  9—16 cf. Paus. III 1,1.2. 19,9  9. 10 lemma et scholion usque ad παῖδας spatio uacuo ins. A$^1$  πρῶτον M  10 ἔσχε M  περιδίκης A περιδίας MTB  11 μύλωνα A  πολύκλωνα MTAB  μωμολόχον T βωμο^γ A  μύλων A  12 τιλαιά^χ A τηλεδίκης MB τησεδίκης T cf. Apollod. III 10, 3, 1  εὐρώταν καὶ παιδιαν spatio uacuo ins. A$^1$  Πελίαν] παιδιαν A$^1$ κηπεδίαν TB κηπαιδίαν M cf. Paus. VII 18,5  13 λιμναζόμενον spatio uacuo ins. A$^1$  14 ἐκ Κλήτας] ἔκκλητος MT  θυγατέρας M  15 ἀγόμενος MTA  ταυγέτης A ταύτης MTB  16 ἣν ἔκτισε B  19 ὁ om. M  20 τοῦ σοῦ γήρως B  ἀθόρυβος A  21 γενήσεται A  22 τοὔδαφος αὐτοῦ περιγράφοντα A

καὶ διστακτικῶς ἀναλογιζομένου εἰ δέοι βοηθεῖν, ὅπερ ποιοῦσιν οἱ ἀμηχανοῦντες ἐν πράγματι: — MTAB

635 ὅπῃ τράπωμαι: ποῦ τῆς τύχης τράπωμαι, πότερον σοὶ συνέλθω ἢ Τυνδάρεῳ: — MTAB

636 μὴ νῦν πέραινε: μηδ' οὖν τὸ δοκοῦν σοι εἰς πέρας ἄγε, πρὶν ἀκούσῃς τοὺς ἐμοὺς λόγους. ἐπεὶ γὰρ ἐν ἑαυτῷ βουλευόμενός φησι διὰ τὴν τύχην ἀμηχανεῖν ὅπῃ τράπηται, παραινεῖ αὐτῷ μήπω τῇ δοκήσει πέρας ἐπιθέναι πρὶν ἀκοῦσαι τοὺς αὐτοῦ λόγους, καὶ οὕτως βουλεύσασθαι: — MTAB

638 οὗ σιγὴ λόγου: οἷον· ἔστιν ὅπου ἡ σιγὴ κρείσσων τοῦ λόγου καὶ ἔστιν ὅπου ὁ λόγος τῆς σιγῆς κρείσσων: — M¹TAB

640 λέγοιμ' ἂν ἤδη: ἐναντιοῦται τῇ Μενελάου βραχυλογίᾳ τὴν μακρηγορίαν τῶν λόγων προκρίνων. οἱ γὰρ Λάκωνες βραχυλόγοι. καὶ Ὅμηρος [Γ 214]· 'παῦρα μέν, ἀλλὰ μάλα λιγέως'. ὁ δὲ νοῦς· ἡ μακρὰ διήγησις σαφέστερον παρίστησι τὸ πρᾶγμα τῶν συντόμων λόγων. τὸ δὲ ἐπίπροσθεν ἀντὶ τοῦ· προτιμότερά ἐστι τὰ μακρὰ διηγήματα τῶν συντόμων λόγων: — MTAB

ἔνιοι ἀθετοῦσι τοῦτον καὶ τὸν ἑξῆς στίχον· οὐκ ἔχουσι γὰρ τὸν Εὐριπίδειον χαρακτῆρα. καὶ πεποίηται ὁ νοῦς διὰ τὸν Μενέλαον· οἱ γὰρ Λάκωνες βραχυλόγοι: — MTB

τὰ μακρὰ τῶν μικρῶν: Λακεδαιμόνιος ὁ Μενέλαος, Λακεδαιμόνιοι δὲ οὐχ ἥκιστα τῇ συντομίᾳ χαίρουσιν. προθεραπεύει τοίνυν τὸν ἀκροατήν, ἵνα ἀναμείνῃ τὸ μῆκος τῶν λόγων ἀλύπως: — MTA

---

1 καὶ—βοηθεῖν om. A sed in fine add. καὶ διστακτικῶσ ἀναλογιζόμενοι εἰ δέοι μαθεῖν post διστακτικῶς add. ἔχοντοσ καὶ B βοηθεῖν] μαθεῖν MT ταῦτα ποιεῖν B ὅπερ καὶ MT οἱ] ὡσ M 2 πράγμασι B 3 ποῦ] παρὰ T 4 in fine add. τοῦτο γὰρ δηλῶσαι ἠβούλετο B 5—7 μηδ'—τράπηται] τὴν δόκησιν A sed in fine add. ἐπεὶ γὰρ—παραινεῖ αὐτῶ 5 μηδ' οὖν] μὴ B 6 ἀκούσεις MB 6. 7 ἐν—ἀμηχανεῖν] ἐν ἐνδοιασμῶι ἦν ἀμηχανῶν διὰ τὴν τύχην B 6 φησὶ om. M 7 παραινεῖ] περαίνειν A αὐτὸν MT 8 ἐπιθεῖναι AB αὐτοὺσ M 8. 9 βουλεύσεται A 10 σισιγὴ M¹ 11 κρείσσων τῆσ σιγῆσ A 12 πρὸσ τὴν μ. βραχυλογίαν A μενελάωι M 13 μακρολογίαν MTB τῶν λόγων om. B καὶ om. T 15 post διήγησις add. καὶ τὸ διὰ πλειόνων ποιεῖσθαι τὴν ἀφήγησιν AB post λόγων add. ἀνάσχου οὖν τῆσ ἐμῆσ μακρολογίασ ἐπεὶ σαφεστέρα ἐστί AB eadem in fine add. MT 16. 17 τὸ—λόγων om. A 16 προτιμιώ M 18—20 scholio quod praecedit adi. B add. δὲ post ἔνιοι 21 ἐστὶ ὁ A

ὅτι βραχυλογίαν ἀσκοῦσιν οἱ Λάκωνες. ἀνέχου οὖν, φησί, τῆς ἐμῆς μακρολογίας, ἐπεὶ τὰ μακρὰ καὶ σαφέστερα: — MT

643 ἃ δ' ἔλαβες: τούτου ῥηθέντος αἴρουσιν οἱ ὑποκριταὶ τὴν χεῖρα ὡς τοῦ Μενελάου ἀγωνιῶντος μή ποτε λέγει ὅτι παρακαταθήκην ἀργυρίου παρὰ τοῦ πατρὸς πεπίστευται. εὐήθης δέ ἐστιν ὁ τοιαύτης ὑποψίας ἀντιλαμβανόμενος Μενέλαος. εἰ γὰρ μήτε τὸν λέγοντα ᾔδει μήτε οὗ ἐστι χρεία, ἴσως ἂν εἶχέ τι πιθανὸν τὸ γινόμενον· ἐπεὶ δὲ ἐπίσταται, περιττὸν καὶ ἄπορον τὸ δρώμενον: — MTAB

644 οὐ χρήματ' εἶπον: οὐ λέγω, φησί, χρήματα, χρυσὸν καὶ ἄργυρον, ἀλλὰ τῷ ὄντι χρήματα εἶπον, τὴν ἐμαυτοῦ ψυχήν, ἥτις ἐστί μοι χρῆμα τιμιώτατον· ἣν ἐὰν σώσῃς, καλὴν ἀμοιβήν μοι δίδως: — MTAB

ἄλλως: οὐ χρυσὸν ὠνόμασα χρήματα, ἀλλὰ χρήματά φημι τὴν σωτηρίαν τῆς ἐμῆς ψυχῆς: — MT

646 τὸ τέλειον χρή με: — M[κ]T

ἀδικῶ· λαβεῖν χρή μ': κατὰ συλλογισμόν φησιν· ἀλλὰ λέγεις ὅτι ἀδικῶ εἰς ἄδικον ἐπικουρίαν σε παρακαλῶν. οὐκοῦν καὶ σὺ ἀδίκησον δι' ἐμέ, ὡς καὶ ὁ πατήρ μου διὰ σὲ ἠδίκησε βαρβάρους. δεῖ γάρ με ἀντὶ τῆς ἀδικίας ἐκείνης καὶ τοῦ κακοῦ ἐκείνου ἄδικόν τι λαβεῖν παρὰ σοῦ, ὅ ἐστιν· εἰ κρίνοις κακὸν εἶναι τὴν ἐμὴν ἐπικουρίαν, δικαίως ἂν καὶ τὴν ἐπικουρίαν τοῦ ἐμοῦ πατρὸς κακὸν ὀνομάσειας. ἀλλ' οὐκ ἠδίκησεν ὁ πατὴρ ἐν καιρῷ σοι βοηθήσας· οὐκοῦν οὐδὲ σὺ ἀδικήσεις: — MTB

ἀδικῶ· λαβεῖν χρή μ': οἷον· ὁμολογῶ ἀδικεῖν· δός τι καὶ σύ μοι ἄδικον καὶ ἀδίκησον δι' ἐμέ: — TAB[i]

ἄλλως: ὁμολογῶ ἀδικῆσαι φονεύσας τὴν μητέρα. ἀλλ' ὅμως χρὴ καὶ σὲ ἀδικῆσαι δι' ἐμέ, ὅτι καὶ ὁ πατήρ μου ἠδίκησε διὰ σέ: — A

---

2 βραχυλογίας M 3—8 cf. ct. Gud. p. 79,19 4 ἀγωνιοῦντος T 5 ἀργυρίου om. A παρὰ om. M πεπιστεῦσθαι A εὐήθως MT 6 μενελάου M εἰ] οἱ M 7 ἂν εἶχε B γὰρ ἔχει MTA πιθανὸν om. spatio relicto A 8 ἐπίσταται] ἐπείγει M ὁρώμενον MTAB 9 χρήματα om. A 10 φησὶ χρήματα A τὴν σωτηρίαν τῆς ἐμαυτοῦ ψυχῆς A 11 μοι δίδως B om. MT καὶ τὸ τέλειον χρῆμα (= 15) διδῶς τῷ ἐμῷ A 15 scholio p. 164,11—20 praefixit T τὸ πλῆρες T 17 παρακαλῶ M περιβαλὼν B 18 τοὺς βαρβάρους B 19 καὶ — ἐκείνου om. B τι om. MT 20 κρίνῃς MT κρίνεις B 22 βοηθείας MT 24 οἷον om. A 25 καὶ ἀδίκησον om. B[i]

† ἄλλως: εἰ καὶ ἄδικον ἐποίησα φονεύσας τὴν μητέρα, ἀλλὰ σὺ ἐν τοιούτῳ μοι κακῷ ὄντι παραστῆναι ὀφείλεις καὶ ὅση δύναμις ὑπὲρ ἐμοῦ ἀγωνίσασθαι· ἐν τούτῳ γὰρ μάλιστα δειχθήσῃ γνήσιος φίλος, ἐπὶ ὁμολογουμένοις κακοῖς μοι συνεργόμενος. εἰ γὰρ τὰ δίκαιά μου παντελῶς ἔρρωτο, τῆς παρ' ἑτέρων ἐπικουρίας οὐκ ἐδεόμην. ἐν ἤθει ἀναγνωστέον ἀδικῶ καὶ στίζειν. εἶτα ἀπὸ ἄλλης ἀρχῆς λαβεῖν χρή μ' ἀντὶ τοῦδε τοῦ κακοῦ, οἷον ἀντὶ τῆς περιεχούσης με δυστυχίας ἄδικόν τι αἰτῶ, καὶ γὰρ Ἀγαμέμνων ἄναξ ἀδίκως καὶ τὰ ἑξῆς. τὸ δὲ ἀντὶ τοῦδε τοῦ κακοῦ ἀντὶ τῆς παρὰ τοῦ πατρὸς βοηθείας. καὶ οὐδὲν εἶπε καθ' ὑπόθεσιν: — TAB

† ἄλλως: ἀλλ' ἀδικῶ, φῄς, εἰς ἐπικουρίαν παρακαλῶν. οὐκοῦν καὶ σὺ ἀδίκησον δι' ἐμέ· προσήκει γὰρ κἀμὲ ἐπικουρίαν λαβεῖν παρὰ σοῦ κἂν ἄδικος ᾖ· κατὰ γὰρ τοῦτον τὸν λόγον καὶ ὁ ἐμὸς πατὴρ ἠδίκησεν ἐπιστρατεύσας κατὰ βαρβάρων οὐκ ἰδίας ἑαυτοῦ χρείας ἕνεκεν, ἀλλὰ σοὶ χαριζόμενος. εἰ οὖν, φησίν, ἀδικίαν ταύτην φῂς εἶναι τὸ βοηθηθῆναί με παρὰ σοῦ, καὶ τοῦτο κἀγὼ τὸν ἐμὸν πατέρα ἠδικηκέναι φημὶ ὅτι σοὶ βεβοήθηκεν. ὅθεν σὺ ἀντίδος ὑπὲρ τῆς ἀδικίας ταύτης, ὡς φῄς, ἐπικουρίας χάριν ὁμοίαν κἂν ἄδικος ᾖ κατά γε τὸν σὸν λόγον. ἀλλ' οὐκ ἠδίκησεν ὁ πατὴρ σοὶ δεομένῳ βοηθήσας· οὐκοῦν οὐδὲ σὺ ἀδικήσεις ἐν καιρῷ τὴν ἀμοιβὴν ἀποδιδούς. κατὰ γὰρ συλλογισμὸν προῆκται ὁ λόγος: — T

650 ἀντὶ τοῦ· καθὸ ἠδικήθης παρὰ Ἀλεξάνδρου: — M[g]B[i]

ἀπέδοτο δ' ὡς χρή: τὸ ἑξῆς· ἀπέδοτο δὲ τὸ σῶμα, ὅ ἐστιν· ἔκδοτον ἑαυτὸν τοῖς πολεμίοις παρέσχεν, ὡς πρέπει τοῖς γνησίοις φίλοις, καὶ κατατρωθῆναι τὸ πᾶν σῶμα τὸ ὅσον ἐφ' ἑαυτῷ εἵλετο διὰ τὴν σὴν γυναῖκα. οἷα χρὴ τοῖς φίλοις τοὺς φίλους ἐκπονεῖν. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ ἐκπονεῖν, ἵν' ᾖ τὸ ἑξῆς· ὡς χρὴ τοὺς ἀληθεῖς φίλους ἐκπονεῖν τοῖς φίλοις, ἀπέδοτο τὸ σῶμα, σοὶ παρ' ἀσπίδα ἐκπονῶν αὐτὸ τοῦτο: — MTAB[i]

---

1 ἐποίησα] ἐστὶ A 3 δειχθήσῃ om. T 4 μου] μοι A 5 ἤθει δὲ B 6 καὶ om. A καὶ δεῖ B εἶτα om. spatio relicto A χρῆμα A 8 post ἄδικόν τι lacunam reliquit nouem linearum A 9 περὶ A 10 οὐδὲ A 11 φησὶν T 15 βοηθῆναί T 18 κἂν] καὶ T ᾖ] εἰ T 19 σοὶ] σοῦ T 22—26 initium scholii usque ad πτέον (= ληπτέον 26) om. in spatio illo uacuo A 22 δὲ om. B[i] 24 πᾶν τὸ σῶμα B[i] τὸ om. B[i] ἑαυτὸ MB 25 ἐκπονεῖν B[i] om. MT 25—28 ἀπὸ—τοῦτο] τοῦτο γὰρ ἀπὸ κοινοῦ ληπτέον B[i] 27 σοὶ—ἐκπονῶν om. spatio relicto A αὐτὸ] τὸ A in fine add. λείπει ἡ κατὰ ἵν' ᾖ κατ' αὐτὸ τοῦτο δεῖ τοὺς φίλους βοηθεῖν τοῖς φίλοις ὅ ἐστι τὸ α ἀπότισον οὖν δυνατόν (= p. 166,21.22) A

655 *ἀπότισον οὖν μοι:* ὁ πᾶς λόγος· ἀπόδος μοι τὴν ἴσην χάριν ἧς ἔλαβες ἐν Ἰλίῳ παρὰ τοῦ πατρός, καὶ μόνην ἡμέραν ὑπὲρ ἐμοῦ πόνησον μηδὲ τὴν θυγατέρα φονεύσας, ἐπειδὴ δεῖ σε, ὥσπερ πλεονεκτεῖς μου τῇ εὐδαιμονίᾳ, πλεονεκτεῖν καὶ ἐν τῇ ἀμοιβῇ τῆς εὐεργεσίας: — MTAB

658 *ἃ δ' Αὐλὶς ἔλαβε:* περὶ Ἰφιγενείας λέγει, ἣν ἔχρησεν ὁ θεὸς ἀπλοίας ἐπεχούσης τοὺς Ἕλληνας Ἀρτέμιδι θῦσαι: — MTAB

Αὐλὶς πόλις Βοιωτίας. ἐνταῦθα ἐπεσχέθησαν οἱ ἐπιστρατευόμενοι εἰς Ἴλιον οὐ πνέοντος οὐρίου ἀνέμου διὰ τὰς καυχήσεις Ἀγαμέμνονος. τοξεύσαντος γὰρ τὴν ἔλαφον καὶ εἰπόντος μηδ' ἂν τὴν Ἄρτεμιν οὕτως βαλεῖν * *: — MTAB

*σφάγι' ἐμῆς ὁμοσπόρου:* ταὐτὸν οὐκ αἰτῶ σε, φησί, τὴν θυγατέρα, τὴν Ἑρμιόνην, ἀντ' ἐμοῦ δοῦναι πρὸς σφαγήν, ὥσπερ ὁ ἐμὸς πατὴρ τὴν Ἰφιγένειαν, ἵνα τὴν γαμετὴν ἀπολάβῃς. ἀλλὰ σὺ μὲν ἔχε τοῦτο πλέον καὶ κερδᾶναι παρὰ τοῦ δαίμονος, ἐπεὶ σοὶ μὲν εὐτυχίας, ἐμοὶ δὲ δυστυχίας καιρός· ἐγὼ δέ σοι χάριν ἕξω σώσαντι μόνον κἂν μὴ τῷ αὐτῷ τρόπῳ σῴζῃς ἡμᾶς ἀντ' ἐμοῦ δοὺς τὴν Ἑρμιόνην. ἢ συναπτέον τοῦτο πρὸς τὸ *ἀπότισόν μοι*, καὶ ἔστιν ὁ λόγος οὕτως· ἀπόδος τὴν ἴσην χάριν ἧς ἔλαβες ἐν Ἰλίῳ παρὰ τοῦ πατρός, καὶ μίαν ἡμέραν μόνον ὑπὲρ ἐμοῦ πόνησον. προσήκει γάρ σοι ἐμοῦ δυστυχοῦντος

---

1 ὁ πᾶς] ὅπως T ἴσην] σὴν T 2 ἧσ B ἣν MTA ἔλαβεν B 3 πολέμησον MTA δεῖ om. A δεῖ σε ὥσπερ] δικαίως M 4 μοι MT με A τὴν εὐδαιμονίαν MT 4. 5 ἐργασίας MTA 6. 7 scholio quod sequitur adi. B initio add. νῦν οὖν 6 ἔλεγεν MTA 7 ἄρτεμι M ἄρτεμιν T 8—11 cf. schol. A 108 Hygin. 98 Procl. p. 99 scholio quod praecedit adi. MTA add. δὲ post Αὐλίς 8 οἱ om. MTA στρατευσάμενοι B 9 post Ἴλιον add. ἕλληνεσ B οὐ—Ἀγαμέμνονος om. A ἀνέμου om. MT 10 γὰρ om. B τὴν ἔλαφον om. M τὴν ἔλαφον ἄρτεμιν A μηδ'—Ἄρτεμιν] οὐδέ τινα A μηδ' ἂν B μηδὲ MT in fine add. οὔριασ οὐκ ἔπνευσεν A 12 ταὐτὸν om. TB οὐκ—σε] οὐ καὶ τὸ σαῖ M 12. 13 τὴν θυγατέρα τὴν σὴν A τὴν σὴν θυγατέρα B 13 καὶ ὁ A 14 ἵνα σὺ B τὴν γαμετὴν—ἔχε om. A 14. 15 τοῦτο μὲν ἔχε M 15 κέρδαινε B σοὶ] σὺ MT 16 καιρός om. spatio relicto A με μόνον B κἂν] καὶ A 17 τρόπῳ] ταυ A (ι superscr.) σώζεισ A δοὺσ] οὐ M ἢ] ὡσ A 18 συναπέον M ἀπόστησόν M ἀπότισον οὖν TA 19 ἣν TA 20 πόνησον ὑπὲρ ἐμοῦ A πόνεσον MT

τὰ νῦν μηχανᾶσθαί τι πρὸς τὸ ἐμὲ σῶσαι, ἐμὲ δέ σοι χάριν ὁμολογεῖν· ἵνα τὸ μεταξὺ κατ' ἐπένθεσιν γένηται: — MTAB

661 τουτέστι πλέον ἢ ἐγὼ δύνασθαι. ὁ γὰρ εὖ πράσσων τοῦ μὴ πράσσοντος πλέον δύναται λογίζεσθαι τὰ πρὸς σωτηρίαν: — MTAB

πλέον φέρεσθαι: ἀντὶ τοῦ χάριν ἔχειν καὶ ὁμολογεῖν, παρὰ τὸ συντρέχειν τῇ γνώμῃ τοῦ εὐεργετοῦντος καὶ συνέρχεσθαι τούτῳ. ἀντὶ τοῦ· δεῖ σε, φησίν, ἐμοῦ δυστυχοῦντος τοῦ πλείονος μετέχειν τῆς δυστυχίας κἀμὲ ἐφ' οἷς σοι μεταδίδωμι τῆς συμφορᾶς συγγνώμην ἔχειν, ἀντὶ τοῦ χάριν, παρὰ τὸ ὁμοῦ συντρέχειν τῇ γνώμῃ τοῦ εὐεργέτου: — MTA

χάριν σοι, φησίν, ὁμολογήσω σῳζόμενος μόνον παρὰ σοῦ κἂν μὴ τῷ ὁμοίῳ τρόπῳ σῴζῃς ἐμέ: — MTB[i]

† πλέον τι, φησίν, ἢ ἔλαβες χάριτος ἀγωνίζεσθαι: — TA

† τινὲς οὕτως· δεῖ γάρ σε πλέον φέρεσθαι καὶ λογίζεσθαι εἰς σωτηρίαν εὖ πράσσοντα ἐμοῦ κακῶς πράσσοντος. οἱ γὰρ εὐδαιμονοῦντες πλέον δύνανται βουλεύεσθαι τῶν κακῶς πρασσόντων: — TA

662 μὴ εἰς Ἅιδου, ἀλλ' εἰς σωτηρίαν. πατρί οὖν, διὰ τὸν πατέρα: — M[i]B[i]

† ψυχὴν δ' ἐμήν: χάρισαι τὴν ἐμὴν ψυχὴν τῷ ἀθλίῳ μου πατρί. βούλεται γάρ με πάντως ἐκεῖνος σῴζεσθαι: — A[1]

665 αὐτὸ τοῦτο τοὺς φίλους: λείπει ἡ κατά, ἵν' ᾖ· κατ' αὐτὸ τοῦτο δεῖ τοὺς φίλους βοηθεῖν τοῖς φίλοις, ὅ ἐστι κατὰ τὸ ἀδύνατον: — MTB[i]

ἄλλως: ἀλλὰ λέγεις, φησίν, ὅτι ἀδύνατόν ἐστι τὸ βοηθῆσαί μοι, ἐγὼ δέ σοι ἀντείποιμι ἂν ὡς μάλιστά μοι διὰ τοῦτο ὀφείλεις συμβαλέσθαι εἰδὼς ὅτι ἐν τοῖς ἀδυνάτοις δεῖ τῶν φίλων: — MTAB

---

1 σε χάριν MA χάριν σοι B 2 κατὰ πένθεσι A 3. 4 scholio quod praecedit adi. MTAB, initio add. τὸ οὖν πλέον κατὰ σύγκρισιν τῶν ἑαυτὸν εἴρηκε A 3 δύνασθαι] δύνασαι MTAB 5 ἀντὶ τοῦ] οὕτω τὴν A περὶ MTAB 6 συντρέχειν] συγγνώμην ἔχειν MTAB συνανέχεσθαι MTAB 7 ἀντὶ τοῦ δεῖ] δεῖ γάρ A 7. 8 τὴν δυστυχίαν MTAB 9 παρὰ—εὐεργέτου om. A περὶ τοῦ ἐμοῦ T 12 σώζεισ T σώσῃσ B[i] με B[i] 13 ἢ om. T 14 οὕτωσ οὐ T 15 πράττοντοσ T 16 βούλεσθαι T 17 οὖν ἤτοι B[i] 21 λείπει ἡ κατά] λύεται τῇ κατά αὕτη γὰρ λείπει B 22 ante ἀδύνατον add. ἔξωθεν MT 24—26 bis scriptum in M (M et M[a]) 24 τὸ om. T 25 ἀντείποιμι om. M ἂν add. A[1] με A 25. 26 συμβαλέσθαι ὀφείλεισ B 26 τοὺσ φίλουσ A

† ἄλλως: ἀλλὰ ἐρεῖς, φησίν, ὅτι ἀδύνατόν ἐστι βοηθῆσαι. εἶτα ἔξωθεν προσληπτέον· καθὸ μέγα ἐστὶ καὶ ἀσύγγνωστον τὸ ἁμάρτημα, ὅπερ ἀπεσιώπησεν Ὀρέστης. ἀλλὰ κατὰ τοῦτο, φησί, καθὸ ἀδύνατον εἶναι δοκεῖ, βοήθησον· ὁ γὰρ γνήσιος φίλος ἐν τοῖς μεγίστοις κακοῖς δείκνυται: — TAB

670 οὐ κολακείᾳ, ἀλλ' ἀληθείᾳ: — $M^{1}A^{g}B^{1}$

671 ἀντὶ τοῦ· πρὸς ταύτης σε ἱκετεύω: — $M^{g}A^{g}B^{1}$

671 ταύτης ἱκνοῦμαι σ': ἀντὶ τοῦ πρὸς ταύτης ⟨σε⟩ ὁρκῶ βοηθῆσαί μοι. ἢ δέομαί σου πρὸς ταύτης ὅπως ἄν μοι βοηθήσειας. εἰς τιμὴν αὐτῆς. τὸ δὲ ἑξῆς ἠρέμα καθ' ἑαυτὸν λέγει οἰκτείρων ἑαυτὸν ὅτι μέχρι τοσούτου προῆλθεν αὐτῷ τὰ τῆς δυστυχίας, ὡς διὰ τοῦ μεμνῆσθαι τῆς Ἑλένης προσδοκᾶν βοηθείας τυχεῖν. ἀνάξιον γὰρ ἑαυτοῦ ἡγεῖται τὸ καὶ μόνον μεμνῆσθαι τοιαύτης γυναικός, μήτι γε καὶ δοκεῖν σῴζεσθαι δι' αὐτῆς: — $MTA^{1}B$

† δυστυχὴς οὖν, φησίν, ἐγὼ εἰς τοιοῦτον κακὸν ἐλθών. διὰ γὰρ γυναικὸς τῆς πᾶσιν Ἕλλησι κακῆς σωθήσεσθαι προσδοκῶ: — TB

672 εἰς οἷον ἥκω: ἀλλὰ τί, φησί, μωραίνω τὸ παρὰ ταύτης σωθήσεσθαι παραιτούμενος. ἀνάγκη γάρ ἐστι καὶ πρὸς τοῦτο καταβαίνειν οἰκτρότητος καὶ πάντα ὑπομένειν κἂν αἰσχύνην μοι φέρῃ. οὐ γὰρ ἐγὼ μόνος, ἀλλὰ καὶ πᾶς ὁ οἶκος ὁ ἐμὸς κινδυνεύει: — MB

† ἔστι δὲ καὶ ἑτέρα ἐκδοχὴ τούτου, συναπτομένου τοῦ ταύτης ἱκνοῦμαι πρὸς τὸ ὑπὲρ γὰρ οἴκου παντὸς ἱκετεύω τάδε, εἴγε ὡς τοῦ Μενελάου ἀπεστραμμένου τὴν ἱκεσίαν αὐτὸς δυσφορῶν λέγει· δυστυ-

---

1 ἄλλως ἐρεῖς A ἀλλὰ λέγεις T ἀλλ' εἴπῃς B ἐστι om. B 2 παραληπτέον A 2. 3 ἀπεσιώπησαν B ἀπεσκόπησεν A 3 ὁ ὀρέστης T κατὰ om. TA τοῦτο] τοῦ T καθὰ δυνατὸν TA εἶναι δοκεῖ om. spatio relicto A sed ante βοήθησον add. φησι 7 scholio quod praecedit adi. $B^{1}$ om. ἀντὶ τοῦ et add. λέγω ἱκετεύω] ὁρκῶ τὸ δὲ ὦ μέλεος ἠρέμα πρὸς ἑαυτόν $B^{1}$ 8—12 in A extat lemma της (corr. $A^{1}$) τεκνοῦμαι σ': sed deest scholion usque ad τυχεῖν, tum lemmate ὦ μέλεος ἐμῶν κακῶν praefixo habet ea quae secuntur $A^{1}$ 11 μέχρι ὅτι MT δυστυχίας B ἡσυχίας MT 12 δοκᾶν T τύχην T γὰρ om. $A^{1}$ αὐτὸν M αὐτοῦ T ἑαυτὸν $A^{1}$ 13 ἡγεῖται τὸ $A^{1}B$ ἡγεῖτο M ἡγεῖται T μνησθῆναι $A^{1}$ 13. 14 δοκεῖν — αὐτῆς] εἰς σωτηρίαν αὐτὴν προβάλλεσθαι $A^{1}$ 15. 16 scholio quod praecedit adi. TB 15 γὰρ om. T 16 τῆς om. T in fine add. ἀνάξιον γὰρ ἑαυτοῦ ἡγεῖτο καὶ μόνον μεμνῆσθαι τοιαύτης γυναικὸς μήτι γε καὶ εἰς σωτηρίαν αὐτὴν προβάλλεται T 17 περὶ M 19 μοι φέρῃ om. M 21—p. 168,3 scholio quod praecedit adi. B 22 εἴτε B

χῆς ἐγὼ εἰς ἄπορον ἥκων κακῶν καὶ οὐκ ἔχων οὐδεμίαν καταφυγήν. καὶ πάλιν διαλαβὼν θαρσύνει ἑαυτὸν καί φησι· τί δεδοίκαμεν τὸν θάνατον· καρτερεῖν δεῖ καὶ φέρειν ἀναγκαίως τὰ παρὰ τοῦ δαίμονος: — B

† τί δέ, φησί, παραιτοῦμαι τὴν αἰσχύνην· πάσῃ μοι μηχανῇ ποριστέον τὴν σωτηρίαν. οὐχ ὑπὲρ μικρῶν γάρ μοι ὁ κίνδυνος, ἀλλ' ὑπὲρ παντὸς τοῦ οἴκου ἐστίν: — A[1]B

γράφεται χρή: — M[g]

677 ἀντὶ τοῦ· μετὰ δακρύων καὶ γόων αἰτῶ τὴν σωτηρίαν: — M[1]B[1]

681 γράφεται καὶ ὅσος τε δ' εἶ, ἀντὶ τοῦ δυνατὸς εἶ: — A[1]

ἀντὶ τοῦ ὅσον δυνατὸς εἶ: — A[g]

685 συνεκκομίζειν: οἷον· συμπονεῖν δεῖ τοῖς συγγενέσι, κἂν κίνδυνος παρῇ: — A[1]B

συνεκκομίζειν: ὅ ἐστι· συμπονεῖν δεῖ τινα ὑπὲρ τῶν συγγενῶν κἂν συμβῇ αὐτὸν ἀποθανεῖν: — T

ἀναστρεπτέον· ἔστι γὰρ κτείνοντα τοὺς ἐναντίους καὶ θνήσκοντα: — M[g]TB

687 τὸ δ' αὖ δύνασθαι πρὸς θεῶν: τοὐναντίον Αἴας φησί [P 104]· 'καὶ πρὸς δαίμονά περ, εἴ πως ἐρυσαίμεθα νεκρόν': — MTA[1]B

688 ἥκω γὰρ ἀνδρῶν: τουτέστιν οὐκ ἐπαγόμενος συμμάχους, ἀλλ' ἔρημος τῆς παρὰ τούτων δυνάμεως ὡς τῶν συμμάχων αὐτοῦ κατὰ τὴν πλάνην ἀπολομένων πλὴν ὀλίγων: — MTA[1]B

† ἢ οὕτως· ἦλθον ἔρημος συμμάχων καὶ προσέτι πλάνην ὑπέστην πολλήν: — TB

† ἥκω γὰρ ἀνδρῶν: τὸ ἑξῆς· ἥκω γὰρ ἔχων τὸ δόρυ συμμάχων ἐστερημένον καὶ προσταλαιπωρήσας τῇ πλάνῃ: — TA[1]B

---

4—6 scholio quod praecedit adi. B    4 τί δὲ φησί] τινὲς φασὶ A[1]    4. 5 ante ποριστέον add. φησὶ A[1]    5 ὁ κίνδυνος B νῦν κινδυνευτέον ἐστὶν A[1]    6 τοῦ om. A[1]    ἐστίν om. A[1]    11 οἷον om. B    12 in fine add. καὶ μάλιστα εἰ τὸ θεῖον παρέχει δύναμιν B    15 scholio 11. 12 add. B initio add. τὸ ἑξῆς    θνήσκοντας M[g]    17 τουναντίως T    18 εἰ—νεκρόν] καὶ εἴ ποτε ῥῦσαί με θάνε νεκρόν A[1]    19—21 scholio quod praecedit adi. A[1]    19 συμμάχων M    20 παρὰ om. A[1]    20. 21 ὡς—ὀλίγων om. A[1]    20 ὧν ὡς B    21 ἀπολλομένων M ἀπολλωμένων T    22. 23 scholio quod praecedit adi. TB    24. 25 scholio quod praecedit adi. TB add. δὲ post τὸ    praeterea multo post haec habet σμικρᾶ σὺν ἀλκῇ: οὐκ ἐπαγόμενος συμμάχους ἀλλ' ἔρημος τῆς τούτων δυνάμεως ὡς τῶν συμμαχούντων ταὐτῷ κατὰ τὴν πλάνην ἀπολομένων πλὴν ὀλίγων ἢ οὕτως ἦλθες ἔρημος συμμάχων καὶ προσέτι ὑπέστην πολλὴν πλάνην τὸ ἑξῆς ἥκω ἔχων τὸ δόρυ συμμάχων ἐστερημένον: — A[1]

692 ἀπὸ Πελασγοῦ τινος: — M[i]A[g]

693 ἐλπίδος προσήκομεν: προσοικειούμεθα καὶ ἐγγύς ἐσμεν ἐλπίδος: — MTA[g]B

οὐδὲ τὸ διὰ κολακείας πεῖσαι ὑπέσχετο, ἀλλὰ καὶ τοῦτο ἐν ἀμφιβολίᾳ ἀφῆκεν: — MTAB

694 σμικροῖσι μὲν γὰρ τὰ μεγάλα: τῇ δι' ὀλίγων μάχῃ τοὺς πολλοὺς νικῆσαι ἀδύνατον, ὅθεν εἰς πόλεμον μὲν αὐτοῖς παραιτητέον ἐλθεῖν· εἰ δὲ λόγοις ὑπελθεῖν δεῖ καὶ γοητεύσασθαι αὐτοὺς σοφίᾳ λόγων. ἐνταῦθα δυνησόμεθα: — MTAB

695 ἀνόητον καὶ τὸ μόνον προσδοκῆσαι τοὺς ὀλίγους τῶν πολλῶν περιγίνεσθαι: — TAB

698 ἀντὶ τοῦ θυμουμένῳ: — M[i]A[g]B[i]

700 ἀντὶ τοῦ καταπαύσειεν: — M[i]B[i]

τὴν ὀργὴν δηλονότι, ὡς ἐπὶ ἀνέμου: — M[g]AB[i]

702 ἔνεστι δ' οἶκτος: ὁ δὲ ἀντὶ τοῦ γάρ, ἵν' ᾖ· ἔνεστι γὰρ τῷ δήμῳ ἐλεεῖν. καὶ ὁ πᾶς λόγος τοιοῦτος· ἐὰν θυμουμένῳ τῷ δήμῳ εἴκῃς, πεπαύσεται ὀργῆς καὶ λοιπὸν ἔσται ἐπιτήδειος εἰς τὸ συνδραμεῖν ταῖς ἱκεσίαις. ὡς γὰρ ἐμπέφυκεν αὐτῷ τὸ μεγάλως ὀργίζεσθαι, οὕτως καὶ τὸ ἐλεεῖν, τουτέστιν· οὐ γὰρ πρὸς τὸ ὀργίζεσθαι μόνον φύσιν ἔχει, ἀλλὰ καὶ πρὸς τὸ ἐλεεῖν· καὶ τῷ δυναμένῳ τοῦτο αὐτὸ καραδοκεῖν καὶ ἐπιτηρεῖν πότε μὲν μεγάλως θυμοῦται, πότε δὲ ἀνῆκε τῆς ὀργῆς, κτῆμά

---

2. 3 scholio p. 168,24.25 adi. B initio add. τὸ δὲ ἐνταῦθ' ἐλπίδοσ προσήκομεν ἀντὶ τοῦ    4. 5 scholio quod praecedit adi. MTB, initio add. σκόπει οὖν πῶσ B    4 οὐδὲ τὸ διὰ A οὔτε διὰ τὸ MT οὔτε διὰ B    αὐτὸ MA αὐτῇ T    7 νικῆσαι] καταγωνίσασθαι B    αὐτὴν M    7. 8 ἐλθεῖν παραιτητέον A    8 λόγουσ A    αὐτοὺσ post δεῖ coll. A    λόγῳ MT    praeterea post ea quae ad p. 168,24.25 enotaui habet μάχῃ μὲν οὖν οὐχ' ὑπερβαλοίμεθα τῇ δι' ὀλίγων μάχῃ τοὺσ πολλοὺσ νικῆσαι ἀδύνατον ὅθεν εἰσ πόλεμον μὲν αὐτοὺσ ἐλθεῖν παραιτητέον εἰ δὲ λόγοισ ὑπελθών με δεῖ αὐτοὺσ καὶ μὴ γεύσασθαι σοφίαν λόγων ἐνταῦθα δυνησόμεθα οὐ τὸ διὰ κολακείασ πεῖσαι ὑπέσχετο ἀλλὰ καὶ αὐτὸ ἐν ἀμφιβολία ἀ . . . A[1]    10. 11 scholio quod praecedit adi. B post ἀνόητον add. δὲ καὶ ἀμαθὲσ    11 περιγενέσθαι B    15 ἔστι B    16 ἐλεεῖν M ἐλθεῖν TA καὶ ἐλεεῖν καὶ θυμοῦσθαι B    ὁ πᾶσ λόγοσ M ὁ πᾶσ φίλοσ T ἅπασ δὲ φίλοσ B ἔστι πᾶσ ὁ λόγοσ A    post ἐὰν ins. τοίνυν B    17 ἥκεισ M ἧκεσ A εἴκοισ T εἴκεισ B    τῆσ ὀργῆσ A    ἐστιν MT    ἐπιτήδειόσ ἐστιν B    18 ὡσ] καὶ M    19 γὰρ om. A    ἔχειν M    20 τοῦτο] ταὐτὸ A    20. 21 καραδοκεῖν – ὀργῆσ om. M    21 δὲ καὶ A    post κτῆμα ins. γάρ A

ἐστι τοῦτο τιμιώτατον, τὸ εἰδέναι ἑκατέρου τὸν καιρόν. ἢ αὐτὸς ὁ δῆμος κτῆμα τίμιόν ἐστι τῷ εἰδότι προσενεχθῆναι καθ' ὃν δεῖ τρόπον αὐτῷ: — MTAB

ὁ καιρὸς μέγα κτῆμα τῷ καραδοκοῦντι, φησί, τὸν δῆμον καὶ τηροῦντι καὶ γινώσκοντι πότε μὲν μεγάλως θυμοῦται καὶ πότε ἐλεεῖ: — MTAB

† ἄλλως: ἔνεστι τῷ πλήθει ἐλεεῖν, ἔνεστι καὶ μεγάλως θυμοῦσθαι. ὁ δέ ἀντὶ τοῦ γάρ· οὐ γάρ ἐστι μόνον πρὸς τὸ θυμοῦσθαι τὴν φύσιν, ἀλλὰ καὶ πρὸς τὸ ἐλεεῖν, καὶ τῷ δυναμένῳ τοῦτο αὐτὸ ἐπιτηρεῖν κτῆμά ἐστι τοῦτο, τὸ ἐπιτηρεῖν τὸν καιρόν, τιμιώτατον. [ὃ] ἔστι τὰ μέγιστα ἀπὸ τούτου κερδαίνειν. δηλονότι αὐτὸς ὁ δῆμος ὄφελος τῷ τοιούτῳ: — TA

† ἄλλως: ἐνταῦθα πρωθύστερός ἐστιν ὁ τρόπος· διὰ γὰρ τὴν βίαν τοῦ μέτρου οὕτως συνηρμόσθη τὸ ἔπος. ὤφειλε γὰρ οὕτως εἰπεῖν· ἔνι θυμὸς μέγας, ἔνεστι δὲ καὶ οἶκτος τῷ θυμουμένῳ δήμῳ, ὁ δὲ οἶκτος τῷ καραδοκοῦντι καὶ ταῖς ἐλπίσι τρεφομένῳ χρῆμα καὶ κτῆμα τιμιώτατον καὶ λυσιτελές: — A

τῷ δήμῳ δηλονότι: — M$^1$A$^g$

703 προσδεχομένῳ: — M$^g$A$^g$B$^i$

704 γράφεται ἐλθὼν γὰρ ἐγώ σοι Τυνδάρεων πειράσομαι: — M$^1$

705 πόλιν τε πεῖσαι: ἀντὶ τοῦ μετρίως χρῆσθαι τῷ λίαν, οἷον τῆς μετριότητος ⟨μὴ⟩ ὑφεῖναι. ἢ τῷ καλῶς λίαν χρῆσθαι, ἵν' ᾖ τὸ καλῶς ἠπίως, οἷον σφόδρα ἐνδείξασθαι τὴν πρὸς σὲ πραότητα: — MTAB

† ἄλλως: τῷ λίαν οὐχὶ φαύλως, ἀλλὰ καλῶς· ἔστι γὰρ τὸ λίαν καὶ ἐπὶ τοῦ θυμοῦ καὶ ἐπὶ τοῦ οἰκτιρμοῦ. τεθύμωται γοῦν ὁ Τυνδάρεως λίαν, ἀλλὰ πειράσομαί σοι τοῦτον πεῖσαι λίαν γενέσθαι οἰκτίρμονα: — A

706 καὶ ναῦς γὰρ ἐνταθεῖσα: καὶ γὰρ ναῦς βιαίως τοῦ ποδὸς

---

1 ἑκάτερον M δηλονότι ἑκάστου B ἢ οὖν B 2 κτῆμα τίμιόν ἐστι A κτῆ δήμοι ἐστι καὶ M κτῆμα δημοι ἐστι T κτῆμα ἐστι τιμιώτατον B 2 τῷ εἰδέναι A τὸ εἰδέναι MT 4. 5 scholio quod praecedit adi. B initio add. ἢ 4 φησὶ om. B 5 πότε μὲν—ἐλεεῖ] ἐστι τιμιώτατον M μεγάλως om. B καὶ πότε] πότε δὲ B in fine add. κτῆμά ἐστι τιμιώτατον TA 7 δήμῳ A ἔνεστι] ἔστι δὲ A 8 ὁ γὰρ δὲ A μόνον ἐστὶ A 9. 10 συντηρεῖν A 10 τὸ om. A post τιμιώτατον add. κτῆμα ἐστὶ τοῦτο A 11 ἀντὶ τοῦτο A δηλονότι] δηλοῦται ἢ T δηλοῖ A 20 γὰρ M$^1$ δ' Kirchhoff 21. 22 οἷον—ὑφεῖναι om. B 21 οἷον] ὅ ἐστι A 22 τῷ καλῷ T 28 καὶ γὰρ ναῦς om. B

ἐνταθέντος ὑπέκυψεν ὥστε ὕδωρ εἰσδέξασθαι· πάλιν δὲ ἀνωρθώθη χαλάσαντος τὸν πόδα: — MTAB

708 τὰς ὑπὲρ τὸ δέον ὑπεροψίας: — M[g]A[g]B

† μισεῖ γὰρ ὁ θεὸς τὰς ἄγαν προθυμίας: σημείωσαι ὅτι καλὸν ἡ προθυμία, ἡ δὲ ἄγαν προθυμία κακὸν ὡς ὑπερβολή. καὶ ἡ ἁπλῶς προθυμία μεσότης, ἡ δὲ ἄγαν ὑπερβολὴ καὶ κακία ὥσπερ καὶ ἡ ὀκνία ἔλλειψις καὶ κακία. τὰς δὲ ὑπερβολὰς καὶ ἐλλείψεις καὶ θεὸς μισεῖ καὶ οἱ φρόνιμοι ἄνθρωποι: — A

712 οὐ γὰρ ῥᾴδιον λόγχῃ μιᾷ: ἀντὶ τοῦ οὐ ῥᾴδιον περιγενέσθαι τῶν σῶν κακῶν καὶ ἀπαλεῖψαι τὴν παροῦσάν σοι συμφοράν: — MTA'B

713 † στῆσαι τρόπαια: ἐνταῦθα κατ' ἔλλειψιν τῆς ἐπὶ προθέσεως συνέστη τὸ ἔπος· οὕτω γὰρ ὀφείλεις συντάξαι· ἐπὶ γὰρ τῶν κακῶν, ἅτινά σοι πάρεστιν, οὐ ῥᾴδιον ἐμοὶ τῷ ἑνὶ στῆσαι τρόπαια, ἤτοι τροπαιουχῆσαι κατὰ τῶν ἐναντίων: — A

οὐ γάρ ποτ' Ἄργους: γράφεται δὲ καὶ χωρὶς τοῦ σ̄, ἵν' ᾖ Ἄργου γαῖαν. Ἀριστοφάνης δὲ μετὰ τοῦ σ̄: — MTB

οὐ πρὸς ἡμῶν, φησίν, οὐδὲ τῆς ἡμετέρας ἀξίας ὑποδραμεῖν καὶ κολακεῦσαι τὸν τῶν Ἀργείων ὄχλον. ἀνάγκη δὲ ὅμως δουλεῦσαι τῇ κρατούσῃ τύχῃ· τοῦτο γὰρ σοφῶν καὶ φρονίμων ἀνδρῶν ἐστιν: — MTAB

ἄλλως: οὐ μὲν τῆς ἡμῶν ἀξίας, φησί, τὸ ὑποδραμεῖν τοὺς Ἀργείους, ἀνάγκη δὲ ὅμως δουλεύειν τῇ κρατούσῃ τύχῃ· τοῦτο γὰρ σοφῶν ἐστιν ἀνδρῶν: — MT

τὸ ἑξῆς· νῦν δὲ ἀναγκαίως ἔχει τοῖς σοφοῖς δούλοις εἶναι τῆς τύχης: — MTAB

717 ὦ πλὴν γυναικός: λείπει ἡ εἰς· τὸ δὲ ἑξῆς· ὦ εἰς τὰ ἄλλα οὐδὲν πλὴν εἰς ⟨τὸ⟩ γυναικὸς ⟨ἕνεκα⟩ στρατηλατεῖν: — MTAB

721 ἄφιλος ἦσθ' ἄρ' ὦ πάτερ: ἤτοι ἡμάρτανες κακοῖς χαριζόμενος, ἢ δυστυχῶν τὰ νῦν, ὦ πάτερ, οὐδένα κέκτησαι φίλον: — MTAB

---

1 ἐκδέξασθαι B  δὲ] τὲ A  ἀνωρθώση T  2 in fine add. καὶ ἀνέντοσ B  3 scholio quod praecedit adi. B initio add. τὰσ ἄγαν δὲ προθυμίασ ἀντὶ τοῦ  10 ἀπολεῖψαι MT  σοι om. A[1]  15. 16 scholio 9. 10 adi. B initio add. τὸ δὲ ἄργουσ et om. δὲ  16 γαῖα MT  17 οὐ—ὑπο add. A[1], inde a δραμεῖν inc. A  18 τῶν om. A  19 ἀνθρώπων MTB  ἐστιν om. spatio rel. A  22 ἐστιν om. T  23. 24 scholio 17—19 adi. B add. δὲ post τὸ  23 τὸ ἑξῆς om. spatio relicto A  δούλουσ B  23. 24 τῆσ τύχησ εἶναι A  26 εἰσ γυναῖκασ στρατηλατεῖν MT εἰσ γυναῖκα στρατηλατεῖν A εἰσ τοῦτο σπουδαῖε εἰσ τὸ ἕνεκεν τῆσ σῆσ γυναικὸσ στρατεύεσθαι B  27. 28 post ἀλλ' (p. 172,6) coll. B om. ἤτοι  28 ὦ om. MT  κέκτησαι om. M

ἄλλως: μάτην ἄρα, φησίν, ὦ πάτερ, ἐταλαιπώρεις ἐν τῷ πολέμῳ οὐδενός σοι φίλα φρονοῦντος ὑπὲρ ὧν ἠτύχεις. τὸ γὰρ πράσσων κακῶς ἀντὶ τοῦ ἀδίκως, τουτέστιν· οὐ φίλοις ἄρα οὐδ' εὐγνώμοσιν [ἀμοιβαῖς] ἀνδράσιν ἐπόνεις, ὦ πάτερ. καὶ κατὰ τοῦτο ἡμᾶς ἠδίκεις καταλιπὼν ἐρήμους, ἀναισθήτοις χαριζόμενος. ἢ οὕτως· οὐχ ὑπὲρ φίλων ἄρα ἐπολέμεις τοῖς βαρβάροις, ὦ πάτερ, ἀλλ' ἀναισθήτοις εὐεργέτεις καὶ κατὰ τοῦτο κακῶς ἔπραττες καὶ ἠδίκεις ὅτι μήτε ὑπὲρ φίλων μήτε αὐτὸς ἀδικηθεὶς πόλεμον ἄδικον συνεκρότεις. ἢ οὕτως· [εὐτυχῶν] οὐκ ἔμελλες ἕξειν τοὺς ὑπὲρ σοῦ φίλους, εἰ συμβαίη σε ἀτυχεῖν: — MTAB

724 γράφεται ⟨τῆς⟩ συμφορᾶς: — M$^s$

725 κατὰ τὸ σιωπώμενον εἶδε τὸν Πυλάδην ἐρχόμενον: — M$^s$B$^i$

726 ἐκεῖθεν γὰρ ὁ Πυλάδης: — M$^i$AB$^i$

727 πιστὸς ἐν κακοῖς ἀνήρ: ὁ βέβαιος φίλος κρείσσων ἐστὶ τῆς ὁρωμένης ἐκ ζάλης τοῖς ναυτίλοις γαλήνης: — MTAA$^i$B

729 θᾶσσον ἤ μ' ἐχρῆν: τροχαϊκὸν τετράμετρον καταληκτικόν: — MM$^i$TAB$^i$

θᾶσσον προβαίνων ἤ μ' ἐχρῆν. τὸ ἑξῆς· τὸν σύλλογον τῆς πόλεως ἀκούσας καὶ ἰδὼν τὸν σύλλογον * * τὸ κτενοῦντας πρὸς τὸν σύλλογον ἀπέδωκεν: — MTA

† θᾶσσον ἢ ὡς ἐχρῆν με παρεγενόμην διὰ τῆς πόλεως τὸν ἐπὶ σὲ καὶ τὴν σὴν ἀδελφὴν σύλλογον τῆς πόλεως καὶ ἀκούσας καὶ τοῖς ὀφθαλμοῖς ἰδών: — B

730 σύλλογον πόλεως ἀκούσας: ὡς τῆς φήμης διαδραμούσης ἄχρι Φωκίδος. οὐ μόνον οὖν, φησίν, ἤκουσα σύλλογον κατὰ σοῦ γεγενῆσθαι, ἀλλὰ καὶ παρὼν εἶδον: — MTAB

† ἰδὼν αὐτὸς σαφῶς: τὸ σαφῶς καὶ τὸ ἐναργῶς διαφέρουσι κἂν δοκῶσιν εἶναι ταὐτά. ἐναργὲς γὰρ λέγεται ὃ ὀφθαλμοὶ ὁρῶσι, σαφὲς δὲ

---

2 ἠτύχησ T 3 κακὸσ M 4 ἀμοιβαῖς—καὶ] ἐχαρίζου ἀνδράσιν οἱονεὶ B κατὰ] κατ' αὐτὸ TB 5 καταλιπὼν ἐρήμους] καταλιπὼν ἡμᾶσ ἐρήμουσ A ἡμᾶσ μὲν ἐρήμουσ καταλιπὼν B ἀναισθήτοισ δὲ καὶ ἀγνώμοσι B 6—9 ἀναισθήτοις—ἀτυχεῖν om. B 6 ἀναισθητου M ἀναισθήτουσ T 6. 7 εὐεργέτασ T 8 αὐτὸς] ὡσ A 9 ἄξειν MT 13 ἐκεῖθεν] φωκεὺσ A 14 ὁ βέβαιοσ om. A spatio relicto 15 ἐρρωμένησ M 16 καταληκτικόν om. A 18 με χρὴ M ante τὸ add. πυλάδησ MA τὸ δὲ ἑξῆσ MT 19 τὸ κτενοῦντας] τελοῦντασ MTA 24—26 scholio 18—20 adi. A scholio 21—23 B 25 μέχρι A οὖν φησὶν] δὲ ὅτι A 26 γενέσθαι A παριὼν AB

ὅπερ χεὶρ ἐπαφᾶται. παχύτερον δὲ τὸ ἐπαφώμενον τοῦ ὁρωμένου δηλονότι καὶ ἐκδηλότερον· τὰ παχέα γὰρ τῶν λεπτῶν ἐκδηλότερα. ἐτυμολογεῖται δὲ τὸ σαφὲς παρὰ τὸ κρατεῖσθαι τῇ σῇ ἀφῇ, τὸ δὲ ἐναργὲς παρὰ τὴν ἐν πρόθεσιν καὶ τὸν ἄρα συλλογιστικὸν σύνδεσμον καὶ τὸ γίνεσθαι. ὁ δὲ ἆρα σύνδεσμος ἢ ἀπορηματικός ἐστι καὶ προπερισπᾶται, ἢ συλλογιστικὸς καὶ ἀποφαντικὸς καὶ δηλωτικὸς ἀληθείας ἢ ψεύδους καὶ παροξύνεται. παροξύνεται δὲ καὶ ὁ παραπληρωματικὸς ἄρα, ὃς καὶ ἄρ λέγεται. σαφὲς οὖν τὸ ἐπαφώμενον, ἐναργὲς δὲ τὸ ἐν τῷ ἄρα συλλογιστικῷ συνδέσμῳ γινόμενον καὶ ἐκ συλλογισμοῦ συνιστάμενον καὶ τρόπον τινὰ καθορώμενον. ἐντεῦθεν καὶ τὸ ὄναρ καὶ τὸ ὕπαρ· τὸ μὲν ὄναρ ἀπορούμενον εἰ ὄν ἐστιν ἆρα, ὡς ἂν εἴ τις εἴπῃ· ἆρα ὄν ἐστι τὸ ὄναρ, τὸ δὲ ὕπαρ καθὸ φανερώτερόν ἐστι καὶ τρόπον τινὰ καθορώμενον ὀφθαλμοῖς ἀνεῳγόσιν ὑπὸ τὸ ἄρ ἐστι τὸ συλλογιστικόν, ἤτοι ἀληθές: — A

735 συνδιαφθείρεις: — $M^g$B

738 ὥσπερ οὐκ ἐλθών: οὕτως ἐμοὶ προσηνέχθη ὡς μὴ παραγενόμενος: — MTAB

τὸ αὐτό μοι ἀπέδωκεν ὥσπερ μὴ μολών: — MTA

740 † ἀντὶ τοῦ μετὰ χρόνον πολύν· ὅμως κἂν βραδὺ παρεγένετο, ἀλλὰ τάχιστα τοῖς φίλοις ἐφωράθη κακός: — B

742 οὐκ ἐκεῖνος: διαβάλλει ὡς γυναικοκρατούμενον αὐτὸν καὶ ὡς οὐκ ἂν ἐληλυθότα, εἰ μὴ παραγέγονεν ἡ Ἑλένη. κωμῳδεῖται δὲ ὁ στίχος διὰ τὴν ταυτότητα: — MTAB

743 ἀντὶ τοῦ ὀλέσασα. Ἀττικὸν δὲ τὸ σχῆμα: — $M^1$

748 εὐλαβεῖθ' ὃ τοῖς φίλοισι: γνησίου γὰρ φίλου τὸ καὶ ὑπὲρ δύναμιν κάμνειν, ὅπερ εὐλαβεῖσθαι αὐτὸν ἔλεγεν. τὸ γὰρ παρὰ δύναμιν τολμᾶν γνησίου φίλου. ὅπερ λέγουσιν οἱ κακοὶ φίλοι μὴ θέλοντες τοῖς φίλοις συνελθεῖν λέγοντες· εὐλαβούμεθα: — MTAB

---

12 καὶ ὁρώμενον A  14 initio add. συγκαταχωννύεις συναναιρεῖς B  in fine add. ἡμᾶς B  15 ὁμοίως μοι A  post ἐμοὶ add. φησι TA  οὖν ἠνέχθη A  15. 16 παραγενάμενος T  17 scholio quod praecedit adi. A add. ὅλως (i. e. ὁ λόγος)  τὸ om. M  με T  παρέδωκεν MT  μὴ om. MT  μολεῖν A  18 cf. lex. Vind. p. 191,8  20 γυναικὶ κρατούμενον A  21 ἐληλύθει B  παρεγίνετο A  δὲ om. A  22 πραότητα MT  ταυτολογίαν A  24. 25 γνησίου—ἔλεγεν post εὐλαβούμεθα (27) coll. B  24 initio add. εὐλαβεῖσθαι ἔλεγεν A  25 κάμνειν καὶ τολμᾶν A  τολμᾶν B  εἴπερ M  ἧπερ A  αὐτὸς ἔλεγεν B ἔλεγεν M om. TA  25. 26 τὸ—φίλου om. AB  27 βοηθεῖν B

749 † τοῦτο δηλαδὴ νοήσας καὶ μαθὼν τὰ πάντα ἔχω, ἀντὶ τοῦ· τὰ πάντα συμπεριέλαβον καὶ ἐνόησα: — A

750 οὗτος ἦλθ' ὁ τὰς ἀρίστας: κατ' εἰρωνείαν λέγει: — MTA

γράφεται καὶ κεκτημένος: — MTA

ἐν ἤθει ταῦτα λέγει εἰρωνικῶς: — MTAB$^1$

752 τὴν συγγένειαν: — M$^1$

753 ἀντιλάζυσθαι: ὡς ἐκ τοῦ λαζύω λάζυμι λάζυμαι: — M$^1$B$^1$

757 ἢ κρινεῖ τί χρῆμα λέξον: ὁ ἢ ἀντὶ τοῦ δή· ἀναστρεπτέον δὲ τὸν λόγον· τί δὴ κρινεῖ, λέξον: — MTA

ἢ οὕτως· τί δὴ ἡ ψῆφος κρινεῖ, εἰπέ, ὅτι φοβοῦμαι: — MTB$^1$

ἢ οὕτως· τὸ ἢ ἀντὶ τοῦ ἥτις· ⟨ἥτις⟩, αὐτὴ ἡ ψῆφος, τί κρινεῖ, λέξον: — A

759 φεῦγε νῦν λιπὼν μέλαθρα: κατὰ ἀντίστροφον λέγονται τὰ πρόσωπα ἀπὸ τοῦ φεῦγε νῦν λιπών· ὁ γὰρ Πυλάδης ἀντιλέγει μέχρι τοῦ ἀλλὰ δῆτ' ἔλθω (781): — MT

765 Στρόφιος ἤλασέν μ': Ἀναξιβίαν τὴν Ἀγαμέμνονος ἀδελφὴν Στρόφιος ἔγημεν, ἐξ ἧς ἔφυσε τὸν Πυλάδην, ὅθεν ἀνεψιοὶ Ὀρέστης καὶ Πυλάδης: — MTAB

766 ἴδιον ἢ κοινόν: πότερον ἰδίᾳ κατὰ τὴν οἰκίαν ἡμαρτηκότι σοι ἐγκαλῶν ἢ ἐν δημοσίῳ τινὶ πράγματι [ἴδιον] ἐπιφέρων ἔγκλημα: — MTAB

ἀντὶ τοῦ πολιτῶν: — M$^g$

769 βαστακτέον τάδε: — M$^g$

770 γράφεται βίᾳ: — M$^g$

771 οὐ προσήκομεν κολάζειν: οὐχ ὑποταττόμεθα οἷον ἐν τῇ τῶν Φωκέων γῇ τούτοις, τοῖς Ἀργείοις, ὥστε ἡμᾶς κολάζειν, ἀντὶ τοῦ κολάζεσθαι: — MTA

οὐ προσήκομεν κολάζειν: οὐχ ὑποτασσόμεθα τούτοις εἰς τὸ τιμωρεῖσθαι ἡμᾶς οὐδ' ὑποκείμεθα, ἀλλὰ τοῖς Φωκεῦσιν: — B

4 γράψον A  καὶ om. M  κεκτημένη T  5 scholio quod praecedit adi. MTA post ἤθει add. δὲ MA δὴ T  λέγει om. B$^1$  10 δὲ MT δὴ πρᾶγμα B$^1$ δέδοικα B$^1$  13 ἀντιστρόφου MT  14 αὐτὸ λέγει MT  17 ὁ στρόφιος A  ὅθεν om. A  17. 18 ἀνεψιοὶ ἄρα πυλάδης καὶ ὀρέστης A  20 ἐπιφέρων σοι B  24 βίαν M$^g$ em. Kirchhoff  25 praefixit οὐχ ὑποταττόμεθα τοῖς ἀργείοις ὥστε ἡμᾶς κολάζειν. ἄλλως A  26 post κολάζειν ins. ἢ τὸ κολάζειν A

ἄλλως: ἰδίως εἶπε· τὰ γὰρ ἐπιτίμια τῆς ἀδικίας ἡ ἀδικουμένη πόλις εἴωθεν ἐπιτιθέναι: — TAB

ἄλλως: θαρσύνων αὐτόν φησιν ὅτι οὐ προσήκομεν εἰς τὸ κολάζεσθαι τοῖς Ἀργείοις: — TAB

772 δεινὸν οἱ πολλοί: εἰς Κλεοφῶντα ταῦτα αἰνίττεται πρὸ ἐτῶν δύο ἐμποδίσαντα ταῖς σπονδαῖς: — MTAB

ἄλλως: ἴσως αἰνίττεται πρὸς τὰς καθ' αὑτὸν δημαγωγίας, μήποτε δὲ εἰς Κλεοφῶντα. πρὸ ἐτῶν γὰρ δύο τῆς διδασκαλίας τοῦ Ὀρέστου αὐτός ἐστιν ὁ κωλύσας σπονδὰς γενέσθαι Ἀθηναίοις πρὸς Λακεδαιμονίους, ὡς Φιλόχορος [frg. 118] ἱστορεῖ: — MTAB

ὁ νοῦς· δυνήσονταί σε φονεῦσαι ὑπερβάντες τὸν νόμον. δεινὸν γὰρ οἱ πολλοί καὶ τὰ ἑξῆς: — MTAB

773 ἀλλ' ὅταν χρηστοὺς λάβωσι: ὅταν, φησί, χρηστοὺς καὶ κολακευτικοὺς λάβωσι τοὺς δεομένους, χρηστοὶ γίνονται: — MTA$^1$B

774 ἀντὶ τοῦ· καὶ ταῦτα μὲν οὕτως: — M$^g$B$^g$

οἷον· κοινῶς ὀφείλομεν σκοπεῖν καὶ λέγειν τὰ δόξαντα: — M$^i$B$^i$

775 ὡς ἔδρασας: τοῦτο, φησίν, ἐρεῖς δῆτα ὡς ἔδρασας ἔνδικα πατρὶ ἐπιτιμωρῶν ἑαυτοῦ: — MA$^1$B$^i$

776 δίκαια γὰρ ἔπραξα πατρὶ τιμωρῶν ἑαυτοῦ: — MB

779 μολόντι δ' ἐλπίς ἐστι σωθῆναι: ἐλθόντι δέ σοι, φησίν, εἰς τὴν ἐκκλησίαν ἔστιν ἐλπὶς εὑρεῖν ἀπαλλαγὴν τῶν κακῶν. καὶ αὐτὸς συναινεῖ τὸ χρῆναι παραγενέσθαι [φησὶ τὸν Ὀρέστην] εἰς τὴν ἐκκλησίαν ἐγνωκὼς ἅπαξ οὐκ οὖσαν αὐτῷ σωτηρίας ἀφορμὴν ἄλλοθεν: — MTB

---

1. 2 scholio quod sequitur adi. A 1 ἰδίως] ἰδίας δὲ A ἡ om. TA 2 in fine add. ὅτι δεινὸν οἱ πολλοί T 3 θρασύνων T φησὶν εἶπεν A 6 ἐμποδίσαν ταῖς M ἐμποδίσαντες T 7 πρὸς add. A$^1$ 8 πρὸ—τῆς spatio uacuo ins. A$^1$ 9 σπονδὰς θέσθαι M πρὸς] οὐ A 11. 12 bis scripta in MTB scholio p. 174,25—27 adi. MTA scholio p. 174,28.29 B scholio 7—10 M$^a$T$^a$B$^a$ 11 ὁ δὲ νοῦς AT$^a$BB$^a$ καὶ M$^a$ δαήσονται M$^a$ post σε add. φησι M$^a$B$^a$ ὑπερβαίνοντες M 13 initio add. ἀλλ' B 14 τοῖς δεομένοις A 16 οἷον om. B$^i$ 17 δῆτα om. B$^i$ ὅτι ἔνδικα ἔπραξας B$^i$ ἔπραξας A$^1$ 18 πατρὶ—ἑαυτοῦ] τὴν μητέρα ἀποκτείνας B$^i$ ἐμαυτῷ A$^1$ 19 ἔνδικα B πατρὶ—ἑαυτοῦ] φησὶ τὸν ἐμαυτοῦ πατέρα διεκδικῶν B 20 lemma μολόντι δ' ἐλπίς ἐστιν habet A$^1$, cetera desunt 21 ἔνεστιν B ἐλπὶς om. MT δεινῶν B 21. 22 καὶ—χρῆναι] μαθὼν οὖν τοῦτο καὶ αὐτὸς συναινεῖ B 22 φησὶ τὸν ὀρέστην MT τὸν ὀρέστην B 23 διεγνωκὼς B σωτηρίαν M ἄλλοθεν om. MT

780 ἀντὶ τοῦ εἰ συμβαίη. οἷον ἀμφίβολόν ἐστιν: — MTB$^{i}$

ὅ ἐστιν, ἐν ἀμφιβόλοις ἐστὶ τὸ τοιοῦτον: — MTB$^{i}$

λοιπὸν κρεῖσσόν ἐστι τὸ παραγενέσθαι ἐκεῖσε ἢ μένειν: — M$^{i}$B$^{i}$

781 θανὼν γοῦν: κἂν ἀποθάνῃς, φησί, κατὰ τὴν ἐκκλησίαν ἐνδόξως τεθνήξῃ ὡς καὶ πρὸς τὸν θάνατον ἀφόβως ὁρμήσας καὶ μετὰ τοῦ δικαίου παρρησιασάμενος: — MTAB

782 καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι: ἀλλὰ καὶ τὸ πρᾶγμά μου, φησί, δικαίως ἔρρωταί μοι. πατροκτόνον γὰρ ἀνεῖλον, ὅθεν καὶ ἐλεηθήσεσθαι προσδοκῶ: — MTAB

ἄλλως: ἢ τοῦτο ἀκόλουθόν ἐστι τῷ ἀλλὰ δῆτ' ἔλθω: — MTAB

καὶ τὸ πρᾶγμά γ' ἔνδικόν μοι: ἔπραξα γὰρ τὸν φόνον τὸν μητρῷον διὰ τὸν θάνατον ἀσχάλλων τὸν πατρῷον. ἔξωθεν δὲ προσυπακουστέον τὸ προσεδόκων ἐλέους τεύξεσθαι [διὰ τὸν θάνατον]: — MTAB

τὸ δοκεῖν εὔχου: εὔχου, φησί, πάντας οὕτως δοξάζειν ὅτι δίκαιόν ἐστι τὸ πρᾶγμα· ἐπεὶ πολλοῖς ἐδόκει ἄδικον εἶναι. καὶ Σιμωνίδης [frg. 76]· 'τὸ δοκεῖν καὶ τὴν ἀλήθειαν βιάζεται': — MTAB

783 διὰ τὸ ἐκεῖ παραγενέσθαι φεύγω τὸ εἶναι δειλός: — M$^{i}$B

784 μέγα γὰρ ἡ εὐγένειά σου: οἷον διὰ τὸ εὐγενὲς ἐλεηθήσῃ. τουτέστι· πάνυ σοι συμβάλλεται πρὸς τὸν ἔλεον ἡ εὐγένεια: — MTAB

785 ἀσχάλλων πατρῴου: λείπει ἡ διά. τὸ δὲ ἑξῆς· καὶ τίς ἄν γέ με οἰκτίσειεν ἀσχάλλων διὰ τὸν τοῦ πατρὸς θάνατον: — MTABB$^{i}$

---

2 scholio quod praecedit adi. MTB$^{i}$ ὅ—ἐστὶ om. B$^{i}$ ἐν ἀμφιβολαῖσ ὅ ἐστι MT in fine add. οἷον εἰ συμβαίη ἀμφίβολόν ἐστι MT 3 λειπει τὸ κρεῖσσον M$^{i}$ κρεῖσσον λοιπόν B$^{i}$ ἐκεῖ M$^{i}$ in fine add. ἐνταῦθα B$^{i}$ 4 κἂν] καὶ T καὶ εἰ ἀποθάνω A 7 μου] μοι A post μοι add. καὶ κατησφάλισται B 8. 9 ἐλεηθήσομαι προσδοκῶν M 10 τῷ om. MTA τὸ B 11—13 scholio quod praecedit adi. AB ante lemma add. ἢ τὸ A ἔλθω φησὶ B 12 τὸν] τὸ δὲ M 13 προσεδόκουν MA προσεδόκων καὶ B 14—16 cf. schol. Or. 236 15. 16 καὶ—βιάζεται om. A 17 scholio quod praecedit adi. B initio add. ὁ δὲ ὀρέστησ καλῶσ εἶπασ φεύγω τὸ δειλὸν et post παραγενέσθαι ins. τουτέστι in fine add. οὐ παρέχω δειλίασ ὑπόνοιαν ὡσ μὴ ἔνδικα πράξασ καὶ διὰ τοῦτο τὸ κριτήριον ἀποφεύγων B 18 οἷον om. A ἐλεηθήσω M 19 τουτέστι] οἷα A 20. 21 scholio quod praecedit adi. B om. ἀσχάλλων—διὰ et ins. ὁ δὲ θάνατον ἀσχάλλων πατρῷον ἔπραξα φησὶ τὸν μητρῷον φόνον ἀσχάλλων διὰ τὸν θάνατον τοῦ πατρὸσ 20 post διά add. διὰ τὸν θάνατον B$^{i}$ 20. 21 τὸ—θάνατον om. B$^{i}$ 21 γε om. TB μοι A διὰ τὸν τοῦ πατρὸσ ἀσχάλλων B

πάντα ταῦτα ἴσασιν οἱ Ἕλληνες, καὶ πρὸ ὀφθαλμῶν εἰσιν: — M[1]

† οἷον· ἡ εὐγένεια καὶ τὸ ἀπελθεῖν εἰς τὸ κριτήριον εὐθαρσῶς καὶ ὁ θάνατος τοῦ πατρὸς, ταῦτα πάντα παρὰ τῶν Ἑλλήνων γινώσκονται πρὸ ὀφθαλμῶν ὄντα καὶ ἐλπίδας ἀγαθὰς ὑποτίθεται: — B[1]

786 πορευτέον: — M[B]

788 οὐκοῦν, φησὶ, παραιτητέον εἰπεῖν τῇ ἀδελφῇ, ἐπεὶ δακρύσει, καὶ τοῦτο αὐτὸ κακὸς οἰωνὸς ἔσται: — M[1]TAB

789 τῷ χρόνῳ ⟨δὲ⟩ κερδανεῖς: τῇ ὑπερθέσει τῶν θρηνημάτων αὐτῆς κερδανεῖς, ὅ ἐστι· κἂν τὸ μὴ ἀπὸ τοῦ νῦν θρηνεῖσθαι κερδανεῖς: — MTAB

ἄλλως: κερδανεῖς, φησὶ, τὸ μὴ δακρῦσαι αὐτὴν καὶ γενέσθαι κακὸν οἰωνὸν ἐν τῷ μεταξὺ τῆς κρίσεως χρόνῳ, τουτέστιν ἕως ἂν ἡ κρίσις ἐξενεχθῇ: — MTAB

790 ἐναντίον: — M[B]

793 γενέσθω: — M[1]B[1]

795 ἕρπε νῦν οἴαξ ποδός μοι: οἴαξ καλεῖται τὸ πηδάλιον. σὺ χειραγώγει με, φησὶ, καὶ ὥσπερ πηδάλιον διίθυνέ μου τὸν πόδα: — MTB

† οἴαξ ποδός μοι: οἴαξ τὸ ἐν τῷ αὐχενίῳ ἐμβεβλημένον ξύλον, ὃ κατέχων ὁ κυβερνήτης τὸ αὐχένιον περιάγει καὶ στρέφει καὶ δι' ἐκείνου τὴν ναῦν: — A

φίλα γ' ἔχων κηδεύματα: ἕρπω, φησὶν, ἔχων σε τὸν προσφιλέστατόν μου συγγενῆ. νῦν γὰρ τὸ κῆδος ἀντὶ τῆς συγγενείας κεῖται, κυρίως δὲ ἡ ἐπιγαμβρία: — MTB

796 ζητεῖται πῶς διαλαθὼν τοὺς φύλακας ἐπὶ τὸ μνῆμα τοῦ πατρὸς ἀπιὼν οὐ φεύγει. φαμὲν οὖν ὅτι τὰ μνήματα τῶν βασιλέων ἔσω τῆς πόλεως ἦν. οἱ δὲ ὅτι βαδίζοντα αὐτὸν πρὸς τὸν τάφον τοῦ πατρὸς οὐ διεκώλυον: — MTAB

---

1 σου εἰσιν M[1]  6 τῷ ἀδελφῷ T  δακρύει M[1]TA  7 in fine add. τουτέστι τὸ δακρύειν B  9 ὅ—κερδανεῖς om. A  μὴ τὸ MT  11 αὐτὸν T  12 ἐν om. T  16—21 cf. Hesych. Or. p. 115,13 et. m. p. 616,42 Gud. p. 421,3 Zon. p. 1429 Eust. p. 1533,45 lex. Bachm. p. 312,27 Phot. 16 σὺ] οὐ M  17 ἴθυνέ M  20 συστρέφει A  23 μου om. M ἐπὶ B  εὐγενείας M  24 ὁ ἐπιγαμβρεία T ἐπιγαμβρίας B  25—28 scholio quod praecedit adi. B add. δὲ post ζητεῖται  25 πῶς οὐ MT  26 οὐ φεύγει post φύλακας coll. MTB  26—28 φασί τινες πρὸς τοῦτο ὅτι βαδίζοντα αὐτὸν πρὸς τὸν τάφον τοῦ πατρὸς οὐκ ἐκώλυον ἔνιοι δὲ λέγουσιν ὅτι τὰ τῶν βασιλέων μνήματα οὐκ ἐκτὸς ἦν τῶν πυλῶν A  26 ἔνδον B

τί τοῦτο εἴρηκας. ἢ ἵνα τί ἐκεῖσε θέλεις ἐλθεῖν: — M[i]TB[i]

797 ὡς αὐτὸν ἱκετεύσω σῶσαί με: — M[i]TB[i]

τὸ τὸν πατέρα σου σῶσαί σε: — M[i]TB[i]

798 μητέρος δὲ μηδ' ἴδοιμι μνῆμα: κατὰ κοινοῦ τοῦτο εἶπεν· συνθεωρεῖται γὰρ τὸ πρὸς τὴν μητέρα μῖσος κἂν μὴ τοῦτο εἶπεν: — MTAB

799 πρὸ τοῦ σὲ ἀπολογήσασθαι: — M[i]TB[i]

800 περιβαλὼν πλευροῖς: ὑπὸ τῆς νόσου δυσκίνητα, μὴ δυνάμενα κινεῖσθαι καὶ κέλλειν· ἔνθεν καὶ ὁ κέλης καὶ τὸ κελλώνιον. ἤτοι δυσκίνητα, μὴ δυνάμενα κέλλειν: — MTAB

801 οὐ φροντίσας τοῦ ὄχλου ὀχήσω σε διὰ μέσης τῆς πόλεως: — M[i]TAB

ἀντὶ τοῦ οὐ φροντίζων [διὰ] τοῦ ὄχλου: — M[i]

803 ἀντὶ τοῦ μὴ ἐν δειναῖς: — M[i]

ὠφελήσω: — M[g]

804 τοῦτ' ἐκεῖνο κτᾶσθ' ἑταίρους: ἦν ἄρα, φησί, καλῶς τοῦτο ἔκπαλαι δεδογμένον τὸ μὴ μόνον τοὺς συγγενεῖς φίλους νομίζειν, ἀλλὰ καὶ εἴ τις βέβαιος τὴν διάθεσιν: — MTAB

805 ὅτι: — M[g]

ὅστις τρόπῳ καὶ διαθέσει συγκάμνει φίλῳ, πολλῶν ἐστι συγγενῶν ἀμείνων εἶναι φίλος: — M[i]TAB

† ἄλλως: ὡς κρείσσων ἐστὶν ὁ ἀνὴρ ὁ θυραῖος καὶ ξένος ὤν,

---

3 σε] με M[i] 5 θεωρεῖται A πρὸς τῆς μητρὸς M πρὸ τῆς μητρὸς A καὶ A 8—10 cf. Orion. p. 109,1 νωχελής: τὸ $\bar{\chi}$ ἀντὶ τοῦ $\bar{\kappa}$· νωκελής τις ὤν, ὁ μὴ κέλλων. κέλλειν δὲ τὸ ταχέως τρέχειν· ἀφ' οὗ καὶ κέλης ⟨ὁ⟩ δρομικὸς πῶλος. et. m. p. 608,31 (Gud. p. 414,14 Zon. p. 1412 Cramer an. Ox. II p. 393,31) νωχελής: ὁ νωθρὸς καὶ ἀσθενὴς καὶ δυσκίνητος· κατὰ τροπὴν τοῦ $\bar{\kappa}$ εἰς $\bar{\chi}$, νωκελής τις ὤν, ὁ ἐστερημένος τοῦ κέλλειν. κέλλειν δέ ἐστι τὸ ταχέως τρέχειν· ὅθεν καὶ κέλης ὁ μονόζυξ ἵππος καὶ δρομικός. scholio 4. 5 adi. B om. περιβαλὼν—νόσου et ins. νωχελῆ δὲ 8 ἤτοι μὴ B 8. 9 δυνάμενον T 9 καὶ (primum) om. A ὁ κέλλην MT ὀκέλλειν B ὀκέλλειν A 9. 10 ἔνθεν—κέλλειν] ὅθεν καὶ κέλης B 9 ὁ om. MT κέλλης TA σκέλης A[1] κέλλην M καὶ om. M κελλόνιον MT 10 ὁ κέλλην MT ὀκέλλειν A 11 ὀχήσω καὶ βαστάσω B 13 διὰ del. Münzel 16 ἦν] ἂν A 18 ἀλλ' εἰ καὶ MTA 20 ὥς τις A συγκάμνων M φίλωι ξένος ὢν B 20. 21 πολλῶν—φίλος om. T 20 ἐστι om. B γάρ ἐστι A 21 μείνων ἶναι M καὶ πρὸς τὸ ἄμεινον εἶναι A εἶναι φίλος] ἐστὶν ὁ τοιοῦτος B

τοῖς τρόποις δὲ συντακείς, ἤγουν ὁμότροπος γενόμενος. κεκτῆσθαι, ἤγουν κτηθῆναι, φίλος ἀνδρί· κρείσσων δέ τινων μυρίων ὁμαιμόνων καὶ ἀδελφῶν, ἢ κοινῶς εἰπεῖν συγγενῶν: — A

συναναπλασθῇ: — M$^{g}$B$^{i}$

ξένος: — M$^{g}$B$^{i}$

807 ὁ μέγας ὄλβος: τὸ ἑξῆς· ὁ μέγας ὄλβος καὶ ἡ ἀρετὴ τῶν Ἀτρειδῶν ἡ μεγαλοφρονοῦσα καὶ ἐν Ἑλλάδι καὶ ἐν Τροίᾳ εἰς τὸ ἐναντίον ⟨ἐκ⟩ τῆς εὐδαιμονίας ἀνῆλθεν, ὅ ἐστιν εἰς δυστυχίαν ἀρχαίαν τὴν τοῖς Ἀτρείδαις συμπεσοῦσαν ἐπὶ τῷ χρυσομάλλῳ ἀρνῷ: — MTAB

ἄλλως: τὸ ἑξῆς· ἀπὸ τῆς παλαιᾶς συμφορᾶς τῶν οἴκων τῶν Ἀτρειδῶν ὁ μέγας ὄλβος μεγαλοφρονήσας ἐν Ἑλλάδι καὶ τῇ Τροίᾳ πάλιν εἰς τὴν ἀρχαίαν δυσδαιμονίαν ἔδραμεν, ὡσεὶ ἔλεγεν [πρὸς τὴν κακοδαιμονίαν τὴν ἀρχαίαν]· ὠγκώθησαν ἐπὶ πολὺ οἱ Ἀτρεῖδαι καὶ πάλιν ἐδυστύχησαν: — MTA

† ἄλλως: ὁ μέγας ὄλβος καὶ ἡ περίπυστος κατὰ πᾶσαν τὴν Ἑλλάδα καὶ ἐν Ἰλίῳ τῶν Ἀτρειδῶν εὐδαιμονία καὶ ἀρετὴ εἰς τοὐπίσω πάλιν ἀνέδραμεν εἰς δυστυχίαν ἐξ εὐτυχίας μεταβληθεῖσα καὶ ὥσπερ εἰπεῖν ἀπόρροιαν ἔχουσα ἐκ τῆς παλαιᾶς αὐτῶν ἐκείνης τῆς κατ᾽ οἶκον συμφορᾶς. ἐκείνη γὰρ ἡ ἔρις αὐτοῖς ἡ περὶ τοῦ χρυσομάλλου ἀρνειοῦ εἰργάσατο ἐλεεινὰ βρώματα καὶ σφαγὰς ἀνοσίους εὐγενῶν τέκνων τοῦ Θυέστου. ἐξ ἐκείνου δὴ φόνου συνεχεῖς καὶ ἀλλεπάλληλοι σφαγαὶ οὐ διαλείπουσι τὸν τῶν Ἀτρειδῶν οἶκον. καὶ τὸ νομιζόμενον εἶναι καλὸν οὐ καλόν ἐστι, λέγω δὴ τὸ ἀπηνεῖ χειρὶ διατεμεῖν τὸ σῶμα τῶν γονέων καὶ ᾑμαγμένον ἀνατεῖναι τὸ ξίφος εἰς τὰς τοῦ ἡλίου αὐγάς. τὸ γὰρ ἀδικεῖν πατέρας ἀσεβῶν ἐστι καὶ ἀνοήτων τέκνων καὶ πονηρῶν ἀνθρώπων, τὸ δὲ [γε] τῆς συμφορᾶς τῆς κατὰ τοῦτον ἐλεεινότερον. μέλλουσα γὰρ τελευτᾶν ἡ Τυνδάρεω, Κλυταιμνήστρα, φόβῳ τοῦ θανάτου ἀνεβόησεν ἡ δυστυχής· Ὀρέστα, τολμᾷς τὸν κατὰ τῆς μητρὸς φόνον. ὅρα δὴ καὶ σκόπει, μή πως τῆς εἰς τὸν πατέρα τοιαύτης τιμωρίας ἀνταλλάξῃς δύσκλειαν ἀθάνατον. οὔτε

---

7 μεγαλοφρονήσασα B 9 τῇ MT 10 ἐκ A 11 τῇ om. A 12 ἐπὶ A ἑτέραν εὐδαιμονίαν M 13 ὠγκωθεῖσαν T 13. 14 εὐτύχησαν M 15 ἡ om. TA 18 ἀπόροια T αὐτῶν om. A 19 γὰρ om. TA 20 συγγενῶν B 21 ἐξ om. A φόνου om. B ἀλλεπάλληλαι T ἐπάλληλαι A 22 εἶναι om. B 23 δὴ] δὲ B 24 ἀδικεῖν] ἄδικα πάσχειν TA 26 τούτου TA τυνδάρεωσ A 28 μὲν τὸν B δὴ] δὲ B πως om. B τῆσ B τισ TA 29 τοιαύτασ T τὰσ τοιαύτασ A om. B ἀνταλλάξῃ TAB

γὰρ νόσος οὔτε αἷμα οὔτε τις ἑτέρα συμφορὰ μείζων γένοιτ' ἂν ἐν ἀνθρώποις μητροκτονίας: — TAB

808 μέγα φρονοῦσ' ἀν' Ἑλλάδα: ἀντὶ τοῦ μέγα φρονήσασα. τὸ δὲ πλῆρες μέγα φρονοῦσα, ἡ ἀρετή. εἰδωλοποιεῖ γὰρ αὐτήν. ἢ ὅτι τῶν ἐπειλημμένων αὐτῆς ἐπαίρει τὸ φρόνημα: — MTA

δύναται καὶ μέγα φρονοῦσι, τοῖς Ἀτρείδαις: — MM[1]TAB

809 ἀντὶ τοῦ ἐν Ἰλίῳ. Σιμοῦς γὰρ ποταμὸς Ἰλίου, ἀφ' οὗ τὴν Τροίαν δηλοῖ: — M[g]B[1]

810 πάλιν ἀνῆλθ': εἰς τὸ ἔμπαλιν καὶ εἰς τὸ ἐναντίον ἔδραμε καὶ κατέστη τοῖς Ἀτρείδαις. εὐτυχίαν δέ φησι τὴν κατὰ τὸ Ἴλιον καὶ δυστυχίαν τὴν νῦν τραγῳδουμένην: — M[1]TAB[1]

811 πάλαι παλαιᾶς: ἀντὶ τοῦ διὰ τὴν παλαιὰν καὶ πάλαι γεγενημένην συμφοράν. λέγει δὲ τὴν μοιχείαν τῆς γυναικὸς Ἀτρέως καὶ τὴν βορὰν τῶν τέκνων τοῦ Θυέστου, ὡς καὶ ἑξῆς ἐπάγει. ἢ οὕτως· προϋπαρξάσης ἑτέρας κατὰ τὸν ἀνέκαθεν χρόνον συμφορᾶς [τῶν τέκνων αὐτοῦ, εἶτα εὐτυχίας τῆς κατὰ τὸ Ἴλιον, καὶ πάλιν δυστυχίας τῆς νῦν τραγῳδουμένης] ἥτις αὐτοῖς προὐξένησε συμφορὰς ἀτόπους, τῷ μὲν οἰκτροτάτην παίδων βοράν, τῷ δὲ σφαγὴν ἀνοσίαν τέκνων ἀδελφοῦ. τὸ γὰρ τεκέων ἀντὶ τοῦ τέκνων· ἑξῆς δὲ τεκέων χρόα τεμεῖν πυριγενεῖ παλάμᾳ. ἐπὶ τῶν γονέων δὲ ἔλαβε παρὰ τὸ τεκεῖν ἴσως: — MTAB

† ἀπὸ συμφορᾶς δόμων: ποίας δὲ συμφορᾶς λέγει· ὁπότε παρὰ τοῦ ἀρνὸς ἦλθε τοῖς Ἀτρείδαις μεγάλη συμφορά, σφαγαὶ καὶ θοινήματα τῶν γενναίων τέκνων: — A

† Ἀτρεὺς ὁ Πέλοπος βασιλεύων Πελοποννήσου ηὔξατό ποτε ὅ τι ἂν κάλλιστον ἐν τοῖς ποιμνίοις αὐτοῦ γεννηθῇ, τοῦτο Ἀρτέμιδι θῦσαι. γεννηθείσης δὲ αὐτῷ χρυσᾶς ἀρνὸς τῆς εὐχῆς ἠμέλησε καὶ καθείρξας εἰς

---

1 οὐδὲ αἷμα TA om. B μείζων om. A 2 μητροκτονία A 3 μέγα om. A 5 ὑπειλημμένων MTA 6 scholio quod praecedit adi. MTA add. δὲ post δύναται δύναται εἶναι M[1] μεγαλοφρονοῦσι AB 7 Ἰλίου om. B[1] 9 εἰς τὸ] ἀντὶ τοῦ B[1] ἦλθε A ἀνέδραμε B[1] 10. 11 εὐτυχίαν—τραγῳδουμένην om. B[1] 11 νῦν ante δυστυχίαν coll. M[1]TA πραττωμένην M[1] 12 ἀντὶ τοῦ om. B 14 τῆσ βορᾶσ MTA τοῦ om. A ὡς om. T καὶ om. A 15 post συμφορᾶς add. κατὰ τὴν μοιχείαν καὶ τῆσ βορᾶσ A 17 αὐτοὺσ T προξένισε M προυξένισε T προσεξένησε A 17. 18 οἰκτροτάτων MTAB 18 ὁσίαν MT 18. 19 τὸ—τέκνων om. B 19 τεκέων (alterum) om. MTB τεμεῖν A τέμνειν MTB 20 παρὰ] διὰ A 24—p. 181,11 descripta ex schol. B 105 25 γεννηθῆναι καὶ A[1]

λάρνακα ἐφύλαττε. μέγα δέ τι φρονήσας ἐπὶ τῷ κτήματι κομπάζει ἐπὶ τῆς ἀγορᾶς. ἠνίασε τοῦτο Θυέστην, καὶ ὑπελθὼν ὡς ἐρῶν ἔπεισε τὴν Ἀερόπην δοῦναι αὐτῷ τὸ κτῆμα, λαβὼν δὲ ἀντεῖπε τῷ ἀδελφῷ ὡς οὐ δεόντως κομπάζοντι. ἔλεγε δὲ αὐτὸς ἐν τῷ πλήθει δεῖν καὶ τὴν βασιλείαν ἔχειν τὸν τὴν χρυσᾶν ἄρνα ἔχοντα. τοῦτο δὲ ὁμολογοῦντος καὶ τοῦ Ἀτρέως Ζεὺς Ἑρμῆν πέμπει πρὸς τὸν Ἀτρέα συνθέσθαι λέγων περὶ τῆς βασιλείας καὶ δηλοῖ περὶ τῆς ἀνατολῆς ὅτι μέλλει ποιεῖσθαι τὴν ἐναντίαν ὁδὸν ὁ ἥλιος. συνθεμένου δὲ περὶ τούτου ὁ ἥλιος τὴν δύσιν εἰς ἀνατολὴν ἐποιήσατο· ὅθεν ἐκμαρτυρήσαντος τοῦ δαιμονίου τὴν Θυέστου ⟨πλεονεξίαν⟩ τὴν βασιλείαν Ἀτρεὺς παρέλαβε καὶ Θυέστην ἐφυγάδευσεν: — A[1]

815 σφάγια γενναίων τεκέων: τῶν εὐγενῶν τέκνων τοῦ Θυέστου. ἐξ ἐκείνου δὲ φόνοι συνεχεῖς καὶ ἀλλεπάλληλοι σφαγαὶ οὐ διαλείπουσι τὸν τῶν Ἀτρειδῶν οἶκον: — M[1]TB[1]

817 οὐ προλείπει: τὰ θατέρῳ συμβάντα κατὰ ἀμφοτέρων ἐξήνεγκεν. τί γὰρ δεινὸν ὁ Μενέλαος ἐπανελθὼν πέπονθεν, εἰ μὴ τὰ ἐν Ἰλίῳ δι' αὐτὸν γενόμενα λέγει κακά. σύλληψις δὲ ὁ τρόπος· τὸ γὰρ ἑτέρῳ συμβὰν κατ' ἀμφοτέρων ἔταξεν: — MTAB

819 τὸ καλῶς δοκοῦν γεγενῆσθαι οὐ καλῶς ἀπέβη τῷ Ὀρέστῃ. τί δέ ἐστι· τὸ ἀπηνεῖ χειρὶ διατεμεῖν τὸ σῶμα τῶν γονέων καὶ ᾑμαγμένον ἀνατεῖναι τὸ ξίφος εἰς τὰς τοῦ ἡλίου αὐγάς: — MTB

τὸ νομιζόμενον δὲ εἶναι καλόν, ὁ κατὰ τῆς μητρὸς φόνος ὅτι ἐπ' ἐκδικίᾳ τοῦ πατρὸς γέγονεν, οὐ καλὸν τῷ μητροκτονήσαντι: — MTA

ἄλλως: ἔνιοι οὕτως· ἡ τιμωρία ἡ ὀφείλουσα ὑπὸ τοῦ Ὀρέστου ὑπὲρ τοῦ πατρὸς ἀπαιτηθῆναι σφοδρότερον ἀπητήθη. οὐ καλόν, φησί, τὸ σῶμα τῶν γονέων, λέγει δὲ τὴν Κλυταιμνήστραν, ἀπηνεῖ χειρὶ τέμνειν τὸν Ὀρέστην: — MTA

ἢ τοιαύτη ἡ σύνταξις· οὐδὲ τοῦτο, φησί, καλόν, τὸ τὸ ξίφος

1. 2 ἐπὶ τοῦ ἀγροῦ A[1] κατὰ τὴν ἀγορὰν schol. B 105 2 θυέστησ A[1] ὑπῆλθεν A[1] πεῖσαι A[1] 5 ὁμολογοῦντα A[1] 8 συνθέμενοσ A[1] 9 εἰσμαρτυρήσαντοσ A[1] 10 πλεονεξίαν add. schol. B 105 13 φόνου B[1] 15 θατέρωσ T καθετέρου M 16 τί] τὸ MT ἐπανελθὸν A 17 γινόμενα MTA λέγοι B δὲ] οὖν B τῶι M 18 ἑτέρου M ἕτερα T 22—27 scholio p. 182,4.5 adi. MT 24 τιμωρία ἡ] τιμωρίαν M ὑπὸ] ἀπὸ MT ἐκ A 25 ὑπὸ A τοῦ πατρὸς] ἀτρέωσ MTA 26 δέ φησι M 26. 27 χερὶ τεμεῖν A 28—p. 182,3 scholio p. 182,13—19 adi. MTAB 28 ἡ om. MTA τὸ τὸ] τὸ TA

ἡματωμένον δεῖξαι ταῖς τοῦ ἡλίου αὐγαῖς. εἰώθασι γὰρ οἱ ἀνελόντες τινὰ δικαίως, ὡς οἴονται, τῷ ἡλίῳ τὸ ξίφος δεικνύναι σύμβολον τοῦ δικαίως πεφονευκέναι: — MTAB

820 ἀπηνεῖ καὶ θρασείᾳ καὶ ἀνημέρῳ, ὡς ἂν ἐκ πυρὸς γεγενημένῃ: — MTAB[i]

τῷ ξίφει, ἐπεὶ ὑπὸ πυρὸς παλαμᾶται: — M[g]TAB[i]

821 μελάνδετον: διὰ τὸ μέλαιναν λαβὴν ἔχειν, τουτέστι μελάγκωπον. ἢ μέλαν παρὰ τοῦ φόνου γενόμενον. πολλὰ δέ εἰσι τὰ τοιαῦτα σύνθετα, οἷον 'κελαινεφὲς αἷμα'· οἷον τὸ νέφος οὐκ ἔγκειται, οὕτως καὶ ἐνταῦθα τὸ δεδέσθαι οὐκ ἔγκειται: — MTAB

τὸ ὑπὸ τοῦ αἵματος μελαινόμενον: — M[g]TA[g]

823 τὸ δ' αὖ κακουργεῖν: γράφεται τὸ δ' αὖ κακοῦργον: — TA

τὸ δ' αὖ κακουργεῖν ἀσέβεια: τὸ δὲ μετὰ λόγου καὶ πιθανότητος ἐπιχειρεῖν τι καὶ πράττειν κακὸν οὐχ ἁπλῆ ἐστιν ἀσέβεια, ἵν' ᾖ καθόλου τοῦτο τάττεσθαι δυνάμενον καὶ ἐπὶ Ἀτρέως καὶ ἐπὶ Θυέστου καὶ ἐπὶ Κλυταιμνήστρας καὶ ἐπ' Αἰγίσθου καὶ οὐ μόνον ἐπὶ τούτων, ἀλλὰ καθολική ἐστι γνώμη. τὸ δὲ κακοφρονούντων ἀνδρῶν παράνοια τοιοῦτόν ἐστι· τῶν κακὰ διαλογιζομένων ἀνδρῶν αὐτὸ τὸ ἀλόγιστόν ἐστιν: — MTAB

ἄλλως: τὸ μὲν κακουργεῖν ἀσεβῶν ἐστι καὶ πονηρῶν ἀνθρώπων, τὸ δὲ τῆς συμφορᾶς τῆς κατὰ τοῦτον ἐλεεινότερον. οὐκ ἠλέησε γὰρ τὴν μητέρα οἰκτρῶς παρακαλοῦσαν: — MTAB

ἄλλως: ἀλλὰ καὶ τὸ δεινὰ πράττειν ἀσέβειά ἐστι. τοῦτο δέ φησιν, ἐπεὶ ἡ Κλυταιμνήστρα μοιχευθεῖσα ἐφόνευσε τὸν Ἀγαμέμνονα: — MTA[g]B

γράφεται ποικίλα: — M[g]T

824 κακῶς διανοουμένων: — M[g]

---

1 ἡμαγμένον B  2 οἴονται] οἷον A  δεικνῦντα M  σύμβουλον T  τὸ MTA  4 θρασεῖ MT  4. 5 γεγενημένοσ M  6 scholio 4. 5 adi. B[i] add. ἢ  ὑπὸ ἐκ M[g] ἐκ A  παλαμῶται M[g] ὑποτολμᾶται A  7—10 cf. schol. Phoen. 1091  scholio p. 181,28—p. 182,3 adi. MAB add. δὲ B  7 διὰ τὸ om A  μέλαναν T μελανὰν A  ἔχην B ἔχοντοσ MTA  8 παρὰ A ποῦ MT ὑπὸ B  τὸν φόνον T  εἰσι om. A  9. 10 οἷον—ἔγκειται om. A  9 οἷον—ἔγκειται] οὐ γὰρ ἔγκειται τὸ νέφοσ B  τὸ κελαινεφὲσ T  12 scholio 13—19 adi. TA  γράψον A  14 καὶ om. A  15 τοῦτο om. A  17 ἀλλὰ καὶ A  21 ἐλεεινότερα M  γὰρ om. MT  23 ἄλλως] ἢ οὕτωσ B  24 ἐπειδὴ B

825 διὰ τὸν φόβον τοῦ θανάτου: — $M^{g}TA^{g}B^{i}$

827 οὐχ ὅσια τολμᾷς: — $M^{i}$

830 ἀπενέγκῃ κακοδοξίαν αἰώνιον: — $M^{g}TA^{g}$

831 οὔτε γὰρ νόσος οὔτε συμφορά τις μείζων μητροκτονίας: — $M^{i}TA^{g}B^{i}$

834 οἷον: οἷον ἔργον ὁ δυστυχὴς διαπραξάμενος * * διὰ τὸν φόνον καὶ περιδινούμενος τὰς τῶν ὀφθαλμῶν ὄψεις, ὁ τοῦ βασιλέως Ἀγαμέμνονος παῖς: — $M^{i}TA$

† οἷον ἔργον τελέσας: ἀντὶ τοῦ· οἷον ⟨ἔργον⟩ ὁ δυστυχὴς Ὀρέστης καταπραξάμενος, τὸ τῆς μητροκτονίας, ἄγρευμα γεγένηται ταῖς Ἐρινύσι συλληφθεὶς ὑπ' αὐτῶν διὰ τὸν τῆς μητρὸς φόνον: — B

836 Εὐμενίσιν θήραμα φόνῳ: ἀντὶ τοῦ ἄγρευμα γενόμενος καὶ συλληφθεὶς ὑπὸ τῶν Ἐρινύων διὰ τὸν φόνον τῆς μητρός: — MTA

837 περιδινούμενος τοὺς ὀφθαλμούς· τοιοῦτοι γὰρ οἱ μανιώδεις· καὶ πανταχοῦ περιστρέφων αὐτούς, ὅ ἐστι τεταραγμένους ἔχων τοὺς ὀφθαλμούς. τὸ δὲ ἑξῆς· Εὐμενίσι δρομάσι. δρομάσι δὲ ταῖς εὐκινήτοις: — MTAB

839 φεῦ τῆς δυστυχίας, ὦ Ὀρέστα: — $M^{i}A^{g}$

840 ἐκ χρυσοῦ ὑφανθέντων. ἴσως παρὰ τὸ πηνίον: — $M^{g}A^{g}B^{i}$

841 μαστὸν ὑπερτέλλοντ' ἐσιδών: ὡς ἄρα ἦσθα τὴν φύσιν ὠμός, ἡνίκα ἡ μὲν ὠδινήσασα προὔτεινέ σοι τὸν μαστὸν ἐκ τῶν χρυσοῦφῶν ἱματίων γαλακτοτροφίας ὑπομιμνήσκουσα καὶ παρὰ σοῦ ἔλεον διὰ τούτου θηρωμένη, σὺ δὲ πρὸς τοῦτο ἀπιδὼν οὐκ ἠλέησας τὴν τεκοῦσαν, ἀλλὰ γέγονας τῆς μητρὸς ἀνόσιος φονεὺς τῷ σῷ πατρὶ ὑπὲρ ὧν πέπονθεν ἐκδίκησιν δι' ἀσεβείας διδούς: — MTB

ἀνατεινόμενον: — $M^{g}A^{g}B^{i}$

846 οὐδαμῶς μαινόμενος, σωφρονῶν δέ: — $M^{g}A^{g}B^{i}$

850 κατὰ τὸ σιωπώμενον εἶδον τὸν ἄγγελον ἐρχόμενον αἱ τοῦ χοροῦ γυναῖκες: — $M^{g}B^{i}$

855 ἀπὸ λόγου δῆλος εἶ κακάγγελος ὤν: — $M^{i}TB^{i}$

---

4 post μείζων add. ἐστὶ τῆσ $B^{i}$ τῆσ T  6 δυστυχὴς] ἐὰν τύχησ $M^{i}$  14—17 scholio quod praecedit adi. MTA  14 initio add. ἀντὶ τοῦ B  15 ἔχω M  16 τοῖσ M  20—25 μαστὸν ὑπερτέλλοντα habet $A^{1}$, cetera desunt  21. 22 ἐκ — ἱματίων] ἐξοδίν.. M ἐξωδίνουσα T  22 παρὰ σοῦ] πρὸσ MTB  23 τοῦτο M  25 πέπονθασ MT  δι'] τῆσ M  28 κατὰ δὲ τὸ $M^{g}$  28. 29 αἱ—γυναῖκες] αἱ ἀπὸ τοῦ χοροῦ $B^{i}$  30 τοῦ λόγου $B^{i}$

857 τῶν Ἀργείων· Πελασγὸς γὰρ βασιλεὺς παλαιὸς Ἀργείων: — M$^1$TAB$^1$

860 ἀντὶ τοῦ· εἰς τὸ μέλλον ἀφορῶσα πολλὰ ἐθρήνουν: — M$^1$AB$^1$

862 ἀντὶ τοῦ κατεδίκασαν. καὶ 'καθαιροῦσαν ψῆφον' τὴν καταδικάζουσαν: — M$^1$TAB$^1$

869 ἔτρεψε: — M$^s$

870 εὐγενῆ πρὸς τὸ χρῆσθαι: — M$^1$B$^1$

871 καὶ θάσσοντ' ἄκραν: τόπος οὕτω καλούμενος. τὸν Πρῶνα λέγει· ἐνταῦθά φασι τοὺς Ἀργείους ἐκκλησιάζειν: — MTAB

θάσσοντ' ἄκραν: φασὶ τὸν Δαναὸν ἐνταῦθα δεδωκέναι δίκας τῷ Αἰγύπτῳ ὑπὲρ ὧν εἰργάσαντο φόνων αἱ θυγατέρες αὐτοῦ: — MTAB

872 οὗ φασι πρῶτον: ὅπου φασὶ πρῶτον Δαναὸν μετὰ τὸν θάνατον τῶν υἱῶν Αἰγύπτῳ δοῦναι δίκας. αὐτὸς γὰρ ὁ Αἴγυπτος ἧκεν εἰς Ἄργος τιμωρήσων τὸν φόνον. Δαναὸς δὲ μαθὼν ἐξῆγεν εἰς ὅπλα τοὺς Ἀργείους, ἀλλὰ Λυγκεὺς πείθει λόγοις ὁρίσασθαι τὴν ἔχθραν, καὶ καθιστῶσι δικαστὰς αὐτοῖς Αἰγυπτίων καὶ Ἀργείων τοὺς ἀρίστους. [ὁ δὲ τόπος ἔνθα] ἡ ⟨δὲ⟩ δίκη συνήχθη περὶ τὴν μεγίστην ἄκραν, ἔνθα καὶ Ἴναχος ἁλίσας τὸν λεὼν συνεβούλευσεν οἰκίζειν τὸ πεδίον. ὁ δὲ τόπος ἐξ ἐκείνου Ἁλιαία καλεῖται: — MTAB

ἄλλως: ἡ πολλὴ δόξα κατέχει μὴ ἀφῖχθαι τὸν Αἴγυπτον εἰς Ἄργος, καθάπερ ἄλλοι τέ φασι καὶ Ἑκαταῖος γράφων οὕτως [FHG IV p. 627$^a$]· 'ὁ δὲ Αἴγυπτος αὐτὸς μὲν οὐκ ἦλθεν εἰς Ἄργος, παῖδας δὲ * * * ὡς μὲν Ἡσίοδος [frg. 50], ἐποίησε πεντήκοντα, ὡς ἐγὼ δέ, οὐδὲ

1 Πελασγὸς—Ἀργείων] βασιλεὺσ γὰρ ἀργείων τελασγὸσ τοῦ ἄργουσ A 4 ἀντὶ τοῦ om. A κατεδίκασε T καθαιροῦσι A 8 οὗτοσ TA 8. 9 λέγει δὲ τὴν πρῶνα B 9 φησὶ TA om. M 10. 11 scholio quod praecedit adi. B qui pro θάσσοντ'—φασὶ habet λέγουσι δὲ καὶ 10 φησὶ MTA 11 ὃν M φόνον MTAB in fine add. αἱ πεντήκοντα τοῖσ υἱοῖσ αὐτοῦ A 12 τὸν δαναὸν AB τὸν om. B 13 υἱέων A Αἰγύπτῳ—Αἴγυπτος om. MTA Αἰγύπτῳ] αἰγύπτου B 14 post Ἄργος ins. αἴγυπτοσ MTA τῷ φόνῳ B 15 ὁρίσασθαι] λῦσαι B 16 αὐτοὺσ MTA 18 λαὸν B συνενήλευσεν M ὁ δὲ τόπος om. B 19 ἁλιδιὰσ B · in fine add. ἡ νῦν ἡλιαία λεγομένη B 21 ἄλλοισ MT τέ φασι] στέφανοσ A γράφεται MT γράψον A γράφει B 22. 23 παῖδας δὲ ἀπέστειλεν ὡς μὲν Ἡσίοδος ἐποίησε Kirchhoff Odyss. p. 327 παῖδες δὲ, ὡς μὲν Ἡσίοδος ἐποίησε Weil rev. de phil. II p. 84 παῖδες δὲ αὐτοῦ· καὶ παῖδας μέν, ὡς μὲν Ἡσίοδος, ἐποίησε Wilamowitz phil. Unters. I p. 94 22 δὲ] μὲν M 23. p. 185,1 ὡς—εἴκοσι om. B 23 ἐγὼ Wilamowitz λέγων MTA

εἴκοσι'. καὶ Διονύσιος ὁ κυκλογράφος [FHG IV p. 653ᵃ] ἐν † τούτῳ τὰ παραπλήσιά φησι. Φρύνιχος δὲ ὁ τραγικός φησι σὺν Αἰγυπτίοις τὸν Αἴγυπτον ἥκειν εἰς Ἄργος. λέγεται δέ τις ἐν Ἄργει Πρὼν, ὅπου δικάζουσιν Ἀργεῖοι: — MTAB

ἄλλως: οὗ παρῆκεν ὁ Δαναὸς Αἰγύπτῳ δικάσασθαι. ἱστορεῖ δὲ περὶ τοῦ χωρίου Δεινίας ἐν $\overline{\theta}$ τῆς πρώτης συντάξεως, ἐκδόσεως δὲ δευτέρας [frg. 3], γράφων οὕτως· 'ταχέως δὲ κυριεύσαντες τὸν Μέλαγχρον καὶ τὴν Κλεομήτραν βάλλοντες τοῖς λίθοις ἀπέκτειναν. καὶ τὸν τάφον αὐτῶν δεικνύουσιν καὶ νῦν ἔτι ὑπεράνω τοῦ καλουμένου Πρωνὸς, χῶμα † παντελῶς, οὗ συμβαίνει τοὺς Ἀργείους δικάζειν'. τάχα δ' ἂν τούτου καὶ ἐν Βελλεροφόντῃ μνημονεύοι εἰπών [frg. 307]· 'καὶ ξεστὸν ὄχθον Δαναϊδῶν ἑδρασμάτων στὰς ἐν μέσοισιν εἶπε κηρύκων * *: — MTAB

καὶ ἄλλως: Δαναὸς ἐγένετο Ἄργους βασιλεύς. οὗτος τὰς θυγατέρας ἑαυτοῦ πεντήκοντα οὔσας ἐκδίδωσι πρὸς γάμον τοῖς υἱοῖς Αἰγύπτου πεντήκοντα καὶ αὐτοῖς οὖσιν. οὗτος ἀπῆλθεν εἰς τὸ μαντεῖον χρησόμενος εἰ ἄρα καλῶς ἔγημαν αἱ θυγατέρες. ὁ δὲ θεὸς ἔχρησεν αὐτὸν ἐκ τούτου κινδυνεύσειν. ὁ δὲ ἔπεισε τὰς θυγατέρας ἀνελεῖν τοὺς υἱοὺς Αἰγύπτου. μόνη δὲ Ὑπερμνήστρα ἐφείσατο τοῦ Λυγκέως, καὶ οὗτος ἐβασίλευσεν Ἄργους: — MTAB

τὴν Ἠλιαίαν φησί: — M[1]B[1]

875 ἀρα παρὰ πολεμίων τινῶν: — M[g]B

876 ἀνήγειρεν: — M[1]A[g]

γράφεται ὄχλον: — M[1]

---

1 εἴκοσι Weil Wilamowitz εἰσί MA ἔστι T κυκλογραφεὺς MTAB ἐν τούτω MTA ἐν τῷ πρώτῳ Cobet om. B sed τούτω post παραπλήσια coll. 2 φρυνίων T φησιν ἐν coni. Nauck FTG p. 557 σὺν Αἰγυπτίοις om. B 3 λέγει MT παρὼν T 5—12 scholio quod praecedit adi. MTAB, pro ἄλλως scripto ἀλλ' MTA om. ἄλλως — δικάσασθαι B 5 οὗ] οὐ MTA παρήκει MTA em. Cobet 6. 7 ἐν — δευτέρας om. B 6 $\overset{\theta}{\epsilon\nu}$ M ἔνθα TA em. Müller δὲ om. M 7 δεύτερον M γρ. MT γράψον A ταχέως] τείχεος coni. Müller [8] μελάγαριν MB μὲν λάγαριν T μὲν $\overset{\chi\upsilon}{\lambda\alpha}$ A Μελάγχρουν Cobet 8 κλεομήστραν T τοῖς om. B 9 ἔτι καὶ νῦν B πρώνου M πρῶνας TAB 11 μνημονεύει MTAB ὄχλον B 12 στὰς om. A μέσοις A κηρύκων ὕπο Cobet 13—19 scholio quod praecedit adi A add. δὲ post Δαναὸς 14 ἐξέδοτο A 15 ἀπῆλθον A 16 αὐτῶι B 17 πείσας A 18 ὑπερμήστρα MTB 20 φασι τόπος οὕτω καλούμενος λέγει δὲ τὴν πρῶνα B[i] 21 in fine add. ἄγγελμα παραγενόμενον ἀνήγειρε τὴν πόλιν B

879 ἀνέλπιστον: — M$^{i}$B$^{i}$

πρᾶγμα: — M$^{g}$

882 τὸν δὲ συλλυπούμενον τῷ φίλῳ καθάπερ ἀδελφόν: — M$^{i}$TA$^{g}$B$^{i}$

889 τοῖς κρατοῦσιν ἀεὶ χαριζόμενος: — M$^{i}$TA$^{g}$

ἔλεξε δ' ὑπὸ τοῖς δυναμένοισιν: τὸ ἑξῆς· ⟨ἔλεξε διχόμυθα⟩, ἀντὶ τοῦ διχόγνωμα, τοῖς κρατοῦσιν ἄλλοτε ἄλλα προσχαριζόμενος: — MTB

890 ἐκπληττόμενος ἐπαινῶν: — M$^{g}$TA$^{g}$B$^{i}$

891 διὰ τοῦ καλοῖς κακοὺς λόγους ἑλίσσων ἐξηγεῖται τὸ διχόμυθα: — M$^{i}$T

892 καθισταίη νόμους: ἀντὶ τοῦ κυροίη. λέγων ὅτι ὁ Ὀρέστης οὐ καλὸν νόμον εἰσήνεγκεν εἰς τοὺς τεκόντας: — MTAB

896 πηδῶσ' ἀεὶ κήρυκες: καὶ ἐν ἄλλοις κατὰ τῶν κηρύκων λέγει ὅτι [frg. 1001] 'ἀεί ποτε σπέρμα κηρύκων λάλον': — MTAB

897 ὃς ἂν δύνηται καὶ ἄρχῃ τῆς πόλεως: — M$^{i}$TAB$^{i}$

903 ἀθυρόγλωσσος: ταὐτά φασιν ἐπὶ Κλέωνι τῷ δημαγωγῷ λέγεσθαι, σφαλλόμενοι. πρὸ γὰρ τῆς τοῦ Ὀρέστου διδασκαλίας πολλοῖς χρόνοις ὁ Κλέων ἐτελεύτα. τάχα οὖν εἰς Κλεοφῶντα τείνει, ἐπεὶ καὶ ἔναγχος οὗτος τὰς πρὸς Λακεδαιμονίους συνθήκας οὐ προσήκατο. καὶ τῷ λέγειν δὲ Ἀργεῖος οὐκ Ἀργεῖος ἠναγκασμένος εἰς τοῦτον βλέπει. θέλει γὰρ εἰπεῖν Ἀθηναῖον οὐκ Ἀθηναῖον ὄντα αὐτόν, ἀλλὰ νόθον πολίτην, παρόσον Θρᾷξ ἦν ὁ Κλεοφῶν. Ἀριστοφάνης Βατράχοις [690 sq.]· 'φιλοτιμότεραι Κλεοφῶντος, ἐφ' οὗ δὴ χείλεσιν ἀμφιλάλοις δεινὸν ἐπιβρέμεται Θρῃκία χελιδὼν ἐπὶ βάρβαρον ἑζομένη πέταλον': — MTAB

904 Ἀργεῖος οὐκ Ἀργεῖος: Ἀργεῖος ἠναγκασμένος, ὡσεὶ ἔλεγε

1 initio add. ἀπροσδόκητον B$^{i}$ 3 τὸν δὲ om. TA$^{g}$ τὸν φίλον M$^{i}$T ἴσα ἀδελφῷ B$^{i}$ in fine add. κηδεύοντα δὲ παιδαγωγία ἀντὶ θεραπεύοντα τῇ χειραγωγία B$^{i}$ 6 ἀντὶ τοῦ om. T ἄλλα] ἄλλῳ T in fine add. τὸ δὲ διχόμυθα ἐξηγεῖται διὰ τοῦ καλοῖς κακοὺς λόγους ἑλίσσων MTB 9 λόγους om. T 11 κυροίοι M κυρίοι T κυροῖ B 12 νόμον B δρόμον MTA 13 λέγων MTA 14 ποτ' ἐστὶ Musgrave 15 initio add. καὶ M$^{i}$A τῆς πόλεως om. spatio relicto A 16 φησιν MTAB 18 χοροῖς T τάχα] ταῦτα A εἰς τὸν M συντείνει A 18. 19 ἐπείγω καὶ ἔναγος A 18 καὶ] ὁ M 20 τῷ Arsenius τὸ MTAB Ἀργεῖος οὐκ Ἀ.] ἀργείων A 20. 21 βλέπειν A 22 ὁ Κλεοφῶν Ruhnken ἐκ δελφῶν ὁ κλέων MTAB 23 ἀμφιάλοις MTA δηλὸν M δειλὸν TA 25 initio add. τὸ ἑξῆς A

νόθος πολίτης. ταῦτά φασιν αὐτὸν εἰς Κλεοφῶντα τείνεσθαι, ἐπεὶ ⟨ὡς⟩ Θρᾷξ κωμῳδεῖται: — M[1]TA

905 θορύβῳ τε πίσυνος: τεθαρρηκώς, πείθειν δυνάμενος εἰς τὸ περιβαλεῖν κακῷ τινι τοὺς ἀκούοντας, ὥστε αὐτοὺς πρᾶξαί τι κακόν: — MTAB

910 λείπει τὸ ἀλλ' οὖν: — M[1]B[1]

911 θεᾶσθαι δ' ὧδε: ὁ δὲ τοῦ δήμου προϊστάμενος ὀφείλει τοὺς τοιούτους ἐπιλέγεσθαι δημηγόρους τοὺς καὶ χρησιμεύειν μέλλοντας. ὁμοίως γὰρ τὸ πρᾶγμα γίνεται τῷ τε δημηγόρῳ καὶ τῷ τοῦ δήμου προϊσταμένῳ: — MTAB

ἄλλως: δεῖ, φησί, τὸν ἀγαθὸν πολίτην εἰς τὸ τῆς πόλεως συμφέρον ἀφορᾶν ἀεί· καθὼς γὰρ ἂν συμβουλεύσειεν, οὕτως εἰώθασιν ἀποβαίνειν τὰ πράγματα: — TAB

† ἄλλως: τὸν δὲ προεστῶτα τῆς πόλεως, τουτέστι τὸν δημαγωγόν, οὕτως ἀφορῶντα, πρὸς τὸν λέγοντα, δεῖ κρίνειν. ὁμοίως γάρ, φησίν, ἀποβαίνει τὸ πρᾶγμα καὶ τῷ λέγοντι καὶ τῷ ἀκούοντι. ὥσπερ γάρ, ἐὰν ᾖ ὁ συμβουλεύων κακός, ἀσύμφορόν ἐστι τῇ πόλει, οὕτως καὶ ὅταν ὁ ἀκούων κακῶς ἀκούῃ, πάλιν ἀσύμφορον: — TAB

† ἄλλως: τὸν δὲ προεστῶτα τῆς πολιτείας καὶ τοῦ δήμου ἀνερευνᾶν δεῖ καὶ ἀνασκοπεῖν τὸν συμβουλεύοντα ὁποῖός ἐστι τὸ ἦθος. εἰς ταὐτὸν γὰρ ἀποβαίνει τὸ πρᾶγμα τῷ τε λέγοντι κακῶς καὶ σφαλερῶς συμβουλεύοντι τῷ ⟨τε⟩ δεχομένῳ τοὺς αὐτοῦ λόγους: — A

913 τῷ τοὺς λόγους λέγοντι: τουτέστι τῷ προϊσταμένῳ καὶ τὰ πρωτεῖα φέροντι τῆς πόλεως καὶ τιμωμένῳ: — MTAB

915 ὑπὸ δ' ἔτεινε Τυνδάρεως λόγους: ὑπέβαλλε δὲ αὐτῷ ὁ Τυνδάρεως τοιούτους λόγους λέγειν, ὑμᾶς φονευθῆναι. ἢ οὕτως· ὑπέβαλλεν ὁ Τυνδάρεως τοῖς καθ' ὑμῶν ποιουμένοις τὸν λόγον. ὑπέτεινε δὲ καὶ εἰς τὸ αὐτὸ ἦν τῷ ὑμᾶς λέγοντι φονεύεσθαι: — MTA[1]B

1 ἐκ M  γίνεσθαι M  4 κακῶ τινι B αὐτῶ κακῶ MTA  6 in fine add. κἂν μὴ παραυτίκα ἀλλ' οὖν μετὰ ταῦτα B[1]  8 τοὺσ δημηγόρουσ τοὺσ A  8. 9 ὁμοίωσ γὰρ spatio uacuo ins. A[1]  9 τε] γε A  καὶ] δὲ A  10 in fine add. τιμωμένω γὰρ εἶπε τῶ προισταμένω A  11 initio add. λέγων A  12 ἀφορῶντα A  ἀεὶ om. A  καθὼς γὰρ] ὥσπερ A  εἴωθεν A (ωθεν spatio uacuo ins. A[1])  14 δὲ om. B  17 ὁ B ὅτε T ὅτι A  κακῶσ A  ἀσύμφοροσ T ἀσυμφ^{ον} A  18 κακὸσ ἀκούει A  οὐ σύμφοροσ B  23 τουτέστι] ἀντὶ τοῦ A  23. 24 τῷ — πρωτεῖα om. A spatio relicto  26 ἡμᾶσ A[1]  27 ὑποβάλλων MB ὑποβαλὼν TA  ἡμῶν MA[1]  28 δὲ om. B

τῷ λέγοντι τοὺς δύο φονευθῆναι. τὸ δὲ κατακτείναντι ὅσον ἐπὶ τοῖς λόγοις οἷς ἔλεγεν: — M[1]TAB

918 γράφεται οὐκ εὔοπτος: — M[1]B[1]

εὔμορφος: — M[g]A[g]

ἀνδρεῖος τῇ ψυχῇ. ἀνδρεία γὰρ ἐπὶ ψυχῆς. ῥώμη δὲ ἐπὶ σώματος: — M[1]TB

† κατὰ μὲν τὴν ἔξω ἐμφέρειαν καὶ ἐμφάνειαν ἀηδὴς καὶ ἀφανής, ἀνδρεῖος δὲ καὶ γενναῖος κατὰ ψυχήν: — A

919 ἐκκλησίας οὐ περιερχόμενος. οὐδὲ πλησιάζων: — M[1]TB

ἀπὸ κοινοῦ τὸ χραίνων: — M[1]TB[1]

920 αὐτουργός: σῴζουσι γῆν οἱ αὐτουργοῦντες· γνησίως γὰρ τοὺς ἀγροὺς ἐργάζονται: — MTAB

αὐτουργός: ὁ τὴν ἰδίαν ἐργαζόμενος γῆν: — MTAB

οἱ αὐτουργοί: — M[g]A[g]

921 χωρεῖν ὁμόσε: ἀντὶ τοῦ οὐ διχόμυθα λέγων ὡς ὁ προρρηθείς. τοῦτο ἐναντίον ἐστὶ τῷ διχόμυθα· συνδραμεῖν ὑμῖν θέλων τοῖς λόγοις καὶ ταῖς ὑμετέραις βουλήσεσι βουλόμενος. σημαίνει δὲ τὸ σῴζειν ὑμᾶς ἐσπουδακώς: —

ὁμοῦ: — M[g]

922 ἀνεπίπληκτον: ἀνεπίληπτον, ἀναμάρτητον, ἀδιάφθορον, ἀβλαβῆ, οὐκ ἄξιον τοῦ ἐπιπλήττεσθαι, ἀνεπιτίμητον, ὃν οὐδεὶς διὰ τὸ σῶφρον ὕβρισεν: — M[1]TAB

926 τοὺς ἄνδρας ἀφῄρει: — M[1]B[1]

ἣ κεῖν' ἀφῄρει: ἥτις, φησίν, ἡ Κλυταιμνήστρα, τὸ ὅσον ἐφ' ᾧ δέδρακε φόνῳ κατὰ τοῦ ἀνδρός, ἀνῄρει καὶ ἀνέτρεπεν ἔθη καλὰ καὶ

1. 2 scholio quod praecedit adi. B add. τῶι σφῶ δὲ ἀντὶ τοῦ τὸ — ἔλεγεν spatio uacuo ins. A[1] 1 κατακτείνοντι B οἷον MTA[1] 3 εὔωπτος B[1] in fine add. τουτέστιν οὐκ εὐειδὴς B[1] 8 in fine add. ῥώμη δὲ ἐπὶ δυνάμεως A[1] 9 scholio 5. 6 adi. B add. τὸ δὲ ὀλιγάκις ἄστυ κἀγορᾶς χραίνων κύκλον ἀντὶ τοῦ 10 in fine add. κύκλον δὲ τὸ δικαστήριον τὴν ἐκκλησίαν B[1] 11. 12 scholio 13 adi. B add. δὲ post σῴζουσι 13 scholio 11. 12 adi. MTA add. δέ ἐστιν post αὐτουργός MT scholio 9 adi. B add. δέ ἐστιν post αὐτουργός 15—18 scholio 11. 12 adi. B add. καὶ τὸ χωρεῖν ὁμόσε τοῖς λόγοις θέλων 15 οὐ om. A 16 τοῦτο γὰρ B 17 ἡμετέραις A βουλεύσεσι B βουλόμενος om. AB scripserim ταῖς ὑ. βουλήσεσι τὰ αὐτὰ βουλόμενος 17. 18 σημαίνει δὲ τὸ] τουτέστι B 20 ἀδιάφορον TB 23 ἀφῄρει] δηλονότι B[1] 25 δέδρακα M δεδρακὼς T φόνον MTAB ἤθη A καλὰ om. T

ζηλωτά, λέγω δὲ τὸ ὁπλίζεσθαι καὶ ἐπ' ἀλλοδαπῆς ἰέναι. νῦν δὲ ἀνῃρημένης αὐτῆς πεφρίκασιν αἱ γυναῖκες τὰς κατὰ τῶν ἀνδρῶν ἐπιβουλάς· τότε δὲ οὐκ ἂν ἐτόλμησε τῶν ἀνδρῶν οὐδεὶς ἔξω τῶν οἴκων ἐπὶ πόλεμον ὁρμᾶν ὑφορώμενος τοὺς εἰωθότας νοθεύειν: — MTAB

ἄλλως: ἣ, φησίν, ἡ Κλυταιμνήστρα, ὅσον ἧκεν ἐφ' ἑαυτῇ, καλὰ καὶ ζηλωτὰ ἔργα ἔπαυσε, φημὶ δὴ τὸ ὁπλίζεσθαι ⟨καὶ ἰέναι⟩ κατὰ ἀλλοδαπῆς, διὰ τὸ μὴ ἐκ τῆς γυναικὸς ἀναιρεῖσθαι: — MTA

λελειμμένοι: οἱ ἐν τῇ πόλει καταλειφθέντες, οἱ μὴ ἐξελθόντες εἰς πόλεμον: — MTA$^g$B$^1$

τὰς γυναῖκας τὰς οἰκουρούσας: — MTB$^1$

τὰς τῶν οἴκων διοικητρίας γυναῖκας: — TA$^g$

932 Ἴναχος αὐτόχθων πρῶτος βασιλεὺς Ἄργους, δεύτερος Πελασγός, τρίτος Δαναός: — M$^1$AB$^1$

ὦ γῆν Ἰνάχου: μετὰ τὸν κατακλυσμὸν ἐν ὄρεσιν οἰκούντων τῶν Ἀργείων πρῶτος αὐτοὺς συνῴκισεν Ἴναχος καὶ λιμναζόμενον τὸ παρὰ τὸν Ἴναχον πεδίον αὐτὸς ἐκαθάρισε καὶ ἐκ πηγῆς τινος ποιησάμενος τὸν ποταμὸν ἀφ' ἑαυτοῦ Ἴναχον ἐκάλεσε καὶ τὸ Ἄργος Ἰνάχιον. Ἰνάχου δὲ καὶ Μελίας Φορωνεὺς καὶ Φηγεὺς ἐγένοντο. Φορωνέως δὲ καὶ Πειθοῦς ἐγένοντο Αἰγιαλεύς, Ἆπις, Εὔρωψ, Νιόβη. Νιόβης δὲ Ἄργος ἐγένετο, Ἄργου δὲ Κρίασος, Ἔκβασος, Πείρασος, Ἐπίδαυρος, Τίρυνς. Κριάσῳ δὲ ἀπὸ Μελανθοῦς ἐγένοντο Φόρβας καὶ Κλεόβοια. Φόρβαντι δὲ ἐκ τῆς Εὐβοίας [ἐγένετο] Τριόπας καὶ Μεσσήνη. Τριόπᾳ δὲ ἐκ Σωσίδος ἐγένοντο δίδυμοι μὲν Πελασγὸς καὶ Ἴασος, νεώτεροι δὲ Ἀγήνωρ καὶ Ξάνθος. ὁ δὲ Πελασγὸς πρῶτος ἄρτου κατασκευὴν ἐξεῦρε πάλαι τῶν ἀνθρώπων τοῖς δράγμασι σιτουμένων καὶ Πελασγικὸν τὸ Ἄργος ὠνόμασεν. Ἰάσου δὲ Ἰὼ ἐγένετο, Ἰοῦς δὲ Ἔπαφος. Ἐπάφου

---

3 οἰκιῶν A  5 ἥτισ A  τὸ ὅσον A  7 ἀλλοδαπὴν A  διὰ — ἀναιρεῖσθαι om. A  10 scholio quod praecedit adi. MTB$^1$ add. initio εἰ B$^1$  τὰσ οἰκουρούσασ γυναῖκασ διαφθείροιεν καὶ τὰ ἑξῆσ B$^1$  12 δεύτερον M$^1$  13 in fine add. ὁ βήλου B$^1$ δαναὸσ βήλου habet M$^g$  14 — p. 190,2 cf. Paus. II 15. 16 Hyg. 145 Apollod. II 1,2  14 οὔρεσιν M  15 αὐτοῖσ MTA  συνώκησεν TA  περὶ A  17 Ἰνάχιον] ἴναχον A  18 φαρωνεὺσ MT  φυγεὺσ T  19 αἰκιαλεὺσ T  ἀπία MTAB  Εὔρωψ Νιόβη] ἐρωνιόβη A ἀπὸ δὲ εὐρώπησ νιόβη MTB  19. 20 ἐγένετο om. B  20 ἐπίδανοσ A  τίρυν A  21 κριάσασ A  μελάνθου MTA  ἐγένετο B  φόρβου M φόρβαντοσ A  22 ἐγένετο MTAB ἐγένοντο Dindorf  μεσσώνη A  23 σωσαΐδοσ A σωΐδοσ B  μὲν δίδυμοι A  24 ἄργου M ἄργουσ A  ἐφεῦρε A  26 post Ἰάσου δὲ ins. καὶ λευκάνησ MTAB in quibus dittographia nominis Libyae latere uidetur

δὲ Λιβύη καὶ Τηλέγονος, Λιβύης Βῆλος καὶ Ἀγήνωρ· Βήλου δὲ Αἴγυπτος ἐγένετο καὶ Δαναός: — MTAB

933 τινὲς εἰς τὸ πάλαι στίζουσιν: — $M^iB^i$

936 οὐ φθάνοιτ' ἔτ' ἄν: οὐκ ἀρκεσθήσεσθε πρὸς τὸν γυναικῶν φόνον: — $M^iTB^i$

† ἄλλως: οὐ φθάνοιτε ἀποθνήσκοντες τῷ ἰδίῳ νόμῳ: — $AB^i$

938 ὑμεῖς ὑποταγείητε, οὐχ ὑποτάξοιτε: — $M^gT^gAB^i$

ὑμεῖς φονευθήσεσθε καὶ οὐ φονεύσετε: — $M^gTAB^i$

941 ἐξαπλοῦται, πλατύνεται κατὰ τῶν ἀνδρῶν: — $M^iA^gB^i$

† ὁ νόμος ἀνεῖται: ὅταν γάρ τι τῶν δεόντων παρίδωσιν οἱ τὴν ἀρχὴν ἔχοντες κέρδει κατειλημμένοι ἢ ἄλλῳ τινὶ πάθει, τότε ὁ νόμος ἀνεῖται, ἤγουν ἐνδίδοται καὶ πλατύνεται καὶ εἰς αὔξησιν ἔρχεται. πρὸς τὰ κακὰ δηλονότι εὐρυνθεὶς καὶ τὴν αὔξην λαβών: — $A^1$

942 οὐκέτι πέρας ὑμῶν ἕξει ὁ θάνατος: — $M^iTA^gB^i$

944 † ὁ κακὸς ἐν πλήθει λέγων: εἴωθε γάρ πως ἐν τοῖς συλλόγοις ὁ τῶν κακῶν κρατεῖν ὅμιλος. ἀμέλει καὶ τῶν πόλεων αἱ πλείους τούτῳ τῷ τρόπῳ ἁλίσκονται, τοὺς τιμίους παρ' οὐδὲν τιθέμεναι, τοὺς δὲ ἀτίμους καὶ ἀγοραίους τιμῶσαι καὶ σεβάζουσαι: — $A^1$

949 ἐκ τῶν ἐκκλησιαζόντων: — $M^gT$

954 γράφεται ὡς οὔ σ' ὁρᾶν δεῖ φέγγος: — $M^iTB^i$

955 [γράφεται] οὐδέν σε ὠφέλησεν: — $M^i$

957 στυγνὸν καὶ ὥσπερ ἐστεγασμένον τοῖς κακοῖς. ἐν ἐνίοις δὲ οὐ φέρονται οἱ τρεῖς στίχοι οὗτοι. πῶς γὰρ οὐκ ἔμελλε στυγνάζειν: — $M^iTA^1B$

---

1 δὲ om. A λιγύη A λιβύ B ante Τηλέγονος ins. λιγύης A Λιβύης—Ἀγήνωρ om. A βήλω MTA 2 Δαναός] κάδμος A 6 οὐ φθάνοιτε] ἰδεῖν A τῷ ἰδίῳ om. A μόρω $AB^i$ cf. 941 7 scholio quod sequitur adi. $B^i$ add. καὶ et om. ὑμεῖς, scholio quod praecedit adi. A initio add. καὶ $M^g$ οὐχ $B^i$ ἢ $M^gTA$ τάξοιτε M 8 ὑμεῖς γὰρ $B^i$ καὶ A ἢ MT om. $B^i$ 9 scholio 14 adi. $B^i$ add. γὰρ καὶ post ἐξαπλοῦται κατὰ τῶν ἀνδρῶν] τῶν ἀνάνδρων $M^i$ ὁ νόμος κατὰ τῶν ἀνδρῶν οὗτος τοῦτο γὰρ σημαίνει τὸ ἀνεῖται $B^i$ 10. 11 τὸ ἄρχειν λέγοντες $A^1$ 11 πάθη $A^1$ 13 εὐρωθεὶς $A^1$ 14 initio add. οὐ λείψει οὐδὲ παύσεται $B^i$ οὐδὲ πέρας ἕξει ὁ θάνατος ὑμῶν $B^i$ 17 τιθέμενοι $A^1$ 22 στεγνὸν $A^1$ ὡσπερεὶ $A^1$ ἐσκευασμένον $A^1$ coniecerim συσκιασμένον cl. Hesych. συνηρ(εφ)ές· σύσκιον ἐνίοις] οἷς $A^1$ 23 οἱ—οὗτοι] οἱ τὴν $A^1$ ἔμελλον $M^i$ 23. 24 στενάζειν $M^i$ ἐκγνάζειν $A^1$ 24 in fine add. οὕτω δυστυχῶς ἔχουσα B

960 πρὸς τὸν χορόν. ἐὰν μετὰ τοῦ ῑ, ἡ Πελασγία γῆ καὶ χώρα· ἐὰν ἄνευ τοῦ ῑ * *: — MTA

961 τὸ τιθεῖσα κατὰ κοινοῦ καὶ ἐπὶ τῆς κεφαλῆς καὶ ἐπὶ τῶν παρηΐδων: — $\mathrm{M^g B^i}$

962 αἱματηρὸν ἄταν: ἀντὶ τοῦ· καταξέουσα ἐμαυτῆς τὰς παρειὰς τοῖς ὄνυξιν, ὅπερ ἐστὶ δι' αἵματος ἄτη: — MTAB

964 γράφεται καλὴ παῖς: — $\mathrm{M^g}$

Περσέφασσα καλλίπαις θεά: Περσέφασσα καλεῖται ἡ Κόρη. ἀπὸ δὲ ταύτης καὶ τὴν μητέρα βούλεται δηλοῦν. πῶς γὰρ ἡ παῖς καλλίπαις· ἡ γὰρ Περσέφασσα θυγάτηρ ταύτης. γράφεται δὲ τὸ καλλίπαις καὶ καλὴ παῖς, αὐτὴ οὖσα ἡ Κόρη. οὕτως καὶ βέλτιον· αὕτη γὰρ ἐκληρώθη τὸν θρῆνον [τοῖς γὰρ θρηνοῦσιν ἐγγίνεται]. ἡ τὸν Ἴακχον γεννήσασα ἡ καλλίπαις: — MTAB

† ἄλλως: ἰστέον ὅτι τῆς κόρης, ἤγουν τῆς Περσεφόνης, ἁρπασθείσης ὑπὸ τοῦ Πλούτωνος ἡ μήτηρ αὐτῆς, ἡ Δηώ, νῆστις περιήρχετο ζητοῦσα αὐτήν. καὶ δὴ περιερχομένη καὶ ζητοῦσα αὐτὴν ὑπεδέχθη ἐν τοῖς οἴκοις τοῦ Ἱπποθόοντος ὑπὸ τῆς γυναικὸς αὐτοῦ Μετανείρας, ἥτις, Μετάνειρα, παρέθηκεν αὐτῇ τράπεζαν καὶ ἐκέρασεν αὐτῇ οἶνον. ἡ δὲ θεὸς οὐκ ἐδέξατο λέγουσα μὴ θεμιτὸν εἶναι πιεῖν αὐτὴν οἶνον ἐπὶ τῇ θλίψει τῆς θυγατρός. ἀλφίτων δὲ κυκεῶνα ἐκέλευσεν αὐτὴν κατασκευάσαι· ὃν δεξαμένη ἔπιεν. Ἰάμβη δέ τις δούλη τῆς Μετανείρας ἀθυμοῦσαν τὴν θεὰν ὁρῶσα γελοιώδεις λόγους καὶ σκώμματά τινα ἔλεγε πρὸς τὸ γελάσαι τὴν θεόν. ἦσαν δὲ τὰ ῥήματα, ἅπερ αὕτη πρῶτον εἶπεν, ἰαμβικῷ μέτρῳ ῥυθμισθέντα ἐξ ἧς καὶ τὴν προσηγορίαν ἔλαβον ἴαμβοι λέγεσθαι. Ἰάμβη δὲ θυγάτηρ Ἠχοῦς καὶ τοῦ Πανός, Θρᾷσσα τὸ γένος: — B

965 ἰαχείτω δὲ γᾶ Κυκλωπία: Κύκλωπες Θρᾳκικὸν ἔθνος ἀπὸ Κύκλωπος βασιλέως οὕτως ὀνομαζόμενοι. οὗτοι πολέμῳ ἐξαναστάντες τῆς ἰδίας ἄλλῃ ἄλλος ᾠκίσθησαν. οἱ πλείονες δὲ αὐτῶν ἐν τῇ Κουρήτιδι.

---

1 ἐὰν γὰρ A  1. 2 ἡ—ῑ om. A  2 ἕως T  6 τοῖς om. T  αὕτη T  βλάβη B  10 γράψον A  11 καὶ post τὸ coll. MTA  Κόρη] παῖς M  καὶ om. B  βελτίων A  γὰρ om. T  12 θρηνοῦσα T  γίνεται MTA  ἴαχον M  ἴαχον A  ἴναχον T  13 καλλὴ παῖς M  καλὴ παῖς TAB  cf. quae habet $\mathrm{M^i}$ ἡ κόρη ἡ καλλίπαις ἡ τὸν ἴναχον γενήσασα  14—25 = schol. Nic. Al. 130  17 ὅστις B  24. 25 et. m. p. 463,23 Gud. p. 269,14  27 ὀνομαζόμενος T  28 ἄλλῃ ἄλλος B  ἄλλοι ἄλλως MTA  οἱ om. MTB  κουρίτιδι MTAB

ἦσαν δὲ ἄριστοι τεχνῖται. Ἄβαντος δὲ τοῦ βασιλέως τῶν Ἀργείων υἱοὶ ἦσαν ἐξ Ἀγλαΐας Προῖτος καὶ Ἀκρίσιος. οὗτοι μετὰ θάνατον τοῦ πατρὸς ἐστασίασαν περὶ τῆς τυραννίδος. φασὶ δὲ ὅτι ἐν τῷ πολέμῳ τούτῳ πρῶτον ξυλίναις ἀσπίσιν ἐχρήσαντο Ἀργεῖοι καὶ νικήσαντος Ἀκρισίου συνέβησαν ὥστε πλωτῆς γενομένης τῆς θαλάσσης ἀπαλλάσσεσθαι τὸν Προῖτον. χειμάζοντι δὲ αὐτῷ ἐκεῖσε φίλοι γίνονται Ἀργεῖοι, καὶ συμμαχία αὐτῷ ἐκ Λυκίας ἔρχεται καὶ τῆς Κουρήτιδος. ὡς δὲ λοιπὸν ἔαρ ἐφαίνετο, δεδιότες Ἀργεῖοι τὴν ἐπείσακτον συμμαχίαν τοῦ Προίτου συντίθενται ὥστε Ἀκρίσιον μὲν ἄρχειν Ἄργους, Προῖτον δὲ Τίρυνθος. κἀπειδὴ ὕποπτα ἦν τὰ τῶν βασιλέων, τειχίζουσι τὰς πόλεις τῶν ἐκ τῆς Κουρήτιδος Κυκλώπων τειχισάντων αὐτάς: — MTAB

γῆ Κυκλώπων. λέγει δὲ τὰς Μυκήνας. πλησίον δὲ αὗται τοῦ Ἄργους. Κύκλωπες δὲ οἱ ἐγχειρογάστορες περιετείχισαν τὰς Μυκήνας, οὓς ἡ ἱστορία φησὶ τὸν κεραυνὸν τῷ Διῒ κατασκευάσαι: — MTAB

τὸ ἑξῆς· θρηνείτω τὰ πήματα τῶν Ἀτρειδῶν οἴκων: — M[i]TB[i]

ἰαχείτω δὲ γᾶ Κυκλωπία: συνθρηνείτωσαν οὖν ἡμῖν αἱ κατὰ τὰς Μυκήνας γυναῖκες ἐπὶ τῷ πένθει τούτῳ τὰς τρίχας ἀποκείρασαι. ἡ αὐτὴ ἡ ἔφορος θεὸς τῆς πόλεως: — MTA

† Κυκλωπία: ἡ τῶν Μυκηναίων γῆ, ἣν Κυκλωπίαν ὠνόμασαν ὡς ὑπὸ τῶν Κυκλώπων τειχισθεῖσαν, ὅτε Προῖτος καὶ Ἀκρίσιος οἱ τοῦ Ἄβαντος υἱοὶ περὶ τῆς βασιλείας ἤριζον: — A

967 διὰ τὰ πήματα τῶν Ἀτρειδῶν: — MTB

968 ὑπὲρ ἡμῶν ἔλεος ἥξει τῶν θανουμένων: — M[i]B[i]

ἐλεεινοί, φησί, καὶ οἰκτροὶ τὴν τύχην ἡμεῖς οἱ μέλλοντες θανεῖσθαι: — MTAB

---

3 φησὶ A  ὅτι om. MB  4 πρῶτοι AB  6 χειμάζοντι—Ἀργεῖοι haud pauca interierunt, quae remanebant confusa sunt  οἱ ἀργεῖοι TA  7 καὶ om. T  κουρίτιδος MT  ὡς—ἐφαίνετο dubito num recto loco se habeant  ἐγένετο A  9 ἄρχων M  τίρυνθον A  9. 10 ὑπὸ παρ ἦν T  10 τῶν] τὰς A  κουρίτιδος MT  12—14 cf. Hecatae. frg. 359 (Poll. I 50) Strab. VIII p. 372  12 ἄλλην (i. e. ἄλλως) γῆν κυκλώπων A κυκλώπων MT om. B  13 ἐτείχισαν A  14 κατα ἱκετεῦσαι M  15 τὸ ἑξῆς om. B[i]  16 συν ἀναθρηνείτωσαν M συναναθρηνούτωσαν A  οὖν φησι καὶ ἡμῖν καὶ T  16. 17 αἱ μυκηνίδες T om. γυναῖκες  17 ἐπὶ—ἀποκείρασαι] ἀποκειράμεναι ἐπὶ τῶ πένθει T  τούτων A  18 ἡ—πόλεως om. A  24. 25 bis scriptum in MT  24 ψυχὴν MT (bis) A  ὑμεῖς MT (bis)

ὅσον οὐδέπω ἐλεηθησόμεθα παῖδες ὄντες τῶν ἐν Ἑλλάδι ποτὲ διαπρεψάντων κατὰ τὴν βασιλείαν: — MTAB

972 καὶ ὁ οἶκος ὁ πάλαι παρὰ τῶν εὐδαιμόνων διὰ τὰ εὐτυχήματα ζηλωτὸς ὢν καὶ ζηλούμενος: — M$^1$TAB$^1$

καὶ ὁ οἶκος ὁ πάλαι ποτὲ ζηλωτὸς ὢν καὶ μακάριος: — M$^g$T

974 ἥ τε: — M$^g$

976 ὦ πολύπονα ἔθνη τῶν ἀνθρώπων: — M$^g$B$^1$

978 λείπει τὸ ἀνθρώπων: — M$^1$

979 ἄλλα ἐπ' ἄλλοις κατὰ διαδοχὴν ἐπέρχεται κακὰ τοῖς ἀνθρώποις: — M$^1$B$^1$

λείπει τὸ ἀνθρώποις: — M$^1$

981 ἄνισος ἄστατος. ἄλλοι γὰρ ἄλλως ἔχουσι τύχης: — M$^g$B$^1$

982 μόλοιμι τὰν οὐρανοῦ: τὸ ἑξῆς· μόλοιμι πρὸς τὴν πέτραν καὶ τὴν βῶλον τὴν τεταμένην ἐξ Ὀλύμπου χθονὸς μέσον καὶ οὐρανοῦ ἁλύσεσι χρυσαῖς καὶ φερομένην δίναισι καὶ αἰωρήμασιν. ὁ δὲ λόγος· εἴθε παραγενοίμην εἰς τὴν μεταξὺ γῆς καὶ οὐρανοῦ τεταμένην πέτραν, ἥτις αἰωρεῖται καὶ φέρεται μυρίαις στροφαῖς στρεφομένη καὶ προσηρτημένη χρυσαῖς ἁλύσεσιν ἄνωθεν ἐξ οὐρανοῦ, ἵνα πρὸς τὸν Τάνταλον ἐλθοῦσα ἀποδύρωμαι τὰ συμβάντα. Ἀναξαγόρου δὲ μαθητὴς γενόμενος ὁ Εὐριπίδης μύδρον λέγει τὸν ἥλιον· οὕτως γὰρ δοξάζει. μύδρον δὲ καλοῦσι τὸν πεπυρακτωμένον σίδηρον. πέτραν δὲ καὶ βῶλον κατὰ τοῦ αὐτοῦ εἴρηκεν: — MTAB

ἄλλως: ἡ μὲν ἱστορία λέγει τὸν Τάνταλον ἀνατεταμέναις χερσὶ φέρειν τὸν οὐρανόν· νῦν δὲ ὁ Εὐριπίδης ἰδίως τὸν ἥλιον ἐπηρτῆσθαι λέγει αὐτῷ διάπυρον ὄντα μύδρον, ὑφ' οὗ καὶ δειματοῦσθαι αὐτὸν ἀεί. Ἀναξαγόρᾳ δὲ πειθόμενος μύδρον αὐτὸν εἶναι λέγει. τινὲς δὲ κυρίως

1 ὅσον—ἐλεηθησόμεθα om. B   κληθησόμεθα MTA   ὄντες om. B   3 ὁ (prius) om. T   παρὰ—εὐτυχήματα] διὰ τὰς εὐδαιμονιας B$^1$ diuersa interpretamenta in unum coniuncta sunt   4 in fine add. βέβακεν M$^1$ βέβηκε καὶ οἴχεται B$^1$   7 in fine add. καὶ ὑπὸ πάντων ἄξια θρηνεῖσθαι B$^1$   9 ἀλλεπαλλήλοις M$^1$   12 ἄλλας B$^1$   τύχας B$^1$   14 μέσον οὐρανοῦ M   15 χρυσέαις A   δίνεσι MTA   17 αἰώρηται MTA   φέρηται A   στροφαῖς om. MB   καὶ προσηρτημένη om. MB   19 ἀποδυρομένη MT ἀπωδυράμην B   ὁ om. A   21 σίδηρον om. A   κατὰ τοῦτο αὐτὸ TB τὸ αὐτὸ M   22 εἴρηται M   23—p. 194,1 cf. schol. Ap. Rhod. I 498 Diog. Laert. II 10 schol. Pind. Ol. I 97   23 ἄλλως] ἀλλ' MTAB   24 δὲ] μὲν A   ἰδίως om. A   25 αὐτὸν MT   αὐτοῦ MTA   26 ἀναξαγόρας T   δὲ om. B   λέγοντι B λέγουσι T   δὲ om. A

ἀκούουσι βῶλον χρυσῆν ἐπῃωρῆσθαι τῇ κεφαλῇ τοῦ Ταντάλου. ὑφίσταται δὲ ὁ Εὐριπίδης ἐν τούτοις τὴν Ἠλέκτραν εὐχομένην ὅπως τῷ Ταντάλῳ ἀποδύρηται τὰ συμβάντα τοῖς προγόνοις αὐτῆς. ὅμοιον τοῦτο τῷ ἐν Πειρίθῳ [frg. 596] 'σὲ τὸν αὐτοφυῆ τὸν ἐν αἰθερίῳ ῥόμβῳ πάντων φύσιν ἐμπλέξαντα'· οὐδὲν γὰρ διαφέρει ὑπὸ τῆς φύσεως εἰπεῖν πάντα διαπεπλέχθαι καὶ ὑπὸ ἀλύσεως ἐξηρτῆσθαι τοῦ λίθου: — MTAB

πέτραν ἁλύσεσι: διὰ τούτων καὶ παραδηλοῦται ὅτι ὁ Τάνταλος αὐτόθι εἴη μεταξὺ γῆς καὶ οὐρανοῦ αἴσθησιν ἔχων πάντων τῶν πεπραγμένων. εἰ δ' ἄρα τινὲς διαποροῦσι πῶς ἐξ ἁλύσεως παρηρτημένος περίεισιν ὁ ἥλιος, γινωσκέτωσαν ὅτι τὰ φυσικὰ τοῖς μυθικοῖς καταμίγνυσιν ὁ Εὐριπίδης: — MTAB

† εἴθε πορευθείην εἰς τὴν ἐξ οὐρανοῦ κατὰ τὸ μέσον τῆς γῆς, ἤτοι κατὰ κάθετον, τεταμένην καὶ κρεμαμένην ἐν αἰωρήμασι πέτραν, ⟨τουτ⟩έστιν εἰς τὴν ἐξ Ὀλύμπου φερομένην μετὰ στροφῆς ἐν χρυσείαις ἁλύσεσι βῶλον, ἵνα παρὰ τῷ Ταντάλῳ τῷ γέροντι προγόνῳ θρήνους ποι⟨ήσω⟩, ὃς τοὺς ἐμοὺς ἐγέννησε γεννήτορας, οἵτινες δυσχερείας καὶ βλάβας πολλὰς ἐθεάσαντο. καὶ λέγει τίνες αἱ βλάβαι ἃς εἶδον οἱ ταύτης ⟨πρόγ⟩ονοι. ὁ Πέλοψ, φησίν, ἐθεάσατο τὸ ἅρμα τοῦ Οἰνομάου τὸ πτερωτὸν καὶ ταχύτατον. οὗτος γὰρ συνέτρεχε τοῖς ἑαυτοῦ γα⟨μβρ⟩οῖς ⟨γενη⟩σομένοις ἐπὶ τῇ Ἱπποδαμείᾳ καὶ νικῶν αὐτοὺς ἐφόνευεν. εἶδεν οὖν, φησίν, ὁ Πέλοψ τὸν ταχύτατον δρόμον τῶν ἵππων τοῦ Οἰνομάου τὸν ⟨διὰ⟩ τετραΐππου στόλου καὶ πορείας γινόμενον, ὁπότε νικήσας τὸν Οἰνόμαον καὶ λαβὼν τὴν Ἱπποδάμειαν καὶ τὸν Μυρτίλον ἐπὶ τοῦ ἅρματος ὡς ἡνίοχον ποιησάμενος, ἐπεὶ ἐζηλοτύπωσεν αὐτῷ δι' Ἱπποδαμείας, διεδίφρευσεν. ἤτοι διὰ τοῦ δίφρου ἐποίησεν αὐτοῦ τὸν φόνον, βαλὼν καὶ ῥίψας αὐτὸν εἰς τὸ κῦμα τῆς θαλάττης, ἁρματεύσας, ἤτοι ἐκ τοῦ ἅρματος ῥίψας αὐτόν, ἐν ταῖς τῶν ποντίων σάλων ἠόσι ταῖς Γεραιστίαις, ἔνθα ἡ Γεραιστὸς τὸ τῆς Εὐβοίας ἀκρωτήριον, ταῖς λευκοκύμοσι διὰ τοὺς ἀποτελουμένους αὐταῖς ἐκ κυμάτων ἀφρούς: — A

1 ὑφιστᾶι B  2 ἐν τούτοις post Ἠλέκτραν coll. A  coniecerim τὴν Ἠ. ἐν ἡλίῳ γενέσθαι εὐχομένην  ἀχομένην M ἐχομένην T  3 ἀπογόνοις B  αὐτοῦ TAB  τούτῳ MB  τὸ AB  3. 4 πειρίνθω TA  4 τὸν (prius) om. M  5 πλέξαντα A  οὐδὲ MTB οὐ A  ὑπὲρ MTAB  εἰπὼν B  6 καὶ om. MTA  ὑπὲρ T  7—9 usque ad τινὲς add. A[1]  7 καὶ om. A[1]B  8 εἰ MT ἐστὶ B  9 περιηρτημένος MTB διηρτημένος A  9. 10 περιίησιν MTAB  10 τὰ μυθικὰ τοῖς φυσικοῖς A  14 συστροφῆς A  16 βλάβης πολλὰ A  26 ἤτοι ἁρματεύσας A

† εἰς τὸν Ἠριδανὸν ποταμὸν κρέμαται ὁ Τάνταλος: — A$^{1}$

εἴθε παραγενοίμην: — M$^{g}$B$^{i}$

984 τουτέστι μετὰ θρήνων: — M$^{g}$B$^{i}$

987 οἳ κατεῖδον ἄτας: οἵτινες, φησίν, οἱ ἐμοὶ προπάτορες· λέγει δὲ Ἀτρέα καὶ Θυέστην καὶ Ἀγαμέμνονα· αὐτόπται καὶ θεαταὶ γεγόνασι πολλῶν κακῶν, ἐξ οὗ ὁ Πέλοψ κατὰ τὸ αὐτοῦ πτηνὸν καὶ ταχύτατον ἅρμα ἔχων τὸν Μυρτίλον ἐξεδίφρευσε, τουτέστιν ἀπὸ τοῦ δίφρου ἔρριψεν εἰς τὴν θάλασσαν. τὴν δὲ ἱστορίαν ταύτην ἤδη προεθέμεθα ὅτι Πέλοψ ὁ Ταντάλου τὸν Οἰνόμαον νικήσας συνεργήσαντος τοῦ Μυρτίλου καὶ τὴν παρὰ θάλασσαν ἐλαύνων ἀπωθήσατο αὐτὸν κατ᾽ ἐκεῖνον τὸν τόπον τῆς θαλάσσης, ἔνθα Γεραιστός ἐστιν, ἀκρωτήριον τῆς Εὐβοίας, ὅθεν τὸ πέλαγος ἐκεῖνο ἐπώνυμον: — MTAB

ὃς ἦν ἡνίοχος τοῦ Οἰνομάου. * * ἔλαβε τὴν Ἱπποδάμειαν καὶ ἀναχωρῶν τοῦ ἀγῶνος ἔλαβε μεθ᾽ ἑαυτοῦ ἐπὶ τοῦ δίφρου ὡς δὴ φίλον τὸν Μυρτίλον: — MTA

ἀρχὴ τῆς ἄτης ἡ ἱπποδρομία Πέλοπος ἡ γενομένη διὰ τοῦ πελάγους. πτηνὸν δὲ ἀντὶ τοῦ ἱππικόν: — MAB$^{i}$

988 ἀντὶ τοῦ ἱππικόν. ἤτοι ταχύ: — M$^{g}$

989 τῇ τετραΐππῳ πορείᾳ: — MM$^{g}$TA

ἀντὶ τοῦ ἐξ οὗ: — M$^{g}$

προτακτέον τοῦ λόγου τὸ ὁπότε, τουτέστι· καὶ κατεῖδον οἱ ἐμοὶ προπάτορες ἄτας ἐν δόμοις, ἐξ οὗ ὁ Πέλοψ ἐξεδίφρευσεν εἰς θάλασσαν τὸν Μυρτίλον· ἐντεῦθεν καὶ Μυρτῷον, ἀπὸ Μυρτίλου, τὸ πρὸς Εὔβοιαν κέκληται. μηνίσαντος δὲ Ἑρμοῦ τοῦ τούτου πατρὸς ὑποβαλεῖν τοῖς ποιμνίοις χρυσόμαλλον ἄρνα, ἣ πολλῶν αἰτία κακῶν αὐτοῖς γέγονε· τὰ δὲ λοιπὰ τῆς ἱστορίας ἑξῆς ἐπάγει. ἀνεῖλε δὲ τὸν Μυρτίλον προσδο-

---

5 δὲ om. M  ἀτρέαν A  6 οὗ] ὧν M  καὶ] ὅ ἐστι B  8 ταύτην] τὴν αὐτὴν A  9 ὁ om. MTA  νικήσας ante Ταντάλου coll. MTA  10 παραθαλασσίαν T  10. 11 ἐκείνου τοῦ τόπου MTA  12 ὁμωνύμως MTA  τὴν ἐπωνυμίαν εἴληφεν B  13—15 scholio quod praecedit adi. MTA  13 ὃς] ὅσον M  ἱπποδρομίαν M  14. 15 ὡς — μυρτίλον post ἀγῶνος coll. A  16 ἀρχὴν τῆς αὐτῆς M  ἄττης A  17 πτηνῶν A  τῶν ἱππείων A  in fine add. ἐν ᾧ τὸν μυρτίλον MB$^{i}$  19 in fine add. ἐξ οὗ ὁ πέλοψ κατὰ τὸ ταχύτατον αὐτοῦ ἅρμα ἔχων τὸν μυρτίλον ἐξεδίφρευσεν MTA  21 initio add. ἐξ οὗ ὁ πέλοψ ἐξεδίφρευσεν εἰς θάλασσαν τὸν μυρτίλον T  ἐξ οὗ ὁ πέλοψ ἐξεδίφρευσε A  προτακτέον δὲ TA  ὁππότε A  22 αὐτὰς A  δήμοις A  ὁ om. B  23 ἔνθεν B  24 ἑρμῆν A  τὸν τούτου πατέρα TAB

κήσας καὶ αὐτὸς ὁμοίως ὑπ' αὐτοῦ προδοθήσεσθαι, ἵνα μὴ ἐξείπῃ ὅτι αὐτὸς ἐνίκησε καὶ οὐ Πέλοψ. οἱ δὲ ὅτι μετὰ τὴν νίκην ὡς φίλον συλλαβόμενος τὸν Μυρτίλον ἐξεδίφρευσε ζηλοτυπήσας εἰς Ἱπποδάμειαν: — TAB

990 ὁ Οἰνόμαος πατὴρ τῆς Ἱπποδαμείας. οἱ ἵπποι τοῦ Οἰνομάου ἦσαν ἡ Ψύλλα καὶ Ἅρπιννα. ὁ δὲ ἱπποκόμος ἦν ὁ Μυρτίλος: — A[1]

ὁ Οἰνόμαος ἐβασίλευεν ἐν τῇ Λέσβῳ, εἶχε δὲ καὶ ἵππους ταχεῖς, οὓς οὐδεὶς ἐνίκησεν εἰ μὴ ὁ Πέλοψ. εἶχε δὲ ὁ Πέλοψ ἡνίοχον τὸν Κίλλον. ἡ δὲ Ἱπποδάμεια Οἰνομάου θυγάτηρ ἡ καὶ παρὰ τοῦ ἰδίου πατρὸς ἐρωμένη καὶ διὰ τοῦτο μὴ ἐκδιδομένη πρὸς γάμον, καθὼς οἱ ἀκριβέστεροι τῶν ἱστοριογράφων γράφουσιν, ἠρᾶτο καὶ παρὰ Μυρτίλου τοῦ ἡνιοχοῦντος τῷ ταύτης πατρί, υἱοῦ δὲ ὑπάρχοντος Ἑρμοῦ καὶ Κλεοβούλης τῆς Αἰόλου [ἢ Αἰπόλου] θυγατρός. αὕτη τὸν Πέλοπα ἰδοῦσα ὡραῖον μετὰ τὴν τῶν δώδεκα νυμφίων ἀναίρεσιν ἔρωτι τούτου κατείχετο καὶ τῷ Μυρτίλῳ φησὶ συνεργῆσαι τῷ νεανίᾳ εἰς τὴν κατὰ τοῦ πατρὸς νίκην. ὁ δὲ ταῖς χοινικίσι τῶν τροχῶν τοὺς ἥλους μὴ ἐμβαλὼν ἐποίησε τὸν Οἰνόμαον ἐν τῷ τρέχειν ἡττηθῆναι καὶ ἀναιρεθῆναι ὑπὸ τοῦ Πέλοπος ἐκπεσόντων τῶν τροχῶν. ἐδίδου γὰρ ὁ Οἰνόμαος τοῖς μνηστῆρσι τὴν Ἱπποδάμειαν ἐπὶ τῶν οἰκείων ἔχειν ἁρμάτων θεὶς πέρας τοῦ δρόμου ἔπαθλον γάμου τὸν Κορίνθιον ἰσθμὸν εἰ δυνηθεῖεν ἀφικέσθαι μέχρι τούτου. αὐτὸς δὲ ὄπισθεν ἐλαύνων μετὰ δόρατος καὶ καταλαμβάνων αὐτοὺς ἀνῄρει. τότε δὲ οὕτω νικηθεὶς δόλῳ καὶ ἀναιρούμενος κατηράσατο τῷ Μυρτίλῳ γνοὺς τὴν ἐπιβουλήν, ἵνα ὑπὸ Πέλοπος ἀνέληται· ὃ καὶ γέγονεν ὕστερον. διαβληθεὶς γὰρ παρ' Ἱπποδαμείας ὡς βιάζων αὐτὴν ἤ, ὡς οἱ πολλοί φασι, πειράζων αὐτὴν ῥίπτεται παρὰ Πέλοπος περὶ Γεραιστὸν ἀκρωτήριον. ὁ δὲ τελευτῶν ἀρὰς ἀρᾶται τοῖς Πελοπίδαις δεινάς, αἳ καὶ πεπλήρωνται ὕστερον γεννηθείσης τῆς χρυσομάλλου ἀρνὸς Ἑρμοῦ βουλαῖς

---

1 καὶ αὐτὸς om. A   αὐτοῦ αὐτὸς A   2 καὶ οὐ] ὁ A   3 ἐδίφρευσε T ἐφόνευσε A   4—5 Tzetz. ad Lycophr. p. 424 cf. schol. Ap. Rh. I 752 schol. Lycophr. 163   6—p. 197,6 = schol. A 38 et Tzetz. ad Lycophr. p. 416—418 (cf. Voigt, diss. Hal. VI p. 474) cf. Diod. IV 73 schol. Ap. Rh. I 752 schol. B 104 schol. Soph. El. 504 schol. Lycophr. 163 Hygin. 84 Serv. ad Georg. III 7   6 ἐβασίλευσε Mon. 560   Lesbi mentio explicanda ex schol. A 38   8 κύλαν Mon. 560   12 αἰπώλου Mon. 560   14 καὶ Tzetzes ἢ Mon 560   18 πέρας Tzetzes πέλας Mon. 560   18. 19 nescio an scribendum sit θεὶς πέρας τοῦ δρόμου τὸν Κ. ἰ. καὶ ἔπαθλον τὸν γάμον εἰ κτλ.   21 ἀνῄρειτο Mon. 560   22 ἀπόληται Tzetzes praeter duo codices, qui habent ἀνέληται cf. schol. B 104   23 ἱπποδάμειαν Mon. 560   26 τῆς χρυσομάλλου ἀρνὸς duo codices Tzetzae, μαλλὸν χρυσῆς ἀρνὸς ceteri praeter duo qui cum Mon. 560 habent μάλλον καὶ τῆς χρυσῆς ἀρνὸς

τοῦ Μυρτίλου πατρὸς ἐν τοῖς Ἀτρέως ποιμνίοις· ὅθεν τὰ δεινὰ τῆς τραγῳδίας ἔπη. ὁ δὲ Γεραιστὸς ἀποθανόντος ἐκεῖ τοῦ Μυρτίλου Μυρτῷον πέλαγος ὠνομάσθη. ὁ δὲ Πέλοψ εἰς Ὠκεανὸν ἐλθὼν καὶ Ἡφαίστῳ ἁγνισθεὶς λαβὼν Πῖσαν τὴν Οἰνομάου βασιλείαν καὶ τὴν Ἀπίαν Πελασγίαν λεγομένην Πελοπόννησον ὠνόμασεν. ἡ δὲ ἱστορία τῆς χρυσῆς ἀρνὸς ἐγράφη ὄπισθεν [812] ὁπότε χρυσέας ἔρις ἀρνός: — Monac. 560

ἀντὶ τοῦ ἐξεδίφρευσεν: — M$^{g}$B$^{i}$

τὸν Μυρτίλον ἐπὶ τὸ ἀπολέσθαι: — M$^{g}$B$^{i}$

991 ἀντὶ τοῦ ἐκβαλὼν εἰς τὸν πόντον, ὅτε ἐφόνευσεν: — M$^{g}$B$^{i}$

992 λευκοκύμοσι: τοῖς λευκοῖς κύμασιν, ἐπειδὴ προσρηγνύμενα τῷ ἀκρωτηρίῳ ἀφρώδη γίνεται: — MTAB

Γεραιστὸς ἀκρωτήριον τῆς Εὐβοίας: — MTA$^{g}$B$^{i}$

ἐντεῦθεν καὶ Μυρτῷον, ἀπὸ Μυρτίλου, τὸ πρὸς Εὔβοιαν κέκληται: — MT

994 ἐκ τοῦ ἅρματος βαλών. ὅμοιον δέ ἐστι τῷ διεδίφρευσε: — M$^{g}$AB$^{i}$

ἠόνας λέγει τὴν ἐπιφάνειαν τοῦ κύματος: — M$^{i}$AB$^{i}$

995 ὅθεν δόμοισι τοῖς ἐμοῖς: ὅθεν δόμοις τοῖς ἐμοῖς ἦλθ' ἀρὰ πολύστονος, ὅτε ἐγένετο ποιμνίοις Ἀτρέως ἱπποβότα τέρας ὀλοὸν ἀρνὸς χρυσομάλλου, λόχευμα Μαιάδος τόκου, τουτέστιν· ὅθεν, διὰ τὸ φονευθῆναι τὸν Μυρτίλον, συμφορὰ κατέλαβε τοὺς οἴκους τὴν ἀρχὴν λαβοῦσα ἐξ οὗ ἐγένετο τέρας ἐν τοῖς ποιμνίοις τοῦ ἱπποτρόφου Ἀτρέως τὸ ὀλέθριον, λέγω δὲ τὴν ἄρνα τὴν χρυσόμαλλον, ἣν ὁ Μαιάδος τόκος, Ἑρμῆς, ὑπέβαλεν. τὸ δὲ λόχευμα πρὸς τὸ ἀρνός, τουτέστι τὸ χρυσόμαλλον λόχευμα ἀρνός, περιφραστικῶς τὴν ἄρνα: — MTAB

ἄλλως: ἀκολουθεῖν ἂν δόξειε τῷ τὴν Ἀλκμαιωνίδα πεποιηκότι

---

4 Πίσσαν Tzetzes νήσσαν Mon. 560 ἀππίαν Mon. 560 5 πελοπόννησον Mon. 560 9 scholio quod praecedit adi. B$^{i}$ initio add. ἐξέρριψε ἄλεσθαι M$^{i}$ 10 ἐμβαλὼν B$^{i}$ 11 τοῖς om. A ἐπεὶ A προσρηγνύμενα] προσρηγνυμένης τῆς θαλάσσης A 12 γίνονται A 13 scholio quod praecedit adi. MT add. δὲ post Γεραιστὸς τῆς om. T 14. 15 scholio quod praecedit adi. MT 16 ἐστι om. B$^{i}$ 18 scholio quod praecedit adi. AB$^{i}$ add. δὲ post ἠόνας σώματος M$^{i}$ 19. 20 ὅθεν—πολύστονος om. B 19 ἦλθεν A 20 ἀτρέως ἱπποβότα post ὀλοὸν coll. MTAB 21 λόχευμα ante ἀρνὸς coll. MTAB 23 ante ἐξ add. καὶ A τέρας om. T 25. 26 τὸ—ἄρνα om. B 27 ἀεὶ δόξειε TA δοκεῖ B ἀλμαιονίδα T

[frg. 6] εἰς τὰ περὶ τὴν ἄρνα, ὡς καὶ Διονύσιος ὁ κυκλογράφος [frg. 3] φησί. Φερεκύδης [frg. 93] δὲ οὐ καθ' Ἑρμοῦ μῆνίν φησι τὴν ἄρνα ὑποβληθῆναι, ἀλλὰ Ἀρτέμιδος. ὁ δὲ τὴν Ἀλκμαιωνίδα γράψας τὸν ποιμένα τὸν προσαγαγόντα τὸ ποίμνιον τῷ Ἀτρεῖ Ἀντίοχον καλεῖ: — TAB

997 τὸ ἑξῆς· λόχευμα ἀρνός, ὅ ἐστι περιφραστικῶς ὁ ἀρνός: — M[1]B[1] τοῦ Ἑρμοῦ: — M[g]

998 τὸ χρυσόμαλλον ἀρνός: Ἑρμοῦ φησι τὰ ποίμνια καθότι ἀποδέδοται τούτῳ ἡ ἐπιμέλεια αὐτῶν. Ἑρμοῦ δὲ καὶ μιᾶς τῶν Δαναοῦ θυγατέρων Φαεθούσης ἐγένετο Μυρτίλος. οἱ δὲ ἐκ Κλυμένης φασὶν αὐτὸν καὶ Διὸς γεγενῆσθαι: — MTAB

ἄλλως: ὁπότε τὸν ἀρνειὸν ὑπέβαλε τοῦτον Ἑρμῆς ὀργιζόμενος Ἀτρεῖ, ἐπειδὴ ὁ πρόγονος αὐτοῦ Πέλοψ τὸν Μυρτίλον αὐτοῦ υἱὸν εἰς τὸ ἐξ αὐτοῦ Μυρτῷον κληθὲν πέλαγος ἔρριψε συναγωνισάμενον αὐτῷ καὶ ποιήσαντα ἀπὸ κηροῦ τοὺς τροχούς, ἤτοι τοὺς σφῆνας τῶν τροχῶν. ὁ δὲ Ἀτρεὺς βουλόμενος δεῖξαι ὅτι αὐτοῦ ἐστιν ἡ βασιλεία, ἔφη δεῖξαι ὅτι χρυσόμαλλος ἀρνειὸς αὐτῷ ἐτέχθη. τούτου δὲ ὑπονοθεύσας τὴν γυναῖκα Θυέστης ἔκλεψε τὸν ἀρνειόν. μὴ δυνηθεὶς οὖν κατὰ τὴν ὑπόσχεσιν δεῖξαι ὁ Ἀτρεὺς ἔμελλεν ἀφαιρεῖσθαι τὴν βασιλείαν ἐκείνου τὸ ὑπ' αὐτοῦ ὑποσχεθὲν δεικνύντος, εἰ μὴ ὡς ἂν φιλόσοφος ἀπέδειξεν αὐτοὺς ἀσεβοῦντας εἰ Θυέστην βασιλέα ἕλωνται, τεκμήριον δὲ τῆς ἀσεβείας τὸν ἥλιον καὶ τὰς Πλειάδας ἐκ δύσεως ἀνίσχοντας. καὶ οὕτως ἐβασίλευσε καὶ τὸν ἀδελφὸν σφόδρα ἐτιμωρήσατο. τινὲς δέ φασι τὸν Δία πρὸς χάριν Ἀτρέως ποιῆσαι τὸν ἥλιον καὶ τὰς Πλειάδας ἐκ δύσεως ἀνατεῖλαι μεταστρέψαντα τὴν τάξιν ἐν μιᾷ ἡμέρᾳ: — MTAB

† ἄλλως: τὸ χρυσόμαλλον ἀρνός: καὶ τοῦτο προεξεθέμεθα οὕτως. φιλονεικίας γὰρ οὔσης αὐτοῖς περὶ τῆς βασιλείας παρελθὼν ὁ

2 δὲ] δέ φησι A κατ' ἐμοῦ TA μῆνι T 3 ἐπιβληθῆναι TA 3. 4 ὁ — καλεῖ om. A 3 ἀλμαιονίδα T 4 τὸν om. B ἀντίοχον καλεῖ T ἀντ καλεῖ B 5 post λόχευμα add. χρυσόμαλλον B[1] ὅ ἐστι om. B[1] 7 τὸ ποίμνιον A 8 παραδέδοται A 8—10 cf. schol. Ap. Rh. I 752 9 γένετο μυρτίλος in ras. add. A[1] οἱ ex ὁ corr. A[1] φασὶ post Διὸς coll. B 11 τὸν ἀρνειὸν om. A 12 υἱὸν αὐτοῦ B 13 αὐτῷ] αὐτὸν MTA 14 ἀπὸ κηροῦ spatio uacuo ins. A[1] 16 δὲ om. M 17 δυνηθῆς A 19—24 inde ab εἰ add. A[1] 19 ἂν] ὢν A[1] 20 εἰ Θυέστην] εἰς τὸν αὐτὸν A[1] ἕλονται M ἔλονται TA[1]B 20. 21 ἀσεβείας Laur. 31,10 βασιλείας MTA[1]B 21 ἀνίσχοντα B 24 καὶ μεταστρέψαντα A[1] 25. 26 usque ad οὕτως add. A[1] 25 προεκτιθέμεθα TB πάντως ἐκτιθέμεθα A[1] 26 γὰρ om. B

Ἀτρεὺς ἐπηγγέλλετο δεῖξαι πρὸς τὸ βεβαιωθῆναι αὐτῷ τὴν βασιλείαν χρυσόμαλλον ἐν τοῖς ποιμνίοις αὐτοῦ ἄρνα· ἣν ὁ Θυέστης λάθρα παρὰ τῆς Ἀερόπης αἰτήσας ἔλαβεν. ὅθεν Ἀτρεὺς ὡς ἀπατήσας τοὺς Ἕλληνας ἐξεβλήθη τῆς ἀρχῆς, Θυέστης δὲ ἐκράτησεν. ἀλλ' ὕστερον πάλιν ὁ Ἀτρεὺς φιλονεικίᾳ τῇ πρὸς τοῦτον προελθὼν ἐπηγγέλλετο δεῖξαι τὸν μὲν ἥλιον ἐκ δυσμῶν εἰς ἀνατολὰς τὴν πορείαν ποιούμενον καὶ τὴν Πλειάδα ὁμοίως εἰς ἀνατολὴν ὁρῶσαν. τοῦτο οὖν νῦν λέγει ὅτι μετὰ τὸ φανῆναι τὴν ἄρνα ἡ ἔρις τοῦ Ἀτρέως πεποίηκεν ἐπιδειχθῆναι τοῖς Ἕλλησι τὸν ἥλιον τὴν ἐναντίαν ἢ ὡς ὑπείληπται πορευόμενον καὶ τὴν Πλειάδα μηκέτι πρὸς δύσιν, ἀλλὰ πρὸς ἀνατολὰς ⟨ὁρῶσαν⟩. πιθανῶς δὲ ὁ Εὐριπίδης τὸν μῦθον προσήρμοσεν· ὁ γὰρ φυσικὸς λόγος τὸν ἥλιον ἀποδείκνυσι τὴν ἐναντίαν ἰόντα πορείαν τῷ οὐρανῷ. φασὶ γὰρ ὅτι πρότερον μὲν ἐκ καρκίνου εἰς διδύμους ἐποιεῖτο τὴν πορείαν, ὥστε τὸν σωματοειδῆ Ἥλιον ἀπεστροφέναι πρὸς τὴν δύσιν τὸ πρόσωπον, νῦν δὲ διὰ τὴν Ἀτρέως καὶ Θυέστου ἀδικίαν ἀποστραφέντα πρὸς ἀνατολὴν φέρεσθαι ἔχοντα φαινόμενον ἡμῖν τὸν νῶτον. διόπερ τὴν μὲν δύσιν αὐτῷ γενέσθαι ἀνατολήν, τὴν δὲ ἀνατολὴν δύσιν. πιθανῶς δὲ τὸ κατὰ τὰς Πλειάδας εἴληπται. τὰ μὲν γὰρ ἄλλα ζῴδια πρώτην φαίνει τὴν κεφαλὴν κατὰ ἀνατολάς, ὁ δὲ ταῦρος τὸ στῆθος προφαίνει, καθ' ὅ εἰσιν αἱ Πλειάδες, ὥστε ἀνεστραμμένην καὶ τούτοις τὴν ἀνατολὴν γίνεσθαι. ἔρις δὲ ἀντὶ τοῦ διὰ τὴν ἔριν Ἀτρέως τὴν πρὸς τὸν Θυέστην: — TAB

1000 τὸ ἑξῆς· ποιμνίοισιν Ἀτρέως ἱπποβότα: — M[1]
τοῦ ἵππους τρέφοντος. ἢ ἐπιβαίνοντος ἵπποις: — M[g]B[1]

1001 γράφεται τὸ τέτρωρον: — M[g]TB[1]

1003 ἀντὶ τοῦ προσαρμόσας, ὡς [Θ 455] ʻπληγέντε κεραυνῷʼ: — M[1]

1004 μονόπωλον ἐς Ἀῶ: Εὐριπίδης μὲν ἑνὶ ἵππῳ ἐποχεῖσθαί φησι τὴν Ἡμέραν (φασὶ δὲ τοῦτον εἶναι τὸν Πήγασον), ἄλλοι δὲ ἐπὶ δίφρου. ἠὼς δέ ἐστιν ἡ πρὸ τῆς ἀνατολῆς ἡλίου λάμπουσα.

5 προσελθὼν TAB ἐπηγγήλετο A 7 νῦν T οὐ AB 8 τὸν TAB em. Dindorf ἡ ἔρισ ἡ A τοῖς om. B 9 ἢ ὡς coni. Dindorf πῶσ TAB ὑπείληπται om. B 11 γὰρ] δὲ T 12 ἰδόντα A φησὶ TAB 14 ἐπεστροφέναι A 15 ἐπιστραφέντα A 18 φέρει A 19 κατὰ τὰσ A 20 τούτοισ T τούτων A ταύτην B 21 ὁ ἀτρεὺσ TA παρὰ A τὸν om. B 23 τοῦ Münzel τοὺσ M[g] om. B[1] 24 τὸ om. T τε πτερωτὸν B[1] 26 ἐν ἵππω MTB ἕνα ἵππον A 27 τὴν Ἡμέραν] τὸν ἥλιον A φησὶ δὲ τοῦτον MT φησὶ δὲ B τοῦτον δὲ A 28 τοῦ ἡλίου TA

ἔνιοι δὲ μονόπωλον οὐχὶ τὴν ἕνα πῶλον ἔχουσάν φασιν, ἀλλ' ἐν μιᾷ ἡμέρᾳ καὶ μόνῃ, ἵν' ᾖ ὁ Ἀτρεὺς τοῦτο ἐσχηκὼς κατὰ χάριν Διός, ⟨τὸ⟩ διὰ μιᾶς ἡμέρας τότε τὸν ἥλιον ἐκ δύσεως ἀνατεῖλαι καὶ τὰς Πλειάδας: — MTAB

τουτέστιν· ἐν μιᾷ ἡμέρᾳ τοῦτο ποιήσας ὁ Ζεύς, τὸ ἀπὸ δύσεως ἀνατεῖλαι τὸν ἥλιον καὶ τὴν ἑπτάπορον Πλειάδα: — M[i]

1005 ἑπταπόρου Πλειάδος: ἐξ ἑπτὰ γὰρ ἀστέρων ἡ Πλειάς.

πιθανῶς δὲ τὰς Πλειάδας φησίν. τῶν γὰρ ἄλλων πάντων ἐν ταῖς ἀνατολαῖς δεικνύντων τὴν κεφαλὴν ὁ ταῦρος τὸ στῆθος προφαίνει: — MTAB[i]

1007 ἤτοι ἀντὶ τῆς χάριτος ἧς παρέσχεν ὁ Ζεύς· διὰ γὰρ τούτου κατέσχεν. ἢ παρὰ τὸ κρατῆσαι τὸν Ἀτρέα. ἢ ἀντὶ τοῦ φόνου τοῦ Μυρτίλου διαδοχαὶ φόνων ἐγένοντο: — M[i]TA

τῶνδέ τ' ἀμείβει: ἀπὸ δὲ τούτων, ὅ ἐστιν ἑξῆς δὲ τούτων, κατὰ διαδοχὴν θανάτους ἀλλεπαλλήλους ἐπήγαγεν ὁ Μαιάδος τόκος καὶ τὰ δεῖπνα τῶν τέκνων Θυέστου: — MTAB

ἄλλως: ἀμοιβαδίς, κατὰ διαδοχήν, θανάτους ἐπήγαγε τῷ γένει [ἤτοι ὁ Ζεὺς ἀντὶ τῆς χάριτος ἧς παρέσχεν]. τουτέστιν· ἀλλεπαλλήλους τις διαμείβει θανάτους, τουτέστιν ὁ Ἑρμῆς: — MTAB

1008 ἐπώνυμα αὐτὰ εἶπε παρετυμολογῶν τὸν Θυέστην παρὰ τὴν θύσιν τῶν τέκνων αὐτοῦ: — MTB

1009 ἀνέστρεψε τὴν τάξιν τῆς ἱστορίας: — M[g]TB[i]

† ὁ Ἀτρεὺς καὶ ὁ Θυέστης ἦσαν ἀδελφοὶ καὶ ὁ μὲν Ἀτρεὺς εἶλε τὴν Ἀερόπην γυναῖκα ἥντινα εἶχε καὶ ὁ Θυέστης: — A[1]

1010 λείπει τὸ κακά: — M[g]TB[i]

---

1 τὸν T  ἔχουσα M  ἔχουσι T  φησιν MTA  2. 3 ἵν'—Πλειάδας om. A spatio relicto  3 ἥλιον] οὐρανὸν MT  7 ἑτέρων M  8. 9 πιθανῶς—προφαίνει om. B[i]  9 ὑποφαίνει MTA  11 ἀντὶ] διὰ M[i]TA τοῦτο M[i]TA  12 παρὰ τοῦ M[i]T  13 ἐγίνοντο TA  in fine add. ἄλλωσ ζεὺσ μεταβάλλει ἤτοι διὰ τῆσ χάριτοσ ἣν παρέσχεν ὁ ζεὺσ A  14—16 bis scripta in M  15 ἀλλεπαλλήλους om. A  16 τοῦ θυέστου B  17 ἀμοιβαδὸν A  ἀμοιβὰσ B  θανάτους ἐπήγαγε θανάτουσ MT  τῷ παντὶ γένει A  18 ἤτοι om. B  παρέσχετο B  18. 19 τουτέστιν—Ἑρμῆς] ἢ μᾶλλον ὁ ἑρμῆσ B  19 τις om. A  ἀμείβει θανάτουσ ὁ ἑρμῆσ spatio uacuo ins. A[1]  θανάτους om. MT  in fine add. ἢ οὕτωσ ἀντὶ τοῦ φόνου τοῦ μυρτίλου διαδοχαὶ φόνων ἐγένοντο B  20. 21 scholio 14—16 adi. MB add. δὲ post ἐπώνυμα  20 post εἶπε add. τὰ δεῖπνα τοῦ θυέστου T  22 ἀνέτρεψε M[g]TB[i]  25 τὰ M[g] om. T  in fine add. τὰ πανύστατα δὲ κακά B[i]

1011 λείπει ἡ σύν: — M$^g$TB$^i$

ἀντὶ τοῦ σὺν ἀνάγκαις: — M$^g$TB$^i$

1012 μετά τινος κακοπαθείας βαδίζει: — M$^g$TB$^i$

1013 κατακριθείς: — M$^g$TA$^g$B$^i$

1016 κῶλα κυρίως λέγουσι τὰς ἁρμονίας τῶν μελῶν: — M$^g$B

1017 συνεζευγμένος. τουτέστι πορευόμενος μετὰ κηδεμονίας: — M$^g$TA

τῇ κηδοσύνῃ συνεζευγμένος καὶ τὸ νοσερὸν κῶλον τοῦ Ὀρέστου ἰθύνων: — M$^1$B

συγγενικῷ: — M$^g$B$^i$

1018 οἲ 'γὼ πρὸ τύμβου: πλησιάζοντα καὶ ἐγγὺς ὄντα τοῦ τάφου, ἤ τοῦ θανάτου. ὁρᾷ δὲ τὸν Ὀρέστην πλησίον τοῦ τάφου τοῦ πατρὸς καὶ θρηνεῖ τὸ κατ' αὐτὸν ⟨ὡς⟩ ὅσον οὐδέπω ἐκεῖ καθήσεται: — MTA

† οἲ 'γὼ πρὸ τύμβου γάρ: πλησιάζοντα καὶ ἐγγὺς ὄντα τοῦ τάφου καὶ τοῦ θανάτου ὁρῶσα στενάζω. ἢ οὕτως· πρὶν ἢ ἐν τῷ τάφῳ καὶ ἐν τῇ πυρᾷ σε θεάσομαι, θρηνῶ: — B

1019 ἀπὸ κοινοῦ τὸ ὁρῶσα: — M$^g$B$^i$

1020 οἲ 'γώ: φεῦ μοι καὶ πάλιν τῇ ἀθλίᾳ: — M$^1$B$^i$

γράφεται ὡς ἰδοῦσά σ' ὄμμασιν: — M$^1$B$^i$

1022 γράφεται γόους: — M$^i$

1023 λείπει τὸ δεῖ φέρειν. τινὲς δὲ γράφουσιν οἰκτρὰ μὲν, ἀλλ' ὅμως φέρε: — M$^1$TB$^i$

1025 τὸ φῶς τοῦ ἡλίου ὁρᾶν οὐκέτι μέτεστιν ἡμῖν τοῖς ταλαιπώροις: — B$^i$

1027 αὐτάρκης ὁ ὑπὸ τῆς Ἀργείας χειρὸς θάνατος: — M$^1$B$^i$

1030 θανάτου τ' ἀώρου: νῦν ὅτε ἀνὴρ γέγονας καὶ ἀκμάζεις καὶ ὀφείλεις ζῆν, ἀπόλλυσαι κατακριθείς: — M$^1$TA

2 scholio quod praecedit adi. B$^i$ om. ἀντὶ τοῦ et add. πολυπόνοις ante ἀνάγκαις  3 initio add. τουτέστι B$^i$  5 scholio 8. 9 adi. B add. δὲ post κῶλα  6 initio add. συγγενικῶ παράσειρος T τῶ ποδὶ τῶ συγγενικῶ παράσειρος καὶ A  κηδεμονίας add. A$^1$  8 καὶ om. M$^1$  10 initio add. συνεζευγμένος κηδοσύνω δὲ B$^i$  11 πλησιάζοντα ex πλησίον corr. A$^1$  12 ὁρῶσα M ὁρῶ A  τὸν om. M  13 τὸ καὶ κατ' A  15 πλησιάζουσα B  19 post πάλιν add. ἐμοὶ M$^1$  22 λείπει — φέρειν om. T  22. 23 φέρειν — φέρε om. B$^i$  22 δὲ om. T  26 ὁ om. B$^i$  ἑλληνικῆς B$^i$  28 ὤφειλες A

ἄλλως: νῦν σε, φησίν, ἐχρῆν ζῆν, ὅτε οὐκέτι σε ζῆν συγχωροῦσιν οἱ Ἕλληνες: — MTAB

γράφεται ὅτ' οὐκέτι: — $M^{g}$

1032 πορθμεύουσ' ὑπόμνησιν: διὰ τὴν ὑπόμνησιν τῶν κακῶν εἰσάγουσά με εἰς δάκρυα: — MTAB

1034 πᾶσιν γὰρ οἰκτρόν: οὐκ ἐκράτησε τοῦ διανοήματος· θέλει γὰρ εἰπεῖν ὅτι πᾶς ἀποθνήσκων οἰκτίζεται τὴν ἰδίαν ψυχήν: — MTAB

1037 σὺ νῦν μ' ἀδελφὲ μή τις: σύ μου, φησίν, αὐτόχειρ γενοῦ. ἵνα μή τίς με τῶν ἐχθρῶν ἀνελὼν ὕβριν ταύτην προστρίψῃ σοι καὶ ἐπιτωθάσῃ σε. κατ' αὐτοῦ γὰρ τὸν Ἀγαμέμνονος γόνον: — MTAB

1038 ὕβρισμα θέμενος: ἵνα μή τις ἐνυβρίσῃ σε τὸν Ἀγαμέμνονος γόνον: — $MM^{i}TABB^{i}$

γράφεται καὶ δόμον. οὕτως γοῦν καὶ Καλλίστρατός φησιν Ἀριστοφάνη γράφειν: — MTAB

1041 οὐδὲν σοῦ ξίφους: οὐκ ἀποστήσομαι τοῦ σοῦ ξίφους, ἀλλ' αὐτόθεν ἐμαυτὴν κἀγὼ διαχειρίσομαι: — MTAB

ἀντὶ τοῦ· οὐ μετὰ πολὺν χρόνον τῆς σῆς σφαγῆς: — $M^{i}$

1043 τέρπου κένην ὄνησιν: εἰ ὅλως ἔστι τέρψις τοῖς πέλας θανάτου βεβῶσιν: — $MTAB^{i}$

1045 ὦ φίλτατ', ὦ ποθεινόν: ἀντὶ τοῦ διὰ στοργῆς καὶ φιλίας ἔχων τὴν ἐμὴν ψυχὴν καὶ τὸ ἐμὸν ὄνομα. ποῖον ὄνομα· τὸ καὶ αὐτὸν καλεῖσθαι ἀδελφόν. ὅ ἐστι καλούμενος ἀδελφός. ὁ γὰρ ἀδελφῆς ἔχων ὄνομα ἀδελφὸς ἂν καλοῖτο: — MTAB

1046 ἐπεὶ καὶ αὐτὸς ἀδελφὸς αὐτῆς καλεῖται: — $M^{i}T$

1 χρὴ A σοι A ζῆν om. A 2 ἀργεῖοι A 4 scholio l. 2 adi. B ins. πορθμεύουσα δὲ τουτέστι 4 διὰ om. A 5 εἰσάγουσαν A με om. A 7 ὅτι om. T 9 προστρίψει A προστρίψειε B σοι] σε MTA om. B 10 ἐπιτωθάσει A ἐπιτωθάσειε B σε om. B κατὰ τοῦ γὰρ M ἀπὸ τούτου γὰρ T om. AB 11. 12 scholio quod praecedit adi. B initio add. ἢ οὕτως 11 ἵνα om. $M^{i}$ γρ. $B^{i}$ μὴ ἐνυβρίσῃς σὺ τῷ ἀγαμέμνονος γόνῳ $M^{i}B^{i}$ 12 in fine add. γράφεται καὶ δόμον οὕτως γὰρ ἐν τοῖς ἀρίστοις καλλίστρατος MT γράψον δόμον ὅτι καὶ ὡραίως [solito compendio ex ω et ρ composito scriptum] ἀρίσταρχος καὶ καλλίστρατος A 13. 14 scholio 8—10 adi. MTA om. γράφεται—δόμον, scholio quod praecedit adi. B praeterea habet $M^{i}$ γράφεται δόμον οὕτως καὶ ἐν τοῖς ἀρίστοις καλλίστρατος 13 οὖν MA γὰρ B om. T καὶ om. A 16 τὰ αὐτόθι A κἀγὼ in fine coll. A διαχειρήσομαι M διαχρήσομαι A corr. $A^{1}$ 18 τοῦ A 21 ἐμὸν om. B 22. 23 ἀδελφῆς] ἀδελφοῦ MTB ἀδελφὸν A

1047 οἷον· καὶ αὐτὸς περιβαλεῖν σε βούλομαι: — M[i]TB[i]

1053 ἐκ γὰρ κεδρίνου ξύλου εἰώθασι τὰς θήκας κατασκευάζειν: — MTAB

1055 διὰ τὸ μηκέτι μηδὲ φίλους ἔχειν: — M[i]TB[i]

1058 ἀντὶ τοῦ· οὐδὲ ἐφάνη ἐν τῇ ἐκκλησίᾳ: — M[i]B[i]

1059 τὴν ἐλπίδ' εὐλαβεῖτο: τὸ μή περιττεύει, οὕτως· ηὐλαβεῖτο καὶ παρῃτεῖτο ἀντειπεῖν * * μὴ σῴζειν τοὺς φίλους· οἱ γὰρ γνήσιοι φίλοι καὶ πρὸς τὸ πλῆθος οὐ παραιτοῦνται κινδυνεύειν. ἢ τὸ πλῆθος ηὐλαβεῖτο πρὸς τὸ μὴ σῴζειν τοὺς φίλους ἢ εἰπεῖν ηὐλαβεῖτο: — MTAB

1061 γράφεται δεξιώτατα: — M[i]

1062 γράφεται πατρός: — M[i]B[i]

1065 † σὺ δ' ἡμῖν τοῦ φόνου: ἀντὶ τοῦ ἔφορος καὶ προνοητής. παραγγέλλει γὰρ ἀποθανόντων περιστεῖλαι καὶ κηδεῦσαι τὸ ἑαυτῶν σῶμα σεμνῶς: — A[1]

1072 ἠρώτησάς με, φησίν· ἰδοὺ κἀγώ σε ἀντερωτήσω. τοῦτό με ἠρώτησας, ἀλλ' ⟨ἐγὼ⟩ ἐκεῖνο· διὰ τί δὲ ζῆν: — M[i]TA[1]

† ἤρου· τί δὲ ζῆν: ἠρώτησάς με, εἰ προσήκει με ἀποθανεῖν μετὰ σοῦ κἀγώ σε ἀντερωτήσω· τί δὲ προσήκει με ζῆν τῆς σῆς φιλίας καὶ ἑταιρείας χωρίς: — B

1074 σὺν σοί γε: οὐ πρὸς τὸ ῥηθὲν ὑπὸ Ὀρέστου ἀπεκρίνατο. θέλει γὰρ εἰπεῖν ὅτι συνησέβησά σοι: — MTAA[1]B

1075 ἰδίως ταῦτα ὁ Εὐριπίδης τοῦ Πυλάδου ἔμπροσθεν εἰρηκότος ὅτι ἐκβέβληται ὑπὸ τοῦ πατρὸς, εἰ μὴ ἄρα αἰνίττεται ὡς μετὰ θάνατον τοῦ πατρὸς δυνήσεται κατελθεῖν: — MTA[1]B

1076 σοὶ μὲν γὰρ ἔστι πόλις: ἀντὶ τοῦ σὺ σαυτὸν σῷζε τῷ πατρί· οὐ γὰρ οὕτως ἔχεις τύχης ὡς ἐγώ. σοὶ γὰρ ἔξεστιν εἰς τὴν πατρίδα ἐπανελθεῖν: — MTAB

---

2 initio add. τὰ ἐκ κέδρου κατασκευάσματα B κεδρίνων ξύλων A 4 ἔχειν om. T 6 περιττεύειν M οὕτως] ὅτι MTAB 7 exciderunt σῴζειν τοὺς φίλους. ἢ τὸ πλῆθος ηὐλαβεῖτο πρὸς τὸ uel talia 13 εὔφορος A[1] 14. 15 σεμνῶς σῶμα A[1] 17 με] μὲν A[1] in fine add. με T 21. 22 bis scripta in M 21 ῥηθὲν] λεγόμενον MTA[1] ὑπὸ Ὀ. om. M[a]A ἀπεκρίνατο πυλάδης ὑπὸ ὀρέστου B 22 λέγειν MTA[1]B 23—25 scholio quod praecedit adi. MTA[1]B. add. δὲ post ἰδίως MTB, add. καὶ A[1] 23 ante Πυλάδου ins. γὰρ MTA[1] 24 ἐκβέβλημαι A[1] 24. 25 ἄρα—κατελθεῖν] ἐκεῖνος εὐθυμούμενος λέγει ὅτι τοῦ στροφίου μεταλλάξαντος ἔξεστιν αὐτῷ κατελθεῖν A 26 σαυτὸν] τοῦτον A

1081 κῆδος δὲ τοὐμόν: τὸ διὰ τοῦ γάμου· μὴ γαμηθείσης γὰρ αὐτῆς οὐκ ἔμελλε κῆδος εἶναι: — MTAB[i]

1082 ἀλλ' ὦ ποθεινόν: ὅτι ὁμιλίας τῆς φιλίας. σημειωτέον δὲ πρὸς τὸ ἐν Φοινίσσαις [1408] 'ὁμιλίᾳ χθονός': — MTAB

1086 μήθ' αἷμά μου δέξαιτο κάρπιμον πέδον: ὅ ἐστιν· ἀποθανὼν μὴ ἑνωθείην τοῖς στοιχείοις ἐξ ὧν εἰμί, ἀλλὰ πλανῴμην εἰκῇ ὑπ' οὐδενὸς τῶν στοιχείων λαμβανόμενος: — MTAB

ἄλλως: μήτε τὸ σῶμά μου, φησίν, ἀποθανόντος ἡ γῆ παραδέξαιτο μήτε εἰς αἰθέρα ἡ ἐμὴ ψυχὴ χωροίη, εἴ σε προδοίην τὰ νῦν, τουτέστι· μὴ ἑνωθείην τοῖς στοιχείοις τελευτήσας. ὅτε γὰρ ἀποθνήσκουσιν, εἰς τὰ στοιχεῖα ἀναλύονται ἐξ ὧν εἰσίν: — MTAB

1093 τί γὰρ ἐρῶ καλόν ποτε: τί γὰρ ἔχω, φησίν, ἀπολογήσασθαι εἰς τὴν πατρίδα ἐπανελθών, εἰ προδοίην σε δυστυχοῦντα τότε φίλος ὢν ὅτε εὐτύχεις: — MTAB[i]

1094 γῆν Δελφίδ' ἐλθών: Ὕαμος ὁ Λυκώρου μετὰ τὸν κατακλυσμὸν βασιλεύων τῶν περὶ τὸν Παρνασὸν Ὕαν πόλιν ἔκτισε καὶ γήμας Μελάνθειαν τὴν Δευκαλίωνος ἐποίησε Μελαινίδα· ἐκ δὲ Μελαινίδος Δελφός, ὃς τὴν ἀρχὴν τοῦ μητροπάτορος παραλαβὼν ἔγημε Κασταλίαν, ἀφ' ἧς ἡ κρήνη τοὔνομα ἔχει, καὶ ἔσχε Καστάλιον καὶ Φημονόην, ἥν φασι πρώτην ἐξαμέτρῳ χρῆσαι. πόλιν δὲ κτίσας ὁ Δελφὸς Δελφίδα ὠνόμασε. μετὰ δὲ θάνατον αὐτοῦ ἦρξε Καστάλιος, οὗ υἱὸς Λάφριος, οὗ Νούτιος· ἐφ' οὗ Δελφοὶ πολεμοῦντες πρὸς τοὺς ὁμόρους ἀναρχίαν εἵλοντο καὶ τὸν Ἀκρίσιον μετεπέμψαντο ἐξ Ἄργους, ὃς αὐτοῖς τόν τε πόλεμον καλῶς

1 γὰρ om. A    2 οὐκ—κῆδος] οὐ γὰρ κῆδος τὲ ἔμελλεν A    3 ὅτι] ἔτι A om. T    post φιλίας add. φησί AB    4 ὁμιλίας MTB    6 τοῖς om. MTB    εἰμὶν ἀλλ' ἀποπλανώμην A    πλανοίμην MTB    8 ἄλλως B ἀλλὰ MTA    παραδέξεται A    9 χωρήσοι B    εἰς σὲ MT    προδοίη M 10 ὅτε A ὅτι M τοῖς T οἱ B    ἀποθνήσκοντες κατ' αὐτοὺς B    11 ἀναλίσκονται A    12 ἔχω] ἐρῶ T    15 Tzetz. ad Lycophr. p. 479 ὕαπος M ὕιαπος A ὕασπος TB    λυκόρου T λυκόρας MB spatio uacuo ins. A[1]    μετὰ om. A    16 τῶν] τὴν A    ὕιαν M    17 μελάνθιαν A λευκάνθειαν Laur. 32, 33    μελανίδα MTAB Μελαίνην Paus. X 6,4 ἐκ δὲ] καὶ ἐκ A    μελανίδος MTAB    19 φημινὸν M φημινόην T φημονὴν A (ημονὴν spatio uacuo ins. A[1]) φημῖνον B    20 πρῶτον M    21 Λάφριος] οὗ λάφριος TA    οὗ νούτιος MTAB    22 Δελφοὶ] οἱ A    εἵλαντο MTA corr. A[1]    23 ἀρχίσιον A    ἀγροῦ MTAB corr. Barnes    ὃς—τε] ὡς ἂν τοῖς τότε MT    τε om. B    καλῶς] litteras αλῶς add. A[1]

διέθετο καὶ κατὰ ζῆλον τοῦ Ἀμφικτυονικοῦ συνεδρίου οὗ κατεστήσατο Ἀμφικτύων ὁ Δευκαλίωνος ἐν Θερμοπύλαις τῆς Θεσσαλίας, ἕτερον ἐν Δελφοῖς εἵσατο καὶ τὸ ἐν Θεσσαλίᾳ ἀναλαβὼν τὰς συνόδους ἀντὶ μιᾶς δύο πεποίηκε καὶ νόμους ἔθετο καθ' οὓς ἔμελλον ἕκαστα διοικεῖν ἀτέλειάν τε προεῖπεν ἐφ' ἑκατέραις ταῖς συνόδοις καὶ τὴν πρόνοιαν τοῦ ἱεροῦ καὶ τῶν Δελφῶν τῷ συνεδρίῳ ἐπέτρεψε. μετὰ δέ τινα χρόνον Ὄρνυτος ὁ Σισύφου ἥκων ἐκ τῆς Ἀονίας αὐτόσε καὶ πολεμοῦντας εὑρὼν Ὑαμπολίτας πρὸς Ὀπουντίους Λοκροὺς περὶ Δαφνοῦντος συμμαχήσας τε ἐνίκησε καὶ ἦρξεν αὐτῶν. ἐγένοντο δὲ αὐτῷ παῖδες Φῶκος καὶ Θόας. ἀλλ' ὁ μὲν Θόας ἅμα τῷ πατρὶ εἰς Κόρινθον ἀπήλασε. Φῶκος δὲ διαδεξάμενος τὴν ἀρχὴν τοῦ πατρὸς Φωκέας αὐτοὺς ὠνόμασεν: — MTAB

1098 ἐπεὶ δὲ ἅπαξ ἐκρίθη ἀποθανεῖν ἡμᾶς, πρὸς ἀλλήλους σκεψώμεθα ὡς ἂν τῷ Μενελάῳ κακὸν προστριψώμεθα, ἵνα μὴ μόνοι δυστυχῶμεν ἡμεῖς: — MTA¹B

1100 ἀντὶ τοῦ· εἴθε γὰρ τοῦτο ἰδὼν ἀποθάνοιμι: — M¹B¹

1101 μήπω σφάξῃς σαυτόν: — M¹

1103 σίγα νῦν· ὡς γυναιξί: ὑφορᾶται τὰς τοῦ χοροῦ· ἐνόμιζε γὰρ ἐχθρὰς αὐτὰς εἶναι: — MB¹

τὸ ὡς ἀντὶ τοῦ γάρ. ἢ ἀντὶ τοῦ ὅτι: — MᵍB¹

1105 ὥστε λυπεῖν αὐτόν: — Mᵍ

1106 πῶς τὸ γὰρ ἕτοιμον ἔστιν: τὸ ἑξῆς· εἰ γάρ, φησί, τοῦτο εὔκολον καὶ ἕτοιμον τὸ φονεῦσαι τὴν Ἑλένην, καλῶς [ἂν] ἡμῖν ἔσται: — MTAB

ἄλλως: τὸ ἐπ' ἐμοὶ ἕτοιμόν ἐστι. τὸ γὰρ ἕτοιμον καλόν ἐστι. ὁ δὲ λόγος τοιοῦτός ἐστι· τὸ γὰρ ἑτοίμως καὶ εὐχερῶς τὴν Ἑλένην κατεργάσασθαι καλόν ἐστιν, εἰ ὅλως δυνατὸν τοῦτο πρᾶξαι: — MTAB

ἄλλως: ἕτοιμος γάρ εἰς τοῦτό εἰμι, εἴγε μὴ καταληφθήσομαι: — MTAB

ἄλλως: τίνι τρόπῳ, φησίν, ἀνέλωμεν· ἕτοιμος γάρ εἰμι πρὸς τὸ

---

1 συνέδριον A inde ab οὗ κατεστήσατο add. A¹ 3 εἴσατο A κατεστήσατο MTB 4. 5 ἀτελεία M 5 προειπεῖν M καὶ τὴν] τουτέστι A 6 ἀδελφῶν A 7 ὤρνυτος A 8 πολίτας A προσοποντίους A ὁποστίους M 9 ἐγέρονται M ἐγένετο A δὲ om. M 10 ἐκ κορίνθου A 10. 11 δεξάμενος MTB 12 ἐπεὶ δὲ] ἐπειδὴ A¹ 13 ὡς] πῶς A¹ κακόν τι A¹ 21 post ἑξῆς add. πῶς TA 22 ἕτοιμον καὶ εὔκολον A 24 ἄλλως] ἀλλὰ MTAB 25. 26 ὁ—ἐστιν om. A 29 ἄλλως] ἀλλὰ MTAB φασιν MTA εἰμι γὰρ T

σφάξαι. εἰ ἔσται εὐμαρῶς τὸ κτεῖναι, τουτέστιν· εἰ μὴ καταληφθείημεν: — MTAB

1108 ἀποσφραγίζεται: σφραγῖδας ἐπιτίθησιν ὡς δὴ πάντα κληρονομήσασα τὰ ἐμά: — M$^1$TAB

ἄλλως: τὰ μέν, φησί, σφραγίζει τῶν ἡμετέρων, τὰ δὲ ἀποσφραγίζει: — MTB

1112 προθύμους εἰς τὴν τῶν ἐνόπτρων καὶ μύρων ὑπηρεσίαν: — M$^1$TAB$^i$

1113 τρυφὰς γὰρ ἥκει: οὕτως, φησίν, ὑπερβαλλόντως ἐτρύφα ἐν τῇ βαρβάρων χώρᾳ ὡς μηδὲν ἡγεῖσθαι τὴν Ἑλλάδα πρὸς τρυφήν. τρυφηλότεροι γὰρ τὸν βίον οἱ βάρβαροι διάγουσι μείζων τε ἡ Ἀσία τῆς Εὐρώπης: — MTAB

1115 οὐδὲν τὸ δοῦλον: ἀσθενεῖς, φησίν, οἱ δοῦλοι πρὸς τοὺς ἐλευθέρους μάχεσθαι διὰ τὸ μὴ τολμᾶν: — MTAB$^i$

1118 τὸ πρᾶγμα δήλου: τὸ περὶ τοῦ φόνου τῆς Ἑλένης πρᾶγμα δήλωσον καὶ εἰπὲ ποίῳ τρόπῳ μέλλομεν ταύτην ἀναιρεῖν: — MTAB

1121 ἀντὶ τοῦ· δι' ἃ πάσχομεν: — TB$^g$

1122 ὥστ' ἐκδακρῦσαι: οὕτως, φησί, περιπαθῶς θρηνήσομεν ὥστε αὐτὴν εἰς οἶκτον κινῆσαι ἐπὶ τῷ ἡμετέρῳ θανάτῳ λάθρα χαίρουσαν: — MTAB

1123 καὶ νῷν παρέσται: καὶ γὰρ ἡμεῖς οἰκτιζόμεθα μέν, χαίρομεν δὲ ὡς μέλλοντες αὐτὴν φονεύειν. τὸ οὖν τότε ἢ ὅτε εἰσερχόμεθα ἢ ὅτε φονεύομεν αὐτήν: — MTAB

ἄλλως: ἀντὶ τοῦ ἡμῖν τοῖς δύο. ταῦτα δέ φησιν ἀντὶ τοῦ τὸ δεῖν μὲν δακρύειν, χαίρειν δὲ τῇ διανοίᾳ. καὶ ἡμῖν γενήσεται ὅπερ ἐκείνῃ τότε ἡνίκα εἰσελθόντες πρὸς αὐτὴν ἱκετεύομεν. ὡς γὰρ ἐκείνη ἡμῶν ὀδυρομένων προσποιήσεται μὲν δακρύειν, χαρήσεται δὲ κατὰ ψυχήν.

---

1 ἔστιν MTAB εὐμαρὲς B καταληφθήσομαι B 3 σφραγῖδα T 4 ἐμά] ἡμέτερα A 7 προθύμους] οἵους εἰκὸς εἶναι ἐπιτηδείους B$^i$ εἰς τὴν om. A τῶν μύρων B 10 μὴ δὲ A 11 τρυφηλότερον A διάγουσι om. A μείζω MT τε] γὰρ T δὲ A 15 πρᾶγμα om. A τὸ πρᾶγμα MT 18 δακρύσομεν B 19. 20 ἐπὶ — χαίρουσαν om. A sed habet A$^g$ χαίρουσα MT 22 ὅτε] ὅτι M 24 ἀντὶ τοῦ] καὶ B δυσί B ταῦτα] τοῦτο MTAB δὲ om. B ἀντὶ τοῦ] αὐτὸν MTA ἔσται B 27 ἡμῶν] αὐτῶν MTA χαιρήσεται B δὲ om. T κατὰ τὴν A

οὕτως καὶ ἡμεῖς αὐτῆς ἱκετευούσης προσποιησόμεθα λυπεῖσθαι ἔνδοθεν χαίροντες ἐπὶ τῷ μέλλειν ἀναιρεῖν αὐτήν: — MTAB

1126 καὶ πῶς ἀναιροῦμεν αὐτὴν ἔμπροσθεν τῶν δούλων: — TA$^{g}$B

1128 ἀλλ' ἐκφαίνοντα τὴν βουλὴν δηλονότι: — M$^{i}$TB

1130 νῦν, φησίν, ἔγνων, πῶς δεῖ φονεύειν τὴν Ἑλένην: — M$^{i}$TB

1137 ἀντὶ τοῦ εὐχή. Ὅμηρος [Z 301]· 'αἱ δ' ὀλολυγῇ πᾶσαι': — MTA$^{g}$B

ἀντὶ τοῦ· καὶ θυσίας τοῖς θεοῖς ποιήσουσιν: — M$^{i}$B$^{i}$

1138 κεδνά: κυρίως τὰ συνετά, νῦν δὲ τὰ ἀγαθά: — MTA$^{g}$B

ἀρώμενοι: ἀντὶ τοῦ εὐχόμενοι: — MTA$^{g}$B$^{i}$

1140 ὁ μητροφόντης δ': τὸ τοῦ μητροφόντου ὄνομα φυγὼν εἰς τὸ βέλτιον ὄνομα ἔρχῃ Ἑλένης φονεὺς λεγόμενος: — MTAB

1145 οὐ γὰρ ἀκόλουθον ὑπομιμνήσκειν σε τοῦ φόνου τῆς μητρός: — MTAB$^{i}$

1146 διὰ τὴν συμμαχίαν τοῦ Ἀγαμέμνονος ἀπολαβόντα τὴν Ἑλένην οὐ δεῖ αὐτὸν πρὸς τούτοις ἔχειν τοὺς σοὺς δόμους: — M$^{i}$TAB

1151 ἀντὶ τοῦ θάτερον ἢ φονεύσαντες αὐτὴν ἢ καύσαντες τὸν οἶκον: — M$^{i}$TAB

1154 ἢ τὸ τῶν γυναικῶν ἢ τὸ ἑαυτῆς: — M$^{i}$TB$^{i}$

1155 ἀληθής: — M$^{g}$A$^{g}$

1156 ἕνα, φησίν, ἄνδρα συνετὸν προκρίνειεν ἄν τις ἀλογίστου πλήθους τῶν πολλῶν: — MTA$^{1}$B

ἄλλως: ἀσύνετον δέ ἐστι τὸ ἀνταλλάσσειν τὸ πλῆθος ἀντὶ εὐγενοῦς φίλου: — MTAB

† ἀσύνετόν ἐστι τὸ ἀντικαταλλάσσειν γενναίου φίλου ἑνὸς καὶ εὐγενοῦς πλῆθος μὴ εὐγενές: — A

1160 οἷον· συμβουλεύεις μοι: — M$^{i}$B$^{i}$

---

1. 2 ἱκετευούσης — αὐτὴν om. T  1 ἔνδον B  2 τὸ MAB  αὐτὴν ἀναιρεῖν B  3 φησιν ἀναιρήσομεν B  4 initio add. καὶ τὸν μὴ σιγῶντα B  ἀλλ' om. T  δηλονότι] ἀποκτείνειν προσῆκεν B  6 Ὅμηρος om. TA$^{g}$ in margine habet M  9 cf. Hesych. s. v. κεδνά  10 scholio quod praecedit adi. MT add. δὲ post ἀρώμενοι  12 γενόμενος MA  in fine add. τῆς πολυκτόνου B  15 scholio quod praecedit adi. MTA  οὐ γὰρ] οὐκ T  τὸ ὑπομιμνήσκειν A  16 οὐ δεῖ οὖν A  αὐτοῦ M  τοὺς σοὺς ἔχειν δόμους A  17 θατέρου A  18 in fine add. δόξαν ἕξομεν B  19 γυναικῶν] συγγενῶν B$^{i}$  20 initio add. γράφεται καὶ M$^{g}$  21 ἂν om. A$^{1}$  22 τῶν] καὶ TA$^{1}$  23 τὸ (alterum) om. A  24 in fine add. καὶ προκρίνειε M καὶ προκρίνειν TA  25 ὁ σύνετον A  26 ἀγενές A  27 συμβουλεύει ἐμοί M$^{g}$ συμβουλεύῃ μοι B$^{i}$

1162 ἐν τῷ ἐπαινεῖσθαι λίαν: — M$^g$B$^1$

1163 † ἐγὼ δὲ ἀποθνήσκων οὕτω βούλομαι ἀποθανεῖν. ποιήσας τι κακὸν τοῖς ἐχθροῖς μου καὶ ἀμυνάμενος αὐτοῖς: — A

† τὸ ἑξῆς· δράσας τι τοὺς ἐμοὺς ἐχθροὺς χρῄζω θανεῖν: — B

1165 ἀντανέλωμεν: — M$^g$

1168 ἄξιος νομισθείς: — M$^i$T

οὐ βίᾳ: — M$^g$M$^i$TB$^g$

1169 ῥώμην: ἐπικουρίαν καὶ ἰσχύν. οὐ καταισχυνῶ αὐτὸν δι' ὧν ἀνάνδρως ἀποθανοῦμαι: — MTAB$^g$

1170 τὸν μηδὲν γενναῖον δράσαντα: — M$^i$A$^g$

1172 τοῦ φονεύειν καὶ μὴ φονεύεσθαι: — M$^i$TA$^g$

1174 κτανοῦσι μὴ θανοῦσιν: τοῦτο κατ' ἰδίαν λέγει, λείπει δὲ τὸ γενέσθαι. κτανοῦσιν ἡμῖν ἑτέρους, οὐχ ὑφ' ἑτέρων ἀναιρεθεῖσι. τουτέστιν· εὐτυχήσομεν, εἰ κἂν ἕνα τῶν ἐχθρῶν ἀνέλοιμεν καὶ μὴ παρ' ἐκείνων ἡμεῖς ἀναιρεθείημεν: — MTB

1175 ὃ βούλομαι: ὃ γὰρ νομίζω τερπνόν, τοῦτο καὶ μόνον ὀνομάζων ἀδαπάνως εὐφραίνομαι: — MTAB

ἄλλως: ἐξ ὧν οὐδὲν βλαπτόμεθα, οὐδὲν κωλύει εὐφραίνειν ἑαυτοὺς λόγῳ. τὸ ἡδύ, φησί, καὶ εὐκτὸν ἡμῖν πρᾶγμα, τό τινα τούτων λαβεῖν ὑποχείριον, οὐ βούλομαι διὰ στόματος μόνον προφέρειν, τουτέστι μέχρι λόγων ματαίων στῆναι καὶ ἀζημίως τέρψαι τὴν ἐμαυτοῦ ψυχήν, τουτέστι μὴ μετὰ τοῦ ζημιῶσαί τινα τῶν ἐχθρῶν καὶ τιμωρήσασθαι: — MTAB

1177 ἐγὼ κασίγνητ': τοῦτο αὐτό, φησί, τὸ τινὰ λαβεῖν ὑποχείριον τούτων, σωτηρίαν ἡμῖν τοῖς τρισὶ φέρειν νομίζω: — MTAB

1178 σωτηρίαν σοί τῷδέ τ': τὸ ἀναιρεθείσης τῆς Ἑλένης, φησὶν ἡ Ἠλέκτρα, ἐνεδρεῦσαι καὶ τὴν Ἑρμιόνην. ταῦτα δὲ ἑξῆς ἐπάγει: — MTAB

1179 θεοῦ λέγεις πρόνοιαν: εἰπέ, φησί, πόθεν σχήσομεν τὴν σωτηρίαν. οἶδα γάρ σε συνετὴν τυγχάνουσαν ἀπ' ἀρχῆς: — MTAB

---

1 ἐν τῷ] ἀντὶ τοῦ M$^g$ λίαν αἰνεῖσθαι B$^1$ 8 καὶ] κἂν M 9 ἂν ἀνδρείως MTB$^g$ ἂν ἀνδρεῖον A 12. 13 τοῦτο—γενέσθαι referenda ad εὔχομαι τάδε 12 λείπει] διὰ M 14 εἰ om. M ἀνέλωμεν MB ἀνέλομεν T 19 post φησὶ add. τοῦτο A 22 τοῦ] τὸ A 25 τρεῖσ MTA 26 σωτηρίαν σοὶ τῷδέ τ'] ὁρῶ δέ τι MTA ἤτοι καὶ B, hoc scholion ei quod praecedit adiungentes 27 φησὶν ἡ ἠλέκτρα T φησὶν ἡ ἑλένη MA om. B ἡ ἑρμιόνη A 27. 28 ἐπάγει om. A 29 φησὶ om. A

ἄλλως: λέγε, φησίν, ἣν ἔχεις ἡμῖν σωτηρίαν, πῶς πράξεις: — MTAB

1182 τὰ ἀγαθὰ καὶ ἐν τῷ προσδοκᾶσθαι μόνον ἔχει τινὰ τέρψιν: — M$^{1}$TAB

1183 οἶδας, φησί, ταύτην: — M$^{1}$

1187 χοαὶ ἐπὶ τῶν νεκρῶν: — M$^{g}$TA$^{g}$B$^{g}$

1188 οἷον· εἰς τί τοῦτο εἶπας: — M$^{1}$TA$^{g}$B

1189 ἐνέχυρον τῆς σωτηρίας ἡμῖν: — M$^{g}$TA$^{g}$B

1190 λείπει τὸ ἕνεκεν: — M$^{g}$B$^{g}$

τίνος χάριν τοῦτο εἶπας: — M$^{1}$TA$^{g}$B

† ὅμοιον τῷ ὑποτίθῃς τίν' ἐλπίδα. τίνα γάρ, φησίν, ἐλπίδα ἐκ τούτου μοι ὑποβάλλεις, ἐκ τοῦ λέγειν ὅτι ἐπορεύθη ἡ Ἑρμιόνη πρὸς τὸν τῆς Κλυταιμνήστρας τάφον: — B

1192 ὡσεὶ ἔλεγεν· ἓν σῶμα καὶ μία ψυχή ἐσμεν. πᾶν γὰρ τὸ καθ' ἡμᾶς ἕν, φησί, καὶ ταὐτόν ἐστιν: — MTAB

† ἄλλως: τοῦτό φησιν ὡς, εἴ τινα ἐξ ἡμῶν κακώσει, ἐν τοῖς τρισὶν ἡ βλάβη περιίσταται. κοινὰ γὰρ τὰ τῶν φίλων: — B

ἄλλως: ἓν γάρ, φησί, καὶ ταυτόν ἐστι πᾶν τὸ καθ' ἡμᾶς καὶ ὡς εἰπεῖν ἓν σῶμα καὶ μία ψυχή: — MTB

1197 κεκτῆσθαι: — M$^{g}$A$^{g}$

ἀντὶ τοῦ ἀπολαύειν, τουτέστι· συγχώρει τῷ πατρὶ τὴν Ἑρμιόνην πρὸς ἀπόλαυσιν καὶ ὄνησιν κτήσασθαι. ἔνθεν καὶ τὸ 'πολυπάμονος' [Δ 433]. ἠτυμολόγησε τὸ πατήρ παρὰ τὸ πεπᾶσθαι. καὶ ἀλλαχοῦ [frg. 660]· 'πολλῶν καλεῖσθαι βούλομαι πατὴρ δόμων', ἀντὶ τοῦ δεσπότης: — MTAB

1199 ἀντὶ τοῦ· παρίδῃ σε ἀπολλύμενον: — M$^{1}$TA$^{g}$B

1200 ἐὰν ἐν τῇ ὀργῇ πολὺς ἔλθῃ: — M$^{g}$TA$^{g}$B

---

1 ἄλλως] ἀλλὰ MTAB   3 τὸ ἀγαθὸν A   καὶ om. T   7 scholio 10 adi. M$^{1}$TA$^{g}$B   οἷον om. B ἀντὶ τοῦ A$^{g}$   εἰς om. B   10 εἴρηκας B   11—13 scholio 7 adi. B   15 ἓν—ἐστιν om. M   ταὐτά T   18 γὰρ om. B   21—25 confunduntur πάσασθαι edere et πεπᾶσθαι possidere cf. Eust. p. 134,40. 766,57. 1178,11. 1224,33 Hesych. s. v. πάσατο   22 τὸ om. MT   πολυπάμμονος MAB   23 ἐτοιμολόγησε A   ante πατήρ ins. δὲ B   παρὰ τὸ om. M παρὰ τοῦ T   24 πάτωρ Dindorf   δούλων A   ἀντὶ τοῦ om. A   26 scholio quod sequitur adi. B pro ἀντὶ τοῦ scripto καὶ in fine add. τοῦτο γὰρ σημαίνει τὸ κτείνῃ σε τότε καὶ σὺ τὴν παρθένον ἀπόκτεινον B   27 ἐὰν δὲ A$^{g}$B

1203 ἀντὶ τοῦ ἀσφάλειαν: — M$^g$TA$^g$

1204 ὦ τὰς φρένας μέν: ἁρμόζουσα μὲν ἀνδράσι διὰ τὰς φρένας, γυναικὶ δὲ ὁμοία τὸ σῶμα, ἀντὶ τοῦ εὐπρεπὴς οὖσα. ἢ γυναικὸς φύσιν ἔχουσα· ὃ καὶ βέλτιον: — MTAB

ἄλλως: ἁρμοζόμενον γυναιξί. τὰς μὲν γὰρ ἀρετὰς καὶ ὁ Πλάτων κοινὰς εἶναί φησι, πλεονεκτεῖν δὲ ἴσως τοὺς ἄρσενας: — MTAB

1208 ᾗτινι συζῶν· τὸ γὰρ ζῶν ἀντὶ τοῦ συζῶν· μακάριος ἔσῃ: — M$^1$TB

1210 οἷον κοσμουμένη, τιμωμένη. ἀνοίκεια δὲ ταῦτα τοῦ προκειμένου ἀγῶνος: — M$^1$TB

1212 ὡς τἄλλα γ' εἶπας: τὸ ἑξῆς· ὡς τἄλλα γ' εἶπας κάλλιστα. εἰ τοῦτ' εὐτυχήσομεν τὸ λαβεῖν τὴν Ἑρμιόνην, δόξεις τἄλλα καλῶς εἰρηκέναι: — M$^1$TB

ἄλλως: ἐὰν τούτου μόνου ἐπιτύχωμεν, πάντα τὰ ἄλλα καλῶς εἴρηκας: — M$^1$TB

1213 σκύμνος κυρίως τὸ τῶν λεόντων τέκνον, νῦν δὲ ἐπὶ ἀνθρώπου: — M$^1$TB$^1$

1215 ἀντὶ τοῦ φθάνοι λοιπὸν ὁ χρόνος καὶ ἐγγύς ἐστιν: — M$^1$TB$^1$

1216 τοῦτο μὲν δὴ τοιοῦτον: — M$^1$B

1217 πάρος μένουσα: ἀντὶ τοῦ ἔμπροσθεν. ἢ τὴν παρουσίαν αὐτῆς ἐκδεχομένη: — MT$^g$B

1219 ὁ Μενέλαος δηλονότι: — M$^1$B$^1$

1220 γέγωνέ τ' ἐν δόμοις: ἢ διὰ λόγων σημάνασα βόησον μέγα ὥστε ἔνδον ἡμᾶς ὄντας ἀκοῦσαι: — MTB

1225 σκοτεινῆς, ὀρφανῆς τινος διὰ τὸ ἔρημον εἶναι φωτός: — M$^1$TB$^1$

1226 ἀντὶ τοῦ· καλεῖ σε: — M$^1$

---

2. 3 usque ad οὖσα ἢ add. A$^1$ 2 μὲν om. A$^1$ 3 γυναικὸς A$^1$ τῷ σώματι A$^1$ 4 φύσει T ὃ om. M 6 in A inter fol. 58$^v$ et 59$^r$ exciderunt VII folia quibus legebantur vs. 1205—1504 7 συζῶν καὶ συνοικῶν B μακάριος ἔσῃ om. B 9 scholio quod praecedit adi. B initio add. τὸ δὲ ἀξιουμένη 11 γ' om. T 14 ἐὰν γὰρ TB 16. 17 cf. schol. Hec. 205 18 φθάνει B$^1$ 21. 22 scholio quod praecedit adi. B initio add. τὸ δὲ δόμων πάρος μένουσα ἢ] τῶν οἰκημάτων B 24. 25 scholio 21. 22 adi. B initio add. καὶ τὸ γέγωνε εἰς δόμους ἀντὶ τοῦ 24 τῶν λόγων M 25 in fine add. ἢ τὰς θύρας κρούσασα B 26 ὀρφνῆς M$^1$B$^1$ ὄρφνης T

1229 ἐν τῷ ἀντιγράφῳ οὐ φέρονται οὗτοι οἱ $\bar{δ}$ ἴαμβοι, [καὶ] ἐν ἄλλῳ δέ: — M[1]T

1233 ὦ συγγένεια: παρόσον ὁ Στρόφιος Ἀναξιβίαν [Κυδραγόρας] ἔγημε τὴν Ἀγαμέμνονος ἀδελφήν, ἐξ ἧς ἐγένετο Πυλάδης, ὥς † φησὶ Κράτης. ἢ ἐπεὶ ὁ Στροφίου πατὴρ Κρῖσος Ἀτρέως θυγατέρα ἐγάμει [αὐτὴν] τὴν Κυδραγόραν: — MTB

αἷμα οἱ παῖδες, γένος οἱ ἀδελφοί, συγγένεια οἱ γαμβροί: — M[1]B

1235 ἐγὼ ὑπὲρ σοῦ, φησίν, ἐφόνευσα τὴν μητέρα. τὸ δὲ ἑξῆς· σοί, πάτερ, ἀρήγων: — M[1]T

1236 ὅ ἐστι· συνῄνεσα τῷ φόνῳ: — M[1]TB[1]

1238 οὐκοῦν ὀνείδη: οὐκοῦν ῥῦσαι ἡμᾶς ὡς μέλλων κλύειν ταῦτα ἐπὶ ὀνείδεσιν, ἐὰν μὴ σωθῶμεν, ὅτι ἐπικουρήσασιν οὐκ ἐβοήθησας: — MTB

ἄλλως: ὀνείδη: τῶν εὐεργεσιῶν τὰς ὑπομνήσεις, ὡς καὶ ὁ ποιητὴς [A 211]· 'ἀλλ' ἤτοι ἔπεσιν μὲν ὀνείδισον': — MTB

1239 οἷον· σπονδάς σοι διὰ δακρύων ποιῶ. οὐ γὰρ ἔχω ἄλλο τι: — M[1]TB[1]

1241 εἰ κατὰ γῆς ἔρχονται: — MM[1]TB[1]

1242 ὅτι ἐπικουρήσασιν οὐκ ἐβοήθησεν: — MM[1]T

1244 ἓν δίκαιον ἅπασιν ἡμῖν: — T

1246 Μυκηνίδες ὦ φίλαι: Ἰνάχῳ ἐκ Μελίας ἐγένετο Φορωνεὺς καὶ Φηγεύς. τούτων Φορωνεὺς μὲν ἄρξας τὸ νῦν Ἄργος Φορωνικὸν ἄστυ ἐκάλεσεν, ἴσχει δὲ παῖδας ἐκ Πειθοῦς Αἰγιαλέα, Ἆπιν, Εὐρώπα, Νιόβην. Φηγεὺς δὲ πόλιν κτίζει Φηγὰς καὶ παῖδας ἴσχει Σπάρτωνα καὶ Μέσσωνα. Σπάρτωνος δὲ παῖς Μυκηνεύς, ὃς Μυκήνας ἔκτισε. Φορωνέως δὲ ἀπολωλότος καὶ τῶν παίδων διασκεδασθέντων Ἄργος ὁ Νιόβης βασιλεύσας ὅλην τὴν ἐντὸς τοῦ Ἰσθμοῦ Ἀργείαν καὶ τὸ Φορωνικὸν ἄστυ Ἄργος ὠνόμασεν: — MTB

---

1 οὐ T om. M  καὶ del. Kirchhoff  4. 5 Φερεκύδης?  7 scholio quod praecedit adi. B add. δὲ post αἷμα  10 ὅ ἐστι om. B[1]  12. 13 ἐβοήθησεν MT  14 τῶν om. T  ὡς om. T  16 διὰ om. T  18 in fine add. αἱ εὐχαὶ ἐπακούει B[1]  19 scholio quod praecedit adi. MM[1]T  20 ἔνδικον ἐν T  21—28 cf. schol. vs. 932 Paus. II 16,4 St. Byz. p. 460,10  21 μελείας T  22 καὶ Φηγεὺς om. MT  23 αἰκαλέα T  εὐρόπα M εὐρώπην T εὐρώπαν B  νιόβη M  24 δὲ] μὲν M  μέσωνα MTB  25 σπάρτων MT  27 Ἀργείαν—ἄστυ om. T

ἄλλως: πρὸς τὰς ἀπὸ τοῦ χοροῦ διαλέγεται. Μυκηνίδας δὲ αὐτὰς καλεῖ καὶ Ἀργείας, ἐπεὶ ὀλίγον ἀφεστήκασιν ἀλλήλων αἱ πόλεις: — MTB

1247 τὰ πρῶτα: τουτέστιν αἳ τὰ πρωτεῖα φέρεσθε κατὰ τὸ Ἄργος. Πελασγόν δὲ ἀπὸ Πελασγοῦ τοῦ αὐτόθι βασιλεύσαντος: — MTB

λείπει τὸ ἔχουσαι: — MM$^{g}$TB$^{i}$

1249 τὸ καλεῖσθαι πότνιαν παραμένει σοι: — M$^{i}$TB$^{i}$

1251 τὴν λεωφόρον ὁδόν: — M$^{g}$B$^{g}$

1252 εἰς τὸ φρουρεῖν καὶ τηρεῖν τὸν οἶκον: — M$^{i}$TB$^{i}$

1253 τί δέ με τόδε χρέος: οἷον· εἰς τί μοι τοῦτο τὸ πρᾶγμα προστάσσεις ποιεῖν, τὸ φρουρεῖν τὴν ὁδόν: — MTB

1256 τὸ τῆς Ἑλένης: — M$^{i}$B$^{i}$

1259 τὸν ἀνατολικόν φησιν: — M$^{i}$T

1260 καὶ μὴν ἐγὼ τόνδ': ἡνιοχεῖ. τὸ δυτικόν, ὅτι τῆς ἠοῦς πέρας ἐστὶν ἢ ὅτι τότε εἰς ἑαυτοὺς περῶμεν: — MTB

ἄλλως: τὸ δυτικὸν λέγει. ἑσπέρα δὲ λέγεται, ὅτι τοῦ ἠοῦς πέρας ἐστίν. ἢ ⟨ὅτι⟩ τότε εἰς ἑαυτοὺς περῶμεν. ἢ ἐσωφέρα τις οὖσα, ἀπὸ τοῦ πάντας εἰσφέρειν καὶ ἔσω φέρειν. καὶ ἡ Σαπφὼ δὲ οὕτως

---

5 Πελασγόν] πελασγὸσ MT τοῦ πελασγοῦ T 6 scholio quod praecedit adi. MT, add. δὲ post λείπει T φέρουσαι B$^{i}$ 7 πότνια M$^{i}$ σε πότνιαν B$^{i}$ 8 in fine add. τὴν δημοσίαν B$^{g}$ 9 φρουρεῖν καὶ om. B$^{i}$ τηρῆσαι B$^{i}$ 11 ποιεῖν om. T post φρουρεῖν add δηλαδὴ B 13 φησιν om. T 14 initio add. ἤτοι B ἡνίο$^{χ}$ M ἡνίοχον T 15 ἠοῦς πέρας] ἑσπέρασ MTB ἢ—περῶμεν om. B 16—p. 213,2 Orio p. 58,23 ἑσπέρα: παρὰ τὸ ἐς πέρας εἶναι τὴν ἕω. ἢ ἀπὸ τοῦ ἔσω ἡμᾶς περᾶν. et. m. p. 384,1 ἑσπέρα: ἀπὸ τοῦ ἔσω ποιεῖν περᾶν τὰ ζῷα ἀναπαυσόμενα. ἢ ὁ πέρας τῆς ἕω φέρων. Σαπφώ· ἔσπερε πάντα φέρων ὅσα φαινόλις ἐσκέδασ' αὔως [add. et. Laur. p. 129 Miller φέρεις οἶον φέρεις οἶνον φέρεις αἶγα φέρεις ἄποιον ματέρι παῖδα]. Gud. p. 212,40 ἑσπέρα: ἀπὸ τοῦ πέρας εἶναι τῆς ἕω, ἤγουν τῆς ἡμέρας. ἢ ἀπὸ τοῦ ἔσω ἡμᾶς περᾶν. ἑσπέρα: ἀπὸ τοῦ ἔσω περᾶν τὰ ζῷα καὶ καθεύδειν καὶ ἀναπαύεσθαι. καὶ Σαπφώ· ἔσπερ' ἐς πάντα φέρων ὅσσα φαίνολες ἐσκέδασ' ἄβως· οἱ δὲ ὅτι εἰς πέρας ἐλήλυθεν ἡ ἡμέρα. ἢ ὅτι ἔπεται τῇ τοῦ ἡλίου αὐγῇ. Sorbon. [ex Gaisfordi annotatione] ἑσπέρα: παρὰ τὸ ἔσω φέρειν ἐσοφέρα τις οὖσα. καὶ ἑσπέρα: ἡ πάντας ἔσω φέρουσα, παρὰ τὸ ἔσω περᾶν. ἑσπέρα: ἀπὸ τοῦ ἔσω περᾶν c. q. s. [= Gud.]. praeterea cf. Zonar. p. 878. 879 scholio quod praecedit adi. B om. ἄλλως—λέγει 16 ἑσπέρασ B post λέγεται ins. ἢ ὅτι τότε εἰσ ἑαυτοὺσ περῶμεν ἢ B 17 ἢ—περῶμεν om. B ἐσώφε M 18 πάντεσ M πάντα T καὶ] ἤτοι B εἴσω B σαμπφῶ M

τὸν ἕσπερον ἀστέρα εἶπε τρόπον τινὰ ἐτυμολογοῦσα τὸ ὄνομα [frg. 95]· 'ἕσπερε πάντα φέρων ὅσα φαινολὶς ἐσκέδασ' αὔως': — MTB

1261 οἷον· περίφερέ σου καὶ πλαγίαζε τὸ ὄμμα καὶ φύλασσε καὶ τὰ πλάγια τῶν οἴκων ἐπιτήρει: — $M^{1}TB$

1266 ἑλίσσετε νῦν βλέφαρον: τὸ ἑξῆς· ἑλίσσετε νῦν βλέφαρον διὰ βοστρύχων καὶ κόραισι δίδοτε πάντα. ὅ ἐστι· πάντα τόπον τῇ θέᾳ δίδοτε καὶ σκοπεῖτε: — MTB

1267 κόραισι δίδοτε: λείπει τὸ ἐπί· ⟨τὸ ἐπὶ⟩ ταῖς κόραις βλέφαρον ἑλίσσετε καὶ κινεῖτε καὶ διὰ τῶν βοστρύχων αὐτὸ δίδοτε πανταχόσε. ἀντὶ τοῦ τὰς κόρας καὶ τὰς ὄψεις ἀποτείνετε πανταχοῦ, ἵν' ᾖ τὸ πάντῃ ἀντὶ τοῦ πανταχοῦ. ἢ πάντα τόπον δίδοτε ταῖς ὄψεσιν: — MTB

διὰ βοστρύχων δὲ εἶπεν, ἐπειδὴ καθειμένον ἔχουσι τὸν πλόκαμον μέχρι τῶν παρειῶν ὡς ἂν παρθένοι: — MTB

ἄλλως: πενθοῦσαι τὸν Ὀρέστην λελυμένον αὐτὸν ἔχουσιν, ἐξ οὗ συνέβαινε τὰ πλάγια μὴ ὁρᾶν: — MTB

1273 ἀντὶ τοῦ ἔσω: — $M^{1}TB^{i}$

ὃν οὐ δοκεῖς κενὸν εἶναι, κενός ἐστιν: — $M^{1}TB^{i}$

1274 ἀρσενικῶς εἶπεν ὁ στίβος: — $M^{1}B^{i}$

1275 πρὸς τὸ ἄλλο ἡμιχόριον λέγει ἡ Ἠλέκτρα· πῶς δέ· τὸ κατὰ σὲ ἔτι βέβαιον: — $M^{1}TB$

1280 ἀντὶ τοῦ συμφωνεῖς μοι: — $M^{1}T$

1281 τὴν ἀκοὴν καὶ τὸ οὖς μου πρὸς ταῖς πύλαις παραθῶ ὥστε ἀκούειν βοήν: — $M^{1}TB^{i}$

---

1 τρόπην M   2 ἔσπερε T ἔσπειρε M   φαινόλης B   αὔων M
5 δὲ νῦν M   6 κόρακι M   8 λείπει] κόρας δὲ διὰ MT κόρας φησὶ B
9 post βλέφαρον ins. κορὸν γὰρ τὸ μέλαν B cf. et. m. p. 529,30 Gud. p. 412,18
10. 11 ἵν'—πανταχοῦ om. T   13—16 et scholio 5—7 et scholio 8—11 adi. MT scholio 5—7 adi. B   13 initio add. προσ (i. e. πρόθεσις) λείπει $M^{a}T^{a}$
διὰ om. $M^{a}T^{a}$   τῶν βοστρύχων MTB   εἶπεν om. MT   ἐπεὶ $T^{a}$
13. 14 βόστρυχον $M^{a}T^{a}$   14 τῶν om. B   ὡς—παρθένοι om. MTB
15 ἀλλ. ὡσ $M^{a}$ οὐχ ὡσ $T^{a}$ ἢ ὡσ MTB   πενθοῦσι $M^{a}T^{a}$   λελυμένον—ἔχουσιν] ἢ ὡσ παρθένοι MTB   16 τὰ πλάγια om. $M^{a}T^{a}$   18 οὐ δοκεῖς] οὐδεὶς T   19 in fine add. ὅ ἐστιν ἡ ὁδός $B^{i}$   20 πρὸς om. $M^{1}T$

21 ἔτι] ἐστι $M^{1}T$ ἐστιν ἆρ' ἔτι B   in fine add. μένει ἐπερχόμ(ε) δέ B
23 τὴν—μου om. T   καὶ om. $B^{i}$   τὸ ἐμὸν $B^{i}$   24 ἀκοῦσαι $B^{i}$
βοὴν om. $B^{i}$

1283 διὰ τί ἀναβάλλεσθε. πρὸ τοῦ ἐπιστῆσαι τὰ σφάγια * *: — M$^1$TB

1285 ἀντὶ τοῦ Ἑλένην φονεύειν: — M$^1$TB

τινὲς γράφουσι σφαγίδα φοινίσσειν, ὅ ἐστι τὴν μάχαιραν: — M$^1$TB$^1$

1287 ἀρ' εἰς τὸ κάλλος: ἄρα εἰς τὸ τῆς Ἑλένης κάλλος βλέψαντες οὐκ ἐχρήσαντο τοῖς ξίφεσιν· οἷόν τι καὶ Στησίχορος [frg. 25] ὑπογράφει περὶ τῶν καταλεύειν αὐτὴν μελλόντων. φησὶ γὰρ ἅμα τῷ τὴν ὄψιν αὐτῆς ἰδεῖν αὐτοὺς ἀφεῖναι τοὺς λίθους ἐπὶ τὴν γῆν: — MTB

ἄλλως: ἐὰν ᾖ ἐκκεκώφηται ἄνευ τοῦ ν̄, ἔστιν ὁ λόγος· ἆρα μὴ καὶ τὰ ξίφη τῆς Ἑλένης ἀγασθέντα τὸ κάλλος ἀνεπαίσθητα καὶ ἀνενέργητα γεγόνασιν. ἐὰν δὲ ᾖ ἐκκεκώφηνται, ἐπὶ τῶν περὶ τὸν Ὀρέστην ἀκουστέον· ἆρα μὴ διὰ τὸ κάλλος Ἑλένης ἀνεπαίσθητοι ἔμειναν καὶ εἴασαν τὰ ξίφη. ἐκκεκώφηνται ὡς [B 135] 'σπάρτα λέλυνται'. Ἀριστοφάνης δὲ γράφει ἐκκεκώφωνται ξίφη. σημαίνει γὰρ ὅτι εἰς τὸ κάλλος Ἑλένης ἀποβλέψαντες ἀνεπαίσθητοι ἔμειναν καὶ εἴασαν τὰ ξίφη. ὁ δὲ λόγος· ἆρα μὴ καὶ τὰ ξίφη τῷ κάλλει νενίκηται καὶ διαμεμάλακται. ἐὰν δὲ ἐκκεκώφωνται, ἐπὶ τῶν περὶ Ὀρέστην ἐκδεκτέον ὅτι ἐκκεκώφωνται αὐτοὶ πρὸς τὸ κάλλος καὶ εἴασαν τὰ ξίφη: — MTB

1290 βοηθῷ, τῷ μετὰ βοῆς βοηθοῦντι: — M$^g$TB

ἀντὶ τοῦ· πρὸς τὰ μέλαθρα παραγενήσεται: — M$^g$TB

1292 βέλτιον ἀκριβῶς σκοπῆσαι: — M$^g$TB

ἀντὶ τοῦ· οὐκ ἔστι χρεία τοῦ καθέζεσθαι: — M$^1$TB

---

1 μέλλετε M$^1$ ἐπιστῆναι B τινα τὰ T τινα M$^1$B 3 scholio quod praecedit adi. B initio add. φοινίσσειν ἀντὶ τοῦ τὰ ξίφη μολύνειν ἀντὶ τοῦ] τουτέστι B 4 σφραγι$^{δ}$ M$^1$ μαχαιρίδα TB$^1$ 8 αὐτὸν M 10—20 cf. Eust. p. 1374,63 10 ν̄] η̄ M ὅ ἐστιν M post λόγος ins. ὅτι M 11 ἀγαθέντα M 12 ᾖ om. M καὶ T ante ἐπὶ add. μετὰ τοῦ ν̄ B τῶν] τοῖς MT 13 τῆς ἑλένης B 14 ante ἐκκεκώφηνται add. ἀντι τοῦ M ἀντὶ T ὡς τὸ T σπάρτα λέλυνται MT παρακέκληνται B 15—17 σημαίνει—εἴασαν τὰ ξίφη om. B 17—19 ὁ δὲ—ξίφη om. M 18. 19 ἐκδετέον T 19 κεκώφωνται T αὐτὸ T 21 initio add. τῶι B in fine add. ἢ τῶι ἐν τῆι βοῆι θέοντι ἤγουν ἐν τῆι μάχηι B 22 scholio quod praecedit adi. B ἀντὶ—μέλαθρα om. M$^g$ ἀντὶ τοῦ om. B post μέλαθρα add. φησὶ τίς βοηθὸς B 23 σκοπήσατε B 24 scholio quod praecedit adi. B pro ἀντὶ—ἔστι scripto οὐ γὰρ χρεία νῦν B

1295 ἐκ διαδοχῆς πάντα περιβλεπομένη: — M[1]TB

1298 ὡς ἔστι τεκμήρασθαι: — M[1]TB[i]

1301 ἀντὶ τοῦ· ἐν τῇ πόλει ὤν: — M[1]TB[s]

1302 καινὶς γὰρ ἡ μάχαιρα: — M[1]T

γράφεται καὶ θείνετε: — M[g]

1303 τὰ δύο: — M[1]B[s]

1304 ἐκ χερὸς ἱέμενοι: ἀντὶ τοῦ ἱέντες. ἁπλούστερον δὲ ὡς γυναῖκες εἶπον· οὐδεὶς γὰρ ξίφος ἀφίησι καὶ βάλλει. ἢ τὸ ἱέμενοι ἀντὶ τοῦ προθυμούμενοι. ἢ ἀντὶ τοῦ ἱέντες: — MTB

1306 ἐφόνευσεν: — M[g]

1309 ἀντὶ τοῦ συνέπεσεν: — M[1]TB[i]

1315 περιφραστικῶς, εἰς τὰ δίκτυα: — M[1]TB[i]

1317 ἐν καταστάσει γίνεσθε καὶ μὴ θορυβεῖσθε: — M[1]B

πάλιν κατάστηθ': ἀναδράμετε, φησίν, εἰς τὴν προτέραν κατάστασιν τῆς ὄψεως καὶ τὸ μὲν ὄμμα κατεστυγνακὸς ἔχετε, τὸ δὲ πρόσωπον ἀνύποπτον τῶν πεπραγμένων χάριν, τουτέστι· προσποιεῖσθε καὶ νῦν κατηφεῖς εἶναι καὶ λυπεῖσθαι ὡς πρὸ τούτου διὰ τὸν Ὀρέστην. ἵνα μὴ περιχαρεῖς ὑμᾶς ὁρῶσα συνῇ τὸ κατὰ τῆς Ἑλένης πραττόμενον: — MTB

1323 ἥκω λαβοῦσα πρευμένειαν: ἐξευμενισαμένη τὴν ψυχὴν Κλυταιμνήστρας. παρὰ δὲ τὸ πρᾶον καὶ εὐμενὲς συντέθειται τὸ ὄνομα, ἀντὶ τοῦ πρασυμενής: — MTB

πραεῖαν εὐμένειαν: — M[1]T

1325 τηλουρὸς οὖσα: μακράν, τῆλε τῶν ὁρίων οὖσα τῆς οἰκίας. ἐν γὰρ τῷ τάφῳ τῆς Κλυταιμνήστρας ἦν. ὁ δὲ λόγος· ἀλλὰ περίφοβος γέγονα διὰ τὴν γενομένην βοὴν ἐν τοῖς οἴκοις, ἣν ἤκουσα πόρρω οὖσα: — MTB

λείπει ἡ διά· διὰ τὴν βοήν: — M[1]B[i]

1326 τί δ'· ἄξι' ἡμῖν: πεπόνθαμεν ἄξια στεναγμάτων: — MTB

1 scholio quod praecedit adi. M[1]T ἐκ διαδοχῆσ T ἐκ διαδοχὴν M[1] ἀντὶ τοῦ ἀκριβῶσ B 2 ἔστι om. B[i] in fine add. τι B[i] 3 ἀντὶ τοῦ] οἷον B[s] 4 cf. [Herod.] epimer. p. 63 Boiss. 5 falso voci πέμπετε superscr. M[g] 6 τὰ] διπλᾶ ἢ B[g] 7 ὡσ αἱ T 9 ἢ—ἱέντεσ om. B 14—18 scholio quod praecedit adi. B 17 λυπεῖσθε MT ὡσ πρὸσ τούτου T καὶ πρὸσ τούτου M om. B 18 τὸ] τὸν et in fine add. φόνον B ante Ἑλένης ins. μητρὸσ αὐτῆσ B 19 initio add. ἦλθον φησιν B 20. 21 cf. schol. Hec. 538 21 πραευμενῆσ Laur. 32, 33 πραϋμενῆσ MB πραϋμενὲσ T 22 scholio quod praecedit adi. T πραεῖα T 23 μακράν] πόρρω οὖσα ἤτοι B οὖσα om. B 25 γεναμένην T 28 στεναγμῶν M

ἄλλως: πῶς, φησίν, ἄξια ἡμῖν στενάγματα, ἀντὶ τοῦ· οὐκ ἀξίως στενάζομεν: — MTB

1334 ἀντὶ τοῦ· ὑπὲρ ἐμοῦ παρακαλεῖ: — M[1]TB[1]

1335 ἐπ' ἀξίοισι τἄρ' ἀνευφημεῖ: ἀξίως, ὅτι καὶ ὁ οἶκος θρηνεῖ δι' ὑμᾶς. ἐὰν μὲν ἂν εὐφημεῖ, ἀντὶ τοῦ δυσφημεῖ νοητέον, ἵν' ᾖ κατὰ ἀντίφρασιν εἰρημένον συνδέσμου ὄντος τοῦ ἄν· ἐὰν δὲ ὑφ' ἓν ἀνευφημεῖ, ἀντὶ τοῦ κακοφημεῖ καὶ ἀναθρηνεῖ ὁ δόμος. σημαίνει δὲ τὸ ἀνηχεῖ: — MTB

1336 περὶ τοῦ γὰρ ἄλλου: περὶ τίνος γὰρ ἄλλου φθέγξαιτό τις ἢ θρηνήσειεν, ἢ ὅτι ἡμεῖς ἀπολλύμεθα: — MTB

ἄλλως: διὰ ποῖον γὰρ ἄλλο ἤμελλέ τις βοᾶν ἐν τοῖς οἴκοις: — MTB

1343 ἀντὶ τοῦ· ἐν σοί ἐστιν ἡ σωτηρία ἡμῶν. δήλωμα δέ ἐστι τοῦτο: — M[1]B

1345 ὅσον τὸ κατ' ἐμέ: — M[1]B[1]

1351 τὸ ἑξῆς· οὕνεκ' ἄνδρας Φρύγας κακοὺς εὑρὼν οὐκ ἔπραξεν αὐτοὺς οἷα χρὴ πράσσειν κακούς: — M[1]TB

1354 ἀντὶ τοῦ ἔμπροσθεν: — M[1]B[1]

1355 μὴ δεινὸν Ἀργείοισιν: μήποτέ τις ἔλθῃ πρὶν ἡμᾶς ἀκοῦσαι παρά τινων πῶς τὰ ἔσω διάκειται ἢ καὶ ἰδεῖν τὸν Ἑλένης φόνον: — M[1]TB

1356 λείπει τὸ ὥστε: — M[1]B[1]

1358 ἀντὶ τοῦ καθῃμαγμένον: — M[1]T

1360 τὰς μὲν γάρ: ὡς ἀπὸ τῆς βοῆς ἐν συμφοραῖς οὖσαν τὴν Ἑλένην ἐγίνωσκον, ἀγνοοῦσι δὲ, εἰ πέρας ἔσχεν ὁ φόνος αὐτῆς: — M[1]TB

1361 διὰ δίκας ἔβα: οἷον· δικαίως ἡ Νέμεσις τὴν Ἑλένην ἐτιμωρήσατο: — M[1]TB

ἄλλως: ἡ νέμεσις τῆς δίκης τῶν θεῶν ἔμολεν, ὅ ἐστι· δίκην ἀπαιτεῖται παρ' αὐτῶν· ἐνεμέσησαν γὰρ αὐτῇ οἱ θεοί: — M[1]TB

---

1 ἄλλως] ἢ οὕτως B ἄξια– τοῦ om. B ἡμῶν MT 2 in fine add. θανεῖν κατακριθέντες B 3 περὶ T 4—8 bis scripta in T 5 ἡμᾶς MTT[a] ἂν om. MT[a] οὖν BT corr. Dindorf εὐφημῇ MTT[a] εὐφημεῖ γράφεται B βλασφημῇ T 6 εἰρημένως M ὄντως M 7 ἀντὶ—κακοφημεῖ om. T κακευφημεῖ MT[a]B 10 ἢ (alterum) om. T 11 ἄλλον T 15 Φρύγας κακοὺς] κακοὺς φρένας T 17 ἀντὶ τοῦ om. B[1] in fine add. τῶν οἴκων B[1] 19 ἔσω T 23 ἐν] ἀπο ταῖς M[1] 24 ἐγίνωσκον om. M[1]T ὁ φόνος τῆς ἑλένης M[1] τῆς ἑλένης ὁ φόνος T 27 ἄλλως] ἢ οὕτως B 28 παρ' om. M[1]T αὐτὴν T

1364 ἤτοι ἀπολόμενον ἢ ὀλέθριον: — TB[1]

1366 ἀλλὰ κτυπεῖ: ἐξιών τις ψοφεῖ. τοῦτο γὰρ ἔθος, ταῖς θύραις. τούτους δὲ τοὺς τρεῖς στίχους οὐκ ἄν τις ἐξ ἑτοίμου συγχωρήσειεν Εὐριπίδου εἶναι, ἀλλὰ μᾶλλον τῶν ὑποκριτῶν, οἵτινες, ἵνα μὴ κακοπαθῶσιν ἀπὸ τῶν βασιλείων δόμων καθαλλόμενοι, παρανοίξαντες ἐκπορεύονται τὸ τοῦ Φρυγὸς ἔχοντες σχῆμα καὶ πρόσωπον. ὅπως οὖν διὰ τῆς θύρας εὐλόγως ἐξιόντες φαίνωνται, τούτους προσενέταξαν. ἐξ ὧν δὲ αὐτοὶ λέγουσιν, ἀντιμαρτυροῦσι τῇ διὰ τῶν θυρῶν ἐξόδῳ. φανερὸν γὰρ ἐκ τῶν ἑξῆς ὅτι ὑπερπεπήδηκεν: — MTB

1368 παρ' οὗ ἢ ἀφ' οὗ: — M[1]

1369 Ἀργεῖον ξίφος: ἐντεῦθεν ἐξέστη τοῦ ἰδίου ἤθους ὁ Εὐριπίδης ἀνοίκεια ἑαυτῷ λέγων: — M[1]TB

1370 ἐν εὐμάρισιν: εὔμαρις εἶδος ὑποδήματος σανδαλώδους· πεποίηται δὲ ἀπὸ τοῦ εὐμαρῶς ὑποδεῖσθαι. προπαροξύνεται ἐν τῇ καθόλου [p. 99, 27]: — M[1]TB

1371 κεδρωτὰ παστάδων: τὰ ἐκ κέδρου ξύλα. παστάδων δὲ τῶν κοιτώνων. τέρεμνα δὲ τὰς ὑψηλὰς στέγας. φαίνεται δὲ ἐκ τούτων ὑπερπεπηδηκὼς τὰς ὑψηλὰς στέγας. ἀντὶ τοῦ ὑπὲρ τεράμνων. ταῦτα οὖν φησιν, ὡς ὑπερπεπηδηκὼς τῶν ἔσω τινὰς οἴκων. παστάδων γὰρ τῶν θαλάμων. Αἰσχίνης δὲ τὴν ὑπέρ ἀντὶ τῆς πρό φησίν, ἵν' ᾖ ἀντὶ τοῦ πρὸ τεράμνων: — MTB

1372 τριγλύφους: παρὰ Δωριεῦσι γλυφή τις ἦν ἣ ἐκαλεῖτο τρίγλυφος. ἢ ὡς τῶν Δωριέων καταδειξάντων τὰς τῶν ὀρόφων γλυφάς: — MTB

1373 † φροῦδα γᾶ: διχῶς ἄν τις τοῦτο ἐκδέξαιτο· καθ' ἕνα μὲν τρόπον ὅτι ἡ γῆ τῶν Ἀργείων ἀφανής ἐστι τοῖς βαρβάροις δραπετεύουσι καθόσον ἄπειροι τῶν τόπων· ἄλλως δέ, ἐπεὶ ὑπερβαίνει τὰ βασί-

3 τις om. T 5 παρανήξαντεσ M 6 εἰσπορεύονται B ὅμωσ MTB corr. Cobet οὖν om. B 7 τούτους πρ. om. B προενέταξαν MT 9 γὰρ Cobet δὲ MTB ὑπερπήδηκεν M 11 post ἐντεῦθεν ins. φασιν B ἔξεστι M ἐξέστην T ἔθουσ B 13—15 cf. Hesych. Phot. et. m. p. 393,16 scholio 22. 23 adi. B add. δὲ post εὔμαρις 14 παροξύνεται M[1] om. B ἐν δὲ B 17 cf. schol. Phoen. 338 τέραμνα B 18 ὅτι ὑπερπεπήδηκε TB 19 οὖν T οὕτωσ M οὗτοσ B τινόσ MTB 20 γὰρ B δὲ MT 22—24 scholio quod praecedit adi. B add. δὲ ἐπεὶ post τριγλύφους 22 post Δωριεῦσι add. τισὶ MT post ἦν add. φρυγῶν MT 23 τῶν om. M τὰς γλ. τ. ὀ. B 27 καθὸ B

λεια καὶ ⟨οὐ⟩ διὰ τοῦ ἐδάφους τὴν πορείαν ποιεῖται, διὰ τὸ ὕψος ἀφανῆ φησιν εἶναι τὴν γῆν αὐτῷ. τὸ δὲ βαρβάροισι δρασμοῖς πρὸς τὸ ἐχόμενον ληπτέον, οἷον· βάρβαρος ὢν οὐκ οἶδα ποῦ φύγω· καὶ γὰρ οὐκ εἰμι τῶν τόπων ἐθάς. ἢ οὕτως· ἐπεὶ μὴ διὰ γῆς ποιεῖται τὴν πορείαν, ἀλλ' ὑπερβὰς ἥλατο, ἀφανῆ φησιν ἑαυτῷ εἶναι τὴν γῆν. ἢ τὸ φροῦδα γᾶ ἐπὶ τῆς Ἰλίου φησίν. ἐρωτώμενος γὰρ τὸ ὅμοιόν φησιν· Ἴλιον Ἴλιον ὤ μοι μοι: — TB

† ἐμοὶ τῷ βαρβάρῳ φεύγειν βουλομένῳ ἀφανής ἐστιν ἡ γῆ διὰ τὸ μὴ εἰδέναι τοὺς τόπους ὅπου φύγω: — T

† ἄλλως τὸ λεγόμενον νοοῦμεν. ἢ οὕτως ἐκδεκτέον· τοῖς βαρβάροις δραπέταις ἄδηλος ἡ γῆ τῶν Ἀργείων: — T

τουτέστιν· ἐμοῦ τοῦ βαρβάρου φεύγοντος πάνυ ἀφέστηκεν ἡ πατρίς: — M[1]TB

1374 βαρβάροισι δρασμοῖς: βάρβαρος ὢν καὶ φυγεῖν θέλων πᾷ, φησί, φύγω, ὦ ξέναι. τὸ δὲ αἰαῖ ἐπιστένων λέγει: — M[1]TB

ἀντὶ τοῦ· πέφευγα βαρβάροις δρασμοῖς: — M[1]T

1375 αἰαῖ πᾷ φύγω: τὸ Ἴλιον λέγει καὶ τοῦτο εἰπὼν ἐπιστένει. φανερὸν δὲ ἐκ τοῦ καὶ πάλιν ἐρωτηθέντα ὑπὸ τοῦ χοροῦ τί δ' ἔστιν Ἑλένης πρόσπολ' εἰπεῖν Ἴλιον Ἴλιον: — MTB

1378 ταυρόκρανος ⟨ἀγκάλαις ἑλίσσων⟩ κυκλοῖ χθόνα: τοῦτο ἔξωθεν ὁ ποιητὴς πρὸς ἀναπλήρωσιν τοῦ ἰαμβείου προσέθηκεν· οὐ γὰρ ἁρμόττει ἀμαθεῖ γε ὄντι τῷ Φρυγὶ τοῦτο λέγειν. ἀναστρεπτέον δὲ τὴν λέξιν, τουτέστιν· ὃν Ὠκεανός. καὶ οὗτος δὲ ποταμὸν ὑπείληφε τὸν Ὠκεανὸν ὡς Ὅμηρος [Υ 7]· 'οὔτε τις οὖν ποταμῶν ἀπέην νόσφ' Ὠκεανοῖο'. ὅτι δὲ κύκλῳ περιρρεῖ τὴν οἰκουμένην, ἐσήμανε τῷ [Σ 399 υ 65] 'ἀψορρόου Ὠκεανοῖο'. ἐπιεικῶς δὲ τοὺς ποταμοὺς ταυροκράνους ἐζωγράφουν τε καὶ ἔλεγον ἴσως ὅτι παραπλησία τῷ μυκήματι τῶν

1 μὴ add. Matthiae 2 αὐτῶν TB βαρβάροις B 7 ὅμοιον T ἐμοὶ B 8—11 scholio quod praecedit intercalat T post ληπτέον (3) 15 ποῖ M[1] ποῦ B ὦ ξέναι B ξένος ὢν M[1]T 16 scholio quod praecedit adi. M[1]T 18 ante φανερὸν ins. ἢ M εἰς τὸ M καὶ om. T ὑπὲρ T ἀπὸ B 19 εἰπὼν T in fine add. ὤμοι μοι B 20—22 praeterea habent M[1]T τοῦτο πρὸς ἀναπλήρωσιν τοῦ ἰαμβείου ὁ ποιητὴς προσέθηκεν ἀμαθεῖ ὄντι τῷ φρυγί 21 ἰάμβου MTB 22 φρυγίῳ MT 23 ἐν ὠκεανῷ MT ἐν ὠκεανῷι ὃς ταυρόκρανος ὢν ἑλίσσων κυκλοῖ χθόνα B οὕτως M 25 τὸ MTB 26. 27 δὲ—καὶ om. M 27 λέγον M τῷ μυκήματι Arsenius τῶ (α superscripto) μυκήματα Estensis III C 13 τὰ μυκήματα MTB

ταύρων ἡ ἀπήχησις τοῦ ὕδατος ἐν τοῖς σφοδρῶς ῥέουσι ποταμοῖς. ἢ διὰ τὸ βίαιον τῶν ὑδάτων, ἅπερ τὴν γῆν διὰ τὰ παρεμπίπτοντα τῶν ὑδάτων ῥήγνυσιν ὡς τοῖς κέρασιν οἱ ταῦροι. ὡς γάρ φησιν ἐν ἄλλοις [Bacch. 743], 'ταῦροι δ' ὑβρισταὶ καὶ εἰς κέρας θυμούμενοι'. ἐν γὰρ αὐτοῖς ἔχουσι τὴν ἰσχύν: — MTB

1381 ἐρωτηθεὶς ὑπὸ τοῦ χοροῦ πάλιν εἶπεν ὁ Φρὺξ Ἴλιον Ἴλιον ὤμοι μοι· τό τε Ἴλιον καὶ τὴν καλλίβωλον Ἴδην τῇ ἐμαυτοῦ βαρβάρῳ φωνῇ στένω. ὁ δὲ λόγος· στένω τὰ εἰρημένα ἀπολόμενα διὰ τὸ τῆς Ἑλένης κάλλος. καὶ τὸ ἁρμάτειον μέλος, τὸ ἐπὶ κακοῖς ᾀσθέν: — MTB

1384 τινὲς τοῦτο παρεπιγραφὴν εἶναι ὡς εἰς τὰ κωμικὰ δράματα: — M[1]TB

ἁρμάτειον μέλος: ἁρμάτειον μέλος τὸν θρῆνόν φησι τὸν ἐπὶ τῷ ἑλκυσμῷ τοῦ Ἕκτορος γινόμενον, ἵν' ᾖ οὕτως· τὸ Ἴλιον καὶ τὴν Ἴδην, ἔτι δὲ καὶ τὸν Ἕκτορα καὶ τὸ ἐπὶ τούτῳ μέλος θρηνῶ βαρβάρῳ βοᾷ. ἔνιοι δὲ ἁρμάτειον τὸν ὑμέναιον, τὸν ἐπὶ ἅρμασι τῶν νυμφῶν ᾀδόμενον, ὡς ἐπιθαλάμιον. τούτου γάρ, φασίν, ὁ Φρὺξ ὑπομιμνησκόμενος στε-

1 post ὕδατος add. ποιεῖ B σφόρους M 2. 3 διὰ—ῥήγνυσιν] διαρρήγνυσι παρεμπίπτοντα B 6 ὁ φρὺξ post ἐρωτηθεὶς coll. B 8 στένω (prius) om. MT 9 ἀσθενεῖν M κἀσθέν T 11 scholio quod praecedit adi. B add. δὲ post τινὲς παρεπίγραφον MTB post εἶναι add. φασιν B 13—p. 221,2 et. m. p. 145,25 ἁρμάτειον μέλος: ἁρμάτειον μέλος βαρβάρῳ βοᾷ Εὐριπίδης· εἴρηται δὲ ἀπὸ τοῦ ἐπιβοηθῆναι τῷ Ἕκτορι ἐκ τοῦ Ἀχιλλέως ἅρματος ἑλκομένῳ. ἢ ὅτι ἐπὶ ἅρματος Φρύγες ἄγοντες τὴν μητέρα τῶν θεῶν μέλος τι ἐπεφθέγγοντο· ὅπερ ἐκ τοῦ παρεπομένου μέλος ἁρμάτειον ὠνόμασται. οἱ δὲ ὅτι τὸ παλαιὸν τὰς παρθένους γαμουμένας ἐπὶ ὀχήματος ἦγον· ὅθεν καὶ παρόχους τὰς παρανύμφους ἐκάλεσαν· καὶ τὰ ἐπᾳδόμενα μέλη καὶ τὸν ὑμέναιον ἀπὸ τοῦ φέροντος τὴν νύμφην μέλος ἁρμάτειον ἐκάλουν. ἄλλοι δὲ ὅτι Ἁρματεύς τις εἰς Ἀθηνᾶν ἔγραψε μέλος [σύντονον] ὅπερ ἀπὸ τοῦ εὑρόντος Ἁρμάτειον εἰκότως ἐκλήθη. ἄλλοι δέ φασιν ὅτι ἀπὸ τοῦ συντόνου καὶ ἐσπευσμένου δρόμου τοῦ ἅρματος τὰ σύντονα μέλη ἁρμάτεια καλοῦσιν. ἄλλοι δὲ ὅτι ὁ ἦχος τοῦ ἅρματος ὀξὺς καὶ λεπτὸς γίνεται· τὸν οὖν ὀξὺν καὶ λεπτὸν φθόγγον ἁρμάτειον ἐκ τούτου ὁ Εὐριπίδης ἐκάλεσε. καὶ εὐνοῦχον εἰσάγει λέγοντα· τοιαῦται δὲ τῶν εὐνούχων αἱ φωναί. οὕτω Δίδυμος καὶ Ἀλέξανδρος. ἢ παρὰ τὸ ἁρμὰν ὃ σημαίνει τὸν πόλεμον τῇ τῶν Φρυγῶν διαλέκτῳ ὥσπερ Παλαμήδης ἱστορεῖ ὁ τὴν κωμικὴν λέξιν συναγαγών. Μεθόδιος. ἢ τὸν ἱπποθόρον ὃν ᾄδουσι Φρύγες ἐπεὶ ὀχοῦνται ἵπποι. cf. Hesych. ἁρμάτειον μέλος * * ἔνιοι δὲ τὸν τῆς Ἀθηνᾶς νόμον. ἄλλοι τὸ ταχὺ ἀπὸ (ἐπὶ cod.) τοῦ ἅρματος. Suid. .. ἁρμάτειον μέλος ἀπὸ ἅρματος 13 post ἁρμάτειον add. γὰρ MT φασι M 15 τούτου M θρηνᾶ M 16 post ὑμέναιον add. φασὶ T 17 τοῦτο MT φησιν MT

νάζει τὸν Ἑλένης γάμον καὶ ὑμέναιον. οἱ δὲ ἁρμάτειον τὸ σύντονον, ἐπεὶ συντόνῳ φωνῇ κέχρηται: — MT

ἄλλως: νόμον Ἀθηνᾶς φασι διὰ τὸ Ἁρματέα τινὰ Βοιωτὸν αὐτὸ συνθεῖναι, οἱ δὲ ἁρμάτειον τὸ ἀπὸ τοῦ ἅρματος τῆς Ῥέας γινόμενον. ἔνιοι δὲ ἁρμάτειον τὸ ὀξύφωνον ἀπὸ τῶν ὑπαξονίων ἤχων: — T

ἄλλως: τὸν θρῆνον καὶ τὸ μέλος ἀναβοῶ τὸν ἐπὶ τῷ ἅρματι γενόμενον ἐξ οὗ εἵλκετο ὁ Ἕκτωρ ὑπ' Ἀχιλλέως. τούτου γάρ, φησί, τελευτήσαντος τὸ Ἴλιον ἀπώλετο: — T

ἁρμάτειον μέλος: τὸ ἁρμάτειον μέλος ὁ Δίδυμός φησιν ὠνομάσθαι, ὅτι αἱ ἀρχαῖαι παρθένοι εἰς τοὺς θαλάμους διὰ τῶν ἁρμάτων ἤγοντο· ὅθεν ἔτι καὶ νῦν πάροχοι λέγονται ἀπὸ τοῦ [τοῖς ὄχεσι] παροχεῖσθαι * * ὑμέναιον ᾄδειν. τὸ δὲ ᾀδόμενον ἁρμάτειον ἐκάλουν [ἀπὸ τοῦ ταῖς παρθένοις διὰ τῶν ἁρμάτων ἀγομέναις παρεδεῖσθαι], ὡς ἐπιθαλάμιον ⟨τὸ⟩ ἐν τοῖς θαλάμοις. ὅθεν τοίνυν ὁ βάρβαρος, ἐπειδὴ συνέβη ὁ τῆς Ἑλένης γάμος, ὃν Πάρις συνετέλεσεν, ἐπὶ κακῷ τοῖς Τρωσὶ γενέσθαι, καὶ τὸν αὐτοῖς ὑμέναιον ᾀσθέντα κατὰ ἀνάμνησιν ἀναστενάζει, τὸν ἐπὶ κακῷ τοῖς Τρῳσὶν [ὑμέναιον] ἐπιτελεσθέντα. ὅτι δὲ οὕτως ἔχει, ἐπιφέρει διὰ ⟨τὸ⟩ τᾶς ὀρνιθόγονον ὄμμα κυκνόπτερον καλλοσύνας Λήδας ὡς δῆλον εἶναι τὸν ἐπὶ τῇ Ἑλένῃ δι' ἅρματος ᾀσθέντα. ἔνιοι δὲ ἁρμάτειον τὸν θρῆνόν φασι τὸν ἐπὶ τῷ ἅρματι γενόμενον, ἐξ οὗ εἵλκετο ὁ Ἕκτωρ. ἀναιρεθέντος γὰρ Ἕκτορος ⟨τὸ Ἴλιον ἀπώλετο⟩. Ἀπολλόδωρος ὁ Κυρηναῖος παρεπιγραφὴν λέγει εἶναι τὸ † ἁρμόδιον, ὦ Ἴλιον. εἰ δὲ ἦν παρεπιγραφή, ἅπαξ ἂν ἐπεγράφετο [τὸ Ἴλιον ἀπώλετο]. ἔνιοι δὲ τὸν ἐκπεπηδηκότα Φρύγα εὐνοῦχόν φασιν εἶναι, τοὺς δὲ εὐνούχους ἐπιεικῶς ὀξυφώνους ὑπάρχειν. τὸ οὖν ὀξύτονον ἁρμάτειον αὐτὸν φάναι διὰ τὸ τὸν ὑπαξόνιον τῶν ἁρμάτων ἦχον ἀνατεταμένον τε καὶ ὀξὺν εἶναι. ὅτι δὲ εὐνοῦχος ἦν, φησὶν [1528]· 'οὔτε ⟨γὰρ⟩ γυνὴ πέφυκας, οὔτ' ἐν ἀνδράσιν σύ γ' εἶ'. καὶ πάλιν [1530]· 'ὀξὺ γὰρ βοῆς ἀκοῦσαν

---

1 τὸν MT 5 τὸ] τὸν T ἦχον T 7 ἐφ' ᾧ T 11. 12 cf. Phot. s. v. ζεῦγος ἡμιονικόν et πάροχος et. m. p. 409,34 Eust. p. 652,44. 838,50 (ex Pausania) Hesych. Suid. 11 παρεδεῖσθαι TB 12 ante ὑμέναιον add. καὶ B, sed plura exciderunt ᾄδειν om. T ἀοιδόμενον T ἀπὸ τοῦ om. T 14 ὁ (prius) om. T 17—19 ὅτι—ᾀσθέντα om. B 18 κυκλόπτερον T 20 ἅρματι] ἕκτορι T ἑλκυσμῶι τοῦ ἕκτορος B 20. 21 ἐξ—Ἕκτωρ om. B 20 ἐφ' T 22 ἐπιγράφει λέγων TB corr. Kirchhoff scripserim τὸ ἁρμάτειον μέλος εἰς τὸ Ἴλιον 23 παρεπιγράφου TB 25 ὑπάρχειν B πάσχειν T τὸν TB 26 τὸν om. T ὑπαξόνιων T 28 ἐπακοῦσαν TB

Ἄργος ἐξεγείρεται'. εἰσὶ δὲ καὶ ἄλλαι αἰτίαι ἃς ἐκτίθεται ὁ ὑπομνηματισάμενος: — TB

ἀπὸ κοινοῦ τὸ στένω: — M[1]B[1]

1385 διὰ τὸ τᾶς ὀρνιθογόνον ὄμμα: στένω, φησί, τὸ Ἴλιον ἀπολόμενον διὰ τὴν δυσώνυμον Ἑλένην, δι' ἣν καὶ ὁ Ἕκτωρ ἀνῃρέθη. εὕρηται δὲ ἑξῆς τοῦ ῥητοῦ ⟨τὸ⟩ διὰ ⟨τὸ⟩ τῆς ὀρνιθόγονον ὄμμα κυκνόπτερον καλλοσύνας Λήδας. ὄμμα δὲ λέγει ἀπὸ τοῦ εὐπρεπεστάτου μάλιστα μέρους αὐτὴν ὀνομάσας. ὀρνιθόγονον δὲ αὐτὴν εἶπεν, ὅτι μεταβληθεὶς ὁ Ζεὺς εἰς κύκνον ἐγέννησεν αὐτὴν τῇ Λήδᾳ συνελθών· τὸ δὲ ὀρνιθόγονον καὶ κυκνόπτερον τὸ αὐτὸ σημαίνει. τινὲς δὲ τὸ ὀρνιθόγονον ἐπὶ τῆς Λήδας ἐξεδέξαντο. φασὶ γὰρ αὐτὴν εἰς Νέμεσιν μεταβληθεῖσαν οὕτω συνελθεῖν τῷ κύκνῳ. καλλοσύνας δὲ Λήδας ἀντὶ τοῦ περικαλλεστάτης. ὁ δὲ λόγος· στένω τὸ Ἴλιον ἀπολόμενον διὰ τὸ τῆς δυσωνύμου Ἑλένης κάλλος, ἣν ἐγέννησε κύκνος τῇ περικαλλεστάτῃ Λήδᾳ συνελθών: — MTB

ἄλλως: ὁ λόγος· στενάζω τὸ Ἴλιον ὀλόμενον διὰ τὸν σκύμνον Λήδας τῆς καλλοσύνας Ἑλένης τῆς δυσελένης. περιφραστικῶς τὴν Ἑλένην: — MT

σκύμνῳ δὲ ἀπείκασεν αὐτὴν τὸ ὀλέθριον αὐτῆς αἰνιττόμενος· ἐπὶ γὰρ ὀλέθρῳ τῆς Ἰλίου ὥσπερ τι θηρίον ἐγεννήθη. σκύμνοι δὲ κυρίως τὰ τῶν λεόντων γεννήματα: — MTB

περιφραστικῶς τὴν Ἑλένην. τὸ ἑξῆς· διὰ τὸ ὄμμα Ἑλένης δυσελένας τὸ ὀρνιθόγονον καὶ κυκνόπτερον καὶ τὸν σκύμνον τῆς καλλοσύνας Λήδας: — M[1]

1388 ἥτις, φησίν, Ἑλένη, ἐρινὺς γέγονε τῇ Ἰλίῳ: — M[1]B[1]

περγάμων Ἀπολλωνίων: Ἀπολλώνιόν φησι τὴν Πέργαμον καὶ τὴν ἀκρόπολιν τῆς Ἰλίου, ἐπεὶ Ἀπόλλωνος ἐκεῖσέ ἐστιν ἱερόν, ὡς Ὅμηρος [E 446]· 'Περγάμῳ εἰν ἱερῇ, ὅθι οἱ νηός γ' ἐτέτυκτο'. ἢ ἐπεὶ

---

1 ἐπεγείρεται T 1. 2 ἀπομνηματισάμενος T 2 in fine add. ὁ λόγος οὕτως τὸ ἴλιον καὶ τὴν ἴδην ἔτι δὲ καὶ τὸν ἕκτορα καὶ τὸ ἐπὶ τῶι ἑλκυσμῶι τούτου μέλος θρηνῶ βαρβάρωι βοᾶι (p. 219,14.15) B 4 ante φησὶ ins. δέ MT ἤλιον B 6 ὀρνιθόγονον] ὄρνιθος τὸ TB ὄρνιθος δὲ M 6. 7 κυκνόπτερον ὄμμα MTB 7 post λέγει ins. τὴν ἑλένην T 8 ὠνόμασεν M 9 τὴν λη M 11 τινὲς δὲ τὸ B τὸ δὲ MT ἐξεδέξατο M γὰρ καὶ T 13 Λήδας om. B παρακαλεστάτης T στενάζω M 14 ὀλόμενον M 14—16 τὸ — διὰ om. M 19—21 scholio quod praecedit adi. MT scholio 4—15 B 19 σκύμνον MT 20. 21 cf. schol. Hec. 205 21 ἔγγονα T 25 τὸν πέργαμον MTB 26 τῆς ἱ. τ. ἀ. B ἐπεὶ] ἀπὸ M ἐστιν ἱ. ἐκεῖσε B 27 ἐν MT

ὁ Ἀπόλλων τὰ τείχη ᾠκοδόμησεν. ἢ Ἀπολλωνίων τῶν ἀπολωλότων. ὡς ἐν τῷ Φαέθοντί [frg. 781,11] φησιν· 'ὦ καλλιφεγγὲς Ἥλι', ὥς μ' ἀπώλεσας καὶ τόνδ'· Ἀπόλλων δ' εἰκότως κλήζῃ βροτοῖς': — MTB

ὀτοτοῖ ἰαλέμων: ὀτοτοῖ ἐπίφθεγμά ἐστι θρηνητικόν. ἰάλεμος θρῆνος. Δαρδανία δὲ πόλις πλησίον τῆς Τροίας ἀπὸ Δαρδάνου βασιλεύσαντος ἐκεῖσε, ἔνθα ἱπποστάσιον εἶναί φασι τῶν Γανυμήδους ἵππων. ὃς ἦν συνευνέτης τοῦ Διός. ἀναφέρει δὲ ἐπὶ τὰ Ὁμηρικά [E 266]· 'δῶχ' υἷος ποινὴν Γανυμήδεος'. θρηνεῖ δὲ τὸν Δάρδανον καὶ αὐτὸν ἀπολόμενον ἐν τῷ πολέμῳ. ὁ δὲ λόγος· [ἰαλέμων ἰαλέμων καὶ] δυστυχεστάτη σύ, ὦ ἱππικωτάτη Δαρδανία, ἥτις ὑπῆρχες τοῦ Γανυμήδους. ἀντὶ τοῦ ἱππικὴ Δαρδανία. ἢ ἱπποσύνου Γανυμήδους, τουτέστιν ἱππικοῦ: — MM[1]B

1390 ἰαλέμων: τῶν θρήνων, ἀπὸ Ἰαλέμου τοῦ Καλλιόπης καὶ Ἀπόλλωνος: — MB[1]

τινὲς τοῦτον τὸν αὐτὸν τῷ Λίνῳ φασὶν ὃν καὶ ἐπὶ θρήνου καὶ ὕμνου λέγουσιν. τὸ δὲ ἑξῆς· ἕνεκα τῶν ἰαλέμων [ἐν τῇ] ἀθλία Δαρδανία: — MB[1]

1391 Γανυμήδεος ἱπποσύνα: ἢ τοῦ ἱππικοῦ Γανυμήδους ἢ ὦ ἱππικὴ Δαρδανία. τὴν Δαρδανίαν ἱπποστάσιον εἶναί φασι τοῦ Γανυμήδους. τὴν αὐτὴν δέ φησι Τροίαν καὶ Δαρδανίαν. τινὲς δὲ οὐχ ἵππους, ἀλλὰ χρυσῆν ἄμπελόν φασι δεδόσθαι ὑπὲρ Γανυμήδους.

---

2 ante ὡς add. φασιν MT ἴλιον MTB 3 καὶ τὸν T καὶ τοῦ τε M ut uidetur Ἀπόλλων δ'] ἀπόλλωνα οὕτως T ἀπόλλων οὕτως M ἀπόλλων B κλήζει M κλύζει T 4 καὶ ἰάλεμος ὁ B 6 ἐκεῖσε om. M[1] ἱπποστασία M[1] εἶναί om. M φασιν εἶναι B 7—12 ὃς—ἱππικοῦ om. M[1] 7 εὐνέτης M 9 post πολέμῳ ins. τὸ δὲ ἑξῆς ὦ δαρδανία τοῦ εὐνέτου τοῦ διὸς γανυμήδους ἱπποφορβὲ δυστυχεστάτη ἕνεκεν τῶν ἰαλέμων ὅ ἐστι τῶν θρήνων ἢ B δὲ om. B post λόγος add. οὕτως B 10—18 pauca detrita in M 10. 11 post Γανυμήδους add. καὶ τὰ ἑξῆς B 11 ἀντὶ—Δαρδανία] ἢ τοίνυν ἱππικὴν τὴν δαρδανίαν φησὶν B ἢ τοῦ B 13. 14 cf. schol. Rhes. 895 13 τῆς B[1] de M non constat 15-17 scholio quod praecedit adi. B[1] add. δὲ post τινὲς 15 τινὲς τοῦτον] αὐτὸ M τῶν αὐτῶν? φασὶν om. M ἦν B[1] 16 ἐπὶ ὕμνου B[1] φασι M 16. 17 τὸ—Δαρδανία om. B[1] 16 ἕνεκα] η M 17 δαρδανίαι M 18—20 ἢ—Γανυμήδους om. B, cetera adi. scholio 4—12 19 δαρδανι[δ] MT scripserim ἐν τῇ Δαρδανίᾳ ἀποστάσιον M 20—p. 223,3 descripta ex schol. Tro. 822 21 φησὶ MT

καθάπερ ἐν κύκλῳ λέγεται· 'ἄμπελον, ἣν Κρονίδης ἔπορεν οὗ παιδὸς ἄποινα χρυσείην φύλλοισιν † ἀγανοῖσι κομόωσαν βότρυσί θ' οὓς Ἥφαιστος ἐπασκήσας πατρὶ δῶκεν· αὐτὰρ ὁ Λαομέδοντι πόρεν Γανυμήδεος ἀντί': — MTB

1393 τὸ κατὰ μέρος, τὸ καθ' ἕκαστον: — M[1]B[1]

1394 οὗτος ὁ στίχος ἐν πολλοῖς ἀντιγράφοις οὐ γράφεται: — M[1]

1396 βάρβαροι: ἀντὶ τοῦ βαρβάρως· ἡ γὰρ Ἀσία τῶν βαρβάρων χώρα, ἡ δὲ Εὐρώπη τῶν Ἑλλήνων: — MTB[1]

ὁ λόγος· εἰώθασιν οἱ βάρβαροι τὸν αἴλινον ἐν ἀρχῇ θρήνου λέγειν οἰκείως τῇ ἑαυτῶν βαρβάρῳ φωνῇ, ὅτε τις βασιλέων ἀνῃρημένος τύχῃ. κἀγὼ οὖν ἀπολομένην τὴν Ἑλένην στενάζω: — MTB

ἄλλως: τὸν λίνον κοινῶς ἐτίθεσαν ἐπὶ τοῦ ὕμνου καὶ τοῦ θρήνου, νῦν μέντοι ἐκπηδήσας ὁ Φρύξ, ὅταν λέγῃ αἴλινον ἀρχὰν θανάτου βάρβαροι λέγουσιν, ἐπὶ συμφορᾶς αὐτὸν καὶ θρήνου τάττει: — MTB

1398 ξίφη Ἅιδου φησὶ τὰ θάνατον ἐργαζόμενα: — M[1]B[1]

1401 † δύω διδύμω: τουτέστιν Ὀρέστης καὶ Πυλάδης. τοῦ μὲν πατὴρ ὁ βασιλεὺς Ἀγαμέμνων ἐπωνομάζετο, ὁ δὲ Στροφίου ἦν παῖς. κακομήτας δὲ ὁ κακὰ κατὰ τῆς Ἑλένης βουλευσάμενος, οὐχ ὁ κακῶς βουλευόμενος: — B

τὸν Ὀρέστην καὶ Πυλάδην ⟨λέγει⟩: — M[1]

1402 τοῦ μὲν πατὴρ ὁ Ἀγαμέμνων: — M[1]

1403 κακόβουλος: — M[s]

1404 ἀντὶ τοῦ ἐσίγα κατὰ ἀφαίρεσιν τοῦ ε. ἢ σιγᾷ, τουτέστι τῇ σιγῇ, οἷον μετὰ σιωπῆς δόλιος: — M[1]TB[1]

1406 ἀντὶ τοῦ ἔμπειρος τοῦ πολέμου: — M[1]B[1]

1407 ἔρροι τᾶς ἡσύχου: φθειρέσθω, φησίν, οὗτος ἐπὶ κακουργίᾳ ἥσυχος ὤν, προνοούμενος τῆς ἡσυχίας ἐπὶ κακοῖς: — MTB[1]

ἄλλως: διαφθαρείη ὑπὸ τῆς ἡσύχου προνοίας. ἥσυχον δὲ αὐτήν φησι τὴν ἀπροσδοκήτως πάντας ἀμυνομένην, πρόνοιαν δὲ τὴν εἱμαρ-

1 καὶ καθάπερ M   λέγει MT λ/ B   2 ἄπεινα T   ἀγανοῖς M   κομοιῶσαν T   βότρυσι τοὺς MTB   3 ἀτὰρ MT   πόρε B   7 τῶν M ut uidetur, τῆς TB[1]   8 χώρας MTB[1]   9—11 scholio quod praecedit adi. MT add. δὲ post ὁ   9 post λόγος add. οὕτως B   11 στενάζου M   12—15 Hesych. αἴλινος ὕμνος θρῆνος cf. Aristoph. Byz. ap. Ath. XIV p. 619c Suid. s. v. αἴλινον et. m. p. 35,1   13 μὲν τοῦδ' MT   13. 14 ἐκπηδήσας—λέγουσιν om. B   13 ἐκπηδεῖ M   ὁ om. T   14 βάρβαρον M   συμφοραῖς MTB   αὐτὸ MT   θρήνοις MTB   24 in fine add. ὢν T   29 πάντα B

μένην. τινὲς οὕτως· οἰμωζέτω κακοῦργος ὢν μετὰ ἡσύχου προνοίας: — MTB

ὁ δὲ ἀντὶ τοῦ δή, ἵν' ᾖ· οἱ δή. οὗτοι δέ, φησίν, ἔνδον εἰσελθόντες εἰς τοὺς θαλάμους ἧς ἔγημε γυναικὸς τοξότης Πάρις, τοὺς ὀφθαλμοὺς δακρύων πεπληρωμένοι καὶ τῷ σχήματι ταπεινοὶ ἕζοντο παρ' ἑκάτερον μέρος τῆς Ἑλένης, ὁ μὲν ἐκ δεξιῶν, ὁ δὲ ἐξ εὐωνύμων, πεφραγμένοι ξίφεσιν: — M[1]TB

1409 ἀντὶ τοῦ· ἧστινος γυναικὸς ὁ τοξότης Πάρις ἔγημεν: — M[1]B[1]

1413 τοῖς ξίφεσι δηλονότι ἠσφαλισμένοι: — M[g]B[1]

1416 τὸ ἑξῆς· ἀνέθορον δὲ πάντες οἱ θεράποντες καὶ ἀνεπήδησαν παραχρῆμα καὶ περιέθεον καθάπερ δρομάδες ἵπποι θορυβηθέντες: — MTB

1419 τὸ μή τις εἴη δόλος ἄλλο κῶλον: — M[1]

1420 οἱ μέν, φησί, τῶν οἰκετῶν οὐκ ᾤοντο δόλον εἶναι, οἱ δὲ ἐπεπιστεύκεισαν τὴν Ἑλένην μέλλειν ὑπὸ τοῦ Ὀρέστου δολοφονεῖσθαι, ὥσπερ ἐν ἄρκυσι ζωγρηθεῖσαν. ἄρκυς γὰρ τὸ λίνον: — MTB

1421 τοῖς δὲ ἐδόκει Ὀρέστης ἐν ἀσφαλεστάτῃ δικτύων μηχανῇ καὶ περιβλήματι λίνου ἐμπλέκειν καὶ ἐμβάλλειν τὴν Ἑλένην. οἷον εἰς ἀρκυστάτην μηχανὴν καὶ [ὡς] περίβλημα λίνων: — MTB

ὅ ἐστιν εἰς δολοφονίαν· ἄρκυς γὰρ τὸ δίκτυόν ἐστιν: — M[1]TB

1425 σὺ δὲ παρῆς τοῖς γινομένοις ἢ ἀκούσας παρ' ἑτέρου πάλαι πέφευγας ἐκποδών: — MTB

1427 παρὰ τὸν βόστρυχον τῆς Ἑλένης πλησίον τῆς παρηΐδος αὐτῆς αὔραν πέμπων: — MTB

1429 πτερίνῳ: τῇ ῥιπίδι. ἢ παρόσον πάντα τὰ ἐπὶ τῆς κεφαλῆς καλύμματα πτερὰ ἔλεγον. οἷς δὴ καὶ ῥιπίσιν ἐχρῶντο. κυκλοτερὴς γὰρ ἡ ἐκ τῶν πτερῶν ῥιπίς. ἡ δὲ πρό ἀντὶ τῆς κατά, ὅ ἐστι· κατὰ τοῦ προσώπου αὐτῆς πνοὴν ἐπιπέμπων: — MTB

---

1 ὀνομαζέτω T 3—7 scholio quod praecedit adi. B initio add. ὁ σύνδεσμος 10 καὶ οἱ θεράποντες ἀ. MTB 14 δὲ καὶ T 16 ἄρκυσι om. MT ζωγραφεῖσαν MT cf. Hesych. s. v. ἄρκυα Suid. Eust. p. 1535,17 et. m. p. 144,10 Gud. p. 78,20 Cramer an. Ox. II p. 336,5. 427,5 17 ὀρέστην T 18 ἐκβάλλειν T 20 ὅ ἐστιν M[1]T οἷον B ἐστιν om. B 21 σὺ δὲ] οὐδὲ M 23. 24 scholio quod praecedit adi. B initio add. ὁ δὲ 23 post βόστρυχον add. φησὶ B 24 ἔπεμπον B 25—28 scholio quod praecedit adi. B initio add. τῆι ῥιπίδι πτερίνωι δὲ εἶπε et om. τῇ ῥιπίδι ἢ 25. 26 πάντα—ἐχρῶντο] αὗται ἐκ πτερῶν ὑπάρχουσι συντεθειμέναι εὐπηγεῖ δὲ κύκλωι ἤτοι καλῶς πεποιημένωι καὶ συντεθειμένωι B 27 ἡ om. T 28 ἐκπέμπων MTB

αὔραν ἀίσσων, ἀντὶ τοῦ πνοὴν ἐπιπέμπων: — M[1]B

1431 ἡ δέ: — M[g]

τὸ λίνον τὸ ἐν τῇ ἠλακάτῃ εἵλισσεν: — M[1]T

1433 μετὰ σπουδῆς ἐχαλᾶτο, κατηπειγμένως: — M[1]T

1434 ἀντὶ τοῦ· τὰ ἀπὸ τῆς λαφυραγωγίας τῶν βαρβάρων νήματα καὶ λίνα. ἀπὸ τῶν Φρυγίων σκύλων βουλομένη συρράψαι ἐνδύματα πορφυρᾶ, ὅπως ἐπὶ τὸν τάφον ἀναθῇ τῆς Κλυταιμνήστρας: — MTB

ἐπὶ τύμβον: ἀντὶ τοῦ διὰ τὸν τύμβον, τουτέστι· τὰ δὲ νήματα ἵετο τῷ πέδῳ διὰ τὸν τύμβον. ἀπὸ δὲ τοῦ τύμβου τὸ σῶμα τῆς Κλυταιμνήστρας δηλοῖ. ἀγάλματα δὲ ἀντὶ τοῦ ἀγάλμασι· καλλώπισμα γάρ ἐστιν ἡ κηδεία τοῦ νεκροῦ σώματος. ὁ δὲ λόγος· τὰ δὲ νήματα καὶ τὰ λίνα τὰ ἐκ Φρυγίας εἰργάζετο διὰ τῆς Κλυταιμνήστρας τὸ σῶμα, ἵνα τοῦτο συστολίσῃ καὶ κηδεύσῃ αὖθις λαμπροῖς ἱματίοις καὶ φάρεσι πορφυρέοις: — MTB

καλλωπίσματα· κόσμος γὰρ τῶν τύμβων τὰ ἀναθήματα: — M[1]

1439 ἀντὶ τοῦ ἀνάστηθι. ἀπαγαγεῖν δὲ αὐτὴν ἐβούλετο ἀπὸ τοῦ τόπου τούτου οὗ ἐκάθητο εἰς ἕτερον τόπον ἐκκλῖναι βουλόμενος τοὺς παρεστῶτας οἰκέτας. τούτου οὖν ἀποστᾶσα τοῦ κλισμοῦ ἐλθὲ ἐπὶ τὴν Πέλοπος καθέδραν, ἔνθα εἰώθει διατρίβειν ὁ Πέλοψ: — MTB

ἀποστῆσαι γὰρ αὐτὴν ἤθελε τῶν παρεστώτων θεραπόντων: — MT

1446 τὸ σύν κατὰ κοινοῦ, τουτέστιν· ὁ δὲ συνεργὸς συμπράσσων τῷ Ὀρέστῃ, ὁ πονηρὸς ἀνὴρ Φωκεύς, τοιαῦτα εἶπεν. λέγει δὲ τὸν Πυλάδην: — MTB

1447 λείπει τὸ καὶ τοιαῦτα ἔλεγεν: — M[1]

1450 ἐφ' ἧς ἕκαστος ἐκαθέζετο: — M[1]

1451 πόρρωθεν. τὸ δὲ διαρμόσας ἀντὶ τοῦ προσαρμόσας καὶ συγκλείσας. ἀπὸ τοῦ διαρμόσας τὴν ἀδιάλειπτον παραμονὴν τῶν οἰκετῶν ἐσήμανεν, ἣν εἶχον μετὰ τῆς δεσποίνης: — MTB

1452 ἀντὶ τοῦ μετὰ ταῦτα: — M[1]

---

1 scholio quod praecedit adi. B initio add. τὸ γὰρ ἑξῆς  ἐκπέμπων B  3 ἐλίσσων M[1]T  6 post λίνα add. ἤτοι B  βουλόμενος M βουλομένης B  8 ἀντὶ—τουτέστι om. B  9 post ἵετο add. ἀντὶ τοῦ κατηπειγμένως ἐχαλᾶτο ἐν B  πεδίῳ MT  9. 10 τῆς Κ. om. T  13 συστείλῃ MTB  ἱματίοις om. T  17 τούτου om. B  ἐγκλῖναι M  18 οὖν M om. T οὖν φησὶν B  19 ante ἔνθα add. ἤτοι B  20 scholio quod praecedit adi. MT initio add. ἀντὶ τοῦ M ἀντὶ T  ἤθελε Münzel ἤθελον MT  22. 23 ὀρέστην B  26 πόρρωθεν—διαρμόσας om. T  27 post διαρμόσας add. δὲ B

1453 Ἰδαία μᾶτερ: Ἴδη ὄρος ἐστὶ Τροίας, ἔνθα τετίμηται ἡ Ῥέα. ἴσως οὖν ὡς ἐγχωρίαν θεὸν ἐπικαλεῖται αὐτὴν ὁ εὐνοῦχος: — MTB

1454 ὀβρίμα ὀβρίμα: ὀβρίμαν αὐτήν φησιν, ἐπεὶ λέουσιν ὀχεῖται· ἢ ὅτι ἐνίσταται τοῖς αὐτῇ συντυγχάνουσιν. μέλλων διηγεῖσθαι ὁ Φρὺξ ἅπερ ἐτεθέατο ἔνδον, τὴν Ῥέαν ἐπικαλεῖται ὡς ἀλεξίκακον. Ἰδαίαν δὲ ἀντὶ τοῦ ὀρεινήν· ἐν γὰρ τοῖς ὄρεσι διατρίβειν φασὶ τὴν θεόν. ὀβρίμαν δὲ τὴν ἰσχυρὰν καὶ φοβεράν. ὁ δὲ λόγος· φεῦ φεῦ τῶν ἀνόμων κακῶν, ὦ μῆτερ Ῥέα, ἅπερ τεθέαμαι ἔνδον κατὰ τοὺς οἴκους. καλεῖται δὲ καὶ Ἀνταία· τοῖς Φρυξὶ γὰρ ὑπαντῶσι φοβερά ἐστιν: — MTB

1457 ἐντεῦθεν ἄρχεται ἐξηγεῖσθαι: — M$^i$TB$^i$

τῶν πορφυρῶν: — M$^g$

1462 γράφεται ἀποκτενεῖ: — M$^i$

1467 μετὰ τῶν στηθῶν καὶ τὴν κεφαλὴν ἐκτύπησεν: — M$^i$TB$^i$

1468 ἡ Ἑλένη, φησί, διαναστᾶσα φυγῇ τὴν σωτηρίαν πορίζεται: — M$^i$TB

1470 λείπει τὸ ποδί: — M$^g$

τὸν πόδα φησίν. ἀπὸ τοῦ ὑποδήματος τὸν πόδα δηλοῖ. τὸ δὲ δικών ἀντὶ τοῦ ἐκτείνας καὶ βαλών. ὁ δὲ Ὀρέστης, φησί, παραχρῆμα προβὰς τὸν πόδα ἐξέτεινε τὴν χεῖρα καὶ λαβόμενος τῆς κόμης ἔμελλεν αὐτὴν παίειν τῷ ξίφει: — MTB

1471 ἀντὶ τοῦ ἀριστερᾷ χειρί: — M$^i$B$^i$.

1472 τὸ μελανθησόμενον: — M$^i$B$^i$

1474 ἰαχᾷ δόμων θύρετρα: ἰαχῆς, φησί, καὶ θορύβου γενομένου κατὰ τὴν οἰκίαν τὰς θύρας τῶν σταθμῶν, ἔνθα ἦμεν συγκεκλεισμένοι, ἐκσπάσαντες τοῖς μοχλοῖς ἐξήλθομεν βοηθήσοντες: — MTB

1476 τὰ ἀκόντια, ἀπὸ τοῦ ἐπηγκυλίσθαι. ἢ διότι ἀπὸ τῆς κατὰ μέσον ἀγκύλης λαμβανόμενοι ῥίπτουσιν: — M$^i$TB$^i$

---

1 ἐστὶ om. T  4—11 scholio quod praecedit adi. B add. δὲ post ὀβρίμαν  5 μέλλων δὲ B  7. 8 cf. Didym. ap. schol. Δ 475  9 ἡ τῶν MT (= ἕνεκα τῶν?)  10 cf. et. m. p. 388,36  12 ἔνθεν M$^i$B$^i$  16 in fine add. τῷ ποδί T  18 λείπει] δια M$^g$  19—22 scholio 16 adi. B initio add. μυκηνίδα δὲ ἀρβύλην  19 ἀπὸ γὰρ B  20 λαβὼν MT  21 κώπης MTB em. Matthiae  23 τῆι ά. B$^i$  27 τοῖς μοχλοῖς ἐκσπάσαντες B  28. 29 cf. schol. Phoen. 1141 Andr. 1134 Hesych. s. v. ἀγκύλα ἀγκύλη μεσάγκυλα Eust. p. 344,13. 816,38 lex. Bachm. p. 23,10 Suid. s. v. ἀγκύλη Zon. p. 26  28 ἐπηγκυλεῖσθαι M$^i$ ἐπηγκυλῆσθαι TB$^i$  διότι om. M$^i$T  29 μέσου M$^i$TB$^i$

1477 μεγάλην κώπην καὶ ἐκτεταμένην ἔχον: — MTB[1]

1479 ἀντὶ τοῦ ἄτρεπτος καὶ ἄφευκτος ἐν ταῖς μάχαις. ἢ ἀκατάπαυστος. ἢ ὃν οὐκ ἔστι λιάσαι καὶ εἰς φυγὴν τρέψαι: — M[1]TB[1]

1480 τρικόρυθος: ὁ μεγάλην ἔχων περικεφαλαίαν. ὅμοιον δέ ἐστι τῷ [Λ 353] 'τρίπτυχος αὐλῶπις'. ἢ ὅτι ἔνιοι τῶν ἡρώων τριλόφοις ἐχρῶντο: — MTB

1483 τότε: ἐν τῷ πρὸς Ὀρέστην πολέμῳ ἐφάνημεν διαπρεπόντως δειλοί, οἱ Φρύγες. ἢ τότε ἐν τῷ Τρωικῷ πολέμῳ: — M[1]TB

τότε δὴ τότε διαπρεπεῖς ἐγένοντο Φρύγες: ἀντὶ τοῦ ἔκδηλοι τὴν δειλίαν καὶ ἐξεληλεγμένοι. ⟨τότε⟩, φησίν, ἐν τῇ συμβολῇ τῇ πρὸς τὸν Ὀρέστην καὶ πρὸς τὸν Πυλάδην, ἐφάνησαν οἱ Φρύγες [πολὺ τῶν Ἑλλήνων ὄντες ἀσθενέστεροι] καθ' ὅσον ἦμεν ἐλάττους ἐν τῇ μάχῃ τῇ πρὸς τοὺς Ἕλληνας κατὰ τὴν Ἴλιον. φησὶ γὰρ αὐτὰ κατὰ ἀναφορὰν ⟨πρὸς⟩ τὰ ἐν Ἰλίῳ λόγου παρεκβάσει χρησάμενος. οὐ γὰρ εἰκὸς ἦν οὕτως πολλοὺς εἶναι τοὺς ἐν τοῖς βασιλείοις τεθνηκότας ὡς καταλέγειν πτώματα μυρίων νεκρῶν. ἔστιν οὖν ὁ πᾶς λόγος τοιοῦτος· κατὰ τὴν συμβολὴν τὴν πρὸς τὸν Ὀρέστην κατάδηλοι γεγόναμεν ἀσθενεῖς ὄντες οἱ Φρύγες: — MTB

1484 ἥσσονες Ἑλλάδος ἐγενόμεθ' αἰχμᾶς: εἰκότως ὑπὸ τῶν Ἑλλήνων τότε, ἐν Ἰλίῳ, [ἢ τῶν περὶ τὸν Ὀρέστην] ἡττήθησαν, ἡνίκα ὁ μὲν ἦν φυγάς, ὁ δὲ νεκρὸς ἔκειτο, ἄλλος δὲ τραυματίας ἦν, ὁ δὲ ἱκέτης προσέπιπτε τὸν ἔλεον θηρώμενος, καὶ τέλος ὡς ὑποσκότιοι γενόμενοι τῷ πλήθει τῶν βαλλομένων βελῶν εἰς φυγὴν ἐτρεπόμεθα καὶ οἱ μὲν ἔπιπτον τιτρωσκόμενοι, οἱ δὲ πίπτειν ἔμελλον, οἱ δὲ ἦσαν νεκροί. καὶ μέχρι τούτου ἡ παρέκβασις. τὰ δὲ ἑξῆς γενόμενα κατὰ τὴν οἰκίαν ἐστίν, ἅπερ κατὰ ἐπανάληψιν ἐπάγει. ἔστι δὲ τὸ ἑξῆς τοῦ λόγου· φασγάνων τε ἀκμὰς συνήψαμεν καὶ ἡττήθημεν κατὰ κράτος ὥσπερ καὶ ἐν

1 ἐγχερσὶν ἔχων M ἐν ταῖς χερσὶν ἔχων T 2. 3 cf. Hesych. ἀλίαστος .. ἀμετάτρεπτος et. m. p. 63,24 ἀλίαστος .. σημαίνει δὲ τὸν ἀκατάπαυστον ...... ἄτρεπτον Zon. p. 119 ἀλίαστος ὁ μὴ φεύγων .... Cramer an. Par. IV p. 108,34 ἀλίαστον ἀκατάπαυστον. ἢ ὃ οὐ δύναταί τις ἐκφυγεῖν Eust. p. 347,35 ἀλίαστος .. τουτέστιν ἄφυκτος· λιάζω γὰρ τὸ ἐκφεύγω scholio quod praecedit adi. B[1] initio add. ἀλίαστος δὲ 3 δειλιάσαι T 5. 6 τριολόφοις M 8 ἢ] οἱ T 10. 11 τῆι π. τ. Ὀ. κ. π. τ. Π. συμβολῆι B 12 καθ' Münzel καὶ MTB 13 αὐτὰ B αὐτοὺς M ἀντὶ T πρὸς add. Matthiae 14. 15 πολλων M 16 ὁ om. M 17 οἱ om. MTB 20 ἢ τὸν M 22 ὑποσκότιον M ὑπὲρ σκότον T 23 γενομένω ἢ MT 25 μέχρι μὲν B τὸ B

τῷ κατὰ Ἴλιον πολέμῳ ἡνίκα ταῦτα συμβέβηκεν ἅπερ κατέλεξεν. ὡς δὲ ἡττήθημεν τῶν περὶ τὸν Ὀρέστην, ἦλθεν ἡ Ἑρμιόνη. δύναται δὲ καὶ ἐπὶ οἰκίας ταῦτα γενόμενα νοεῖσθαι. ἴδιον δὲ τῆς τραγῳδίας τὸ τὰ μικρὰ τῶν πραγμάτων ἐξαίρειν καὶ φοβερὰ ποιεῖν ὥσπερ νῦν ὁ Εὐριπίδης ὡς περὶ πολλῶν ⟨περὶ⟩ τῶν ὀλίγων θεραπόντων τὸν λόγον ⟨ποιεῖται⟩: — MTB

1486 ὁ μὲν οἰχόμενος: ταῦτα ἐπὶ τῶν ἐν Ἰλίῳ νοητέον, οἱ δ' οὐ νοήσαντες ὑπέλαβον ἐν τοῖς βασιλείοις τοσούτους τεθνάναι: — MT

ταῦτα ὡς ἐπὶ τῶν ἐν Ἰλίῳ λέγει τεθορυβημένος καὶ οὐ δεόντως ἀπαγγέλλων. οἱ δὲ μὴ νοήσαντες πολλοὺς ᾠήθησαν ἐν τοῖς βασιλείοις ὑπὸ τῶν περὶ τὸν Ὀρέστην ἀπολωλέναι. ἐὰν μὲν ἐν Ἰλίῳ, ἔσται τὸ ὑπὸ σκότον ἀντὶ τοῦ καλυφθέντες τῷ πλήθει τῶν βελῶν ἐφεύγομεν· ἐὰν δὲ ἐν τῇ οἰκίᾳ, εἰς τοὺς σκοτεινοὺς τόπους τῆς οἰκίας ἐφεύγομεν: — MTB

1488 θανάτου προβολάν: ἀντὶ τοῦ ἱκεσίαν ὑπὲρ τοῦ θανάτου προβαλλόμενος καὶ ἱκετεύων: — MTB[1]

1491 ἐπὶ φόνῳ χαμαιπετεῖ: θορύβου, φησί, γενομένου ἦλθεν ἡ Ἑρμιόνη. χαμαὶ οὔσῃ τῇ Ἑλένῃ. μελλούσῃ πίπτειν μετὰ τὸ φονευθῆναι: — MTB

ἄλλως: ἢ τεθορυβημένος οἴεται αὐτὴν πεπτωκέναι ἢ χαμαιπετεῖ τῷ μέλλοντι πεσεῖσθαι: — MTB

ἄλλως: οὐ τῷ πεσόντι ἐπὶ γῆς· οὐδὲ γὰρ ἐφόνευσαν αὐτήν. ἀμέλει μετὰ μικρόν φησιν ὅτι διωκομένη ἐξ αὐτῶν ἀφανὴς ἐγένετο: — MTB

χαμαιπετεῖ οὖν ἢ τῷ μέλλοντι πεσεῖν ἢ τεθορυβημένος οὐκ ἀκριβολογεῖται: — M[1]T

1492 ἄθυρσοι δ' οἷά νιν: κακόθυρσοι. ἢ θύρσων μόνον δεόμενοι πρὸς τὸ εἶναι Βάκχαι. ἢ ἀθύρσους αὐτοὺς εἶπεν, ἐπεὶ αἱ Βάκχαι μετὰ θύρσων βακχεύουσιν: — MTB

---

1 ἡνίκα Münzel ἦν καὶ MTB  2 τῶν om. M ὑπὸ τῶν T  3 γενόμενον M γινόμενα B  4 μακρὰ MT  ποιεῖν ὥσπερ om. MT  5. 6 ὡς—ποιεῖται om. B  5 ὡς περὶ] ὥσπερ MT  7 τῶν] τῆς MT  9—13 scholio quod praecedit adi. MT scholio p. 227,19 — p. 228,6 B add. δὲ post ταῦτα  9 περὶ B  11 ὑπὸ τῶν] ὑπὲρ τὸν M  ἀπωλέναι M τεθνάναι B  ἐὰν μὲν οὖν περὶ τῶν ἐν Ἰλίῳ λέγοιτο B  18 καὶ μελλούσηι B  20 τεθορυβημένος ὢν B  22 οὐ τῶι B οὕτως MT  τῆς γῆς T  οὔτε MT  23 ἀφανὴς ἐξ αὐτῶν B  24 τεθορυβημένῳ M[1]T  26 initio add. ἢ B  θύρσων om. MT  26. 27 δεόμενοι μόνων B  28 κατὰ M

† ....... ἐπέλεγον. ἔστι δὲ αὐτὴ Σκυθικὴ φωνὴ ἐξελληνιζομένη † ὦ ὕὶς καὶ υἱὲ τοῦ ἄτις καὶ τοῦ Διός. εἶχον δὲ ἀνὰ χεῖρας οἱ τοιοῦτοι βάκχαι θύρσους, ἤτοι νάρθηκας, ἀντὶ κλάδων τούτους περιφερόμενοι εἰς τιμὴν τοῦ Διονύσου. ἐδόκουν δὲ τοῖς ὁρῶσι μαίνεσθαι, τῇ δ' ἀληθείᾳ φιλάνθρωποι ἦσαν. διὰ γοῦν τὸ δοκεῖν ἐκείνους μαινομένους εἶναι ὁ Εὐριπίδης τὸ ἄθυρσοι βάκχαι ἀντὶ τοῦ μαινόμενοι ἐξεδέξατο: — A

† σημείωσαι καὶ τὸ θύρσος πῶς ἐκλήθη νάρθηξ. θύρσος μὲν γὰρ τῷ φυτῷ τὸ παλαιὸν ὄνομα παρόσον αὐτῷ ἐχρῶντο οἱ γεωργοὶ ἐν ταῖς αἱμασιαῖς τῶν λειμώνων καὶ τῶν κήπων καὶ τῶν θειλοπέδων καὶ ἀμπελώνων. ὕστερον δὲ ἐκλήθησαν νάρθηκες, ὅτι ἐχρήσαντο αὐτοῖς οἱ τῶν παίδων ἀλεῖπται καὶ παιδοδιδάσκαλοι πρὸς τὸ πλήττειν τοὺς νέους. νάρθηξ γοῦν ἐτυμολογεῖται παρὰ τὸ τοὺς νεαροὺς θήγειν, ἤτοι τοὺς νέους παῖδας ἀκονᾶν καὶ παρορμᾶν πρὸς τὰ μαθήματα: — A

1493 συλλαβόμενοι δέ, φησί, τὴν Ἑρμιόνην οὐδὲν ἧττον πάλιν ἐπεδίωκον Ἑλένην ἐπὶ φόνῳ: — M[1]TB[1]

1497 τοῦτο δοκεῖ ἀπὸ ἱστορίας εἶναι, παρόσον παρὰ τῆς Θῶνος γυναικὸς δοκεῖ πλεῖστα φάρμακα εἰληφέναι ἡ Ἑλένη, ὡς Ὅμηρος [δ 228]· 'τά οἱ Πολύδαμνα πόρεν Θῶνος παράκοιτις, Αἰγυπτίη, πολλὰ μὲν ἐσθλὰ μεμιγμένα, πολλὰ δὲ λυγρά': — MTB

1499 ἀπέδρων γάρ: — M[1]B[1]

1501 ἀντὶ τοῦ ἀνονήτως: — M[1]B[1]

1503 ἀντὶ τοῦ· διαδέχεται νεώτερον κακόν: — M[1]TB[1]

1505 ἐτραγῴδει ὁ Φρύξ: — M[1]T

1510 οὔτι που κραυγὴν ἔθηκας: ἀντὶ τοῦ· οὐ διὰ τοῦτο, φησίν, ἐβόησας ὥστε τὸν Μενέλαον ἐλθόντα βοηθεῖν: — MTAB

ἄλλως: οὐκ ἄρα που, φησί, μεγάλῃ φωνῇ τὸν Μενέλαον ἐκάλεσας ὥστε βοηδρομεῖν: — MTAB

1511 λείπει τὸ βούλομαι: — M[1]TB[1]

1512 ἐνδίκως: ἀνάξια καὶ τραγῳδίας καὶ τῆς Ὀρέστου συμφορᾶς τὰ λεγόμενα: — MTB

---

2 cl. Bekker. an. p. 202 temptaui Ὕης Ἄτης ἢ υἱὲ τοῦ Διός  3 ἐπιφερόμενοι A  6 ἐξελ (αι supra) A  12 οὖν A  14 φησὶ om. B[1]  14. 15 ἀπεδίωκον T  15 ἐπιφόνον B[1]  18 πόρε MT  26 φησὶ om. A  μεγάλα MB  φωνεῖς B  ἐκάλεσας om. MB  27 βοηδρομῆσαι T  29 post ἀνάξια add. ταῦτα φασὶ B  τραγωδικὰ A  τῆς τοῦ ὀ. B  30 τὰ λεγόμενα om. B  τὰ νῦν λεγόμενα A

1514 νῦν, φησὶν, ἔοικας ὑπὸ δειλίας [τἄνδον] ὑποκρίνεσθαι τοῖς λόγοις ἕτερα κατὰ ψυχὴν ἔχων καὶ φρονῶν: — MAB

1515 † ἀντὶ τοῦ· οὐ πρὸς χάριν, ἀλλ' ἀληθῶς λέγω ὅτι ἀξία ἐστὶν ἀποθανεῖν, ἥτις τὴν Ἑλλάδα πᾶσαν καὶ τὴν Φρυγίαν ἠφάνισεν: — B

1516 ὄμοσον: ὅτι οὐ πρὸς χάριν ἐμὴν ταῦτα λέγεις οὐδὲ ὑποκρινόμενος, ἀλλὰ τῇ ἀληθείᾳ οὕτω φρονεῖς. λείπει δὲ ἡ εἰς· εἰς ἐμὴν χάριν: — MAB

1518 ὧδε κἀν Τροίᾳ σίδηρος: καὶ ἐν Τροίᾳ, φησὶν, ὁ σίδηρος οὕτως ἦν φοβερὸς τοῖς Τρωσὶν ὡς σὺ νῦν ὁρῶν τὸ ξίφος φῄς· θάνατον ἐνοπτρίζομαι: — MAB

1519 γράφεται ἄπαγε: — M[g]

1521 ταῦτα κωμικώτερά ἐστι καὶ πεζά: — TA[g]

δέδοικα μὴ γένωμαι νεκρός: — M[g]B[g]

1525 ἀφεῖσαι: ἀπήλλαξαι: — MT

πρὸ τέλους ὁ τόνος. προπερισπᾶται γὰρ παρακείμενος ὤν. ὁ Θεοδόσιος ἀπὸ τοῦ ἐῶ φησιν αὐτό· εἰ γὰρ ἦν ἀπὸ τοῦ ἵημι, προπαρωξύνετο, φησὶν, ὡς τρισύλλαβος ἀπὸ τῶν εἰς μι. οἱ δὲ ἀπὸ τοῦ ἵημι, ἥσω, ἧκα, ἕμαι, εἷμαι, κατὰ πλεονασμὸν ὡς τὸ τέθειμαι, καὶ εἶσαι, καὶ ἀφεῖσαι. φυλάττεται γὰρ ὁ τόνος τῶν ὁριστικῶν, ἐπὰν μετὰ προθέσεως συντεθῶσι καὶ μὴ ἀποβάλωσι τὴν μακράν: — MTB

1526 ἀλλὰ μεταβουλευσόμεθα: ἐπὶ τοῦ παρόντος, φησὶν, ἀφίημί σε, ὕστερον δὲ βουλεύσομαι περὶ σοῦ: — MTB[i]

1527 μῶρος, εἰ δοκεῖς με: μῶρος εἶ, φησὶν, εἰ δοκεῖς με ὅλως ἀξιοῦν φονεύειν σε. τινὲς δὲ εἰς τὸ μῶρος ⟨εἶ⟩ στίζουσι, καὶ τὸ ἄλλο ἀπόλυτον: — MT

μῶρος εἶ: τινὲς οὕτως στίζουσι, καὶ τὸ ἄλλο ἀπόλυτον. τινὲς δὲ οὕτως· εἰ δοκεῖς με τλῆναι σὴν καθαιμάξαι δέρην, πάνυ ἀνόητος εἶ, ἵν' ᾖ κατ' ἔλλειψιν: — B

1528 οὔτε γὰρ γυνὴ πέφυκας: δύναται μὲν καὶ ἐπὶ εὐνούχου

---

1 δολίασ M  5 initio add. ὄμοσον A ὄμοσον φησιν B  λέγει M  6 δὲ ἡ] τὸ A  8. 9 post σίδηρος add. πᾶσι Φρυξὶν et om. τοῖς Τρωσὶν A  9 ὡσ καὶ σὺ A  10 ἐνοπτρίζεσθαι B  12 παίζει T  14 ἀπάλλαξαι M  15—20 scholio quod praecedit adi. MT pro ὁ scripto δὲ  15. 16 ὁ δὲ θεοδόσιοσ B  16. 17 προπαροξύνεται M προπαροξυ´ T  17 ἀπὸ—μι om. B  ἀπὸ τοῦ M  18 post πλεονασμὸν add. τοῦ ῑ B  τὸ om. TB  18. 19 ante ἀφεῖσαι add. καὶ ἐξ αὐτοῦ B  19. 20 συντεθῇ MB  20 ἀποβάλλωσι T ἀποβάλλων B ἀποβάλλον M  24 ἀξιοῦσι M  στίσσουσι M  25 ἄλλοσ M

ταῦτα λαμβάνεσθαι, δύναται δὲ καὶ ὅτι γύννιδές εἰσιν οἱ Φρύγες: — MTB

1530 ὀξὺ γὰρ βοῆς: ἐκεῖνο, φησίν, ἐφοβούμην καὶ ὑφωριώμην μὴ ἄρα σὺ κραυγάσας ἐξαναστήσῃς τὴν πόλιν καθ' ἡμῶν. περὶ γὰρ τοῦ Μενελάου οὐδεὶς λόγος· ἑνὸς γὰρ αὐτοῦ ὄντος δυνησόμεθα περιγενέσθαι, ὥστε ἡκέτω ὁ τῷ κάλλει μόνον ἐπερειδόμενος. εἰ δὲ τοὺς Ἀργείους πάντας ἐπαγόμενος ἔλθῃ ἀμυνόμενος ἡμᾶς διὰ τὸν τῆς Ἑλένης φόνον καὶ μὴ ἐθελήσῃ σῴζειν ἡμᾶς, ἐπαναιρήσομεν τῇ Ἑλένῃ τὴν Ἑρμιόνην: — MTB

ὀξέως γὰρ ἐξεγείρονται οἱ Ἀργεῖοι, ἐπὰν βοῆς ἀκούσωσιν: — TA$^g$

1531 Μενέλεων δ' οὐ τάρβος ἡμῖν: οἷον ὑποδέξασθαι τὴν πρὸς Μενέλαον μάχην: — MTAB$^1$

εἴσω αὐτὸν τοῦ ξίφους λαβεῖν: — MTA

1532 οἷον γαυρούμενος ἐπὶ τῇ κόμῃ: — M$^g$A$^g$

1534 τὸν Ἑλένης φόνον διώκων: τιμωρούμενός με διὰ τὸν τῆς Ἑλένης φόνον. διώκειν γὰρ ἦν τὸ εἰς δικαστήριον ἕλκειν ἄλλους. καὶ διώκειν κυρίως τὸ κατηγορεῖν, κεῖται δὲ νῦν ἐπὶ τοῦ ἐπεξιέναι. ὁ δὲ λόγος· ἐπεξιὼν διὰ τὸν Ἑλένης φόνον: — MTAB

γράφεται κἀμὲ μὴ σώσῃ θανεῖν: — M$^g$

1537 δόμος: ὁ δόμος ὁ περὶ τοὺς Ἀτρείδας, ἀντὶ τοῦ ὁ τῶν Ἀτρειδῶν δόμος, εἰς ἕτερον ἀγῶνα μεταπίπτει: — MTAB$^1$

1539 τί δρῶμεν: μερίζεται τὴν γνώμην ὁ χορός. δέδοικε γὰρ μὴ ὕστερον ἐγκληθῇ κρύψας: — MAB$^1$

1540 ἀντὶ τοῦ σιωπήσωμεν: — M$^1$TB$^1$

ἢ μηδὲν ἐξείπωμεν τῇ πόλει: — M$^1$TB$^1$

1541 ἴδε προκηρύσσει: ἰδού, φησίν, ἀναπηδῶν ὁ καπνὸς ἀπαγγέλλει τῇ πόλει τἀνθάδε πραττόμενα: — MTA$^g$B

1542 ἀνεγειρόμενος ὁρμῶν: — TA$^g$

1544 γράφεται καὶ φόνου καὶ πόνου: — T

---

p. 230,29. 1 initio add. τοῦτο δὲ B postea om. ταῦτα  3 initio add. ἀντὶ τοῦ ὀξέως M ἀντὶ τοῦ ὀξέως ἐξεγείρονται οἱ ἀργεῖοι ἐπὰν βοῆσ ἀκούσωσιν B
6 ἡκέσθω M  10 ἐγείρονται T  11 ἀναδέξασθαι B$^1$  12 τὸν μ. A in fine add. οὐ δέδοικα B$^1$  13 scholio quod praecedit adi. MTA  αὐτὸ A
15 με T μὲν A om. MB  16 τῆς om. A  17 τὸ κατηγορεῖν om. T
20 ὁ περὶ τ. ἀ. δόμοσ B$^1$  21 οἶκοσ B$^1$  22 τὸ γνῶμεν M  24 ἀντὶ τοῦ] ἢ B$^1$  25 scholio quod praecedit adi. B$^1$ pro ἢ scripto καὶ  27 τὰ ἐνταῦθα B

1545 τέλος ἔχει δαίμων: ἀντὶ τοῦ· τῶν ἀνθρωπίνων πραγμάτων τὸ τέλος ἐν θεῷ ἐστιν: — MTAB[1]

ἄλλως: ἀεί, φησίν, ὃ βούλεται ὁ θεὸς τοῖς ἀνθρώποις τέλος ἐπιτίθησιν: — MTAB[1]

† ἄλλως: ὡς ἐν ἐπιλόγῳ τοῦτό φησιν ὅτι τὰ πράγματα τὸ τέλος καὶ τὴν ἔκβασιν ἔχει κατὰ τὸ θέλημα τοῦ θεοῦ: — A

1546 ἡ διά ἀντὶ τῆς ὑπό: — M[1]

1547 ἔπεσεν ἔπεσεν: ἐὰν μὲν διὰ τοῦ ε τὸ ἔπεσεν, οἱονεὶ ἐπλησίασέ τις τοῖς οἴκοις φονικὸς δαίμων δι' αἱμάτων τιμωρίαν ποιούμενος τοῦ πτώματος τοῦ Μυρτίλου· ἐὰν δὲ διὰ τῆς αι διφθόγγου, ἀντὶ τοῦ ἔκρουσεν. ἐὰν ἔλθῃ ὁ Μενέλαος: — MTAB

1549 γράφεται καὶ πέρα: — M[g]

1550 ὀξύπουν: ἀντὶ τοῦ ἀκούσαντα παρά τινος τὴν παροῦσαν δυστυχίαν ἐν τοῖς οἴκοις: — MTAB

1551 συμπεραίνοντες: συνδέοντες, συγκλείοντες, πέρας ἐπιτιθέντες τοῖς μοχλοῖς, τουτέστι ταῖς θύραις: — MTAB

1552 δεινὸν εὐτυχῶν ἀνήρ: δεινόν, φησί, καὶ χαλεπὸν ἀνὴρ εὐτυχῶν, ὅταν ἔχῃ ἔχθραν πρὸς δυστυχοῦντας. ἰδοὺ γάρ, φησί, καὶ σὺ νῦν, Ὀρέστα, δυστυχεῖς ἔχθραν ἔχων πρὸς εὐτυχοῦντα. ἀνὴρ γὰρ εὐτυχὴς πρὸς δυσδαίμονα μαχόμενος ἐπικρατέστερός ἐστι. καὶ Ὅμηρος [H 111]· 'μηδ' ἔθελ' ἐξ ἔριδος σεῦ ἀμείνονι φωτὶ μάχεσθαι': — MTAB

1554 δεινὰ καὶ δραστήρια: ὅ ἐστι χαλεπὰ καὶ δράματος ἄξια. τὸ γὰρ δρᾶσαι ὡς ἐπὶ πολὺ ἐπὶ τοῦ χαλεποῦ τάσσουσι. κατὰ τὸ σιωπώμενον δὲ εἰκὸς ἀπηγγέλθαι τῷ Μενελάῳ τὰ κατὰ τὸν οἶκον γενόμενα: — MTAB

1558 βάξιν: ἀντὶ τοῦ φήμην. ἐνόμιζε γάρ τινα πεπλακέναι ταῦτα: — MA[g]B

---

1 ἀντὶ τοῦ om. AB[1] post ἀνθρωπίνων add. φησὶ A 5 ἐπιλόγῳ Münzel ὀλίγω A 9 φοινικὸς T δράκων A τὴν τιμωρίαν TA 15. 16 scholio quod sequitur adi. B initio add. τὸ δὲ κλῆιθρα συμπεραίνοντες ἀντὶ τοῦ 15 συγκλείοντες om. A 16 ταῖς θύραις τουτέστι τοῖς μοχλοῖς MTB 17—19 δεινὸν—εὐτυχοῦντα om. T 18 δυστυχοῦντα B σὺ] οὐ B 20 δυσδαίμονας TA 20. 21 καὶ—μάχεσθαι om. T 20 καὶ om. A 22 τὰ χαλεπὰ A 23 τὸ πολὺ A καὶ ἐπὶ M post τάσσουσι add. καὶ δεινοῦ A 23—25 κατὰ—γενόμενα om. A 24 ἐπηγγέλθη MT 24. 25 γενόμενα MTB 26. 27 scholio quod praecedit adi. B add. δὲ post βάξιν

ἣν φόβῳ σφαλείς: ἥντινά τις διὰ τὸν φόβον μὴ ἀκριβῶς νοήσας ἤγγειλεν: — MTAB

1559 ἕως τέλους ὑποκρίνεται ὁ Μενέλαος: — M$^1$TB$^1$

ἀλλὰ τοῦ μητροκτόνου: οἴεται ὅτι Ὀρέστης ἔσπειρε φήμην ὡς ἄρα ἡρπάγη ἡ Ἑλένη μέλλουσα τελευτᾶν ὑπ' ἐμοῦ: — MTAB

ἄλλως: τοῦ Ὀρέστου, φησί, φονεύσαντος ἢ κρύψαντος, ἵνα μὴ ταράξῃ, ὑπέθετο αὐτὴν ἡρπάσθαι: — MTAB

1562 ἀλλὰ παῖδ' ἐμήν: εἰ καὶ μὴ τὴν Ἑλένην, ἀλλὰ κἂν τὴν παῖδα: — MTAB$^1$

1565 ᾗ δεῖ ξυνθανεῖν: ᾗτινι, τῇ Ἑλένῃ, δεῖ τοὺς φονέας αὐτῆς ὑπ' ἐμοῦ συναναιρεθῆναι: — MTAB

1567 ταῦτα ἄνωθεν Ὀρέστης ἐκ τοῦ δώματός φησιν: — M$^1$TB

1568 ἐπῆρσαι πέφραξαι ὑψώθης: — M$^1$TB

1569 θριγκῷ: θριγκοὶ καλοῦνται οἱ ἐπικείμενοι λίθοι ταῖς ἐξοχαῖς τῶν δωμάτων. τὰ αὐτὰ δὲ καὶ γεῖσα: — MTB

1570 γεῖσα λέγονται αἱ στεφάναι τῶν οἴκων: — M$^g$TB

1572 λείπει ὁ καί· ἅ σ' εἴρξει τῆς σπουδῆς καὶ τοῦ περᾶν ἔσω τῶν οἴκων: — M$^1$TAB

† ἄλλως: ἃ, κλεῖθρα, τῆς εἰς μάχην σπουδῆς ἀποπαύσει καὶ ἀποκωλύσει σε καὶ τοῦ μὴ ἔσω τῶν οἰκοδομημάτων εἰσελθεῖν: — B

περισσὸς ὁ μή: — M$^g$B$^1$

1573 ἔα· τί χρῆμα: κάτωθεν ἀναβλέψας ὁ Μενέλαος ὁρᾷ πῦρ ἀναπτόμενον καὶ ξίφος ἐπικείμενον τῷ τῆς Ἑρμιόνης αὐχένι: — MTAB

1575 ἐπίφρουρον: ἐπικείμενον παρόσον οἱ φρουροῦντες ἐπίκεινται τοῖς φρουρουμένοις: — MTA

---

1. 2 scholio quod praecedit adi. B initio add. τοῦτο γὰρ δηλοῖ τὸ ἣν φόβωι σφαλεὶσ ἀντὶ τοῦ  1 τὸν om. A  2 in fine add. ἐνόμισα γάρ τινα πεπλακέναι ταῦτα MT ἐνόμιζε γὰρ ὡσ εἴρηταί τινὰ ταῦτα πλάσασθαι B  3 ὁ om. T  4 ὅτι] ὡσ ὁ A  ἔπειρε M διέσπειρε A  5 ἡ om. TB  6 κρύψαντοσ ἢ φ. B  μὴ Laur. 32, 33 με MTAB  8. 9 in fine add. ῥ̈ B$^1$  10 τῇ om. B  11 συναναιρεθῆναι post δεῖ coll. B  13 ὑψωθήσω M$^1$  15 τὰ αὐτὰ] ταῦτα M  δὲ] γὰρ T  γεῖσαι MB  16 cf. Hesych. s. v. γεῖσον Suid., praeterea et. m. p. 455,55 Phot. s. v. θριγκός (= schol. Plat. reip. 7 p. 534 e Suid.)  γεῖσαι M$^g$ om. T  λέγονται νῦν B  17 ἅ σ'] ὅσ' M$^1$  22 ὁρῶ T  23 post ἀναπτόμενον add. ἐκ τῆσ οἰκίασ A τὸ ξίφοσ A  ἐπικείμενον] ἐπαρτῶντα τὸν ὀρέστην A

1582 λυπράν γε τὴν ἄρνησιν: τουτέστι· λυποῦμαι ἀρνούμενος. τουτέστιν· ἀρνοῦμαι ἄρνησιν λυπηράν: — MTB

ἀντὶ τοῦ εἴθε: — M$^{i}$

τὸ ἑξῆς· εἰ γὰρ ὤφελον τὴν Ἑλλάδος μιάστορ' εἰς Ἅιδου βαλεῖν: — M$^{i}$TAB

1583 τί χρῆμα: ποῖον, φησί, πρᾶγμα ὤφελες δεδρακέναι· φοβεῖς με γὰρ τοῦτο εἰπών: — MTAB

1588 ὁ Ἀγαμέμνονος. τοῦτο δέ φησιν, ὅτι τῇ ἀνελούσῃ αὐτὸν ἐσπούδασε βοηθῆσαι καὶ οὐχὶ τῷ Ὀρέστῃ: — M$^{i}$TAB

λείπει τὸ ἐγώ εἰμι: — M$^{g}$

1596 ὡς μή γ' ἔχῃς: πορθήσω, φησί, τὸν οἶκον, ἵνα μὴ σὺ τοῦτον ἔχῃς· καὶ οὐ τοῦτο μόνον, ἀλλὰ καὶ ἐπισφάξω ταύτην τῷ πυρί, τουτέστι· τῷ πυρὶ πρήσω τὸν οἶκον μετὰ τὸ ἀποκτεῖναι τὴν Ἑρμιόνην: — MTAB

1602 εὖ γοῦν θίγοις ἂν χερνίβων: ἐν ἤθει, ἐπεὶ οἱ βασιλεῖς ἔθυον. ἐὰν γοῦν, φησί, βασιλεύσῃς, ὁσίως καὶ οὐκ ἐναγῶς ἅψῃ τῶν χερνίβων. πῶς ἔχεις θυσίαν ποιεῖν. καὶ πῶς, φησίν, οὐκ ἀσεβὲς ἐναγῆ σε ὄντα χερνίβων ἅπτεσθαι, ἢ θύειν θεοῖς: — MTAB

διὰ τί, φησίν, οὐ δικαίως θίγοιμι τῶν χερνίβων: — M$^{i}$TA$^{g}$B$^{i}$

1603 καὶ σφάγια πρὸ δορός: ὑπὸ δορὸς, ὅ ἐστιν ὑπὸ ξίφους. εὖ γοῦν καὶ σφάγια καταβάλοις. πάλιν δὲ καὶ τοῦτο ἠθικῶς. πρὸ δορὸς δὲ ἀντὶ τοῦ πρὸ πολέμου· εἰώθασι γὰρ οἱ βασιλεῖς εἰς πόλεμον μέλλοντες ἐξιέναι πρότερον θύειν τοῖς θεοῖς: — MTAB

σὺ δ' ἂν, φησί, θύσειας ἁγνῶς ὡς μὴ μιαρὸς ὤν: — M$^{i}$TA$^{g}$B$^{i}$

1604 τοῦ φόνου τῆς μητρὸς δηλονότι: — M$^{i}$TA$^{g}$B$^{i}$

1605 ὡς μιαρὸν δηλονότι: — M$^{i}$TA$^{g}$B$^{i}$

τουτέστι· διὰ τὸ βεβοηθηκέναι με τῷ πατρί: — M$^{i}$TA$^{g}$B$^{i}$

1606 καλήν γε οὖσαν, τιμῶν δηλονότι. ἐγὼ οὖν μὴ ἔχων καλὴν ἀπέκτεινα· διὸ καὶ ἀτυχῶ: — M$^{i}$TA$^{g}$B

---

1 τουτέστι] ἀντὶ τοῦ B λυπούμενοσ T 4 scholio 1. 2 adi. B add. δὲ post τὸ εἰς—βαλεῖν om. A 6 ποῖον γὰρ TA ὤφειλεσ MTAB 7 γάρ με TA 8 post A. add. βοηθὸσ λείπει τὸ ἐγώ εἰμι B 9 βοηθῆσαι om. A 16 οὖν MTB ὅσιοσ MTA ἐναγῆσ TA εναργῆσ M 17 post ἔχεις add. φησὶ B καὶ—φησίν] ἆρα γὰρ B 18 ἐναγεῖσ ἐόντα M ἢ] καὶ AB 20. 21 ὑπὸ δορὸς—καταβάλοις om. A 21 γὰρ MTB 22 πρὸ—δὲ] ἢ τὸ πρὸ δορὸσ B γὰρ om. M 27 τουτέστι om. A$^{g}$ 28 γὰρ M$^{i}$TA$^{g}$ τιμῶν εὐδαίμων ἔφυ δηλονότι B τιμὴν δηλονότι M$^{i}$T δηλονότι τιμὴν A$^{g}$

1607 οὐδαμῶς: — M$^g$B$^i$

οὐ γὰρ ἀνδάνουσιν: αὕτη γὰρ ἥμαρτε, φησί· διὸ κἀγὼ οὐκ εὐδαιμονῶ: — MTA$^g$B$^i$

1608 ἀντὶ τοῦ· ἐψεύσω τῆς ἐλπίδος: — M$^1$A$^g$B$^i$

1610 παροιμιῶδες τὸ ἡμιστίχιον: — M$^1$TA$^g$B$^i$

1612 ἐὰν μὴ πείσω: — M$^1$TA$^g$B$^i$

οὕτως κέκριται: — M$^1$TA$^g$B$^i$

1614 εἴθε: — M$^g$B$^i$

1616 ὅτε σε ἠξίουν βοηθῆσαί μοι: — A$^g$B$^i$

1617 ἔχεις με: ἀντὶ τοῦ· περιγέγονάς μου, ὡς ἐπὶ τῆς συνηθείας λέγομεν· ἔχεις με ἔσω. ὅτι ἐχειρώσατο τὴν Ἑρμιόνην: — M$^1$TA$^g$B

σὺ σαυτὸν δυνάμει κατηγωνίσω κακὸς γενόμενος πρὸς με: — M$^1$B$^1$

1620 γράφεται γεῖσα τεκτόνων πόνον: — M$^1$

1621 ἱππίου τ' Ἄργους κτίται: οἰκήτορες. ἀντὶ τοῦ οἰκηταί. τοιοῦτον δέ ἐστι καὶ τὸ 'συὸς ὀρεικτίτου' παρὰ Πινδάρῳ [frg. 313], ἀντὶ τοῦ ὀρειοίκου· καὶ τὸ 'ἐύκτιτον ἄστυ' Ὅμηρος, ἀντὶ τοῦ εὐκατοίκητον πόλιν: — MTAB

1623 πᾶσαν γὰρ ὑμῶν: πᾶσαν γὰρ ὑμῶν οὗτος πόλιν βιάζεται διὰ τὸ ζῆν καὶ αὐτόν, μηδενὸς αὐτῷ συγχωροῦντος: — MT

ἄλλως: οὐδενὸς αὐτῷ συγχωροῦντος ζῆν οὗτος βιάζεται ἀδίκως τούτου τυχεῖν βουλόμενος, τοῦ ζῆν: — MTAB$^i$

1625 τοῦ φρονήματος: — M$^g$

1627 σύ θ' ὃς ξιφήρης: παῦσαι ὀργιζόμενος, ἵνα ἀκούσῃς: — MB

1630 διὰ τὴν ὀργὴν τὴν πρὸς Μενέλαον: — M$^1$TB$^i$

1637 σύνθακος ἔσται ναυτίλοις σωτήριος: ὅτι καὶ ἡ Ἑλένη τοῖς χειμαζομένοις κατὰ θάλασσαν ἐπήκοός ἐστι κατὰ Εὐριπίδην, σεσημείωται. ὁ μέντοι Σωσίβιος [frg. 16] ἔμπαλιν οἴεται οὐκ εὐμενῶς αὐτὴν

---

6 πείσησ M$^1$TB$^i$ 10 ἐν τῇ συνηθείᾳ A$^g$ 11 ἔχει M$^1$B post ἔσω add. τοῦτο δὲ εἶπεν T τοῦτο δὲ εἶπεν οὕτωσ A$^g$ 12 αὐτὸν M$^1$ δυνάμει om. B$^i$ 14—17 cf. schol. Phoen. 683 Hesych. s. v. κτίμενον κτίσαι et. m. p. 90,47 Gud. p. 47,38 Eust. p. 283,6. 1222,22 14. 15 οἰκήτορες—οἰκηταί] ἀντὶ τοῦ οἰκήτορεσ B 15 δέ om. B ὀρικτίτου B 16 B 592 legitur ἐύκτιτον Αἰπυ καὶ τὸ om. A ὅμηροσ ἐ. ἄ. A 17 εὐκτικὸν M πόλιν om. A 18 ἡμῶν (bis) MT 19 καὶ αὐτοῦ M ἑαυτοῦ T 20 αὐτὸν A post ζῆν add. διὰ τὸ τὴν μητέρα ἀποκτεῖναι B$^i$ οὕτω A 21 τούτου—βουλόμενος] τούτου β. τ. A ἅπασαν τὴν πόλιν ὥστε τυχεῖν B$^i$ 23 post ὀργιζόμενος add. ὦ μενέλαος σύ τε ὀρέστα B in fine add. οὖσ ἥκω κομίζων λόγουσ B 24 μενέλεων M$^1$T 26 ἔσται A 27 ὁ μέντοι] ὅμωσ τοι A σωσίαιοσ A

ἐπιφαίνεσθαι. Πολέμων δὲ ἐν τῷ δ̄ τῶν πρὸς Ἀναξανδρίδην [frg. 76ᵃ] τὴν μὲν τῶν δυοῖν ἀστέρων ἐπιφάνειαν τῶν Διοσκούρων ἀνωμολογῆσθαι, τὴν δὲ * * τῶν λεγομένων Ζοβείρων: — MTAB

1641 ὡς ἀπαντλοῖεν χθονός: ἱστορεῖται ὅτι ἡ γῆ βαρουμένη τῷ πλήθει τῶν ἀνθρώπων ἠξίωσε τὸν Δία ἐλαφρῦναι αὐτῆς τὸ βάρος· τὸν δὲ Δία εἰς χάριν αὐτῆς συγκροτῆσαι τόν τε Θηβαϊκὸν πόλεμον καὶ τὸν Ἰλιακόν, ἵνα τῶν πολλῶν ἀναιρεθέντων κουφισμὸς γένηται. ἑτέραν οὖν, φησίν, ἄγε νύμφην, ἐπεὶ οἱ θεοὶ ταύτην ἀνειλήφασιν, ἣν αὐτοὶ τότε κατέπεμψαν, ἵνα διὰ τὸ ταύτης κάλλος συγκροτησάντων πόλεμον Ἑλλήνων καὶ Φρυγῶν καὶ τῶν πολλῶν ἀναιρουμένων ἐλαφρότερον γένοιτο τῇ γῇ τὸ τῶν ἀνθρώπων βάρος: — MTAB

1643 τὰ μὲν καθ' Ἑλένην: τοὺς θανάτους τοὺς ἐν τοῖς πολέμοις γενομένους, ἵν' ἐπικουφίσειαν, οἱ θάνατοι, τῆς γῆς τὸ βάρος τῶν πολλῶν ἀνθρώπων. ἢ αὐτοὶ οἱ θεοὶ ἐπικουφίσειαν διὰ τῶν θανάτων τὸ βάρος τῆς γῆς: — MTA

1645 Παρράσιον: τὸ Παρράσιον οἱ μὲν πόλιν, οἱ δὲ χώραν εἶναί φασιν ἀπὸ Παρρασίου τοῦ Πελασγοῦ ὀνομασθεῖσαν, ὃς συνῴκισε τοὺς Ἀρκάδας καὶ Πελασγοὺς αὐτοὺς ἐπωνόμασεν. ὁ δὲ Ἀσκληπιάδης [frg. 15] ἐν Ἀρκαδίᾳ φησὶ τὸν Ὀρέστην ὑπὸ ὄφεως ἀναιρεθῆναι ἑβδομήκοντα ἐτῶν: — MTAB

ἐνιαυτοῦ κύκλον: ἰδίως ὁ Εὐριπίδης ἐνιαυτίσαι τὸν Ὀρέστην ἐκεῖ φησιν: — MTAB

ἄλλως: ποιήσαντα κύκλον ἐνιαυτοῦ. καὶ ὁ μὲν Εὐριπίδης ἐνθάδε ἐξενιαυτίσαι ⟨φησὶν αὐτὸν ὁμοίως⟩ τοῖς κατεχομένοις ἐπὶ μύσει, ὁ δὲ

1 δὲ καὶ MTB τῷ δ̄ τῶν Cobet τῶδε τῶ MT (altero τῶ deleto) A τῶιδε τῶι B 2 δύο A τοῖν δυοῖν ἀστέροιν Cobet τῶν] αὐτῶν T 2. 3 ἀνωμολογῆσθαι—Ζοβείρων om. MTB 3 ἀνομολογεῖσθαι Laur. 32, 33 scripserim ἀνομολογεῖται 4—7 desumpta ex schol. A 4 4 βαρυνομένη B 5 ἐπελαφρῦναι A 7 ἰλιαῖον M 8 εἰλήφασιν B 10 ἀναιρεθέντων B 11 τῶν ἀνθρώπων om. A 12. 13 τοῖσ πολεμίοισ M τῶ πολέμω A 13 γινομένουσ A ἐπικουφίσειεν A τὸ] τε M 14 ante διὰ add. τὸ M καὶ ἀφαίροιντο A 16 τὸ om. A 16. 17 οἱ—φασιν] πόλις ἀρκαδίασ A 17 τοῦ om. A ὀνομασθεῖσα MT om. A 18 αὐτοὺς om. A ὠνόμασεν T 18—20 Tzetz. ad. Lyc. p. 1017 21 Εὐριπίδης] ὀρέστησ A ἐνιαυσιαῖον φησὶ τὸν ὀρέστην ἐκεῖ A 21. 22 φησὶν ἐκεῖ B 23—p. 237,7 scholio quod praecedit adi. B pro ἄλλως scripto ἤτοι 23. 24 καὶ—μύσει om. B 24 ἐπιμύσει TA ἐπιλύσει M post κατεχομένοις inseruerim ἔξω τῆς πατρίδος cl. lex. Bachm. p. 117,9

Ἀσκληπιάδης ἱστορεῖ ὑπὸ ὄφεως δηχθέντα αὐτὸν ἐκεῖ τελευτῆσαι. ὁ δὲ Φερεκύδης [frg. 97] ὅτι καὶ ἔπειτα τὸν Ὀρέστην αἱ Ἐρινύες διώκουσιν· ὁ δὲ καταφεύγει εἰς τὸ ἱερὸν τῆς Ἀρτέμιδος καὶ ἵζει ἱκέτης πρὸς τῷ βωμῷ. αἱ δὲ Ἐρινύες ἔρχονται ἐπ' αὐτὸν θέλουσαι ἀποκτεῖναι, καὶ ἐρύκει αὐτὰς ἡ Ἄρτεμις. ἐξ οὗ καὶ ἡ πόλις αὕτη Ὀρέστειον καλεῖται [ἀπὸ Ὀρέστου]. τὸ δὲ Ὀρέστειον τῆς Παρρασίας κεχώρισται καὶ αὕτη πόλις οὖσα τῆς Ἀρκαδίας καὶ κληθεῖσα ἀπὸ Ὀρέστου: — MTAB

1646 κεκλήσεται δὲ σῆς φυγῆς: Πελασγὸς [αὐτόχθων] ὁ Ἀργεῖος ὁ τοῦ Ἀρέστορος τοῦ Ἰάσου ἐλθὼν εἰς Ἀρκαδίαν θηριώδεις ὄντας τοὺς ἀνθρώπους εἰς τὸ ἡμερώτερον μετέβαλε καὶ πόλιν ἔκτισεν, ἣν Παρρασίαν ὠνόμασεν. γυναῖκα δὲ ἀγαγόμενος ἐπιχωρίαν Κυλλήνην, ἀφ' ἧς τὸ ὄρος οὕτως καλεῖται, υἱὸν ἔσχε Λυκάονα, ὃς τὸ τοῦ Λυκαίου Διὸς ἱερὸν εἵσατο ἐν Παρρασίᾳ καὶ παῖδα ἐσχηκὼς ἐξ Ὀρθωσίας Νύκτιμον τὴν ἀρχὴν αὐτῷ καταλείπει, ἐφ' οὗ ὁ κατακλυσμὸς ἐγένετο. μετὰ δὲ ταῦτα βασιλεύει Δωριεὺς υἱὸς Εἰκαδίου καὶ Κορωνείας. οὗτος ἐξ Ἀργείας ἔσχε Παρθίονα· οὗτος ἐξ Ὀρσιλόχης Κητέα καὶ Πάρον· Κητεὺς δὲ ἐκ Στίλβης ἔσχε Καλλιστώ. ταύτην φασὶν ἐκ Διὸς Ἀρκάδα πεποιη-

p. 236,24. 1 ἀσκληπιάδης δὲ A 1 αὐτὸν δηχθέντα B αὐτὸν ἐκεῖ om. A 1—6 ὁ—Ὀρέστου hic om. A sed praeterea habet παρράσιον οἶκον: τὸ παρράσιον οἱ μὲν πόλιν οἱ δὲ χώραν εἶναι φασὶν ἀπο πα⟨ρρασίου⟩ τοῦ υἱοῦ τοῦ ⟨π⟩ελασγοῦ ὀνομασθεῖσαν ἔστι μέντοι τῆς ἀρκαδίας τὸ μέντοι ὀρέστειον τῆς παρασίας κεχώρισται καὶ αὕτη ἡ πόλις κληθεῖσα ἀπὸ ὀρ⟨έστου⟩ οὖ⟨σα τ⟩ῆς ἀρκαδίας καθάπερ φησὶ φερεκύδης ὅτι γὰρ ἐπὶ τὸν ὀρέστην αἱ ἐριννύες διώκουσιν ὁ δὲ καταφεύγει εἰς τὸ ἱερὸν τῆς ἀρτέμιδος καὶ ἵζει ἱκέτης πρὸς τῷ βωμῷ αἱ δὲ ἐριννύες ἔρχονται ἐπ' αὐτὸν μέλλουσαι ἀποκτεῖναι καὶ αὐτὰς ἐρύκει ἡ ἄρτεμις καὶ καλεῖται ὀρέστειον: — 5 καὶ] ὁ M 7 ἐκλήθη B 8 ὁ αὐτόχθων A 9 ὀρέστορος TA ἀρέστερος B ἰασίου A nescio an corrigatur Ἐκβάσου cl. St. B. p. 508,20 Χάραξ δὲ κτίσμα Πελασγοῦ ἐν πρώτῳ χρονικῶν οὕτως· 'Πελασγὸς Ἀρέστορος παῖς τοῦ Ἐκβάσου τοῦ Ἄργου μετοικήσας ἐξ Ἄργους εἰς τὴν ἀπ' ἐκείνου μὲν τότε Πελασγίαν, ὕστερον δὲ Ἀρκαδίαν κληθεῖσαν ἐβασίλευσεν ἔτη εἰκοσιπέντε καὶ πόλιν Παρρασίαν ἔκτισε.' 10 ἄνδρας MTAB 11 cf. Pherecyd. ap. Dion. AR I 13 p. 35 Apollod. III 8,1, 1 Steph. Byz. p. 392,10 ἐπιχωρίαν ἀγόμενος A 12 καὶ τὸ ὄρος A ἴσχει A τὸ om. T 13 ἱδρύσατο B παῖδας MTA ἔσχηκεν A ἐξ ὀρθωνίας M ἐξορθονίας T ἐξορνοθίας A em. L. Dindorf. cf. schol. Pind. Ol. III, 54 14 καὶ τὴν A cf. Apollod. III 8,2,1 15 δὲ om. A 16 scripserim Περθάονα cl. Apollod. III 8, 1, 3 ὀρχιλόχης MTA ἀρχιλόχης B de Ceteo cf. Pherecyd. ap. Apollod. III 8, 2, 2 Araeth. ap. Hyg. astr. II 1,6 de Paro Callim. ap. Steph. Byz. p. 507,2 Heraclid. crit. 8 17 ταύτας A ἄρκαδαν M ἀρκάδαν T

κέναι, ὃς ἄρξας τῆς χώρας Ἀρκαδίαν ὠνόμασε· γήμας δὲ Λεάνειραν ἔσχεν Ἔλατον Ἀφείδαντα Ἀζᾶνα. τούτων ἀρξάντων τῆς χώρας ὁ Ἀζὰν ἀπ' αὐτοῦ τὴν ἰδίαν μοῖραν Ἀζανίαν ὠνόμασεν. Ἀρκάδες οὖν πάντες κοινῇ ἐκαλοῦντο· μέρος δὲ τούτων Ἀζᾶνες: — MTAB

τῷ μερικῷ τὸ ὅλον ἐπήγαγεν. Ἀζᾶνες γάρ ἐστι μέρος Ἀρκαδίας. καὶ Ὀρέστειον δὲ πόλις Ἀρκαδίας ὀνομασθεῖσα ἀπὸ Ὀρέστου οἰκήσαντος ἐκεῖσε: — MTAB

1648 ἐνθένδε τ' ἐλθών: περὶ τῆς Ὀρέστου κρίσεως ἐν Ἀρείῳ πάγῳ ἱστορεῖ καὶ Ἑλλάνικος [frg. 82 cf. FHG III p. 375] ταῦτα γράφων· 'τοῖς ἐκ Λακεδαίμονος ἐλθοῦσι καὶ τῷ Ὀρέστῃ οἱ Ἀθηναῖοι * * * ἔφρασαν. τέλος δὲ ἀμφοτέρων ἐπαινούντων οἱ Ἀθηναῖοι τὴν δίκην ἐνέστησαν ἐννέα γενεαῖς ὕστερον ἢ τὴν Ἄρει καὶ Ποσειδῶνι περὶ Ἁλιρροθίου δίκην, μετὰ δὲ τὴν Κεφάλου τοῦ Δηιονέως, ὅστις τὴν Πρόκριν τὴν Ἐρεχθέως ἔχων γυναῖκα καὶ ἀποκτείνας ἐξ Ἀρείου πάγου δίκην [ὡς] δικασθεὶς ἔφυγεν, ἓξ γενεαῖς ὕστερον. μετὰ δὲ τὴν Δαιδάλου δίκην Τάλω τὸν ἀδελφιδοῦν σοφίας πέρι ἀγωνιζόμενον ἀποκτείναντος δολόεντι θανάτῳ καὶ φυγόντος δίκην τρισὶ γενεαῖς ὕστερον αὕτη ἡ τῆς Κλυται-

1 Ἀρκαδίαν om. M 2—4 cf. Paus. VIII 4,2 X 9,5 Apollod. III 9, 1, 1 2 Ἀφείδαντα om. A ἐξανᾶν M ἀζάναν T ἀξαιαν A 2. 3 cf. Steph. Byz. p. 30,15 2 ἀζὰν A 3 ἀφ' ἑαυτοῦ A ἀναξίαν A καὶ ἀρκάδες A 4 δέ τι αὐτῶν ἀξόνες A 5 τοῦτο μερικὸν M τὸ μερικὸν T ὅλον] ἰδικὸν A ἀξάνες A ἀζὰν MTB γὰρ om. MT μέρος ἐστὶ B ἔθνος A τῆς ἀρκαδίας B 6 τὸ ὀρέστειον A ὠνομας M (superscr. θ) ὠνομάσθη T ὀνομασθὲν A 6. 7 οἰκήσαντος ἐκεῖσε om. A 9. 10 γράψας ταῦτα A 11 ἔφρασαν] ἐχρημάτισαν Kirchhoff Herm. 8 p. 184 sq. plura excidisse crediderim οἱ Ἀθηναῖοι] οἱ Ἀρεοπαγῖται Kirchhoff, proposuerim οἱ Ἀθηναῖοι ἐν Ἀρείῳ πάγῳ 11. 12 ἐνέστησαν MTA ἔστησαν B ἔκριναν Kirchhoff 12 ἢ τὴν] δὲ μετὰ τῶ MT δὲ τὴν A δὲ B μετὰ τὴν Kirchhoff ἄρει τὲ A ἄρης B ποσειδῶν B 12. 13 ἀλλιρόθου M ἀλλιροθίου T ἀλιρροθίας A 13 post δίκην add. γενομένην Kirchhoff μετὰ δὲ τὴν A εισ M (superscr. τ) εἶτα TB κεφαλὴν τοῦ δηιόνος A κέφαλος ὁ δηιονέως MB κέφαλος δήιος ἕως T τὴν om. B 15 δικαστῆς θεὶς A καταδικασθεὶς Kirchhoff γενεὰς M γενεᾶς T γενέας A 16 Τάλω — ἀγωνιζόμενον] καλοσοφίας περιαγομένου ἀδελφιδοῦν MA κάλλος σοφίας περιαγομένου ἀ. T ἀδελφιδοῦν τάνταλον B Τάλω σοφίας πέρι ἀγωνιζόμενον τὸν ἀδελφιδοῦν Kirchhoff Meursium secutus δολοῦντι T 17. p. 239,1 τῆς κλυταιμνήστρας A κλυταιμνήστρα MTB

μνήστρας τῆς Τυνδάρεω Ἀγαμέμνονα ἀποκτεινάσης δίκη ὑπὸ Ὀρέστου ἐγένετο': — MTAB

1651 πάγοισιν ἐν Ἀρείοισιν: ἐνταῦθα πρῶτον μὲν Ἄρης καὶ Ποσειδῶν ἠγωνίσαντο, δεύτερον δὲ μετὰ τρεῖς γενεὰς Κέφαλος ⟨ὁ⟩ Δηιονέως ἐπὶ γυναικὶ Πρόκριδι καὶ μετὰ τρεῖς Δαίδαλος ἐπὶ τῷ ἀδελφιδῷ Τάλῳ, εἶτα μετὰ τρεῖς Ὀρέστης, ὡς Ἑλλάνικος: — MTA

† ἄλλως: Ἀθήνησιν ἐν Ἀρείῳ πάγῳ συνέστη ἡ κρίσις πρὸς Εὐμενίδας τῷ Ὀρέστῃ ἐπὶ τῷ φόνῳ τῆς μητρὸς αὐτοῦ καὶ μετὰ τὴν κρίσιν ἐπανελθὼν Ἄργους ἐβασίλευσεν. ἐδίκασαν δὲ Ἀθηνᾶ καὶ Ἄρης: — TA

1654 Ὀρέστου καὶ Ἑρμιόνης Τισαμενός, Πυλάδου καὶ Ἠλέκτρας Στρόφιος καὶ Μέδων: — MB¹

παρὰ Φερεκύδους τοῦτο ἔλαβεν ὁ Εὐριπίδης * * ἐπεὶ Νεοπτολέμῳ αὐτὴν συνῴκισε καὶ ἀπέθανε * * τῶν δὲ γίνεται Τισαμενός. ὁ μέντοι Εὐριπίδης νῦν οὐδόλως φησὶ γῆμαι τὸν Νεοπτόλεμον τὴν Ἑρμιόνην: — M¹TA

1655 Νεοπτόλεμος γαμεῖ νιν: οὐκ ἐγάμησεν αὐτὴν κατὰ τοῦτο ὅτι τέκνα οὐκ ἔσχεν ἀπ' αὐτοῦ. καὶ ὁ μὲν Εὐριπίδης διὰ τοῦτο ἀνῃρῆσθαί φησι τὸν Νεοπτόλεμον ὑπὸ τῶν Δελφῶν ὅτι παρεγένετο εἰς Δελφοὺς δίκας ἀπαιτήσων τὸν θεὸν ὑπὲρ τῆς τελευτῆς τοῦ πατρὸς αὐτοῦ. Φερεκύδης δέ φησι περὶ παίδων χριώμενον τὸν Νεοπτόλεμον ἀναιρεθῆναι γράφων οὕτως [frg. 98]· 'ἐπεὶ Νεοπτόλεμος Ἑρμιόνην γαμεῖ τὴν Μενέλεω, κατέρχεται εἰς Δελφοὺς περὶ παίδων χρησόμενος· οὐ γὰρ αὐτῷ ἐγένοντο ἐξ

1 τῆσ MTA ἡ B  τυνδάρεωσ TAB  ἀγαμέμνονοσ MT  ἀποκτεινάσησ MTA ἀποκτείνασα B  p. 238,17. 1 post ὕστερον distinguit, ἡ deleuit, Κλυταιμνήστρᾳ τῇ T. Ἀ. ἀποκτεινάσῃ scripsit Kirchhoff  1. 2 ὑπὸ ὀρέστου δίκη ἐγένετο MTA καὶ ὑπὸ ὀρέστου ἀποκτανθεῖσα συγκροτηθῆναι δίκην τῶι ὀρέστηι ὑπὸ εὐμενίδων παρεσκεύασεν ὃσ μετὰ τὴν κρίσιν ἐπανελθὼν ἄργουσ ἐβασίλευσεν ἐδίκασαν δὲ ἀθηνᾶ καὶ ἄρησ B  4 δὲ om. T  τρίτησ A  δηιόνοσ MTA  5 τρίτην A  ἐπὶ τῷ] ἐτῶ M  ἀδελφιδᾶ T  ταντάλω M τάλλῳ T  6 τρίτην A  9 ἐβασίλευεν T  10 in fine add. ἐξ αὐτῶν γίνεται τισαμενόσ A  11. 12 cf. Hellanic. ap. Paus. II 16,7  scholio p. 235,22 adi. M  12 ὁ στρόφιοσ M  13 φερεκύδη T  τοῦτο T τοῦ M¹ αὐτῶ A  ὁ Εὐριπίδης om. A  14 συνώκησεν M¹A  γίνεται] γαρ M¹ γὰρ A, spatio relicto om. T  15 νῦν δ' M¹ νῦν δὲ T  17 — p. 240,3 cf. schol. Pind. Nem. VII 62  18 post αὐτοῦ add. δὲ καὶ ὁ γάμοσ A  20 δίκαια T  τῶν θεῶν T  22 γράφει T  23 κατέρχεται] καὶ ἔρχεται MTAB  αὐτὸ M

Ἑρμιόνης. καὶ ὡς ὁρᾷ κατὰ τὸ χρηστήριον κρέα διαρπάζοντας τοὺς Δελφοὺς, ἀφαιρεῖται τὰ κρέα αὐτοὺς, αὐτὸν δὲ κτείνει Μαχαιρεὺς ὁ τούτων ἱερεύς. καὶ αὐτὸν κατορύσσει ὑπὸ τὸν οὐδὸν τοῦ νεῴ'. ταῦτα γενεαλογεῖ καὶ Σοφοκλῆς [FTG p. 140]: —

1659 ἀντὶ τοῦ· συμβιώσεται αὐτῇ μέχρι τέλους: — $M^1$

ὁ δ' ἐπιὼν νιν: τὸ νίν καὶ ἐπὶ πληθυντικοῦ τάσσειν εἴωθεν. ἢ ἐπὶ μόνου Πυλάδου κεῖται: — $MTAB^1$

1663 δεῦρ' ἀεὶ διήνυσε: ἀντὶ τοῦ ἕως τούτου τοῦ χρόνου, ὡς καὶ ἐν Φοινίσσαις [1209]· 'ἔα τὸ λοιπόν· δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖς'. ἀντὶ τοῦ μέχρι τούτου· τὸ δὲ διήνυσεν ἀντὶ τοῦ κατηνάλωσεν: — MTAB

1668 καίτοι μ' ἐσῄει: περιδεὴς, φησὶν, ἦν ἐγὼ μὴ ἄρα δαίμων τις ᾖ τῶν ἀλαστόρων καὶ οὐχὶ σὺ ὁ προστάξας με μητροκτονεῖν. νῦν δὲ, φησὶν, αὐταῖς ὄψεσι θεωρῶν ἔχω τὸ πιστόν: — MTAB

1675 κατεγγυῶ: ἀντὶ τοῦ κατεγγυήσω. ὅ ἐστιν· ἐπαγγέλλομαι δώσειν πρὸς γάμον. οὐ νῦν γὰρ δίδωσιν, ἀλλ' ὕστερον τοῦ Ὀρέστου ἐν Ἀρκαδίᾳ διάγοντος μετὰ τὴν Νεοπτολέμου τελευτήν: — MTAB

1677 ἀπολαύσειας: — $M^g B^1$

1678 οἷ: ἀντὶ τοῦ ὅπου ἡμεῖς προστάσσομεν καὶ κελεύομεν: — $M^1$

1680 σπένδομαι δὲ συμφοραῖς: λείπει ἡ ἐπί· ἐπὶ συμφοραῖς. σπένδομαι, φησὶ, φιλίαν πρὸς σὲ, ὦ Μενέλαε, ἐπὶ συμφοραῖς, τουτέστι μετὰ τὰς συμφορὰς καὶ τὰς ἀτυχίας, τοῖς σοῖς, ὦ Ἄπολλον, πειθόμενος κελεύσμασιν: — MTAB

1682 ἴτε νῦν: τοῦτό φησιν, ἐπεὶ [ἐπὶ] τὰ Πελοποννησιακὰ ἐνέστη τῇ Ἑλλάδι· πρεσβευσαμένων γὰρ τῶν Λακεδαιμονίων οὐ προσήκαντο τὰς σπονδὰς οἱ Ἀθηναῖοι: — $MTB^1$

θεὸν Εἰρήνην τιμῶντες: τοῦτό φησι διὰ τὸ κατ' ἐκεῖνον τὸν

---

1 ὡς om. MTB διαρπάζοντα MT 2 αὐτοῖς A ἑαυτὸν MTAB κτεῖναι B Μαχαιρεὺς ὁ Leopardus μαχαίρα ὁ δὲ TAB de M non constat 3 καὶ add. Leopardus κατορύσσει αὐτὸν B 3. 4 cf. schol. δ4 5 αὐτὴν $M^1$ 6. 7 multa detrita in M 6 νῦν T μόνου πληθυντικοῦ A εἰώθασιν A 7 τοῦ πυλάδου T 8—10 multa detrita in M 8 initio add. δεῦρο B 10 κατανάλωσεν A 12 ἄρα] ὅρα B 20 λείπει — συμφοραῖς om. B sed habet $B^1$ 21 ταῖς συμφοραῖς A 22 τὰς ἀτυχίας om. A πείθομαι MTAB 24 ἐνέστη] ἐνόσει $MTB^1$ 25 ἡ ἑλλάς $MTB^1$ γὰρ] δὲ $MTB^1$ 27 θεῶν A τοῦ M

καιρὸν ἐνεστηκέναι τὰ Πελοποννησιακά· πρεσβευομένοις γὰρ Λακεδαιμονίοις περὶ εἰρήνης οὐκ ἐπείσθησαν Ἀθηναῖοι: — MTA

1687 οὕτως ὠνομάζετο ἡ τοῦ Ἡρακλέους γυνή: — MB[1]

λείπει τὸ οὖσα: — M[g]B[1]

1689 γράφεται ὑγρᾶς: — M[1]

1691 ὦ μέγα σεμνή: τοῦτο παρὰ τοῦ χοροῦ ἐστι λεγόμενον ὡς ἐκ προσώπου τοῦ ποιητοῦ: — MTAB[1]

ἡ κατάληξις τῆς τραγῳδίας ἢ εἰς θρῆνον ἢ εἰς πάθος καταλύει, ἡ δὲ τῆς κωμῳδίας εἰς σπονδὰς καὶ διαλλαγάς. ὅθεν ὁρᾶται τόδε τὸ δρᾶμα κωμικῇ καταλήξει χρησάμενον· διαλλαγαὶ γὰρ πρὸς Μενέλαον καὶ Ὀρέστην. ἀλλὰ καὶ ἐν τῇ Ἀλκήστιδι ἐκ συμφορῶν εἰς εὐφροσύνην καὶ ἀναβιωτήν. ὁμοίως καὶ ἐν Τυροῖ Σοφοκλέους [FTG p. 217] ἀναγνωρισμὸς κατὰ τὸ τέλος γίνεται, καὶ ἁπλῶς εἰπεῖν πολλὰ τοιαῦτα ἐν τῇ τραγῳδίᾳ εὑρίσκεται: — MTAB

πρὸς διάφορα ἀντίγραφα παραγέγραπται ἐκ τοῦ Διονυσίου ὑπομνήματος ὁλοσχερῶς καὶ τῶν μικτῶν: — MTB

---

1 γὰρ om. M 1. 2 περι εἰρήνησ λακεδαιμονίοισ περι εἰρήνησ M 3 οὕτωσ] ἥβη B[1] τοῦ om. B[1] 4 scholio quod praecedit adi. B[1] add. δὲ post λείπει in fine add. πάρεδροσ οὖσα B[1] 6 ἐστι om. A 9 εἰς] εἰ M τόδε om. T 10 κωμικὸν MT διαλλαγὰσ B post γὰρ addiderim γίνονται 12 τύροισ MTAB 13 τῇ om. A 15 ἐκ δὲ T διονυσ.. M σί ex corr. T 16 μικ..ν M

# ΥΠΟΘΕΣΙΣ ΦΟΙΝΙΣΣΩΝ

Ἐτεοκλῆς παραλαβὼν τὴν Θηβῶν βασιλείαν ἀποστερεῖ τοῦ μέρους τὸν ἀδελφὸν Πολυνείκην. φυγὰς δὲ εἰς Ἄργος ἐκεῖνος παραγενόμενος ἔγημε τὴν θυγατέρα τοῦ βασιλέως Ἀδράστου κατελθεῖν εἰς τὴν πατρίδα φιλοτιμούμενος καὶ πείσας τὸν πενθερὸν συνήθροισεν ἀξιόχρεων στρατὸν ἐπὶ Θήβας κατὰ τοῦ ἀδελφοῦ. ἡ δὲ μήτηρ Ἰοκάστη ἔπεισεν αὐτὸν ὑπόσπονδον εἰσελθεῖν εἰς τὴν πόλιν καὶ διαλεχθῆναι πρότερον πρὸς τὸν ἀδελφὸν περὶ τῆς ἀρχῆς. δεινοπροσωπήσαντος δὲ ὑπὸ τῆς τυραννίδος τοῦ Ἐτεοκλέους ἡ μὲν Ἰοκάστη συναγαγεῖν τὰ τέκνα εἰς φιλίαν οὐκ ἠδύνατο, Πολυνείκης δὲ ὡς πρὸς πολέμιον λοιπὸν παραταξόμενος ἀνεχώρησε τῆς πόλεως. ἔχρησε δὲ ὁ Τειρεσίας νίκην ἔσεσθαι τοῖς Θηβαίοις, ἐὰν ὁ παῖς Κρέοντος Μενοικεὺς σφάγιον Ἄρει γένηται. ὁ μὲν οὖν Κρέων ἠρνήσατο ἐπιδοῦναι τῇ πόλει τὸν παῖδα, ὁ δὲ νεανίσκος ἐβούλετο καίτοι τοῦ πατρὸς αὐτῷ φυγὴν μετὰ χρημάτων διδόντος ἑαυτὸν ἀποσφάξαι καὶ δὴ καὶ ἔπραξε. Θηβαῖοι δὲ τοὺς ἡγεμόνας τῶν Ἀργείων ἔσφαξαν· Ἐτεοκλῆς δὲ καὶ Πολυνείκης μονομαχήσαντες ἀνεῖλον ἀλλήλους. ἡ μὲν οὖν μήτηρ αὐτῶν εὑροῦσα νεκροὺς τοὺς υἱοὺς ἔσφαξεν ἑαυτήν, ὁ δὲ ταύτης ἀδελφὸς Κρέων παρέλαβε τὴν βασιλείαν, οἱ δὲ Ἀργεῖοι νικηθέντες τῆς μάχης ἀνεχώρησαν. Κρέων δὲ δυσχερῶς φέρων τοὺς μὲν ὑπὸ τῇ Καδμείᾳ τῶν πολεμίων πεσόντας οὐκ ἔδωκεν εἰς ταφὴν, Πολυνείκην δὲ ἀκήδευτον ἔρριψεν, Οἰδίπουν δὲ φυγάδα τῆς πατρῴας ἀπέπεμψεν, ἐφ' ὧν μὲν οὐ φυλάξας τὸν ἀνθρώπινον νόμον, ἐφ' ὧν δὲ τὴν ὀργὴν λογοποιήσας οὐδὲ παρὰ τὴν δυστυχίαν ἐλεήσας: — MAB

---

2 τῶν θηβῶν B  4 τὴν om. AB  5 ἀξιόλογον B  6 post ἀδελφοῦ ins. καὶ εἰσ θήβας ἐλήλυθεν B  9 τοῦ om. A  9. 10 ἠδύναντο M ἴσχυσε A  10 λοιπὸν] ἐχθρὸν A  παραταξάμενοσ MAB em. Kirchhoff  11 θέσθαι MAB em. Barnes  13 ἐβουλεύετο Kirchhoff  καίτοι Dindorf καὶ MAB καίπερ Kirchhoff  14 ἀπέσφαξε MAB em. Kirchhoff  16 ἐτεοκλέουσ MAB πολυνείκουσ MAB  μονομαχήσαντοσ MAB  18 δὲ] τε B  20. 21 πολυνείκη M  22 οὐ om. MAB add. Byzantini

περιπαθεῖς ἄγαν αἱ Φοίνισσαι τῇ τραγῳδίᾳ. ἀπώλετο γὰρ ὁ Κρέοντος υἱὸς ἀπὸ τοῦ τείχους ὑπὲρ τῆς πόλεως ἀποθανών, ἀπέθανον δὲ καὶ οἱ δύο ἀδελφοὶ ὑπ' ἀλλήλων, καὶ Ἰοκάστη ἡ μήτηρ ἀνεῖλεν ἑαυτὴν ἐπὶ τοῖς παισί, καὶ οἱ ἐπὶ Θήβας στρατευσάμενοι Ἀργεῖοι ἀπώλοντο, καὶ ἄταφος Πολυνείκης πρόκειται, καὶ ὁ Οἰδίπους τῆς πατρίδος ἐκβάλλεται καὶ σὺν αὐτῷ ἡ θυγάτηρ Ἀντιγόνη. ἔστι δὲ τὸ δρᾶμα καὶ πολυπρόσωπον καὶ γνωμῶν μεστὸν πολλῶν τε καὶ καλῶν: — MAB

τὸ δρᾶμά ἐστι μὲν ταῖς σκηνικαῖς ὄψεσι καλόν, ἔστι δὲ καὶ παραπληρωματικόν· ἥ τε ἀπὸ τῶν τειχέων Ἀντιγόνη θεωροῦσα μέρος οὐκ ἔστι δράματος, καὶ ⟨ὁ⟩ ὑπόσπονδος Πολυνείκης οὐδενὸς ἕνεκα παραγίνεται, ὅ τε ἐπὶ πᾶσι μετ' ᾠδῆς ἀδολέσχου φυγαδευόμενος Οἰδίπους προσέρραπται διὰ κενῆς: — MAB

χρησμός:

Λάιε Λαβδακίδη, παίδων γένος ὄλβιον αἰτεῖς·
τέξεις μὲν φίλον υἱόν· ἀτὰρ τόδε σοι μόρος ἔσται,
παιδὸς ἑοῦ χείρεσσι λιπεῖν βίον· ὣς γὰρ ἔνευσε
Ζεὺς Κρονίδης Πέλοπος στυγεραῖς ἀραῖσι πιθήσας,
οὗ φίλον ἥρπασας υἱόν· ὁ δ' ηὔξατό σοι τάδε πάντα: — MAB

τὸ τῆς Σφιγγὸς αἴνιγμα:

ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
καὶ τρίπον· ἀλλάσσει δὲ φυὴν μόνον ὅσσ' ἐπὶ γαῖαν

---

4 θήβαις M 6 δὲ om. A 7 γνωμῶν π. μ. MA π. γ. μ. B em. Dindorf 8 ἔστι δὲ Kirchhoff ἐπεὶ δὲ A ἐπεὶ MB 11 ὁ οἰδίπους MAB em. Brunck 11. 12 προσέρριπται MAB em. Tyrwhitt 12 κενοῦ MA
13—18 extat in cod. Laurent. 32,9 sub fine Sophoclis O. T. (fol. 49v) anth. Pal. 14,67 13 χρησμὸς in mg. MA χρησμὸς δοθεὶς λαΐωι B 15 τέξεις μὲν MAB δώσω τοι Laur. 172 Laur. 32,9 anth. τόδε σοι μόρος ἔσται MAB πεπρωμένον ἐστὶ Laur. 172 anth. π. εστὶν Laur. 32,9 16 παιδὸς ἑοῦ MAB παιδὸς Laur. 172 σοῦ παιδὸς Laur. 32,9 anth. χείρεσσι Laur. 32,9 χείρεσι MAB Laur. 172 anth. λείψειν anth. βίον MAB Laur. 172 φάος Laur. 32,9 anth. γὰρ ἔνευσε MB Laur. 32,9 γὰρ ἔνεσπε A ἐπένευσε Laur. 172 γὰρ ἔνευσα anth. 17. 18 om. anth. 17 στυγεραῖσιν A Laur. 172
19—p. 244,3 extat ap. Ath. X p. 456B in cod. Laur. 32,9 anth. Pal. 14,64 schol. Phoen. 50 Tzetz. ad Lycophr. p. 282 20 γῆν MA τετράπουν MAB Laur. 172 Ath.*) 21 τρίπουν MA Laur. 172 Ath. φυὴν μόνην A φωνὴν μόνον B βοὴν μόνον Laur. 32,9 anth. φύσιν μόνον Ath. φύσιν supra scr. ἦν Ath. C (= epitomae cod. Paris.) μόνον φύσιν schol.

*) Athenaei lectiones mihi praestitit G. Kaibel

ἑρπετὰ γίνονται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν πλεόνεσσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα μένος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ: — MAB

Λάιος ἀπὸ Θηβῶν παραγενόμενος κατὰ τὴν ὁδὸν ἐθεάσατο Χρύσιππον τὸν υἱὸν τοῦ Πέλοπος. τούτου ἐρασθεὶς ἠξίου αὐτὸν παραγενέσθαι εἰς Θήβας σὺν αὐτῷ. τοῦ δὲ μὴ τοῦτο ποιῆσαι βουληθέντος ἥρπασεν αὐτὸν ὁ Λάιος λάθρα τοῦ ἑαυτοῦ πατρός. ἐπὶ πολὺ δὲ αὐτοῦ θρηνοῦντος διὰ τὴν τοῦ παιδὸς ἀπώλειαν ὕστερον ἔμαθε καὶ μαθὼν κατηράσατο τῷ αὐτὸν ἀνελόντι μὴ παιδοποιῆσαι· εἰ δὲ τοῦτο γένηται, ὑπὸ τοῦ τικτομένου ἀναιρεθῆναι: — A

Ἀριστοφάνους: * * ἐπιστρατεία τοῦ Πολυνείκους μετὰ τῶν Ἀργείων ἐπὶ Θήβας καὶ ἀπώλεια τῶν ἀδελφῶν Πολυνείκους καὶ Ἐτεοκλέους καὶ θάνατος Ἰοκάστης. ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Ἑπτὰ ἐπὶ Θήβας πλὴν τῆς Ἰοκάστης. † ἐπὶ Ναυσικράτους ἄρχοντος * * δεύτερος Εὐριπίδης * * καθῆκε διδασκαλίαν † περὶ τούτου καὶ γὰρ ταῦτα ὁ Οἰνόμαος καὶ Χρύσιππος † καὶ σῴζεται. ὁ χορὸς συνέστηκεν ἐκ Φοινισσῶν γυναικῶν, προλογίζει δὲ Ἰοκάστη: — Vat. 1345

---

1 γίνονται A Ath. C γείνονται MB Ath. γίνηται Laur. 32,9 anth. Tzetz. γίνεται schol. Laur. 172 κινεῖται Aldina  καὶ ἀν' αἰθέρα Ath. sed ἀνά τ' αἰθέρα Ath. C  2 πλείστοισιν Laur. 32,9 anth. Ath. Tzetz. πλείοσιν Ath. C τρισσοῖσιν schol.  ἐπειγόμενον Laur. 32,9 anth. Tzetz.  3 τάχοσ Laur. 32,9 anth. Ath. schol.  ἀφαυρότερον MAB Ath. C ἀμφότερον Laur. 172  4 κατὰ et ὁδὸν om. A spatio relicto, emendata ex Laur. 32,33  8 μαθὼν ὕστερον A  11 ἀριστοφάνουσ γραμματικοῦ ὑπόθεσισ Vat.  ἡ μὲν ὑπόθεσις τοῦ δράματος add. Kirchhoff | ἐπὶ τῇ στρατείᾳ Vat.  13 μὲν ἠθοποιία Vat.  14 θήβαισ Vat.  πλὴν τῆς Kirchhoff πλει (superscr. οι) Vat.  ante ἐπὶ add. ἐδιδάχθη Kirchhoff, at Nausicrates archon nunquam fuit. choregi nomen esse coni. Wilamowitz  15. 16 Oenomaum Chrysippum Phoenissas ex eodem sumptas esse fabularum orbe dixit grammaticus, uerba tamen restitui nequeunt

# ΣΧΟΛΙΑ ΕΙΣ ΦΟΙΝΙΣΣΑΣ

1 ὦ τὴν ἐν ἄστροις: παλαιά τις φέρεται δόξα ὡς Σοφοκλῆς μὲν ἐπιτιμήσειεν Εὐριπίδῃ ὅτι [μὴ] προέταξε τούτους τοὺς δύο στίχους, ὁ δὲ Εὐριπίδης ὅτι [μὴ] προέταξεν ἐν Ἠλέκτρᾳ [1] ὁ Σοφοκλῆς τὸ 'ὦ τοῦ στρατηγήσαντος ἐν Τροίᾳ ποτέ': — MTAB

ἄλλως: ὁ διοδεύων τοῦ οὐρανοῦ τὴν ὁδὸν τὴν παρὰ τοῖς ἄστροις, ὅ ἐστι τὴν παρὰ τοῖς οἴκοις τοῦ ζῳδιακοῦ κύκλου. ὅτι γὰρ ἄστρα τοὺς οἴκους φησὶ τοῦ ζῳδιακοῦ κύκλου. Ἄρατός φησιν [542]· 'αὐτὰρ ἑκάστη ἴση μετρηθεῖσα δύω περιτέμνεται ἄστρα, ζωϊδίων δέ ἑ κύκλον ἐπίκλησιν καλέουσιν: — MTAB

ἄλλως: ἔθος ἔχουσιν οἱ τραγικοὶ παράγειν τοὺς ἥρωας θεοῖς τὰς συμφορὰς ἀπολοφυρομένους. καὶ ἐν Μηδείᾳ [57]· 'ὥσθ' ἵμερός μ' ὑπῆλθε γῇ τε κοὐρανῷ': — MTAB

ἄλλως: ἐπειδὴ κυκλοτερὴς ὁ οὐρανός. ἢ ἐπειδὴ ἑλικοειδής ἐστιν ὁ ζῳδιακὸς καθ' ὃν φέρεται ὁ ἥλιος: — MTA

† ἄστρον καὶ ἀστὴρ διαφέρει· ἀστὴρ μὲν ὁ εἷς, ἄστρον δὲ τὸ ἐκ πολλῶν ἀστέρων ἀστροθέτημα καὶ συμφόρημα, οἷα καὶ τὰ ν⟨ῦν λεγόμενα⟩ ἄστρα τὰ ιβ ζῴδια: — A[i]

---

2 μὲν] καὶ A 3. 4 μὴ del. Valckenaer 3 προέταξεν ὁ εὐριπίδησ A 3. 4 ὁ εὐριπίδησ δὲ A ut uidetur 4 ἐν B om. MTA 6 ὁ] ὦ B 7 ὅτι] καὶ A 8 non opus est supplere δῆλον ἐξ ὧν φησιν] εἴρηκεν B 9 ζωδίων B ζωδίου MT ζωιδίου A ἑ] σε T 10 ἐπίκλησιν καλέουσιν] ἐπικλείουσιν B 12 ὡσ καὶ B ὥσθ'] ὡσ M μ' om. TA 13 ἐπῆλθέ μοι MT καὶ οὐρανῶ MTA in fine add. λέξαι μολούσῃ δεῦρο τύχας A λ. μ. δεῦρο δέσποι B 14 ἐστιν] om. A 16—18 cf. Ammon. p. 26 et. Gud. p. 86,39 schol. E5 schol. Hec. 1103

3 λείπει ἡ σύν, ἵν' ᾖ σὺν ἵπποισι. καὶ παρ' Ὁμήρῳ [Θ 24] 'αὐτῇ κεν γαίῃ' καὶ ἐν Βάκχαις 'αὐταῖσιν ἐλάταις' καὶ ἐν Ἱππολύτῳ [1189] 'αὐταῖσιν ἀρβύλαισιν ἁρμόσας πόδα'. καὶ ἔστιν Ἀττικὴ ἡ συνήθεια: — MTAB

θοαῖς ἵπποισιν: ἔδει ἐκ τοῦ ἐπικρατοῦντος ἀρσενικῶς αὐτοὺς ὀνομάσαι. τέσσαρες γάρ εἰσι, Χρόνος Αἴθοψ Ἀστραπὴ Βροντή. ἔθος δὲ τοῖς ποιηταῖς θηλυκῶς λέγειν τοὺς ἵππους. Σώφρων 'τὰν ἵππον' καὶ ἐν Ἱππολύτῳ [1223] 'αἱ δ' ἐνδακοῦσαι στόμια' καὶ παρ' Ὁμήρῳ [Ψ 376] 'αἱ Φηρητιάδαο ποδώκεες ἔκφερον ἵπποι': — MTAB

στρέφων περιάγων περιελαύνων τὴν ἀκτῖνα: — $M^{g}A^{g}$

4 ὡς δυστυχῆ Θήβαισι: ἀσεβεῖ, φασί, τὴν ἀκτῖνα τοῦ Ἡλίου δυστυχῆ καλῶν. πῶς δὲ ἀσεβεῖ, ὁπότε καὶ Ἡσίοδος [opp. 769 sq.] ἀποφαίνει τινὰς τῶν ἡμερῶν πονηράς; — MTAB

ἄλλως: οἱ κακοδαιμονοῦντες καὶ τὰς πρῴην εὐτυχίας ἀτυχίας νομίζουσι τῇ παρούσῃ δυσποτμίᾳ βαρυνόμενοι: — MTAB

καὶ μὴν τότε εὐδαίμονες ἦσαν αἱ Θῆβαι διά τε τὸν Ἁρμονίας γάμον, ἐν ᾧ οἱ θεοὶ εἱστιάθησαν, καὶ τὴν Διονύσου καὶ Ἡρακλέους γένεσιν· νοσεῖν δὲ ἤρξατο ἐξ οὗ ἐτεκνώθη Λάιος βίᾳ θεῶν. τὰ τοιαῦτα δὲ οὐ πρὸς τὸ ἀληθές, ἀλλ' ὡς οἱ λέγοντες πάθους ἔχουσιν. εὐεπίφορος δὲ ὁ Εὐριπίδης πρὸς ⟨τὸ εἰς⟩ ἕτερα πρόσωπα πρεσβύτερα τὴν τῶν δυστυχημάτων αἰτίαν ἀναφέρειν. καὶ ἐν Τρῳάσιν [919] ἡ Ἑλένη φησίν· 'πρῶτον μὲν ἀρχὰς ἔτεκεν ἥδε τῶν κακῶν Πάριν τεκοῦσα' καὶ Ὀρέστης [585]· 'σύ τοι φυτεύσας θυγατέρ', ὦ γέρον, κακὴν ἀπώλεσάς με'. κέχρηται τούτῳ τῷ εἴδει καὶ Ὅμηρος [Ε 62]· 'ὃς καὶ Ἀλεξάνδρῳ τεκτήνατο νῆας ἐΐσας ἀρχεκάκους'· καὶ Εὔμαιος συμπαθῶς ἔχων πρὸς τὸν

---

1—3 scholio p. 245,14.15 adi. MTA add. δὲ post λείπει   1 σὺν θοαῖς ἱ. B   1. 2 αὐτῇ—καὶ] αὐτοὺς καὶ γένει A   2 γαίῃ ἐρύσαιμι B   αὐτῆσιν MTAB   locus in Bacchis non inuenitur   3 αὐτοῖσιν M αὐτῆσιν TAB   ἀρβύλῃσιν B   5—9 scholio quod praecedit adi. B add. δὲ post ἔδει   5 αὐτὰς A   6 cf. Hyg. 183   τέσσαρα MTB   ἐστι T   αἴθοψ Laur. 32, 33 αἰθὼ MTAB   7 τὰς B   σώφρον TAB   8 εὐδοκοῦσαι A   στόμα MTAB   9 φερητίδαο A   10 περιελαύνων περιάγων τ. ἀ. Laur. 32, 33 περιάγων τ. ἀ. ἐλαύνων $M^{g}A^{g}$   13 τινὰς τῶν ἡμερῶν ἀποφαίνει δυστυχεῖς A τ. τ. ἡ. ἀ. πονηράς B   14 εὐδαιμονίας B   18 νοεῖν B   ἐξ οὗ καὶ M   ἔτεκε A   19 πάθος MT   21 ἡ om. T   22 Πάριν τεκοῦσα om. A   22. 23 ὀρ^έ MT ἐν ὀρέστῃ AB   24 ὁ ὅμηρος T   25 ἐΐσους A   ἔχειν T

Ὀδυσσέα φησίν [ξ 68]· ʽὡς ὤφελλʼ Ἑλένης ἀπὸ φῦλον ὀλέσθαιʼ καίτοι τῶν ἀδελφῶν αὐτῆς τῶν Διοσκούρων ἤδη θεῶν ὄντων καὶ πολλὰ τοῖς ἀνθρώποις ἐπαρκούντων. ἔτι δέ τινες ἐγκαλοῦσι τῷ Εὐριπίδῃ ὡς οὐκ ἀκολούθως γενεαλογήσαντι· εἰ μὲν ἐξ ἀρχῆς ἐβούλετο τὰ πράγματα λέγεσθαι, ἐχρῆν τὴν ἐκ Φοινίκης ἀποικίαν τοῦ Κάδμου κατὰ λεπτὸν μετὰ τῆς αἰτίας διηγήσασθαι· εἰ δὲ ἐκ τοῦ ὑπογυίου, ἔδει ἀπὸ τῶν Λαΐου δυστυχημάτων ἄρξασθαι. πρὸς οὓς ῥητέον ὅτι, εἰ μὲν ἄνωθεν ἤρξατο, μακρὸς ἂν ἦν ὁ λόγος ἄλλως τε οὐκ ἔπρεπε Θηβαίαν γυναῖκα ἀκριβῶς τὰ ἐν Φοινίκῃ ἐπίστασθαι· εἰ δὲ ἀπὸ τῶν Λαΐου δυστυχημάτων, πολλὰς ἂν τῶν περὶ τὰς Θήβας συμφορῶν παρέλιπεν. Ἀκταίωνα μὲν γὰρ αἱ οἰκεῖαι κύνες διεσπάσαντο Πενθέα τε τὸν υἱὸν Ἀγαύη, Σεμέλην τε ἐκεραύνωσε Ζεὺς καὶ τῶν Ἰνοῦς υἱῶν Λέαρχον μὲν μανεὶς ὁ πατὴρ Ἀθάμας ἀπέκτεινε, Μελικέρτης δὲ μετὰ τῆς μητρὸς ἔπεσεν εἰς τὴν θάλασσαν [οἱ Νιόβης παῖδες ἐτοξεύθησαν καὶ αὐτὴ λίθος ὁρᾶται δακρύων]: — MTAB

5 ἐπέβαλες ἀνέτειλας. ἐμφαντικὸν δὲ πάνυ τὸ ἀκτῖνʼ ἐφῆκας: — $M^1A^g$

ἡνίκα διὰ τὴν ἀδελφὴν αὐτοῦ Εὐρώπην καταλιπὼν τὴν ἑαυτοῦ γῆν παρεγένετο ἐνταῦθα: — $M^g$

Κάδμος ἡνίκʼ ἦλθε γῆν: ὁ Κάδμος παρὰ τοῦ πατρὸς αὐτοῦ ἀποσταλεὶς τὴν ἰδίαν ζητῆσαι ἀδελφὴν καὶ μὴ ὑποστρέψας εἰς τὴν ἑαυτοῦ πατρίδα διὰ τὸ ⟨ἀπαγορευ⟩θῆναι παρὰ τοῦ πατρὸς εἰ μὴ αὐτὴν καταλάβοι, τὴν Ἁρμονίαν ἁρπάσαι προνοίᾳ Ἀθηνᾶς λέγεται: — M

Λιβύης τῆς Ἐπάφου καὶ Ποσειδῶνος Ἀγήνωρ καὶ Βῆλος· Ἀγήνορος δὲ καὶ Ἀργιόπης τῆς Νείλου Κάδμος Κίλιξ Φοῖνιξ, ἀφʼ οὗ οἱ Φοίνικες·

---

1 ὤφελον M ὄφελον TA ὄφελʼ B ἀποφώλον A ὀλέσαι add. $A^1$ καίτοι] καὶ TA 2 καὶ] ὡς A 3 ἐγκαλοῦσι] ἀκολουθοῦσι A 4 μὲν γὰρ B 4. 5 λέγειν B 5 τοῦ κάδμου post κατὰ λεπτὸν coll. MT 6 τοῦ ὑπογύου M τῆς ὑπογυίου ἀρχῆς A τ. ὑπονίου ἀ. T τ. ὑπογύου α. B 9 δυστυχημάτων ἤρξατο T 10 τὰς om. A κατέλιπεν A 11 τε om. MTA ἀγαυης M ἀγαυῆς TB ἀγαρῆς A 12 ὁ ζεὺς AB τὸν—υἱὸν A μάνης M μανὴς T 12. 13 ῥαθάμας M 13 τὴν om. B 14 νιόβης δὲ A ν. τὲ B. de Cadmi stirpe loquitur grammaticus neque hic Niobidae adiungi possunt 16. 17 ἀφῆκας $A^g$ 21 ἀποστρέψας M 21. 22 τὸν ἑαυτοῦ πατέρα M 24 — p. 248,2 cf. schol. Rhes. 28 schol. Ap. Rh. III 1186 Apollod. II 1, 4, 2. III 1, 1, 1.2 Paus. VII 4,1 24 λιβύη M βέλαιος MT γέλοιος A 25 δὲ om. B ἀργειόπης Laur. 32, 33 ἀντιόπης MTAB τῆς] τοῦ TB Νείλου Valckenaer βήλου MTAB

Φοίνικος καὶ Τηλέφης τῆς Ἐπιμεδούσης Πείρως Ἀστυπάλη Εὐρώπεια. ἔνιοι δὲ ἀντὶ Ἁρμονίας Ἠλέκτραν αὐτόν φασι γῆμαι: — MTAB

6 Φοίνισσαν ἐναλίαν χθόνα: εἰ μὲν ἐπὶ πάσης τῆς Φοινίκης, ἀκουστέον ἀντὶ τοῦ παραλίαν· εἰ δὲ ἐπὶ μιᾶς πόλεως, ἐκδεκτέον τὴν Τύρον· νησιάζεται γὰρ, ὡς καὶ ἑξῆς [202]· 'Τύριον οἶδμα λιποῦσ' ἔβαν ἀκροθίνια Λοξίᾳ Φοινίσσας ἀπὸ νάσου': — MTAB

ἄλλως: τὴν Τύρον· νησιάζεται γάρ. ἡ Φοινίκη· προληπτικὸς δὲ ὁ λόγος· οὐδέπω γὰρ ἐκαλεῖτο Φοινίκη. ἐν γοῦν τῷ Φρίξῳ [frg. 816] φησίν· 'ἦσαν τρεῖς Ἀγήνορος κόροι, Κίλιξ, ἀφ' οὗ καὶ Κιλικία κικλήσκεται, Φοῖνιξ, ὅθενπερ τοὔνομ' ἡ χώρα φέρει, καὶ Θάσος': —

7 ἔνιοι Ἁρμονίαν τὴν Ἠλέκτρας τῆς Ἄτλαντος αὐτὸν λέγουσι γεγαμηκέναι: — M[1]TAB

Κύπριδος Ἁρμονίαν: Δέρκυλος [frg. 4] Θηβαίου τινὸς Δράκοντος, Ἄρεως δὲ υἱοῦ φησιν εἶναι τὴν Ἁρμονίαν θυγατέρα, ὃν φονεύσας Κάδμος ἔγημεν Ἁρμονίαν. Ἔφορος [frg. 12] δὲ Ἠλέκτρας τῆς Ἄτλαντος αὐτὴν εἶναι λέγει, Κάδμου δὲ παραπλέοντος τὴν Σαμοθρᾴκην ἁρπάσαι αὐτήν, τὴν δὲ εἰς τιμὴν τῆς μητρὸς ὀνομάσαι τὰς Ἠλέκτρας πύλας. καὶ νῦν ἔτι ἐν τῇ Σαμοθρᾴκῃ ζητοῦσιν αὐτὴν ἐν ταῖς ἑορταῖς. Δημαγόρας [frg. 1] δὲ ἀπὸ Λιβύης ἐλθοῦσαν τὴν Ἠλέκτραν οἰκῆσαι τὴν Σαμοθρᾴκην· ἔνθα συγγενομένη Διὶ ἐτέκνωσεν Ἠετίωνα Δάρδανον Ἁρμονίαν. τὸν δὲ Κάδμον παραπλέοντα ἐπὶ ζήτησιν τῆς ἀδελφῆς μετὰ Θάσου

---

1 φοίνικησ MB τηλέφου TB τῆς] πηρ ... A πείρωσ TB πίσιοσ M om. A ἀστυπύλη A 2 post Εὐρώπεια add. φοινίκη AB 2 ἀντὶ] αὐτὰσ T αὐτὸν φασὶ γῆμαι A α. φησι γ. MT γ. α. φασι B 6 καὶ om. A 7 φοινίκησ MT φοινίκων A νάσου] φοι ..... M in fine add. τουτέστι τῆσ φοινίκησ νήσου τύρου καὶ κάδμοσ ἔμολε τάνδε γᾶν τύριοσ B 9 δὲ om. A 10 τρεῖσ Tzetz. ad Aristoph. Ran. 1225 γὰρ MTAB κοῦροι TA παῖδεσ B de M non constat καὶ om. B 10. 11 κικλίσκεται B

11 ὅθεν παρὰ TA 12 τὴν ἠλέκτρασ αὐτὸν λ (ε supra) τῆσ ἄτλαντοσ MT τὴν ἠλέκτρασ αὐτὸν οὐ τὴν ἄτλαντοσ λέγουσι B λέγουσιν αὐτὸν τὸν ἠλέκτρασ A 14 δέρκυλοσ M δερκύλλοσ T δερκυλλοσ B spatio rel. om. A 15 Ἄρεως—φησιν] ἄρεωσ δὲ θηβαίου φασὶν MT ἄρεοσ φασὶ θηβαίου A ἄρεωσ υἱοῦ βασιλέωσ δὲ θηβαίων φησὶν B τὴν ἁρμονίαν εἶναι B 16—19 ἔφοροσ δὲ—ἑορταῖσ initio coll. MTA post Δερκύλος add. δὲ 17 λέγουσι T κάδμον—παραπλέοντα B 19. 20 δημη^γο A 21 Ἠετίωνα Valckenaer ἡμιθέαν MTAB 22 μετὰ θάσου ante ἐπὶ ζήτησιν τ. α. coll. AB

μυηθῆναί τε καὶ μυούμενον ἰδεῖν τὴν ῾Αρμονίαν, προνοίᾳ δὲ ᾿Αθηνᾶς ἁρπάσαι αὐτήν: — MTAB

8 Πολύδωρον: τοῦτον οἱ ποιηταὶ † πίνακον καλοῦσι Πολύδωρον [δὲ] διὰ τὸ πολλὰ δῶρα εἰληφέναι τὴν μητέρα αὐτοῦ ἐπὶ τῇ γεννήσει αὐτοῦ: — M$^1$TAB

10 ἐγὼ δὲ παῖς μέν: γενεαλογήσας ἕως Λαΐου ἀνατρέχει ἐπὶ τοὺς γονεῖς Κρέοντος καὶ ᾿Ιοκάστης: — M$^1$TAB

ἐπονομάζομαι: — M$^g$A$^g$

12 καλοῦσι δ' ᾿Ιοκάστην με: ἀσφαλίζεται τὴν ὀνομασίαν τῆς ἡρωίνης, ἐπεὶ οἱ παλαιότεροι ᾿Επικάστην ⟨αὐτὴν⟩ καλοῦσι. καὶ ῞Ομηρος [λ 271] ‛μητέρα δ' Οἰδιπόδαο ἴδον καλὴν ᾿Επικάστην’: — M$^1$TAB

13 γαμεῖ δὲ Λάϊός μ': ᾿Επιμενίδης [frg. 6] Εὐρύκλειαν τὴν ῎Εκφαντός φησιν αὐτὸν γεγαμηκέναι, ἐξ ἧς εἶναι τὸν Οἰδίποδα· οἱ δὲ δύο τὸν Λάιον γῆμαι γυναῖκας, Εὐρύκλειαν καὶ ᾿Επικάστην. καὶ τὸν Οἰδίποδα δέ φασιν ᾿Επικάστην τε τὴν μητέρα γεγαμηκέναι καὶ Εὐρυγάνην. † λιγύστιος δέ φησιν ὡς ἐκ χρησμοῦ τοὺς παῖδας ἀκούσας ἀλληλοκτονήσειν ἐξέθηκε τὸν Πολυνείκην, Κάστωρ δὲ ἀμφοτέρους ἐκτεθῆναι: — MTAB

14 ἀντὶ τοῦ· ἐκ πολλοῦ χρόνου γήμας με: — M$^1$A$^g$B$^1$

15 ἐρωτᾷ μὲν τῆς ἀπαιδίας τὴν αἰτίαν, αἰτεῖ δὲ τῆς ἀρρενογονίας τὴν εὐτυχίαν: — M$^1$B$^1$

16 ἐπιμιξίαν μετοχὴν σχέσιν: — M$^g$A$^g$

17 πολεμικοῖς: — M$^g$A$^g$

18 μὴ σπεῖρε τέκνων ἄλοκα: ᾿Εμπεδοκλῆς ὁ φυσικὸς ἀλληγορῶν φησι σχιστοὺς λιμένας ᾿Αφροδίτης [vs. 261] ἐν οἷς ἡ τῶν παίδων

---

1 καὶ προνοία δὲ A   3 ταῦτα ὁ ποιητὴσ πίνακον καλεῖ A   πίνακον] scripserim παρωνύμως   4. 5 τὴν—αὐτοῦ add. A$^1$   6. 7 scholio quod praecedit adi. B add. δὲ post γενεαλογήσας   6 γενεαλογήσασα TA   6. 7 εἰσ τοὺσ γονεῖσ κρέοντοσ καὶ ἰοκάστησ Mon. 568 ἐπὶ τοὺσ γηγενεῖσ κρέοντα καὶ ἰοκάστην M$^1$TAB   10 ἡρωίνης] ἥρασινισ A   οἱ] καὶ T   παλαιοὶ A   10. 11 καλοῦσι—καλὴν spatio uacuo ins. A$^1$   10 καὶ om. T   11 οἰδιπόδασ T   εἶδον MT om. A$^1$   12—17 fere omnia detrita in M   13 αὐτόν φησι A   ἐξ—τὸν spatio uacuo ins. A$^1$   14 φασι add. B post Λάιον   εὐρύκειαν T   15 δέ φασιν B φησὶν TA   τὲ B δὲ T om. A   εὐρυγόνην T   15—17 non apta huic loco sed vs. 67   15. 16 λιγύστιοσ MTA αἰγύπτιοσ B   16 ἀκούσασα MT   ἀλληλοκτονῆσαι TAB   17 πολυνείκεα T   κάστωρ A μυ . . . . . M μυστήριον T μήστωρ B   23. 24 ἀλληγόρην T   24 σχιστοὺς] ἔχεισ τοὺσ B   λιμένασ B λιμῶνασ M λειμῶνασ TA   post ᾿Αφροδίτης add. καλεῖ MT φασὶν A

γένεσίς ἐστιν. Εὐριπίδης δὲ ταὐτὸν τούτῳ φάσκων τήν τε ἔννοιαν τὴν αἰσχρὰν ἀπέφυγε καὶ τοῖς ὀνόμασιν οἰκείοις ἐχρήσατο καὶ τεχνικαῖς ταῖς μεταφοραῖς, σπόρον καὶ ἄλοκα λέγων: — MTAB

18 ἄλοκα: αὔλακα· αὖλαξ δὲ ἡ τομὴ τῆς γῆς ὑπὸ τοῦ ἀρότρου. μεταφορικῶς δὲ λέγει· μὴ συνέρχου τῇ γυναικί: — MTA

ἄλλως: μεταφορικῶς, τὴν αὔλακα μὴ σπεῖρε, ἀπὸ τῆς ἀρουμένης γῆς: — MTAB

μὴ παιδοποίει: — M[g]

παρὰ γνώμην θεοῦ: — M[g]

21 ὁ δ' ἡδονῇ δούς: ἐκ τοῦ οἴνου εἰς ἡδονὴν τραπείς: — MTA

ἄλλως: ἀντὶ τοῦ ἑαυτὸν δοὺς εἰς εὐωχίαν. πῶς προεγνωκυῖα ἡ γυνὴ τὸν χρησμὸν οὐκ ἀπέτρεψε τῆς μίξεως τὸν Λάιον. ἢ οὖν ὕστερον εἶπεν αὐτῇ ἢ εἶπε μέν, ἡ δ' ὑπώπτευσε τὸ ῥηθὲν εἶναι ψεῦδος διὰ τὸν ἔρωτα Χρυσίππου: — MTAB

† ἄλλως: καὶ διὰ τί τὸν χρησμὸν προεγνωκυῖα Ἰοκάστη οὐκ ἐκώλυσεν αὐτόν. ἢ οὖν οὐκ ἐγίνωσκεν ἢ ὑπώπτευσεν αὐτὸν ψεύδεσθαι ⟨ὑπο⟩νοήσασα ταῦτα διὰ τὸν ἔρωτα λέγεσθαι τοῦ Χρυσίππου: — A

εἰς μέθην: — M[g]

24 λειμῶν' ἐς Ἥρας: ἢ ὅτι πᾶς λειμὼν ἱερός ἐστι τῆς Ἥρας ἢ ὅτι Κιθαιρωνίας Ἥρας ἐστὶν ἐν Θήβαις ἱερόν. ὅσοι δὲ ἐγκαλοῦσιν ὡς ἐν ἱερῷ τόπῳ ἐκτεθέντος τοῦ παιδός, ἴστωσαν ὅτι καὶ Ἀθῆναι ἱεραὶ μὲν λέγονται τῆς Ἀθηνᾶς, ὀλίγος δέ ἐστιν ⟨ὁ⟩ τῆς ἀκροπόλεως εὐαγής τε καὶ ἱερὸς τόπος. καὶ λελωβημένον δὲ ἀνείλοντο τὸ βρέφος ἴσως τῷ κάλλει νενικημένοι καὶ τὴν ἴασιν εὐμαρῆ νομίσαντες αὐτῷ ὑπὸ τῆς βασιλείας ἔσεσθαι: — MTAB

ἀκρωτήριον: — M[g]A[g]

25 δίδωσι βουκόλοισιν: ἵνα ἀποθάνῃ· οὐ γὰρ ἤθελεν ἐκ τοῦ ἐμφανοῦς ἀνελεῖν τὸ βρέφος φεύγων τὸ μύσος: — MAB

---

1 τούτῳ] τοῦτο B  τε] μὲν A  2 οἰκείαις A  οἰκείως MTB  3 σπόρον] πυρον M  αὔλοκα A  4 cf. et. m. p. 70,2 Gud. p. 39,15 Hesych. Suid.  ὑπὲρ T  τοῦ om. A  5 λέγεται A  6 μὴ σπεῖρε τὴν αὔλακα B  ὑπὸ MTA  11 ἀντὶ τοῦ om. A  εἰς om. MT (sed habent ἑαυτὸν δοὺς εἰς εὐωχίαν M[g]A[g]) εἰς εὐωχίαν om. B  καὶ πῶς AB  12 τὸν χρησμὸν ἡ γυνὴ B  οὐκ—μίξεως spatio uacuo ins. A[1]  ἀπέστρεψε MTB  13 μὲν om. MA  19 ἱερόν T  20 ἱερὸν ἐν θήβαις A  21 εἰστεθέντος MA  τοῦ om. A  ἔστωσαν B  21. 22 μὲν ἱεραὶ B  23 δὲ ὅμως B  ἀνείλαντο B  ἀνεῖλον MTA  25 ἔπεσθαι A  26 cf. Suid.  27 initio add. δίδωσι βουκόλοις A

26 σφυρῶν σιδηρᾶ κέντρα: διὰ μέσων τῶν σφυρῶν τὰ σιδηρᾶ κέντρα πείρας: — MTA

ἄλλως: καὶ θηριώδης, φασί, καὶ ἀνόητος ⟨παρόσον⟩ ἀνελεῖν μὲν οὐκ ἤθελε τὸ βρέφος, οὕτως δὲ χαλεπῶς ἐλωβήσατο. ῥητέον ὅτι τὸ μὲν ἀποκτεῖναι ἀσεβὲς ἡγήσατο· εἰ δὲ διατρήσειεν αὐτῷ κέντροις τὼ πόδε, τὸν ἐπηρτημένον κίνδυνον ἐκφεύξεσθαι μηδενὸς ἀνελομένου ἂν βρέφος λελωβημένον. οἱ δὲ ἀπὸ τῶν σπαργάνων φασὶν αὐτὸν ἐξῳδηκέναι ἐκ ταὐτομάτου τὼ πόδε. οἱ δὲ εἰς θάλασσαν ἐκριφῆναι βληθέντα εἰς λάρνακα καὶ προσοκείλαντα τῇ Σικυῶνι ὑπὸ τοῦ Πολύβου ἀνατραφῆναι. ἔνιοι δὲ καὶ Ἡλίου φασὶν αὐτὸν εἶναι παῖδα. τινὲς δὲ * * Ἱπποδάμειαν τὴν Οἰνομάου ὑποβεβλῆσθαι αὐτὸν † αὐτῷ φασιν, ὕστερον δὲ ἁρπάσαντος Λαΐου Χρύσιππον, βοηθὸν ὄντα τῷ Χρυσίππῳ ἀποκτεῖναι τὸν Λάιον, τῇ δὲ Ἰοκάστῃ ἐλθούσῃ ἐπὶ τὴν κηδείαν τοῦ νεκροῦ μιγέντα γεννῆσαι τοὺς παῖδας, ὕστερον δὲ λύσαντα τὸ αἴνιγμα γνωρισθῆναι. οἱ δὲ τὸν Πόλυβον αὐτὸν τυφλῶσαι τοὺς περὶ τῆς πατροκτονίας χρησμοὺς ἀκούσαντα. τινὲς δὲ καὶ τὴν μητέρα αὐτῷ φασιν ἀνῃρῆσθαι. ἀνελεῖν δὲ αὐτὸν οὐ μόνον τὴν Σφίγγα, ἀλλὰ καὶ τὴν Τευμησίαν ἀλώπεκα, ὡς Κόριννα [frg. 33]. οἱ δὲ τὴν Σφίγγα Μακαρέως μὲν γενέσθαι γυναῖκα,

1 μέσον T  2 σπείρας T  3 καὶ (prius)] ὡς MTA  4 ἤθελε] ἔμελλε MTA  οὕτως] ὁ MTA  τὸ om. M  5 αὐτοῖς TA αὐτοῖς siue αὐτῶν M κέντρα MTA  τὼ] τὸ M  6 πόδε—κίνδυνον om. M  ἐπηρμένον T φεύξεσθαι A  ἀνελουμένου M  ἂν om. T  7 φησὶν αὐτὸν MT αὐτὸν φησὶν A  8—10 cf. schol. λ 271  8 ἐκριφῆναι βληθέντα] ἐκβληθῆναι MTA  10 καὶ ἡλίου φασὶν M καὶ φασὶν T φασὶ καὶ ὅτι A  suppleuerim ἐνεχθέντα πρὸς Ἱ. uel tale quid  11 αὐτῷ φασιν A αὐτὸ φασὶν T in M haec detrita sunt  12 ἁρπάσαντος om. spatio rel. A  13 τὴν δὲ ἰοκάστην ἐλθοῦσαν MTA  15 τοὺς om. A  16 καὶ om. T  αὐτοῦ T φασιν om. T  17 τευμησσίαν M τεμισίαν A  18 κόρρινα MTA

18—p. 252,4 Paus. IX 26 οἱ δὲ κατὰ λῃστείαν σὺν δυνάμει ναυτικῇ πλανωμένην φασὶν αὐτὴν ἐς τὴν πρὸς Ἀνθηδόνι σχεῖν θάλασσαν, καταλαβοῦσαν δὲ τὸ ὄρος τοῦτο ἁρπαγαῖς χρῆσθαι, πρὶν ἐξεῖλεν Οἰδίπους αὐτὴν ὑπερβαλόμενος πλήθει στρατιᾶς, ἣν ἀφίκετο ἔχων ἐκ Κορίνθου. λέγεται δὲ καὶ ὡς νόθη Λαΐου θυγάτηρ εἴη καὶ ὡς τὸν χρησμὸν τὸν Κάδμῳ δοθέντα ἐκ Δελφῶν διδάξειεν αὐτὴν κατὰ εὔνοιαν ὁ Λάιος· ἐπίστασθαι δὲ πλὴν τοὺς βασιλέας οὐδένα ἄλλον τὸ μάντευμα. ὁπότε οὖν τῇ Σφιγγὶ ἀμφισβητήσων τις ἀφίκοιτο τῆς ἀρχῆς· γενέσθαι γὰρ τῷ Λαΐῳ ἐκ παλλακῶν υἱούς, καὶ τὰ χρησθέντα ἐκ Δελφῶν ἐς Ἐπικάστην μόνην καὶ τοὺς ἐξ ἐκείνης ἔχειν παῖδας· τὴν οὖν Σφίγγα χρῆσθαι σοφίσμασιν ἐς τοὺς ἀδελφοὺς ὡς τὸν Κάδμῳ γενόμενον χρησμὸν εἰδεῖεν ἂν Λαΐου γε ὄντες· οὐκ ἔχοντας δὲ αὐτοὺς ἀποκρίνασθαι θανάτῳ ζημιοῦν ἅτε οὐ προσηκόντως ἀμφισβητοῦντας γένους τε καὶ ἀρχῆς. Οἰδίπους δὲ ἄρ' ἀφίκετο ὑπὸ ὀνείρατος δεδιδαγμένος τὸν χρησμόν.  18 μακάρσῳ A

θυγατέρα δὲ Οὐκαλέγοντος ἑνὸς τῶν ἐγχωρίων· οὗ τελευτήσαντος κατασχεῖν τὸ Φίκειον, εἶτ' ἀναιρεθῆναι ὑπό τινος Οἰδίποδος συνελθόντος αὐτῇ. τινὲς δὲ καὶ Λαΐου τὴν Σφίγγα παραδιδόασιν ὡς Λυσίμαχος [frg. 5]: — MTA

27 ὅθεν νιν Ἑλλάς: ἀφ' οὗ. Οἰδίπους παρὰ τὸ οἰδεῖν τοὺς πόδας ἐκ τῶν περονῶν: — MTA

ἡ μὲν Μερόπη πρώτη αὐτὸν ἐκάλεσεν Οἰδίπουν, ἡ δὲ Ἑλλὰς ἀπ' αὐτῆς διεδέξατο τὸ ὄνομα: — MTAB[1]

28 Πολύβου δέ νιν: τύραννος καὶ αὐτὸς ἐν ἑτέρῳ μέρει τῆς Βοιωτίας· οἱ δὲ τῆς Κορίνθου φασὶ βασιλέα: — MTA

ἱπποβουκόλοι: ἱπποφορβοί· τὸ δὲ βουκόλοι ἀπὸ τοῦ ἐπισήμου ζῴου ὡς τὸ [Υ 221] 'τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο'. τινὲς δὲ ἐν λάρνακι βληθέντα καὶ εἰς θάλασσαν ῥιφέντα τὸν παῖδα προσπελασθῆναι τῇ Κορίνθῳ φασίν: — MTAB

ἀπίθανον τὸ τοὺς βουκόλους βρέφος ἀνελέσθαι καὶ οὕτως λελωβημένον. ῥητέον ὅτι ἄγροικοι ὄντες τῇ δεσποίνῃ χαριεῖσθαι ἐδόκουν· καὶ γὰρ τὸ εἶδος τοῦ παιδὸς καλὸν ἑώρων: — MTA

29 ἡ γυνὴ Πολύβου Μερόπη: — M[g]B[1]

31 μαστοῖς ὑφεῖτο: ὑπέβαλεν. εὔηθες δέ, φασίν, εἰ λελωβημένον ὑπεβάλετο παιδίον ὅπου γε ἐκτίθεμεν καὶ τὰ ἐξ ἡμῶν πεπηρωμένα. καὶ τί θαυμαστὸν ⟨αὐτὴν⟩ ὑποβάλλεσθαι, φοβουμένην μὲν ἐκπεσεῖν διὰ τὴν ἀπαιδίαν, ἀποτρίψεσθαι δὲ ⟨ἐλπίζουσαν⟩ τὴν τῆς ὑποβολῆς ὑποψίαν διὰ τὴν ὑποῦσαν συμφορὰν τῷ βρέφει· καὶ τὸ ἰαθήσεσθαι δὲ διὰ τοῦτο οὐκ ἀπεγνώκει: — MTA[1]B

---

1 Οὐκαλέγοντος] οὐκ ἂν λέγοντοσ T ἄγοντοσ spatio ante rel. A οὗ τελευτήσαντος T οὕτωσ μελετήσαντοσ A 2 τὸ Φίκειον C. Müller τὴν σφίγγα MTA εἶτ' ἀναιρεθῆναι Valckenaer ἐπαναιρεθῆναι MTA ὑπό τινος om. spatio rel. A 3 τινὲς—Λυσίμαχος om. spatio rel. A 7. 8 scholio quod praecedit adi. MTA 7 οἰδίπουν ἐκάλεσεν B[1] 9. 10 μέρει—βασιλέα om. spatio rel. A 11. 12 cf. Hesych. schol. Υ 221 Eust. p. 160,5 12 τὸ τοῦ] τὸ A ἕλος—βουκολέοντο om. A βουκολέονται MT 13 τὸν παῖδα om. A 14. 15 προσπελαγισθῆναι T περισωθῆναι A 15—17 scholio quod praecedit adi. MTA add. δὲ post ἀπίθανον 15 ἀπέθανον T τὸ A τοῦτο MT βρέφουσ A 16 ῥητέον om. spatio rel. A ῥητέον δὲ M τῇ δεσποίνῃ] δεσποίνην M 17 γάρ] ὅτι A 19—24 lemma scripsit A omnia cetera A[1] 20 ὑπέβαλεν τὸ M ὑπέβαλε τὸ T ὑπεβάλλετο A[1]B καὶ ἐκτίθεμεν B 20. 21 εμεν—ὑποβάλλεσθαι om. A[1] spatio rel. 22 ἀποτρίψασθαι MTA[1]B ὑπερβολῆσ MT 23. 24 καὶ—ἀπεγνώκει om. A[1] spatio rel. 23 δὲ om. MT 24 οὐ κατεγνώκει MT

καὶ πόσιν πείθει τεκεῖν: πείθει τὸν ἄνδρα αὐτὴν αὐτῷ τεκεῖν.

ἢ ἀναπείθει λέγειν τοῖς ἔξω ⟨ὅτι⟩ αὐτοῦ τέκνον εἴη. πῶς δὲ λελωβημένον αὐτὸν ἡ γυνὴ τοῦ βασιλέως ἐλάμβανεν· ὅτι οὐκ ἤθελε δοῦναι τοῖς ἔξω περὶ ἑαυτῆς ὑπόνοιαν ὡς οὔσης στείρας, ἀλλ' ἵνα καὶ πίστιν μείζονα ἐνδείξηται ὅτι οὗτος ἐμός ἐστιν ὁ παῖς, ὅτι ἰδοὺ καὶ λελωβημένον αὐτὸν ἔχω· οὐκ ἂν γὰρ ξένον * οὐκ ἀσινῆ ὄντα: — MT

32 ἤδη δὲ πυρσαῖς: ἡδέως καὶ τραγικῶς τὴν ἀκμὴν ἐξέφρασεν: — MTA^g B^i

πυρσαῖς: πρὸ γὰρ τοῦ τοὺς ἰούλους ⟨ἐκ⟩βαλεῖν ξανθίζεται τὰ γένεια τῇ θερμότητι τῶν τριχῶν: — MT

εἰς ἄνδρας, ἢ εἰς ἀνδρὸς ἡλικίαν, ἐμβαίνων: — M^g

33 παῖς Πολύβου, ἀλλὰ θετός: — M^g

ἢ γνοὺς ἤ τινος: γνοὺς ὅτι οὐκ εἴη Πολύβου παῖς γνήσιος ἀλλὰ νόθος ἢ μαθὼν παρά τινος τῶν ἡλικιωτῶν ὀνειδίσαντος ὅτι νόθος εἴη.

ἔνιοι δέ φασιν εἰς Πυθῶνα ἐξεληλυθέναι τὸν Οἰδίποδα, ἵνα τροφεῖα ἀποδῷ τῷ Ἀπόλλωνι: — MTA^1 B

35 ἀπὸ κοινοῦ τὸ ἔστειχε: — M^g A^g B^i

36 τὸν ἐκτεθέντα παῖδα: ἤτοι τότε ὀνείρου ταράξαντος αὐτὸν ἢ ὅτε λοιπὸν ὑπώπτευσε τὴν ἡλικίαν τοῦ παιδὸς ⟨εἰς ἄνδρας⟩ προκόπτειν. ἐβούλετο γὰρ ἢ τεθνεῶτα αὐτὸν ἀκούσας διάγειν ἀδεῶς ἢ ζῶντα ἀκούσας φυλάττειν ἑαυτόν: — MTA^1 B

γράφεται καὶ ἰδεῖν: — A^g B^s

37 εἰς ταὐτὸν τῆς σχιστῆς ὁδοῦ τῆς Φωκίδος συνάπτουσι πόδα, ἀντὶ τοῦ συναντῶσιν ἀλλήλοις: — M^g B

καὶ ξυνάπτετον: καὶ συντυγχάνουσιν [τὸν πόδα] ἐπὶ τῆς σχιστῆς

---

1 αὐτὴν αὐτῷ] τὸ αὐτὸν M τὸν αὐτὸν T 2 ἢ] καὶ MT τοῖς] τῶν M τέκνων M 4 ὡς] καὶ MT 6 suppleas ἀνειλόμην 7 τραγικῶς] γραφικῶς Valckenaer 9. 10 scholio quod praecedit adi. MT add. δὲ post πυρσαῖς 9 πρὸσ MT βάλλειν MT ξανθιζόμενα MT 11 ἢ] καὶ M^g 13 γνοὺς—εἴη om. A^1 spatio rel. παῖσ πολύβου TB παῖς om. A^1 14 ὀνειδισάντων MT εἴ T 15 ἐληλυθέναι A^1 B φασὶ post Οἰδίποδα rep. MT 16 δῶι B δῶ A^1 ut uidetur τὸν ἀπόλλωνα MT 18 ὀνείρου om. spatio rel. A^1 ταραξαντοσ ἀντ' A^1 ταραξάντων MT 19 αὐτὴ τὴν A^1 αὐτὴν τὴν B 20 διάγων M 21 in fine add. B μαστεύων δὲ ζητῶν ὅθεν καὶ μαστὸσ ὁ ἐπιζητούμενοσ παρὰ τῶν παίδων 23 καὶ εἰσ B τὸν πόδα B 23. 24 ἀντὶ—ἀλλήλοις om. B sed habet B^i 25—p. 254,2 scholio quod praecedit adi. B pro καὶ scripto ἤτοι 25 τὸν πόδα del. Valckenaer

ὁδοῦ ἐν Φωκίδι. οὕτως δὲ καλεῖται. ἐπειδὴ σχίζει τὴν ἐπὶ Βοιωτίαν καὶ Θήβας καὶ Ἀττικὴν καὶ Κόρινθον ὁδόν: — MTB

39 ὁ ἡνίοχος. Πολυφόντην δὲ τὸν κήρυκα * *: — M$^g$T

τοῦτον Φερεκύδης [frg. 47$^a$] Πολυποίτην φησίν: — M$^g$TB$^i$

40 ὦ ξένε: καλῶς ἑτέρῳ ἕτερον περίκειται φρύαγμα, Λαΐῳ μὲν διὰ ⟨τὸ⟩ τῆς ἀρχῆς ἀξίωμα, Οἰδίποδι δὲ ὅτι βασιλέως υἱὸς ἦν καὶ προπετὴς ὡς νέος καὶ ὁδοῦ τῆς πᾶσι κοινῆς εἴργετο: — MT

41 ἔτρεχε μὴ φθεγγόμενος. ἢ ὅτι † τέλος λοιπὸν εἶχε καὶ ἐδεδοίκει μήποτε ἄλλος τὴν ἀρχὴν διαδέξηται: — M$^g$TA$^g$B$^i$

42 χηλαῖς τένοντας: ἐν ταῖς χηλαῖς τοὺς τῶν ποδῶν τοῦ Οἰδίποδος τένοντας ἐξήμασσεν οὐχ ὑποχωροῦντος αὐτοῦ τῆς ὁδοῦ: — MTA$^1$B

χηλὴ διὰ τὸ ὥσπερ κεχηνέναι τοὺς ὄνυχας: — MT

τοῖς ὄνυξιν: — M$^g$

τὰ ἐπάνω τῶν ποδῶν: — M$^g$

ἀντὶ τοῦ ᾕμασσον: — M$^g$

43 ὅθεν· τί τἀκτός: ὑποστικτέον εἰς τὸ ὅθεν· ἔμελλε δὲ ἴσως τὴν λοιδορίαν καὶ τὴν μάχην ἀμφοτέρων λέγειν: — MTA$^1$

ἄλλως: τί οὖν, φησί, ταῦτα τὰ περιττὰ καὶ τὰ ἐκτὸς τῶν παθῶν λέγω: — MT

ποία με χρεία λέγειν τὰ ἔξω τῶν κακῶν. τὰς παρακολουθησάσας ὕβρεις, τοὺς διαπληκτισμοὺς οὐ λέγω, ἀλλ' αὐτὸ τὸ κακὸν ἐν συντόμῳ ὅτι παῖς πατέρα καίνει: — TAB

44 παῖς πατέρα κτείνει: — M$^g$

φονεύει: — M$^g$A$^g$

καὶ λαβὼν ὀχήματα: ζητοῦσι πῶς ἐπὶ τὸ μαντεῖον οὐκέτι ἀπῆλθεν ὁ Οἰδίπους. φασὶν ὅτι οὐκ ᾤετο τὸν θεὸν εὐθέως χρήσειν αὐτῷ μυσαρῷ γενομένῳ πρὶν καθαρθῆναι καὶ ἅμα ἵνα μὴ γνῷ ὅτι πατέρα ἔκτεινεν· εἵμαρτο γὰρ αὐτῷ καὶ μητέρα γῆμαι. ὅτι δὲ Πολύβῳ δέδωκε

1 ἐν φωκίδι post καλεῖται coll. MTB δὲ om. B ἐπεὶ διασχίζει B
3 πολυφήτην M$^g$T cf. Apollod. III 5, 7, 5 4 scholio quod praecedit adi. M$^g$T πολυπήτην M$^g$ 5 ἑτέρῳ ἕτερον] ἑτέρωσ M ἕτερον T
6 ἀξιώματι T 7 πᾶσησ M πάσησ T 8 ἐβάδιζε A$^g$B$^i$ 8. 9 ἢ — διαδέξηται om. A$^g$B$^i$ 9 δέξηται M$^g$ 10 ἐν] καὶ T τοὺς] τοῖσ M
15 scholio quod praecedit adi. M$^g$ pro ἀ. τ. ἡ. scripto ἀνίμασσον 16 ἔμελλε] ἔμαθεν MT 17 ἀμφοτέρουσ M ἀμφοτέρωσ T λέγειν spatio rel. om. A$^1$
20 ποία μοι B om. A$^1$ spatio rel. τὰσ ἔξασ A$^1$ 21 ὕβρεις om. T
22 κτένει T 25 εἰσ B 26 χρήσασθαι A 28 αὐτῷ om. B
τὴν μητέρα A ὅτι] ἔτι M

τοὺς ἵππους καὶ Ἀντίμαχός φησιν ἐν Λύδῃ [frg. 34]· 'εἶπε δὲ φωνήσας· Πόλυβε, θρεπτήρια τούσδε ἵππους τοι δώσω δυσμενέων ἐλάσας'. ζητοῦσι δὲ πάλιν πῶς οὐδεμίαν Θηβαῖοι ζήτησιν πεποίηνται τεθνεῶτος αὐτοῖς τοῦ βασιλέως. λεκτέον ὅτι εὐθὺς μὲν αὐτὸν οὐκ ἐπεζήτησαν ἐν Δελφοῖς εἶναι νομίζοντες, μετὰ δὲ ταῦτα τῶν ἵππων ἀφανῶν γενομένων λῃστῶν ἐδόκει τοὔργον γεγονέναι: — MTAB

ἄλλως: δεῖ νοεῖν ὅτι Οἰδίπους φονεύσας τὸν Λάιον ὡς ἐναγὴς παραχρῆμα οὐκ εἰσῆλθεν εἰς τὸ ἱερόν· οὐ γὰρ ᾤετο χρήσειν αὐτῷ τὸν θεόν. ὑποστρέψας δὲ εἰς Κόρινθον μετὰ τῶν ἵππων Λαίου καὶ καθαρθεὶς τὸν φόνον πάλιν ἐπὶ τῷ γνῶναι τοὺς γονεῖς ἐπανῆλθε πρὸς τὸν θεόν. λαβὼν δὲ χρησμὸν ὡς ὅτι ἐπὶ φθορᾷ τοῦ πατρὸς ἐτέχθη καὶ συνουσίᾳ τῆς μητρὸς διέγνω φυγεῖν τὴν Κόρινθον τὴν νομιζομένην πατρίδα. γνοὺς δὲ τοῦ Κρέοντος τὸ κήρυγμα ἐπὶ τὸν ἀγῶνα καθίησιν ἑαυτὸν τῆς Σφιγγὸς κινδύνῳ τὴν εὐτυχίαν θηρώμενος: — MTAB

45 Πολύβῳ τροφεῖ: οἷον τῷ θρέψαντι. γνοὺς ὅτι οὐκ ἂν εἴη αὐτοῦ πατήρ, τροφεῖα καταβάλλει: — MTA

ὡς δ' ἐπεζάρει: ἐζήτησε τοὺς ἐν τῇ πόλει ἀφαρπάσαι: — MTA

ζάρος ὄρνεόν ἐστιν ἁρπακτικόν. τὴν δὲ Σφίγγα οἱ μὲν ἔχειν πρόσωπον μὲν παρθένου, στῆθος δὲ καὶ πόδας λέοντος, πτερὰ δὲ ὄρνιθος· Σωκράτης [frg. 13] δὲ ἐγχωρίαν αὐτὴν χρησμολόγον φησὶ δύσγνωστα μαντευομένην, ἅπερ ἀγνοοῦντες οἱ Θηβαῖοι καὶ ἐναντίως αὐτοῖς χρώμενοι ἀπώλοντο. Ἀσκληπιάδης [frg. 21] δὲ λέγει τοὺς Θηβαίους εἰς ἐκκλησίαν καθ' ἑκάστην ἀθροίζεσθαι διὰ τὸ δυσαίνιγμα τῆς Σφιγγός· λόγιον γὰρ ἦν αὐτοῖς μὴ ἀπαλλαγήσεσθαι τῶν κακῶν πρὶν ἂν τοὺς τῆς Σφιγγὸς

---

1 αὐτόμαχον M  λύ (δ superscr.) M λυδία T  εἶπεν B  2 τούσδε Dübner τάδε MTAB  3 ζήτησιν θηβαῖοι AB  5 ἀφάντων M  7 ὁ οἰδίπους B  8. 9 αὐτῷ—ἵππων om. M  9 καὶ om. A  10 τὸν φόνον—γνῶναι om. M  τὸν φόνον B  τῶν φόνων TA  ἐπανῆκε AB  11 φθορᾷ—συνουσίᾳ om. M  12 φυγὴν M  12. 13 τὴν νομιζομένην—γνοὺς δὲ om. M  15 οἷον] ὃν M  17 ἐξήταζεν M ἐξήταζε T  18 ζάρον MA ζᾶρον T  18—p. 256,2 Apollodor. III 5,8  scholio quod praecedit adi. MTA  19 μὲν (alterum) om. AB  20 σωκράτης B  ὡς κράτης TA  ὡς M  eis quae secuntur usque ad δύσγνωστα omissis  αὐτὴν—φησὶ] φησὶ—αὐτὴν A  χρησμολογων B  21 μαντευομένη MT  ἅπερ] ἅπ' A  22 ἀπώλλοντο B  ἀπούλαυτοι M  ἀπόλλονται T  λέγων A  ἐκκλησίαν] ἐλλ (η superscr.) A  23 μυσαίνιγμα B  λογικὸν MTA

λύσειαν χρησμούς. ὁπότε δὲ μὴ συνίοιεν, ἁρπάζειν αὐτὴν ὅντινα ἂν βούλοιτο τῶν πολιτῶν: — MTAB

ἐπέκειτο κακοποιοῦσα. ἁρπασθῆναι δέ φασιν ὑπ' αὐτῆς Αἵμονα τὸν Κρέοντος παῖδα. τινὲς δέ φασιν ὅτι μία τῶν σὺν ταῖς Κάδμου θυγατράσι μανεισῶν μετεβλήθη εἰς τὸ ζῷον τὴν Σφίγγα: — MTAB

ἐπεβάρει ἐπεκράτει: — $M^g$

46 οὐ παρῆν: — $M^g$

47 Κρέων δ' ἀδελφός: ἀνοήτως, φασίν, ἐπὶ τὸν τῆς ἀδελφῆς γάμον τὸν τυχόντα καλεῖ. ἀγνοοῦσι δὲ ὅτι ἡ κατεπείγουσα συμφορὰ καὶ παρὰ τὸ πρέπον τι πράττειν προτρέπεται. ἔπειτα καὶ ἄριστόν τινα ᾤετο τὸν ἐγχειρήσοντα τῷ ἀγῶνι. κατὰ γὰρ Πίνδαρον [Ol. I 83] 'ὁ μέγας κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει': — MTAB

48 αἴνιγμά ἐστι τὸ ἀποκεκρυμμένον εἰς τὴν διάνοιαν καὶ δυσεύρετον: — $M^g$

49 παρεγένετο γὰρ εἰς Θήβας μετὰ χρόνον: — $M^gA^g$

50 αἴνιγμ' ἐμὸς παῖς: τινὲς γράφουσι μούσας ἐμὸς παῖς, ὃ καὶ βέλτιον. μούσας δέ φησι τὰ αἰνίγματα διότι ἐμμελῶς προέφερε ταῦτα ἡ Σφίγξ: — $MTAB^1$

ἄλλως: τὸ αἴνιγμα Ἀσκληπιάδης [frg. 21] οὕτως ἀναγράφει:

ἔστι δίπουν ἐπὶ γῆς καὶ τετράπον, οὗ μία φωνή,
⟨καὶ τρίπον⟩, ἀλλάσσει δὲ μόνον φύσιν ὅσσ' ἐπὶ γαῖαν
ἑρπετὰ γίνηται ἀνά τ' αἰθέρα καὶ κατὰ πόντον.
ἀλλ' ὁπόταν τρισσοῖσιν ἐρειδόμενον ποσὶ βαίνῃ,
ἔνθα τάχος γυίοισιν ἀφαυρότατον πέλει αὐτοῦ.

---

1 λύσῃ MT λῦσαι A ὁπόταν A ὃν B 3. 6 Hesych. ἐπεζάρει ἐπεβάρει ἐπέκειτο ἐπεκράτει cf. Eust. p. 381,20. 909,27 3—5 scholio quod praecedit adi. MTA add. δὲ post ἐπέκειτο MT καὶ ante ἐ. A 3. 4 Apollodor. III 5, 8, 5 schol. Phoen. 1760 3 αἵμανα M 4 κρέοντα M σὺν] $\overset{ἐν}{σὺν}$ A ταῖς] αὐταῖς B 5 μανεῖσι MTA τὸ ζῷον τὴν om. A 8 ἀνόητον B τὸν om. M 9 καλῶν MTA καλεῖν B ἡ om. TB κατεπειγούσης συμφορᾶς T 10 παρὰ—τι] τὰ μὴ πρέποντα A 11 ἐγχειρίσαντα MT ἐγχειρήσαντα B ἐγχειρίσοντα A 12 λαμβάνειν MT 16. 17 ὃ καὶ βέλτιον om. $B^1$ 17. 18 διότι—Σφίγξ om. $B^1$ προεφέρετο τότε MTA 19—p. 257,9 scholio quod praecedit adi. A add. δὲ post τὸ 19—24 cf. p. 243. 244 19 ἀναγράφεται MT 20 γῆν T τετράπουν T 21 καὶ τρίπον om. MTA ὅσ' T 22 γίνεται MTA 23 τρισσοῖς MT τριτοῖσιν A βαίη T 24 γύοισιν T

τὴν δὲ λύσιν τοῦ αἰνίγματος οὕτως φασί τινες εἰρῆσθαι·

κλῦθι καὶ οὐκ ἐθέλουσα, κακόπτερε Μοῦσα θανόντων,
φωνῆς ἡμετέρης, σῆς τέλος ἀμπλακίης·
ἄνθρωπον κατέλεξας, ὃς, ἡνίκα γαῖαν ἐφέρπει,
πρῶτον ἔφυ τετράπους νήπιος ἐκ λαγόνων,
γηραλέος δὲ πέλων τρίτατον πόδα βάκτρον ἐρείδει
αὐχένα φορτίζων γήραϊ καμπτόμενος.

τινὲς δέ φασι τύχῃ λῦσαι τὸ αἴνιγμα καὶ δακτυλοδεικτεῖν * * ὃ ἐστι τὸν ἄνθρωπον * * ἑαυτὴν διεσπάραξεν: — MTA

52 καὶ σκῆπτρ' ἔπαθλα: παρ' οὐδενὶ κεῖται τὸ ἔπαθλα ἢ μόνῳ τῷ Εὐριπίδῃ· ὅθεν μεταγράφουσί τινες καὶ σκῆπτρα χώρας ἆθλα.
τὸ δ' ἑξῆς· καὶ σκῆπτρα χώρας τῆσδε ὡς ἆθλα λαμβάνει: — MTAB[1]

53 γαμεῖ δὲ τὴν τεκοῦσαν: Φερεκύδης [frg. 48] τὰ κατὰ τοὺς Οἰδίποδος παῖδας καὶ τὰς γημαμένας οὕτως ἱστορεῖ· 'Οἰδίποδι, φησί, Κρέων δίδωσι τὴν βασιλείαν καὶ τὴν γυναῖκα Λαΐου, μητέρα δ' αὐτοῦ Ἰοκάστην, ἐξ ἧς γίνονται αὐτῷ Φράστωρ καὶ Λαόνυτος, οἳ θνήσκουσιν ὑπὸ Μινυῶν καὶ Ἐργίνου. ἐπεὶ δὲ ἐνιαυτὸς παρῆλθε, γαμεῖ ὁ Οἰδίπους Εὐρυγάνειαν τὴν Περίφαντος, ἐξ ἧς γίνονται αὐτῷ Ἀντιγόνη καὶ Ἰσμήνη, ἣν ἀναιρεῖ Τυδεὺς ἐπὶ κρήνης καὶ ἀπ' αὐτῆς ἡ κρήνη Ἰσμήνη καλεῖται. υἱοὶ δὲ αὐτῷ ἐξ αὐτῆς Ἐτεοκλῆς καὶ Πολυνείκης. ἐπεὶ δὲ Εὐρυγάνεια ἐτελεύτησε, γαμεῖ ὁ Οἰδίπους Ἀστυμέδουσαν τὴν Σθενέλου.' τινὲς δὲ Εὐρυγάνειαν ἀδελφὴν λέγουσιν εἶναι Ἰοκάστης τῆς μητρὸς Οἰδίποδος: — MTAB

---

1 τῶν αἰνιγμάτων M   τινὲσ φασὶ A in ras.   εἰρῆσθαι om. A   2—9 adi. B aenigmati in prooemio scripto   2 θάνον· τὴν A   3 φω A add. νὴν A[1] ἡμετέρασ B   σὸν MTAB   4 ὂν B   γαῖα MT   5 τέτραποσ A τετράπουν B   post λαγόνων distichon excidisse uidit Münzel   6 ἐρείδει B ἔδει MTA   7 φροντίζων M   8. 9 cf. schol. vs. 1506   8 δακτυλοδεῖξ B   8. 9 lacunas statuit Valckenaer   10 ἔπλα B[1]   10. 11 ἢ—Εὐριπίδῃ om. B[1]   11 μετὰ γραφὰσ M   καὶ—ἆθλα om. MTA   12 τὸ—λαμβάνει om. B[1]   14 τοὺς B τοῦ MTA   15 παῖδασ οἰδίποδοσ B οἱ. παιδία MT   καὶ] δὲ A   17 φράστοσ MT   18 μινυῶν καὶ ἐργίνου spatio uacuo ins. A[1]   ἐπεὶ δὲ] ἐπειδὴ A   ὁ ἐνιαυτὸσ MT   18—21 Apollod. III 5, 8, 7 cf. Paus. IX 5,11   19 εὐρυγάνυαν MT, tum deest folium in T   ἀντιγόνη καὶ ἰοκάστη ἰσμήνη M ἀντιγόνη ἰοκάστη ἰσμήνη A ἰοκάστη ἀντιγόνη ἰσμήνη B   20 ἐκλήθη B   21 υἱοὶ δὲ] ὡσ οἱδ' M   ἐπεὶ δὲ] ἐπειδὴ A   εὐρυγάνυα M εὐρυγάνυια B   22 cf. schol. Δ 376   ὁ om. A ὁ οἰδίπουσ om. B   ἀσμέδουσαν A   23 εὐρυγάνυαν M εὐρυγάνυιαν B   εἶναι om. M σθενέλου A

54 ᾔδει δηλονότι: — Mg

56 δύναμιν. οἷον περιφραστικῶς τὸν Πολυνείκην: — Mg

58 τὴν προγενεστέραν, τὴν μείζονα: — Mg

59 μαθὼν δὲ τἀμὰ λέκτρα: γνοὺς δὲ τὰ ἐμὰ λέκτρα ὄντα τῆς μητρός, ἀντὶ τοῦ ἐπιγνοὺς μητρὶ συγκοιμώμενος. τὸ δὲ μητρῴων γάμων περιφραστικῶς τῆς μητρός: — MAB

60 τὰ ἀπὸ μητρὸς αὐτῷ γινόμενα: — MgAg

ὁ πάντ' ἀνατλὰς Οἰδίπους: τί ἥμαρτεν ὁ Οἰδίπους ὅτι καὶ αὐτὸς τιμωρεῖται. φασὶν ὅτι Πέλοψ Χρυσίππου ἁρπαγέντος κατηράσατο μέχρι παίδων εἶναι τὸ κακόν. τινὲς δέ φασιν ὅτι Λάιος ἀνῃρέθη ὑπὸ Οἰδίποδος, ὅτι ἀμφότεροι ἤρων Χρυσίππου: — MAB

61 εἰς ὄμμαθ' αὑτοῦ: τινές φασιν ἐξ ἰδίας κατάρας ἐπελθεῖν αὐτῷ τὴν πήρωσιν: — MABi

ἄλλως: ὅμοια Ἑλλάνικος [cf. frg. 12]. ἐν δὲ τῷ Οἰδίποδι [frg. 545] οἱ Λαΐου θεράποντες ἐτύφλωσαν αὐτόν· 'ἡμεῖς δὲ Πολύβου παῖδ' ἐρείσαντες πέδῳ ἐξομματοῦμεν καὶ διόλλυμεν κόρας.' πῶς δέ, φασίν, ἡ Ἰοκάστη μετὰ τοσαῦτα καὶ τηλικαῦτα δυστυχήματα ἔζη. ῥητέον ὅτι πᾶσα γυνὴ πρὸς θάνατον δειλόν. Μένανδρος [frg. inc. 16]· 'ὀκνεῖ δὲ νοῦν ἔχουσ' ἴσως, ἀεὶ δὲ τοῖς παροῦσι δακρύοις ἐμποιεῖ τὸ θῆλυ τῆς ψυχῆς ἀναβολὴν τῷ πάθει': — MAB

πήρωσιν: — MgAg

ἀντὶ τοῦ ἐτύφλωσεν αὐτόν: — MgAg

63 ἐπεὶ δὲ τέκνων: ὅτε δὲ ἥβησαν οἱ παῖδες, κλῄθροις ἔκρυψαν τὸν πατέρα: — MAB

64 ἵν' ἀμνήμων τύχη: ἵνα ἡ τύχη λήθῃ παραδοθείη καίπερ δυσαπόνιπτος οὖσα καὶ πολλῆς δεομένη μηχανῆς εἰς τὸ λαθεῖν: — MAB

65 πολλῶν δεομένη: ἤτοι πολλῆς δεομένη μηχανῆς πρὸς τὸ

4 ὄντα Münzel τὰ MAB  5 μητρὶ om. M  8 τί] τὸ A  9 φασὶ δὲ B  post κατηράσατο suppleuerim τοῦ ἁρπάσαντος  10. 11 Λάιος — ὅτι] ἐξιδίας κατάρασ M  13 τύφλωσιν Bi  14 ὅμοια καὶ B  ἐλλανίκω A  14. 15 ἐν — αὐτόν om. A  15 παῖδα MAB  15. 16 ἐρίσαντεσ MA  16 πέδ' M  πέδοι coni. Dindorf  καὶ] δὲ A  φησιν ἡ M  φησιν ὡσ A  φασὶν B  17 τηλικαῦτα] τοιαῦτα A  18 γυνὴ ἡ M  μέναν (δ supra) M  μὲν ἀνδρὸσ AB  18. 19 νοῦν ἔχουσα AB  νουνεχῶσ M  19 θῆλυ spatio uacuo ins. A1  23 ὅτε δὲ] ἐπεὶ A  κλείθροισ B  25. 26 scholio quod praecedit adi. B  25 παραδοθῆι B  27 ἤτοι ἡ AB  δεόμενον B

λαθεῖν. ἢ πολλῶν παραινέσεων καὶ πολλῆς παραμυθίας δεομένη διὰ τὴν ὑπερβολὴν τοῦ πάθους: — MAB

66 ἀντὶ τοῦ κάμνων ὑπὸ τῆς τύχης: — M$^{g}$B$^{1}$

67 ἀρὰς ἀρᾶται: κατάρας χαλεπὰς καταρᾶται τοῖς υἱοῖς μηδὲν ἀδικήσασιν: — MA$^{g}$

68 θηκτῷ σιδήρῳ: οἷον ξίφει ⟨δια⟩κληρωθῆναι καὶ ¡ἀπολέσθαι τὸν οἶκον ἵνα μὴ οἱ τούτου παῖδες λειπόμενοι μνημεῖα τῆς ἀρχαίας αὐτοῦ τύχης φυλάσσωσιν: — MA

τῷ ἠκονημένῳ σιδήρῳ τοῦτο τὸ οἴκημα διαμερίσασθαι: — M$^{g}$A$^{g}$

69 εἰκότως ἔδεισαν πειραθέντες ὅσα Λαΐῳ συνέβη διὰ τὰς Πέλοπος ἀράς: — MAB

τελεστικὰς τελείας: — M$^{g}$A$^{g}$

70 πληρῶσιν: — M$^{g}$

τῶν παίδων: — M$^{g}$

71 ξυμβάντ' ἔταξαν: συνελθόντες, συσκεψάμενοι ὥρισαν. ἢ συμβάντες, εἰς φιλίαν ἐλθόντες: — MAB$^{1}$

ἄλλως: οὗτος ὁ τόπος εἰς ἀσυμφωνίαν ἄγει τὸ δρᾶμα. ἔδει γὰρ ἐξέλασιν ὑποθέσθαι τοῦ Πολυνείκους, ἵνα διὰ τῶν ἑξῆς [401] δεόντως λέγοι ποτὲ μὲν ἐπ' ἦμαρ εἶχον, εἶτ' οὐκ εἶχον. εἰ γὰρ ἀλλήλοις ὑπεχώρησαν ἐνιαυτὸν παρ' ἐνιαυτὸν ἄρχειν, πάντως καὶ τὰ ἐπιτήδεια ἐπεφέρετο ⟨ἂν⟩ ὁ Πολυνείκης. δεῖ οὖν εἰδέναι ὅτι οὐ παρὰ πᾶσι συμφωνεῖ ἡ Πολυνείκους εἰς Ἄργος ἄφιξις· Φερεκύδης [frg. 49] γὰρ ἐκβεβλῆσθαι τὸν Πολυνείκην φησὶ μετὰ βίας. Ἑλλάνικος [frg. 12] δὲ ἱστορεῖ κατὰ συνθήκην αὐτὸν παραχωρῆσαι τὴν βασιλείαν Ἐτεοκλεῖ λέγων αἵρεσιν αὐτῷ προθεῖναι τὸν Ἐτεοκλέα, εἰ βούλοιτο τὴν βασιλείαν ἔχειν ἢ τὸ μέρος τῶν χρημάτων λαβεῖν καὶ ἑτέραν πόλιν οἰκεῖν. τὸν δὲ λαβόντα τὸν χιτῶνα καὶ τὸν ὅρμον Ἁρμονίας ἀναχωρῆσαι εἰς Ἄργος κρίναντα

---

1 δεομένη om. B  2 διὰ τὴν] εἰσ τὸ A  6 ἀπολέσαι A  7 τούτων M ἀρχαίας om. A  8 φυλάσσουσιν M φυλ$^{ά}$ A  10 πειρασθέντεσ M ὅτι λαίω πολλὰ A  15 σκεψάμενοι MB$^{1}$ detritum in A ut plurima 15. 16 ὥρισαν — ἐλθόντες om. B$^{1}$  18. 19 ἐξέλασιν — λέγοι] ἐξέλ ......... φερ .. γὰρ ἑξῆσ ...... λέ$^{γ}$ A  21 ἐσπέρετο M  21. 22 σύμφ$^{ω}$ M συμφωνία A  22 ἄργουσ MA  23 πολυνείκη B  24 συγχωρῆσαι B 25 προσθεῖναι M προτεῖναι B  ἐτεοκλῆ B  27 τὸν ὅρμον καὶ τὸν χιτῶνα B 27. p. 260,1 κρίναντα ἀντὶ τούτων] κρίναντασ τοῦ M κρίνοντασ δὲ τοὺσ A κρίναντοσ τοῦ μέρουσ B

ἀντὶ τούτων τὴν βασιλείαν [Οἰδίποδι] παραχωρῆσαι. ὧν τὸν μὲν ὅρμον Ἀφροδίτη, τὸν δὲ χιτῶνα Ἀθηνᾶ αὐτῇ ἐχαρίσατο. ἃ καὶ δέδωκε τῇ θυγατρὶ Ἀδράστου Ἀργείᾳ. ὅθεν Εὐριπίδης ταῖς δύο ἱστορίαις ἐχρήσατο, ἐνταῦθα μὲν τῇ Φερεκύδους, ὕστερον δὲ τῇ Ἑλλανίκου: — MAB

νεώτερον πάρος: τὸν Πολυνείκην. ὁ μὲν Εὐριπίδης τὸν Ἐτεοκλέα, ὁ δὲ Σοφοκλῆς τὸν Πολυνείκην μείζονα οἶδεν ἐν Οἰδίποδι [O. C. 375]: — MAB

74 διαδεχόμενον τὴν βασιλείαν κατ' ἐνιαυτόν: — $MB^{i}$

ἀπὸ τῆς τιμῆς καὶ τῆς καθέδρας δηλοῖ τὴν βασιλείαν: — MA

75 καθέξετ' ἀρχῆς: ἀντὶ τοῦ * * τῆς βασιλείας. μετενήνοχεν ἀπὸ τῶν κυβερνητῶν. τοιοῦτόν ἐστι καὶ τὸ παρ' Ὁμήρῳ [Δ 166 passim] Ζεὺς ὑψίζυγος'. ἐπὶ γὰρ τοῦ ὑψίστου ζυγοῦ καθήμενος ὁ κυβερνήτης περιφέρει τοὺς οἴακας: — MTAB

76 διώκει: — $M^{g}$

77 ἐπιγαμβρίαν. ὄνομα δὲ ἦν τῇ γαμηθείσῃ Ἀργεία: — $MA^{g}$

78 ἀντὶ τοῦ συμμαχίαν στράτευμα: — $M^{g}A^{g}B^{i}$

81 ὑπόσπονδον μολεῖν: μετὰ σπονδῶν καὶ φιλίας: — $MTAB^{i}$

82 πρὶν τὸν πόλεμον συγκροτηθῆναι: — $MTAB^{i}$

τοῦ πολέμου: — $M^{g}A^{g}B^{g}$

84 ναίων πτυχάς: ἀντὶ τοῦ ἀκρωρείας. ἐὰν μὲν ἀπὸ τοῦ πτύξ, πτύχας, ἐὰν δὲ ἀπὸ τοῦ πτυχή, πτυχάς: — MTAB

85 ὁμόνοιαν: — $M^{g}A^{g}B^{g}$

86 ἀντὶ τοῦ ἐπειδή: — $M^{g}B^{i}$

88 ἔνδοξον: — $M^{g}A^{g}$

βλάστημα: — $M^{g}A^{g}$

ὦ κλεινὸν οἴκοις: ἡ τοῦ δράματος διάθεσις ἐνταῦθα ἀγωνιστικωτέρα γίνεται. τὰ γὰρ τῆς Ἰοκάστης παρελκόμενά εἰσι καὶ ἕνεκα τοῦ θεάτρου ἐκτέταται. ἡ δὲ ἔξοδος τοῦ παρθένου εἰκών ἐστι τῆς Ὁμηρικῆς τειχοσκοπίας τῆς Ἑλένης ἐκ τοῦ ἐναντίου· ἐκεῖ γὰρ γυνὴ τῷ γέροντι

---

1 οἰδίπο (with δ above) MB οἰδίποδι A   2. 3 ἐχαρίσατο—ἱστορίαις om. M   3 ἱστορίαις] ἀργείαις A   4 ὕστερον—Ἑλλανίκου om. M   5 τὸν Πολυνείκην om. B   6 τὸν Πολυνείκην om. A   ἐν Οἰδίποδι om. M   8 διαδεχόμενος M   10 μετενήνοχε δὲ B   11 τὸ om. A τῷ M   12 inde ab ἐπὶ inc. T   ἐπὶ γὰρ] παρὰ A   ὁ] ὡς B   13 περιφέρει] πάντων φέρει B   17 σπονδῆς A   18 scholio quod praecedit adi. MTA   20. 21 scholio 10—13 adi. B om. ἀντὶ—ἀκρωρείας et add. πτύχας δὲ   28 θατέρου M θεάτου B   29 τειχοποιίας MT   ἔναντι MT

δείκνυσιν. διδάσκει δὲ πρόοδον παρθένου γίνεσθαι κατ' ἐπιτροπὴν μὲν μητρός, παιδαγωγίαν δὲ τροφέως, χρείας μὴ τῆς τυχούσης ἐπειγούσης τὴν ἔξοδον: — MTAB

ἄλλως: εὖ διῴκηται ἡ τῆς Ἀντιγόνης ἔξοδος· καλῶς δὲ τὴν βασιλικὴν παρθένον οὐ γυναῖκες φυλάττουσιν, ἀλλ' ὁ διὰ τὸ γῆρας σώφρων καὶ φρόνιμος. τοιγαροῦν οὐκ ἀσκέπτως μετ' αὐτῆς ἔξεισιν, ἀλλ' ἐρημίαν παραφυλάξας. † ἐνόμιζε γὰρ διὰ τὸν πάσης τῆς πόλεως κίνδυνον δεῖν τὴν τῆς κόρης ἀμελεῖσθαι ποιεῖν εὐταξίαν: — MTAB

90 ἐς διῆρες ἔσχατον: τὸ διῃρημένον καὶ ὑπερκείμενον, τὸ ὑπερῷον. ἢ τὸ δίστεγον [οἷον δύο διῆρες ὡς μόνον μονῆρες] ἀπὸ τοῦ δίς † καὶ δύο ὥστε τῆς ὀροφῆς. καταχρηστικώτερον δὲ κἂν τριώροφον ἢ κἂν πολύστεγον, οὕτως λέγεται. οἱ δὲ διῆρες τὸ διερόν, οἷον ὑπαίθριον: — MTAB

ὑψηλόν: — $M^g$

91 ταῖς ἱκεσίαις σου ἵνα σε ἀφῇ: — $M^g$

92 προΐδω: — $M^gA^g$

τὴν τετριμμένην ὁδόν: — $M^gA^gB^i$

93 μή τις πολιτῶν ἐν τρίβῳ: ταῦτα μηχανᾶσθαί φασι τὸν Εὐριπίδην ἵνα τὸν πρωταγωνιστὴν ἀπὸ τοῦ τῆς Ἰοκάστης προσώπου μετασκευάσῃ· διὸ οὐ συνεπιφαίνεται αὐτῷ Ἀντιγόνη, ἀλλ' ὕστερον: — MTAB

περισκοπῶ εἰ φαίνεται: — $M^gA^gB^i$

---

2 χρείασ τὲ AB   4 εὖ διοικήσαν M εὖ διοικῆσαν T εὖ διοίκησ ἂν spatio uacuo ins. $A^1$ εὖ διοικὴσ ἂν B em. Valckenaer   ἡ] οἱ M   5. 6 ἀλλ'— ἔξεισιν om. MT   7 τῆς om. M   8 δεῖν post κόρης rep. A   μέλεσθαι B   9—13 et. m. p. 274,25 [cf. Zon. p. 569] διήρης ὁ ὑπερῷος οἶκος. Εὐριπίδης ἐν Φοινίσσαις μεθῆκε μελάθρων ἐς διῆρες ἔσχατον. ἀπὸ τοῦ δὶς διήρης, ἵν' ᾖ ὁ διστεγής· Ἀπολλόδωρος δὲ καὶ τὰς ναῦς τὰς ἐχούσας δύο ἢ καὶ τρεῖς στέγας διήρεις καὶ τριήρεις λέγει. ἢ ἀπὸ τοῦ δύο διήρης ὥσπερ παρὰ τὸ μόνος μονήρης. καταχρηστικῶς δὲ λέγεται οὐ μόνον τὸ διστεγὲς ἀλλὰ καὶ τὸ ὁπόσων ἂν ᾖ στεγῶν· ὥσπερ καὶ δίεδρον ἐπὶ πλειόνων λέγεται. cf. Poll. 1, 81 εἶτα ὑπερῷα οἰκήματα, τὰ δ' αὐτὰ καὶ διήρη   9 initio add. διῆρεσ B   9. 10 τὸ διῃρημένον—ἢ om. B   τῶν ὑπερώων A   10 διάστεγον M διάστεγον ὑπερῶον T δίστεγον ὑπερῶον AB   οἷον—μονῆρες] ὡσ μόνον μονῆρεσ δύο διῆρεσ B. non interpolata, sed falso loco posita   ὡς—μονῆρες om. MT   11 δὶσ B δυσὶ MTA   καὶ] κατὰ King   ὥστε] οὔσης Arsenius   κἂν] καὶ AB   19 τοῦ om. A   22 περισκο$^{\pi o}$ $A^g$ περισκοπεῖ $M^gB^i$   εἰ om. $A^g$ ἢ $B^i$ ἤτοι $M^g$ in fine add. φαντάζεται $M^g$

94 ἀντὶ τοῦ εὐτελής: — $\mathrm{M^gB^g}$

λοιδορία: — $\mathrm{M^gA^gB^g}$

95 λείπει τὸ μέγας ψόγος: — $\mathrm{M^g}$

96 ἅ τ' εἶδον εἰσήκουσά τ': οἰκονομικῶς φησιν αὐτὸν ὁ ποιητὴς ἀπεστάλθαι εἰς τὸ στρατόπεδον ὅπως εὔλογον ἔχῃ πρόφασιν τοῦ ἐπιγινώσκειν ἅπαντας: — MTAB

97 ἀντὶ τοῦ εἰρήνην τὴν μετὰ φιλίας: — $\mathrm{M^g}$

98 ἐνθένδ' ἐκεῖσε: ἀπὸ τῶν ἐνταῦθα ἐκεῖσε καὶ ἀπὸ τῶν ἐκεῖθεν δεῦρο: — MTA

99 ἐγγίζει: — $\mathrm{M^g}$

100 τιμίαν: — $\mathrm{M^gA^g}$

κέδρου παλαιάν: λεληθότως τὸν πλοῦτον τῶν βασιλείων παρίστησιν, ὅπου γε κεδρίνην τὴν κλίμακα λέγει: — MTAB

101 εἰς τὸ σκόπει τελεία, τὰ δὲ λοιπὰ ὑφέν: — $\mathrm{M^gB^i}$

Ἰσμηνοῦ ῥοάς: Ἰσμηνὸς ποταμὸς Θηβῶν, ὅθεν Ἰσμήνιος Ἀπόλλων τιμᾶται: — $\mathrm{MTAB^i}$

102 Δίρκης τε νᾶμα: οἱ μὲν ποταμόν, οἱ δὲ κρήνην τὴν Δίρκην: — MTA

ἄλλως: Δίρκη κρήνη Θηβῶν πλησίον τοῦ Ἰσμηνοῦ ἀπὸ Δίρκης ὀνομασθεῖσα. οἱ γὰρ περὶ Ζῆθον καὶ Ἀμφίονα ἐκτεθέντες ὑπὸ τῆς μητρὸς Ἀντιόπης καὶ τραφέντες ἐν τοῖς βουκολίοις τῆς Δίρκης ἐβουκόλουν αὐτῇ. ὕστερον δὲ παρέδωκεν αὐτοῖς τὴν Ἀντιόπην ἐπὶ τῷ διὰ ταύρων διασπάσαι· οἱ δὲ γνόντες αὐτὴν μητέρα αὐτῶν, αὐτῆς μὲν ἐφείσαντο, τὴν δὲ Δίρκην ὑπὸ τῶν ταύρων διέσπασαν, καὶ ὁ τόπος ἔνθα ἐσύρη Δίρκη καλεῖται: — MTAB

103 ὄρεγε νῦν ὄρεγε: πάρεχέ μοι τὴν χεῖρα ὁδηγόν, ὅ ἐστιν ὁδήγει με: — $\mathrm{MM^gTAB}$

---

4—6 scholio p. 261,18—20 adi. B add. δὲ post οἰκονομικῶς 4. 5 φησιν ὁ ποιητὴσ αὐτὸν A ὁ ποιητὴσ φησὶν αὐτὸν B 5 ἔχειν T ἔχει B 8 ἐκεῖθεν] ἐκεῖσε A 12. 13 scholio 4—6 adi. B add. διὰ δὲ τοῦ κέδρου παλαιὰν κλίμακ' 12 τῶν βασιλείων Valckenaer τῶν βασιλέων MTB τὸν βασιλικὸν A 13 λέγει om. MT φησιν B 14 τελείαν $\mathrm{B^i}$ 15 ἰσμηνὸσ δὲ $\mathrm{B^i}$ ὅθεν καὶ $\mathrm{B^i}$ ἰσμηνὸσ A ἥλιοσ MTA 16 in fine add. δίρκη δὲ πηγὴ πλησίον τοῦ ἰσμηνοῦ ἀπὸ δίρκησ ὀνομασθεῖσα $\mathrm{B^i}$ 17. 18 schol. Soph. Ant. 103 19 χρήνη δίρκη A 20 ὑπὲρ T 21 βουκόλοισ MTB 22 αὐτοῖς] αὐτῆσ T 23 αὐτὴν MT 24 ἐπὶ MTAB 25 in fine add. καὶ ἡ κρήνη καὶ ὁ ποταμόσ B

ἄλλως: ἔκτεινε τὴν παλαιάν σου χεῖρα ἐμοὶ τῇ νέᾳ ἅμα προσαναβαίνων: — MTAB

ἄλλως: ἐμοὶ τῇ νέᾳ ὄρεγε τὴν παλαιάν σου χεῖρα: — MTA

104 τὸν πόδα δηλονότι: — $M^g$

105 ἐπανατέλλων: [προφαίνων καὶ] προβαίνων καὶ προσαναβαίνων: — MTA

ἄλλως: ἐπανάγων. ἀπὸ τοῦ ἡλίου ἡ μεταφορά· καὶ γὰρ οὗτος εἰς τὸ ὑψηλὸν τοῦ οὐρανοῦ ἀναβαίνει: — MTAB

106 τῇ χειρὶ τὴν χεῖρα: — $M^g$

ἀντὶ τοῦ εὐκαίρως: — $M^g A^g$

107 ἐγειρόμενον † ἀκολουθεῖ: — $M^g$

τὸ τῶν Ἀργείων, ἀπὸ Πελασγοῦ βασιλέως: — $M^g$

108 στράτευμα χωρίζουσι: ἀποχωρίζουσι. κατατάττουσι τὰς τάξεις, οἷον παρατάττουσιν ἀλλήλους εἰς πόλεμον: — MTA$A^g B^g$

109 ἰὼ πότνια: ἡ τοξότις Ἄρτεμις. ὡς παρθένος δὲ τὴν παρθένον καλεῖ. ἢ θαυμάζουσα τὸ φῶς τὴν Ἑκάτην καλεῖ· ἡ αὐτὴ γάρ ἐστι τῇ Σελήνῃ: — MTA$B^g$

110 ἀντὶ τοῦ χαλκωθὲν τοῖς ὅπλοις. ἢ ἀσπίδων πλῆρες: — $M^g$A

111 πεδίον ἀστράπτει: τῷ δοκεῖν ἀστράπτει διὰ τὸ πλῆθος τῶν ὅπλων. οἰκείως δὲ [καὶ] τοῦτο ἅμα τε ἵνα ἀποδειχθῇ τὸ πλῆθος αὐτῶν: — MTA

ἄλλως: τῇ ὑπερβολῇ κατάπληξιν ἐμφαίνει ὅλον λέγων ἀστράπτειν τὸ πεδίον· καίτοι ὀλίγον μέρος αὐτοῦ κατεῖχον οἱ πολέμιοι. οἰκείως δὲ τὸ ἀστράπτειν· τοιαύτη γὰρ ἡ τοῦ χαλκοῦ φύσις εἴ τις ἐν ἡλίῳ κινήσειεν αὐτόν. πῶς δὲ ἐνθάδε κατάχαλκόν φησι τὸ πεδίον, ἐν δὲ τοῖς ἑξῆς φησι [1099] λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν. ἀλλ' οὐ πάντες ἦσαν λευκάσπιδες. περὶ γοῦν τινός φησι [121] πάγχαλ-

---

1 ἄλλως] ἢ ἀντὶ τοῦ B  3 ἐμοὶ] ἐπὶ MT detritum in A  γεραιάν T  5. 6 προφαίνων προαναφαίνων καὶ προβαίνων A  προαναφαίνων MT  7. 8 scholio 1. 2 adi. B initio add. ἐπαντέλλων γὰρ ἀντὶ τοῦ  7 ἡ μεταφορὰ ἀπὸ τοῦ ἡλίου B  13 καὶ κατατάττουσιν $A^g B^g$  14 τάς—παρατάττουσιν om. $A^g B^g$  16 τὸ φῶσ τῶν ὅπλων $B^g$  18 χαλκὸσ ἐν A  ἢ—πλῆρες om. A  19 τὸ δοκεῖν M  20 οἰκείως] οἰκονομικῶσ MTA  ἅμα τε ἵνα spatio relicto om. A  22 ἡ ὑπερβολὴ A  ἀστράπτει M  23 καίτοι] καὶ τὸ A  οἰκεῖον A  24 post ἀστράπτειν add. ἐνταῦθα B  καὶ εἰ A  24. 25 κινήσει MT  25. 26 ἐν—φησι om. MT  26 ἀργεῖοι MT  27 φασι MT om. A

*κον ἀσπίδ' ἀμφὶ βραχίονα κουφίζων.* ἢ καὶ ἀπὸ τῶν ἄλλων ὅπλων κατάχαλκόν φησι τὸ πεδίον, θωράκων τε καὶ κνημίδων καὶ κρανῶν: — MTAB

112 οὐκ εὐτελῶς, οὐχ ἁπλῶς: — M[g]

οὐκ ἀσθενῶς οὐδ' ὡς ἔτυχεν ἦλθεν, ἀλλὰ μετὰ πολλῆς δυνάμεως ὁπλιτῶν Ἀργείων: — A[g]B[g]

113 *ὅπλοις βρέμων*: ἐμφαντικῶς, οἱονεὶ ἠχῶν ἵνα σκηπτὸν ἀλληγορῇ τὸν πόλεμον. ἢ κομπάζων: — TA

114 *ἆρα πύλαι κλήθροις*: ὁ νοῦς· ἆρα, φησίν, αἱ πύλαι κλήθροις ἡρμοσμέναι εἰσὶ καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσται τοῖς λαϊνέοις Ἀμφίονος ὀργάνοις, ὅ ἐστι τῷ λαϊνέῳ τείχει. *ὀργάνοις* δὲ τοῖς ἔργοις. ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον. καὶ Σοφοκλῆς [frg. 365]· 'ξουθοῦ μελίσσης κηρόπλαστον ὄργανον', ἀντὶ τοῦ ἔργον. καὶ *ἔμβολα* οἱ μὲν τοὺς καθέτας, οἱ δὲ τοὺς στροφεῖς: — MTAB

*χαλκόδετά τ' ἔμβολα*: τοὺς μοχλοὺς τοὺς χαλκῷ δεδεμένους. τὸ αὐτὸ δὲ καὶ κλῆθρα: — MTA

*ἄλλως*: *ἔμβολά* τινες τοὺς στροφεῖς. παρὰ τὸ ἐμβάλλεσθαι τῇ ὀπῇ τοῦ οὐδοῦ. *χαλκόδετα* δὲ ἐπεὶ χαλκῷ περισφηκοῦνται οἱ στροφεῖς διὰ τὸ μὴ προστριβόμενον ἐξασθενεῖν τὸ ξύλον. ἆρα οὖν, φησίν, αἱ πύλαι καλῶς τοῖς κλήθροις ἡρμοσμέναι εἰσὶ καὶ οἱ στροφεῖς καλῶς ἐνηρμόσθησαν πρὸς τὸ λαϊνεον τεῖχος κατὰ τὰς ὀπάς, ὅ ἐστι τὸ ἔργον τοῦ Ἀμφίονος. οὐ θαρσήσασα δὲ τοῖς κλήθροις καὶ περὶ τῶν στροφέων φησὶ μήποτε καὶ τοὺς στροφεῖς τῶν θυρῶν ἀναβαλεῖν δυνήσονται οἱ Ἀργεῖοι μὴ ἐν βάθει ἡρμοσμένους. ἄλλοι δὲ *ἔμβολά* φασι τοὺς καθέτας.

1 βραχίονι A[1]B   ι κουφίζων spatio uacuo ins. A[1]   2 θωρήκων MTB   7 οἱονεὶ ἠχῶν spatio rel. om. A   9 ὁ νοῦς om. B   φησὶν om. B   post πύλαι add. καλῶσ τοῖσ A[1]B   9. 10 κλείθροισ M   10 σμέναι—καὶ spatio uacuo ins. A[1]   10—14 καὶ—στροφεῖς om. M sed habet M[i] om. καὶ   10 καὶ om. T   11 post τείχει add. τῶ ὑπὸ ἀμφίονοσ κτισθέντι A   praeter haec adi. B scholio 17—p. 265,14 ὁ δὲ νοῦσ ἆρα αἱ πύλαι τοῖσ κλήθροισ ἡρμοσμέναι εἰσὶ καὶ τὰ χαλκόδετα ἔμβολα ἥρμοσται τοῖσ ἀμφίονοσ λαϊνέοισ τοῦ τείχουσ ὀργάνοισ τουτέστι τοῖσ ὑπὸ ἀμφίονοσ κατασκευασθεῖσι τείχεσιν   ὀργάνοισ δὲ spatio uacuo ins. A[1]   12 ξοῦφον M[1]T   13 καὶ ἔμβολα] ἔμβολα δὲ A   14 τοὺσ—τροφεῖσ spatio uacuo ins. A[1]   καθέτουσ A[1]B   τροφεῖσ A[1]   16 δὲ om. T   καὶ om. M   κλεῖθρα MTA   18 ὁδοῦ T   καὶ οἱ M   20 κλείθροισ MTA   21 λάινον A   κατὰ Valckenaer καὶ MTAB   τὰς] τοὺσ B   21. 22 τοῦ ἀμφίονοσ τὸ ἔργον A   22 κλείθροισ MTA   τῶν om. A   23 καὶ] εἰσ M   τῶν θυρῶν] φησὶ A   24 ἡρμοσμένοι MTA   δὲ om. B

τὰ νῦν καλούμενα πτερὰ, ἅπερ ἐστὶ τῇ κατασκευῇ τοιάδε. θύραν κατασκευάσαντες ἴσην κατά τε μῆκος καὶ πλάτος τῇ πύλῃ τοῦ τείχους ἔξωθεν αὐτῆς χαλκᾶ πέταλα καθηλοῦσιν ὡς ὁλόχαλκον τὴν θύραν νομίζεσθαι. ταύτην ἐπάνω τῆς πύλης ἵστασαν οὐχ ἑδραίαν ἀλλ' ὥσπερ κρεμαμένην. τῶν δὲ πυλῶν κλειομένων καθίεσαν ἄνωθεν τὴν κεχαλκωμένην θύραν, ἥτις μέχρι τοῦ ἐδάφους φθάνουσα ἐκάλυπτε τὰς πύλας ὡς ἂν μηδεμίαν ἐπιβουλὴν γίνεσθαι ἔσθ' ὅτε καὶ πυρὸς προσφερομένου ταῖς πύλαις ξυλίναις οὔσαις. καὶ πολεμίων μὲν πολιορκούντων τάς τε πύλας ἔκλειον καὶ τὰ ἔμβολα καθίεσαν· εἰρήνης δὲ οὔσης διὰ τὸ τὰς πύλας οὔσας μεγάλας δυσχέρειαν παρέχειν ἔν τε τῷ κλείεσθαι καὶ ἀνοίγεσθαι, ταύτας μὲν εἴων ἀνεῳγμένας διὰ παντὸς, ἑσπέρας δ' ἠρκοῦντο τῷ ἐμβόλῳ διά τινος μηχανήματος αὐτὸ καθιέντες καὶ ἀνέλκοντες. ἔμβολον δὲ καλεῖ ἐκ τοῦ ἄνωθεν ἀπὸ τοῦ τείχους ἐμβάλλεσθαι ἔξωθεν τῶν πυλῶν, χαλκόδετον δὲ διὰ τὸ δεδέσθαι καὶ ἠσφαλίσθαι χαλκῷ: — MTAB

115 † λαϊνέοις Ἀμφίονος: Κάδμος ἔκτισε τὰς Θήβας, Ἀμφίων δὲ καὶ Ζῆθος ἐτείχισαν: — AB[i]

† ἆρα αἱ πύλαι καλῶς συνηρμοσμέναι τοῖς κλείθροις· χρὴ ⟨δὲ νο⟩ῆσαι καὶ ὑπακοῦσαι τοῦτο ἔξωθεν. ἢ καὶ αὐτὸς παρὰ τὸ οὐδέτερον ὃ προσεχέστερον ἦν ἐπήνεγκε τὸ ἥρμοσται ἑνικόν· καὶ τὰ χαλκόδετα ἔμβολα, ἤτοι οἱ στρόφιγγες, ἡρμόσθησαν καὶ ταῦτα τοῖς λιθίνοις ὀργάνοις τοῦ τείχους τοῦ Ἀμφίονος· λέγει δὲ ὄργανα λίθινα τὰ κοιλώματα, εἰς ἃ οἱ στρόφιγγες ἐναρμόζονται. ταῦτα γὰρ ὡς ἀληθῶς ὄργανα τοῦ στρόφιγγος· εἰ γὰρ μὴ ταῦτα εἶεν, οὐκ ἄν ποτε ἑλιχθῶσιν ἐκεῖνοι. τινὲς δὲ τὸ ὀργάνοις ἀντὶ τοῦ ἔργοις· ὡς καὶ Σοφοκλῆς 'ξουθοῦ μελίσσης κηρόπλαστον ὄργανον', ἤτοι ἔργον: — A

119 ὁ λευκὴν, λαμπρὰν, ἔχων τὴν περικεφαλαίαν: — M[1]A[g]B[i]

120 ὅστις ἔμπροσθεν ἡγεῖται τοῦ στρατοῦ: — M[1]A[g]B[i]

1 εἰσὶ MT  2 πόλει M  3 χαλκοπέταλα B  4 πύλης] θύρας MTAB ἵστησι M ἵστησιν TA ἱστᾶσιν B  5 καθίεσθαι A καθιᾶσιν B  6 καλύπτει B  πύλας Palat. 343 θύρας MTAB  7 ἐπιβολὴν M  φερομένου A  8 μὲν om. MT  9 καθήεσαν A  τὸ om. MT  10 μεγάλας Palat. 343 om. MTAB  τῷ ἀνοίγεσθαι A  11 δ' ἠρκοῦντο] διηρκ.... A  12 αὐτὸ καθιέντες] ἀντικαθιέντες T  ἔμβαλον T  13 ἐκ τοῦ] διὰ τὸ A  ἔξωθεν τῶν πυλῶν om. A  τῶν om. MT  15 κάδμος δὲ A  16 ἐτείχισεν B[i]  18 αὐτός] αὐτὸ A  περὶ A  19 ἥρμοσθε A  24 ὄργανον A  ξούφου A  26 λαμπρὰν om. A[g] λευκὴν om. B[i]  τὴν om. B[i]  27 στρατοπέδου B[i]

121 ὁλόχαλκον ἀσπίδα περὶ τὸν βραχίονα βαστάζων: — $M^{g}A^{g}B^{l}$

123 λοχαγὸς λέγεται ὁ ταξίαρχος. εἷς τῶν ἑπτὰ λοχαγῶν· 'ἑπτὰ λοχαγοὶ γὰρ ἐφ' ἑπτὰ πύλαις' Σοφοκλῆς ἐν Ἀντιγόνῃ [141]: — $M^{l}A$

125 οὗτος Μυκηναῖος μέν: οἱ νεώτεροι τὴν αὐτὴν Μυκήνην καὶ Ἄργος φασὶν εἶναι. Μυκηναῖός ἐστιν, οἰκεῖ δὲ παρὰ τὴν Λέρνην τὴν ἐν Μυκήναις πηγήν, ὅ ἐστι τὴν ἐν Ἄργει: — AB

126 ἀπὸ μέρους τὸ Ἄργος· Λέρνη γὰρ κρήνη καὶ πόλις Ἄργους: — $M^{g}AB$

Λερναῖα δ' οἰκεῖ: Ἀρίσταρχος [cf. frg. 5]· τοῦ Ταλαοῦ τοῦ Βίαντος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως ⟨τοῦ Αἰόλου⟩ τοῦ Ἕλληνος τοῦ Διός. παῖς Ἱππομέδοντος Πολύδωρος ἢ Δημοφῶν: — MTA

127 ε̄ ε̄ ὡς γαῦρος ὡς φοβερός: ἐπηρμένος τῷ σώματι καὶ διὰ τοῦ σχήματος ἐμφανίζων τὸ αὔθαδες τῆς ψυχῆς: — MTAB

ἄλλως: τὸ ἑξῆς οὖν· ε̄ ε̄ ὡς γαῦρος, ὡς φοβερὸς εἰσιδεῖν ἀστερωπὸς ἐν γραφαῖσι, γίγαντι γηγενέτᾳ προσόμοιος, οὐχὶ πρόσφορος ἁμερίῳ γέννᾳ: —

129 ἀστερωπός: ἀστεροειδεῖς τὸ σῶμα καὶ τὴν ἐσθῆτα γράφουσι τοὺς Γίγαντας πρὸς τὸ φοβερὸν αὐτῶν. ἴσως οὖν καὶ αὐτὸς κατάστικτον ἔχει τὴν πανοπλίαν. τὸ δὲ ἑξῆς· γραπτῷ γίγαντι παραπλήσιος. διὰ μέσου δὲ τὸ ἀστερωπός ἔθηκε δηλῶσαι θέλων τὸν τὸ ὄμμα λαμπρὸν ἔχοντα ὁμοίως ἀστέρι: — MTAB

λαμπρὸς ἐν ζωγραφίαις. ἢ ἀστεροειδὴς καὶ ποικίλος ταῖς γραφαῖς τῆς ἀσπίδος. φέρει γὰρ κατάστικτα ὅπλα: — $M^{l}AA^{g}B$

ὅμοιος: — $M^{g}B^{g}$

οὐχὶ πρόσφορος: ὅμοιος, προσεοικὼς τῇ τῶν ἀνθρώπων φύσει· ἁμέριοι γὰρ ἀπὸ τοῦ πρὸς ἡμέραν ζῆν: — TA

---

5 εἶναι om. B  ὅτι οὖν μυκηναῖόσ ἐστιν B  περὶ AB  6 πηγὴν add. $A^{1}$  in fine add. πηγὴν B  7 καὶ πόλις om. A  τοῦ ἄργουσ A  9 ἀριστάρχω T  τοῦ ἰολάου MT ἰολάου A  10 αἴαντοσ A  ἀμμαθάονοσ A  10. 11 τοῦ Ἕλληνος—παῖς spatio rel. om. A  cf. Paus. II 20,5 Hyg. 71  11 ἱππομέδοντα M  13 τὰ σχήματα MT τὸ σχῆμα A  ἐμφάνεια γὰρ αὔθα A  14 οὖν om. B  ε̄ ε̄ om. A  15 γραφῆισι B  ἀμερία T  17—19 Hesych. ἀστερωπός κατάστικτος  17 ἀστεροειδῆσ MTAB  17. 18 γράψασ A γραπτὸσ B  18 post αὐτῶν add. γράφουσι B  20 ἔθηκασ M  τὸν τὸ] τὸ MTA τὸν B  21 λαμπρῶσ A  22 λαμπρός—ἢ om. AB  ἐν ταῖσ B  23 φέρει—ὅπλα om. $A^{g}$  φέρει A εἰσὶ $M^{l}B$  25 post ὅμοιος add. προσφέρων T  γενέσει καὶ φύσει T

ἄλλως: οὗτος, φησίν, ἀνήμερος καὶ θηριώδης φαίνεται οὐκ ἐοικὼς ἀνθρώπῳ, ἀλλ' ἀνημέρῳ τινὶ γηγενεῖ: — TA

130 ἀμερίῳ γέννᾳ: τῇ ἀνθρωπίνῃ φύσει οὐχ ὅμοιος, ἀλλ' ἀνημέρῳ τινὶ καὶ θηριώδει γηγενεῖ ἐοικώς: — $A^1B^1$

ἀνθρωπίνῃ: — $M^gA^g$

132 θαυμαστικὸς ὁ ἀναδιπλασιασμός: — $M^gA^gB^g$

ἄλλος ἄλλος ὅδε τευχέων τρόπος: ἄλλῳ, φησί, τρόπῳ πεποίκιλται οὗτος καὶ οὐχ ὥσπερ ἐκεῖνος. ἡ δὲ δευτέρα ἐπαγωγὴ τοῦ ἄλλος ὡς ἂν ἐπὶ θαυμάζοντος γίνεται: — MTA

ὁ τρόπος τῶν ὅπλων ἄλλος ὑπάρχων: — $M^gA^g$

133 παῖς μὲν Οἰνέως ἔφυ Τυδεύς: Οἰνέως τοῦ Πορθάονος τοῦ Ἀγήνορος τοῦ Ἄρεως καὶ Εὐρυμεδούσης τῆς Αἰτωλοῦ· οἱ δὲ τὸν Ἀγήνορα Πλευρῶνος ⟨τοῦ Αἰτωλοῦ⟩ τοῦ Ἐνδυμίωνος τοῦ Ἀεθλίου τοῦ Διὸς καὶ Πρωτογενείας τῆς Δευκαλίωνος· μητρὸς δὲ Περιβοίας τῆς Ἱππονόου τοῦ Οἰκλέους τοῦ Ἀστακοῦ τοῦ Ἑρμοῦ καὶ † ἀστάβης τῆς Πηνειοῦ: — MTA

134 ὡς ἔχοντος αὐτοῦ ἐπὶ τῆς ἀσπίδος τὸν περὶ τοῦ συὸς πόλεμον. Καλλίμαχος [frg. 226]· 'εἰμὶ τέρας Καλυδῶνος, ἄγω δ' Αἰτωλὸν Ἄρηα.' τινὲς δὲ Ἄρην τὴν τῶν ὅπλων σκευήν. θέλει δὲ εἰπεῖν ὅτι ἐγχωρίως καθώπλισται ὡς οἱ Αἰτωλοί, τὸ δὲ στέρνον ἀντὶ τοῦ ὅλου σώματος εἶπεν. οἱ δὲ τὴν τῶν πολέμων ἐπιθυμίαν καὶ ἐπιστήμην ὡς τῶν Αἰτωλῶν ἄριστα πολεμούντων: — MTAB

τὰ δὲ ὅπλα Αἰτωλὰ ἐπὶ τῆς ἀσπίδος ἔχει: — $M^1A^g$

135 οὗτος ὁ τᾶς Πολυνείκεος: οὗτός ἐστιν, ὦ γέρον, ὃς ὁμόγαμος καὶ ἀνὴρ τυγχάνει τῆς ἀδελφῆς τῆς νύμφης τοῦ Πολυνείκους, ἀντὶ τοῦ· ὃς ἔχει τὴν ἀδελφὴν τῆς γυναικὸς Πολυνείκους, ὅς ἐστι σύγγαμβρος Πολυνείκους. Ἀργεία δὲ ἐλέγετο ἡ γυνὴ Πολυνείκους, ἀφ' ἧς Θέρσανδρος, Δηιπύλη δὲ ἡ Τυδέως, ἀφ' ἧς Διομήδης: — MTA

---

1 φαίνεται om. A  8 τὸ A  9 ἄλλος ἄλλος MT ἄλλος ἄλλως A ὡς ἂν ἐπὶ om. A  γίνεται] γε MT ἐστι A  11—16 cf. Paus. V 1,3.4 III 13,8 Apollod. I 7,5.6.7.10. 8,4.5 schol. N 218 Ξ 114 Strab. X p. 463 schol. Ap. Rh. IV 57 Con. 14 Diodor. IV 35  14 δὲ Περιβοίας om. A  15 ἰοκλέους MTA corr. Dindorf  ἄστακος A  ἀτάβης A  17 τοῦ om. A 18 εἰ μὴ M εἰμὶ AB  γέρας A  ἐγώ A  αἰτωλός A  ἄρνα M ἄρκα T ἄρκα A ἄρην B  19 δὲ om. T  ἄρη AB  ἐγχώριος M 20 καθώπισται A  ὡς om. M  23 ἐπὶ τῆς ἀσιάτιδος $M^1$  26 τῆς γυναικὸς] τῆς νύμφης τοῦ A  27 ἡ om. T  27. 28 θέσανδρος A 28 τοῦ τυδέως A

† ἕσ ........ ⟨'Αρ⟩γεία ἐκλήθη, ἡ δὲ τοῦ Τυδέως Δηιπύλη. φησὶν οὖν ὅτι οὗτός ἐστιν ὁ ὁμευνέτης τῆς Δηιπύλης τῆς αὐταδέλφης τῆς νύμφης, ἤγουν γυναικός, τοῦ Πολυ⟨νείκους⟩: — A

136 τῆς αὐταδέλφου, τουτέστι ⟨τῆς⟩ ἐκ τοῦ αὐτοῦ πατρὸς καὶ μητρὸς τῆς αὐτῆς: — $M^1M^gTAB^1$

137 ἀντὶ τοῦ ὁ ἀνήρ: — $M^gTAB^1$

ὁμόγαμος κυρεῖ: ἀντὶ τοῦ σύμβιος, παρὰ τὸ ὁμοῦ καὶ ἐπίσης ἄνδρα τε καὶ γυναῖκα τῆς συνουσίας μετέχειν. ἐγάμει δὲ Δηιπύλην Τυδεύς, Πολυνείκης δὲ 'Αργείαν: — $M^1TAB$

138 ἀλλοιόσχημος τοῖς ὅπλοις: — $M^gB^g$

μιξοβάρβαρος: ἐν τέλει γὰρ οἰκοῦντες τῆς Εὐρώπης οἱ Αἰτωλοὶ Ἑλληνικῶν τε καὶ βαρβαρικῶν ἅπτονται φρονημάτων. ἢ ἐπεὶ δοκοῦσι βαρβαρικὸν φρόνημα ἔχειν διὰ τὸν κατ' ἀλλήλων πόλεμον. καὶ Ὅμηρος [I 529]· 'Κουρῆτές τ' ἐμάχοντο καὶ Αἰτωλοὶ μενεχάρμαι': — MTAB

139 σακεσφόροι: ἴσως ὅτι ἐξηλλαγμένοι οἱ Αἰτωλοὶ περὶ τὰς ὁπλίσεις καταστίκτους αὐτὰς ἔχοντες καθάπερ καὶ τὴν ὑπόδεσιν ὥστε τὸν δεξιὸν μὲν ὑποδεδέσθαι πόδα, γυμνὸν δὲ ἔχειν τὸν ἀριστερόν: — MTAB

ἄλλως: καλῶς εἶπεν αὐτὸν μιξοβάρβαρον· οἱ γὰρ Αἰτωλοὶ πάντες * * καὶ ὅπλοις ὁπλίζουσιν ὡς Ἕλληνες, ἀκοντίζουσι δὲ ὡς βάρβαροι. ἴσως γὰρ τότε ἐν τοῖς Θηβαϊκοῖς χρόνοις οἱ μὲν Ἕλληνες ὅπλοις ἐκέχρηντο, οἱ δὲ βάρβαροι ἀκοντίζειν ἠπίσταντο· ὕστερον δὲ καὶ τὸ ἀκοντίζειν μεμαθήκασιν Ἕλληνες: — MTAB

4 initio add. ὁ $M^1$ τῆσ αὐτῆσ ἀδελφῆσ $M^gT$ τῆι αὐταδ´ $B^1$ 4. 5 ἐκ τῆσ μιᾶσ μητρὸσ A 5 in fine add. νύμφησ $M^1$ 6 ἀντὶ τοῦ] οὗτόσ ἐστι A ὁ om. AB 7—9 scholio p. 267,17—22 adi. B initio add. ὁμόγαμοσ δὲ 7 ἀντὶ τοῦ σύμβιος] ἐρμαῖοσ A καὶ τὸ MTA 8 τὸν ἄνδρα καὶ τὴν γυναῖκα A 9 Τυδεὺς om. A Πολυνείκης om. MTB ὁ δὲ πολυνείκησ A 11. 12 ἐν—Ἑλληνικῶν add. $A^1$ 11 τῆσ εὐρώπησ οἰκοῦντεσ $A^1B$ scripserim ἑλλάδος οἱ om. MT 12 τε om. M γὰρ T 14 ὡσ καὶ TA κουρίταισ M 14. 15 μενεχάρμαι spatio rel. om. A om. B 15 in fine add. ἀμφὶ πόλιν καλυδῶνα A 16 ὅτι om. M περὶ om. A 17. 18 cf. Macrob. Sat. V 18,17.20 schol. Pind. Pyth. IV 133 18 τὸν] καὶ τὸν MT ἴσωσ A μὲν om. A 20 καλῶσ δὲ A αὐτὸν] ἀντι τοῦ M 21 ὁπλίζονται B 22 γὰρ] καὶ A χοροῖσ T 23 καὶ om. MT

142 παρὰ τὸ Ὁμηρικόν [E 182] 'ἀσπίδι γινώσκων αὐλώπιδί τε τρυφαλείῃ': — M^gAB^i

ὁ νοῦς· ἃ τότε ἰδὼν σημεῖα ἐπιγινώσκω νῦν ἐξ αὐτῶν τοὺς ὡπλισμένους: — M^gAB^i

143 εἰρήνην: — M^gB^g

145 ἀμφὶ μνῆμα τὸ Ζήθου: ἐπίσημος γὰρ αὐτοῦ ὁ τάφος ὡς κτίστου τῆς πόλεως: — MTA

ἄλλως: κοινὸς μὲν ἀμφοῖν ὁ τάφος Ζήθου καὶ Ἀμφίονος, συλληπτικῶς δὲ εἶπεν. τινὲς δέ φασι τὸν Ἀμφίονα πρὸς ταῖς Προιτίσι * * : — MTAB

διαβαίνει: — M^g

146 καταβόστρυχος: τοῖς βοστρύχοις, τοῖς πλοκάμοις, κατάκομος καὶ τοῖς ὄμμασι καταπληκτικός· τὸ γὰρ κατά πλήθους ἐμφαντικόν: — MTA

γοργὸς εἰσιδεῖν: γοργονώδης φοβερὸς καταπληκτικός: — MTAB^i

ἄλλως: γοργονῶδες ἀποβλέπων τοῖς ὄμμασιν ἅμα καὶ τῶν βοστρύχων παρεχόντων τοῖς ὀφθαλμοῖς τὸ γοργονῶδες: — MTAB

συναπτέον τὸ ὄμμασι γοργὸς εἰσιδεῖν: — M^g

νεανίας ὡς τῷ ἰδεῖν: — M^g

148 στρατηγός: — M^g

ἀντὶ τοῦ λίαν: — M^g

αὐτῷ: — M^g

ἀντὶ τοῦ ὄπισθεν, κατόπιν: — M^g

ὡς ὄχλος νιν ὑστέρῳ: ἀντὶ τοῦ ἐπακολουθεῖ αὐτῷ ὄχλος πολὺς ὀπισθόπους. τινὲς δὲ ἐπὶ κατάρας αὐτὸ δέχονται, οἷον ἐσχάτῳ ποδὶ καὶ μηκέτι ὑποστρέφοντι, ἵν' ᾖ· ὡς ὄχλος νιν ἀμφέπει ἐπὶ ἀπωλείᾳ: — MTAB

149 πανταχόθεν ὡπλισμένος ἐπακολουθεῖ: — M^i

150 Παρθενοπαῖος: ὡς μὲν Ἀντίμαχος [frg. 29], Ταλαοῦ τοῦ

---

1. 2 αὐλώπιδί τε τ spatio rel. om. A 3. 4 scholio quod praecedit adi. M^g add. δὲ post ὁ 3 ὁ νοῦς om. B^i ἃ om. A σημεῖα om. B^i νῦν om. A οὖν M^g τοὺς om. A 8. 9 cf. Paus. IX 17,4 8 κοινῶσ MT ὁ τάφοσ ἀμφοῖν A 9 τινὲς — Προιτίσι om. A πρὸς ταῖς Προιτίσι om. MT τοῖσ B 14 καταπληκτικὸσ φοβερὸσ B^i 16 γοργονῶδες] δεινόν A 18 τὸ M^g 23 ἀντὶ τοῦ om. B ἐπακολουθεῖν M 25 ὑποστρέφοι A 27—p. 270,4 cf. schol. Aesch. Sept. 530 schol. Soph. O. C. 1320 Apollod. I 9,13,1 III 6,3,2. 9,2,1.7 Paus. II 20,5 IX 18,6 III 12,9 Diodor. IV 65,4 Hyg. 70. 270 Serv. Aen. VI 480 27 ἀμφίμαχοσ M post Ἀντίμαχος ins. ἰάσονοσ φησι MT ... φησι A intrusa sunt quae olim separatim legebantur τὴν Ἰάσου φησίν sc. Euripides Ταλαοῦ] τοῦ λαοῦ M

Βίαντος τοῦ Ἀμυθάονος τοῦ Κρηθέως τοῦ Αἰόλου τοῦ Ἕλληνος τοῦ Διός, μητρὸς δὲ Λυσιμάχης τῆς Κερκυόνος τοῦ Ποσειδῶνος· ὡς δὲ Ἑλλάνικος, Μειλανίωνος τοῦ Ἀμφιδάμαντος τοῦ Ἐπόχου τοῦ † ἀργήπου τοῦ Κηφέως τοῦ Ποσειδῶνος, μητρὸς δὲ Ἀταλάντης τῆς Ἰάσου: — MTA

Ἀταλάντης γόνος: ταύτην Μειλανίων ἔγημε τῇ τέχνῃ τῶν μήλων: — M[1]TA

ἄλλως: αὕτη Ἰάσου μὲν θυγάτηρ, Μειλανίωνος δὲ γυνή, Ἀρκὰς τῷ γένει. ἔστι δὲ καὶ ἄλλη Σχοινέως θυγάτηρ, Ἱππομένους γυνή, Βοιωτιακή: — M[1]TAB[i]

151 ἀλλά νιν ἁ κατ' ὄρη: ἀλλ' αὐτὸν ἀπολέσειεν ἡ Ἄρτεμις ἡ μετὰ τῆς μητρὸς αὐτοῦ κυνηγετοῦσα. εἰκότως δὲ τὴν Ἄρτεμιν κατ' αὐτοῦ ἐπικαλεῖται ὡς θυμουμένην κατὰ τῆς Ἀταλάντης, ἐπεὶ πρότερον τὴν παρθενίαν ἠγάπα, ὕστερον δὲ τῷ Μειλανίωνι γαμηθεῖσα κατεφρόνησε τῆς Ἀρτέμιδος. αὕτη δέ ἐστιν ἡ συγκυνηγήσασα Μελεάγρῳ: — MTA[1]B

ἡ κατὰ τὰ ὄρη, ὅ ἐστιν ἡ Ἄρτεμις: — M[K]

152 ὁρμωμένη: — M[K]A[K]

153 πορθήσων: — M[K]

155 διὸ εὐλαβοῦμαι μὴ τὸ δίκαιον σκοπήσαντες οἱ θεοὶ ἀπολέσωσιν ἡμᾶς: — MTA[1]B

156 ποῦ: παρὰ τὸ [Γ 236] 'δοιὼ δ' οὐ δύναμαι ἰδέειν'. δὶς δὲ παρέλαβε τὸ ποῦ τὴν σπουδὴν ἐμφαίνων: — MTA[1]B

157 σὺν δυστυχίᾳ πολλῇ: — M[1]T

ἄλλως: κακομοιρίᾳ· τῷ γὰρ ἐπιθέτῳ διέστειλε τὸ τῆς μοίρας ὄνομα ὂν τῶν μέσων: — M[1]TA[1]B

158 ποῦ 'στι Πολυνείκης, γέρον: Πολυνείκης Οἰδίποδος τοῦ

---

3 μειλινίωνοσ M μειλιῶνοσ T 4 τῆσ om. MT 5 μελανίων M[1]T
7—9 cf. Apollod. III 9,2,7 schol. Ap. Rh. I 769 schol. Stat. Theb. VII 267 habent A et A[1] 7 post αὕτη ins. ἐστὶ A ἐστὶν ἡ A[1]B[i] μελανίωνοσ M[1]TB[i] δὲ om. M[1]T 8 καὶ om. M[1]T γονὴ B[1] om. A 8. 9 βοιωτικὴ B[i] om. A 11 αὐτῆσ A[1] κυνηγετοῦσι M 13 μειλανείω M μειλανίω T μιγεῖσα ἢ γαμηθεῖσα A[1] 14 ἡ καὶ μελεάγρω συγκυνηγετήσασα A[1]B τῶ μελεάγρω T 19 διὸ καὶ B εὐλαβοῦμαι καὶ δέδοικα M
20 in fine add. τοὺσ μὴ θεὸν φοβουμένουσ M τὸν θεὸν φοβουμένουσ T
21 παρὰ τὸ ὁμηρικὸν πᾶν A[1] παρὰ τὸ ὁμηρικὸν B δωιὼ M δοιὰ B δ' om. MT post ἰδέειν add. κοσμήτορε λαῶν A[1]B 22 ἐμφαίνων] τῆσ κόρησ παριστῶν A[1]B 24. 25 scholio 21. 22 adi. A[1]B initio add. πολυπόνω δὲ μοῖρα ἤτοι 24 τὸ] τὸν M[1] ὄμμα A[1] 25 μέσω A[1] 26 ὁ οἰδίποδοσ MT

Λαΐου τοῦ Λαβδάκου τοῦ Πολυδώρου τοῦ Κάδμου τοῦ Ἀγήνορος τοῦ Ποσειδῶνος καὶ Λιβύης τῆς Ἐπάφου τοῦ Διὸς καὶ Ἰοῦς τῆς Ἰνάχου: — MT

159 ἐκεῖνος ἑπτὰ παρθένων: καὶ Σοφοκλῆς ἐν Νιόβῃ [FTG p. 181] ἑπτά φησιν αὐτὰς εἶναι καὶ ⟨ἑπτὰ⟩ τοὺς ἄρρενας: — MTA$^g$B$^1$

ἄλλως: ὁ Ἀριστόδημος [frg. 3] οὐδαμοῦ φησιν ἐν ταῖς Θήβαις τῶν Νιοβιδῶν εἶναι τάφον, ὅπερ ἐστὶν ἀληθές, ὡς αὐτοσχεδιάζειν νῦν ἔοικεν ὁ Εὐριπίδης. περὶ δὲ τοῦ πλήθους τῶν Νιοβιδῶν αὐτός φησιν ὁ Εὐριπίδης ἐν Κρεσφόντῃ [frg. 453]· 'καὶ δὶς ἕπτ' αὐτῆς τέκνα Νιόβης θανόντα Λοξίου τοξεύμασιν'. ὁμοίως καὶ Αἰσχύλος ἐν Νιόβῃ [FTG p. 38] καὶ Ἀριστοφάνης [frg. 284] ἐν Δράμασιν ἢ Νιόβῳ [ὁμοίως ἑπτά φησιν αὐτὰς εἶναι καὶ ἑπτὰ τοὺς ἄρρενας]. Τιμαγόρας δὲ ἐν τοῖς Θηβαϊκοῖς [frg. 3] φησιν ὡς κακῶς πάσχοντες ὑπὸ τῶν περὶ Ἀμφίονα οἱ Σπαρτοὶ ἀνεῖλον αὐτοὺς λοχήσαντες ἀπιόντας εἰς Ἐλευθερὰς ἐπὶ πάτριον θυσίαν, τὴν δὲ Νιόβην εἴασαν ζῆν διὰ Πέλοπα. Φερεκύδης [frg. 102$^b$] δέ φησιν ἔχειν αὐτὴν παῖδας ἕξ, Ἀλαλκομενέα Φηρέα Εὔδωρον Λύσιππον Ξάνθον Ἀργεῖον, θυγατέρας δὲ ἕξ, Χιόνην Κλυτίαν Μελίαν Νέαιραν Δαμασίππην Πελοπίαν. Ἑλλάνικος δὲ ἐν τῇ ἐπιγραφομένῃ Ἀτλαντίδι [frg. 54] ἄρσενας τεσσαράς φησιν, Ἀρχήνορα Μενέστρατον

---

1 λαμβδάκου M   τοῦ Ἀγήνορος om. T   2 τοῦ Διὸς] καὶ διὸς MT   4 ἑπτά — εἶναι] φησὶν εἶναι αὐτὰς τὰς ἑπτά A$^g$   καὶ — ἄρρενας om. A$^g$   τὰς ἄρρενας T   5 ὁ Ἀριστόδημος] ἀντίγονος ἀριστόδημος M   ἐν ταῖς θήβαις φησὶ A$^1$B   6 τὴν MT   ἀποσχεδιάζειν M   νῦν] οὖν MTA$^1$B   7 ὁ om. M   7. 8 φησιν εὐριπίδης ἐν κρεσφαν$^{τ'}$ M   φ. ὁ εὐ. ἐν κρεσφαν$^{τ'}$ T   εὐ. ἐν κρεσφων$^{τ}$ φησί A$^1$   εὐ. ἐν κρεσφόντῃ φ. B   9 Αἰσχύλος] ἐν αἰσχύλῳ T   10 δράμασιν νιόβης Laur. 32, 33 δράματι νιόβης MTA$^1$B em. Dindorf   11 φησιν om. A$^1$B   αὐτὰς om. M   καὶ ἑπτὰ Palat. 343 καὶ M   δὲ ἑπτὰ καὶ TA$^1$B   12. 13 ὑπὸ — ἀπιόντας detrita in M   ὑπὸ — Σπαρτοὶ] οἱ περὶ τὸν ἀμφίονα οἱ σπαρτιάται T   13 λογίσαντες T   ἐλευθέρας MT ἐλευθέραν A$^1$B   καὶ ἐπιπρι M   ἐπὶ πάτρι T   ἐστὶ πάτριον Palat. 343 ἐπὶ πατρικὴν A$^1$B   14 θυσίαν Valckenaer οὐσίαν TA$^1$B οὖσαν M   14. 15 ἄλλοι δέ ἄλλως ἱστοροῦσι περὶ αὐτῆς ὁ μὲν γὰρ φερεκύδης φησὶν A$^1$B   15 αὐτὴν ἔχειν A$^1$B   15. 16 παῖδας — Χιόνην detrita in M   15 ἐξαλαλκομενέος T   Φηρέα Εὔδωρον om. T   15. 16 δύσιπον T   16 καὶ θυγατέρας δὲ A$^1$B   ἕξ om. T   κιόνην TA$^1$B em. Barnes   16. 17 Μελίαν Νέαιραν cl. Apollod. III 5,6,1 Hyg. 11. 69 schol. Stat. Theb. III 191] μεδιανώρην MT μελίαν ὥρην A$^1$B   17 λαμίπην MT λαμίππην A$^1$B   ἐπιγραφῇ MTA$^1$B em. Valckenaer   18. p. 272,1 Ἀτλαντίδι — Πελοπίαν detrita in M   18 ἀτλαντίδι T ἀτλάντιδος A$^1$B   ἀρχίνορα T

Ἀρχαγόραν ⁎, θυγατέρας δὲ τρεῖς, Πελοπίαν Ὠγυγίαν Ἀστυκράτειαν. Ξάνθος δὲ ὁ Λυδὸς [frg. 13] δέκα καὶ δέκα ἐκ Φιλόττου τοῦ Ἀσσυρίου, ὃς ᾤκει ἐν Σιπύλῳ, ὃς ἀνῃρέθη ἐν κυνηγεσίῳ ὑπὸ ἄρκτου: — MTA$^1$B

160 Νιόβης Ἀδράστῳ: Ἄδραστος υἱὸς Λυσιμάχης τῆς Κερκυόνος καὶ Ταλαοῦ [τοῦ Ἀγήνορος τοῦ Καλυδῶνος τοῦ Πλευρῶνος τοῦ Αἰτωλοῦ τοῦ Ἐνδυμίωνος τοῦ Ἀεθλίου τοῦ Διός]: — Palat. 343

παραστατεῖ: εἰκότως τούτῳ παρίσταται καὶ τοῦτον θεραπεύει δι' οὗ τὴν εἰς τὴν πατρίδα κάθοδον προσεδόκα αὐτῷ γενέσθαι: — A$^1$B

161 τρόπῳ τινί: — M$^g$A$^g$B$^i$

162 ἀπεικόνισμα: — M$^g$A$^g$

καὶ τὰ στήθη αὐτοῦ ἐξεικασμένα καὶ ἀφωμοιωμένα: — M$^i$

ὡμοιωμένα: — M$^g$A$^g$B$^i$

163 ὀξυτάτης ταχείας: — M$^g$

ἀνεμώκεος: ταχείας. ἢ τῆς ἀνέμῳ κινουμένης νεφέλης [ἴσως]. διὰ γὰρ ἀνέμου κινοῦνται: — M$^i$TA

τὸ ἑξῆς· ἀνεμώκεος εἴθε δρόμον νεφέλας ἐξανύσαιμι ποσὶ δι' αἰθέρος πρὸς ἐμὸν ὁμογενέτορα φυγάδα μέλεον. περὶ δὲ ὠλένας βάλοιμι τῇ φίλῃ δέρῃ διὰ χρόνου. αὕτη ἡ σύνταξίς ἐστιν, ἐὰν μὴ ἔγκειται τῷ ἐδαφίῳ τὸ ὡς ἴδω· ἐὰν δὲ κεῖται, οὕτως συντακτέον· χρόνῳ μέλεον φυγάδα ὡς ἴδω: — M$^i$TAB

164 πληρώσαιμι: — M$^g$

165 περιβάλοιμί τε τὰς χεῖρας διὰ χρόνου: — M$^g$

167 ἄθλιον: — M$^g$

169 ταῖς ἑωθιναῖς βολαῖς τοῦ ἡλίου ἐοικώς· αὗται γὰρ χρυσίζουσιν: — M$^i$B

λάμπων: — M$^g$A$^g$

171 μετὰ φιλίας, φιλικός: — M$^i$

---

1 ἀρχιγόραν T  post Ἀρχαγόραν spatium in B  δὲ om. A$^1$  πελοπείαν T  ὠγύαν TA$^1$ ὠγυῖαν B  2. 3 cf. Parthen. 33 schol Ω 602  2 δὲ om. MT  λύδιοσ A$^1$B  καὶ δέκα om. MT  φιλοξένου MTA$^1$B em. Valckenaer  3 post Σιπύλῳ spatium fere 11 uersuum in B  5. 6 τοῦ Ἀγήνορος—Διός ex schol. p. 267,11—16 falso adiuncta  6 Αἰτωλοῦ] μένου Palat.  15 διὰ γὰρ om. A  ἀνέμῳ A  κινεῖται T  16—20 scholio quod praecedit adi. M$^i$TA, add. δὲ post τὸ M$^i$T  16 τὸ—ἀνεμώκεος om. B  δρόμοσ M$^i$  δι' om. M$^i$  18 αὕτη δὲ B de A non constat  ἐάν με A  18. 19 τῷ ἐδαφίῳ om. B  19 ἔγκειται B  οὕτω] οὐ MT  συνακτέον MT  μέλεον om. T  19. 20 φυγάδα μέλεον B  24 αὐτῶι B  27 φίλοσ M$^i$

170 ἥξει δόμους τούσδ': τὸν Ὁμηρικὸν Μενέλαον μιμεῖται ὁ Εὐριπίδης ὑπόσπονδον Πολυνείκην ἄγων εἰς τὰς Θήβας, ὡς ἐκεῖνος εἰς τὴν Ἴλιον εἰσῆλθε καταθησόμενος τὸν πόλεμον: — MAB

171 τυγχάνει: — M^g

172 λευκὸν τὸ ἅρμα φησὶ διὰ τοὺς ἵππους: — M^gAB

ἡνιοχεῖ ἐλαύνει: — M^gA^g

ἐπιβεβηκώς: — M^g

173 Ἀμφιάραος: Οἰκλέους τοῦ Ἀντιφάτου τοῦ Μελάμποδος τοῦ Ἀμυθάονος ⟨τοῦ Κρηθέως τοῦ Αἰόλου⟩ τοῦ Ἕλληνος τοῦ Διός, μητρὸς δὲ Ὑπερμνήστρας τῆς Θεστίου τοῦ Ἄρεως: — MT

174 σφάγια δ' ἅμ' αὐτῷ: σφάγια μὲν τὰ ἱερεῖα, ῥοαί δὲ αἱ σπονδαί. ἢ οὕτως· ὧν τὸ αἷμα συμβαίνει παρὰ τὴν γῆν ἐκχεῖσθαι. τὸ γὰρ φιλεῖν καὶ ἐπὶ τοῦ συμβαίνειν τάττεται: — MTAB

ἄλλως: τὸ ἐπίθετον τῆς γῆς ἐπὶ τὰ σφάγια μετήγαγεν. οἱ δὲ γράφουσι γῆς φιλαιμάτου, οἱ δὲ τὸ τέλειον φιλαιμάτοιο λέγουσιν: — MTAB

ὁ νοῦς· ἅτινα σφάγια ῥοαὶ φιλαίματοί εἰσι τῆς γῆς ἡδομένης ἐπὶ τῶν σφαγίων. ἢ αἱ εἰωθυῖαι δι' αἱμάτων γίνεσθαι: — MTA

ἄλλως: τὰ σφάγια τῶν ἱερείων αὐτῷ, τῷ Ἀμφιαράῳ, ἢ διὰ τὸ εἶναι αὐτὸν μάντιν ἢ πολεμικόν, φίλα. καὶ αἱ ῥύσεις τῶν αἱμάτων προσφιλεῖς εἰσιν αὐτῷ ἐπὶ τῆς γῆς: — MTA

175 εὐδαίμονος εὐπρεπεστάτου: — M^gA^g

Ἀελίου Σελαναία: Ἡσίοδός φησιν ἀδελφὴν Ἡλίου τὴν Σελήνην [Theog. 371]· 'Θεία δ' Ἠέλιόν τε μέγαν λαμπράν τε Σελήνην γείνατο'· Αἰσχύλος [frg. 445] δὲ καὶ οἱ φυσικώτεροι θυγατέρα, παρόσον [ἐκ] τοῦ

---

1—3 scholio p. 272,24.25 adi. B add. δὲ post Ὁμηρικὸν  1 τὸ M  post Μενέλαον spatium XII litterarum in B  ὁ om. B  3 ἦλθε M  5 τὸ om. M^g  φησὶ om. A  in fine add. ἐκ γὰρ τῶν ἵππων τὸ ἅρμα λέγει B  8—10 cf. schol. Aesch. Sept. 552 Diod. IV 68,5 Apollod. I 7,10,1 Paus. II 21,2 Hyg. 70. 73  scholio p. 270,26 — p. 271,2 adi. MT  8 ἰοκλέουσ MT  10 ὑπερμ̅ρ̅ασ M  τῆσ θυέστου M τοῦ θυεστίου T  11 αἱ om. MTB  12 post οὕτως ins. ὧν τὸ αἷμα τῆσ γῆσ ῥοαὶ γίνεται ἢ B  13 συμβαίνει A  15 γῆς φιλαιμάτου] τὴν γῆν φιλαιμάτην A  φιλαιμάτιοι MT  17. 18 scholio quod praecedit adi. MTA  18 εἰθυῖαι MA  19 Ἀμφιαράῳ] αρδω M  20 πολέμιον T  φίλα καὶ om. spatio rel. A  αἱ ῥύσεις] αἱρέσεις M  21 προσφιλει M  εἶναι A  24 θείαν τοῦ M θείαν τ' TAB  ε σελήνην spatio uacuo ins. A[1]  σελήνην om. MT  γείνατο om. A deest apud Hesiodum  25 Αἰσχύλος] Εὐριπίδης coni. Nauck

ἡλιακοῦ φωτὸς μεταλαμβάνει. ἀμέλει καὶ πρὸς τὰς ἡλιακὰς ἀποστάσεις μεταμορφοῦται ἡ σελήνη: — MTAB

176 λαμπρὸ⟨ν καὶ περι⟩φερές: — $M^g A^g$

177 καὶ σώφρονα πώλοις: εἰκότως ἡσυχῇ καὶ σωφρόνως ἐλαύνει. οἶδε γὰρ ὡς μάντις τὰ ἀποβησόμενα: — TAB

πάνυ ἡσυχῇ: — $M^g A^g$

ἀντὶ τοῦ σωφρόνως: — $M^g A^g$

178 ἐπ' εὐθείας ἄγει: — $M^g A^g$

179 ἐπαπειλεῖ: — $M^g A^g$

180 Καπανεύς: Ἱππονόου τοῦ Ἀναξαγόρου τοῦ Ἀργείου τοῦ Μεγαπένθους τοῦ Προίτου τοῦ Ἄβαντος τοῦ Λυγκέως τοῦ Αἰγύπτου, μητρὸς δὲ Λαοδίκης τῆς Ἴφιος τοῦ Ἀλέκτορος: — MTA

ἐκεῖνος ἑπτὰ προσβάσεις: τὰς εἰσβάσεις. λέγει δὲ τὰς πύλας: — $MM^i TAA^g$

ἄλλως: τὰς ἑπτὰ κλίμακας τῶν πύργων δι' ὧν εἰς τὸ τεῖχος ἀνέρχονται: — MTA

καταμανθάνει σημειοῦται διασκέπτεται: — $M^i$

πρὸς τὰς πύλας περιέρχεται ἀναμετρῶν: — $M^g A^g$

182 σὺ ὦ Νέμεσις· ἔστι δὲ θυγάτηρ Νυκτός: — $M^g$

μεγαλόηχοι: — $M^g A^g$

183 καὶ ὦ κεραυνοῦ φῶς. προαναφωνεῖ δὲ τὰ συμβησόμενα αὐτῷ: — $M^g A$

καυστικόν: — $M^g A^g$

184 μεγαλανορίαν: μεγαλοφροσύνην. ἢ μεγαλορρημοσύνην οἱονεὶ μεγαληγορίαν. ὑπερηφάνειαν: — $MTAB^i$

τὸν ὑπερήφανον ἄνδρα καταβάλλεις: — $M^i$

ταπεινοῖς: — $M^g A^g$

185 λείπει τὸ ἐπαγγέλλεται: — $MM^g TA$

ὁ νοῦς· οὗτός ἐστιν ὁ τὰς Θηβαίας δορὶ καὶ πολέμῳ παραδώσειν αἰχμαλώτους ταῖς Μυκηναίων καὶ ταῖς Ἀργείων γυναιξὶν ἀπειλῶν ἀπο-

4. 5 scholio p. 273,5 adi. B add. δὲ post εἰκότως 5 post ἐλαύνει add. ὁ ἀμφιάραοσ B 10—12 cf. schol. B 564 λ 325 Hyg. 70 Paus. II 18,4.5 Diodor. IV 68,4 12 ἀλεκτρυόνοσ M 13 ἐκβάσεισ $M^i$ δὲ om. $A^g$ καὶ MTA 21 φῶς] φ (η supra) $M^g$ προανεῖ $M^g$ 25 μεγαληγορίαν om. A ὑπερηφάνειαν om. $B^i$ 28 λείπει] διὰ MA 29 — p. 275,3 scholio quod praecedit adi. M add. δὲ post ὁ 29 θήβασ MTA

καταστήσειν τε ἐν Λέρνῃ καὶ τῇ Ἀμυμώνῃ τῇ γενομένῃ ἐκ τῆς τοῦ Ποσειδῶνος τριαίνης ἐπαγγελλόμενος αὐτὰς ὥστε ὑδρεύσασθαι ἐκ τούτων δούλας γενομένας: — MTA

ἄλλως: τὸ ἑξῆς οὕτως· ὅδ' ἐστὶν ὃς ἐπαγγέλλεται πολέμῳ δουλείαν περιβαλὼν αἰχμαλωτίδας Θηβαίας δώσειν Μυκηναίαις καὶ Λερναίᾳ τριαίνᾳ, τοῖς Ποσειδῶνος καὶ Ἀμυμώνης ὕδασι. διὰ γὰρ τὴν μίξιν τὴν Ποσειδῶνος καὶ Ἀμυμώνης πολύυδρον γέγονε τὸ Ἄργος. τὸν Ὁμηρικὸν δὲ Ἕκτορα ἐμιμήσατο φάσκοντα πρὸς Ἀνδρομάχην [Z 457]· 'καί κεν ὕδωρ φορέοις Μεσσηίδος ἢ Ὑπερείης': — TAB

187 Λερναίᾳ τε δώσειν Τριαίνᾳ: Τρίαινα τόπος Ἄργους ἔνθα τὴν τρίαιναν ἔπηξεν ὁ Ποσειδῶν συγγινόμενος τῇ Ἀμυμώνῃ † ἐξ ἧς καὶ πηγὴ ἀνεδόθη, ἐξ οὗ τὴν ἐπίκλησιν ἔσχεν ἐξ Ἀμυμώνης. εἰπὼν οὖν Τριαίνᾳ ἐπεξηγήσατο διὰ τοῦ Ποσειδωνίοις Ἀμυμωνίοις: — MTAB

ἄλλως: Ἀμυμώνῃ τῇ ἡρωίνῃ μέλλων Ποσειδῶν συγγίνεσθαι ὀρθὴν ἔπηξε τὴν τρίαιναν, καὶ εὐθὺς κατ' ἐκεῖνον τὸν τόπον ὕδατα ἀνέβλυσεν, ὅ⟨θεν⟩ καὶ γέγονε κρήνη αὐτόθι ὁμώνυμος τῇ Ἀμυμώνῃ· ἦν δὲ καὶ ἑτέρα κρήνη ἐν Λέρνῃ. ἀμφότεραι δὲ τοῦ Ἄργους εἰσίν: — MTAB

τῇ Ἀργολικῇ Τριαίνῃ: — M[g]

188 Ποσειδωνίοις: τινὲς οὕτως· λείπει ὁ καί· εἰσὶ γὰρ τὰ κτητικὰ ἀντὶ τῶν πρωτοτύπων· ἵν' ᾖ· Ποσειδῶνος καὶ Ἀμυμώνης ὕδασιν: — MTAB[i]

Ἀμυμωνίοις: Δαναοῦ θυγατέρες Ἵππη Ἀμυμώνη Φυσά⟨δεια⟩ * * * : — A

189 περιβαλὼν αὐταῖς δουλείαν: — M[g]

191 χρυσοπλόκαμε: — M[g]A[g]

194 ἐπειδὴ εἰς κόρον ἦλθες ὧν ἔχρῃζες ἰδεῖν: — M[i]TAB[i]

196 ὄχλος γὰρ ὡς ταραγμός: τὸ ἑξῆς· ὡς ταραγμὸς εἰσῆλθεν

---

1 τοῦ om. A  2 τούτου A  5 περιβάλλων B  καὶ om. B  τε τριαίνα AB τε τρίαινε T  6 καὶ om. A  τὴν (alterum) om. B  τοῦ T  7 τὸ ὁμηρικὸν δὲ T  τὸ δὲ ὁμηρικὸν ὡσ δὲ A  8 τὴν ἀνδρομάχην A  κερ B  9 ἢ om. T  ὑπερόης A  10 ἄργου M  11 ὀρθὴν ἔπηξεν B  11—15 ἐξ ἧς—τρίαιναν om. B  11 ἐξ ἧς] ὅπου A  12 ἐξ ἧσ A  τριαίνη MT  15 ὕδασιν MT  ὕδωρ B  ἀνέλαβεν M  16 ὅθεν—Ἀμυμώνῃ] ὃ καὶ ὃ καὶ τὴν ἐπίκλησιν ἔσχεν ἐξ ἀμυμώνησ B  17 ἐν Λέρνῃ om. MTA  δὲ om. M in fine add. εἰπὼν οὖν τριαίνῃ ἐπεξηγήσατο διὰ τοῦ ποσειδωνείοισ ἀμυμωνείοισ B  19 τινὲσ δὲ A  λείπει] λέγουσιν A  εἰσὶ γάρ] καί εἰσι B[i]  19. 20 τὰ κτητικὰ] τακτικὰ M  20 ἀμύμωνοσ M  ὕδασιν om. B[i]  22 cf. Callim. 5,47  26 ἐκείνων ὧν B[i]  27 τὸ ἑξῆς om. A  ὡσ γὰρ B

εἰς τὴν πόλιν, ὄχλος γυναικῶν χωρεῖ εἰς τὰ βασίλεια, ἵν' ᾖ ὁ νοῦς· παραγενομένων τῶν Ἀργείων καὶ πολεμούντων τοῖς Θηβαίοις ὄχλος γυναικῶν εἰς τὰ βασίλεια παραγέγονεν. λέγει δὲ τὰς τοῦ χοροῦ γυναῖκας αἵτινες νεωστὶ ἦσαν ἀπὸ Φοινίκης ἐλθοῦσαι. ἔνιοι δὲ στίζουσιν εἰς τὸ πόλιν καὶ τὸ χώρει παροξύνουσι καὶ οὕτως ἐξηγοῦνται· ὅτι γὰρ ὄχλος καὶ ταραγμὸς εἰσῆλθεν εἰς τὴν πόλιν, χώρει πρὸς δόμους τυραννικοὺς καὶ μένε ὅπου αἱ γυναῖκες· φιλόψογον γὰρ χρῆμα θηλειῶν ἔφυ· ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ ὅτι: — MAB

198 φιλολοίδορον: — M[g]A[g]

200 ἐπεισάγουσιν: — M[g]

τέρψις: — M[g]

202 Τύριον οἶδμα: ὁ χορὸς ἐκ Φοινισσῶν. ἐπειδὴ οἱ Ἀγηνορίδαι πόλεμον ποιήσαντες τὴν Φοινίκην νῆσον ἐπραίδευσαν καὶ αἰχμαλώτους ἔλαβον, τὰς γυναῖκας τοῦ χοροῦ ἐπιλέκτους ἔπεμψαν τῷ Ἀπόλλωνι. πρὸ δὲ πομπῆς εὐθὺς συνήχθη κατ' αὐτῶν πόλεμος. διὰ δὲ τῶν Θηβῶν ἀποστείλαντες ἠξίωσαν τοὺς Θηβαίους συγγενεῖς ὄντας ἐκπέμψαι τῷ θεῷ εἰς Δελφούς. λέγει γοῦν ταῦτα ὁ χορὸς τῷ Πολυνείκει [280 sq.]: — MTA

ἄλλως: τοῦτο τὸ μέλος στάσιμον λέγεται. ὅταν γὰρ ὁ χορὸς μετὰ τὴν πάροδον λέγῃ τι μέλος πρὸς τὴν ὑπόθεσιν ἀνῆκον ἀκίνητος μένων, στάσιμον λέγεται τὸ ᾆσμα. πάροδος δέ ἐστιν ᾠδὴ χοροῦ βαδίζοντος ᾀδομένη ἅμα τῇ ἐξόδῳ ὡς τὸ [Orest. 140] 'σῖγα σῖγα λευκὸν ἴχνος ἀρβύλης τίθετε'. ἔδει δέ, φασίν, ἀπὸ πολιτίδων ἢ συγγενίδων τῆς Ἰοκάστης τὸν χορὸν εἶναι. αἵτινες ἔμελλον παραμυθήσασθαι αὐτὴν ἐπὶ τοῖς συμβᾶσιν. ἐπίτηδες δὲ οὐκ εἰσιν ἐγχώριαι αἱ ἀπὸ τοῦ χοροῦ, ἀλλὰ ξέναι καὶ ἱερόδουλοι, ὅπως ἐν τοῖς ἑξῆς ἀδεῶς ἀντιλέγοιεν πρὸς τὴν Ἐτεοκλέους ἀδικίαν [526] οὐκ εὖ λέγειν χρὴ μὴ 'πὶ τοῖς ἔργοις καλοῖς. ἀεὶ γὰρ ὁ χορὸς παρρησιαζόμενος τοῦ δικαίου προΐσταται. πῶς οὖν ἔμελλον τὸν βασιλέα ἐλέγχειν, εἰ ὑπ' αὐτοῦ ἐβασιλεύοντο: — MTAB

---

1 ὁ om. A  2 παραγεναμένων M  τῶν om. A  3 τοῦ om. M  τοῦ χοροῦ] τυχούσας A  5 τὸ om. M  οὕτως B οὐκ MA  6 χώρει καὶ M  13 πόλεμον Palat. 343 om. MTA  15 κατ' αὐτῶν] scripserim ὁ ἀπ' Ἀργείων  15. 16 τῶν Θηβῶν δὲ A  17 οὖν MTA  πολυνείκη TA  19 μέρος M  γὰρ om. A  20 μένων] μὲν A  21 ᾠδὶ M  χοροῦ om. MT  22 σῖγα om. B  23 τίθεται MTA τιθεῖτε B  ἀπὸ συμπολιτίδων B ἀπολιτίδων MA  25 αἱ om. A  ἀπὸ om. B  26 ξένοι MTA  ἱερόδημοι MTA  29 ἐβασιλεύοντο ὑπ' αὐτοῦ B

πόλις Φοινίκης: — $M^g$

τὸ κῦμα, τὸ πέλαγος: — $M^g$

203 ἀκροθίνια Λοξίᾳ: κυρίως αἱ τῶν καρπῶν ἀπαρχαί, παρὰ τὸν θῖνα, ὅ ἐστι τὸν σωρὸν τῆς ἅλωνος· καταχρηστικῶς δὲ οὕτως λέγονται καὶ αἱ ἀπαρχαὶ τῆς λείας: — $M^i$TA$B^i$

204 Φοινίσσας ἀπὸ νάσου: οὐ νῆσος, ἀλλ' ἤπειρος ἡ Φοινίκη παράλιος. κατεχρήσατο τοίνυν τῇ φράσει. τινὲς δὲ Φοινίσσας νάσου τῆς Τύρου· νησιάζεται γάρ. οἱ ἀπὸ Ἀγήνορος καταγόμενοι συγγένειαν ἔχοντες πρὸς τοὺς περὶ Ἐτεοκλέα ἃς ἔλαβον αἰχμαλώτους τὴν Τύρον ἑλόντες ἀπέστειλαν αὐτῷ, ἵνα εἰς Δελφοὺς ἀποσταλῶσι διὰ τοῦ Ἐτεοκλέους ἀναθήματα τῷ θεῷ. ἐπεὶ οὖν ἄδηλον ἦν πόθεν ἐληλύθεισαν, αὐτὰς πεποίηκε τὴν κατ' αὐτὰς τύχην ἀπαγγεῖλαι: — MTAB

205 οἷον· πρὸς τὸ εἶναι δούλη τοῦ Ἀπόλλωνος: — $M^g$

206 ὑπὸ ταῖς ἐξοχαῖς: — $M^g$$A^g$

χιονιζομένοις: — $M^g$$B^g$

207 οἰκήσω: — $M^g$

κατενάσθην: τινὲς ἀντὶ τοῦ κατανασθήσομαι. καὶ Σιμωνίδης Ἰάμβοις [frg. 10] 'τί ταῦτα διὰ μακρῶν λόγων ἀνέδραμον', ἀντὶ τοῦ ἀναδραμεῖν μέλλω. ἐγὼ δὲ οἶμαι ὅτι οὕτως ἐστίν· ὅπου, ἐν Φοινίκῃ, κατετάχθην οἰκῆσαι τὸν Παρνασὸν τῇ ἐλάτῃ πλεύσασα: — $M^i$TA$B^i$

208 † Ἰόνιον κατὰ πόντον: Ἰνάχου τοῦ Ἄργου βασιλέως θυγάτηρ Ἰώ. ταύτης Ζεὺς ἠράσθη· Ἥρα δὲ ζηλοτυποῦσα φύλακα αὐτῇ κατέστησεν Ἄργον τὸν πολυόμματον κύνα. τοῦτον Ἑρμῆς κατὰ πρόσταγμα Διὸς ἀνεῖλεν· ὅθεν καὶ Ἀργειφόντης ἐκλήθη. ἡ δὲ Ἥρα μανίαν αὐτῇ ἐμβαλοῦσα διελθεῖν αὐτὴν πέλαγος ἐποίησε· καὶ Ἰόνιον ἀπ' αὐτῆς ἐκλήθη: — T

Ἰόνιον κατὰ πόντον: διαπορεῖται πῶς λέγουσιν αἱ κατὰ τὸν

---

3—5 cf. Hesych. lex. Bachm. p. 56,14 Suid. et. m. p. 53,10 Gud. p. 29,40 Zon. p. 111 Eust. p. 1862,29 3 initio add. ἀκροθίνια A τὸ πέλαγοσ (= 2) ἀκροθίνια δὲ $B^i$ κυρίωσ μὲν $B^i$ αἱ om. $B^i$ 4 ψῖνα MT τοῦ ἅλωνοσ A τῆσ ἅλω $B^i$ οὕτως om. $B^i$ 5 καὶ om. A 6—8 cf. schol. vs. 6 6 φοίνιξ A 7 νάσσου M νήσου AB 8 ἐπαγόμενοι A 10 αὐτῶν T αὐτοὺσ A τοῦ] τὸ T τὰ A 13 ἡλίου $M^g$ 17—20 scholio 3—5 adi. $B^i$ initio add. καὶ τὸ κατενάσθην 18 ἐν ἰάμβοισ $B^i$ detrita in A 19 ὅτι οὕτως] ὅτι Laur. 32, 33 οὕτωσ $M^i$TA$B^i$ ἐστίν om. $M^i$ ἐμφοινίκη $M^i$ 20 κατετάχθη $M^i$T πλεύσασ $M^i$T

χορὸν ἀπὸ Φοινίκης εἰς Δελφοὺς πλεύσασαι κατὰ τὸν Ἰόνιον πόντον καὶ Σικελίαν γεγονέναι καὶ ταῦτα Ζεφύρου πνεύσαντος καὶ ἐναντιουμένου τῷ πλῷ. δεῖ οὖν τὸ ἑξῆς ἀκούειν· Τύριον οἶδμα λιποῦσα ἔβαν ἐλάτᾳ πλεύσασα, διὰ κωπῶν. λοιπὸν τὴν αἰτίαν τοῦ κώπαις αὐτὰς καὶ μὴ οὐρίᾳ πεπλευκέναι ἀποδιδόασι, τὴν τοῦ Ζεφύρου πνοήν, ὃς ἐκ τῶν δυτικῶν πνέων ἀντιβαίνει τοῖς ἀπὸ τῶν ἀνατολικῶν ἐπὶ τὰ δυτικὰ ἐρχομένοις, ὅ ἐστιν ἀπὸ Συρίας εἰς Ἑλλάδα. ἐλάτῃ τοίνυν ἔπλευσα τοῦ Ζεφύρου κατὰ τὸν οὐρανὸν πνεύσαντος καλλίστῳ κελαδήματι ὑπεράνω [τῶν Ἰονίων καὶ] τῶν ἀκαρπίστων πεδίων τῆς Σικελίας, ἅπερ εἰσὶ δυτικά. ἀκάρπιστα δὲ πεδία οἱ μὲν τὰ πολύκαρπα, οἱ δὲ τὰ θαλάσσια πεδία, ὅ ἐστι τὰ ἄκαρπα, ὅπου καὶ ἀτρύγετος λέγεται ἡ θάλασσα. ἔνιοι δὲ Ἰόνιον πόντον ἀκούουσι τὸ κατ' Εὔβοιαν πέλαγος, τὸ περὶ τὴν Ἰονίαν πόλιν Εὐβοίας ἣν ἔκτισεν Ἴων ὁ Ξούθου βασιλεύσας ἔτη κζ, ἵν' ᾖ· ἐλάτᾳ πλεύσασα Ἰόνιον κατὰ πόντον τοῦ Ζεφύρου πνεύσαντος ὑπεράνω τῶν ἀκαρπίστων πεδίων τῆς Σικελίας. Σικελίαν δὲ εἶναι μικρὰν νῆσον μεταξὺ Χαλκίδος καὶ Αὐλίδος· ταύτην δὲ ἄκαρπον εἰρῆσθαι παραβαλλομένην τῇ μεγάλῃ νήσῳ καὶ πολυκάρπῳ Σικελίᾳ. οἱ δέ φασιν Αἰσχύλῳ [Prom. 837] αὐτὸν ἕπεσθαι οἰομένῳ πάντα πόντον Ἰόνιον λέγεσθαι ὃν ἀλωμένη ἐπῆλθεν ἡ Ἰώ· ὅθεν καὶ ὡς ἐναντίου ἀνέμου πνέοντος τοῖς ἀπὸ Φοινίκης πλέουσι κώπῃ πεπλευκέναι φησίν [ἢ καὶ πνεύσαντος ἤδη τοῦ Ζεφύρου καὶ πεπαυμένου, ὅτε γαληνὸν τὸ πέλαγος ἦν ἐν ὥρᾳ ἐαρινῇ]. ὁ δὲ Κράτης φησὶν αὐτὰς δηλοῦν τὴν ὥραν καθ' ἣν ἐκομίσθησαν εἰς τὴν Ἑλλάδα, τὴν μετὰ Ζεφύρου πνοὰς τοῦ φερομένου κατὰ τὸν Ἰόνιον πόντον. σημαίνει οὖν τὸν

1 ἐκπλεύσασαι (om. εἰς Δελφοὺς) Palat. 343 πλεῦσαι MT πλεῦσαι καὶ B detritum in A 3 δεῖ] δι' A λιποῦσαι MT λιποῦσ' B ἐλάταν M 4 δίκωπον M δικώπῳ TAB τῆς κώπης M αὐταῖς A 5 οὐρίαν MT ὅρια A τὴν in τοῖς corr. A¹ post ὃς ins. ἐπεὶ A 6 τοῖς— ἀνατολικῶν] τὴν ἀνατολὴν MT τὴν ἀπὸ A spatio uacuo ins. ἀνατολῶν A¹ τοῖς ἀπ' ἀνατολῶν B 6. 7 ex ἐρχομένην corr. A¹ ἐρχομένην T detritum in M 9 καὶ om. A ἐστι M 10 πεδία (alterum) om. B 11 ὅπου TA ὡς που B detritum in M ἀτρύγετα M ἀτρύγητος T λέγεται om. M ἡ θάλασσα om. B ἔνιοι] οἱ A 12. 13 πέλαγος—Ξούθου om. M 12 τὴν om. B 13 ἴων—κζ spatio uacuo ins. A¹ ξάνθου T κζ A¹B κς T ϒ M ἵν' ᾖ om. M 14 τοῦ om. A ἐπάνω A τῆς om. A 15 αὐλίδος καὶ χαλκίδος A 16—19 καὶ—πνέον spatio uacuo ins. A¹ 18 τὸν πόντον T τόπον B περιῆλθεν MT ἰνώ AB 19 ἐναντίας M 20 πλεύσαντος T 21 ὥρῃ A κρατῖνος M αὐτοῦ M ἀντὶ T αὐτοὺς A 22 ἐκυλίσθησαν TA detritum in M 22. 23 τὰς τοῦ ζεφύρου T 23 φαινομένου MTAB κόλπον A σημείωσαι T

ἐαρινὸν καιρόν. οἱ δὲ λέγουσι τοὺς ἀπὸ Συρίας εἰς τὴν Ἑλλάδα εἰσβάλλοντας τὸν Ἰόνιον πόντον περᾶν: — MTAB

τῇ κωπηλασίᾳ: — M[g]

209 τῶν σφοδρῶς χεομένων. ἢ κύκλῳ ῥεομένων. ἀκάρπιστα δὲ πεδία τὴν θάλασσάν φησιν, ἐπεὶ πεζεύειν αἱ νῆες δοκοῦσιν ὀχήματος τρόπον· ὡς καὶ Ἴων λέγει [frg. 60]· 'ὅταν δὲ πόντου πεδίον Αἰγαῖον δράμω' καὶ Αἰσχύλος Νηρεῖσι [frg. 146]· 'δελφινηρὸν πεδίον πόντου διαμειψάμεναι': — MTAB

† ἄλλως: τὸ ἑξῆς τοῦ λόγου· ἐπλεύσαμεν ἐλάτῃ Ζεφύρου πνεύσαντος ἄνωθεν ἐξ αἰθέρος διὰ τοῦ σφοδροτάτου πελάγους τῆς Σικελίας περὶ τὸ στενόν, ὅ ἐστι τὸ Ἰόνιον πέλαγος, εἰς ὃ ἐμβάλλουσιν οἱ ἀπὸ Συρίας εἰς Ἑλλάδα ἀπιόντες: — TA

210 ὑπεράνωθεν πολυκαρπίστων: — M[g]

211 Ζεφύρου πνοαῖς: ἀπὸ τοῦ οὐρανοῦ σφοδρῶς πνεύσαντος. καλῶς δὲ τὸ ἐξ οὐρανοῦ αὐτὸν λέγει πνεῖν, ἐπεὶ ἐν ὕψει κεῖται ἡ Σικελία: — M[t]TA

ἄλλως: σφοδρῶς καταπνεύσαντος ἐξ ὕψους τὸ κάλλιστον ἑαυτοῦ πνεῦμα. κάλλιστον δέ φησιν αὐτὸν ἔχειν πνεῦμα, εἰ καὶ ἐναντίος τῷ χορῷ γέγονεν, ὅτι ἡδύς ἐστιν ὁ Ζέφυρος θέρους ὥρᾳ πνέων εἰς εὐρωστίαν· ὡς Ὅμηρος [δ 567]· 'ἀλλ' αἰεὶ Ζεφύροιο λιγὺ πνείοντος ἀήτας Ὠκεανὸς ἀνίησιν ἀναψύχειν ἀνθρώπους'. τὸ φύσει οὖν κάλλιστόν φασιν, οὐ τὸ ἑαυταῖς κάλλιστον· ἐναντίον γὰρ ἦν: — M[t]TAB

212 δραμόντος: — M[g]A[g]

214 ἐπιλεχθεῖσα: — M[g]A[g]

ἐπιλεχθεῖσα ἐγὼ ἐκ τῆς ἐμῆς πόλεως ὡς καλλιστεύματα καὶ ἀγάλματα τῷ Λοξίᾳ. ὡς πρὸς τὸ σημαινόμενον δὲ ἀπέδωκεν· ἐκ πολλῶν γὰρ ὁ χορός: — TA

215 ἐπίλεκτα δῶρα: — M[g]A[g]B[g]

---

2 κόλπον A 4—8 scholio p. 277,27—p. 279,2 adi. TA add. καί, de M non constat 4 χεομένων] ῥεομένων TAB detritum in M ῥεομένων] χεομένων MTAB 6. 7 ὀχήματος — δράμω detrita in M 7 δράμω Arsenius δράκω TAB δελφίνηρον Palat. 343 δελφίνορον MTAB 8 διαμειψάμενοι M 12 ἐπιόντες T 15 λέγει post δὲ coll. A 17 καταπνεύσαντα M 18 αὐτόν φησιν B ἐναντίως A ἐναντίον B 19 ἡδύσις B πνέων ὧραι θέρους B 20 ὡς καὶ A πνέοντος T πνέοντας M πνείοντας AB 21 ἀνθρώποισι MT ἀνθρώποισιν A φησὶν AB 22 οὐ τὸ B αὐτὸν MT ἑαυτὸν A ἑαυταῖς om. A 25 ὥστε T καλλίστευμά τι A 25. 26 ἄγαλμα A

216 ἐνταῦθα εἰς τὴν τῶν Καδμείων γῆν ἀποσταλεῖσα εἰς τοὺς οἴκους τοῦ Λαΐου καὶ τούτου τοὺς παῖδας συγγενεῖς ὄντας τῶν κλεινῶν Ἀγηνοριδῶν. τῶν γὰρ Ἀγήνορος οἱ μὲν τὰς Θήβας ᾤκησαν, οἱ δὲ τὴν Φοινίκην, οἱ δὲ ἄλλην χώραν: — M[i]T

217 κλεινῶν Ἀγηνοριδᾶν: τινὲς εἰς τὸ Ἀγηνοριδᾶν στίζουσι· τὸ δὲ ὁμογενεῖς ἀντὶ τοῦ συγγενεῖς ἡμῖν: — M[i]TAB

ἐπὶ τοὺς ὁμογενεῖς τῶν Ἀγηνοριδῶν πύργους τοῦ Λαΐου πεμφθεῖσα ἐνθάδε. Ἀγήνορος δὲ παῖδες Κάδμος Θάσος Κηφεὺς Κίλιξ Φοῖνιξ Εὐρώπη Φινεύς: — M[i]TAB

218 πρὸς τοὺς συγγενεῖς: — M[g]B[g]

ἐπὶ Λαΐου: ἐπὶ τοὺς πύργους τοῦ Λαΐου πεμφθεῖσα, ὅ ἐστι τὰς Θήβας. ἢ πύργους φησὶ τοὺς υἱοὺς Ἐτεοκλέα καὶ Πολυνείκην· ὁμογενεῖς δὲ τῶν Φοινίκων: — M[i]TAB

220 ἀντὶ τοῦ· οὐ τὸ τυχὸν δῶρον ἐπέμφθην: — M[g]

ἶσα δ' ἀγάλμασι: ἀντὶ τοῦ· ὁμοίως καὶ ἴσως ἀγάλμασι χρυσέοισιν, ὥσπερ τι διὰ χρυσοῦ κατεσκευασμένον ἀνάθημα, οὕτως ἐπέμφθην.

λάτρις ἐγενόμην δὲ ἤτοι γενήσομαι, ἵν' ᾖ ὡς τὸ κατενάσθην [207], ἢ λάτρις καὶ δούλη ὠνομάσθην καὶ ἐτιμήθην: — M[i]TAB

221 ἡ πᾶσα τῷ θεῷ ἀφιέρωμαι, ἔτι δέ μοι ταῦτα περιλιμπάνεται ἀτελῆ, τὸ λούσασθαι ἐν τῇ Κασταλίᾳ: — M[i]TAB[i]

223 τὴν ἐμὴν κεφαλήν: — M[g]

224 † δεῦσαι παρθένιον: λείπεται οὖν, φησίν, ἐναπολούσασθαί με τῷ τῆς Κασταλίας ὕδατι καὶ διαβρέξαι τὴν ἐμαυτῆς κόμην, ἵνα ἁγνὴ γενομένη οὕτως τοῖς θεοῖς λατρεύοιμι. Κασταλία δὲ πηγὴ ἐν Πυθίᾳ, εἰς ἣν λούουσι τὰς ἱεροδούλους παρθένους μελλούσας θεοπρόπιον φθέγγεσθαι παρὰ τῷ τρίποδι: — TAB

---

3 ᾤκισαν M[i] 6 τὸ δὲ om. T ἀντὶ — συγγενεῖς om. M[i] ὁμογενεῖσ B 7—9 scholio quod praecedit adi. B add. ἢ 7 τοῦ om. AB 10 πρὸσ τοῦσ B[g] γρ καὶ M[g] 11—13 scholio 7—9 adi. B initio add. ἐπὶ λαΐου δὲ ἤγουν 12 φασὶ B λαΐου A fortasse υἱωνοὺς τὸν ἐτεοκλέα A καὶ om. B 15—18 scholio 11—13 adi. B add. ἶσα δὲ 15 ἀντὶ τοῦ om. A 15. 16 χρυσέοισ A 16 ἐπέμφθη T 17. 18 cf. schol. vs. 207 17 κατευνάσθην M[i] 18 δούλη καὶ λάτρισ M[i] 19. 20 scholio quod praecedit adi. M[i]TA 19 ἀφιερωμένη T ἀπολιμπάνεται M[i] παραλιμπάνεται T 22 λείπει TB ἄρα A φησί μοι TB 25 λύουσι T λέγουσι B post παρθένους ins. λούεσθαι B θεοτρόπιον T 25. 26 φθέγξασθαι B

† ἄλλως: αὐτὴν τὴν Κασταλίαν φησὶ παρόσον παρθένων μόνον ἐστὶ λουτρόν. ἢ τὰς κόμας, αἳ κάλλος καὶ τρυφή εἰσι τῶν παρθένων: — TAB

† ἄλλως: τὰς κόμας δεῦσαι Φοιβείαισι λατρείαις: — A

226 ὦ Παρνασέ: — M[g]TAB[1]

227 διπλοῦν: — M[g]B[g]

δικόρυφον σέλας: δικόρυφον αὐτὸν εἶπεν ἐπείπερ ἐν ἀμφοτέραις ταῖς ἄκραις τοῦ Παρνασοῦ εἰσιν ἱερά, τὸ μὲν Ἀρτέμιδος καὶ Ἀπόλλωνος, τὸ δὲ Διονύσου. ἐπεὶ τοίνυν ἐν ἑκατέρᾳ πῦρ ἀνάπτεται πρὸς τὰς θυσίας, ἀναγκαίως καὶ τὸ πῦρ δικόρυφον εἶπεν ἅτε δὴ ἐν ἑκατέρᾳ ἄκρᾳ ἀναπτόμενον. οὐκ ἀπὸ τῶν δύο δὲ κορυφῶν ἀναδίδοται αὐτόματον πῦρ, ἀλλ' ἀπὸ ἑνὸς ἄκρου· δοκεῖ δὲ τοῖς κάτω ἐκ δύο ἀναδίδοσθαι διὰ τὸν ἐπίπροσθεν σκόπελον καὶ ὥσπερ ἐξ αὐτοῦ ἐπιμερίζεσθαι τὸ πῦρ: — TAB

ὑπὲρ ἄκρων βακχειῶν: εἰς τὴν τοῦ Διονύσου κορυφήν φασιν εἶναι ἄμπελον ἥτις καθ' ἑκάστην ἡμέραν ἕνα βότρυν ἔφερεν, ἐξ οὗ ἡ σπονδὴ τῷ Διονύσῳ ἐγίνετο. οἰνάνθη δὲ λέγεται ἡ πρώτη ἔκφυσις τῶν βοτρύων. οἰνάνθας οὖν βότρυν τὸν ἐξ οἰνάνθης βότρυν προκόπτοντα. οἴνη δὲ καλεῖται αὐτὴ ἡ ἄμπελος. Σοφοκλῆς δὲ ἐν Θυέστῃ [frg. 235] ἱστορεῖ καὶ παρ' Εὐβοεῦσιν ὁμοίαν ἄμπελον εἶναι τῆς ἐν Παρνασῷ λέγων οὕτως·

ἔστι γάρ τις ἐναλία
Εὐβοιὶς αἶα· τῇδε βάκχειος βότρυς
ἐπ' ἦμαρ ἕρπει. πρῶτα μὲν λαμπρᾶς ἕω
κεκλημάτωται χλωρὸν οἰνάνθης δέμας·

---

1. 2 scholio quod praecedit adi. B initio add. παρθένιον δὲ χλιδὴν, bis scripta in T 1 παρ' ὅσων B παρθένῳ T μόνων B 5 scholio 7—13 praepos. TA initio add. ἀντὶ T initio add. ἰὼ πέτρα λάμπουσα πρὸς δικόρυφον σέλας B[1] 7 ἐπείπερ ἐν om. TA 8. 9 ἀπόλλωνος καὶ ἀρτέμιδος T ἀρτέμιδος καὶ ἡλίου A 10 ἀνάγκη T τούτου χάριν B 12. 13 διὰ τὸν B τὸ TA 13 σκόπελον] πῦρ A ὥσπερ καὶ A τὸ πῦρ] τὸν σκόπελον A 15 εἰς τὴν τοῦ om. MTA 15. 16 εἶναί φασιν M 17 ἐγένετο TB 17—19 cf. Hesych. Phot. Suid. 18 οἰνάνθης] οἰνάνθος T 19—p. 282,4 cf. schol. Soph. Ant. 1133 schol. N 21 Steph. Byz. p. 479,10 19 δὲ (alterum) om. A 23 Εὐβοιὶς αἶα Cobet εὐβοήσασα MTA εὐβοίσασα B βάκχειος] βάκοσχρος T 24 λαμπρᾶς ἕωι B λαβραδέω MT λαβρασεω A ut uidetur 25 καὶ κεκλ. B χῶρον MTA χῶρος B em. Bergk εὐανθὲς MTA εὐανθης B em. Barnes

εἶτ' ἦμαρ αὔξει μέσσον ὄμφακος τύπον,
γλυκαίνεταί τε κἀποπερκοῦται βότρυς·
δείλῃ δὲ πᾶσα τέμνεται † βλαστουμένη
† ὀπώρα καλῶς κἀνακίρναται ποτόν: — MTAB

τὸ βακχειῶν περισπωμένως, ἵν' ᾖ· ἐκ τῶν τόπων ἐν οἷς βακχεύει ὁ Διόνυσος: — M[i]B[i]

229 οἴνα θ' ἃ καθαμέριον: καὶ ὦ ἄμπελε, ἥτις τὸν πολύκαρπον βότρυν στάζεις ἀπὸ τῆς οἰνάνθης καθ' ἑκάστην τῷ Διονύσῳ αὐτὸν ἐκπέμπουσα. οἰνάνθη δὲ ἡ πρώτη ἔκφυσις τῆς σταφυλῆς: — MAB

232 ὦ θεῖα ἄντρα καὶ ὑψηλοὶ τόποι τῶν νυμφῶν: — M[g]A

ἄντρα δράκοντος: τοῦ Δελφύνου ὑπὸ τὸν Παρνασὸν δείκνυταί τι σπήλαιον: — MTAB[i]

233 φησὶ τὸν Κατοπτευτήριον τόπον οὕτως καλούμενον ἐν Παρνασῷ, ὅθεν κατοπτεύσας Ἀπόλλων τὸν Δελφύνην κατετόξευσεν: — MTAB

234 ἱερὸν ἑλίσσων: τινὲς στίζουσιν εἰς τὸ ἱερόν. τὸ γὰρ ἑλίσσων ἀντὶ τοῦ περιχορεύων. περισσὸς ὁ τέ, ἵν' ᾖ· γενοίμην χορὸς τῆς θεοῦ ἑλίσσων ἐν ταῖς χορείαις τὸ ὄρος. οἱ δὲ στίζουσιν εἰς τὸ ὄρος ἱερὸν ἑλίσσων, ἵν' ᾖ· καὶ σύ, ὦ Ἄπολλον περιέπων τὸν Παρνασόν: — MTAB

235 ἀντὶ τοῦ περιχορεύων: — M[g]

τῆς Ἀρτέμιδος. κοινὰ γὰρ αὐτῆς καὶ Ἀπόλλωνός εἰσι τὰ μυστήρια: — M[g]B[i]

236 οἱ γὰρ ἱερόδουλοι οὐδένα φοβοῦνται: — M[g]A[g]B[i]

---

1 αὔξει Palat. 343 ἄξει TAB ἀξει M μέσον MTAB 2 γλυκαίνεταί Meineke καὶ κλίνεται MTAB τε B γε MTA κἀπιπερκοῦται coni. Nauck 3 δήλῃ TA δέλῃ B 3. 4 κλάστου χερὶ μέλαιν' ὀπώρα coni. Meineke et Nauck 4 κἀκκιρνᾶται A 5 τὸ δὲ βακχειῶν περιπομένωσ M[i] περισπωμένωσ τὸ βακχειῶν B[i] 7 καὶ om. B 8 ἀποστάζεισ B οἰνάνθασ B καθ'—Διονύσῳ om. B τὰ διονύσου A 11. 12 ὑπὸ τὸν παρνασὸν δείκνυται σπήλαιον τοῦ ... A 11 δελφίνου M δελφινιου B[i] 12 τι om. B[i] 13. 14 scholio quod praecedit adi. MT initio add. σκοπιαὶ δὲ et om. φησί, scholio 7—9 B add. σκοπιᾶσ δὲ θεῶν φησὶ 14 δελφῖνα MT δέλφιν A δελφῦν B 15 τινὲς om. MT γὰρ] δὲ B 16. 17 γενοίμην—ὄρος] καὶ σὺ ὦ ἄπολλων περιέπων τὸν παρνασόν MT 17 τοῦ θεοῦ A ἑλίσσων om. spatio rel. A 18 ἱερὸν ὄροσ A 18. 19 καὶ—Παρνασὸν] γενοίμην χορὸσ τῆσ (τοῦ T) θεοῦ ἑλίσσων ἐν ταῖσ χορείαισ τοῦτο (om. T) τὸ ὄροσ MT 18 ὦ om. A 21 Ἀπόλλωνός] ὁ ἥλιος M

237 μεσόμφαλον εἶπε τὴν Πυθίαν, ἐπεὶ κατὰ τὰ κοιλώματα τοῦ ὄρους μέσον τῆς γῆς κεῖται, ἐν ᾗ οἱ Δελφοί: — M[g]

γύαλα Φοίβου: τὰ κοιλώματα τοῦ ὄρους. τοιαῦται γὰρ αἱ φύσεις τῶν ὀρῶν, ἐν ὕψει καὶ ἐν βάθει συγκείμεναι: — MTAB[i]

238 ὄνομα κρήνης οὕτως καλουμένης: — M[g]

Δίρκαν προλιποῦσα: ἐκεῖ ὁ Κάδμος τὸν Δελφύνην φονεύει προνοίᾳ τῆς Ἀθηνᾶς μετὰ λίθου. οὗτος δὲ ὁ δράκων λέγεται εἶναι Ἄρεως, ὃς ἐφύλαττε τὰ νάματα τῆς Δίρκης: — MTA

239 νῦν δέ μοι πρὸ τειχέων: ὁ δέ ἀντὶ τοῦ γάρ. κατὰ ἀνάκλασιν δὲ ὁ πᾶς λόγος προῆκται ἔχων οὕτως· ἰὼ Παρνάσιον ὄρος λάμπον διπλῇ λαμπηδόνι σύ τε, ὦ αὐτόθι ἐκβλαστάνουσα ἄμπελε, καὶ ὦ θεῖον ἄντρον τοῦ δράκοντος οὔρειαί τε σκοπιαὶ θεῶν σύ τε, ὦ δέσποτα Ἄπολλον, ὃς τὸ κατανιφόμενον ὄρος ἀμφιέπεις, εἴθε χορεύσαιμί σοι καὶ τῇ Ἀρτέμιδι ἄφοβος τοῦ λοιποῦ γενομένη. νῦν γὰρ ἡμᾶς ὁ παρὼν πόλεμος ἐκφοβεῖ καὶ δέδοικα μὴ καὶ δεύτερον αἰχμάλωτος γένωμαι. εἴθε οὖν, φησί, παρ' ὑμῖν γενοίμην, ἵνα ἀσφαλῶς τοῦ λοιποῦ διάξαιμι: — MTAB

240 ὁρμητικός: — M[g]A[g]

241 πόλεμον κινεῖ. οἷον· πόλεμον ἀκμαῖον διεγείρει: — M[g]A[g]B[i]

246 Φοινίσσα χώρα: γράφεται καὶ Φοίνισσα χώρα ἀπὸ εὐθείας, ἵν' ᾖ ἀπὸ κοινοῦ τὸ πείσεται· εἴ τι πείσεται ἅδε γᾶ, κοινὰ πείσεται καὶ ἡ Φοίνισσα χώρα: — MTAB[i]

ὑπομενεῖ ἡ Φοινίκη χώρα ὅσα ὑπομενεῖ ἡ ἑπτάπυργος γῆ: — M[i]

248 τᾶς κερασφόρου: τῆς μεταβληθείσης εἰς βοῦν κερασφόρον, τῆς Ἰοῦς, ὑπὸ τοῦ Διὸς ὑφορωμένου τὴν ζηλοτυπίαν τῆς Ἥρας: — MTA

249 ὧν, τῶν ἐκγόνων τῆς Ἰοῦς, φροντίζω τῆς εὐτυχίας καὶ οἰκειοῦμαι τοὺς πόνους: — M[i]AB[i]

250 ἀμφὶ δὲ πόλιν: ὁ δέ ἀντὶ τοῦ γάρ· ἀμφὶ γὰρ πόλιν τὸ

---

4 συγκειμένων MTB[i] συγκείμενα A 6 δελφύναν M δελφὸν T δελφίνα A 7 οὗτος—εἶναι om. M 10 ὁ πᾶς ὁ M λάμπων M 11. 12 θεῖα ἄντρα AB 15 δεύτερον om. A 16 φησὶ om. A διάξοιμι MTA 18 πόλεμον κινεῖ om. A[g] πόλεμον—οἷον om. B[i] in fine add. τῇιδε τῆι πόλει B[i] 20 γράφεται—χώρα om. M γράφεται καὶ] γράψον δὲ A 20. 21 πρὸσ εὐθεῖαν B[i] 21 κοινῆσ οὐ M εἴ τι] ἤτοι T ἅδ' ἐγὼ MT ἆδ' ἐγὼ A κοινὰ om. B[i] 22 ἡ om. B[i] χώρα om. A 23 ὑπομείνει M[i] ὑπομένει M[i] 25 τῇ ζηλοτυπίᾳ A 26 φροντίζω τῆσ ἰοῦσ B[i] τῆς] τᾶσ A 26. 27 κοινοποιοῦμαι B[i] 28 ὁ—πόλιν om. B

νέφος τῶν ἀσπίδων φλέγει καὶ οἱονεὶ ἀστράπτει σχῆμα καὶ σημεῖον μάχης. οἰκεῖον δὲ τῇ συννεφείᾳ τὸ ἀστράπτειν: — MTAB

251 λάμπει: — M$^{g}$

252 ὅ ἐστι πῦρ: — M$^{g}$

ἄλλως: σύμβολον μάχης: — M$^{g}$

ὄψιν φονευτικοῦ: — M$^{g}$

253 ἂν Ἄρης τάχ': ἣν ὁ Ἄρης γνώσεται. ὁ δὲ νοῦς· ἣν μάχην φέρων τοῖς παισὶν Οἰδίπου ὁ Ἄρης ταχέως πορευθήσεται. ἄμεινον δὲ τὸ εἴσεται ἀντὶ τοῦ ὁρμήσει: — MTAB

254 κομίζων βλαπτικῶν θεῶν βλάβην: — M$^{1}$B$^{g}$

257 γράφεται τὰ σᾶν ⟨ἀλκᾶν⟩: — M$^{g}$

258 καὶ τὸ θεόθεν: τὸ δίκαιον καὶ τὴν παρὰ τῶν θεῶν συμμαχίαν ἀεὶ τοῦ δικαίου προϊσταμένων καὶ τοῖς δικαίως ἐπεξιοῦσι συνερχομένων: — MTAB

260 ὃς ἀπαιτεῖ τὴν βασιλείαν καὶ ἐκδικεῖ: — M$^{1}$A$^{g}$

261 τὰ μὲν πυλωρῶν: τὰ μὲν θυρώματα τὰ ἐπιτετραμμένα τοῖς θυρωροῖς: — MTAB

262 δι' εὐχερείας, δι' εὐμαρείας: — M$^{1}$B$^{g}$

263 ὃ καὶ δέδοικα: διό, διὰ τὴν εὐμάρειαν. διὰ τὸ εὐχερῶς με ὑποδέξασθαι τοὺς φύλακας ὑποπτεύω μὴ δόλος ἐστίν: — MTAB

γράφεται μή με: — M$^{g}$

νῦν τειχέων: — M$^{g}$

264 οὐ μεθῶσ' ἀναίμακτον χρόα: ἡ μὲν γραφὴ οὐκ ἐκφρῶσιν. οἱ οὖν ὑποκριταὶ διὰ τὸ δυσέκφορον μεταπλάττουσι τὴν λέξιν. καὶ Φιλόξενος ἐν τῷ περὶ μονοσυλλάβων ῥημάτων, ὅτε διαλαμβάνει περὶ τοῦ φρῶ, ταύτην τὴν χρῆσιν φέρει: — AB

ἄτρωτον: — M$^{g}$B$^{g}$

---

1 καὶ φλέγει καὶ M  2 συφεία M  5 ἄλλως] ἀλλὰ M$^{g}$  8 ὁ om. M  ὁ Ἄρης om. B sed post πορευθήσεται add. καὶ ἄρης  9 ἄμεινον — ὁρμήσει om. T  δὲ — τοῦ] γὰρ οὕτω A  in fine add. πορευθήσεται M  10 βλαπτικὴν M$^{1}$  12 initio add. θεόθεν MT θ . . . . A  13 προϊσταμένην MAB προϊστάμενος T  δικαίοις MTAB  ἐπαξίως B  13. 14 συνερχομένην MTB de A non constat  17 πυλωροῖς B  19. 20 scholio quod praecedit adi. B initio add. δι' εὐκολίας με ὑπεδέξαντο ὅθεν καὶ et om. διὸ — εὐμάρειαν  19 διὸ διὰ] διὰ δὲ A  διὰ] καὶ A  19. 20 εὐμαρῶς καὶ εὐχερῶς B  23 ἡ μὲν γραφὴ B οἱ μὲν γὰρ A  24 μεταπλάζουσι A  25 μονοσυλλάβου ῥητέον A  26 τὴν χρῆσιν ταύτην A  φέρει Kirchhoff φησίν AB

265 μετενεκτέον σκοπητέον: — M$^{g}$

266 ἐνέδρα: — M$^{g}$B$^{g}$

267 ὡπλισμένος δὲ χεῖρα: ἀνόητον, φασί, τὸ ξίφει πιστεύειν, ταῖς σπονδαῖς δὲ μήπω, εἰ δὴ μόνος ὢν κρατῆσαι ἠδύνατο ἐπιβουλευόντων τοσούτων. ἀγνοοῦσι δὲ ὅτι οἱ μετὰ ἀνάγκης ἐπί τινα κίνδυνον ἐρχόμενοι οὐκ ἐκ τῶν ἐνδεχομένων θηρᾶσθαι τὴν ἀσφάλειαν ἐθέλουσιν, ἀλλ' οἵαν παρὰ τοῦ καιροῦ λαμβάνουσι, καὶ οἱ ἐπ' ἐρημίας μετὰ ξιφιδίου πορεύονται ἧττον μὲν ὡπλισμένοι τῶν ὑποπτευομένων θηρῶν ἢ λῃστῶν, ἄμεινον δὲ τῶν ἀνόπλων. τοῦτο καὶ Πολυνείκει συνέβη· ἀναγκασθεὶς γὰρ ἐπὶ διαλλαγαῖς εἰς τὰς Θήβας ἐλθεῖν ἔρχεται μὲν ἵνα μὴ δόξῃ δύσερις εἶναι, δόλον δὲ ὑποπτεύων τὴν ἀσφάλειαν κατὰ τὸ δυνατὸν ἐπορίσατο: — MTAB

268 τὰ πίστ' ἐμαυτῷ: τὴν πίστιν τοῦ θαρρεῖν, ὅ ἐστι τὴν ἀσφάλειαν τοῦ θαρρεῖν: — MTAB

οἷον· ἄρα θρασύνομαι τῷ ξίφει πιστεύων: — MTA$^{g}$

τὰ ἀσφαλῆ ἐμαυτῷ διὰ τοῦ θράσους παρέξω: — M$^{1}$

269 ἐπίφθεγμα ἀνακλήσεως: — M$^{g}$B

ἢ κτύπον φοβούμεθα: τὸν κτύπον * * ἀποφαντικῶς· ὄντως κενὸν ψόφον ὑφορώμεθα: — MTAB

271 ἀλλάσσει πορεύεται: — M$^{g}$

273 μετὰ φιλίας, φιλικόν: — M$^{g}$

274 βοήθεια: — M$^{g}$

βώμιοι γὰρ ἐσχάραι: ὥστε καταφυγεῖν ἐπ' αὐτούς, εἰ δέοι. τοῦτο δὲ οὐ συνῳδὸν τῷ [267] ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ. θρασύδειλον γὰρ τὸν Πολυνείκην παρίστησι πρῴην μὲν φάσκοντα ὡπλισμένος δὲ χεῖρα τῷδε φασγάνῳ τὰ πίστ' ἐμαυτῷ τοῦ θράσους

---

3 ἀνοήτως A  τῷ MTAB  4 σποδαῖς M  εἰδημόνως M εἰ δὲ καὶ μόνος TAB scripserim μή, ὡσεὶ  ὢν om. A  οὐκ ἠδύνατο T  6 οὐχὶ B om. MTA ἐκδεχομένων T  7 παρὰ om. M  8 ante πορεύονται rep. λάμβάνουσι A  9 πολυνείκη T  10 ἀνασθεὶς M  διαλλαγὰς MTAB  τὰς om. A  εἰσελθεῖν T  μὲν om. MTA  15 scholio quod praecedit adi. MT initio add. τὸ δὲ θράσους παρέξοιμι  οἷ T  θρασύνομαι Palat. 343 θρασυνόμενος TA$^{g}$ θρασυνόμενον M  πιστεύω TA$^{g}$  17 scholio 13. 14 adi. B add. ὡς δὲ  in fine add. ὄντως κενὸν ψόφον M$^{g}$  18. 19 scholio quod praecedit adi. B post τὸν κτύπον ins. οὖν φησὶν  18 ἀποφαντικὸν M ἀποφατικὸν T ἀποφατικῶς B  ὄντως] οὕτως M ὄντως ἤγουν τὸν B  21 φιλικόν] φιλεῖν M$^{g}$  23 εἰ δέοι B ἠιδέως M ἠδέως T οὐδέως A  24 τούτω A  24—p. 286,2 τῷ — γενόμενος om. A signo lacunae in mg. apposito  24 τὸ MT  25. 26 θρασύδειλον—φασγάνῳ om. MT

παρέξομαι, νῦν δὲ τοὺς βωμοὺς πλησίον εἶναί φησιν οἷς προσφυγὼν νομίζει σωθῆναι καθάπερ ἱκέτης γενόμενος: — MTAB

βώμιοι γὰρ ἐσχάραι: ἐσχάρα μὲν κυρίως ὁ ἐπὶ γῆς βόθρος ἔνθα ἐναγίζουσι τοῖς κάτω ἐρχομένοις· βωμὸς δὲ ἐν οἷς θύουσι τοῖς ἐπουρανίοις θεοῖς. νῦν οὖν βώμιοι ἐσχάραι τὰ κοιλώματα τῶν βωμῶν. ἢ κατὰ περίφρασιν οἱ βωμοί: — MTB

ἄλλως: διαφέρουσι βωμὸς καὶ ἐσχάρα. βωμὸς μὲν γάρ ἐστιν ὁ εἰς ὕψος ᾠκοδομημένος καὶ ἀνάβασιν ἔχων· ἐσχάρα δὲ ἡ ἐν τετραγώνῳ ἐπὶ γῆς βάσις βωμοῦ τάξιν ἔχουσα ἄνευ ἀναβάσεως. ἢ ἐσχάρα κυρίως τὸ πῦρ: — B

275 κοὐκ ἔρημα δώματα: τὰς ἀπὸ τοῦ χοροῦ ἑωρακώς φησι τεθαρρηκέναι. ἀσθενοῦς δὲ ψυχῆς τεκμήριον· τί γὰρ ἔμελλον αὐτῷ γυναῖκες συμβαλέσθαι πρὸς κίνδυνον: — MTB

τὰς τοῦ χοροῦ πρὸ τῶν βασιλείων οἴκων εἶδεν: — M[1]T

276 μεθῶ ξίφος: εἰς τὸν κουλεόν. ἢ ὑπὸ τὴν χλαῖναν, ὃ καὶ ἄμεινον, ἵνα κεκαλυμμένον τὸ ξίφος ἔχῃ καὶ πρὸς ἄμυναν ἕτοιμον: — MB

279 προσεγγίζετε: — M[g]

281 τὸ ἑξῆς· δορὸς ἀκροθίνιον: — M[g]

282 ἀπαρχήν: — M[g]B[1]

---

2 σωθήσεσθαι T  3—6 cf. Ammon. p. 34 ... ἰδίως δὲ Νεάνθης ὁ Κυζικηνὸς ἐν τρίτῳ τῶν κατὰ πόλιν βωμοὺς θεῶν φησιν, ἐσχάρας δ' ἡρώων .. Poll. 1,8 ἐσχάρα δ' ἰδικῶς δοκεῖ μὲν ὧδε ὀνομάζεσθαι ἐφ' ἧς τοῖς ἥρωσιν ἀποθύομεν .. Harpocr. [= Phot. Suid. et. m. p. 384,13 Zon. p. 880] .. Ἀμμώνιος ἐν τοῖς περὶ βωμῶν ἐσχάρας φησὶ καλεῖσθαι τὴν μὴ ἔχουσαν ὕψος ἑστίαν, ἀλλ' ἐπὶ γῆς ἱδρυμένην κοίλην, παρὸ καὶ τοὺς ἰατροὺς τὰ ἐν τοῖς σώμασι κοῖλα ἕλκη ἐσχάρας καλεῖν. Ammon. p. 32 [cf. et. Gud. p. 213,28] φησὶ γάρ (Ammonius Lamprensis)· βωμοὶ μὲν γὰρ οἱ τὰς προσβάσεις ἔχοντες, ἐσχάρα δὲ ἡ πρὸς βιωτικὴν γινομένη χρῆσιν ἐπὶ γῆς ... Phot. ἐσχάρα ἡ ἐπὶ γῆς ἑστία στρογγυλοειδής, ἀφ' ἧς ἐσχάρας λέγομεν καὶ τὰ κοῖλα καὶ περιφερῆ ἕλκη· ὁ δὲ βωμὸς τὸ ἐν ὕψει ἐστὶ πρὸς θυσίαν οἰκοδόμημα. Hesych. ἐσχάρα βωμὸς ἰσόπεδος οὐκ ἐκ λίθου ὑψούμενος .. Eust. p. 1575,39 βωμοῦ .. διαφέρει ἐσχάρα καθότι ὁ μὲν ὑπερέστηκε καὶ ὡς εἰπεῖν ἀναβέβηκεν, ἡ δὲ πρόσγειός ἐστι cf. Varron. ap. Serv. ecl. V 66  scholio quod praecedit adi. B pro μὲν scripto δὲ et add. μὲν post κυρίως  3 ἐσχάραι T  μὲν] γὰρ T  4 ἐγγίζουσι M  σφαγιάζουσι B  7 post ἐστιν spatium fere unius lineae in B  9 περιγῆν B  post βωμοῦ spatium fere unius lineae in B  12 ἀσθενοῦσι B  τί] τὸ T  αὐτῷ om. MT  13 συμβάλλεσθαι T  14 τὰς] τοὺς T  οἴκων οἶδεν M[1]  εἰδὼς οἴκων T  16 post ξίφος spatium fere unius lineae in B  19 initio add. ἀκροθίνιον δὲ τὴν ἐκ πόλεως τῆς λείας B

283 μέλλων δὲ πέμπειν μ': σολοικοφανές τοῦτό ἐστιν· ἤτοι μέλλοντος πέμπειν με ἐν τῷδ' ἐπεστράτευσαν Ἀργεῖοι, ἢ οὕτως· μέλλων δὲ πέμπειν με εἶδεν τοὺς Ἀργείους ἐπιστρατεύσαντας: — MTB

ἀντὶ τοῦ μέλλοντος, εὐθεῖα ἀντὶ γενικῆς: — $M^{g}$

ἀντὶ τοῦ Οἰδίποδος· ποιητικὴ δὲ ἡ κλίσις: — $M^{g}$

284 ἀντὶ τοῦ τίμια: — $M^{g}B^{g}$

285 ἀντὶ τοῦ ἐν τοσούτῳ: — $M^{i}B^{g}$

286 ἀνταποκρίθητί μοι: — $M^{g}$

287 ἑπτάστομον πύργωμα: ἑπτάπυλος ἡ Θήβη κατεσκεύαστο ὅτι πρὸς τὴν ἑπτάχορδον λύραν τοῦ Ἀμφίονος κιθαρίζοντος ἐτειχοδομήθη: — MTB

291 Ἰοῦς Ἔπαφος, οὗ Λιβύη, ἧς Βῆλος, οὗ Φοῖνιξ καὶ Ἀγήνωρ, οὗ Κάδμος, οὗ Πολύδωρος, οὗ Λάβδακος, οὗ Λάιος, οὗ Οἰδίπους, οὗ Ἐτεοκλῆς καὶ Πολυνείκης: — AB

λείπει τὸ ὑπαρχόντων: — $M^{i}B^{i}$

293 γονυπετεῖς ἕδρας: ἀντὶ τοῦ γονυπετῶ σε. ὡς τῶν Φοινίκων διὰ γονυκλισίας τιμώντων τοὺς βασιλεῖς: — $MTA^{g}B$

προσκυνῶ ⟨προσ⟩πίπτω ἱκετεύω: — $M^{i}$

σοί τὸ ἐντελές: — $M^{g}B^{i}$

294 τὸν οἴκοθεν νόμον σέβουσα: τιμῶσα φυλάττουσα καὶ σεβάζουσα. ἢ τιμῶσά σε κατὰ τὸν πάτριον νόμον: — MTB

295 γράφεται ἔβας ὦ: — $M^{g}B^{i}$

ἦλθες, ὦ Πολύνεικες, διὰ χρόνου εἰς τὴν σὴν πατρίδα: — $M^{i}A^{g}B^{i}$

297 ἄνοιξον τὰς θύρας: — $M^{i}A^{g}$

299 τί βραδύνεις: — $M^{g}A^{g}$

300 ἅπτεσθαι ταῖς χερσὶ τοῦ τέκνου: — $M^{i}$

301 Φοίνισσαν ὦ νεάνιδες: οἱ τούτων ἐπιλαμβανόμενοι καὶ

---

1 ἢ B 2 μελλόντων MT post με add. οἰδίπου κλεινὸσ γόνοσ MT οἰδίποδοσ B Ἀργεῖοι om. MT 2. 3 δὲ μέλλων M 3 πέμψειν B με om. B ἰδεῖν MTB 9 ἡ om. M 10 παρὰ MT τοῦ om. B καθαρίζοντοσ M 13 Λάβδακος] λάϊοσ A Λάιος] λάβδακοσ A 16 ἀντὶ—σε om. B 18 em. Münzel 20. 21 scholio 16. 17 adi. B initio add. σέβουσα δὲ 20 καὶ φυλάττουσα B 20. 21 καὶ σεβάζουσα om. B 21 σε om. T κατὰ πάντα τὸν M in fine add. ἡ φυλάττουσα τὸ ἔθοσ τὸ ἐκ τῆσ θρησκείασ B 22 ἔβασ ἔβασ ὦ $B^{i}$ in fine add. καὶ ἔστιν ἀναφώνημα ἐπὶ τοῖσ χρονίωσ δρωμένοισ ἀναβοώμενοσ $B^{i}$ 23 χρόνων $M^{i}$ σὴν om. $B^{i}$ 28—p. 288,6 οἱ—φωνῆς om. B

λέγοντες πῶς ὅτι οὐδὲν αὐτῶν εἰπουσῶν Φοινικικῶς φησιν Ἰοκάστη Φοινίσσαν βοὰν κλύουσα, ἀγνοοῦσιν ὅτι κατὰ τὴν φωνὴν ὑποτίθεται ὁ Εὐριπίδης αὐτὰς τῇ κοινολογίᾳ τῶν Φοινίκων * οὐχ οἷον βαρβαρικῶς διαλαλούσας, ἐπεὶ οὐδ' ⟨ἂν⟩ ὁ Πολυνείκης αὐτῶν ἤκουσεν, ἀλλὰ τῷ τῆς λαλιᾶς ἤχῳ ποιούσας τι τοιοῦτον ὥστε σημῆναι ὅτι εἰσὶ Φοίνισσαι καὶ ἐμφαινούσας τινὰ χαρακτῆρα τῆς πατρίου φωνῆς. εἰ γὰρ καὶ Ἑλληνικῶς ἐλάλουν, ἀλλ' οὖν γε τὴν πάτριον ἔσῳζον ἀπήχησιν τῆς φωνῆς· ὡς Σοφοκλῆς Ἑλένης ἀπαιτήσει [frg. 179]· 'καὶ γὰρ χαρακτὴρ αὐτὸς ἐν γλώσσῃ τί με παρηγορεῖ Λάκωνος ὀσμᾶσθαι λόγου': — MTAB

302 διὰ τὸ γῆρας: — M[g]

γηραιῷ ποδί: ἐπείγω μου τὴν βάσιν ὑπὸ τοῦ γήρως τρομεράν: — AB[i]

306 ἀμφίβαλλε μαστόν: τὸν μαστὸν τῆς σῆς μητρὸς περίβαλλε ταῖς σαῖς ὠλέναις: — MTAB[i]

ὁ πᾶς νοῦς· περιπτυξάμενος ἄσπασαί με. ἔστι τὸ ἀμφίβαλλε μαστὸν ἀπὸ μέρους τὸ στῆθος· περίβαλλε, φησί, τὸ στῆθος τῆς μητρὸς ταῖς σαῖς χερσὶ καὶ τὸ τῶν παρηίδων σου ἔκταμα περίβαλλέ μοι: — MTAB

307 παρηίδων τ' ὄρεγμα: τὸ ἔκταμα, τὸ ἄσπασμα τῆς παρειᾶς μου περίβαλλε ταῖς ὠλέναις: — MTA

308 κυανόχρωτα χαίτας: καὶ τὸν κυανόχρωτά σου πλόκαμον περίβαλλε τῷ τραχήλῳ μου καὶ κατασκίαζε τοῦτον τοῖς βοστρυχώδεσί σου πλοκάμοις. ἐκ κοινοῦ γὰρ τὸ ἀμφίβαλλε· οὐ γὰρ τὸν ἑαυτῆς πλόκαμον λέγει ὡς μικρὸν ὕστερον [322] φησὶν ἑαυτὴν ἐξυρῆσθαι διὰ τὸ πένθος: — MTAB

τὸν ἐμὸν τράχηλον: — M[g]A[g]

---

1 αὐτῶ M αἰτῶν A   φοινικῶσ M φοινικ^η T   3 κοινολογίαν M suppleuerim χρωμένας   4 διαλύσασ T   αὐτὸσ M   6 ἐμφαίνουσαί MTA πατρίασ MT   καὶ om. M   7 γε om. T   πρωον M   ἔσωζεν B   8 ὡς om. M   ἐν ἑλένησ B   αὐτῆσ T τὸν A αὐτὸς Hermann   9 προσηγορεῖ MTA   ὁρᾶσθαι M ὁρμᾶσθαι T ὁρμᾶσαι A   λόγω A   13 σῆς om. B[i]   14 ἀγκάλαισ A   15—18 scholio quod praecedit adi. MT add. δὲ post ὁ   15 ἔστι τὸ] coniecerim ἔτι siue ἕτερον εἰς τὸ   16 περίβαλλε—στῆθος om. B   16. 17 τῆσ μητρὸσ post χερσὶ coll. A   17 τὸ om. A   σου om. T   ὄρεγμα ἤγουν ἔκταμα B ἔκταγμα M   μοι om. T   20 ταῖσ σαῖσ A   αὐχέναισ M   22 κατασκίαζον A   24 ὕστερον δὲ T   ἐξυρῆσθαι post ὕστερον coll. B

σκιάζων δέραν ἀμάν: ἀντὶ τοῦ ἀγαπητικῶς περιπτυσσόμενος καὶ ἐκτενῶς ἀσπάζου τὴν μητέρα: — MM$^1$TAB

311 ἄελπτα κἀδόκητα: ὦ παρ' ἐλπίδα φανεὶς καὶ ἀπροσδοκήτως εἰς τὰς ἐμὰς χεῖρας: — MTA

312 τί φῶ σε: τί σοι εἴπω, πῶς προσφθέγξωμαί σε καὶ πῶς τὰ πάντα λάβω τέρψιν παλαιὰν καὶ χαρμονὴν καὶ πολυέλικτον ἡδονὴν χερσί τε καὶ λόγοις ἐκεῖσε καὶ τὸ δεῦρο περιχορεύουσα, ἀντὶ τοῦ περισκιρτῶσα: — MTAB

313 κατὰ πάντα: — M$^g$

314 πολυέλικτον: πολύστροφον πολύπλεκτον ποικίλην. τὴν πανταχόθεν με περιέχουσαν ἡδονήν: — M$^1$AB

316 ἀντὶ τοῦ σκιρτῶσα: — M$^g$

ἀντὶ τοῦ παλαιῶν ἡδονῶν· αἰτιατικὴ ἀντὶ γενικῆς: — M$^g$B$^i$

318 ἔρημον πατρῷον: σοῦ ἔρημον δηλονότι. τὴν αὐτοῦ ἀπουσίαν ἐρημίαν τοῦ παντὸς οἴκου οἴεται: — MTAB

319 φυγὰς διωχθεὶς τῇ ἀδικίᾳ καὶ ὕβρει τοῦ ἀδελφοῦ: — M$^g$A$^g$

320 βεβαιωτικῶς, ἀντὶ τοῦ ὄντως: — M$^g$B$^i$

322 ὅθεν ἐμάν τε: ἀφ' οὗ σὺ ἔφυγες, κείρομαι. τὴν πεπολιωμένην. κείρομαι ἀντὶ τοῦ ἐκειράμην. εἰς σέ ἀντὶ τοῦ· ἐπὶ σοὶ ἐκειράμην. ἀποβαλοῦσα: — MTA

† μετὰ δακρύων αὐτὴν ἀποβαλοῦσα ἐπὶ τῷ σῷ πένθει: — AB$^g$

323 πενθήρη κόμαν: — MTA

ἀπενθέα, ἀντὶ τοῦ πολυπενθῆ κόμην. ἢ οὕτως· τὴν λευκόχροα κόμην ἐκειράμην εἰς τὰ σὰ πένθη νομίζουσά σε τεθνηκέναι ὅτε ἀπεδήμεις, ἵνα τὸ πλῆρες ᾖ εἰς σά. ἢ εἰς σέ, τὸν πολυπενθῆ: — MTA

---

1 ἀντὶ τοῦ om. M$^1$ ἀγαπητῶς MM$^1$TB καὶ om. MB 3 ὦ Palat. 343 ὡς MT ἃ A 4 τὰς om. A 6 πολιέλικτον A 7 ἐκεῖσε ὡς τὸ A 7. 8 ὅ ἐστι σκιρτῶσα A 8 in fine add. πανταχῆ B 10. 11 scholio quod praecedit adi. B initio add. πολυέλικτον γὰρ et om. πολύστροφον 10 ποικίλον M$^1$ τὴν om. A 11 με om. A ἔχουσαν AB 13 ἀντὶ—ἡδονῶν om. B$^i$ sed in fine add. παλαιῶν ἡδονῶν χαρμονήν 14 σοῦ] ὡς A τὴν γὰρ B 15 παντὸς—οἴεται] ὑπὸ τὴν Ἰοκάστην A 17 ὁ ἢ βεβαιωτικὸς B$^i$ in fine add. ἐκειρόμην B$^i$ 18. 19 πεπολιαμένην A 19 κείρομαι] κόμην A ante ἐκειράμην add. ἐπὶ σοὶ A 19. 20 εἰς—ἐκειράμην om. A 21 scholio quod praecedit adi. A add. καὶ ἐπὶ—πένθει om. spatio relicto A 22 scholio quod sequitur praep. MT ενθήρη scholio quod praecedit adi. A om. κόμαν 23 ἀντὶ τοῦ om. M ὅ ἐστι A οὕτως] ὅτι MTA 24 σε om. T 24. 25 ὅτε ἀπεδήμεις om. spatio rel. A 25 ᾖ—ἢ] καὶ A σά] ἃ MT τὸν] τε T

324 ἄπεπλος φαρέων: ἀντὶ τοῦ ἀμέτοχος: — MTAB[g]

ἄπεπλος διαλεύκων φαρέων οὖσα τὰ δυσόρφναια καὶ σκότια τρύχη διαδέχομαι: — MTAB

ἄλλως: ἀντὶ τοῦ μελανοφόρος. καὶ στικτέον εἰς τὸ τέκνον: — MTAB

325 δυσόρφναια: ἀντὶ τοῦ σκοτεινὰ καὶ ἐρρυπωμένα. σκότια καὶ μέλανα: — MTA

ἢ ἀμφί πρὸς τὸ ἀμείβομαι, τουτέστι περιβάλλομαι: — MTAB[1]

τρύχη: τὰ ῥακώματα τὰ δυσόρφναια καὶ σκότια [ἃ] περιβάλλομαι: — MTA

327 ὁ Οἰδίπους: — M[g]A[g]

ἐστερημένος τῶν ὀμμάτων: — M[g]A[g]

328 ἀπήνης ὁμοπτέρου: συζυγίας. Ἐτεοκλέα καὶ Πολυνείκην ἀπήνην εἶπεν ἥτις ἐκ δύο βοῶν ἕλκεται: — MTAB

τῆς συγγενοῦς, καταχρηστικῶς ἀπὸ τῶν ὀρνέων: — M[g]B[g]

330 πόθον ἀμφιδάκρυτον: καίπερ πόθον ἔχων ὅμως ἀποθανεῖν ἐζήτει: — MTA

331 ἀνῇξε μὲν ξίφους: ἀντὶ τοῦ· ὥρμησε καὶ ἐπὶ σφαγὴν ξίφους αὐτόχειρα: — MTA

ἄλλως: ὥρμησε μὲν κατὰ τοῦ ξίφους, ὥρμησε δὲ καὶ ἐπὶ σφαγὴν ὁμοίως καὶ ἐπὶ ἀγχόνην: — MTAB

333 ὑπὲρ τέραμνα: καὶ εἰς τὰ μετέωρα τῆς ἀγχόνης. ἀπὸ κοινοῦ τὸ ἀνῇξεν: — MTAB

ἄλλως: ἐπὶ ἀγχόνας ὥρμησε τὰς ὑπὲρ τέραμνα, ὅ ἐστιν ὑψηλοτάτας. τέραμνα δέ ἐστι τὰ ὀροφώματα: — MTAB

335 σὺν ἀλαλαῖσι: διὰ τὰς ἀρὰς ἃς ἐποιήσατο κατὰ τῶν τέκνων. μετέγνω γὰρ ἐπὶ τῷ καταράσασθαι τοῖς παισίν: — MAB

---

2 δυσόρφναια] δ' ὀρφναία A  καὶ — τρύχη om. A spatio rel.  3 διαδέχονται A  4 μελανόφυρος MT  καὶ στικτέον] ἐστικτέον A  ἐν τῷ MTAB  τέκνῳ M  6. 7 cf. Hesych. lex. Bachm. p. 203,20 Suid.  6 ἐρηπωμένα T ἐρυπωμένα A  7 μέλαινα A  8 scholio quod praecedit adi. MTA pro ἢ scripto τὴν δὲ  πρὸς] μετὰ A  τουτέστι om. B[1]  9 scholio quod praecedit adi. MTA add. δὲ post τρύχη  τὰ (alterum) om. A καὶ om. M  13 ἐτεοκλέα δὲ B  14 ἀπῆνα M ἀπῆναι T  ἐκ] ὡς A  15 τοὺς συγγενεῖς M[g] τοῦ ὁμογενοῦς B[g]  18 ξίφος M  20 μὲν om. A μὲν καὶ B  21 ἐπὶ om. B  23 τὸ] τοῦτο A  24. 25 cf. schol. Or. 1371  24 initio add. καὶ AB  ἀγχόνης A  τοὺς TA τὰ B  24. 25 τέρεμνα MA  ὑψηλότατα MTAB  25 ἐστι om. B  ὀροφήματα A  26 διὰ om. A

διὰ τὰς ἐπὶ τοῖς τέκνοις ἀράς: — $M^1B^1$

336 κρύπτεται: κρύπτεται δ' ἐν τῇ σκοτίᾳ σὺν ταῖς ἀλαλαῖς τῶν αἰαγμάτων, ὅ ἐστι σὺν ταῖς βοαῖς τῶν θρήνων: — $MAB^g$

337 καὶ γάμοισι δὴ κλύω ζυγέντα: ζευχθέντα συναφθέντα. ἀκούω σε ἐν γάμοις ζυγέντα παιδοποιὸν ἔχειν ἡδονήν: — $MTAB^1$

339 ξένοισιν ἐν δόμοις: ταῦτα διὰ μέσου. τὸ γὰρ ἑξῆς· σὲ δ', ὦ τέκνον, ἀκούω ἐπὶ ξένης ζευχθῆναι καὶ ξένην συγγένειαν ἔχειν καὶ ἄτην γάμων αὐθαίρετον, τουτέστιν ἣν αὐτὸς σεαυτῷ ἐπηγάγου. ταῦτα δὲ ἀνεπίληστα ἐμοὶ καὶ τῷ σῷ προγόνῳ Λαΐῳ, εἰ καὶ τέθνηκεν ἤδη: — MTAB

340 τὸ ἑξῆς· ξένον δὲ κῆδος ἀμφέπειν γάμων· ποῖον κῆδος· τὴν ἄτην ἣν ἐπηγάγου ἡμῖν· διὰ γὰρ τοῦ γάμου πολεμεῖς τὴν πατρίδα: — $M^1$TAB

ἐπιγαμβρίαν: — $M^g$

ἀντὶ τοῦ περιέπειν: — $M^g$

341 ἄλαστα μητρί: ταῦτα διὰ μέσου. ὡσεὶ ἔλεγε· μέγιστα δυστυχήματα ἐμοῦ τε καὶ τῶν σῶν προγόνων τὸ σὲ μὴ μετασχεῖν ὁμοφύλου γυναικός: — $M^1$TAB

ἀνεπίληστα ἀνυπομόνητα κακά: — $M^g$

344 ἔθος γὰρ ἦν τὴν νύμφην ὑπὸ τῆς μητρὸς τοῦ γαμοῦντος μετὰ λαμπάδων εἰσάγεσθαι: — $M^1TAB^g$

346 ὡς ἁρμόζει: — $M^g$

347 ἀνυμέναια δ' Ἰσμηνός: ἀνυμεναίως ἀχορεύτως: — $MM^gTAB^g$

ἄλλως: οὐ μετέσχε τῶν σῶν ὑμεναίων οὐδὲ συνήσθη τῇ σῇ πρὸς τὸν Ἄδραστον ἐπιγαμβρίᾳ· οὐ γὰρ ἐδέξω τὰ παρ' αὐτοῦ λουτρά. εἰώθε-

---

1 τῶν τέκνων $M^1$ 2 ταῖς] τε MA ἀλαλαγαῖσ A 4 ζευχθέντα om. A ζευχθέντα καὶ $B^1$ 5 ἀκούω—ζυγέντα om. $B^1$ ζυγέντα] διὰ τὸ A ἔχειν ἡδονήν] εἶδον M ἔχειν om. $B^1$ in fine add. τὴν γαμετὴν λέγει $B^1$ 6—9 referenda ad vs. 341. 342 7 ξένην T ξένοισ A ξένον M 8 γάμον A ἐπὶ γάγου M 9 ἀνεπίληπτα MTA ἤδη τέθνηκεν B 11 τὸ—κῆδος om. T 12 ἄτην] αὐτὴν $M^1$ ἐπήγαγεν $M^1$T γὰρ om. $M^1$ πολεμεῖ δια τὸ μη κατά $M^1$ πολεμεῖ T 16—18 scholio 11—13 adi. B pro ταῦτα scripto τὰ δὲ ἑξῆσ 16 ταῦτα—μέσου om. A μερουσ $M^1$ 17. 18 τὸ—γυναικός om. B 19 cf. Hesych. et. m. p. 57,48 Gud. p. 32,21 Zon. p. 130 20 γὰρ om. $B^g$ 23 ἀπαγορεύτωσ M ἀπορεύτωσ $TAB^g$ 25 συνήσθη post ἐπιγαμβρίᾳ coll. T 26. p. 292,1 εἰώθασι MTA

σαν δὲ οἱ νυμφίοι τὸ παλαιὸν ἀπολούεσθαι ἐπὶ τοῖς ἐγχωρίοις ποταμοῖς καὶ περιρραίνεσθαι λαμβάνοντες ὕδωρ τῶν ποταμῶν καὶ πηγῶν συμβολικῶς παιδοποιίαν εὐχόμενοι, ἐπεὶ ζωοποιὸν τὸ ὕδωρ καὶ γόνιμον. ἀνυμεναίως δὲ καὶ ὁ Ἰσμηνὸς ἐκηδεύθη καὶ πρὸς ἐπιγαμβρίαν ἐδόθη τῷ Ἀδράστῳ, ἐπειδὴ Θηβαῖος ὁ ποταμός. ἐκηδεύθη δὲ ἀνυμεναίως τῆς λουτροφόρου χλιδᾶς· τὴν τρυφὴν γὰρ ταύτην νομίζουσιν οἱ ποταμοί: — MTA

ἄλλως: ἐπεγάμβρευσε δὲ τῷ Ἀργείῳ ὁ Ἰσμηνὸς μὴ μεταλαβὼν τῶν ὑμεναίων τῆς λουτροφόρου χλιδῆς, ὅ ἐστι μήτε ὑμεναίων ἀκούσας μήτε λουτρά σοι ἐκπέμψας. ὁ Ἰσμηνὸς οὐ συνήσθη ἐπὶ τῇ πρὸς τὸν Ἄδραστον ἐπιγαμβρίᾳ· οὐ γὰρ ἐδέξω τὰ παρ' αὐτοῦ λουτρά: — MTAB

349 ἐσιγάθη: ἀντὶ τοῦ· οὐκ ἀνυμνήθη: — MTAB$^{1}$

ἀντὶ τοῦ ἐσιωπήθησαν. γράφεται δὲ καὶ ἐσιγάθησαν: — MTAB$^{g}$

350 ὄλοιτο τάδ': ἀπόλοιτο ταῦτα τὰ κακὰ καὶ μεταβληθείησαν εἰς ἀγαθά. εἴ τίς ἐστιν αὐτῶν αἴτιος· λείπει γὰρ τὸ αὐτῶν: — MTAB

ἄλλως: ὄλοιτο τάδε: ἀντὶ τοῦ τῶνδε· ὡς τὸ [K 298] 'διά τ' ἔντεα καὶ μέλαν αἷμα'. ὁ οὖν τούτων αἴτιος καὶ πρόξενος ἀπόλοιτο, ὅστις ποτὲ ἄρα ἐστίν: — MTAB

εἴτε σίδηρος: ἢ ὁπλίτης ἢ ὁ Ἄρης: — MTA

351 διὰ τὰς ἀράς: — M$^{g}$B$^{g}$

352 κατεχόρευσε, σφοδρῶς ἐπῆλθε: — M$^{g}$

354 τῶν γὰρ κακῶν τούτων τὰ ἄχη εἰς ἐμὲ κατέσκηψεν: — MTAB$^{g}$

355 δεινὸν γυναιξίν: τίμιον. ἢ μέγα κακόν: — MTAB

ἄλλως: δεινὸν γυναιξίν: δεινόν: ἀντὶ τοῦ τίμιον θαυμαστόν. ὁ

---

1 νυμφίοι τὸ παλαιὸν] παλαιοὶ A   2 καὶ] ἢ M   ποταμῶν καὶ πηγῶν] περὶ γάμων ἐπάγων signo corruptelae in mg. posito A   3 παιδοποιία ἀγόμενοι M   ἐπὶ A   τὸ] τε A   5 ποταμός Pal. 343 πολυνείκησ TA de M non constat   6 χλιδῆσ A   τροφὴν MT   κομίζουσιν coni. Münzel   οἱ ποτα om. spatio rel. A   7 ἀπεγάμβρευσε M   ἄργει TB   ἀδράστω M   9 σοι om. M   ἰσμηνὸσ δὲ B   συνήσθην A   10 οὐ] ὁ M   ἐδέξατο MTAB   παρ' αὐτοῦ om. A   12 οὐχ ὑμνήθη A   ανεμνήθη M   13 scholio quod praecedit adi. MTA add. ἢ   γράφεται δὲ καὶ] ἢ A   δὲ om. M   in fine add. ἀντι τοῦ οὐκ ἀνυμνήθησαν B$^{g}$   15 καὶ εἰ B   αὐτῶν ἐστιν TA   λείπει] διὰ A   αὐτὸ M   16 ἀντὶ — τῶνδε om. MTA   τὸ] ἐν τῷ A   διά τ'] διάγων A   17 τούτων] τοῦδε A   19 ἢ ὁ T ὁ A   ἢ] καὶ A   22 scholio 19 adi. MTA   τὰ ἄχη] ὅτι γὰρ A   ἐπέσκηψαν B$^{g}$   κέκληκεν A   24 initio add. δεινὸν MA   ἢ] καὶ A   καλόν A   25 ἄλλως] ἢ οὕτωσ B   ἀντὶ τοῦ om. A   25. p. 293,1 ὁ δὲ νοῦς] ὃν οὖν A

δὲ νοῦς· αἱ γοναὶ αἱ ὀδύνης αἴτιαι θαυμαστόν τι καὶ τίμιον παρὰ ταῖς γυναιξίν. ἐν ἤθει δὲ θαυμαστικῶς εἴρηται ὅτι ταῖς γυναιξὶν ἡ ὀδύνη φίλτρον καθέστηκε καὶ παρὰ πάσαις τὸ φιλότεκνον σῴζεται: — MTAB

ἄλλως: αἱ δι' ὠδίνων γοναί: καθότι πρὸ τοῦ τεκεῖν πολλὴν ταλαιπωρίαν παρέχουσιν· ὡσεὶ ἔλεγε· καίτοι τῶν γονῶν ἐπωδύνων οὐσῶν ὅμως φιλότεκνοί εἰσιν αἱ γυναῖκες: — MTAB

357 μῆτερ, φρονῶν εὖ: καὶ φρόνησιν ἐμαυτοῦ καὶ ἄνοιαν κατέγνων, φρόνησιν μὲν ὅτι ὑπὲρ τοῦ θεάσασθαι τοὺς οἰκείους καὶ δι' ἐχθρῶν ἐτόλμησα εἰσελθεῖν * * μὴ ἐννοήσας δόλον. ὅμως συγγινώσκω ἐμαυτῷ διὰ τὸν κοινὸν ἔρωτα τῆς πατρίδος: — MTA

† μῆτερ, φρονῶν: φρονῶν μὲν καθὸ πεισθείς σοι ἦλθον, οὐ φρονῶν δὲ καθότι κατὰ τῆς πατρίδος ὡπλίσθην καὶ πρὸς ἐχθροὺς ἄνδρας παραγέγονα· ὅθεν ἐπιφέρει ἀλλ' ἀναγκαίως ἔχει πατρίδος ἐρᾶν ἅπαντας ἀπολογούμενος ὑπὲρ τῆς ἀφίξεως: — B

358 † εἰ καὶ ἥμαρτον προπετευσάμενος, ὅμως συγγινώσκει μοι ὁ τῆς πατρίδος ἔρως: — B

360 φλυαρεῖ: — $M^g$

361 ἀντὶ τοῦ εἰς τοσοῦτον τάρβους, ἢ ταραχῆς: — $M^i$

περισσὸς ὁ τέ: — $M^gB^i$

363 ξίφος βαστάζων: — $M^gB$

ὑποστικτέον ἐν τῷ ἔχων: — $M^gB^i$

364 θαρρεῖν ποιεῖ, παρηγορεῖ: — $M^iB^i$

367 διὰ χρόνου: — $M^g$

370 δι' ὄσσων ὄμμ' ἔχων: ποιητικὴ ἡ περίφρασις. ἐκ παραλλήλου τὸ αὐτὸ [γὰρ] σημαίνει ὡς τὸ [τ 343] 'ποδάνιπτρα ποδῶν'. [ἐκ παραλλήλου δὲ τὸ αὐτὸ σημαίνει] τουτέστι· τοὺς ὀφθαλμοὺς ἔχων δακρύοντας: — MTAB

† ἄλλως: ὄσσος λέγεται ἡ κόρη τοῦ ὀφθαλμοῦ, ὄμμα δὲ τὸ ἔξωθεν δέρμα τοῦ ὀφθαλμοῦ: — $A^1$

371 ἀλλ' ἐκ γὰρ ἄλγους: ἀλλὰ γὰρ ἐκ τῆς παλαιᾶς δυστυχίας

---

1 αἱ (alterum) om. A ὠδίναι T 2 ὀνὴ T 4 καθὸ πρωτοτεκεῖν A 7 ἄγνοιαν T detritum in M 8 τὸ A 9 ὅμωσ δὲ T de M non constat συγγινώσκω om. spatio rel. A 10 ἐμαυτὸν T κατ' ἐμαυτὸν A de M non constat κοινὸν om. A 18 ταραχθεῖσ $M^i$ 20 in fine add. ξίφει ἡρμοσμένοσ τὴν χεῖρα τῇδε κἀκεῖσε περιφέρων καὶ περιάγων B 24. 25 ἐκ π.] καὶ ἀπαράλληλοσ A 25 ποδάνοπτρα A ποδῶν] βοῶν B 30 γὰρ om. B καὶ A

τῆς κατεχούσης με ἕτερον ἄλγος ὁρῶ σε ἔχουσαν. τὸ δὲ ξυρηκές ὡς ἀπηνές τῷ τόνῳ· παραγώγως γὰρ ἐξηνέχθη καὶ οὐκ ἔχει τὴν ἀκὴν ἐγκειμένην ὡς τὸ ἄμφηκες: — MTAB

ἄλλως: ὑπερβολικῶς εἴρηκεν· ἐκέκαρτο γάρ, ὡς ἀνωτέρω εἶπεν [322] ὅθεν ἐμάν τε λευκόχροα κείρομαι χαίταν, οὐ ξυρῷ δέ, ἀλλ' ὡς ἐν πένθει: — MTAB

τὸ σέ πρὸς τὸ ἔχουσαν: — $M^g A^g B^i$

372 κάρα ξυρηκές: ἐξυρημένην τὴν κεφαλὴν καὶ πέπλους μέλανας ἔχουσαν: — A

ἐξυρημένον: — $M^g A^g$

μέλανας: — $M^g A^g$

374 πάνυ: — $M^g A^g$

συγγενῶν: — $M^g A^g$

375 ὁ στίχος οὗτος ἔν τισιν οὐ φέρεται: — $M^g B^i$

377 σκότον δεδορκώς: ἀντὶ τοῦ ἐν σκότει διατρίβων: — $MTAA^g B^i$

οἱ γὰρ τυφλοὶ δοκοῦσι σκότον δεδορκέναι: — $MTAB^g$

378 ἄρα· τὸ γὰρ πού παρέλκει: — $M^g A^g$

379 ἀντὶ τοῦ Οἰδίποδος: — $M^g A^g$

380 οὕτω γὰρ ἤρξατ': οὕτως ὁ δαίμων ἤρξατο φθείρειν τὸ γένος ὥστε ἀνόμως μὲν ἐμὲ παρασκευάσαι τεκεῖν τὸν Οἰδίπουν παρὰ τὴν τοῦ Ἀπόλλωνος βουλήν: — MTA

† οὕτως ὁ δαίμων ἤρξατο φθείρειν τὸ γένος. οὕτω, φησίν, ἐξ ἀρχῆς δυστυχῶ, ἀφ' οὗ ἀνόμως ἔτεκον· ἀνόμως γὰρ καὶ ἀσεβῶς παρεσκεύασέ με τεκεῖν: — B

382 τί δὲ λέγω ταῦτα: — $M^g B^g$

βαστάζειν: — $M^g$

383 ὅπως δ' ἔρωμαι: δέδοικα δὲ μή, ὅπως ἔρωμαι ἃ χρῄζω, [καὶ] δάκω σοῦ τὴν φρένα· ὅμως ἐπιθυμῶ ἐρέσθαι κἂν λυπῶ σε: — MTAB

μή τι σὴν δάκω φρένα: τὴν σὴν φρένα λυπήσω. λυπεῖ δὲ δι' ὧν ἐξετάζει περὶ τῆς φυγῆς: — $MB^i$

---

2 παραγωγικῶς A ἀκοὴν M ἀκ|||ὴν B 3 ἄμφικες MB 4 εἴρηκας M ἐνέκαρτο T ἐκκέκαρται A εἴρηκεν A 5 λευκόχροαν MT λευκόχρο B 17 scholio quod praecedit adi. MTA 21 παρεσκεύασε A 26 δὲ om. $M^g$ ταῦτα om. $M^g$ 29 σε ἐρέσθαι B καὶ MA 32 τὰ περὶ $B^i$

385 ἀτελές: — M$^g$B$^g$

388 τί τὸ στέρεσθαι πατρίδος: τοῦτο μετὰ ἤθους. οὐκ ἐν δέοντι δὲ γνωμολογεῖ τοιούτων κακῶν περιεστώτων τὴν πόλιν. τοιοῦτος δὲ πολλαχοῦ ὁ Εὐριπίδης: — MTAB

ἆρα μέγα κακόν: — M$^g$B$^i$

390 τίς ὁ τρόπος: τῆς δυστυχίας τῶν φυγάδων δηλονότι: — B

γράφεται καὶ δυστυχές: — M$^g$

391 ἐξουσίαν ἐλευθερίαν: — M$^i$A$^g$

393 τὰς τῶν κρατούντων: γράφουσί τινες τὰς τῶν πολιτῶν· κρατοῦσι γὰρ οἱ πολῖται. τοῦτο δὲ ὡς Ἀθηναῖος ὢν ὁ ποιητὴς εἶπε. κἂν μὴ φυγὰς γὰρ εἴη τις, ὅμως φέρει τὰς ἀμαθίας τῶν κρατούντων κἂν μὴ θέλῃ: — MTAB

394 λυπηρόν: — M$^g$

συναπαιδευτεῖν τοῖς μὴ οὖσι πεπαιδευμένοις: — M$^g$A$^g$

395 οὐκ ἀξιόχρεως ἥρωος ὁ λόγος: — M$^g$B$^i$

παρὰ τὸ δέον: — M$^g$A$^g$

396 αἱ δ' ἐλπίδες βόσκουσι: αἱ ἐλπίδες καὶ ἡ προσδοκία τοῦ ἐπιβήσεσθαι τῆς πατρίδος. ἐντεῦθεν ἡ παροιμία· 'αἱ δ' ἐλπίδες βόσκουσι τοὺς κενοὺς βροτῶν': — MTAB

ὡς ἡ φήμη: — M$^g$A$^g$

397 καλοῖς βλέπουσαι: καλὰ πρὸ ὀφθαλμῶν τιθέμεναι, βραδύνουσι δέ: — MM$^g$TAB$^g$

ἄλλως: δοκοῦσιν αἱ ἐλπίδες τρέφειν, καλοῖς ὄμμασι βλέπουσι δέ, ἀντὶ τοῦ· καλὰ πρὸ ὀφθαλμῶν τιθέασιν: — MTA

398 οὐδ' ὁ χρόνος: οὐδὲ ἠπίστησαν αὐταῖς τινες ἐξ οὗ κενὰς αὐτὰς εὗρον: — MAB$^i$

399 ἔχουσιν Ἀφροδίτην: ἡδονήν τινα ἔχουσιν ἐν κακοῖς τοῦ ἐλπίζειν: — MTA

---

2 μετὰ τοῦ T μὲν A   3 γνωμολογεῖν MT   περι εστὸ M   τῇ πόλει AB   τοιοῦτο M   5 κακὸν μέγα ἐρωτηματικωσ B$^i$   9. 10 γράφουσι— πολῖται post θέλῃ (12) coll. B om. δὲ post τοῦτο et add. post γράφουσι .   10 πολεμίται B   τοῦτο] τότε A   Ἀ. ὢν] ἀθηναίων M   11 εἴη] ὢν ὁ ποιητὴσ A   τὰσ τῶν κρατούντων ἀμαθίασ B   12 θέλει T   17 post τοῦ ins. χρῆναι ἀπολαύειν A   19 τοὺς—βροτῶν om. A   21 τιθέμενα MT τιθέμενοι M$^g$   22 in fine add. περὶ τοῦ μέλλοντοσ M$^g$   24 τιθέασιν A ἔχουσιν M ἔχουσι T   25 αὐτὰσ A   οὗ B$^i$ ὢν MA

ἄλλως: ἀντὶ τοῦ ἡδονὴν ἡδεῖαν ἔχουσιν ἀλλὰ βλαβερὰν οἱ ἐν κακοῖς ἐξεταζόμενοι καὶ ἐλπίζοντες τὰ ἀγαθά: — MTAB

ἡδονὴν ἀπόλαυσιν: — M[g]

γλυκεῖαν μέν, ἀλλὰ βλαβεράν: — M[g]

401 † ποτὲ μὲν ἐπ' ἦμαρ: ὁ ὢν ἐν κακοῖς, ἐλπίζων δὲ ἀγαθὰ δοκεῖ τῇ ἐλπίδι τοῦ ἀγαθοῦ παραμυθεῖσθαι τὴν λύπην: — A

402 φίλοι δὲ πατρός: παρὰ τὸ Φιλοκτήτου· 'ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι'. πῶς δὲ ταῦτά φησιν, ὅπου γε ὑπὸ τῶν φίλων εἰς τὴν πατρίδα κατάγεται. ἢ τάχα πρὸ τοῦ γάμου δυστυχῶν ὑπὸ τῶν φίλων ἠμελεῖτο, γήμας δὲ καὶ τῆς δυστυχίας ἀπαλλαγείς, τότε πάλιν φίλους ἔσχε. πρὸ τοῦ τοίνυν ἐντυχεῖν τῷ Ἀδράστῳ ταῦτα παθεῖν φησιν: — MTAB

403 εὔχου σὺ πράττειν καλῶς· τὰ γὰρ τῶν φίλων οὐδέν ἐστιν, ἐὰν τις δυστυχῇ: — M[g]A

405 τὸ γένος οὐκ ἔβοσκέ με: ἐψεύσατο· πρῶτον γὰρ διὰ τὸν χρησμὸν ὁμολογουμένως ὁ Ἄδραστος, ἔπειτα δὲ καὶ διὰ τὸ γένος συνῴκισεν αὐτῷ τὴν θυγατέρα Ἀργείαν. οὐκ ἂν γὰρ οὐδὲ ὁ Ἀπόλλων τὸν τυχόντα ἔλεγεν ἑλέσθαι: — MTAB[1]

407 οὐδ' ὀνομάσαι δύναιμ' ἄν: εὐκτικόν ἐστι. τὸ θέμα δύνω ὡς φαίνω, ὁ ἀόριστος ἔδυνα ὡς ἔφηνα: — MAB[g]

δύναιτό τις: — M[g]

409 ἔχρησ' Ἀδράστῳ: ἡ μὲν τὴν αἰτίαν τῆς εἰς Ἄργος ἀφίξεως ἐρωτᾷ, ὁ δὲ τὴν αἰτίαν τῆς αὐτόθι καταμονῆς λέγει· εἰ μὴ γὰρ διὰ τὸν χρησμὸν τοῦ γάμου παρέμεινεν, ἴσως ἂν ἔωθεν παρώδευσε τὸ Ἄργος: — MTAB

---

1 initio add. ἀφροδίτην B    ἀντὶ τοῦ om. A    ἔχουσιν ἡδεῖαν T    ἀλλὰ] ἄλλως M (ut uidetur) TA ἄλλωσ δὲ B    2 τοῖσ κακοῖσ A    6 τὴν ἐλπίδα A    θεῖσθαι τὴν λύπην om. spatio rel. A suppleui ex Palat. 343    7 παρα φιλοκτήτη M περὶ φιλοκτήτη T παρὰ φιλοκτή A παν φιλοκτη B    κακὸσ T    7. 8 πράσσοντοσ om. T    9 προστοῦ M πρὸ B    9. 10 ὑπὸ τῶν φίλων δυστυχῶν B    10 ξένων A    10—12 τότε—φησιν] ὑπὸ τῶν φίλων ἠμελεῖτο A    11 πρὸ τοῦ] πρῶτον T    εὐτυχεῖν MT    15. 16 ἐψεύσατο—συν euanuerunt in M    16 ὁμολογουμένως om. B[1] ὅμηροσ TA θηρὸσ coni. Valckenaer    ὁ ἄδραστοσ B[1] ἄδραστον TA    δὲ—διὰ om. T διὰ om. A    17 θυγατέρα om. A spatio rel.    17. 18 οὐκ—ἑλέσθαι om. B[1]    19 ἔστι δὲ A    τὸ] τοῦτο τὸ MB[g] τοῦτο A    δύνω om. A    20 ὁ—ἔφηνα om. A spatio rel.    22 τὴν αἰτίαν] αἰτία A    23 αὐτὸν ἐρωτᾷ A    ἔλεγεν MTA    εἰ om. MTA    24 ante παρέμεινεν ins. ἔωθεν MT ἔωθε A

ἄλλως: ἀντὶ τοῦ· διὰ τὸ πεπρωμένον ἦλθον εἰς τὸ Ἄργος· ὁ γὰρ χρησμὸς ἐκεῖσε ἡμᾶς ἤγαγεν: — MTAB

ἄλλως: τὸ εἱμαρμένον ἤγαγεν ἡμᾶς εἰς τοῦτο [τῆς] συντυχίας καὶ οὐκ ἐκ προνοίας μοι ἀπέβη ὁ γάμος, ἀλλ' αὐτομάτως ἐκ τύχης: — MTAB

ἄλλως: ὁ χρησμὸς ὑπὸ Μνασέου [frg. 48] οὕτως ἀναγέγραπται·

κουράων δὲ γάμους ζεῦξον κάπρῳ ἠδὲ λέοντι,
οὓς κεν ἴδῃς προθύροισι τεοῦ δόμου ἐξ ἱεροῖο
ἀμοῦ στείχοντας, μηδὲ φρεσὶ σῇσι πλανηθῇς.

καὶ οἱ μὲν λέγουσιν ὡς ἀπὸ τῶν ἐπισήμων τῶν ἀσπίδων συνέβαλεν Ἄδραστος· ὁ μὲν γὰρ εἶχε τὸν Καλυδώνιον σῦν, ὁ δὲ τὴν λεοντοπρόσωπον Σφίγγα· οἱ δ' ὡς κρύους γενομένου ἀφίκοντο εἰς τὸ Ἀπόλλωνος ἱερὸν καὶ δορὰς εὑρόντες λέοντος καὶ συὸς ἀναθήματα κυνηγετῶν ἐφιλονείκησάν τε καὶ περὶ τῆς στάσεως εἰς κρίσιν ἀχθέντες τῷ βασιλεῖ τῶν γάμων ἔτυχον. ἀπείκασε γὰρ τὸν μὲν Πολυνείκην λέοντι, τὸν δὲ Τυδέα κάπρῳ· ὃς ἔγημε Δηιπύλην, ὁ δὲ Πολυνείκης Ἀργείαν: — MTAB

ἄλλως: ἄτοπόν φασι πιστεύσαντα τῷ θεῷ τὸν Ἄδραστον δυστυχῆσαι τοσαῦτα κατὰ τὰς Θήβας καὶ μόνον φυγάδα σωθῆναι ὑπὸ τοῦ ἰδίου ἵππου Ἀρείονος. πρὸς οὓς ῥητέον ⟨ὅτι⟩ ἐκδοῦναι τὰς θυγατέρας προσέταξεν ὁ θεός, ἀλλ' οὐχὶ καὶ ἐπιστρατεῦσαι ταῖς Θήβαις: — MTAB

411 ὁ μὲν Τυδεὺς διὰ τὸν ἐπιχώριον κάπρον, ὁ δὲ Πολυνείκης διὰ τὴν Σφίγγα. λεοντοπρόσωπος γὰρ αὕτη: — M$^{s}$TA

412 καὶ σοὶ τί θηρῶν: ποίαν κοινωνίαν εἶχες μετὰ θηρός: — M$^{s}$A

413 ἡ εἱμαρμένη ἡμᾶς συνήγαγεν εἰς τοῦτο συντυχίας· οὐ γὰρ ἐκ προνοίας ἐγένετο: — M$^{s}$TA

πρὸς τὸ ἀποβάν: — M$^{s}$

415 εἰς τὰ προπύλαια: — M$^{s}$A$^{s}$

---

1 ἄλλως—τοῦ] ἀλλ' ἀντι MA ἀλλ' αὐ (τ) T ἀλλὰ φησὶ B διὰ τὸ] δια A 3. 4 referenda ad vs. 413 4 μοι om. M 7 ἢ M ἠὲ A 8 ἴδοισ MTAB προθύρησι MTA 9 ἡμετέρου MTAB em. Valckenaer πλανηθεὶσ A 10—16 cf. Apollod. III 6,1,3 Hyg. 69 12 οἱ δ'] οἷα T κρύου MT 13 δορὰν MTA 15 Πολυνείκην om. AB de M non constat 16 κάπρον T 17—20 fere omnia detrita in M 17 ἄτοπον] πῶσ εἰσ τὸ ἄργοσ ἦλθεσ καὶ οὐκ εἰσ ἄλλην πόλιν ἄτοπον δὲ B 19. 20 προσέταξε τὰσ θυγατέρασ ὁ θ. B προσέταξεν ὁ θεὸσ τὴν tum spatium rel. A 21 ἐγχώριον A 23 εἶχε A 25 συντυχίαν T συντυχεῖν A 25. 26 οὐ—ἐγένετο om. A

416 πρὸς τῷ βασιλεῖ κοιμηθησόμενος ἢ ὡς φυγὰς πλανώμενος: — $M^gTA$

ζητῶν: — $M^gA^g$

λείπει τὸ ὡς· ⟨ὡς⟩ φυγάς: — $M^gB^1$

417 εἶτα: — $M^g$

κἀτά γ' ἦλθεν ἄλλος: ὁ Τυδεύς· φασὶ γὰρ ὅτι τὰ τέκνα Ἀγρίου ἐφόνευσεν Ἀλκάθουν καὶ Λυκωπέα· διὸ ἔφυγεν: — MTA

οὗτος ἔφυγε διὰ τὸν φόνον τῶν συγγενῶν † ἀλθαίας: — $M^1AB^1$

419 γεννηθῆναι: — $M^gA^g$

420 ἀντὶ τοῦ· εἰς τί ἀφορῶν: — $M^g$

420 ἀφωμοίωσεν: — $M^g$

γράφεται ἤκασεν: — $B^g$

421 εἰς μάχην: — $M^g$

στρωμνῆς ἐς ἀλκήν: στρωμνῆς νῦν τοῦ τόπου τῆς κατακλίσεως. ὅτι θηριωδῶς ἐμαχεσάμεθα πρὸς ἀλλήλους, θηρσὶν ἡμᾶς εἴκασεν. ἔνιοι δὲ οὐ διὰ τοῦτο, ἀλλ' ὅτι ὁ μὲν κάπρου, ὁ δὲ λέοντος δορὰν ἠμφίεστο: — MTAB

422 ἀντὶ τοῦ· ἐν τούτῳ τῷ καιρῷ: — $M^g$

Ταλαοῦ παῖς: Αἰόλου Κρηθεύς, οὗ Ἀμυθάων, οὗ Βίας, οὗ Ταλαός, οὗ Ἄδραστος: — MTAB

425 μέχρι ταύτης τῆς ἡμέρας, ἕως τοῦ παρόντος: — $M^g$

426 ἕπεσθαι συνακολουθῆσαι: — $M^g$

428 τοῦτο γὰρ περισσόν· προεμηνύθη γὰρ ἄνωθεν ἤδη: — $M^g$

430 ἄριστοι ἐξέχοντες: — $M^g$

431 πάρεισι λυπρὰν χάριν: καθὸ κατὰ πατρίδος ἐστρατεύσαντο· ἀναγκαίαν δέ· οὐκ ἐνεχώρει γὰρ ἄλλως γενέσθαι δίχα πολέμου. ἔμφρων δὲ καὶ ἐλεεινὸς ὁ λόγος: — MTAB

---

1 κοιμηθησόμενος] γὰρ tum spatium rel. A    ὡς om. A    4 ὡς φυγάς] ἵν' ᾖι καὶ ὡσ φυγὰσ πλανώμενοσ $B^1$    6. 7 cf. Apollod. I 8,5,2 schol. Ξ 119 Aesch. Sept. 555 Diod. IV 65,2    fere omnia detrita in M    7 ἐφόνευσεν— Λυκωπέα om. A spatio rel.    ἀλκάθουν Palat. 343 ἄκανθον T    λευκίππην T em. Valckenaer    8 ἀλθίασ A latet nomen Alcathoi    12 ἤκασεν] ἢ $B^g$    15 ὅτι] οὗ A    θηρόσ A    ἡμᾶσ om. A    16 ὅτι om. A    17 ἠμφίετο A    19 ἀμυθίασ A    21 lex. Vind. p. 72,17    25 κατὰ πατρίδοσ B πατρίδα MTA    25. 26 ἐστρατεύσαντο Laur. 32, 33 om. MTA ἐστρατεύσαντο λυπράν φησι τὴν χάριν B    26 ἀναγκαῖον MTA    δέ om. A    ἐνεχώρει Laur. 32, 33 ἐγχωρεῖ MTAB    27 in fine add. ἐστι TA

434 τοῖς φιλτάτοις τοκεῦσι: γράφεται καὶ ἑκοῦσιν, ἵν' ᾖ· τῷ ἀδελφῷ μου. ὁ γὰρ Ἐτεοκλῆς ἑκὼν πορθεῖ τὴν πόλιν διὰ τὸ μὴ ἀφίστασθαι τῆς βασιλείας: — MTAB

ἐκίνησα: — $M^gA^g$

435 ἀνάκειται ἁρμόζει: — $M^1A^g$

ἀπαλλαγή: — $M^gA^g$

436 ὥστε διαλλάξασαν παῦσαι: — $M^gA^g$

438 ἀλλ' ὅμως ἐρῶ: ἐρῶ μὲν ῥῆμα πάλαι ὑμνηθέν. ἀλλ' ὅμως ἐρῶ. παροιμιώδης δὲ ὁ στίχος: — MTAB

439 καὶ ὁ ῥήτωρ [Demosth. 1, 20]· 'δεῖ δὲ χρημάτων': — $M^1A^gB$

440 τῶν ἐν ἀνθρώποις πραγμάτων: — $M^gB^1$

441 ἐφ' ἃ, χρήματα, ἐγὼ ἥκω: — $M^1A^gB$

442 βοήθειαν: — $M^gA^g$

443 εἰς διαλλαγάς: εἰς φιλίαν. δι' ὧν εἰς φιλίαν δύνασαι ἐνεγκεῖν τὰ τέκνα: — MTA

444 γράφεται ἥκει: — $M^g$

446 μῆτερ πάρειμι: κάλλιστα πεποίηται τῷ τραγικῷ τὸ πρόσωπον οἷον δεῖ εἶναι ἄδικον ἄνδρα· γινώσκων γὰρ ὅτι οὐδὲν δίκαιον ἔχει λέγειν, ἐπείγει τὴν κρίσιν τὸν ἐκ τῆς δικαιολογίας κατὰ λεπτὸν γινόμενον ἔλεγχον φεύγων: — MTAB

τὴν χάριν δὲ σοὶ διδούς: ὀρθοτονητέον τὴν σοί διὰ τὴν πρὸς τὸν ἀδελφὸν σχέσιν: — $MTAB^1$

448 καὶ ξυνωρίδας: ὁ καί παρέλκει: — $MTAB^g$

καὶ ξυνωρίδας λόχων: τοὺς ἱππέας τοῦ στρατοῦ ἐκ τῶν ἁρμάτων δηλοῖ. ξυνωρίδας τὰ ἅρματα, λόχων δὲ στρατευμάτων: — MTAB

συντάξεις συναφείας: — $M^gA^g$

449 τάσσων ἐπέσχον πόλιν: διὰ σέ, ὦ μῆτερ, τὴν διακόσμησιν τοῦ στρατοῦ ἐπέσχον, ὅπως ἀκούσω πρότερον τὰς παρὰ σοῦ γινομένας κοινὰς ἡμῖν διαλύσεις. βραβείας γὰρ διαλύσεις. ὅ ἐστι τοὺς μετὰ κρίσεως λόγους: — MTAB

---

1 γράψον A καὶ ἑκοῦσιν B τοκεῦσιν M τεκοῦσιν TA 2 προθεῖ M πόλιν Laur. 32, 33 βασιλείαν MTAB 9 παροιμιακὸς MT παρ' ὁμήρῳ A 10 δεῖται $A^g$ 12 scholio 10 adi. B initio add. χρήματα δηλον ὅτι κἀγὼ B 18 δὴ M post ἄδικον rep. εἶναι T γινώσκει T ὅτι] ὡς B 19. 20 κατὰ λεπτὸν post ἔλεγχον coll. A 20 γενόμενον M ἐκφεύγων B 24 ἱππεύσαντας A 25 δὲ] τῶν A 29 τὰς om. M

450 ἄλλως: κοινὰς βραβείας: τὰς ἀμφοῖν διαλύσεις ἡμῶν. τουτέστιν· ἐν τάξει μερίζων τοὺς πολίτας καὶ κατατάσσων τὴν ἐμὴν δύναμιν ἐπέσχον τὴν διακόσμησιν, ὅπως ἂν ἀκούσαιμι πρότερον τοὺς πρὸς τὴν κοινὴν ἡμῶν διάλυσιν παρὰ σοῦ γινομένους λόγους, ὦ μῆτερ: — MTA

† βραβείας: ἀντὶ τοῦ διαλύσεις ὧν ἐβράβευσεν ἡ μήτηρ, τουτέστι τοὺς μετὰ κρίσεως λόγους, δι' ὧν ἑκάτερος αὐτῶν ἐδείκνυε δικαιότερα λέγων. ἔνθεν καὶ βραβευταί: — TA

κρίσεις μεσιτείας διοικήσεις: — M$^g$A$^g$

451 τόνδ' εἰσεδέξω: εἴσω ἐδέξω ὡς καὶ εἴσιθι, εἴσω ἴθι. τοῦτο δὲ ἐναντίον τῷ 'Ἴλιον εἴσω', ἀντὶ τοῦ εἰς τὴν Ἴλιον· ἐκεῖσε γὰρ ἀντὶ προθέσεως παραλαμβάνεται: — MAB

452 οὐκ ἐν τῷ τάχει ἐστὶ τὸ δίκαιον. οὐδαμῶς τὸ ὀξέως τι πράττειν τὸ δίκαιον κατέχει: — MM$^g$TA

453 βραδεῖς δὲ μῦθοι: οἱ μετ' ἐπισκέψεως καὶ μὴ σπουδάζοντες λόγοι πάνυ δεικνύουσι ⟨τὸ⟩ σοφόν: — MT

† βραδεῖς δὲ μῦθοι: οἱ μετ' ἐπισκέψεως, οἳ καὶ τὸ σοφὸν ἔχουσιν: — B

454 σχάσον δέ: στῆσον κατάπαυσον καὶ ἄνες. ἡ μεταφορὰ ἀπὸ τῶν ἐρεσσόντων· σχάσαι γὰρ τὸ ἐπισχεῖν τῶν κωπῶν τὴν εἰρεσίαν: — MTAB

τὸ φοβερὸν δραμα καὶ τὸ ἄγαν ὀργίλον: — M$^g$B$^g$

456 ἀντὶ τοῦ οὐκ ἐχθρόν: — M$^g$A$^g$

Γοργόνες τρεῖς, Σθενὼ Εὐρυάλη Μέδουσα: — M$^i$

457 γράφεται καὶ τρέπε: — M$^g$B$^i$

458 ἀντὶ τοῦ ἐξ ἐναντίας: — M$^g$A$^g$B$^i$

459 ἀπὸ κοινοῦ τὸ ἄμεινον: — M$^i$A$^g$B$^i$

460 ὑμῶν, ἀντὶ τοῦ ὑμῖν· γενικὴ ἀντὶ δοτικῆς: — M$^g$B$^i$

φρόνιμον συνετόν: — M$^g$A$^g$

463 ἀντὶ τοῦ ἐπὶ φιλίᾳ: — M$^g$

---

3 ἀκούσοιμι MT   πρῶτον A   4 γενομένους T   6 scholio quod praecedit adi. TA add. οὖν post βραβείας   τουτέστι T τοῦ A   7 ἑκάτερος Matthiae ἐν θάτερον TA   αὐτὸν T   8 ἔνθεν—βραβευταί om. A   10 εἴσω—καὶ om. A   εἴσω ἴθι B ἔσω M ἔσω καὶ εἴσιθι A   11 τῷ] τοῦ M   ἀντὶ τοῦ om. B   13 τι] τὸ A   14 ἔχει T   15 οἱ] οὐ MT   19. 20 cf. Hesych. lex. Bachm. p. 378,12 Phot. schol. Arist. Nub. 107. 740 Suid.   19 στῆσον om. B   20 τὴν εἰρεσίαν om. MTA

465 ἀντὶ τοῦ· σὺ πρῶτος ὀφείλεις λέγειν: — M$^g$A$^g$

467 ἵνα μὴ λυπήσῃ τὸν Ἐτεοκλέα: — M$^g$A$^g$

τοῦτο θεραπευτικὸν τοῦ Ἐτεοκλέους: — M$^1$A$^g$B$^1$

468 καὶ διαλλακτὴς κακῶν: διαλλακτής ὀξυτόνως· τὰ γὰρ παρὰ ῥῆμα ὀξύνονται ὡς τὸ κολυμβητής ποιητής: — MAB

469 † ἁπλοῦς: οὐ ποικίλως ἡρμοσμένος, ἀλλ' ἀπανούργητος καὶ ἀνεμπόδιστος: — B

470 κοὐ ποικίλων δεῖτ': γράφεται δεῖτ' ἄνδιχ' ἑρμηνευμάτων, ἵν' ᾖ· καὶ οὐ ποικίλης δεῖται ἔξωθεν ἀπολογίας ἡ ἀλήθεια· ἔχει γὰρ αὐτὰ τὰ ἀληθῆ ἀφ' ἑαυτῶν τὸ εὔκαιρον. ἄνδιχα γὰρ ἀντὶ τοῦ ἔξωθεν: — MTAB

ἄλλως: τἄνδιχ': τὰ ἔνδικα, ἀντὶ τοῦ τὰ δίκαια. τὸ δὲ χ̄ διὰ τὴν δασεῖαν: — MTAB

ῥήσεων: — M$^g$A$^g$

471 ἔχει γὰρ αὐτὰ καιρόν: ἰσχὺν εὐκαιρίαν εὐστοχίαν: — MTAB

εὐκαίρως γὰρ καὶ καλῶς λέγεται τὰ δίκαια καὶ τὴν ἐπίτευξιν ἔχει: — MTA

472 † νοσῶν ἐν αὐτῷ: ἐν ἑαυτῷ κακῶς ἔχων συνηγόρων δεῖται θεραπειῶν πεπαιδευμένων: — B

473 ἀντὶ τοῦ προσκεψάμενος· ῥῆμα ἀντὶ μετοχῆς: — M$^g$B$^1$

ἐγὼ δὲ πατρός: ἐγώ, φησί, προνοησάμενος τῆς πατρικῆς οὐσίας καὶ βουλόμενος ἐμέ τε καὶ τοῦτον ἐκφυγεῖν τὰς Οἰδίποδος ἀρὰς ἐξῆλθον ἀπὸ τῶν ὅρων ταύτης τῆς γῆς: — MTAB

ἄλλως: ἐγὼ δὲ προνοησάμενος τὸ ἐμὸν καὶ τὸ τούτου συμφέρον χρῄζων τὰς ἀρὰς τοῦ πατρὸς ἐκφυγεῖν ἃς ἐφθέγξατο ἐξῆλθον ἔξω τῆς ἐμῆς πατρίδος: — MTAB

474 ἐκφυγεῖν θέλων: — M$^g$

478 ἀνὰ μέρος λαβών: ἀναλαβὼν τὸ μέρος: — MM$^g$TAA$^g$B$^1$

---

4 τὰ γὰρ] γὰρ τὸ B 5 ὀξύνονται — τὸ om. B ὡς τὸ] οἷον A in fine add. καὶ τὰ ὅμοια B 8. 9 γράφεται — ἑρμηνευμάτων om. MTA 8 δεῖτ'] δεῖ τὰ B 10 ἐφ' MTA 11. 12 ἔξωθεν — ἀντὶ τοῦ τὰ om. MTA 12 τἄνδιχα B 15 scholio 18. 19 adi. B initio add. καιρὸν δὲ εὐτυχίαν MT 20 σκεψάμενος M$^g$ 22 τὰς ἀρὰς τὰς οἰδίποδος A 23 ἀπὸ τούτων τῶν ὅρων τῆς γῆς MTB ἐκ τῶν πατρίων ὅρων A nisi forte praeferas ἀπὸ τούτων τῶν ὅρων deleto τῆς γῆς 24 ἐμοὶ A τοῦτο A 25 post ἃς ins. οἰδίποδος MT οἰδίπους A 28 in fine add. ὁποῖα συμβαίνει αἰνέσας συνθέμενος B$^1$

Ἀττικὴ ἡ σύνταξις· λαβὼν ἀντὶ τοῦ λαβόντα, αὐτὸν ἐμὲ λαβόντα· ὡς τὸ [com. anon. frg. 84] '⟨ἐξὸν καθεύδειν⟩ τὴν ἐρωμένην ἔχων': — MTAB

479 ὑπὸ τοῦδε: — $M^gA^g$

γράφεται καὶ φθόνου: — $M^g$

480 ὁποῖα εἴωθε γίνεσθαι καὶ συμβαίνειν τοῖς φίλοις ⟨εἰς ἔχθραν⟩ ἥκουσιν: — $M^g$

481 συνθέμενος: — $M^gA^g$

ἐπόπτας τοὺς θεούς: — $M^gA^g$

482 βίᾳ φυλάττει: — $M^gA^g$

483 γράφεται καὶ δόμων ἐμῶν μέρος: — $A^g$

484 καὶ νῦν ἕτοιμός εἰμι: ἕτοιμός εἰμι τὸν μὲν στρατὸν ἀποστεῖλαι, οἰκεῖν δὲ κατὰ διαδοχὴν τὸν ἐμὸν οἶκον λαβών: — MTAB

485 ἐκπέμψαι: — $M^g$

486 κατὰ διαδοχήν: — $M^g$

487 ἀντὶ τοῦ μετὰ τὸν ἐνιαυτόν: — $M^g$

488 ἀπὸ κοινοῦ τὸ ἕτοιμός εἰμι: — $M^gA^g$

489 καθὼς ποιοῦσιν οἱ πολέμιοι: — $M^g$

πηκτῶν κλιμάκων: προσφέρουσι γὰρ κλίμακας οἱ πολέμιοι: — MTAB$^i$

490 ἃ μὴ κυρήσας: ἅτινα πειράσομαι δρᾶν μὴ κυρήσας τῆς δίκης: — MTAB

ἄλλως: καὶ λείπει ἡ εἰς· εἰς ἃ μὴ κυρήσας πειράσομαι δρᾶν τὰ ἀπὸ τῆς δίκης: — MTAB

493 πάσχων ἀνόσια καὶ ἀσεβῆ: — $M^g$

494 ταῦτ' αὖθ' ἕκαστα: τὰ ἁπλᾶ, χωρὶς ποικιλίας τινός. τὸ δὲ ἑξῆς· ταῦτ' αὖθ' ἕκαστα εἶπον: — MTAB

ἄλλως: τὰ κεφάλαια καὶ τὰ ἀναγκαιότατα τῶν λόγων μου ταῦτά ἐστιν: — MTAB

δυσχερείας ὑποθέσεις: — $M^gA^g$

---

1 ἐμὲ λαβόντα om. A  2 ἐξὸν καθεύδειν om. MTAB add. ex Eust. p. 236,31 τήν τ' B  6 εἰς ἔχθραν om. $M^g$ suppleui ex Laur. 32, 33  11 vs. 485 superscr. $A^g$  12 ἕτοιμός εἰμι om. B  13 τὸν ἐμὸν κατὰ διαδοχὴν A λαβόντα B  23 καὶ λείπει B κλύεται M καὶ λύεται TA  24 ἀπὸ om. A 26 καὶ χωρὶς B  27 δὲ om. A  ταῦτα αὐθέκαστα B ταῦτά θ' ἕκαστα MT  εἶπον om. M  28 κεφάλαια] καὶ φίλα M  29 εἰσίν B

496 καὶ τοῖσι φαύλοις: καὶ τοῖς εὐτελέσι καὶ μὴ δυναμένοις διακρῖναι: — MTA

497 ἐμοὶ μέν: δοκεῖς μοι συνετὰ λέγειν, εἰ καὶ μὴ Ἕλλην εἰμί. μετέβη δέ: — MTA

ἄλλως: εἰ καὶ μὴ καθ' Ἑλλήνων χθόνα τετράμμεθα, ἀλλ' οὖν γε ἐμοὶ συνετὰ δοκεῖς λέγειν· ἵνα πλεονάζῃ ὁ μέν καὶ ἡ μία ἀντωνυμία: — MTAB

499 εἰ πᾶσι ταὐτὸ καλόν: ὥστε, εἰ σοὶ τοῦτο δίκαιον φαίνεται, ἀλλ' οὐκ ἐμοί: — MTAB

500 ἀμφισβητήσιμος: — $M^g$

501 οὔτ' ἴσον βροτοῖς: μέχρι ὀνόματος τὸ ὅμοιον καὶ τὸ ἴσον σῴζεται ἀνθρώποις. ὀνομάζομεν γοῦν πάντες Ἕλληνες κοινῇ χρυσὸν καὶ τὸ μὲν ὄνομα ὁμοίως πάντες προφερόμεθα, διχοστατοῦμεν δὲ περὶ τὴν δόξαν τούτου, ὁ μὲν ἀγαθὸν, ὁ δὲ φαῦλον αὐτὸν φάσκοντες. ὁμοίως καὶ ἐπὶ τῆς σωφροσύνης καὶ πάντων τῶν ἄλλων: — MTAB·

ἄλλως: τὸ δίκαιον καὶ ἴσον εἰ μὴ μόνῳ ὀνόματι οὐ σῴζεται παρὰ τοῖς ἀνθρώποις: — MTAB

οὐ σύμφωνον: — $M^gA^g$

τῆς αὐτῆς προαιρέσεως: — $M^g$

502 πλὴν ὀνομάσαι: πλὴν ὀνόματι μόνον οὐκ ἔστι τὸ ὅμοιον καὶ τὸ ἴσον ἐν ἀνθρώποις: — MTA

ἄλλως: τοῖς ὀνόμασι μόνοις σύμφωνοί ἐσμεν οἱ ἄνθρωποι: — MTA

τὸ δίκαιον δηλονότι: — $M^g$

503 ἀποκρύψας σε, τὴν μητέρα, ὦ μῆτερ: — $M^1A$

504 ἄστρων ἀνέλθοιμι: εἴθε ἠδυνάμην εἰς οὐρανὸν ἀνελθεῖν καὶ εἰς Ἅιδου κατελθεῖν ἐπὶ τῷ κατορθῶσαι ⟨τὴν⟩ με⟨γίσ⟩την θεῶν

---

5 καὶ om. M  ἕλληνοσ MT  6 καὶ ξυνετὰ T  ἵνα—ἀντωνυμία om. A  μὴ μία MT  μία B  8 τοῦτο τὸ δίκαιον T  δίκαιον τοῦτο AB  9 in fine add. εἰ γὰρ τοῦτο καλὸν ἦν καὶ σοφὸν ὁμοῦ πᾶσι καὶ τὰ ἑξῆσ B  11 initio add. οὐδὲν οὐδὲ ἴσον T οὐδὲ ἴσον A de M non constat  12 τοῖσ ἀνθρώποισ B  οὖν TA  γὰρ B  de M non constat  κοινῇ πάντεσ ἕλληνεσ AB  13 πάντες om. B  14 τούτου δόξαν B  οἱ μὲν AB  οἱ δὲ AB  αὐτὸ MT  15 ἐπὶ πάντων A  16 τὸ ἴσον καὶ τὸ δίκαιον B  post ἴσον ins. οὐδὲν MTA  20 τὸ om. M  25 οὐρανοὺσ A  26 ἅδην MT  τὸ MTA  κατορθῶσαι τὴν μεγίστην] κατορθῶσαί με τὴν MT  κατορθώσαιμι τὴν τῶν A  κατορθῶσαί μοι τὴν τῶν B

τυραννίδα. οὐκ ἐπιτιμητέον δέ· ἁρμόδιοι γὰρ οἱ λόγοι ἀνδρὶ πλεονεξίαν διώκοντι: — MTAB

ἡλίου πρὸς ἀνατολάς: λείπει ὁ καί· καὶ ἡλίου πρὸς ἀνατολάς, τῶν ἄστρων καὶ τοῦ ἡλίου: — MTA

507 τοῦτ' οὖν τὸ χρηστόν: ἀλόγιστος ὁ Ἐτεοκλῆς· ἐξὸν γὰρ αὐτῷ τῷ τοῦ πρεσβυτέρου χρήσασθαι δικαιώματι ᾧ μᾶλλον ἐπέβαλλεν ἡ ἀρχή, ἀδικεῖν ὁμολογεῖ ἑαυτὸν καὶ πλεονεκτεῖν φησι. πρὸς ὃ ῥητέον ὅτι μίμησιν ἀνδρὸς ἀδίκου ἐξεικονίζει ἡμῖν ὁ Εὐριπίδης μηδὲ τῷ δοκεῖν εὐσεβεῖν βουλομένου· ἄλλως τε, εἰ ἔφασκεν ἄρχειν ὡς πρεσβύτερος, ἠκολούθει τῷ λόγῳ τὸ τῶν κτημάτων μέρος δεῖν ἀπονέμειν: — MTAB

508 συγχωρῆσαι παρεᾶσαι δοθῆναι: — $M^gA^g$

τὸ ἢ νῦν ἀντὶ τοῦ ἀλλά. σῴζειν ἐμοί ἀντὶ τοῦ ἐμαυτῷ: — $M^lB$

511 μετὰ ὅπλων: — $M^g$

513 γένοιτ' ὄνειδος: αἰσχύνη ἔλεγχος ὕβρις: — $MTB^l$

αἰσχύνη ἐστίν, ἃ χρῄζει, τούτων τυχεῖν ἐπὶ πορθήσει παραγενόμενον: — MTB

514 συγχωρήσαιμι: — $M^gA^g$

515 οὐ διὰ τῶν ὅπλων: — $M^gA^g$

516 πᾶν γὰρ ἐξαιρεῖ λόγος: πάντα γὰρ ὁ λόγος κατορθοῖ: — MTA

ἄλλως: ὁ λόγος, φησίν, ἴσος ἐστὶ σιδήρῳ· πάντα γὰρ χειροῦται καὶ κατορθοῖ ὁ λόγος διὰ τῆς πειθοῦς ἅπερ σίδηρος βίᾳ: — MTAB

ἄλλως: ἀντὶ τοῦ· ὃ ποιεῖ ὁ καλὸς λόγος, οὐ δύναται ποιῆσαι ὁ πόλεμος τῶν πολεμίων: — MTA

κατορθοῖ χειροῦται: — $M^gA^g$

517 ὁ τῶν πολεμίων σίδηρος: — $M^g$

518 κατὰ ἄλλον τρόπον, ἐκτὸς τῆς βασιλείας: — $M^gA^g$

520 ἄρχειν παρόν μοι: τί λέγεις, φησίν· ἐξόν μοι νῦν ἄρχειν ἄλλῳ παραχωρήσω: — MTA

---

1 ἔστι τιμητέον M  2 in fine add. καὶ τῶν ἄστρων καὶ τοῦ ἡλίου κατακρατῆσαι καὶ τοῦ θρόνου τοῦ διὸς οὐκ ἂν παραιτήσασθαι B  3 πρὸς τὰς T
5 post ἀλόγιστος add. φησὶν B  6 τοῦ om. A  πρεσβύτου MT
ἐπέβαλεν MT  7 ἡ ἀρχὴ om. A  ὁμολογεῖν MTB  καὶ] ἢ MTAB
8 ἐξεικονίζειν B  μήτε A  9 βουλομένου Laur. 32, 33 βουλομένῳ MTAB
10 δεῖν ἀπονέμειν om. M  12 τὸ ἢ νῦν] ὁ νῦν B  καὶ τὸ σῴζειν B
15 προσθήσει MT  21 σιδήρου B  22 ὁ om. AB  ὥσπερ A
28 λέγει T  29 ἀλλὰ MTA

ἄλλως: τοῦτο κατ' ἰδίαν φησὶ μεθ' ὑποκρίσεως· ἄλλῳ δὲ παραχωρήσω καὶ δουλεύσω: — MTAB

521 φερέσθω: — $\mathrm{M^gA^g}$

522 ἔτρεψε τὸν λόγον πρὸς τὸν Πολυνείκην: — $\mathrm{M^gB^i}$

523 παραχωρήσω συγχωρήσω: — $\mathrm{M^gA^g}$

525 εἰς τὰ ἄλλα: — $\mathrm{M^gA^g}$

526 μὴ 'πὶ τοῖς ἔργοις: ἐπὶ τοῖς ἔργοις τοῖς μὴ καλοῖς: — $\mathrm{MTAB^i}$

ὁ νοῦς· οὐ δεῖ, φησί, λόγῳ μὲν σοφίζεσθαι, ἔργῳ δὲ πονηρὸν εἶναι: — MTA

ἄλλως: οὐ δεῖ τὰ φαῦλα τῶν ἔργων λόγοις καλλωπίζειν· οὐ γάρ ἐστι τοῦτο καλόν, ἀλλ' ἐναντίον τῷ δικαίῳ: — MTAB

527 ἐχθρὸν λυπηρόν: — $\mathrm{M^g}$

528 τῷ γήρᾳ κακά: ἔστι γὰρ ἐν τῷ γήρᾳ ἔνια κακά, τὸ ἀσθενές, τὸ δυσκίνητον, τὸ ἐπίλησμον, τὸ δυσήκοον· ἀλλ' ἔστιν ἓν αὐτῷ καλόν· ἡ πεῖρα τῶν πολλῶν διδάσκει αὐτό: — MTAB

529 ἀλλ' ἡ 'μπειρία: ὁ ἀλλά ἀντὶ τοῦ γάρ· ἡ γὰρ ἐμπειρία ἔχει τι λέξαι σοφώτερον: — MTAB

γράφεται καὶ πρὸς δοτικήν, ἵν' ᾖ· τῇ γὰρ ἐμπειρίᾳ τὸ γῆρας ἔχει τι λέξαι τῶν νέων σοφώτερον. ὥστε μή μου καταφρονήσῃς παντελῶς: — MTAB

531 τί τῆς κακίστης: τῆς ἐν τοῖς δαίμοσι κακίστης, ὡς τὸ [Λ 832] 'δικαιότατος Κενταύρων' ἀντὶ τοῦ δίκαιος ἐν Κενταύροις: — MTAB

532 φιλοτιμίας: ἡ σπουδή, ἡ ἐπιθυμία περὶ τὰ ἄδικα καὶ τὰ δίκαια: — MTA

φιλοτιμίας: κενοδοξίας· μέσον γὰρ τὸ τῆς φιλοτιμίας ὄνομα: — MTAB

---

1. 2 scholio quod praecedit adi. MTA om. τοῦτο — ὑποκρίσεως 1 τίνι δὲ ἄλλωι B ἄλλω A 4 ἔστρεψε Mg τὸν om. $\mathrm{B^i}$ 9 λόγοσ A ἔργον M 11 φῦλα B 12 ἐναντίω M 15. 16 τὸ δυσήκοον — αὐτό om. B 16 διδάσκει αὐτό om. A 17 ὁ — γάρ om. B sed habet $\mathrm{B^i}$ ὁ om. A γὰρ om. AB 18 τῶν νέων σοφώτερον A in fine add. ὥστε μή μου καταφρονήσῃσ (καταφρονήσεισ A) παντελῶσ AB 19 καὶ om. MT γῆρα T 20. 21 ὥστε — παντελῶς om. AB 20 μου M μασ T 22 τὸ] ἐν τῶ M 23 δικαιότατον B 25 initio add. φιλοτιμία TA 27 scholio 25. 26 adi. A 22. 23 B add. δὲ post φιλοτιμίας AB

φιλονεικίας φιλοδοξίας: — $M^g$

533 † πολλοὺς δ' ἐς οἴκους: πολλὰ γὰρ τῶν κακῶν ἐπὶ φθορᾷ τῶν ἀπολλυμένων ἀπαλλάσσεται, ὡς νόσος καὶ πυρετοὶ σφοδροὶ καὶ διάπυροι: — B

536 καὶ τὸ φιλεῖν τιμᾶν ἢ τιμᾶσθαι: — $M^gA^gB^i$

538 συναρμόττει: — $M^gA^g$

τὸ γὰρ ἴσον νόμιμον ἀνθρώποις ἔφυ: ἀντὶ τοῦ δίκαιον καὶ ἀσφαλές. βέβαιον: — MTAB

ἄλλως: ἀσφαλὲς καὶ βέβαιον· οἱ γὰρ νόμοι ἀμετάτρεπτοί εἰσιν: — MTAB

539 ἀντὶ τοῦ· τῷ πλεονέκτῃ δὲ ἀεὶ ἐναντίον ἐστὶ τὸ μικρόν: — $M^iA^gB^i$

541 ἀντὶ τοῦ ζυγά: — $M^gA^g$

542 ἰσότης ἔταξε: ἐν τούτοις γὰρ σῴζεται· καὶ γὰρ διὰ τῶν μέτρων καταλαμβάνεται τὸ ἴσον: — MTAB

διέκρινεν: — $M^gA^g$

543 περιφραστικῶς ἡ νύξ: — $M^g$

σκοτεινόν: — $M^g$

545 φθόνον ἔχει: ἀντὶ τοῦ μέμψιν: — $MTAB^g$

διὰ τὴν ἰσότητα παραχωροῦσιν ἀλλήλοις τοῦ νικᾶν ἀνελλιπῶς λάμποντες: — $MTAB^i$

546 εἶθ' ἥλιος μέν: εἶτα ὁ ἥλιος μὲν καὶ ἡ νὺξ τῷ ἴσῳ δουλεύουσι, σὺ δ' οὐκ ἀνέξῃ τῶν δωμάτων ἔχων τὸ ἴσον δουλεύειν τῇ ἰσότητι: — MTAB

547 ἔχων ἴσον: ἐὰν γράφηται ἔχειν, καὶ ἀπονέμειν· ἐὰν δὲ ἔχων, καὶ ἀπονέμων: — $MTAB^i$

549 τί τὴν τυραννίδ': λείπει τὸ οὖσαν καὶ τὸ ὡς· τί τιμᾷς τὴν τυραννίδα ἀδικίαν οὖσαν ὡς εὐδαίμονα καὶ ὡς μακαρίαν: — MTAB

---

3. 4 διάπυροι Laur. 32, 33 διάφοροι B   5 τιμᾶν ἢ] καὶ τιμᾶν καὶ $M^gA^g$ τὸ τιμᾶν καὶ τὸ $B^i$   8. 9 βέβαιον—ἀσφαλὲς om. B   9 καὶ om. A   11 ἀντὶ τοῦ om. $A^gB^i$   δὲ ἀεὶ om. $A^gB^i$   14 σώζεται τὸ ἴσον B   γὰρ om. A   19 cf. schol. Hec. 288   20. 21 scholio quod praecedit adi. MTA   20 τὸ $AB^i$   20. 21 ἀνελλιπῶς λάμποντες om. $B^i$   22 ὁ om. B   μὲν ἥλιος A   ἡ om. AB   τὸ ἴσον MTA   23 post δ' ins. ἐν βροτοῖς B   25 γράφεται T γράψῃς A   ἐὰν δὲ] ὡς A   26 καὶ om. $TB^i$   27 τί om. T   28 ὡς (alterum) om. B

ἄλλως· τί τὴν τυραννίδα: αὐτὴν τὴν τυραννίδα εὐδαίμονα ἀδικίαν φησίν: — MTAB

εὐδαίμονα: ἔδει, φασὶ, δυσδαίμονα αὐτὴν εἰπεῖν, ἵνα τὸν Ἐτεοκλέα τῆς περὶ αὐτὴν ἀσεβοῦς ἐπιθυμίας ἀποστρέψῃ: — MTAB

550 ὑπέρφευ: ὑπεράγαν. διὰ μέσου μετὰ σχετλιασμοῦ τὸ ὑπέρφευ ἀναπεφώνηται: — MTAB

ὑπὲρ τὸ δέον, πάνυ: — M[1]M[g]TA[g]

ἀντὶ τοῦ μεγάλως τιμᾷς: — M[g]T

καὶ μέγ' ἥγησαι τόδε: καὶ μέγα τοῦτο νομίζεις, τὸ ἄρχειν. τὸ γὰρ περιβλέπεσθαι τίμιον τὸ ἄρχειν δηλοῖ: — MM[1]TAA[g]B

ἄλλως: ἐν ἤθει, πευστικῶς· μέγα νομίζεις τὸ περίβλεπτος εἶναι καὶ περιφανὴς παρὰ πᾶσιν. ἢ οὕτως· ἀλλὰ τὸ περιβλέπεσθαι τίμιον νενόμικας. κενὸν μὲν οὖν τοῦτο: — MTAB

557 ὅταν δὲ χρῄζωσ': ἀντὶ τοῦ βούλωνται· ὅταν δὲ βούλωνται καὶ χρείαν ἔχοιεν τοῦ παρέχειν αὐτὰ ἑτέροις: — MTAB[1]

559 ἄγ' ἤν σ' ἔρωμαι: ἄγε, ἐὰν σε ἐρωτήσω δύο λόγους προβαλλομένη 'ἆρα τυραννεῖν θέλεις ἢ τὴν πόλιν σῶσαι', πάντως ἐρεῖς μοι τυραννεῖν: — MTAB

561 ἐρεῖς τυραννεῖν: ἐὰν γὰρ τυραννεῖν θέλῃς, πολεμηθήσεται ἡ χώρα: — MTA

ἐὰν δὲ νικήσῃ σε οὗτος, τί. λείπει δὲ τὸ τί: — M[g]

562 ἀντὶ τοῦ· τοὺς Θηβαίους νικήσῃ: — M[g]B[1]

565 γράφεται καὶ λελῃσμένας: — M[g]B[g]

566 ὃν ζητεῖς ἔχειν: γράφεται καὶ δαπανηρός, ὅ ἐστιν ἐπι-

---

1 τὴν om. A   post εὐδαίμονα add. νομίζεις εὐδαίμονα A   2 in fine add. τὴν εὐδαίμονα ἀδικίαν MTB τὴν ἀδικίαν A   3 δει A   3. 4 ἐτεοκλῆν A   4 αυτὸν M ταυτὸν TA   5. 6 scholio quod praecedit adi. B om. ὑπεράγαν et add. δὲ post μέσου   5 μετὰ δὲ MT om. A   7 bis scripta in T   9. 10 bis scripta in T   9 μέγα] μετὰ M[1]T   10 τίμιον—ἄρχειν] τοῦτο M[1]TA[g]   τὸ ἄρχειν] τοῦτο τὸ ἄρχειν T[a] τοῦτο B sed in fine add. ἤγουν τὸ ἄρχειν   11 πεπιστευκὼς MT πευστικὸν B   12 τιμὴ T   14 ἀντὶ τοῦ βούλωνται om. B[1] sed habet B[g]   15 καὶ—τοῦ om. B[1]   in fine add. πάλιν ἀφαιροῦνται B[1] πάλιν ἀφαιροῦνται ἤγουν οὐχ ἡμέτερα ἀλλὰ τῶν θεῶν ἐστὶ τὰ πράγματα A   16 ἐάν om. A   ἐρωτήσω σοι A   16. 17 προβαλλομένους A   17 σῶσαι τὴν πόλιν A   ἐρεῖς πάντως A   με M με τὸ T om. A   19. 20 scholio quod praecedit adi. A pro γὰρ scripto δὲ   19 τυραννεῖν θέλῃς] τυραννῇς A   24 γράφεται—ἐστιν om. MT sed habet γρ. καὶ πονηρὸς M[g]

ζήμιος· ἀνάγκη γὰρ εἰς πόλεμον συμμάχους προτρέψασθαι καὶ δαπανᾶν: — MTB

567 φιλόδοξος δὲ σὺ ἔσῃ. λείπει τὸ ἔσῃ: — M$^{i}$

569 † ἀνέθηκε παρήψατο. ἀπὸ μεταφορᾶς τῶν πλοίων τῶν ἀποδεσμουμένων εἰς λιμένα: — B$^{i}$

570 ἀσύνετα δ' ἦλθες: ἐνὶ γὰρ διαφερόμενος ἁπάσῃ τῇ πόλει ἐπάγεις κίνδυνον καὶ ταῦτα ἐπιστάμενος οὐ δημοκρατουμένην, ἀλλὰ μοναρχουμένην: — MTAB

571 ἀντὶ τοῦ ὑποχείριον λάβῃς: — M$^{g}$A$^{g}$

γράφεται μὴ τύχῃ: — M$^{i}$

572 οἱ παλαιοὶ Ἀττικοὶ προπερισπῶσιν: — B$^{i}$

† τρόπαια: νικητήρια, ἀπὸ τοῦ τρέψαι καὶ διῶξαι τοὺς πολεμίους. λέγει δὲ τὰ ἱστάμενα σύμβολα τῆς νίκης. τὸ δὲ καὶ σκῦλα γράψεις ἀντὶ τοῦ· τὰ ὅπλα ἐπιγράψεις ἤτοι τὰ ἀναθήματα τῶν πεφονευμένων: — B

573 ἀντὶ τοῦ ἀπαρχὰς ποιήσεις: — M$^{i}$A$^{g}$

574 Ἴναχος ποταμὸς Ἄργους: — M$^{g}$B$^{i}$

ἀντὶ τοῦ ἐν Ἄργει: — M$^{g}$A$^{g}$B$^{g}$

575 Θήβας πυρώσας: τοῦτο ἔχεις ἐπιγράψαι. τοῦτο ἔχεις εἰπεῖν: — MTAB$^{i}$

576 ἀντὶ τοῦ ἀνέθηκεν: — M$^{g}$A$^{g}$

φήμην: — M$^{g}$A$^{g}$

μήποτ' ὦ τέκνον κλέος: ἀντὶ τοῦ ὄνειδος. λόγῳ μὲν παραινεῖ αὐτῷ, τῇ δ' ἀληθείᾳ ἀπεύχεται τὸ πρᾶγμα, ὡς τὸ παρ' Ὁμήρῳ [α 386]· 'μὴ σέ γ' ἐν ἀμφιάλῳ Ἰθάκῃ βασιλῆα Κρονίων ποιήσειεν': — MTA

578 νικηθῇς: — M$^{g}$A$^{g}$

ὑπεκδράμῃ: παρέλθῃ νικήσῃ. μετενήνοχε δὲ ἀπὸ τῶν δρομέων. οἷον ὑπέρτερα γένηται: — MTAB

580 ὦ κακῶς θυγατρὶ μνηστευσάμενος: — M$^{i}$A

ἐπιγαμβρεύματα γάμοι: — M$^{g}$A$^{g}$B$^{g}$

1 συμμαχῶσ T 6 περιφερόμενοσ MTA 7 δημοκρατίαν A 7. 8 μοναρχίαν A 9 ὑποχειρίουσ M$^{g}$A$^{g}$ 19 post τοῦτο ins. φησιν B$^{i}$ 24 ἐπεύχεται T τῷ πράγματι MT τῷ στρατεύματι A em. Valckenaer τῷ M om. A 25 σέ γ'] σ' T 28. 29 scholiasta legebat ὑπερδράμῃ 28 παρέλθοι MT νικήσει A δρωμένων MT τρεχόντων A 29 οἷον— γένηται om. A 30 μεμνηστευμένοσ A

582 ἀντὶ τοῦ δύο κακά: — M[g]

583 κείνων στέρεσθαι: τῶν Ἀργείων, καὶ ὑπὸ Θηβαίων θανεῖν: — MTA

ἄλλως: τοῦ Ἄργους δηλονότι. ὁ δὲ νοῦς· μήτε ἐκεῖνα μήτε ταῦτα ἔχειν. κἀκείνων στερηθῆναι τούτων τε μὴ τυχεῖν. τὸ γὰρ ἐν μέσῳ πεσεῖν οὕτως φησί· πρὸ τοῦ ἀφικέσθαι ἐπ' αὐτὰ ἐκπεσεῖν τῆς ἐλπίδος: — MTAB

584 μέθετον τὸ λίαν, μέθετον: ἄφετε τὸ λίαν φιλονεικεῖν. μηδὲν ἄγαν: — MTA

ἄλλως: ἀντὶ τοῦ τὸ θυμικόν. καὶ ἐν Ὀρέστῃ [705] 'τῷ λίαν χρῆσθαι καλῶς': — MTAB

ἄλλως: ἐν τούτοις Ἰοκάστη οὐδὲν συμβεβούλευκε τοῖς παισὶ κοινωφελές, ἀλλὰ τῷ μὲν λέγει· εἰς τί φιλοτιμῇ τυραννεῖν, τῷ δέ· εἰς τί πολεμεῖς τὴν πατρίδα. ἐχρῆν δὲ τοῦτο συμβουλεῦσαι, διελομένους τὰ πατρῷα καὶ τὴν βασιλείαν παύσασθαι τῆς διχοστασίας. ὥσπερ ὑπέστησαν ἐξ ἀρχῆς ἀνὰ μέρος ἄρχειν. καὶ γὰρ ἐπὶ τῷ ποιητῇ ἦν ποιῆσαι αὐτοὺς μὴ πειθομένους, ὅπως τὰ τῆς ἱστορίας μένῃ βέβαια· εἵμαρτο γὰρ αὐτοὺς ἀλληλοκτόνους γενομένους κατὰ τὰς ἀρὰς τοῦ πατρὸς ἀποθανεῖν. νῦν δὲ οὐδὲν τούτων πεποίηκεν: — MTAB

ἐάσατε: — M[g]A[g]

585 ὅταν μόλητον: αἱ τῶν δύο ἀμαθίαι, ὅταν μόλωσιν εἰς ταὐτόν, μέγιστον κακὸν γίνονται: — MTAB

ἄλλως: ὅταν εἰς τὸ αὐτὸ κακὸν τῆς ἀμαθίας ἔλθητε ἀμφότεροι, δεινὸν κακόν: — TAB

586 λυτήριοι κωλυταὶ ἀποσοβηταί: — M[g]A[g]

588 ἀντὶ τοῦ ἔριδος: — M[g]

4 τοῦ] αὐτὸ M δὲ om. A μήποτε MTA μήτε] καὶ A
5 ἔχων MTA ἔχειν ἤτοι B τὲ στερηθῆναι καὶ B τε om. B
6 οὐ φησι M οὐ φησὶ A τουτέστι τὸ B 12 τούτω T οὐδὲν ἰοκάστη B
12. 13 κοινοφελῶσ A 13 εἰστὸ M εἴ τι A φιλοτιμεῖν MA φιλοτιμεῖ T ante τυραννεῖν ins. κοινωφελῶσ A 14 πολεμεῖ MTA τούτοισ B
15 τῆσ βασιλείασ MT ὥσπερ] ὅπως MTAB ὅπερ Valckenaer 16 τῷ ποιητῇ] τὸ ποικίλον A 18 ἀλλοκτόνουσ A γενομένουσ om. MTA
19 οὐδὲ A 21 μολοῦσι A 21. 22 ταὐτὸ B 22 γίνεται TA
23. 24 bis scripta in A 23 εἰς] διὰ A[a] ἀμφότεροι om. TAB
24 δεινὸν κακὸν initio coll. AB in fine add. ὅμοιον δέ ἐστι τῶι μηδὲν ἄγαν τὸ ἄφετε τὸ λίαν φιλονεικεῖν B

ὁ ἀλλά ἀντὶ τοῦ γάρ: — M$^g$

ἀντὶ τοῦ δεδαπάνηται: — M$^g$A$^g$

589 οὐδὲν ἡ προθυμία: ἡ σὴ προθυμία δηλονότι: — MTAB

περαίνει δ' οὐδὲν ἡ προθυμία: ἀντὶ τοῦ προθυμουμένη ἡμᾶς εἰς φιλίαν ἀγαγεῖν οὐ πείθεις: — MTAB

ἡ σή. ἐκ τοῦ προτεθυμῆσθαί σε, ὦ μῆτερ, διαλλάξαι ἡμᾶς οὐδὲν πλέον γίνεται· ὁρᾷς γὰρ ⟨ἡμᾶς⟩ μὴ πειθομένους: — MTA

ἀνύει: — M$^g$

592 τῶν πολλῶν: — M$^g$A$^g$

594 παρὰ τίνος: — M$^g$A$^g$

οὕτως εὔτολμος: — M$^g$A$^g$

595 ἀπολήψεται ἀπαγάγῃ: — M$^g$

596 ἐγγὺς οὐ πρόσω: οὕτινος ἐγγὺς καὶ ἔμπροσθεν ἵστασαι. τὸ δ' εἰς χέρας λεύσσεις ἐμάς ἐν ἐρωτήσει· λεύσσεις εἰς χεῖρας ἐμάς· ἐκ τούτων ἀποθνήσκεις: — MTAB

πρόσω βέβηκας: ἐγώ εἰμι, φησίν, ὁ φονεύς σου γενησόμενος. τὸ δὲ οὐ πρόσω βέβηκας ἀντὶ τοῦ· οὐ πέφευγάς με: — MTA

μακράν: — M$^g$A$^g$

κατ' ἐρώτησιν: — M$^g$

597 δειλὸν δ' ὁ πλοῦτος: παρόσον οἱ πλούσιοι δειλοί εἰσι πρὸς θάνατον ὡς μεγάλων ἀγαθῶν στερούμενοι· οἱ δὲ πένητες ῥιψοκίνδυνοί εἰσιν ἐπιλογιζόμενοι ὡς λυσιτελεῖ κινδυνεύσαντα κτήσασθαι καὶ ἀποθανεῖν μᾶλλον ἢ πτωχὸν ὄντα ζῆν. φησὶν οὖν ὅτι φιλόψυχος εἶ σύ: — MTAB

φιλοψύχους ποιῶν: — M$^g$A$^g$

598 εἶτα: — M$^g$A$^g$

πρὸς τὸν ἄνανδρον: — M$^g$B$^g$

---

3 ἄδηλος M  4. 5 scholio quod praecedit adi. MTAB ante περαίνει add. ὁ δὲ νοῦς quae nescio an inserenda sint ante ἐκ τοῦ προτεθυμῆσθαί σε (6)  5 εἰς] δὲ A  6 τὸ A  τεθυμῆσθαί MT προτιθυμεῖσθαί A  7 ἡμᾶς add. ex Laur. 32, 33  9 παλαιῶν M$^g$  13 καὶ om. T  ἔμπροσθεν] οὐ πρόσθεν A  ἵσταται MTA  14 δ'] γὰρ A  χεῖρας MTAB ὡς ἐν M  14. 15 ἐμάς ἐκ] spatio rel. om. A  15 θνήσκεις B  16. 17 scholio quod praecedit adi. MT ante πρόσω add. τὸ δὲ  20 δεινὸν MB  22 κινδυνεύσαντας B  23 πτωχοὺς ὄντας B  ὅτι—σύ spatio rel. om. A  ὅτι] σε T  27 φιλόψυχον καὶ ἄνανδρον B$^g$

600 κομπὸς εἶ: τὸ μὲν προσηγορικὸν ὡς τὸ τέμπος, τὸ δὲ ἐπίθετον ὡς τὸ καρπός, κομπός, λάλος κομπαστής. ὁ δὲ νοῦς· μεγαλοφρονεῖς ἐπὶ ταῖς γενομέναις σπονδαῖς καὶ συνθήκαις, αἵτινές σε ῥύονται τοῦ ἤδη τεθνήξεσθαι: — MTAB

† ἄλλως: κομπός ὁ κομπηρὸς καὶ ἐπηρμένος, πρὸς ἀντιδιαστολὴν τοῦ κόμπος ἡ ἔπαρσις. γράφεται δὲ καὶ κομψός· κρεῖττον δὲ τοῦ κομψός τὸ κομπός. σπονδαῖς ταῖς εἰρηνικαῖς καταλλαγαῖς λέγει: — A

φλύαρος: — $M^{g}A^{g}$

σπονδάς φησι καθ' ἃς ἐπετράπη ἐξελθεῖν: — $M^{g}$A

601 καὶ σὲ δεύτερόν γ' ἀπαιτῶ: ἰδού, φησί, δεύτερόν σοι λέγω ἀποδοῦναί μοι τὸ μέρος τῆς βασιλείας. ἅπαξ γὰρ εἶπεν ἄνω [484] καὶ νῦν ἕτοιμός εἰμι τἀμαυτοῦ λαβὼν στρατὸν μὲν ἔξω τῆσδ' ἀποστεῖλαι χθονός: — MTAB

602 οὐκ ἀποδίδομεν: — $M^{g}$

603 τοῦ ἐπιβάλλοντός σοι: — $M^{1}B^{g}$

606 θεῶν τῶν λευκοπώλων δώμαθ': εὐφήμως· λέγει δὲ τῶν μελανοπώλων: — MA

Κάστορος καὶ Πολυδεύκους. ἢ Ζήθου καὶ Ἀμφίονος, ὅπερ ἄμεινον: — MAB

οἵτινες μισοῦσί σε: — $M^{1}A^{g}$

607 ἐξελάσων πορθήσων· διὸ ψιλῶς ἀναγνωστέον: — $M^{1}$A

608 Μυκήναις: ἐν ταῖς Μυκήναις ἀνακάλει καὶ μὴ ἐνθάδε: — $M^{1}$A

609 τὸ ἑξῆς· ἀνόσιος πέφυκας ὅς με ἄμοιρον ἐξελαύνεις τὸ μέρος τῆς βασιλείας κατέχων: — MA

ἄλλως: ἄδικος πέφυκας * * ἀλλ' οὐδὲ πατρίδος πολέμιος: — A

---

1. 2 et. m. p 527,46 κόμπος: ... τὸ μὲν οὖν προσηγορικὸν οὕτως ὡς τέμπος· τὸ δὲ ἐπίθετον κομπός, λάλος. κομπὸς εἶ Εὐριπίδης Φοινίσσαις [κομπὸσ εἶ. εὐρ. φ. κομπὸσ δὲ λόγοσ τὸ ἐπίθετον codd.]. 1 τὸ (alterum) om. B τέμποσ B κομπὸσ M κόμποσ T πόμποσ A 2 τὸ om. B κομπός λάλος] λάλοσ κομπόσ MT λόγοσ κομπόσ A κόμποσ λόγοσ κομπὸσ B 2. 3 μεγάλα φρονεῖσ MT μεγαλοφωνεῖσ A 3 σε om. M 4 τοῦ—τεθνήξεσθαι om. A τεθνήξε M 7 τὸ] τοῦ A 10 σπονδαῖσ A καθὼσ A ἐπετράπην $M^{g}$ ἔπεται A ἐξελθεῖν om. A spatio relicto lacunaeque signo in mg. posito 11 σε A 12 μοι om. A εἶπον αὐτῷ A 13 νῦν μὲν MT τἀμαυτοῦ] ταυτὸ TA 14 χθονός om. B 19 scholio quod praecedit adi. MA 22 διὸ—ἀναγνωστέον om. A 24 ἄμορον M 24. 25 τὸ—κατέχων om. A 26 post πέφυκας spatium in A

610 σὺν τούτοις: — M$^{g}$

614 εἶμι μὴ πόνει: μὴ κάμνε, μὴ θορυβοῦ τούτου χάριν· ἄπειμι γάρ. ἐπίτηδες δὲ περιεσταλμένῳ φρονήματι ταῦτά φησι προσδοκῶν εἰς τὸ δίκαιον ἔτι μετακαλέσειν τὸν ἀδελφόν: — MTAB

σὲ δ' αἰνῶ μῆτερ: σὲ δὲ ἀποδέχομαι, ὅτι ἐσπούδασας εἰς φιλίαν ἡμᾶς ἀγαγεῖν: — MAB

ἔξιθι: τὸ μὲν εἶμι διὰ τῆς ει διφθόγγου παραλόγως, ἡ δὲ ἀπ' αὐτοῦ πᾶσα κλίσις διὰ τοῦ ῑ: — MTAB

617 ἄφατος ἡ οἰκονομία: — M$^{1}$

618 ἀντὶ τοῦ κἂν σύ· οὕτως γὰρ * *: — M$^{g}$A$^{g}$B

χαρτὰ γοῦν πάσχω τέκνον: ἐν ἤθει τοῦτο Ἰοκάστη, ἐπεὶ αὐτῇ εἶπε χαῖρε: — MTA$^{g}$B

χαρᾶς γοῦν ἄξια πάσχω, τέκνον· ὁ δὲ λόγος ἐν εἰρωνείᾳ μετὰ ἤθους καὶ παθητικώτατος: — MT

619 οὐκέτ' εἰμὶ παῖς σός: ὅ ἐστι· μέχρι θανάτου χωρήσω. ἢ πρὸς τὸ ῥηθὲν ὑπὸ Ἐτεοκλέους [612] οὐ θεμιτόν σοι μητρὸς ὀνομάζειν κάρα: — MTAB

τεθνήξομαι γὰρ ὅσον οὐδέπω: — M$^{1}$A$^{g}$

ἀντὶ τοῦ· κατὰ πολλὰ ἀθλία γέγονα ἐγώ: — M$^{1}$

621 ποῦ ποτε στήσῃ πρὸ πύργων: κατ' ἐρώτησιν, ἀντὶ τοῦ· ἐπὶ ποίῳ μέρει παρατάξῃ· ἵνα κἀγὼ ἐκεῖ παρατάξωμαι: — MTAB

πρὸς τί με ἐρωτᾷς τόδε: — M$^{1}$

622 ἐπιθυμία: — M$^{g}$A$^{g}$

624 ἀποφαντικῶς, ἀντὶ τοῦ· ἐὰν μαχήσησθε, πάντως ἀπολεῖσθε: — M$^{1}$AB

τὰς βλαβερὰς κατάρας: — M$^{g}$B$^{g}$

2 initio add. εἶμι A  3 δὲ] γὰρ MT  φρονήματα M  4 μετακαλέσασθαι MA καλέσειν B  5. 6 scholio quod praecedit adi. B  5 post ἀποδέχομαι add. μῆτερ B  6 συναγαγεῖν A  7 ἔξιθι T ἔξειμι: ἔξιθι MB ἔξειμι: ἔξειμι ἔξιθι A  ἀπ'] ἐξ AB  8 κλίσις πᾶσα T κλίσις A  9 σημείωσαι ἄφατον M$^{1}$  10 σύ om. B  οὕτως γὰρ om. A$^{g}$  11. 12 scholio quod praecedit adi. B add. δὲ post ἐν ἤθει  11 τοῦτο] τὸ ἑξῆς B  11. 12 ἐπεὶ αὐτὴ εἶπε M ἐπεὶ αὐτὴν εἶπε T ἐξεῖπεν αὐτῇ A$^{g}$ ἐπεὶ εἶπεν αὐτῆι B  13. 14 scholio quod praecedit adi. MT  13 οὖν MT  13. 14 μετὰ ἤθους T τὸ ἦθος M  14 καὶ παθητικώτατος om. T  15 ὅ—χωρήσω] ad lectionem εἶμι referas  χαρήσω TA  20 ἀντὶ τοῦ om. A  21 ἐν AB  μέρει] τόπωι B  παρατάττηι B  24 ἀποφατικῶς M$^{1}$ ἀποφαντικὸν A  ἀντὶ τοῦ om. A  πάντων A  ἀπολεῖσθε Laur. 32, 33 ἀπόλυσθε M$^{1}$ ἀπόλλυσθε AB

625 ὡς ὄντως οὐκέτι ἀναίμακτον μενεῖ: — $M^gA^g$

οὐκ ἄπρακτον μενεῖ: — $M^gA^g$

626 γράφεται πάτραν: — $M^gB^g$

627 ἐλεεινά: — $M^gA^g$

628 ὁ ἀλλά ἀντὶ τοῦ καί: — $M^i$

629 καὶ ἐάν τί σοι συμβῇ, ὦ πόλις, κἂν πορθηθῇς. τοῦτο δὲ καλεῖται μαρτύριον: — $M^gA^g$

631 Ἀγυιεῦ: προπύλαιε. τὸν ἀγυιέα πρὸ τῶν πυλῶν ἵστασαν. κίων δὲ οὗτος ἦν εἰς ὀξὺ ἀπολήγων: — MTAB

ἐπεὶ πρὸ τῶν πυλῶν ἵστασαν ἀγάλματα τοῦ Ἀπόλλωνος ὡς ἀλεξικάκου καὶ φύλακος τῶν ὁδῶν. διὰ γὰρ τοῦτο Ἀγυιεύς: — MTA

632 τὰ δεχόμενα τὰς θυσίας: — $M^gA^g$

634 οἷον· ἐλπίδα ἔχω προσκυνῆσαι ὑμᾶς: — $M^iA^g$

ἐκβέβληνται: — $M^g$

636 παρετυμολογεῖ τὸ ὄνομα Πολυνείκους: — $M^gB$

638 Κάδμος ἔμολε τάνδε γᾶν: Κάδμος ζητῶν τὴν ἀδελφὴν Εὐρώπην μαντεῖον ἔλαβε περὶ τῆς ἀδελφῆς οὐδὲν αὐτῷ σημαῖνον, ἀλλ' ὥστε αὐτὸν ἐξελθόντα ἕπεσθαι βοῒ καὶ οὗ ἂν αὐτόματος πέσῃ κτίζειν πόλιν. ἔχει δὲ ὁ χρησμὸς τοῦ Πυθίου θεοῦ οὕτως·

φράζεο δὴ τὸν μῦθον, Ἀγήνορος ἔκγονε Κάδμε·
ἠοῦς ἐγρόμενος προλιπὼν ἴθι Πυθὼ δῖαν

6 κἂν] καὶ Ag  8. 9 Harpocr. [= lex. Bachm. p. 16,10 Suid. Zon. p. 21] ... ἀγυιεὺς δέ ἐστι κίων εἰς ὀξὺ ἀπολήγων, ὃν ἱστᾶσι πρὸ τῶν θυρῶν .. Steph. Byz. p. 22,14 ... λέγεται δὲ ἀγυιεὺς κίων εἰς ὀξὺ ἀπολήγων ὁ πρὸ τῶν θυρῶν ἱστάμενος· Ἀριστοφάνης Θεσμοφοριαζούσαις ... Eust. p. 166,21 ἀγυιεὺς κίων ἱερὸς Ἀπόλλωνος πρὸ θυρῶν ἑστὼς λήγων εἰς ὀξὺ .. cf. schol. Arist. Vesp. 875 Hesych. [= et. m. p. 15,30] Poll. 4, 123 Zon. p. 20  8 προπύλαιε] ὅτι B  8. 9 ἔστασαν MTA  9 καταλήγων A λήγων B  10. 11 cf. Eust. p. 166,23 .. ἔφη δέ τις καὶ 'ἀγυιάτιδας θεραπαίνας', τοὺς πρὸ τῶν θυρῶν βωμοὺς οἳ πρὸς χάριν Ἀγυιέως Ἀπόλλωνος ἵδρυντο τιμωμένου πρὸ πυλῶν ὡς ἀλεξικάκου .. scholio quod praecedit adi. MTA  10 ἔστασαν MTA  τοῦ om. A  15 in fine add. ὄνομα νεικέων φερώνυμον τουτέστιν ἀπὸ τῶν νεικέων τὴν ἐπωνυμίαν λαβόν B  16—p. 314,21 schol. B 494 Apollod. III 4, 1,1.2 Hygin. 178 Paus. IX 12,1.2 schol. Aesch. Sept. 469 cf. schol. Ap. Rh. III 1178  16 τὴν ἰδίαν ἀδελφὴν M  17 τοὺσ ἀδελφοὺσ T  αὐτῆσ B  αὐτῷ om. M αὐτὸν T αὐτὸ A  17. 18 ἀλλ' ὥστε] ἄλλωσ A  18 βοῦν A  οὐδὰν M οὐδ' T  αὐτόματον M αὐτομάτωσ A  20—p.314,1 Tzetz. chil. 5, 819—821. 10, 454—456. 12, 112—114, 20—p. 314,16 exeg. Il. p. 16  20 δὴ τὸν Tzetzes chil. δὴ MB Tzetz. ex. Il. δὲ TA δή μοι Musurus  ἔκγονοσ T  21 ἀγρόμενοσ TA  πυθὼν δία T

ἤθάδ' ἔχων ἐσθῆτα καὶ αἰγανέην μετὰ χερσὶ
τὴν διά τε Φλεγυῶν καὶ Φωκίδος, ἔστ' ἂν ἵκηαι
βουκόλον ἠδὲ βόας κηριτρεφέος Πελάγοντος.
ἔνθα δὲ προσπελάσας συλλάμβανε βοῦν ἐρίμυκον
τὴν ᾗ κεν νώτοισιν ἐπ' ἀμφοτέροισιν ἔχῃσι
λευκὸν σῆμ' ἑκάτερθε περίτροχον ἠύτε μήνης·
τήνδε συ ἡγεμόνα σχὲ περιτρέπτοιο κελεύθου.
σῆμα δέ τοι ἐρέω μάλ' ἀριφραδές, οὐδέ σε λήσει·
ἔνθα κέ τοι πρώτιστα βοὸς κέρας ἀγραύλοιο
ἵζηται κλίνῃ τε πέδῳ γόνυ ποιήεντι,
καὶ τότε τὴν μὲν † ἔπειτα μελαμφύλλῳ χθονὶ ῥέζειν
ἁγνῶς καὶ καθαρῶς· Γαίῃ δ' ὅταν ἱερὰ ῥέξῃς,
ὄχθῳ ἐπ' ἀκροτάτῳ κτίζειν πόλιν εὐρυάγυιαν
δεινὸν Ἐνυαλίου πέμψας φύλακ' Ἄϊδος εἴσω.
καὶ σύ γ' ἐπ' ἀνθρώπους ὀνομάκλυτος ἔσσεαι αὖθις
ἀθανάτων λεχέων ἀντήσας, ὄλβιε Κάδμε.

ταῦτα ἀκούσας ὁ Κάδμος ἀφίκετο εἰς τὸ βουκόλιον τοῦ Πελάγοντος τοῦ Ἀμφιδάμαντος, παρ' οὗ ἀγοράσας βοῦν καὶ ἡγεμόνα ταύτην τῆς ὁδοῦ ποιησάμενος κτίζει τὰς Θήβας ὁμωνύμους τῶν Αἰγυπτίων Θηβῶν, ἐπεὶ τὸ ἀνέκαθεν Αἰγύπτιος ἦν ὁ Κάδμος. καὶ ἡ Βοιωτία δὲ ἀπὸ τῆς βοὸς ἐκλήθη: — 

λείπει ⟨ἡ εἰς⟩· εἰς τήνδε γῆν. λέγει δὲ τὰς Θήβας: — M[i]

639 ἡ τετρασκελὴς μόσχος: — M[i]

640 ἀδάμαστον πέσημα: τὸ μὴ ὑπό τινος ἠναγκασμένον πτῶμα, ἀλλ' αὐτορριφές. πέσημα δὲ τὸ σῶμα ἀπὸ τοῦ παρεπομένου: — MTAB

---

1 ἠθάδ' Musurus ἔνθαδ' MTAB 2 φωκίδοσ καὶ φλεγυῶν B φλεγιῶν A εὖτ' MTA ἵκναι A 4 συλλαμβάνου M συλλαμβάνουσι T λάμβανε A 5 ἧκε T ἧκεν A νήτοιιν A 6 ἑκάτερθεν T . περίδρομον B μόνησ M 7 τὸν δέ M σοι MTA ἡγεμόνοσ TA σχὲ B γε TA θέσθαι M περιτρίπτοιο MTB 8 μάλλ' M 9 καί M δέ B 10 κινῇ MT κινεῖ A 11 ἔπειτα MTB ἔπεσ τα A 12 ἀγῇ A 13 ὄζω A εὐρυάλιαν T 14 φύλακεσ T 15 γ' om. TA ἀνθρώποισ A ἔπεαι T 16 ἀντήσας Tzetz. ex. II. ἀντιάσασ MB ἀντίασ T αἰτίασ A κάδμων T 17 τοῦ (alterum) om. A 18 τῆς om. T 19 ὁμωνύμωσ MT ὁμωνύμασ A 19. 20 cf. Paus. IX 12,2 20. 21 cf. Castor. ap. Steph. Byz. p. 173,18 et. m. p. 203,16.21 20 δὲ om. A 25 σῶμα] πτῶμα MA ἀπὸ τοῦ παρεπομένου] τοῦ σώματοσ M

ἄλλως: ἀδάμαστον: ἀντὶ τοῦ· αὐτόματον ἔβαλε τὸ σῶμα ἐπὶ τὴν γῆν. δίκειν γὰρ τὸ βάλλειν. ὅθεν καὶ δίσκος. τινὲς δὲ ἀδάμαστον πέσημα τὸ μηδέπω δαμασθὲν ζεύγλῃ σῶμα. ἐμφαίνει δὲ τὸν νέον μόσχον: — MTAB

641 ἄλλως: δίκε: ἔβαλε· καὶ ἐν Βάκχαις [600]· 'δίκετε τρομερὰ σώματα': — MTAB

ἔρριψεν: — $M^g$

τέλεον: — $M^g$

ἡ μόσχος δηλονότι· θηλυκῶς γὰρ εἶπεν: — $M^i$

642 οὗ κατῴκισεν: ἐν ἐνίοις τῶν ὑπομνημάτων ἀντὶ τοῦ οὗ κατῴκισε, κατοικίσαι. ὁ δὲ λόγος πλεονάζοντος τοῦ μέν οὕτως· οὗ κατοικίσαι μὲν καὶ οἱονεὶ κτίσαι τὰ πεδία τῶν δόμων ὁ θεὸς ἐμαντεύσατο, ἔνθα ἡ τῆς Δίρκης πηγὴ καταρδεύει τὰς γύας: — MTAB

ἄλλως: ὅπου κατῳκίσθη ⟨ἡ⟩ πόλις: — MTAB

ἄλλως: ἐνταῦθα ἔπεσεν ὅπου κατῴκισε Κάδμος τὴν πόλιν: — MTAB

643 τὸ μάντευμα ἐχρησμῴδησεν: — $M^gB^g$

πεδία μὲν τὸ θέσφατον: τοῦτο ἀπὸ ἄλλης ἀρχῆς. κεῖται γὰρ νῦν ὁ μέν ἀντὶ τοῦ δέ, ἵν' ᾖ· πεδία δὲ τὸ θέσφατον ἔχρησε πυροφόρα ἔσεσθαι: — MTAB

ἄλλως: πεδία δόμων, δι' ὧν αἱ συστάσεις τῶν δόμων ἔσονται.

ὁ δὲ νοῦς οὕτως· τὸ θέσφατον δὲ ἔχρησεν ἐκεῖ τοὺς ἀγροὺς γενέσθαι ὅπου ἡ καλλιπόταμος νοτὶς τῆς Δίρκης ἐπινέμεται τὰς γύας: — MTAB

τῆς δὲ πόλεως κτισθείσης καὶ τὴν χώραν πυροφόρον ἔσεσθαι ὁ χρησμὸς ἐσήμηνε διὰ τοῦ τῆς Δίρκης ὕδατος. ἐμφαίνει δέ τινα

---

1—4 scholio quod praecedit adi. B initio add. ἢ  1. 2 cf. Hesych. Or. p. 44,5 et. m. p. 279,20 Gud. p. 147,48 Eust. p. 344,3. p. 1591,25
1 πτῶμα A  2 δίκην TB δείκει A  βαλεῖν A  ὅθεν] ὥσπερ A  δὲ τὸ B  5 ἔβαλε M εἴσβαλε T εἴσβαλλε A κατέβαλε B  10 ἀντὶ τοῦ B αὐτοῦ MTA  11 κατοικῆσαι A  12 μὲν καὶ om. M  12. 13 ὁ — ἐμαντεύσατο om. T  13 ἡ] καὶ A  14 ἡ add. Münzel  15 ὁ κάδμοσ M  18 τοῦτο γὰρ A  ἄλλης] ὕλησ A  19 νῦν om. M  πυροφόρα ὁ θεὸσ ἔχρησε B  πυροφόρῳ T  20 in fine add. προσυπακούεσθαι T προσυπαγαγέσθαι A  21 πεδία — ἔσονται om. B  22 δὲ om. B μὲν T  οὕτωσ om. B  23 τῆσ δίρκησ in fine coll. MTAB  τὰσ γυίασ MB τὰσ γᾶσ A τῆσ γῆσ T  25 — p. 316,3 scholio quod praecedit adi. MTA  25 τῆς] περὶ A  26. p. 316,1 cf. schol. vs. 102

ποταμὸν ὑπὸ τῆς Δίρκης ἀποτελεῖσθαι Δίρκην ὁμωνύμως καλούμενον. ὁ δὲ νοῦς· ἔνθα τὸ καλλιπόταμον ὕδωρ τῆς Δίρκης ταῖς βαθυσπόροις ἐπεμβαίνει γύαις: — MTA

644 σιτοφόρα: — $M^gA^g$

645 καλλιπόταμος ὕδατος: ἡ καλλιπόταμος νοτὶς τοῦ ὕδατος τῆς Δίρκης. Δίρκη δὲ ποταμὸς Θηβῶν ὁμώνυμος τῇ πηγῇ: — MTAB

ὅπου τὸ καλλιπόταμον ὕδωρ τῆς Δίρκης τὰς εὐκάρπους χώρας ἐπιβαίνει: — MTA

646 ἡ ὑγρασία: — $M^gA^g$

γᾶς: — $M^g$

647 βοτανοτρόφους: — $A^gB^g$

648 εὐκάρπους χώρας: — $M^1A^g$

649 ἔνθα, φησίν, ἐν Θήβῃ, τὸν Διόνυσον τῷ Διὶ ἡ Σεμέλη ἔτεκεν: — $M^1A^g$B

650 ἐν τοῖς γάμοις τοῦ Διός: — $M^1A^g$

651 κισσὸς ὃν περιστεφής: ὁ πανταχόθεν αὐτὸν στέψας. τοῦ γὰρ οἴκου κεραυνωθέντος ἐξήμβλωσεν αὐτὸν ἡ μήτηρ φοβηθεῖσα, κισσὸς δὲ περιέλιξεν: — MTAB

ἄλλως: ὅντινα, Διόνυσον, κισσὸς ἔξωθεν περιπλακεὶς ἔτι βρέφος ὄντα κατὰ τοῦ νώτου ἐκάλυψεν. ἱστορεῖ γὰρ Μνασέας [frg. 18] ὅτι τῶν Καδμείων βασιλείων κεραυνωθέντων κισσὸς περὶ τοὺς κίονας φυεὶς ἐκάλυψεν αὐτόν, ὅπως μὴ αὐθημερὸν καὶ ἐν μηδενὶ τὸ βρέφος διαφθαρῇ [καλυφθὲν κισσῷ]· διὸ καὶ περικιόνιος ὁ θεὸς ἐκλήθη παρὰ Θηβαίοις: — MTAB

652 περιειλούμενος: — $M^gA^g$

654 κατασκιάζουσιν: — $M^gA^g$

ὀλβίσας ἐνώτισε: μεγάλη γὰρ αὐτῷ δόξα τὸ τῆς παραδόξου σωτηρίας τέλος: — MTAB

---

1 ἀπὸ MT Δίρκην] δίκην M ὑφ' (ἀφ' T) οὗ ποταμηδὸν ῥεούσης ὅτι ἀπὸ τοῦ ποταμοῦ δίρκης TA καλούμενος TA 2 post νοῦς add. οὕτως A 3 ἐπαναβαίνει A γυίαις M γαῖς TA 5. 6 scholio p. 315,21—23 adi. B om. ἡ—Δίρκης 6 ὁμωνύμως MT ὁμωνύμως τῶν θηβῶν A 7. 8 scholio quod praecedit adi. MTA initio add. γρ. γὰρ M γρ. T 13 ἐν—Διόνυσον om. $M^1$ 13. 14 ἐτέκετο $M^1$ 16—18 scholio 13. 14 adi. B initio add. κισσὸς δὲ 16 πάντοθεν A περιστέψας B 17 ἐξήμβλων M 20 τῶν om. TA 22 αὐτοὺς TA 23 κισσῷ om. B περικίονος MTB 27. 28 περιδόξου θυσίας MTA

ὀλβίσας ἐνώτισεν: αὐτόν, τὸν Διόνυσον, αὐτός, ὁ κισσός: — MTAB

655 τὸ τοῦ βακχεύειν καὶ χορεύειν τὰς Θηβαίας αἴτιον: — TAB

πρὸς τὴν γραφὴν ὁ τόνος: — M[g]A[g]B[g]

σκίρτημα: — M[i]A[g]

656 καὶ γυναιξὶν εὐίοις: ταῖς περὶ τὸν Διόνυσον χορευούσαις καὶ τὸ εὐοῖ εὐάν ἐπιφθεγγομέναις: — MAB[g]

μυστικαῖς: — M[i]A[g]

657 ἔνθα φόνιος ἦν δράκων: ἔνθα, παρὰ τῇ Δίρκῃ, δεινὸς ὑπῆρχε δράκων, ὠμὸς τὴν φύσιν, φύλαξ ὑπὸ τοῦ Ἄρεως κατασταθεὶς τῆς Δίρκης πρὸς τὸ μηδένα ἀπ' αὐτῆς ὑδρεύσασθαι: — MTAB

658 Ἄρεος ὠμόφρων φύλαξ: ὡς τὸ 'βασιλέως ἄρχων', ἀντὶ τοῦ ὑπὸ τοῦ βασιλέως κατασταθεὶς ἄρχων: — MTAB[g]

659 καὶ ῥέεθρα χλοερά: χλοητρόφα βοτανώδη. χλοερά δὲ εἶπε διὰ τὸ ἄνθη εἶναι ἐπ' αὐτοῖς. λέγει δὲ περὶ τῆς Ἀρείας οὕτω καλουμένης πηγῆς: — MTA

660 κόραισι: ταῖς κόραις τῶν ὀφθαλμῶν ταῖς πανταχοῦ περιαγομέναις: — MA[g]B[g]

661 ἵνα μή τις ὑδρεύσῃ: — M[i]

662 ὃν ἐπὶ χέρνιβας: ὅντινα, δράκοντα θηρίον ὄντα χαλεπόν, ἐλθὼν ὁ Κάδμος ἐπὶ τὴν κρήνην τοῦ νίψασθαι ἕνεκα ἀπώλεσε λίθῳ, βαλὼν τῇ ἑαυτοῦ χειρί: — MTA

χέρνιβας: ἀπὸ τοῦ χέρνιψ: — MTAB[g]

ἐπὶ τὸ νίψασθαι τὰς χεῖρας. ἐβούλετο γὰρ θῦσαι τοῖς θεοῖς, ὅτι σύμβολον αὐτῷ αὐτόθι γέγονε τοῦ κτίσαι τὴν πόλιν. ὁ μὲν οὖν

---

1 scholio quod praecedit adi. B initio add. ὀλβίσας δὲ αὐτὸς M ἐνώτισεν TAB 3 τὸ τοῦ B τότε TA βακχεύεις T θήβας TAB 6 τὸν om. AB[g] διονύσου B[g] 9 τῆς δίρκης A 10 ὑπῆρχε] ἦν B 10. 11 κατασταθεὶς — ὑδρεύσασθαι om. M 11 ὑπ' TA ὑδρεῦσαι B 12 τὸ] τοῦ MT 13 ὑπὸ τοῦ om. B[g] 14 χλοητρόφα βοτανώδη om. M 15 ἐπ'] ἐν MTA ἀρίας T 16 πηγῆς] τῆς γῆς T 17. 18 post ὀφθαλμῶν ins. πολυπλάνοις δὲ B[g] 21 λίθον TA 23 scholio quod praecedit adi. MTA χὲρ νίψες T χερνί την A 24 — p. 318,2 scholio quod praecedit adi. MTA 24 νίψαι A ἐβούλοντο MTA post γὰρ ins. τὸν βοῦν B 25 σύμβουλον T αὐτῷ] αὐτὸ A γέγονε om. T ὁ μὲν] ὅθεν A

Ἑλλάνικος [frg. 9] λίθῳ φησὶν ἀναιρεθῆναι τὸν δράκοντα, ὁ δὲ Φερεκύδης ξίφει: — MTAB

μολὼν Κάδμος: ἕνεκα τοῦ πρὸς θυσίαν ὕδωρ λαβεῖν μολών. ἔθυε γὰρ τῇ Γῇ τὴν βοῦν: — MAB

663 ὤλεσε ταῖς τῆς χειρὸς ῥίψεσιν: — M[1]A[g]

664 ὀλεσίθηρος: τοῦ ἀπολέσθαι ἀξίου θηρός. ἢ ὀλεσίθηρος αὐτὸς ὁ Κάδμος ὁ τὸν θῆρα ὀλέσας: — MAB[g]

665 βαλὼν ταῖς τῆς χειρὸς ῥίψεσιν: — M[1]A[g]B[g]

δύναται τοῦτο τοῖς ἄνω συνάπτεσθαι, ἄμεινον δὲ πρὸς τὸ ἑξῆς: — M[1]A[g]B[1]

666 δίας ἀμάτορος: ταῖς ὑποθήκαις τῆς ἐνδόξου Ἀθηνᾶς πεισθεὶς τῆς ἀμάτορος καὶ μὴ ἐκ μητρὸς γεννηθείσης: — MTA

668 τοὺς ἐπὶ γῆς πεσόντας: — M[g]

ἔρριψεν κατέσπειρεν: — M[g]

δικὼν ὀδόντας: ἀντὶ τοῦ ἔδικεν ἐγκατέσπειρεν: — MTAB[g]

ἄλλως: γαπετεῖς δικών: μετοχὴ ἀντὶ ῥήματος: — MTAB[g]

εἰς τὴν γῆν πίπτοντας ὑπὸ Παλλάδος φραδαῖσιν: — MTA

669 εἰς τὰς εὐκάρπους χώρας: — M[g]

670 ἔνθεν ἐξανῆκε γᾶ: ἔνθεν, ἐκ τῶν ὀδόντων, ἐξεκύησεν ἡ Γῆ ὁπλοφόρους ἄνδρας. εἰσὶ δὲ οὗτοι ⟨οἱ⟩ ἐξ αὐτῶν ὑπολειφθέντες· Πέλωρ, Ἐχίων, Οὐδαῖος, Χθόνιος, Ὑπερήνωρ, κατὰ δὲ Τιμαγόραν [frg. 1] καὶ Κρέων, ἀφ' οὗ γέγονε * *: — MTAB

ἄλλως: ὁ μὲν Στησίχορος ἐν Εὐρωπείᾳ [frg. 15] τὴν Ἀθηνᾶν

---

1 λίθοισ M φονευθῆναι φησὶ A 1. 2 φερεκράτησ MTB φερεκράτησ φησὶ A em. Valckenaer 3. 4 scholio quod praecedit adi. B initio add. ἢ οὕτωσ 3 τὴν θυσίαν B μολῶν ὕδωρ λαβεῖν A μολών om. M 4 τὸν MAB 5 τῶν χειρῶν Ag 8 τῶν χειρῶν AgBg βολαῖσ Bg 9 scholio quod praecedit adi. M[1]Ag add. δὲ post δύναται ἄνωθεν M[1] in fine add. συνάπτειν Ag συνάπτειν τὸν δὲ σύνδεσμον προσλαμβάνοντασ B[1] 12 καὶ] ἤγουν τῆσ A 17 φραδαῖσ A 19 ἔνθα MT 20 ἀπολειφθέντεσ M 21 χθονὸσ TA τιμαγόσ M 22 ἀφ'—Κρέων om. B suppleas ὁ ἕτερος Κρέων talia 23—p. 319,6 schol. Pind. Isthm. VII 13 τῶν κατὰ τὰς Θήβας ἀναδοθέντων ἐκ τῶν δρακοντείων ὀδόντων, ὧν καὶ Εὐριπίδης μέμνηται ... ὁ γὰρ Φερεκύδης διττά φησιν εἶναι Σπαρτῶν γένη· τὸν γὰρ Ἄρη καὶ τὴν Ἀθηνᾶν τοὺς μὲν ἡμίσεις τῶν ὀδόντων Κάδμῳ δοῦναι, τοὺς δὲ ἡμίσεις Αἰήτῃ. Ἀνδροτίων δέ φησι φυγόντα ἐκ τῆς Φοινίκης τὸν Κάδμον μετὰ ἱκανῶν σποράδων (?) κατελθεῖν εἰς Θήβας, ὅθεν διὰ τὸ συμμιγὲς καὶ σποράδην εἶναι Σπαρτοὶ ἐκλήθησαν· οἱ δὲ Θηβαῖοι τὰ περὶ αὐτῶν ψευδῶς ἐτερατούργησαν. cum affectatione Paus. IX 5,3 οὐ γάρ τι ἠδυνάμην ἐς αὐτοὺς παρευρεῖν. 23 εὐρω (π superscr.) M εὐρωπία TA

ἐσπαρκέναι τοὺς ὀδόντας φησίν· ὁ δὲ Ἀνδροτίων [frg. 29] Σπαρτοὺς αὐτούς φησι διὰ τὸ ἀκολουθήσαντας αὐτοὺς ἐκ Φοινίκης Κάδμῳ σποράδην οἰκῆσαι· Ἀμφίλοχος [FHG IV p. 300b] δὲ διὰ τὸ ἐπεσπάρθαι τοῖς οἰκοῦσιν ἐν Θήβαις· Διονύσιος [frg. 2] δὲ ἔθνος Βοιωτίας φησὶν αὐτούς· ἔνιοι δὲ παῖδας Κάδμου αὐτούς φασιν ἐκ διαφόρων γυναικῶν πεντήκοντα τὸν ἀριθμὸν ὄντας: — MTAB

συναπτέον: — M$^{g}$

671 θέαν: — M$^{g}$A$^{g}$B$^{g}$

τὴν πανοπλίας ὄψιν: — M$^{g}$

672 ὁ δὲ φόνος αὐτοὺς ὁ ὠμόφρων παρόσον οἱ φονεύοντες ὠμόφρονές εἰσιν: — M$^{1}$A$^{g}$

673 πάλιν ξυνῆψε φίλᾳ γᾷ: οὗτοι δέ, φησίν, οἱ ἀναφανέντες ἐκ γῆς ὁμοῦ τῇ πανοπλίᾳ εὐθὺς ἅμα τῷ φανῆναι ἀλλήλους ἐφόνευσαν. τὸ οὖν νίν πρὸς τὴν ὄψιν ἀπέδωκε, τουτέστιν· αὐτὴν δὲ τὴν πάνοπλον ὄψιν τὴν ἀναδοθεῖσαν ἐκ γῆς ὁ κατ' ἀλλήλων φόνος γενόμενος πάλιν εἰς γῆν κατήνεγκε. τὴν δὲ ὄψιν ὅταν λέγῃ, τοὺς ἄνδρας σημαίνει: — MTAB

† πάλιν ξυνῆψε: τῇ δὲ γῇ πάλιν ξυνῆψεν αὐτούς, ὅ ἐστιν· ἡ αὐτὴ μήτηρ καὶ τάφος γέγονεν: — TA

674 ἅ νιν εὐηλίοισιν: ἥτις αὐτοὺς ταῖς τοῦ ἡλίου ἀκτῖσιν ἀνέδειξε καὶ ταῖς πνοαῖς τοῦ αἰθέρος: — MM$^{g}$TA$^{g}$

τουτέστι· κατ' ἀρχὴν εἰς φῶς αὐτοὺς ἤγαγεν: — M

† ἅ νιν εὐηλίοισιν: ἥτις αὐτοὺς κατ' ἀρχὴν εἰς φῶς ἤγαγεν, ὡσεὶ ἔλεγεν· ἡ αὐτὴ μήτηρ καὶ τάφος. ·τὸ δὲ νίν πάλιν πρὸς τὴν ὄψιν ἀπέδωκεν: — TA

678 Ἔπαφος ἐκλήθη, ἐπεὶ ὁ Ζεὺς ἐπαφησάμενος τῆς Ἰοῦς πάλιν εἰς γυναῖκα αὐτὴν μετεμόρφωσεν: — MTAB

---

p. 318,23. 1 ἐσπαρκέναι τὴν ἀθηνᾶν A   1 ἐπαρκέναι T   2 αὐτοὺς om. A   3 ἐσπάρθαι MTA   4 cf. schol. Ap. Rh. III 1179 ... Ἱππίας δὲ ὁ Ἠλεῖος ἐν Ἐθνῶν ὀνομασίαις ἔθνος τι καλεῖσθαι Σπαρτούς· καὶ ὁμοίως † ἀτρόμητος ... Διονύσιος δὲ] διὸ MT   βοιωτικὸν A   αὐτοὺς φησιν B   5 φασὶν αὐτοὺς A   5. 6 πεντήκοντα—ὄντας om. A   5 ν̄ MT πέντε καὶ η̄ B   6 ὄντας om. TB   10 αὐτῶν M$^{1}$   12 δὲ om. B   14. 15 πανοπλίαν TA   15 ἐκ γῆς om. MTA   γενόμενος om. B   22 scholio quod praecedit adi. M   24 πόλιν T om. A   25 ἀποδέδωκεν A   26. 27 cf. Apollod. II 1,3,6 .. τὴν ἀρχαίαν μορφὴν ἀπολαβοῦσα ... γεννᾷ Ἔπαφον   scholio 19—23 adi. M bis scripta in B   26 ὁ δὲ ἔπαφος B$^{a}$   ὅτι TA ἐπειδὴ B$^{a}$   ὁ om. AB   τὴν ἰὼ M

ἀπόγονος Ἐπάφου Κάδμος, ἐπεὶ Ἀγήνορός ἐστιν υἱὸς τοῦ Βήλου τοῦ Λιβύης τῆς Ἐπάφου τοῦ Ἰοῦς: — MM¹TA^g

680 γράφεται βοαῖς: — M^g

682 σοί νιν ἔκγονος κτίσαν: ἀντὶ τοῦ υἱός: — M

ἔκγονος: Ἔπαφον λέγει τὸν Διὸς υἱόν. σοὶ οὖν, τῷ Ἐπάφῳ, ἔκτισαν τὰς Θήβας αἱ διώνυμοι θεαί: — M

σοί νιν ἔκγονοι: γράφεται καὶ σῷ νιν ἐκγόνῳ κτίσαν, ἵν' ᾖ· τῷ ἐκγόνῳ σου, Ἔπαφε, τῷ Κάδμῳ, αἱ θεαὶ κατέκτισαν τὰς Θήβας. γέγονε δὲ περὶ τὴν γραφὴν ἁμάρτημα. ἄρχοντος γὰρ Ἀθήνησιν Εὐκλείδου μήπω τῶν μακρῶν εὑρημένων τοῖς βραχέσιν ἀντὶ τῶν μακρῶν ἐχρῶντο, τῷ ε̄ ἀντὶ τοῦ η̄ καὶ τῷ ο̄ ἀντὶ τοῦ ω̄. ἔγραφον οὖν τὸ δήμῳ μετὰ τοῦ ῑ· δήμοι. μὴ νοήσαντες δὲ ὅτι κατὰ τὴν ἀρχαίαν γραφήν ἐστι καὶ δεῖ μεταθεῖναι τὸ ο̄ εἰς τὸ ω̄ ἐτάραξαν τὸ νοητόν: — MTAB

ἄλλως: σοί νιν ἔκγονοι κτίσαν: ὁ σὸς ἔκγονος Κάδμος, ὦ Ἔπαφε, τὰς Θήβας ἔκτισεν ἐν τούτῳ τῷ τόπῳ, ἐν ᾧ αἱ διώνυμοι θεαὶ ᾤκησαν. δεδόσθαι γὰρ τὰς Θήβας τῇ Περσεφόνῃ ὑπὸ Διὸς ἀνακαλυπτήρια. ὡς Εὐφορίων [frg. 48]·

> ἀλλ' οὔπω Θήβῃ πεπρωμένα κεῖτο τάλαντα,
> τὴν ῥά ποτε Κρονίδης δῶρον πόρε Περσεφονείῃ,
> ὃν γαμέτην ὅτε πρῶτον ὀπωπήσασθαι ἔμελλε,
> νυμφιδίου σπείροιο παρακλίνασα καλύπτρην: — MTAB

ἄλλως: ἀντὶ τοῦ· ὁ σὸς ἔκγονος αὐτὴν ἔκτισεν ὅπου αἱ διώνυμοι θεαὶ ᾤκησαν. ἀπόγονος ὁ Κάδμος Ἐπάφου, ἐπεὶ Ἀγήνορός ἐστιν υἱός: — MTA

---

1 Βήλου] θῆλυ T 2 τῆσ ἰοῦσ MM¹TA^g 5 διόνυσσον M 7 γράψον A καὶ om. AB σῷ] σοὶ A 8 ἐκγόνῳ σου] σῷ ἐκγόνῳ A Ἔπαφε om. B ἔκτισαν αἱ θεαὶ A 9 ἕως ἄρχοντος Valckenaer, fortasse plura confusa sunt 10 μήπου T 11 ε̄] ε̄ῑ M ω̄] ο̄ MT 11—13 ἔγραφον—ω̄ om. A 11 τὸ] τὸ τῷ MTB δήμῳ] δόμῳ T 12 μὴ ν.] μονοήσαντεσ T 14 ὦ ἔπαφε Laur. 32, 33 ὁ ἐπάφου MTAB 15 τὰς Θήβας om. A ἐν om. TAB πόθῳ A διώνυμαι M 16 ὑπὸ διὸσ τῇ περσεφόνῃ M ἀνακαλυπτρία A 17 post Εὐφορίων ins. ἅ νιν εὐηλίοισιν MT 18 πεπρωμένων MT πεπρωμένον A 19 ῥάτοτε A 20 ὃν γαμέτην Meineke ᾗι γαμετῆι M ἐγγαμετῇ T ἐνγαμετῇ A ἐγγαμετὴν B ὀπωπήσεσθαι Cobet 21 σπείροιο] γάμοιο A παρακλίνασ M 22 ἀντὶ τοῦ om. M ὁ om. TA ὅπου αὐτὴν ἔκτισαν ὅπου T ὅπου ἔκτισεν αὐτὴν ὅπου A 23 ᾠκήσαντο MTA corr. Dindorf

ὁ νοῦς· καταλούμεθά σε, ὦ Ἔπαφε, Ἰοῦς καὶ Διὸς γένεθλον. εἴσελθε δὴ σωτήριος εἰς τὰς Θήβας καὶ ταῖς παρ' ἡμῶν ἱκεσίαις ἐπίνευσον. ὁ σὸς γὰρ ἔκγονος Κάδμος ἔκτισε τὰς Θήβας· ὅθεν δικαίως ἂν σῴζοις αὐτάς. τὸ οὖν πληθυντικὸν ἀντὶ τοῦ ἑνικοῦ κεῖται· ἔδει γὰρ εἰπεῖν σὸς ἔκγονος: — MTAB[g]

† ἄλλως: ἀντὶ τοῦ τὴν γῆν, τουτέστι τὰς Θήβας. προμάτορα δὲ αὐτῶν αἱ Φοίνισσαι τὴν Ἰὼ ἔφασαν διὰ τὸ Φοίνικα ἀπὸ Ἰοῦς ⟨τὸ⟩ γένος κατάγειν. Κάδμου γὰρ καὶ Εὐρώπης ἀδελφὸς Φοῖνιξ: — T

683 ἀντὶ τοῦ ἔνθα: — M[i]

ᾇ διώνυμοι θεαί: ἀντὶ τοῦ ὅπου. ἢ ἄρθρον πληθυντικὸν καὶ λείπει ὁ καί σύνδεσμος: — M

ἄλλως: τὸ ᾇ Δωρικόν ἐστιν ἀντὶ τοῦ ᾗ, ὅ ἐστιν ὅπου. τὸ δὲ ἐκτίσαντο ἀντὶ τοῦ ᾤκησαν, ὡς τὸ 'ὀρεικτίτου συός' παρὰ Πινδάρῳ [frg. 313], ἀντὶ τοῦ ὀρειοίκου. ἱερὰν δὲ Δήμητρος τὴν Θήβην εἶπεν ἢ διὰ τὸ εὔκαρπον ἢ ἐπεὶ πάντα τὰ ἐκ γῆς φυόμενα ἱερὰ τῇ θεῷ· καὶ οἱ Σπαρτοὶ δὲ ἐκ τῆς γῆς. διώνυμοι δὲ παρόσον ἡ μὲν Κόρη καὶ Περσεφόνη, ἡ δὲ Δημήτηρ καὶ Γῆ ὀνομάζεται. ἢ ὅτι δύο οὖσαι ἑνὶ ὀνόματι χρῶνται· ἑκατέρα γὰρ Δημήτηρ καλεῖται ἡ μὲν πρεσβυτέρα, ἡ δὲ νεωτέρα: — MTAB

† ἄλλως: τοῦτο ἀπὸ ἄλλης ἀρχῆς. χρὴ δὲ μὴ ὡς πληθυντικὸν ἄρθρον τὸ αἱ, ἀλλ' ὡς Δωρικὸν περισπῶντας ἀναγινώσκειν, ἵνα σημαίνῃ τὸ ἔνθα. καὶ γίνεται ὁ λόγος τοιοῦτος· ὁ σὸς ἔκγονος, ὦ Ἔπαφε, τὰς Θήβας ἔκτισεν ἐνταῦθα ἔνθα ἡ Περσεφόνη καὶ ἡ Δημήτηρ αἱ διώνυμοι θεαὶ ᾤκησαν· τὸ γὰρ κτίσαι ἀντὶ τοῦ οἰκῆσαι λέγεται, ὡς καὶ παρ' Ὁμήρῳ [B 592] 'ἐύκτιτον Αἰπύ', ἀντὶ τοῦ εὖ κατῳκημένον. πῶς δὲ αἱ θεαὶ αὗται οἰκισθῆναι ἐποίησαν τὰς Θήβας. οὕτως· τῆς γὰρ γῆς ἀνα-

---

1—5 scholio quod praecedit adi. MTA post ὁ add. μὲν M δὲ TA 1 ὁ νοῦς om. Bκ ἐπικαλούμεθα Bκ post Ἔπαφε ins. ὃς TABκ post γένεθλον ins. ὑπάρχεις Bκ 2 ἐλθὲ Bκ καὶ om. Bκ παρ' om. Bκ ἡμῖν T λιταῖς Bκ 2. 3 ἐπινεύσας Bκ 3 καὶ γὰρ σὸς T ὁ γὰρ σὸς A οἱ γὰρ σοὶ ἔκγονοι Bκ 3—5 Κάδμος—ἔκγονος] καὶ τὰ ἑξῆς Bκ 4 ἐνικὸν M 4. 5 ἔδει—ἔκγονος om. M 5 σὸς κάδμος ἔκγονος A 7 αὐτὸν T 8 κατεισάγειν T em. Valckenaer ἀδελφὸς Φοῖνιξ] ἀδελφοί T 12 δωρικῶς A δώριον TB 13. 14 schol. Or. 1621 13 ὀρεικτήτου MTA ὀρικτήτου B 14 τῆς δήμητρος B θήβαν A 15 τὰ om. T τῷ θῷ A καὶ om. A 21 ὡς om. T 22 καὶ ἵνα T 23 ἡ (alterum) om. T 24 λέγουσιν A 24—p. 322,12 ὡς—σῖτον om. A

διδούσης τοὺς Σπαρτοὺς ἐκ τῶν τοῦ δράκοντος ὀδόντων ὁ Κάδμος τοὺς μὲν ἀπεθέριζε, τοὺς δὲ εἶχε συνεργοὺς εἰς τὴν τῆς πόλεως κατασκευήν. ἐπεὶ οὖν πάντα τὰ ἐκ γῆς ἀναδιδόμενα τῆς Δήμητρος ἂν εἰκότως νομίζοιτο [διὰ τοῦτο] καὶ τούτους καθάπερ βλάστημά τι ἐκ γῆς ἀναδεδόσθαι τῷ Κάδμῳ φαμὲν συνοικίσοντας αὐτῷ τὴν πόλιν. διὰ τοῦτο εἰκότως ἔφη τὰς θεὰς ταύτας συνεκτικέναι τὴν πόλιν. τί δ' ἂν εἶεν οἱ ἀναδοθέντες ἐκ γῆς ἔνοπλοι· οἱ καρποί. ἄντικρυς τούτων φυομένων ἀφθόνως εὐμαρές ἐστι πολεμικοὺς ἄνδρας τρέφειν καὶ συμμάχων ἔχειν πλῆθος διὰ τὸ ἐπικουρεῖν καὶ παρέχειν τοῖς δεομένοις. ἢ τὸ ἔνοπλον δηλοῖ τὸ ἀσφαλὲς τοῦ καρποῦ καὶ οὔποτε τὴν πόλιν ἐπιλεῖψον. εἰκότως οὖν ἂν νομίζοιντο αἱ θεαὶ αὗται συνῳκικέναι τὴν πόλιν, ἐπεὶ τὸ ἀναγκαιότατον τῶν ἐν ἀνθρώποις παρέσχον, τὸν σῖτον: — TA

687 γράφεται καὶ πυροφόρους: — M[g]

πυροφόρους θεάς: τοῦτο πρὸς τὸ ἄνω ληπτέον, τουτέστιν· ὦ Ἔπαφε, πέμπε τὰς πυροφόρους θεὰς βοηθῆσαι τῇ γῇ. πυροφόρους δὲ εἶπε Δήμητρα καὶ Κόρην, ἐπεὶ δᾳδουχίαι αὐταῖς γίνονται τοῦ φωτὸς ἐμφαίνοντος τὴν ἐκ τῶν καρπῶν τοῖς ἀνθρώποις ζωήν. ἢ τὰς σιτοφόρους λέγει. ἔστι δὲ ταὐτό: — MTAB

688 ἀμῦναι τᾷδε γᾷ: βοηθῆσαι τῇδε τῇ χώρᾳ. ἢ οὕτως· ἀμῦναι τᾷδε γᾷ, ἀντὶ τοῦ ἀμύνετε. [τουτέστιν] ἀντὶ τοῦ ἀμείβεται, ὡς καὶ Θουκυδίδης [I 42]· 'ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνασθαι'. τουτέστιν· οἶδεν εὐχαριστεῖν ταῖς θεαῖς ἡ χώρα εἰ εὐεργετήσουσιν αὐτήν: — MTA

---

3 παντὰ τὰ Laur. 32, 33 καὶ αὐτὰ T ἂν Laur. 32, 33 ὧν T 5 συνοικήσαντας αὐτοῖς T διὰ τοῦτο] ὅθεν T 7 τῶν T Laur. 32, 33 γὰρ τούτων Matthiae 8 διὰ Laur. 32, 33 καὶ διὰ T 10 ἐπιλείψαν Laur. 32, 33 ἐπιλείψαντος T 11 συνωκηκέναι T 14. 15 τοῦτο—χώραι post Κόρην coll. B add. δὲ post τοῦτο 15 τῆιδε τῆι χώραι B 16 θεάς εἶπε B δήμητραν T τήν τε δήμητραν B τὴν κόρην B 16—18 ἐπεὶ—ταὐτό om. B 18 ταὐτόν A 20 ἀμῦναι] ἄμυνε T ἀμύνετε—τοῦ om. T ἀμύνετε] scripserim ἄμυνε τουτέστιν—ἀμείβεται om. A 20—p. 323,2 Eust. p. 546,27 φησὶ .. ὁ γραμματικὸς Ἀριστοφάνης τὸ ἀμύνεσθαι οὐ μόνον σημαίνειν τὸ κακῶς παθόντα ἀντιδιατιθέναι, ἀλλὰ τεθεῖσθαι καὶ ἀντὶ ψιλοῦ τοῦ ἀμείψασθαι ὁτιοῦν καὶ φέρει χρῆσιν ἔκ τε Ἀλκμᾶνος τὸ 'οὐ γὰρ πορφύρας τόσσος κόρος ὥστ' ἀμύνασθαι' καὶ ἐκ τῶν Θουκυδίδου τὸ 'ἀξιούτω τοῖς ὁμοίοις ἡμᾶς ἀμύνεσθαι'. cf. Suid. Zon. p. 160 Bekker an. p. 217,12 20 ἀμείβετε MT 21 καὶ om. T ἀξιοῦτο M ἀξιοῦ τὸ T ἀμείβεσθαι M 22 τὴν χώραν A εὐεργετήσωσιν TA

γράφεται καὶ ἀμύνεται δὲ γᾶ, ὅ ἐστιν· ἱκανή ἐστιν ἡ πόλις ἀμείψασθαι τὰς εὐεργεσίας: — MTAB$^i$

689 εὔκολα: — M$^g$A$^g$

690 † χώρει σὺ καὶ κόμιζε: τραγῳδεῖ ὁ Ἐτεοκλῆς: — AB$^g$

δεῖ νοεῖν, ὅτι τοῦ χοροῦ ᾄδοντος ἔσω ἦν ὁ Ἐτεοκλῆς· νῦν δὲ ἔξεισιν οἰκέτῃ ἐπιτάσσων καλέσαι τὸν Κρέοντα: — AB$^i$

692 συγγενῆ: — M$^g$A$^g$

δημόσια: — M$^g$A$^g$

693 ἀντὶ τοῦ συμβουλεύσασθαι καὶ ἀνακοινώσασθαι: — M$^g$A$^g$B$^i$

694 εἰς παράταξιν πολέμου: — M$^g$TA$^g$

κατὰ τὸ σιωπώμενον εἶδεν αὐτὸν ἐρχόμενον· διὸ καὶ ἐπιφέρει ὁρῶ γὰρ αὐτόν: — M$^g$

695 ἀπαλλάσσει παύει: — M$^i$TA$^g$

697 ἀντὶ τοῦ ἄρα: — M$^g$

περισπαστέον τὸ ἦ, ἀντὶ τοῦ ὄντως: — M$^g$A$^g$

698 κύκλῳ: — M$^g$A$^g$

699 τὰ συστήματα τῶν φυλάκων: — M$^i$TA$^g$B$^i$

περιφραστικῶς· σὲ ζητῶν: — M$^i$A$^g$B$^i$

701 πολύ: — M$^g$A$^g$

ἀτελεῖς: — M$^g$A$^g$

702 ὅτε: — M$^g$

ὡς εἰς λόγους συνῆψα: ἡνίκα συνέτυχον: — MTA

ἄλλως: ἐλθὼν εἰς λόγους τῷ Πολυνείκει πολὺ εὗρον ἀτελεῖς τὰς διαλλαγὰς ἡμῶν. ἢ οὕτως· πολλῷ λειπομένας τὰς συμβολὰς εἰς τὸ γενέσθαι εὗρον δοκῶν διαλλάττεσθαι πρὸς Πολυνείκην ὥστε ὑπολείπεται τὸ πολεμεῖν: — MTAB$^i$

συνέβαλον συνῆλθον: — M$^g$A$^g$

703 ὑπὲρ τὰς Θήβας: — M$^i$A$^g$B$^g$

οἷον· ἤκουσα αὐτόν, τὸν Πολυνείκην, μειζόνως φρονεῖν τῶν Θηβῶν: — M$^i$A$^g$

704 τῇ ἐπιγαμβρίᾳ: — M$^g$A$^g$

---

l. 2 scholio quod praecedit adi. MTA   1 καὶ om. B$^i$   2 ταῖσ εὐεργεσίαισ A   5. 6 scholio quod praecedit adi. A   9 cf. lex. Vind. p. 129,8 συμβουλεύεσθαι A$^g$ βουλεύσασθαι M$^g$B$^i$   ἀνακοινοῦσθαι A$^g$   15 ὄντως] ἄρα A$^g$   23 εἰσελθὼν A ἐλθὼν γὰρ B$^i$ ἐλθὼν post Πολυνείκει coll. M   24 πολὺ B$^i$   συμβουλὰσ MTB$^i$   εἰς] ὡσ T   25 εὗρον om. TAB$^i$   τὸν πολυνείκην A   ὑπολείπεσθαι A   26 τὸ om. B$^i$   29 καταφρονεῖν M$^i$A$^g$

705 Ὅμηρος [P 514]· 'ἀλλ' ἤτοι μὲν ταῦτα θεῶν ἐν γούνασι κεῖται': — $M^gA^gB^i$

ἀναθέντα ἐξάψαντα: — $M^g$

706 ἐν μέσῳ: — $M^gA^gB^g$

708 ἥκει τις αἰχμάλωτος: ἴσως κατάσκοπος ληφθεὶς νύκτωρ σταλείς: — $MA^gB^i$

710 πολιορκήσειν μέλλειν κύκλῳ τὸν Ἀργείων στρατόν: — $M^iTA^g$

711 περιβαλεῖν πολιορκήσειν κυκλώσειν: — $M^g$

712 ἐκκομιστέον: — $M^gA^g$

ἐξοιστέον τἄρ' ὅπλα: ἀνάγκη τῇ πόλει ἐξενεγκεῖν ὅπλα: — MTB

ἄλλως: οὐκοῦν δέον καὶ τὰς Θήβας ἐξενεγκεῖν ὅπλα καὶ παρατάττεσθαι: — MTB

713 οὐχ ὁρᾷς: οὐ λογίζῃ: — $MM^gA^g$

ἐρωτηματικῶς τοῦτο ἀναγνωστέον. οὐκ ἐᾷ δὲ αὐτὸν ἐξελθεῖν: — $MB^i$

714 οἷον· ὡς ταχέως ὀφείλοντας μάχεσθαι: — $M^iA^g$

715 οἱ Ἀργεῖοι πολλοί: — $M^gA^g$

716 ἐγῷδα κείνους: ἐγὼ δὲ οὐ ψηφίσω ἐκείνους τοὺς ὄντας θρασεῖς ἐν λόγοις καὶ οὐκ ἔργοις: — MTA

γράφεται ἐγῷδα, ἵν' ᾖ οὕτως· ἐγὼ οἶδα ἐκείνους θρασεῖς ὄντας τοῖς λόγοις καὶ οὐκ ἔργοις: — $M^g$

προπετεῖς προχείρους. ἀλλ' οὐκ ἔργοις: — $M^iT$

717 ἔχει τιν' ὄγκον Ἄργος: ὅ ἐστιν· ὑπολήψεις ἔχει παρὰ τοῖς Ἕλλησι. τινὲς δὲ τὸ Ἄργος Ἑλλήνων τὸ Ἑλληνικὸν Ἄργος, ἵνα πλεονάζῃ ἡ παρά. ὁ δὲ νοῦς· ἔχει τινὰ δύναμιν τὸ Ἑλληνικὸν Ἄργος: — MTAB

ὑπερηφανίαν φρόνημα: — $M^g$

718 οἷον· ταχέως πληρώσω τὰ ἡμῶν πεδία τοῦ αἵματος αὐτῶν: — $M^iA^g$

τουτέστι· τῷ αὐτῶν φόνῳ τὸ ἐμὸν πεδίον πληρώσω: — $M^iB^i$

720 ἀντὶ τοῦ ὄντως: — $M^gA^gB^g$

† ὡς οὐ καθέξω: καὶ δὴ οὐ καθέξω τὸν στρατὸν ἔσω τῶν τειχῶν: — A

---

1 initio add. ὡς $B^i$ μὲν om. $M^g$ 1. 2 κεῖται om. $B^i$ 7 πολιόρκησιν $M^iT$ 11 δέον M δὲ TB 14 scholio quod praecedit adi. M ἐρωτηματικὸν M 17. 18 ad lectionem ἐγὼ οὐδέ referas 17 initio add. οἷον T οἱονεὶ A δὲ om. A 21 scholio 17. 18 adi. T add. οἷον 27 αὐτῶν] τῷ φόνῳ $M^i$ 29 τουτέστι om. $B^i$ τῷ αὐτῶν φόνῳ om. $M^i$ πληρώσω om. $M^i$

721 καὶ μὴν τὸ νικᾶν ἐστι ⟨πᾶν⟩ εὐβουλία: ἐν παντὶ τὸ νικᾶν ἐστιν εὐβουλίας· ὅθεν ἐκεῖνός φησιν· εἰ οὖν εὐβουλίας ἐστὶ τὸ νικᾶν, βούλει ἑτέραν μέθοδον μετέλθω: — MTA

ἄλλως: τὸ κεφάλαιόν ἐστι τὸ νικᾶν· καθέξεις οὖν ἢ οὐ καθέξεις. περὶ τοῦ νικᾶν σκόπησον: — MTA

ἄλλως: οὐ τοσοῦτον ἐν δυνάμει τὸ νικᾶν ὅσον ἐν εὐβουλίᾳ καὶ συνέσει: — MTAB

722 βούλει τράπωμαι: θέλεις βουλευσώμεθα. γνώμας: — MTA$^{g}$

προφάσεις αἰτίας βουλευμάτων: — MTB$^{i}$

πορευθῶ: — M$^{g}$

724 εἰ νυκτὸς αὐτοῖς: λείπει τὸ περιεσόμεθα. ἐρωτηματικὸς ὁ λόγος: — MTAB$^{i}$

εἰ νυκτὸς αὐτοῖς ἐπέλθοιμεν ἵνα ἐξ ἐνέδρας αὐτοὺς λάβωμεν, περιγενησόμεθα: — MTA

725 τοῦτο ποίει, εἴπερ σφαλεὶς δύνασαι ὑποστρέψαι ὧδε: — M$^{i}$A$^{g}$B$^{i}$

ἀποτυχών: — M$^{g}$B$^{g}$

726 ἴσον φέρει νύξ: ἑκατέρῳ μὲν στρατεύματι ἐπίσης ἐμποδίζει τὸ τῆς νυκτὸς σκότος, τοῖς μέντοι προεπιτιθεμένοις πλέον τι παρέχει πρὸς νίκην τὸ ηὐτρεπίσθαι. ἢ οὕτως· καὶ τοῖς ἐπιχειροῦσι καὶ τοῖς ἐπιχειρουμένοις ἴσον παρέχει ἡ νὺξ ἐμπόδιον, τοῖς δὲ τολμηροτέροις τὴν νίκην χαρίζεται: — MTAB

ἐνδίδωσιν: — M$^{g}$A$^{g}$

727 ἐνδυστυχῆσαι: ἡ ἐν ἀντὶ τῆς κατά. ὁ δὲ νοῦς· δυστυχῆσαι κατὰ τὸ τῆς εὐφρόνης κνέφας δεινόν: — MTAB

Ὅμηρος [P 647]· 'ἐν δὲ φάει καὶ ὄλεσσον': — M$^{g}$TAB

728 ἀλλ' ἀμφὶ δεῖπνον: εἰ δειπνοῦσιν αὐτοῖς ἐπέλθοιμεν, ἐκπλήξεις ἂν καὶ ταραχὴ γένοιτο· οὐ μέντοι νίκην ἐπιφέρει τὸ τοιοῦτον πρᾶγμα· δεῖ δὲ νικᾶν: — MT

729 ἔκπληξις ἂν γένοιτο: ἀντὶ τοῦ· ταραχὴ γίνεται αὐτοῖς, οὐ μέντοι ἧττα, ἐπεὶ εἰκὸς αὐτοὺς ἐνόπλους δειπνεῖν: — MTAB

2 post ἐστιν add. εσπᾶν M  3 in fine add. γνῶναι TA  4 ἢ om. TA  6. 7 scholio p. 326,10 adi. B  6 ἄλλως] ἀλλ' MTA  τὸ νικᾶν] ἐστὶν B  εὐβουλίᾳ καὶ om. A  6. 7 εὐβουλίᾳ—συνέσει] βουλῆι B  7 ἐν συνέσει T  9 scholio quod praecedit adi. MT  11 ἐρωτηματικὸν M  ἐρωτηματικῶσ T  12 δὲ ὁ MT  δὲ ἐστὶν ὁ A  ἐστιν ὁ B$^{i}$  13 νύκτωρ TA  ἵνα—λάβωμεν in fine coll. MTA  15 ἐὰν εἴπερ B$^{i}$  ὧδε om. B$^{i}$  20 τὴν om. T  24 τῆς om. T  26 ἐὰν M  ἐπέλθωμεν M  30 ἐπεὶ] ἐπὶ M  αὐτοῖσ A

νικῆσαι δὲ χρεία: — M[g]A[g]

730 βαθύς γέ τοι Διρκαῖος ἀναχωρεῖν: τοῦτό φησιν ὡς συντιθέμενος καὶ ἐπαινῶν· οὐ δεῖ [ἐξαίφνης] ἐπιθέσθαι. μή πως ἐξαίφνης τροπῆς γενομένης καθ' ἡμῶν φεύγοντες περᾶν τὸν ποταμὸν βαθὺν ὄντα οὐ δυνησόμεθα. Δίρκη δὲ ποταμὸς ὁμώνυμος τῇ κρήνῃ: — MTAB

ἄλλως: οὐκ ἔστιν ἡμῖν εὐχερὲς ἀναχωρῆσαι διὰ τῆς Δίρκης οὔσης βαθείας καὶ ἐπειγομένοις, ἀλλὰ δύσκολον: — MTA

πολὺς τὸ διάστημα: — M[g]

731 ἅπαν κάκιον: ἀντὶ τοῦ δεύτερον: — MTA

πᾶν ὁτιοῦν τοῦ φυλάττειν ἀκριβῶς χεῖρόν ἐστιν: — MTAB

ὅ ἐστι· φύλαττε σαυτόν. τοῦ γὰρ φυλάσσεσθαι καλῶς πᾶν ὁτιοῦν ἀσθενέστερόν ἐστιν: — MTA

732 τί δ', εἰ καθιππεύσαιμεν Ἀργείων στρατόν: τί δὲ ἄρα πλέον ἡμῖν ἔσται, εἰ πάντες ἐφ' ἵπποις συνέλθωμεν κατ' αὐτῶν: — MTAB

733 ἠσφάλισται: — M[g]A[g]

734 πολεμίοις δώσω πόλιν: ἀγανακτῶν δυσχεραίνει. ἐπεὶ πάντα ὅσα εἶπεν ἀπεδοκίμασε, φησί· θέλεις οὖν προδῶ τὴν πόλιν: — MTAB

736 φροντίς: — M[g]A[g]

737 ἑπτ' ἄνδρας αὐτοῖς: τὸ ἑξῆς· ἑπτ' ἄνδρας ἐν αὐτοῖς φασι λόγων ἀνάσσειν: — MTAB

738 τί προστετάχθαι δρᾶν: τί προστετάχθαι φασὶ τοὺς ἑπτὰ ἄνδρας δρᾶν: — MTB[i]

οἱ ἄνδρες ὀλίγοι εἰσί. τῶν ἑπτά: — M[i]

739 τῶν τάξεων ἄρχειν: — M[g]A[g]

---

2 ὡς] καὶ T 3 οὐ] καὶ B ἐξαίφνης (alterum) om. MTB 4 γινομένησ T φεύγοντες om. B ὄντα βαθὺν τὸν ποταμὸν MTA 5 οὐ] μὴ MTA τῇ κρήνῃ om. A 6 εὐχερῶσ A om. M 10 scholio quod praecedit adi. MTA initio add. ὁ νοῦσ TA post ὁτιοῦν add. φυλαττόμενον MTA μὴ φυλαττόμενον B φυλαττομένου B 11. 12 scholio quod praecedit adi. MTA 11 ὅ ἐστι] ἀντὶ τοῦ T 11. 12 πᾶν γὰρ ὁτιοῦν ἐστιν ἀσθενέστερον τοῦ φυλάσσεσθαι καλῶσ A 14 ἐπέλθωμεν B καθ' αὐτῶν M 17 ἐπεὶ] ἐπι M 18 οὖν θέλεισ MT προδιώσω M 21 initio add. ἑπτά φησιν ἄνδρας ἐν αὐτοῖσ τῶν λόγων ἀνάσσειν (ἀνάσσων T) TA τὸ ἑξῆς om. M ἑπτα φησὶν M ἐν αὐτοῖς] αὐτοὺσ TA φασι om. M 22 τῶν λόγων MA in fine add. καὶ αὐτόσ ἑλοῦ B 23 φησὶ MT 23. 24 δρᾶν ἄνδρασ τοὺσ ἑπτά φησι B[i]

ἑπτὰ προσκεῖσθαι πύλαις: λείπει ὁ καί· καὶ ἐπέρχεσθαι ταῖς ἑπτὰ πύλαις: — MM$^g$

740 ἀπορίαν γὰρ οὐ μενῶ: οὐ μενῶ, φησίν, ἕως εἰς ἀπορίαν καὶ ἀμηχανίαν ἐμπέσω: — MB$^1$

741 ἐπ' αὐτοὺς ἑπτὰ ἄνδρας αὐτὸς ἑλοῦ: — M$^g$

ἐπίλεξαι: — M$^g$

742 πότερον, φησί, κρίνω τοὺς ἑπτὰ τῶν λόχων ἄρχειν ἢ ἰδίᾳ μονοστόλου δορός, ὅ ἐστιν· εἷς πρὸς ἕνα οἱ ἑπτὰ πρὸς τοὺς ἑπτά: — MT

† πότερον, φησί, προκρίνω ἑπτὰ ἄνδρας τῶν τάξεων ἄρχειν ἢ εἷς πρὸς ἕνα οἱ ἑπτὰ κατ' ἰδίαν περιεσταλμένοι δόρασιν: — B

743 λόχων προκρίνας: τὸ ἑξῆς· λόχων ἀνάσσειν: — MT

ἐπιλέξας τοὺς ἰσχυρούς: — M$^g$

744 βοηθεῖν πρὸς τὰς ἀναβάσεις τῶν τειχῶν: — M$^g$

προσαμβάσεις: ἐπαναβάσεις. ὅ ἐστιν· ἀποσοβεῖν τῶν τειχέων τὰς ἐπαναβάσεις: — TAB

745 καὶ ξυστρατήγους: στρατηγοὺς ἑτέρους μετὰ τῶν ἑπτά. καθ' Ὅμηρον γὰρ [K 224] 'σύν τε δύ' ἐρχομένω, καί τε πρὸ ὃ τοῦ ἐνόησεν': — MTAB

ὑπασπιστάς: — M$^g$A$^g$

εἷς δ' ἀνήρ: οἷον· μὴ μόνον τοὺς ἑπτὰ στρατηλάτας στῆσον, ἀλλὰ καὶ ἄλλους σὺν αὐτοῖς· εἷς γὰρ ἀνὴρ τῶν στρατηλατῶν οὐ δύναται ⟨πάντα⟩ θεωρῆσαι, ἀλλὰ βοηθοὺς παράσχε ἑκάστῳ: — MTA

746 γράφεται καὶ θράσει: — M$^g$T

λείπει ἡ ἐν, ἵν' ᾖ· ἐν θάρσει ἐπιλεξάμενος: — M$^g$T

γενναίους ἢ φρονίμους: — M$^g$T

747 χωρισθέν: — M$^g$A$^g$

ἀσθενές: — M$^g$

748 γελοίως τοῦτό φησιν ὡς μὴ ὢν νῦν ἐν πόλει: — M$^g$B

749 στρατηγούς: — M$^g$A$^g$

750 ἀντιπαρατάξας: — M$^g$A$^g$

---

1. 2 ἐπέρχεσθαι—ἑπτὰ] ἑπτὰ προσκεῖσθαι Mg  τὰς ἑπτὰ πύλας M  3 φησὶν ἕως om. M  5 ἀπὸ τοὺς Mg  αὐτοὺς Mg  7 φησὶ om. M  ἰδίᾳ] διὰ MT  8 πρὸς om. M  τοὺς om. T  11 lemmati praeponunt λόχων ἀνάσσειν: ἑπτὰ πρὸς ἑπτὰ δὲ μονόστολοι MT  14 initio add. προσεμβάσεις TA  16 στρατηγοὺς δ' B  μεταὐτῶν B  17 γὰρ om. A  δύο B  ἐρχομένων T  πρὸ τοῦδ' M  20 οἷον μὴ] οὐ A  22 πάντα add. Münzel  24 scholio quod praecedit adi. Mg add. δὲ post λείπει  ἵν' ᾖ om. T  28 τῆι πόλει B

751 ὄνομα δ' ἑκάστου: πεφύλακται τὰς ὀνομασίας αὐτῶν εἰπεῖν. ὥς φησι Δίδυμος, διὰ τὸ ὑπὸ Αἰσχύλου εἰρῆσθαι ἐν τοῖς Ἑπτὰ ἐπὶ Θήβας: — MTAB

ἄλλως: οὐκ ὀφείλομεν ἑκάστου καταλέγειν τὸ ὄνομα τοῦ πολέμου ἐπείγοντος: — MTAB

753 μὴ ἐμποδίζωμεν τὸ τῶν χειρῶν ἔργον, τουτέστι τὸν πόλεμον: — $M^gB$

754 ἀντίπαλον: — $M^gA^gB^g$

755 ἐξ ἐναντίας σταθέντα: — $M^gA^gB^i$

γράφεται καὶ ἐλθεῖν: — $M^g$

χειρώσασθαι: — $M^g$

γράφεται μάχης ἔχειν δόρυ: — $B^g$

756 κτανεῖν θ' ὃς ἦλθε πατρίδα πορθήσων ἐμήν: ταῦτα κατ' εὐχήν [ἐγένετο]· καὶ γένοιτό μοι ἐξ ἐναντίας λαβεῖν τὸν ἀδελφόν μου καὶ φονεῦσαι: — MTA

γράφεται φίλην: — $B^i$

758 τῆς ἐκ τοῦ σοῦ αἵματος. ἀνεψιὰ αὐτοῦ ἦν πρὸς μητρός: — $M^gA^g$

διαμάρτω ἀποτύχω: — $M^gA^g$

759 σοὶ χρὴ μέλεσθαι: τοὺς γάμους σοὶ χρὴ μέλεσθαι: — MTA

ἄλλως: τοὺς γάμους σοὶ χρὴ εἶναι ἐν φροντίδι: — MTA

προσήκει φροντίζειν: — MTA

τὴν δόσιν τ' ἐχέγγυον: καὶ τὴν τοῦ γάμου ἔκδοσιν ἀσφαλῆ: — MTA

ἀντὶ τοῦ· ἐπιβεβαιοῦ τὴν ἐπαγγελίαν τοῦ γάμου: — $M^gA^g$

761 ὁ δέ ἀντὶ τοῦ δή: — $M^gA^g$

μακρολογεῖν: — $M^gA^g$

762 καὶ εἰς τὴν ἐμὴν χάριν: — $M^gA^gB^g$

763 ἀμαθίαν ὀφλισκάνει: οἷον· ἀμαθής ἐστι καὶ ἄνους ὁ Οἰδίπους: — $MM^1A^g$

1—3 scholio p. 327,27 adi. B  2 φασιν ἢ ὡς M  2. 3 Δίδυμος—Θήβας om. A  2 διὰ τὸ B δὲ τὸ T τῷ M  2. 3 Θήβαις MTB  3 post Θήβας add. αὐτοῦ TB  4 ἄλλως οὐκ ὀφείλομεν] ἢ ἐπειδὴ μὴ καλὸν ἦν M  τοῦ om. B  5 ἐπείγοντα M  6 7 initio add. ὅπως B  9 στάντα $A^gB^i$  21 χρή σε TA  φροντίσει T  22 scholio quod praecedit adi. MTA  23 scholio quod praecedit adi. MTA  τῶν ἐχεγγύων MT τὴν ἐχέγγυον A  29 initio add. γράφεται ἀμαθίαν $M^1$ γρ. καὶ ἀμαθία lemmati ἁμαρτία ὀφλισκάνει superscr. M

ἄλλως: εἰς ἑαυτὸν χρεωστεῖ μωρίαν, ἀντὶ τοῦ αὐτὸς ἑαυτοῦ καταγνοίη μωρίαν: — MTAB

† ὡς εἴ τις εἴποι· ὁ δεῖνα εἰς τόνδε δίκην χρεωστεῖ: — TAB

765 ἡμᾶς δ' ἀραῖσιν: καὶ ἡμῖν αἴτιος θανάτου γένηται ὅσον ἐπὶ ταῖς ἀραῖς, ἐὰν συμβῇ αὐτὰς ἰσχῦσαι. τὸ γὰρ ἣν τύχῃ τοῦτο δηλοῖ: — MTAB

766 ἓν δ' ἡμῖν ἀργόν ἐστιν: ἀργὸν ἄπρακτον καὶ παραλελειμμένον. ὀφεῖλον γενέσθαι μὴ γενόμενον: — MTAB

ἄλλως: ἐκεῖνο, φησί, μόνον ἡμῖν παραλέλειπται, τὸ παρὰ τοῦ μάντεως ἀκοῦσαι περὶ τούτων. εἰωθότες γὰρ οἱ ἄνθρωποι ἐν ταῖς εὐπραγίαις καταφρονεῖν μαντικῆς ἐν ταῖς συμφοραῖς ἐπὶ τοὺς μάντεις καταφεύγουσιν: — MTAB

768 τὰ τοῦ θεσφάτου: — M[g]A[g]B[i]

769 τῷ αὐτῷ ὀνόματι καλούμενον: — M[g]A[g]B[i]

770 λαβόντα πέμψω: ὡς τοῦ Μενοικέως ἐν τῷ στρατοπέδῳ ὄντος τοῦτό φησιν: — MTAB

ἄλλως: ἐγὼ δὲ τὸν παῖδά σου πέμψω δεῦρο λαβόντα τὸν Τειρεσίαν: — MTAB

ἐνέγκαι: — MTA

773 ὥστε μέμψασθαί μοι ἔχειν: — M[g]B[i]

774 τοῖς πολίταις: — M[g]B[g]

ἐντέλλομαι: — M[i]T

775 τὸ ἐπισκήπτω ἀπὸ κοινοῦ: — M[i]TB[i]

ἥνπερ κρατήσῃ τἀμά: ἐὰν ἡ ἐμὴ δύναμις φονεύσῃ [καὶ νικήσῃ] τὸν Πολυνείκην: — MTAB[i]

οὐ χρὴ ταφῆναι αὐτὸν ἐν ταύτῃ τῇ γῇ: — A

777 συγγόνων νῦν: — M[g]A[g]

κἂν φίλων τις ᾖ: διὰ τούτου προαναφωνεῖ τὰ κατὰ τὴν ἀδελφήν: — MB[i]

1 τιμωρίαν TA 2 μωρίασ MAB μορίασ T 3 scholio quod praecedit adi. TAB τήνδε T 4 θανάτου om. M γεγένηται MTAB ὅσ A 5. 6 τὸ — δηλοῖ om. A 8 καὶ μὴ B μὴ om. T 9 ἡμῖν μόνον MT 11 ἐν δὲ ταῖσ MT 11. 12 καταφεύγειν T de M non constat 14 initio add. ὁμώνυμον B[i] 17 σε A 17. 18 τειρεσία T 19 scholio quod praecedit adi. MTA, add. ὃ ἐστιν TA ἐνέγκει A 23 scholio quod praecedit adi. M[i]T add. δὲ post τὸ 24 φονεύσῃ MT κρατήσῃ A ἐπικρατήσῃ B[i] 24. 25 καὶ — Πολυνείκην om. B[i] 26 scholio quod praecedit adi. A 28 τούτων B[i]

779 ἐκφέρετε τεύχη: ἀσπίδας. πάνοπλα δὲ ἀμφιβλήματα τὰ ἐνδύματα πάντα τὰ τὸν ἄνθρωπον ὁπλίζοντα, λέγει δὲ θώρακα, περικεφαλαίαν. κνημῖδας. οἱ δὲ [γράφουσι] τὰ σάγματα: — MTAB

† ταῦτά τινες εἴδη δορατίων φασί. τουτέστι τὰ ἑκατέρωθεν βαλλόμενα: — B$^{i}$

781 σὺν δίκῃ νικηφόρῳ: ἑαυτὸν γὰρ δίκαιον ᾤετο ἀμυνόμενος περὶ πάτρης, ἐκεῖνον δὲ ἀσεβῆ κατὰ πατρίδος στρατευόμενον. καὶ Ὅμηρος [M 243]· 'εἷς οἰωνὸς ἄριστος ἀμύνεσθαι περὶ πάτρης': — MTAB

τῇ φερούσῃ μοι τὴν νίκην: — M$^{g}$

782 τῇ δ' Εὐλαβείᾳ: σωματοποιεῖ τὴν Εὐλάβειαν· Ὅμηρος [Λ 37]· Δεῖμός τε Φόβος τε'. τῇ δ' Εὐλαβείᾳ εὔχονται, ἵνα αὐτοὶ ἀφόβως ἐπέλθωσιν. ἢ ἵνα τοῖς πολεμίοις φόβον ἐμβάλῃ: — MTAB

784 ὦ πολλῶν καμάτων μεστὲ Ἄρες: — M$^{g}$A$^{g}$

ὦ πολύμοχθος Ἄρης: ἔδει· ὦ πολύμοχθε Ἄρες. Ἀττικὴ δέ ἐστιν ἡ κλίσις: — MTAB$^{i}$

τί δήποτε: — M$^{g}$A$^{g}$

ἀντὶ τοῦ χαίρεις: — M$^{g}$B$^{g}$

785 οὕτως· ἐναντίος ὢν ταῖς τοῦ Διονύσου ἑορταῖς. καὶ παρηλλαγμένην μοῦσαν ἔχων, τουτέστι· ταῖς τοῦ Βρομίου ἑορταῖς ἀσύμφωνος κατὰ τὴν μοῦσαν. ἐν γὰρ εἰρήνης καιρῷ τὰ Διονύσια ἄγονται: — MTA

παράμουσος ἑορταῖς: ἐναντίος, οὐ τὴν αὐτὴν μοῦσαν ἔχων. ταῖς τοῦ Βρομίου ἑορταῖς ἀσύμφωνος: — MTAB

ἄλλως: ἀσύμφωνος, ὡς καὶ τὴν ἄνοιαν παράνοιάν φασιν. οὐ συνῳδός, ἀλλ' ἀλλότριος: — MTAB

ἀνάρμοστος ταῖς ἑορταῖς τοῦ Διονύσου: — M$^{i}$A$^{g}$

786 τῆς νεανικῆς ἀκμῆς: — M$^{i}$

---

1 initio add. τεύχη τὰσ B ἀσπίδα M 2 τὰ (prius) om. M ἅπαντα M θώρηκα B 3 ante κνημῖδας ins. ἀσπίδα A τὰ σάγματα] τάγματα A 4 ἑκατέρωι B$^{i}$ emend. ex A$^{g}$ 7 πάτρης] τῆσ πατρίδοσ B τῆσ πατρίδοσ M καὶ om. A 8 εἷς om. T ἀμύνασθαι B 9 δίκην M$^{g}$ corr. Münzel 10 σωματοποιοῦσι M ὡσ ὅμηροσ AB om. T 11. 12 ἀπέλθωσιν B 12 ἐμβάλωσι A 13 μεστὲ M$^{g}$ αἴτιε A$^{g}$ 14 πολύμοχθεσ MA ἄρε T ἄρησ A 15 ἐστιν ἡ om. A ἡ σύνταξισ καὶ ἡ κλίσισ B$^{i}$ 17 ἀντὶ τοῦ om. B$^{g}$ ἀνέχῃ M$^{g}$ 18 οὗτος MTA ἐναντίοσ M ὅσ TA καὶ om. TA 19 post ἔχων add. ἐναντίοσ T ἐναντίαν A 20 τοῦ διονύσου γίνεται A 21 initio add. παράμουσοσ A 22 ante ταῖς add. τουτέστι B

νεάνιδος ὥραις: ἀντὶ τοῦ ὡραίας, ἀκμαίας, ὥραν ἐχούσης γάμου.

τὸ δὲ ἑξῆς· οὐ μέλπῃ * * τουτέστιν· οὐκ ᾄδεις οὐδὲ ὑμνεῖς ἐπὶ ἀκμαζούσῃ κόρῃ νυμφιδίους ᾠδὰς οὐδὲ αὐλῶν μέλεσι χορεύεις ἀνασείσας τὸν πλόκαμον ὥσπερ ὁ Διόνυσος καὶ οἱ τούτου χοροί, ἀλλ' ἐπὶ πολέμους ὁρμᾷς: — MTA

ἄλλως: τοῖς γαμηλίοις καιροῖς. ἢ νεάνιδος ἀκμαίας, ὥραν ἐχούσης γάμου: — MTAB

787 τὸν πλόκαμον ἀναπλώσας: — $M^g$

βόστρυχον ἀμπετάσας: διὰ τί δὲ μὴ τὸν σὸν βόστρυχον ἐπὶ στεφάνοις νεάνιδος ὥραις ἐκπετάσας μέλπῃ πρὸς πνεῦμα λωτοῦ. ἔνιοι δὲ νεάνιδος ὥρας τοῦ ἔαρος τοῦ νέα πάντα ποιοῦντος: — MTAB

ἄλλως: οὐ καλλιχόροις στεφάνοις βόστρυχον ἀμπετάσας ἐπὶ γάμοις νεάνιδος μέλπῃ νυμφιδίους ᾠδὰς πρὸς αὐλόν. ἡ ἐπί πρὸς τὸ ὥραις, ἐπὶ ὥραις νεάνιδος: — MTAB

ἀμπετάσας: ἐπανασείσας τὸν πλόκαμον ὥσπερ ὁ Διόνυσος. ἡ κατά ἀντὶ τῆς πρός, πρὸς πνεύματα, ὅ ἐστιν ἀπηχήματα τοῦ αὐλοῦ: — MTAB

† λωτοῦ: πάνυ ἡδέως λωτὸν ἐκάλεσε τὸν αὐλόν. λωτὸς γὰρ τὸ γλυκοκάλαμον· ἀλλὰ καὶ ὁ αὐλὸς [καὶ] κάλαμος μέν, ἀλλὰ καὶ γλυκὺς διὰ τὴν τοῦ μέλους ἡδύτητα: — A

† ἄλλως: λωτὸν ἐνταῦθα τὸν αὐλόν. σημειωτέον δὲ ὅτι καὶ τὸ λο μικρὸν γράφεται πρὸς ἀντιδιαστολὴν τοῦ λωτοῦ, τῆς βοτάνης: — A

μέλπῃ μοῦσαν: οὐδὲ ἐπὶ καλλιστεφάνου ὡραίας νεάνιδος ἁπλώσας τὸν βόστρυχον κατὰ πνεύματα τοῦ λωτοῦ: — $MM^1TA$

τοῦ αὐλοῦ: — $M^1$

γράφεται μέλπῃ: — $M^g$

788 μοῦσαν: ᾠδήν: — MA

---

1 ὥρασ M ὡραίαισ A ἀκμαίαισ A ὥρα T ἐχούσαισ A
2 τουτό εστιν M 3 νυμφιδίου MT post μέλεσι add. γαμηλίων A
4 τὴν T αἱ MA 6 ἢ] τινὲσ δὲ οὕτωσ B ἀκμαίαν M
7 γάμου om. M 9. 10 ἐπὶ στεφάνοις] ἐστεφάνοισ T 10 λωτοῦ] αὐτοῦ M
11 ὥραισ MTA πάντα νέα B 12 ἀναπετάσασ A 13 νυμφίουσ M
14 νεάνιδεσ M 15—17 scholio quod praecedit adi. MTB, ante ἀμπετάσας add. τὸ δὲ MT post ἀμπετάσας add. δὲ B ἐπανασείσας om. M ἀντὶ ἐπανασείσασ T ἀνασείσασ B 16 τοῦ om. B 23 καλλιστεφάνοισ T καλλοῖσ στεφάνου A ὡραίας om. M 24 τὰ πνεύματα A πνεύματοσ $MM^1T$ τοῦ om. M τοῦ λωτοῦ] τὰσ λωτοειδεῖσ σὺν tum spatium A

οὐ τοιαύτην, φησίν, ἔχεις μοῦσαν, ἐν ᾗ χάριτές εἰσι χορείας αἴτιαι γενόμεναι. ἢ οὕτως· οὐ μέλπῃ τοιαύτην ἔχων μοῦσαν, ἐν ᾗ χάριτές εἰσι ⟨χοροποιοί⟩, τουτέστι ποιητικαὶ εἰρήνης: — MTA

γράφεται καὶ μελοποιοί: — M[g]B[g]

789 ἀλλὰ σὺν ὁπλοφόροις: τοῦτο μὲν οὐ ποιεῖς, ἀλλὰ τόδε. τὸ ἑξῆς· ἀλλὰ προχορεύεις: — MTA

ἄλλως: σὺ δέ, φησίν, ὦ Ἄρες, ἀνασκιρτᾷς σὺν ὁπλοφόροις ἀνδράσι καὶ χορεύεις χορείαν ἄτοπον τὸν Ἀργείων στρατὸν παροξύνας κατὰ τοῦ τῶν Θηβαίων αἵματος: — MTA

ἄλλως: ἀλλὰ σὺν ὁπλοφόροις κῶμον ἀναυλότατον προχορεύεις στρατὸν Ἀργείων ἐπιπνεύσας αἵματι Θήβης, τουτέστι τῷ γένει τῶν Θηβαίων. Ὅμηρος [δ 611]· 'αἵματος εἶς ἀγαθοῖο, φίλον τέκος': — MTAB

† ἄλλως: ἀλλὰ σὺν ὁπλοφόροις Θήβαις στρατὸν Ἀργείων ἐπιπνεύσας, ὅ ἐστιν ἐνθουσιάσας ἑκάτερον στράτευμα καὶ κατόχους αὐτοὺς ποιήσας, [ἑαυτοῦ] αἵματι κῶμον ἀναυλότατον προχορεύεις, ὅ ἐστι· προκαλῇ αὐτοὺς εἰς ἄμουσον κῶμον σὺν αἵματι. λέγει δὲ τὸν πόλεμον: — TAB

παροξύνας ἐκμήνας: — M[i]

791 κῶμον ἀναυλότατον: κακόαυλον: — MM[g]

ἐκμελῆ καὶ ἄμουσον. σάλπιγξ γάρ ἐστιν ὁ πολεμικὸς αὐλός: — MAB

κῶμος εἶδος ὀρχήσεως: — MA[g]B[i]

προχορεύεις: ἡ πρὸ πλεονάζει, ὡς τὸ [B 493]· 'νῆάς τε προπάσας'. ἀντὶ τοῦ κωμάζεις: — MTAB

792 οὐδ' ὑπὸ θυρσομανεῖ: οἷον· οὐ χορεύεις μετὰ κλάδων καὶ δερμάτων ἐλαφείων, ἀλλὰ ἁρμάτων ἐπιβαίνων καὶ ἵππων τετραπόδων

1—3 scholio quod praecedit adi. MA  1 εἰσίν αἱ T  2 γινόμεναι T  3 χοροποιοί om. MTA sed cf. quae habet A[g] ἐν ᾗ χάριτεσ εἰσὶ χορῶν ποιητικαὶ καὶ εἰρήνησ  5 ποιεῖ MT  τόδε om. A  6 τὸ T τόδε τὸ M τὸ δὲ A  7 ἀνασκίρτα A  ὁπλοφόροισ ἀλλὰ σὺν ὁπλοφόροισ A  8 καὶ om. A  τὸν] τοῦ T  τῶν ἀργείων TA  παροξύναι T παρώξυνε A  10 initio add. τὸ ἑξῆσ T σύνταξισ A  ἐν B  11 σὺν τῷ αἵματι TA σὺν αἵματι B  τῆσ θήβησ TA ταῖσ θήβαισ B  11. 12 τουτέστι — τέκος om. B  11 ὅ ἐστι TA  12 καὶ ὅμηροσ A  13 initio add. τὸ ἑξῆσ B  19 scholio quod praecedit adi. M initio add. ἢ, scholio 13—16 adi. B initio add. ἄναυλοσ δὲ ἀπὸ τοῦ αὐλόσ  ὁ πολέμου αὐλόσ A ὁ αὐλὸσ τοῦ πολέμου B  21 scholio quod praecedit adi. M post κῶμος add. δέ ἐστιν  22. 23 scholio 19 adi. B add. δὲ post ἡ  24 χορεύσεισ M  25 ἐλάφων MT

παρὰ ταῖς ὄχθαις τοῦ Ἰσμηνοῦ ποταμοῦ ταῖς ἱππικαῖς χορείαις ἀνασκιρτᾷς ἐπεγείρας καὶ παροξύνας τὴν γένναν τῶν Θηβαίων τοῖς Ἀργείοις τὸν χορὸν τὸν φέροντα καὶ σείοντα τὰς ἀσπίδας ἐξ ἐναντίας κοσμήσας τῷ σιδήρῳ: — MT

ἢ ὑπό ἀντὶ τῆς σύν· σὺν τῷ μανίαν ἐμποιοῦντι θύρσῳ: — M[g]

οὐδ' ὑπὸ θυρσομανεῖ: ἀντὶ τοῦ μετὰ θυρσομανοῦς. λέγει δὲ τοῦ Διονύσου. ἢ ὑπό ἀντὶ τῆς σύν· σὺν θυρσομανεῖ Διονύσῳ· ὅπερ καὶ ἄμεινον: — TAB

νεβρίδων μέτα: νεβρίς ἐστι δέρμα ἐλάφου κατάστικτον ὃ φοροῦσιν οἱ βακχευταί. ἐπειδὴ γὰρ οἱ μαινόμενοι τὸ δέρμα αὐτῶν κατατέμνοντες ποικίλον αὐτὸ ποιοῦσιν. οἱ σώφρονα μανίαν μαινόμενοι τῷ καταστίκτῳ τῆς νεβρίδος σοφίζονται τῆς μανίας τὸ σχῆμα: — MTAB

δινεύεις: οὐδὲ χορεύεις, φησίν, ὑπὸ θυρσομανεῖ, τῷ κώμῳ, μετὰ νεβρίδων, ἐν ἅρμασι καὶ ἵπποις ἀναστρεφόμενος. τουτέστιν· οὐ νεβρίδας ἔχων καὶ θύρσους, ὥσπερ οἱ τοῦ Διονύσου χοροί, δινεύεις καὶ περιχορεύεις, ἀλλ' ἅρμασι καὶ ἵπποις ἐπιβαίνεις. ἅρμασι δὲ τοῖς τετραπόδοις, ἅρμασιν οἷς τετράποδα ὑπέζευκται: — MTA

793 λείπει τὸ ἀλλά: — M[g]

χαλινῶν. ἀντιπτώσεις δέ εἰσι· σὺν ἅρμασι καὶ ψαλίοις μονονύχων πώλων τετραβαμόνων, ἢ τετραπόδων: — M[i]TAB[i]

† ἄλλως: ψαλίων: τῶν ἵππων, παρὰ τὸ ψᾶσθαι αὐτοὺς λίαν ἤτοι τιθασεύεσθαι. τῇ γὰρ ἐπαφῇ τῶν χειρῶν οἱ ἵπποι συχνῶς καταψώμενοι τιθασοὶ λίαν γίνονται, ὥστε † οὔτε χρὴ δὴ λέγεσθαι ψάλιον ἵππον. διαφέρουσι δὲ αἱ λέξεις, ἡ ψάλιος καὶ τὸ ψέλλιον. σημαίνει γὰρ ἡ μὲν τὸ τιθασευόμενος ἵππος, ἡ δὲ πᾶν τὸ ἐπιτιθέμενον ἵπποις εἰς κόσμον καὶ δυνάμενον ἐν τῇ κινήσει ψελλισμὸν, ἤτοι ψιθυρισμὸν, ἀποτελεῖν: — A

---

1 ποταμοῦ om. T 1. 2 post ἀνασκιρτᾷς scholion claudit M sed scholio p. 332,22.23 adiungit ταῖσ ἱππικαῖσ — σιδήρῳ 2 θηβῶν M 6 ἀντὶ — θυρσομανοῦς om. B μετὰ om. A θυρσομανῶ T θυρσομανῶσ A 6. 7 λέγει — Διονύσου om. T 9—12 scholio quod praecedit adi. B add. δὲ post νεβρὶς 9 νεβρόσ M νευρὶσ A ἐστι om. A 11 οἱ γὰρ MT 12 νευρίδοσ TA 14 νευρίδων A ἀναστρεφόμενοι M ἀναστρέφων TA 16 παραχορεύσεισ M δὲ om. A 17 τετραπόδεσιν TA τετράπω T ὑπόζευκται T 19 χαλινῶν — εἰσι om. B[i] ἅρματι A ψαλίοισ ὅ ἐστι χαλινοῖσ B[i] 19. 20 μωνύχων A 20 ἵππων B[i] τετραβαμόνων ἢ] τετραβάμων καὶ M[i]TAB[i] 21 ψαύεσθαι A corr. Münzel 23 τιθασσεῖοι A καταχρηστικῶς?

† οὕτως συντάξεις τὸ ὅλον χωρίον· οὐ δινεύεις καὶ στρέφεις μώνυχα πῶλον μετὰ νεβρίδων καὶ ἐλαφείων δερμάτων ὑπὸ τῷ θυρσομανεῖ καὶ χαίροντι τοῖς θύρσοις καὶ νάρθηξι Διονύσῳ, ἀλλὰ δινεύεις καὶ στρέφῃ ἐν ἅρμασι καὶ τετραβάμοσι τῶν ψαλίων καὶ τῶν ἵππων, ἤτοι τετρώρῳ ἵππῳ: — A

μεταπλασμός· ἀπὸ τοῦ μονόνυχον μώνυχα: — M$^{i}$A$^{g}$

Ἰσμηνοῦ τ᾽ ἐπὶ χεύμασι: ἡδὺ μὲν καὶ χαρίεν οὐδὲν πράττεις, ἐπιβαίνων δὲ τοῖς χεύμασι τοῦ Ἰσμηνοῦ σὺν ἅρμασι καὶ ψαλίοις μονονύχων πώλων τῇ ἱππικῇ ἐκμαίνῃ: — MTAB

794 ἱππικαῖς ὁρμαῖς. ἢ ἐπιστήμαις: — M$^{i}$A$^{g}$

βακχεύεις ὁρμᾷς διατρέχεις ταχύνεις καὶ ἀναπηδᾷς: — M$^{i}$A$^{g}$

κατὰ τῶν Ἀργείων ἐνόπλους παροξύνας τοὺς Θηβαίους: — M$^{i}$A$^{g}$

ἐπιπέμψας, παροξύνας τοὺς Θηβαίους καὶ ἐξ ἐναντίας αὐτοὺς στήσας τοῖς Ἀργείοις. ἀπὸ δὲ τοῦ ἐναντίου νῦν εἶπεν· ἐν γὰρ τοῖς ἀνωτέρω τοὺς Ἀργείους εἶπε παρωξύνθαι κατὰ τῶν Θηβῶν, τοῦτο δέ φησιν ὡς τοῦ Ἄρεως ἑκατέρους παρορμήσαντος κατ᾽ ἀλλήλων: — MTAB

795 τῶν Θηβαίων γένος: — M$^{g}$A$^{g}$

Σπαρτῶν γένναν: τοὺς Θηβαίους· οἱ γὰρ περιλειφθέντες ἐκ τῶν σπαρτῶν ὀδόντων τοῦ δράκοντος τῶν ἑξῆς πάντων εἰσὶ πρόγονοι: — M$^{i}$TA

ἀσπιδοφέρμονα θίασον ἔνοπλον: ποιεῖς δηλαδὴ θίασον ἀσπιδοφέρμονα: — MTA

ἄλλως: ἀντὶ τοῦ ἀσπιδοθρέμμονα· φέρσαι γὰρ τὸ θρέψαι· τὸν ἐν ἀσπίδι τραφέντα, τουτέστι τὸν σπαρτὸν λαὸν τὸν πολεμικόν. παραγώγως, ἀντὶ τοῦ ἀσπιδηφόρον: — TAB

ἄλλως: ὁ νοῦς οὕτως· κοσμήσας χορὸν οὐ θυρσοφόρον, ἀλλ᾽ ἀσπιδοφέρμονα, οὐ συνθιασώτην καὶ σύγκωμον χορόν, ἀλλ᾽ ἀντίπαλον, οὐ κισσῷ κοσμήσας, ἀλλὰ χαλκῷ. εἰ δὲ ἦν ἐπὶ Διονύσου, οὕτως ἂν ἔφη·

---

1 συστρέφεισ A 2 νευρίδων A 4 συστρέφη A 6 ἀπὸ τῶν μωνονύχων M$^{i}$ ἀπὸ τῶν μωνύχων A$^{g}$ 7 οὐδὲν καὶ χαρίεν B 8. 9 μωνύχων A μονοπώλων B 13—16 scholio 7—9 adi. B initio add. ἐπιπνεύσασ δὲ 13 post ἐπιπέμψας add. ἀντὶ τοῦ B 14 θηβαίοισ A νῦν om. MTA 14. 15 ἀνωτέροισ TA 15 παροξύνεσθαι AB κατὰ om. A 16 ὡς] ὥστε T παροξύναντοσ TA παροξύνοντοσ B 18 γένναν in γέννα corr. M$^{i}$ γεγόνα A post Θηβαίους add. λέγει M$^{i}$ 20 initio add. ἀσπιδηφόρον καὶ T ἀσπιδηφόρου καὶ A δηλαδὴ om. TA 20. 21 ἀσπιδηφόρον M 22 φέρεται A 23 ἀσπίσι T 24 ἀντὶ τοῦ ἀσπιδηφόρον om. B 25 κομίσασ M

θυρσοφόρον θίασον σύγκωμον κατὰ σύμφυτα ὄρη κισσῷ κοσμήσας οὐ κατὰ τείχη: — MTAB

† ἄλλως: κυρίως θίασος ὁ τοῦ Διονύσου χορὸς λέγεται ὁ μετὰ νεβρίδων ἐκείνῳ συγχορεύων. διὰ τοῦτο ἐνταῦθα ἀντίπαλον θίασον καὶ ἀσπιδοφέρμονα καὶ ἔνοπλον τοὺς Ἀργείους καλεῖ τοὺς σὺν τῷ Ἄρει τὴν ἔνοπλον χορείαν ποιουμένους: — A

797 ἀντιστήσας θίασον ἔνοπλον τῇ Σπαρτῶν γέννᾳ: — $M^iA^g$

ἀντιπαρατασσόμενον: — $M^gA^g$

τουτέστιν ὁπλίσας: — $M^gA^g$

798 ἤ: τοῦτο καθολικόν· ὄντως δεινὴ θεὸς ἡ Ἔρις: — $M^gA^gB^i$

800 τοῖς Θηβαίοις· πρόγονος γὰρ αὐτῶν ὁ Λάβδακος: — $M^iB^i$

801 ὦ ζαθέων πετάλων: ὦ νάπος τῶν ζαθέων πετάλων. νάπος πετάλων τὸ σύμφυτον ὄρος. τὸ ἑξῆς· ὦ Κιθαιρὼν πολυθηρότατον ὄρος σύμφυτον· τοῦτο γὰρ δηλοῖ νάπος πετάλων: — MTAB

ἄλλως: ζαθέων: μεγάλων φύλλων. ἢ θείων, ὥσπερ φαμὲν θεῖον τόπον διὰ τὸν ἐν αὐτῷ θεόν. λέγονται γὰρ ἐν αὐτῷ ἱδρῦσθαι αἱ Μοῦσαι καὶ δένδροις διαφόροις κεκοσμῆσθαι: — MTAB

ὑπὸ φύλλων πεπλεγμένον: — $M^iA^g$

802 ὄμμα Κιθαιρών: ὅπερ ἐφορᾷ ἡ Ἄρτεμις ὑπὲρ τὰ ἄλλα ὄρη. καὶ ἔστιν ὅραμα * * ἢ ὡς καλλιστεῦον παρὰ τῇ θεῷ, ὥσπερ ἐν τῷ σώματι τὸ ὄμμα. πολύθηρον γάρ ἐστι, κυνηγέτις δὲ ἡ θεὸς Ἄρτεμις ὑπάρχει: — MTAB

ἄλλως: ὦ ὄμμα τῶν ἄλλων ὀρῶν Κιθαιρών. ὅραμα, ἤτοι διὰ τὸ ὑψηλὸν εἶναι καὶ πόρρωθεν τοῖς πᾶσιν ὁρᾶσθαι, ἢ ὅτι ἄνωθεν ἦν πάντα καθορᾶν. ἢ ἁπλῶς ἐκπρεπέστατον χρῆμα αὐτὸν ἂν εἴη λέγων. λέγει τὸν Κιθαιρῶνα ὑπὲρ τὰ ἄλλα πάντα ὄρη * τῇ Ἀρτέμιδι ὥσπερ ὀφθαλμὸς ἐν σώματι. λέγονται δὲ ἐνταῦθα ἱδρῦσθαι αἱ Μοῦσαι: — MTA

---

1 τὰ σύμφυτα M 2 τὰ τείχη B 4 νευρίδων A 9 ὁπλισθείσ Mg 10 ὄντα Mg θεῶν Mg θεόσ ἐστιν $A^gB^i$ in fine add. κατειργάσατο γὰρ κακὰ τοῖσ βασιλεῦσι $B^i$ 13 νάποσ δὲ B τὸ δὲ MTB 13. 14 κιθαιρὼν post ὄρος coll. MTAB 14 ὄρος] νάποσ A συμφύτων B τὸ νάποσ AB 16 ἱδρύσαι B 17 κοσμεῖσθαι B nescio an haec a ceteris separanda sint scribaturque κεκοσμημένον sc. νάπος 19 initio add. ὄμμα ἀρτέμιδοσ TA ὑπὲρ] ὥσπερ A 20 καὶ ἔστιν ὅραμα om. B καλλιστεῦον παρὰ τῇ] καλλιστεύοντα A 22 ὑπάρχει om. A 25 αὐτὸ T 25. 26 λέγων λέγει] λέγων λέγων T λ́ M λέγων A 26 ὑπὲρ] ὥσπερ MTA 27 in fine add. καὶ δένδροις διαφόροις ἔξωθεν κεκοσμῆσθαι A

803 ἀντὶ τοῦ γέννημα: — $M^1A^gB^g$

804 Οἰδιπόδα βρέφος, κατὰ περίφρασιν τὸν Οἰδίπουν: — $M^gA^gB^i$ τὸν ἐκβεβλημένον τῶν οἴκων. τὸ ἐκριφὲν βρέφος ἐκ τῶν οἴκων· ἐξετέθη γὰρ εἰς τὸ ὄρος: — $M^1$

805 χρυσοδέτοις περόναις: ἡ μὲν Ἰοκάστη ὡς ἀκριβῶς εἰδυῖα εἶπε [26] σιδηρᾶς τὰς περόνας· αὗται δὲ ὡς βάρβαροι οὐκ ἀκριβῶς ἴσασιν: — MTAB

περόναις ἐπίσαμον: τοῦτο διὰ τὰς περόνας λέγει αἷς ὕστερον ἑαυτὸν ἐτύφλωσεν· οὐ γὰρ ταῖς τῶν ποδῶν. εἶπε γὰρ [26] σφυρῶν σιδηρᾶ κέντρα διαπείρας μέσον: — MTA

ἄλλως: νῦν φησι χρυσῷ διαπεπερονῆσθαι τὰ σφυρὰ τοῦ Οἰδίποδος. ἄνω δὲ εἶπε σφυρῶν σιδηρᾶ· ἐκτὸς εἰ μὴ οὐκ ἐπὶ τῶν σφυρῶν λέγει τὸ χρυσοδέτοις περόναις ἐπίσαμον, ἀλλὰ διὰ τὴν τύφλωσιν ἐπίσημον αὐτὸν γεγονέναι. μᾶλλον δὲ ἐμφαίνει τὰ σφυρὰ τοῦ Οἰδίποδος διὰ τὰ παρακείμενα· ἐπάγει γὰρ βρέφος ἔκβολον οἴκων· οὐ τυφλὸς δὲ ἦν, ἡνίκα ἐκβέβληται, ἴσως οὖν διαφόρου οὔσης τῆς ἱστορίας οὕτως ἀμφοτέραις συγκατατίθεται: — MTA

† ἐπίσαμον: τὸν ὕστερον γενόμενον ἐπίσημον διὰ τὴν τύφλωσιν: — $AB^i$

806 μηδὲ τὸ παρθένιον πτερόν: ἀπὸ κοινοῦ τὸ ὤφειλεν. τουτέστι· μηδὲ ἡ Σφὶγξ ὤφειλεν εἰς τὰς Θήβας ἐληλυθέναι. αὕτη γὰρ ἀρχὴ τῆς συμφορᾶς ἐγένετο τοῦ Οἰδίποδος· διὰ τὸ εὑρηκέναι γὰρ τὸ προτεθὲν ὑπ᾽ αὐτῆς ζήτημα ἔγημε τὴν μητέρα κατ᾽ ἄγνοιαν. προέκειτο γὰρ εἰς γάμον τῷ συνιέντι: — MTAB

† παρθένιον πτερὸν καλεῖ τὴν Σφίγγα διότι λέγεται μῦθος τὰ ἄνω μέρη τοῦ σώματος παρθένου γυναικὸς ἔχειν, τὰ δὲ κάτωθεν ἀετοῦ. πρὸς μὲν τὴν παρθένον τὸ παρθένιον, πρὸς δὲ τὸν ἀετὸν τὸ πτερόν: — A

5 ἰδαῖα A  6 σιδηροῦς T  δὲ om. T  8 τοῦτο om. M τοῦ T λέγει om. T  9 οὐ—ποδῶν om. M  post γὰρ add. ἐν ἐκείνοις ἡ δὲ M ἡ δὲ TA  σφυρῶ T σφυρὰ MA  10 σιδηρῶ M σιδήρω T σιδηρὰ A κέντρω MT  11—17 scholio quod praecedit adi. M pro ἄλλως—εἰ μὴ (12) scripto ὅθεν δῆλον ὅτι  11 χρυσῶ T σφυρῷ A  διαπερονῆσθαι A διαπερονεῖσθαι T em. Matthiae  σφύρα T  12 ἐκτὸς εἰμι A corr. Dindorf om. T spatio relicto  13 ἐπίσαμον om. TA  14 καὶ ἐπίσημον TA αὐτὸν om. M  16 δὲ om. TA  16. 17 διαφόρου—συγκατατίθεται om. A spatio relicto  17 ἀμφοτέροις M ἀμφοτέρω T  20. 21 τουτέστι om. M 21 τὰς om. M  22 ἡ ἀρχὴ T  24 συνιόντι MTAB

γράφεται οὔρειον: — $M^g$

οὔρειον τέρας ἐλθεῖν: ὀρεινὸν ἄγριον. ἢ ἴσως ἐπειδὴ ἐν Κιθαιρῶνι τῷ ὄρει ἐτρέφετο, τέρας αὐτήν φησι· τέρας δέ ἐστι πᾶν τὸ παρὰ φύσιν. τὸ δὲ ἑξῆς· μηδὲ τὸ παρθένιον πτερὸν Σφιγγὸς ὤφειλεν ἐλθεῖν εἰς πένθεα ταύτης τῆς χθονός. τέρας δὲ τὴν Σφίγγα λέγει, ἐπεὶ πτερωτὴ ἦν παρθένου ἔχουσα πρόσωπον, λέοντος δὲ τὸ πᾶν σῶμα, μιξοφυὴς οὖσα: — MTAB

† ἄλλως: ἀπὸ μέρους τὴν ὅλην· μηδὲ τὸ πτερὸν τῆς Σφιγγὸς ἐκεῖνο τὸ τέρας, ὅπερ ἦν πένθος τῆς γῆς: — TA

† ἄλλως: οὔρειον δὲ τέρας διὰ τὸ δόξαι αὐτὴν ἀπὸ τοῦ ὄρους Κιθαιρῶνος τερατοειδῶς κατελθεῖν: — A

ἀντὶ τοῦ· πένθος τῆς γῆς ἡ Σφίγξ: — $M^1B^1$

807 Σφιγγὸς ἀμουσοτάταισι: σὺν κακομούσοις προβλήμασι καὶ σοφίσμασι τῆς Σφιγγός. ᾠδὴν δὲ κακόμουσον τὸ αἴνιγμά φησιν, ἐπεὶ ἐμμελῶς τε καὶ ἐμμέτρως ἐλέγετο, ἀπώλλυε δὲ πολλοὺς τῶν Θηβαίων· μὴ εὑρίσκοντες γὰρ τὸ αἴνιγμα κατησθίοντο: — MTAB

ἀοιδαῖς: — $M^gA^g$

808 ἅ ποτε Καδμογενῆ: ἥτις ἐπικαθεζομένη τοῖς τείχεσι τετραβάμοσι χηλαῖς τὴν Καδμογενῆ γένναν, τουτέστι τοὺς Θηβαίους, εἰς αἰθέρος ἄβατον φῶς ἀνῆγεν. ἐπεὶ ἄβατος καὶ αὐτοῖς τοῖς ὀρνέοις ἐστίν: — MTAB

τὸ ἑξῆς· Καδμογενῆ γένναν: — $M^gB^1$

τετραδακτύλοις ποσίν: — $M^1A^gB^g$

γράφεται χηλαῖσι: — $M^g$

809 καθεζομένη: — $M^gA^g$

φέρεν αἰθέρος: ὑπερβολικῶς, ἀντὶ τοῦ εἰς ὕψος πολὺ ὥστε προσεγγίζειν τῷ αἰθέρι ἔφερε τὴν Καδμογενῆ γένναν. τοιοῦτον γάρ τι ἱστο-

---

1 in uersu οὔρεια M  2 ὀρεινὸν om. B  3 ἐτρέφετο τῶι ὄρει B  τὸ ὄρος T  4 Σφιγγὸς om. T  5 ταύτης A ταῦτα MTB  γῆς A  6 λέγουσι A  πτερωτὸν A πτερωτῆς B  παρ$^{θ}$ M παρθένος T  ἔχον A  λέοντα M  9 ἥπερ T  12 πένθους $M^1$ τὸ πένθος $B^1$  14 καὶ om. T  τῆς Σφιγγός om. B  15 post τε ins. καὶ εὐρύθμως B  15. 16 θηβῶν T  18. 19 τετραβαμοῖς χαλαῖς B  19 γένναν spatio uacuo ins. $A^1$  τουτέστι τοὺς Θηβαίους om. B  20 ἀνῆγεν] πέμπει M om. A  26 — p. 338,2 scholio 18—21 adi. B post ὑπερβολικῶς add. δὲ τοῦτό φησιν  27 ἀνέφερε B  καδμογενῶν M  27. p. 338,1 ἱστόρηται M

ρεῖται ὅτι εἰς ὕψος αὐτοὺς ἀνήγαγε καὶ ἠφίει ἐπὶ τῆς γῆς φέρεσθαι πρῶτον ἄνω διασπαράξασα: — MTAB

810 ἂν ὁ κατὰ χθονὸς Ἅιδας: ἣν Ἐρινύς τις ἢ Ἀϊδωνεὺς ἢ ἀλάστωρ ἐφῆκε τῇ πόλει· πάντα γὰρ τὰ δεινὰ χθόνια ἔλεγον οἱ ἀρχαῖοι: — MTAB

811 ἀντὶ τοῦ ἐπέπεμπεν: — $M^gA^gB^i$

δυσδαίμων δ' ἔρις: μετὰ δὲ ταῦτα δυσδαίμων ἔρις ἄλλη αὔξεται κατὰ τοὺς οἴκους τοῦ Οἰδίποδος τῶν παίδων. ἄλλη δὲ ἔρις ἄλλα ποιεῖ κατὰ διαδοχὴν κατὰ τὴν πόλιν καὶ τὸν οἶκον τῶν Οἰδίποδος παίδων. κακοὶ γὰρ ὄντες κακὰ πάσχουσιν ὡς παρὰ φύσιν τεχθέντες: — $M^i$TAB

814 οὐ γὰρ ὃ μὴ καλόν: τὸ πρῶτον οὐ περιττόν ἐστιν: — $M^i$TA$A^gB^g$

οὐ γάρ ποτε τοῦτο καλόν ἐστιν, εἴπερ αὐτὸ τὴν ἀρχὴν ἀπὸ ῥίζης μὴ ἔφυ καλόν. τοῦτο δέ φησι διὰ τὸν Οἰδίποδα παρανόμως γήμαντα τὴν μητέρα καὶ παρανόμως παῖδας τεκόντα. τοῦτο οὖν, φησί, τὸ μὴ καλῶς γενόμενον οὔποτε ἐπαινέσομεν· οὐδὲ γὰρ αὐτὸ τὸ γεγονέναι ἦν καλόν: — $M^i$TAB

815 οὐδ' οἱ μὴ νόμιμοι: ἀπὸ κοινοῦ τὸ οὐ καλόν· οὐδὲ οἱ ἄνομοι παῖδες καλόν. οἱ παρὰ τὸν τῆς φύσεως νόμον γενόμενοι, ἀλλὰ κατάρατοι καὶ ἀνόσιοι: — $M^i$TAB

οὐδὲ οἱ ἄνομοι παῖδες καλὸν μητρὶ λόχευμα: — $M^iA^g$

816 παῖδες μητρὶ λόχευμα: κατὰ κοινοῦ τὸ οὐ καλόν, τουτέστιν· οὐ καλὸν οἱ μὴ νόμιμοι παῖδες, οἷον Οἰδίπους παρὰ τὸν τῆς φύσεως νόμον συγγενόμενος τῇ μητρὶ καὶ ἀνελὼν τὸν πατέρα. οὐ καλὸν οὖν, φησί, γέννημα, ἀλλὰ κατάρατον παῖς τῆς τοῦ πατρὸς καὶ μητρὸς ἐπιβαίνων εὐνῆς· συναίμονα γὰρ εἶπε τὸν πατέρα τοῦ παιδός, ἐπειδὴ ἐξ ἑνὸς αἵματος ὁ παῖς τῷ πατρί. δύναται δὲ καὶ ἐπὶ τοῦ Ἐτεοκλέους

1 ἀνῆγε B ἀνάγουσα A om. καὶ τῆς om. B 2 ἀναδιασφαῖσ βράζασα A ἄνω om. M 3 ἢ (prius) om. T 7 δὲ om. T ἔρις om. T 8 τὸν οἶκον A 9 τῶν] τὸν M 9. 10 τέκνων A 12 bis scripta in $M^i$ 14—18 scholio quod praecedit adi. $M^i$TA 14 ὅπερ B αὐτῶ $M^i$ ἀντὶ T 15 καλῆσ B 16 παρανόμουσ $M^i$TA φησὶ om. $M^i$ 17 ἐπαινήσομεν TB αὐτὸ τὸ] οὕτωσ $M^i$ αὐτοῖσ TAB γεγονέναι] γέγονεν εἰ $M^i$TA γέγονεν ἢ B ἦν M ἐστι TAB 19 initio add. καὶ τὸ νόμιμοι δὲ B ἀπὸ—οὐ καλὸν post παῖδες καλὸν coll. $M^i$TA οὐ om. B 20 ἄνομοι] νόμιμοι B γεννώμενοι $M^i$

ἡρμόσθαι ὁ λόγος, καὶ ἐροῦμεν οὕτως· οὐ καλὸν γέννημα οἱ μὴ νόμιμοι παῖδες τῇ μητρί, οἷον Ἐτεοκλῆς καὶ Πολυνείκης ἐκ λέχους τοῦ αὐτοῦ πατρὸς καὶ ἀδελφοῦ ἐλθόντες εἰς φῶς, ἵνα ᾖ τὸ συναίμονος ἀντὶ τοῦ ἀδελφοῦ, τὸ δὲ εἰς λέχος ἀντὶ τοῦ ἐκ λέχους, λόχευμα δὲ τὸ γέννημα: — $M^1$TA

ἄλλως: οἵτινες παῖδές εἰσι τῇ μητρὶ λόχευμα, μίασμα δὲ τοῦ πατρός, διὰ τὸ δι' αὐτοὺς τετυφλωκέναι ἑαυτὸν ἢ διότι αὐτὸν ἔκρυψαν. * * πατρὸς δὲ τοῦ καὶ συναίμονος ἐκ λέχους ἦλθον. ἐὰν δὲ ᾖ ἡ δέ, ἥτις, ἡ μήτηρ, ἦλθεν εἰς τὸ ἑαυτῆς αἷμα: — MTA

μίασμα πατρός: πῶς μίασμα πατρός· ὅτι συναίμονος εἰς λέχος ἦλθεν, ὅ ἐστι τοῦ ἀδελφοῦ αὐτῶν Οἰδίποδος: — $M^1$TAB

817 ὁ δέ ἀντὶ τοῦ γάρ: — $M^gA^g$

γράφεται σύναιμον: — $M^1$

τοῦ υἱοῦ: — $M^gA^g$

818 ἔτεκες ὦ γᾶ: ταῦτα ἐφεξῆς μέχρι τοῦ τέλους τοῦ χοροῦ ἀνακλητικῶς προφέρουσι μακαρίζουσαι τῆς ἀρχαίας εὐδαιμονίας τὰς Θήβας. τὸ δὲ ἑξῆς· ἔτεκές ποτε, ὦ Γῆ, γένναν ὀδοντοφυῆ Σπαρτῶν τὴν ἀπὸ φοινικολόφοιο δράκοντος, ὥς ποτε ἠκούσαμεν κατὰ τὴν βάρβαρον ἀκοὴν ἡμῶν ἐν τῇ πατρίδι οὖσαι. τὸ οὖν ἀπὸ φοινικολόφοιο δράκοντος συναπτέον. θηρότροφον δὲ γένναν περιφραστικῶς τοὺς Σπαρτούς, ἐπεὶ ἀπὸ θηρίου, τοῦ δράκοντος, ἐτέχθησαν. τάσσεται δὲ τὸ τραφῆναι ἐπὶ τοῦ γεννηθῆναι [ἢ ἐπὶ τοῦ αὐξηθῆναι] καὶ ἀναδοθῆναι ἀπὸ τῆς γῆς: — MTAB

820 τοῦ ἐν θηρσὶ τραφέντος δράκοντος. θηριώδους: — $M^1A^g$

821 τὴν γενομένην ἐκ τῶν ὀδόντων: — $M^1A^g$

κάλλιστον ὄνειδος: κάλλιστον κλέος ταῖς Θήβαις αὐτούς, τοὺς

---

3 σύναιμος $M^1$T συναίμονα A 7 διά—ἢ om. A ἑαυτὸν ἔκρυψεν MTA 8 ἢ δὲ om. M 9 ἡ om. TA αἵματος λέχος? 10. 11 scholio p. 338,19—21 adi. B pro πῶς—ὅτι scripto μίασμα δὲ $\overline{\pi\rho\sigma}$ $\overline{\pi\rho\sigma}$ γαρ 10 συναίμονος A σύναιμος $M^1$ σύναιμον TB 11 τοῦ οἰδίποδος B 13 σύναιμος $M^g$ 15 ἐφεξῆς B ἑξῆς M ἐξῆς TA 16 προσφέρουσι MT 17 γᾶ B μὴ T τὴν] τῶν A 18—20 ὥς—δράκοντος om. M 18 ὥς ποτε om. A spatio relicto 19 ἡμῶν ἀκοὴν TA ᾆσαι T τὸ] τῶ A 21 συντάσσεται A συντέτακται M 22 καὶ ἐπὶ B 22. 23 καὶ—γῆς om. A 24 θηρὸς $M^1$ 26—p. 340,2 scholio 15—23 adi. B add. δὲ ante κλέος 26 ταῖς ἐν Θήβαις A 26. p. 340,1 αὐτούς—φησίν om. A

Σπαρτούς, φησίν. ἔστι δὲ ὄνειδος τῶν μέσων λέξεων. ὡς καὶ τύχη καὶ ζῆλος καὶ δόλος: — MTAB

822 Ἁρμονίας δέ ποτ': καὶ κατὰ τοῦτο, φησί, μακαρία ἡ πόλις ὅτι γαμοῦντι τῷ Κάδμῳ τὴν Ἁρμονίαν συνῆλθον οἱ θεοί: — MTA

823 φόρμιγγί τε: καὶ τοῦτο, φησίν, εἰς εὐδαιμονίας λόγον ταῖς Θήβαις συνέβη, τὸ ὑπὸ τῆς λύρας Ἀμφίονος τειχισθῆναι: — MTAB

824 ᾠκοδομήθη: — M$^{i}$A$^{g}$B$^{i}$

ἀπὸ κοινοῦ τὸ ἀνέσταν: — A$^{g}$B$^{i}$

825 τὸν περάσιμον τόπον: — M$^{g}$A$^{g}$B$^{g}$

† ἀμφὶ μέσον Δίρκας: λείπει τὸ ὅς· ὅς, ὁ πόρος, κατὰ τὸ πεδίον τῆς Δίρκης ἔμπροσθεν τοῦ Ἰσμηνοῦ καταδύεται. οὗτοι γάρ εἰσιν οἱ δύο ποταμοί, ἡ Δίρκη καὶ ὁ Ἰσμηνός: — AB

ἄλλως: περὶ τὸν μέσον πόρον τῶν διδύμων ποταμῶν τῆς Δίρκης· ἥτις σχιζομένη δύο ἀποτελεῖ ποταμούς, οὓς καὶ διδύμους ἐκάλεσεν, ἐπεὶ ἐξ ἑνὸς οἱ δύο ἀποτελοῦνται: — AB

827 ἀντὶ τοῦ καταδύεται. λείπει δὲ ἥτις· ⟨ἥτις⟩ ἐπαρδεύει τὸ πεδίον, ἡ Δίρκη: — M$^{i}$

828 Ἰώ θ' ἁ κερόεσσα: πρὸς ἅπασι τούτοις καὶ Ἰὼ ἔχουσιν οἱ Θηβαῖοι προμήτορα: — MTA

καὶ ἄλλως: καὶ ὦ Ἰὼ κερατοφόρε, ἥτις ἐγέννησε τοὺς βασιλεῖς τῶν Θηβαίων καὶ ἤνεγκε μυριάδας ἀγαθῶν ἀντὶ τῶν κακῶν: — MTA$^{g}$B$^{i}$

πρόγονος: — M$^{g}$

830 μυριάδας δ' ἀγαθῶν: συνελόντι δέ, φησί, φράσαι [συντόμως] ἡ πόλις αὕτη μυρία ἀνδραγαθήματα καὶ νίκας συνάπτουσα εἰς ἄκρον ἐν τῷ πολέμῳ προελήλυθεν ἀνδραγαθημάτων, ὡσεὶ ἔλεγε· τὴν οὕτως μακαρίαν οὐκ ἀπεικὸς τοὺς ἐπελθόντας πολεμίους ἀπώσασθαι: — MTAB

† ἢ οὕτως· ἡ ἤδη τοσαῦτα πλεονεκτήματα εὐτυχήσασα καὶ ἄλλα ἄλλοις ἀμειψαμένη νῦν ἐπὶ ξυροῦ πολέμου ἕστηκεν: — TAB

---

1 τὸ ὄνειδος AB  καὶ (primum) om. A  2 καὶ δόλος om. A  4 ὅτι—τῷ om. spatio rel. A  5 εἰς—λόγον om. spatio rel. A  λόγος M  6 τὸ—τειχισθῆναι om. spatio rel. A  ὑπερ M  τοῦ ἀμφίονος M  7 in fine add. ὁ πύργος δηλονότι καὶ τὰ τείχη B$^{i}$  11 καταδεύει A  12 ἥ τε B  13 τὸν om. A  14 δύο om. A  14. 15 ἐπειδὴ ἓν A  20 καὶ ἡ κερασφόρος ἰὼ B$^{i}$  21 καὶ—κακῶν om. A$^{g}$B$^{i}$  23 συνελόντι Valckenaer ex Mon. 560 συνελθόντα Laur. 32, 33 τί MTA δεῖ B  συντόμως del. Valckenaer  24. 25 ἐν τῷ πολέμῳ om. M  26 ἀπεικὸς τοὺς] ἀπεικότως TA  ἐλθόντας TA  27 ἡ ἤδη] ἢ δὴ TA ἤδη B  πλεονεκτήματα—καὶ] εὐτυχήματα ἀμείψασα TA  ἄλλα] ἄλλως TA ἄλλους B  28 πολεμίου T

† ἄλλως: ἡ δὲ πόλις αὕτη πρὸς τοῖς ἄλλοις ἄλλας διαδεξαμένη μυριάδας ἀγαθῶν νῦν ἐν κινδύνοις ἄκροις ἕστηκεν: — TA

831 ἐπ' ἀγωνίσμασι πολεμικοῖς. ἢ ἐπὶ ξυροῦ ἕστηκεν: — M$^{1}$AB$^{i}$

834 ἡγοῦ πάροιθε: Μαντὼ ἐκαλεῖτο ἡ θυγάτηρ τοῦ Τειρεσίου: — MTB$^{i}$

Πείσανδρος ἱστορεῖ ὅτι Ξάνθη γαμηθεῖσα Τειρεσίᾳ ἐποίησε παῖδας τέσσαρας, Φαμενὸν Φερεκύδην Χλῶριν Μαντώ: — MT

835 ὡς ἄστρον τοῖς ναύταις: — M$^{g}$A$^{g}$

836 δεῦρ' εἰς τὸ λευρόν: εἰς τὸ ὁμαλὸν καὶ ἰσόπεδον τὸ ἴχνος τοὐμὸν τιθεῖσα πρόβαινε καὶ μὴ εἰς τὸ κεκρυμμένον, ἵνα μὴ σφαλῶμεν τῆς οἰωνοσκοπίας: — MTA$^{g}$

τιθεῖσα φέρε: — M$^{g}$

837 μὴ πέσωμεν: — M$^{g}$A$^{g}$

ὅτι καὶ τυφλὸς καὶ γέρων: — M$^{g}$A$^{g}$

838 κλήρους τέ μοι φύλασσε: τοὺς μισθοὺς φύλασσε: — MTAB$^{g}$

τήρει σὺ τοὺς κλήρους ἐμοί, τουτέστι τὰς τῶν πτήσεων σημειώσεις: — M

τὰς μαντικὰς ψήφους: — M$^{g}$A$^{g}$

839 οἱ γὰρ οἰωνοσκόποι ἐν δέλτῳ ἐσημειοῦντο τὰς πτήσεις, ἵνα διὰ μνήμης ἔχοιεν. εἰ δὲ τυφλὸς ἦν, μὴ θαυμάσῃς· ἡ γὰρ θυγάτηρ ἔμπειρος οὖσα τὰς γινομένας πτήσεις ἐσημειοῦτο. φασὶ δὲ αὐτὴν μετὰ τὸν θάνατον τοῦ πατρὸς ἀρίστην μάντιν γενέσθαι: — TAB

840 † θάκοισιν ⟨ἐν⟩ ἱεροῖσιν: τόπος Θήβης οἱ θᾶκοι, ὅπου ἐμαντεύετο ὁ Τειρεσίας: — AB

841 ἀντὶ τοῦ τέκνον ἐμὸν καθ' ἡλικίαν: — M$^{g}$A$^{g}$B$^{i}$

842 χρόνον δεῖ ἐν μέσῳ λαβεῖν: — M$^{g}$B$^{i}$

---

3 ἢ om. B$^{i}$ καὶ M$^{1}$A 5 τοῦ om. B$^{i}$ τειρεσία T 7 ξάνξη MT γαμηθεῖσα om. T τειρεσίας T 8 Φαμενὸν] φαινέη M φαινέν T cf. Soph. frg. 360 φερσεκέρδην MT χλώρην M 10 post εἰς τὸ ins. πλατὺ πεδίον καὶ TA$^{g}$ cf. quae habet B$^{i}$ πλατὺ ὁμαλὸν ἰσόπεδον καὶ ἰσόπεδον om. A$^{g}$ 11 πρόβαινε] φέρε A$^{g}$ εἰς κεκρυμμένον A$^{g}$ εἰς κεκρυμμένην T ἦσθα κεκρυμμένη M 11. 12 ἵνα—οἰωνοσκοπίας om. A$^{g}$ sed adi. A scholio p. 339, 10.11 16 scholio quod sequitur praep. M scholio 21—24 TA μισθῶν M 18 τήρει σὺ τοὺς] τειρεσία αἰτίους M 21 δέλτοις B αἰτήσεις A 22 ἔχοιεν] ἄγοιεν TAB θαυμάσωμεν B 23 ἐμπτήσεις TA 25. 26 scholio quod praecedit adi. B initio add. οἱ δὲ θάκοι et postea om. οἱ θᾶκοι

843 ὅτι οἱ πόδες μου ἐκοπώθησαν: — $\mathrm{M^g A^g}$

844 τὴν ὁδόν. οἷον ἔλευσιν, ὅ ἐστι τὸ μῆκος τῆς ὁδοῦ: — $\mathrm{M^g A}$

μόλις περῶ: ἀπὸ γὰρ τῶν Ἀθηνῶν παραυτίκα ἔρχεται πρόσφατος: — MTA

845 θάρσει πρὸς τὸ ἐξορμίσαι τὸν πόδα: — $\mathrm{M^g}$

846 ἐξόρμισαι σὸν πόδα: ἔστησας: — MTAB

ἄλλως: ἀντὶ τοῦ ἐξώρμισαι· τὸ ō ἀντὶ τοῦ ω̄· ἐκβέβληκας, ἔστησας: — MTAB

† ἄλλως: λείπει τὸ ἔστι· ⟨ἔστι⟩ στῆσαί σε τὸν πόδα: — A

ἢ ἐξόρμισον προστακτικῶς, ἀντὶ τοῦ στῆσον. ἐκ μεταφορᾶς τῶν εἰς λιμένα καταγομένων νεῶν: — MTA

847 ὡς πᾶσ' ἀπήνη: * * καὶ οἱ γεγηρακότες, φησίν, ὑπὸ ξένης χειραγωγεῖσθαι ὀφείλουσιν. ἤτοι ἐν τῷ μὴ δύνασθαι αὐτὴν καθ' ἑαυτὴν ἄνευ ζῴων τρέχειν· ἤ, ὅπερ βέλτιον καὶ ἀκόλουθον, ἐν τῷ τὰ ὑπεζευγμένα ζῷα ἄνευ τοῦ ἡνιοχοῦντος μὴ δύνασθαι τρέχειν, ἵνα καὶ αὐτὴν τὴν ζεῦξιν ἀπήνας λέγῃ. θυραίας δὲ ἀλλοτρίας ὡς πρὸς τὰ ἕλκοντα ζῷα, μὴ κοινωνούσης τοῦ ἑλκυσμοῦ. ἐὰν δὲ ἐπὶ τῆς ἁμάξης μόνον, ἁπλούστερον, τῆς ἀλλοτρίας τῶν ζῴων: — MTA

848 ὁδηγήματα: — $\mathrm{M^g A^g}$

850 ἀντὶ τοῦ συνάγαγε, ἀναλάμβανε σαυτόν: — $\mathrm{M^g A^g}$

ἀνάκτησον δύναμιν: — $\mathrm{M^g A^g}$

851 στήσας τὴν ὁδοιπορίαν: — $\mathrm{M^g}$

αἶπος ἐκβαλὼν ὁδοῦ: νῦν τὸν κάματον, ἢ τὸ ἐκ τῆς ὁδοῦ ἆσθμα γενόμενον. ἄλλοι δὲ αἶπος τὸ ὕψος, νῦν δὲ καταχρηστικῶς τὸ μῆκος· ὡς καὶ 'αἰπὺς ὄλεθρος': — MTAB

---

3 ἀθηναίων A θηβαίων MT 6 ἔστησας] ἐστίν B 7 ἐξόρμισαι M ἐξορμίσαι T ἐξώρμισασ A ἐξαρμόσαι B τὸ ō om. MT ω̄ om. MT α B ἐμβέβληκασ ἔστησασ A ἐμβέβηκά σε στήσασ B ἐκβέβληκεν M ἐκβέβληκασ T 10 προστακτικὸν T 11 νηῶν T om. M 14 τρέχειν ἄνευ ζώων A 15 ὑποζευγμένα M ὑποζευμένα T ὑποζευγνύμενα A ζῷα om. A 17 κυνουνούσησ M 18 τῶν] τοὺσ τῶν M τῆσ τῶν TA 22 στῆσον τὰ λαιπωρία $\mathrm{M^g}$ 23—25 Hesych. αἶπος κάματος. ἢ ὑψηλὸς τόπος .. 23 referenda ad lectionem κᾶπος cf. Hesych. et. m. p. 482,5. 489,43. 53. 536,11 Gud p. 297,56. 298,38. 319,57. 343,61 Eust. p. 1193,18 ἐκ om. MTB μῆκοσ ἆσθμα A 24 γινόμενον B

24. 25 cf. et. m. p. 37,28 .. αἰπύν .. τὸν μέγαν· ὡς τὸ [ρ 47] 'φυγόντι περ αἰπὺν ὄλεθρον'. Hesych αἰπύν .. ὑψηλὸν μέγαν· ⟨αἰπὺν⟩ ὄλεθρον .. inde corrupte Zonar. p. 72 [Suid.] αἰπύς ὁ ὀλέθριος ... αἰπύ .. ὑψηλὸν μέγα 24 αἶπος Kirchhoff ἆπος MB ἄπος A ἀπὸς T 25 ποῦσ ὀλέθριοσ MTAB em. Dindorf

852 γράφεται παρεῖμαι, ἀντὶ τοῦ· ἐκλέλυμαι τὰ γόνατα τῷ κόπῳ: — M[i]B[i]

853 ἐνταῦθα ἐνεχθείς: — M[g]A[g]

τῆς πρὸ ταύτης: — M[g]

χθὲς δηλονότι: — M[g]A[g]

854 Εὐμόλπου δορός: Εὔμολπος παῖς Ποσειδῶνος καὶ Χιόνης τῆς Βορέου καὶ Ὠρειθυίας θυγατρὸς Ἐρεχθέως· ὃς πολεμῶν τὰς Ἀθήνας ἐπὶ τοῦ νεωτέρου Ἐρεχθέως ἐφονεύθη παρ' αὐτοῦ. καὶ ἄλλοι δύο υἱοὶ Ποσειδῶνος παρὰ τοῦ Ἐρεχθέως ἀνῃρέθησαν ἐν ἐκείνῳ τῷ πολέμῳ συμμαχοῦντες Εὐμόλπῳ, Φόρβας καὶ Ἰμμάραδος. τότε δὲ ἐπὶ τῇ εἰρήνῃ τὰ μυστήρια Δήμητρος ἐτέλεσαν: — MTA

ἐπίτηδες πρὸς ἔπαινον τῶν Ἀθηναίων ἀνακεχρόνισται, τέσσαρσι γενεαῖς προὔχοντα τοῦ Θηβαϊκοῦ πολέμου: — MTAB

ἄλλως: τέσσαρσι γενεαῖς τοῦ Θηβαϊκοῦ πολέμου πρεσβύτερός ἐστιν Εὐμόλπου ὁ πρὸς Ἐρεχθέα πόλεμος. Ἐρεχθέως μὲν γὰρ Πανδίων, οὗ Αἰγεύς, οὗ Θησεὺς ὁ τῶν ἐν Καδμείᾳ πεσόντων τὰ σώματα ἀνελόμενος. ἦν δὲ ὁ Εὔμολπος Θρᾳκῶν βασιλεύς, ὃς λέγεται ἐλθεῖν εἰς Ἐλευσῖνα ἐπὶ τῷ μυηθῆναι τὰ Ἐλευσίνια. καὶ πρῶτος ἱστορεῖται ξένος μυηθῆναι· διὸ καὶ ἀπ' αὐτοῦ ἄρχοντες ἐγένοντο ἱεροφάνται Εὐμολπίδαι Ἀθήνησιν. οὗτος συνεμάχησεν Ἐλευσινίοις στασιάζουσι κατὰ τοῦ βασιλέως Ἐρεχθέως καὶ ἡττηθεὶς ἐφονεύθη. ὕστερον δὲ κατὰ πυθόχρηστον ἐτιμήθη καὶ ὁ τάφος αὐτοῦ ἱερώθη διὰ τὸ πρῶτον τὰ Ἐλευσίνια μεμυῆσθαι. τινὲς δὲ υἱὸν Ποσειδῶνος τὸν Εὔμολπόν φασιν, ὃς ἡττηθεὶς ὑπὸ τῆς Ἀθηνᾶς εἰς τὴν ἔριν τὴν περὶ τῆς Ἀττικῆς διὰ τῆς ἐλαίας τὸν υἱὸν αὐτοῦ κατὰ τῶν Ἀθηναίων ἐκίνησεν: — MTAB

855 ὅπου: — M[g]A[g]

νικηφόρους: — M[g]A[g]

---

1 κόπω παρεῖμαι B[1] ἀντὶ τοῦ om. B[1] τὰ γόνατα om. B[1] 6—11 cf. Paus. I 38,2.3 6 χιώνησ M χιόνοσ T 7 ὠρειθύασ MT ὠρειθυία A 7. 8 ὃς—Ἐρεχθέως om. M 8 τοῦ om. A ἐφονεύθησαν A ante καὶ ins. ἕτεροι δὲ MT 9 υἱοὶ] ὡσ ὑπὸ A Ποσειδῶνος om. MT sed cf. Hellanic. ap. Harpocr. s. v. Φορβαντεῖον παρὰ τοῦ] παρ' αὐτοῦ MT παρὰ A 9. 10 τῷ—Εὐμόλπῳ om. A 10 ante Εὐμόλπῳ add. εὐφόρβωι MT 12 ἀνακεχρόνισθαι A 12. 14 τέτρασι (bis) MTA 13 προὔχοντοσ TA 14 τέτρασι B 15 εὐμόλπω MTAB 16 τῇ καδμεία A 18 μνησθῆναι A 19 ἱεροφάνται] ἱεροῖσιν MTAB 22 μεμνῆσθαι A 24 τὴν περὶ τῆς] περὶ τὴν A Ἀττικῆς—ἐλαίας om. A spatio rel. υἱὸν om. MT 25 θηβαίων MT

τοὺς Ἀθηναίους: — $M^g A^g$

856 καὶ τόνδε χρυσοῦν στέφανον: στεφάνους γὰρ ἔχουσιν ἐν τοῖς πολέμοις, ἵνα νικῶντες ἀναδέωνται: — MTAB

857 τιμὴν ἀριστεῖα: — $M^g A^g$

858 οἰωνὸν ἐθέμην: σημεῖον ἐθέμην τοῦ ἡμᾶς νικῆσαι: — $MTAB^i$

859 ταραχῇ συγχύσει κακῶν: — $M^g A^g B^i$

860 καὶ μέγας Θήβαις ἀγών: ἀγὼν τῆς μάχης τῶν Ἀργείων καὶ τῶν Θηβαίων: — MTA

κίνδυνος: — $M^g A^g$

861 ὁπλισθείς: — $M^g A^g$

862 ἀντὶ τοῦ πρὸς Ἀργείους: — $M^g$

τὴν τῶν Ἀργείων. Μυκήνη γὰρ πόλις Ἄργους: — $M^g B^i$

863 ἔγραψε, δι' ἐπιστολῆς ἐνετείλατο: — $M^g$

865 Ἐτεοκλέους μὲν οὕνεκ': προεῖπεν ὁ Ἐτεοκλῆς τὴν αἰτίαν τῆς λύπης τοῦ μάντεως [772] ἐγὼ δὲ τέχνην μαντικὴν ἐμεμψάμην. ἀντὶ τοῦ ἐξεφαύλισα: — MTAB

τὸ ἑξῆς· ἕνεκα μὲν τοῦ Ἐτεοκλέους κλείσας ἂν τὸ στόμα τοὺς χρησμοὺς ἐπέσχον: — MTA

συγκλείσας: — $M^g$

866 τὰ μαντικά: — $M^g$

867 τὸ ἑξῆς· λέξω δέ σοι: — $M^g B^i$

τὸ δὲ νοσεῖ ἀντὶ τοῦ στασιάζει δυστυχεῖ: — $M^g$

νοσεῖ γὰρ ἥδε γῆ: τουτέστι· νοσεῖ ἡ πόλις ἐξ οὗ ὁ Λάιος ἐγεννήθη καὶ ὁ Οἰδίπους ἔφυ καὶ ἡ τῶν ὀφθαλμῶν τύφλωσις ἐγένετο αὐτῷ. διαφθορὰν δὲ εἶπε τὴν τύφλωσιν: — MTA

868 ἐξ οὗ 'τεκνώθη: τέκνου πατὴρ ἐγένετο. ἀντὶ τοῦ ἐτέ-

2 initio add. χρυσοῦν δὲ στέφανον εἶπεν ἐπειδὴ et γὰρ om. B   στέφανον M καὶ στεφάνους T   3 πολεμίοις M   οἱ νικῶντες T   ἀναδέδοντο M ἀναδέδονται T ἀναδέδοιντο A ἀναδέοντο B   4 ἀριστείαν $M^g A^g$   5 τὸ MT τοῦ καὶ $AB^i$   8 ἀγὼν] περὶ A   15—17 scholio 8. 9 adi. A   15 τὴν om. B   16 post μάντεως add. οἱ μὲν γὰρ ἡδὺς εἰς λόγους ἀφίξεται B   ἐμεμφάμην B   17 ἀντὶ τοῦ] καὶ A   18. 19 scholio quod praecedit adi. MT add. δὲ post τὸ   18 ἂν Laur. 32, 33 om. MTA   23 scholio quod praecedit adi. $M^g$   25 ἔφυ om. A   26 αὐτῶν A   27 initio add. ἤτοι B   ἀντὶ τοῦ] ὅ ἐστι A

κνωσε. κατὰ ἀπαρίθμησιν δὲ προάγει τὸν λόγον. ἀπὸ τοῦ Λαΐου γὰρ ἀρξάμενος κατέβη εἰς τοὺς περὶ Ἐτεοκλέα καὶ Πολυνείκην: — MTAB

ἐτέκνωσεν: — $M^gA^g$

παρὰ προαίρεσιν: — $M^gA^g$

ἔτεκεν: — $M^gA^g$

869 ἄθλιον: — $M^gA^g$

870 αἷ θ' αἱματωποί: ἀφ' οὗ καὶ αἱ αἱματώδεις τῶν ὀφθαλμῶν διαφθοραί: — MTA

871 παραλογισμός. παραίνεσις εἰς τὸ μὴ παραβῆναι τὸ θεῖον: — $M^1$

θεῶν σόφισμα: ἐπίνοια θεῶν, ἵνα πᾶσι δειχθῇ μὴ παρακούειν θεῶν: — $M^1AB$

873 ὡς δὴ θεούς: ὡς δὴ μέλλοντες ἐκ τούτου τὴν τῶν θεῶν κρίσιν ὑπεκβῆναι καὶ μέχρι τούτου οἰόμενοι στήσειν αὐτοῖς τὸ κακὸν τοὺς θεούς. διὰ τοῦ συγκλείειν τὸν πατέρα. παρατρέχοντες. κεκριμένον δὲ ἦν τοῖς θεοῖς ὥστε καὶ αὐτοὺς ἀλλήλους ἀποκτεῖναι: — MTAB

874 ἀπέτυχον: — $M^gA^gB^1$

ἀπαιδεύτως: — $M^gA^gB^1$

875 οὔτ' ἔξοδον διδόντες: καθεῖρξαν αὐτόν, φησίν, οὔτε τινὰ τιμὴν ἀποδιδόντες αὐτῷ οὔτε προελθεῖν που συγχωροῦντες. καὶ τούτου χάριν θυμωθεὶς αὐτοὺς κατηράσατο: — MTA

876 ἐπέρρυψεν ἐφθέγξατο ἐξέβαλεν: — $M^gA^g$

877 λείπει τὸ τοὺς ὀφθαλμούς: — $M^gA^g$

ὑβρισμένος: — $M^g$

ὅτι τῷ περὶ τοὺς ὀφθαλμοὺς πάθει καὶ προσητίμαστο: — $MTAB^1$

878 τί οὐ δρῶν: γράφεται δὲ κἀγὼ τί μὴ δρῶν, ποῖα δ' οὐ λέγων ἔπη: — MTAB

---

1 δὲ om. A 2 γὰρ om. MTA 11 ἀκούειν $M^1A$ 13 μέλλοντοσ B 14 ὑπερβῆναι MT ὑπερνικῆσαι A 15 τοῦ] τὸ T κλείειν M περιτρέχοντεσ MTA περιτρέχοντασ B περιτρύχοντασ Arsenius 16 κεκριμένον—ἀποκτεῖναι coniungas cum ὡς δὴ—θεούς τοῖς om. B καὶ—ἀλλήλους] ἑαυτοὺσ καταλλήλωσ A 26 scholio 20—22 adi. MTA ὅτι om. $B^1$ καὶ om. TA 27. 28 ex δὲ apparet hoc scholion olim additum fuisse scholio p. 346,1.2 27 γράφεται—κἀγὼ om. A κἀγὼ] καὶ ἐγὼ M ἂγὼ T καὶ ἃ 'γὼ B 28 ἔπη om. B

ὁποῖα δ' οὐ λέγων ἔπη: λείπει ἡ διά· δι' ἃ λέγων. τὸ δὲ οὐ ἀπὸ κοινοῦ: — MTAB

θέλων καταλῦσαι: — M$^{i}$

879 εἰς μῖσος: — M$^{g}$A$^{g}$

εἰς ἔχθος ἦλθον: γράφεται καὶ εἰς ὄχλον, ἀντὶ τοῦ εἰς ὄχλησιν τῇ πόλει: — MTAB$^{i}$

884 διαφθαρήσῃ: — M$^{g}$A$^{g}$

886 ἐκεῖνο μὲν γάρ: ἐκεῖνο γὰρ πρῶτον ἦν ἴαμα, τῶν ἀπὸ Οἰδίπου μηδένα πολίτην μηδὲ ἄνακτα εἶναι τῇδε τῇ πόλει ὡς κακοδαιμονοῦντας: — MTA

ἄλλως: πρωτεῦον αἱρετώτατον: — MTAB$^{i}$

ἔθος ποιητικὸν τὸ ἀπὸ τοῦ γάρ ἄρχεσθαι. Ὅμηρος [κ 190]· 'ὦ φίλοι, οὐ γάρ τ' ἴδμεν ὅπῃ ζόφος' καί [κ 226]· 'ὦ φίλοι, ἔνδον γάρ τις ἐποιχομένη'. καὶ Μένανδρος [frg. 232]· 'ἐκ γειτόνων οἴκων γάρ, ὦ τοιχώρυχε': — MTAB

888 ὡς κακοδαιμονοῦντας, δαίμονι ἀπανθρώπῳ καὶ σκληρῷ κατεχομένους: — M$^{i}$B

889 ἐπεὶ δὲ κρεῖσσον: ἐπικρατέστερον τὸ κακόν. Ὅμηρος [A 576]· 'ἐπεὶ τὰ χερείονα νικᾷ': — MAB

890 ἐπίνοια βουλή: — M$^{g}$A$^{g}$

891 τόδ' ἀσφαλές: ἀντὶ τοῦ ἄλυπον. λυπήσω γάρ σε. ἢ οὐκ ἀσφαλὲς διὰ τὸ αὐτὸν τεθνήξεσθαι: — MB$^{i}$

ἀκίνδυνον: — M$^{g}$

892 τὴν τύχην κεκτημένοις: εὐτυχίαν. τὸ ἐκ τοῦ αὐτομάτου προσπῖπτον. ἔστι δὲ λυπηρὸν τοῖς δεσπόταις τὸ δοῦναι φάρμακον τῆς σωτηρίας: — MTA

---

1 ὁποῖα A ποῖα M λείπει ἡ διά om. MT 5 καὶ om. B$^{i}$ post ὄχλον add. ἦλθον B$^{i}$ ἀντὶ τοῦ] ἤγουν A 6 τῇ πόλει om. B$^{i}$ 8 μὲν γὰρ A 9 μὴ δὲ ἕνα A 11 αἱρετώτερον MTAB$^{i}$ 12—15 scholio quod praecedit adi. MTA 12 ποιητικῶσ T τὸ ἀπὸ τοῦ B τούτου MTA 12. 13 ὦ φίλοι om. M 13 οὐ γάρ—φίλοι om. B οὐ γάρ τ'] οὐδέ τι A καὶ om. MTA 14 τις] τ' B ἐστοιχωμένη MT ἐστοιχωμένοσ A οἴκῳ coni. Porson 15 τοιχόρυχε M τριχωρύχε T τοιχώρμενεσ A 16 κακοδαιμονοῦντασ ὡσ σκληρῶι δαίμονι καὶ ἀπανθρώπωι B κακοδαίμονι καὶ ἀπανθρώπῳ κ. σ. M$^{i}$ 18. 19 scholio quod praecedit adi. B initio add. κρεῖσσον δὲ φησὶ τὸ 18 τὸ κακόν om. B 19 ἐπεὶ om. M 21. 22 ἢ—τεθνήξεσθαι om. B$^{i}$

τῇ πόλει παρασχεῖν: — $M^{g}$

894 εἷς γὰρ ὢν πολλῶν μέτα: κἀγὼ αὐτός, φησίν, εἷς ὢν μετὰ πολλῶν, τῶν Θηβαίων, ἀπολοῦμαι· τοῦτο γὰρ εἵμαρται: — MAB

896 περίμενε: — $M^{1}A^{g}$

μὴ κρατήσῃς με: — $M^{1}A^{g}$

897 ἡ τύχη σ' ἀλλ' οὐκ ἐγώ: ἡ εὐτυχία φεύγει σε, ἀλλ' οὐκ ἐγώ. μέλλει γὰρ μετ' ὀλίγον ὁ παῖς αὐτοῦ ἀναιρεῖν ἑαυτόν: — MTAB

899 κοὐχὶ βουλήσῃ τάχα: ταχέως. τουτέστιν· οὐκ ἀρέσει σοι ἡ ἀκοή, ἀλλ' εὐθέως μεταμεληθήσῃ ἐπὶ τῇ ἀκοῇ: — MTAB

ἄλλως: θέλεις, φησί, νῦν ἀκοῦσαι, ταχέως δὲ βουλήσῃ μὴ ἀκηκοέναι τὸ μέλλον σοι γενέσθαι: — MTA

ἄλλως: νῦν μὲν οὖν ἀκοῦσαι ἐπείγῃ, ἐπειδὰν δὲ ἀκούσῃς ἅπαξ, οὐ μὴ θελήσῃς ἀκηκοέναι: — MTA

901 ἠθικὸν ἐπίρρημα, ἀντὶ τοῦ ἀληθῶς: — $M^{1}A^{g}$

902 εἰς γὰρ τί μᾶλλον: ἀντὶ τοῦ· εἰς οὐδὲν δεῖ μᾶλλον πλείονα σπουδὴν ἔχειν ἢ περὶ τὸ σῴζειν ἕκαστον τὴν πατρίδα. κακὸς γάρ, φησίν, οἰωνὸς ἡμῖν καὶ σύμβολον οὐκ ἀγαθὸν τὸ μὴ ὑπὲρ πατρίδος ἀμύνειν: — MTA

ἄλλως: ἢ περὶ τὸ σῴζειν πατρίδα. Ὅμηρος [M 243]· 'εἷς οἰωνὸς ἄριστος': — MTAB

ἀντὶ τοῦ· εἰς ποῖον γὰρ ἄλλο: — $M^{g}A^{g}$

907 πόρρωθεν: — $M^{g}$

908 ἐνόμιζε γὰρ τὸν μάντιν ἀπόρρητόν τι λέξειν: — MA

910 κλύων γὰρ ἂν τέρποιτο: ἐὰν γὰρ ἀκούσῃ τὴν σωτηρίαν τῆς πόλεως, τερφθῆναι ἔχει: — MTA

911 θεσφάτων ἐμῶν ὁδόν: τὴν διήγησιν. ἔδει, φασί, μὴ ἀντικρὺ τοῦ Μενοικέως λέγειν τὰ περὶ τῆς σφαγῆς αὐτοῦ, ἀλλ' ὥσπερ καὶ ἑτέρωθι ποιεῖ [Ion. 1521]· 'δεῦρ' ἔλθ' ἐς οὖς σοι'. λέγοι

---

3 ἀπόλλυμαι A  γὰρ om. M  εἵμαρτο MA  4 περίμεινε $M^{1}$  8 ἀρκέσει MTAB  9 ἀκοὴ—εὐθέως spatio rel. om. A  ἀκοῇ ἄλλως θ om. A spatio rel.  10 δὲ φησὶν A  11 γίνεσθαι A  15 εἰς om. MT  μᾶλλον δεῖ MT  16 περισώζειν A  17 καὶ σύμβολον om. spatio rel. A  τῆς πατρίδος T  19. 20 scholio quod praecedit adi. A om. ἄλλως—πατρίδα  20 in fine add. ἀμύνεσθαι περὶ πάτρης A  ἀμύνασθαι περὶ πάτρης B  23 γὰρ om. A  λέγειν MA  24 ἀκούῃ A  26 τὴν om. A  27 λέγει T  τὰ περὶ om. M  28 ἔλθ'—σοι om. A spatio rel.  εἰσσοῦσοι M  εἰς TB

δ' ἄν τις ὅτι γεννικόν ἐστι τὸ πρόσωπον καὶ φιλόδοξον, ὡς καὶ τὴν ψυχὴν προέσθαι ὑπὲρ εὐκλείας: — MTAB

914 τὴν δυστυχίαν: — M$^g$A$^g$

915 γράφεται τί φῄς· ἐμὸν παῖδ' ἕνεκα γῆς σφάξαι θέλεις: — AB

916 πέπρωται: — M$^g$A$^g$

917 ἐν συντόμῳ: — M$^g$A$^g$

918 σοὶ μόνῳ κακά· τῇ γὰρ σῇ πατρίδι μεγάλα καὶ σωτήρια: — M$^1$AB$^1$

919 οἰμωζέτω: — M$^g$A$^g$

920 ἀνὴρ ὅδ' οὐκέτ' αὐτός: ἀναστρέφεται εἰς τοὐπίσω, ἀναχωρεῖ, ἔξαρνος γίνεται: — MTA$^g$B$^1$

ἀναχωρεῖ, ἀναστρέφεται εἰς τοὐπίσω: — M

921 οὐ γὰρ χρεία μοι τῶν σῶν μαντευμάτων: — M$^g$A$^g$B

922 ἐπεὶ σὺ δυστυχεῖς: κατ' ἐρώτησιν τοῦτό φησι ὁ Τειρεσίας. οὕτως δὲ ἡ γραφὴ διὰ τὸ μέτρον: — MTB

ἐπεὶ σὺ δυστυχεῖς, ἀπώλετο ἡ ἀλήθεια: — M$^1$A$^g$

923 λείπει τὸ ἱκετεύω: — M$^g$A$^g$B$^1$

ὦ πρός σε γονάτων: ὦ Τειρεσία, προσπίπτω σοι κατὰ τῶν γονάτων σου καὶ τῆς τιμίας τριχός: — MTAB$^1$

ἐντίμου: — M$^g$A$^g$

924 δυσφύλακτ' αἰτῇ κακά: ἀντὶ τοῦ δυστήρητα: — MTB

ἅπερ οὐ δύναμαι παραφυλάξασθαι καὶ μὴ εἰπεῖν: — MTA$^g$B

929 ἐκ τίνος: — M$^g$

ἐκ ποίας προφάσεως: — M$^g$A$^g$

930 εἰς ἐξέτασιν καὶ κρίσιν: — M$^1$B

931 δεῖ τόνδε θαλάμαις: καταδύσεις, θῆκαι, ἀγγεῖα κεράμεια, εἰς ἃ ἐμβάλλεταί τινα ἀπόρρητα καὶ εἰς γῆν τίθεται: — MTAB

ὁ τοκεύς: — M$^g$A$^g$

933 τὸ τοῦ φόνου αἷμα: — M$^g$A$^g$B$^1$

---

2 ὑπὸ A  4 γράψον A  ἕνεκα γῆς B  ἐναγῆ A  8 τῇ γὰρ] τῇδε A  μεγάλη M$^1$  καὶ om. M$^1$A  11 ἀποστρ B$^1$  14 χρή M$^g$  μοί ἐστι B  μαθητευμάτων M$^g$  19. 20 scholio quod praecedit adi. B$^1$ initio add. σε  20 τῆς] σῆς A  22 ἀντὶ τοῦ om. B  23 scholio quod praecedit adi. MTB  φυλάξασθαι TA$^g$  μὴ om. A$^g$  27 initio add. θαλάμαι AB  ἢ ἀγγεῖα B

γῇ δοῦναι χοάς: χοαὶ αἱ ἐκχύσεις αἱ ἐπιχεόμεναι τοῖς νεκροῖς: — MTA[g]B[1]

934 Κάδμου παλαιῶν Ἄρεος ἐκ μηνιμάτων: λείπει ἡ κατά· κατὰ Κάδμου. ὁ δὲ νοῦς· διὰ τὴν παλαιὰν μῆνιν τοῦ Ἄρεως τὴν κατὰ Κάδμου· ἐπ' ἐκδικίᾳ γὰρ τοῦ δράκοντος ἔτι καὶ νῦν μνησικακεῖ τοῖς περιλειφθεῖσι τῶν Σπαρτῶν ὁ Ἄρης, ἐπεὶ μὴ ἤμυναν τῷ δράκοντι γεγονότες ἐξ αὐτοῦ οὐδὲ τοῖς ἀδελφοῖς, ἔμειναν δὲ τοῦ Κάδμου φίλοι καὶ σὺν αὐτῷ ἔκτισαν τὴν πόλιν· ὁ δὲ Ἐχίων καὶ θυγατέρα Κάδμου ἔγημεν. ἀλλαχοῦ [frg. 178] δέ φησι ταῦτα ὑπὸ Διονύσου πεπονθέναι τὴν πόλιν: — MTAB

ζητοῦσι δέ τινες, εἴπερ ὠργίσθη ἡ Γῆ καὶ ὁ Ἄρης διὰ τὸν φόνον τοῦ δράκοντος, διὰ τί πάλιν κελεύει ὁ μάντις ἀπ' ἐκείνου τοῦ γένους σφαγῆναί ⟨τινα⟩. πρὸς τοῦτο ῥητέον ὅτι ἡ Γῆ ἀνέδωκε τοὺς Σπαρτοὺς πρὸς τὸ ἐκδικῆσαι τὸν φόνον τοῦ δράκοντος· οὗτοι δὲ οὐκ ἐξεδίκησαν, ἀλλὰ τοῖς Θηβαίοις ἐκοινώνησαν. καὶ γὰρ Ἐχίων εἷς ὢν τῶν Σπαρτῶν ἔγημεν Ἀγαύην τὴν Κάδμου. διὰ τοῦτο οὖν κελεύει ὁ μάντις ἐκ τοῦ γένους σφαγῆναί τινα, ἵνα τιμωρίαν παράσχωσι τῆς προδοσίας: — MTA

935 ὃς γηγενεῖ δράκοντι: ἐκδικεῖ τῷ δράκοντι τὸν φόνον: — MTAB

ἄλλως: διὰ τί, φασίν, ἐμήνιεν ὁ Ἄρης τοῖς Σπαρτοῖς· ὅτι οὐκ ἐβοήθησαν αὐτῷ, τῷ δράκοντι, οὐδὲ μετὰ ταῦτα ἐτιμώρησαν τοῖς ἀδελφοῖς, ἀλλ' ἔμειναν τοῦ Κάδμου φίλοι. αὐτοὶ γοῦν καὶ συνέκτισαν αὐτῷ τὴν πόλιν: — MTA

τιμωρίαν ἀπαιτεῖ: — M[1]A[g]

937 χθὼν δ' ἀντὶ καρποῦ καρπόν: καρποῦ τοῦ δράκοντος ἢ τῶν γηγενῶν· καρπὸν δὲ πάλιν τὸν Μενοικέα: — MTAB

ἐὰν ἡ Γῆ ἀντὶ τοῦ αἵματος τοῦ δράκοντος ἕτερον αἷμα λάβῃ, ἔσται τότε εὐμενὴς ὑμῖν. ἐλυπεῖτο δὲ ἡ Γῆ ὅτι γηγενεῖς ἦσαν. δεξαμένη

---

1 scholio quod praecedit adi. B[1] initio scripto χοάς δὲ ἐκχύσεις κυρίως τὰς ἐπιχεομένας   αἱ ἐπιχεόμεναι ἐκχύσεις T   4. 5 τοῦ κάδμου A   6. 7 γεγονότα M   7 οὐδὲ Münzel οὔτε MTAB   9. 10 cf. schol. vs. 1031   9 ταῦτα om. M τὰ TA   ὑπὲρ MT   11 εἴπερ A εἰ μὲν MT   13 πρὸς— ῥητέον om. M sed in margine habet λύσις ut supra ἀπορία   14 πρὸς τὸ] ἐπὶ τῷ A   15. 16 εἷς—σπαρτῶν post Κάδμου coll. A   16 ἀγανὴν T τὴν ἀγανὴν A   τὴν θυγατέρα TA   17 τινα] ἕνα A   τιμωρίαν] προδοσίαν A   21 τί] τοῦτο A   ἐμήνυεν T   οὐκ A οὐδὲ MT   22 μετὰ ταῦτα οὐδὲ MTA   23 γοῦν om. M   28 ἔστι A   29 ἡμῖν A   δὲ ἡ Γῆ om. M

οὖν τὸ αἷμα ἀντὶ τοῦ αἵματος, ὅ ἐστιν [καρπὸν ἀντὶ καρποῦ] ⟨ἀντὶ τοῦ⟩ ἰδίου τοῦ φονευθέντος τὸ τοῦ ἀπὸ τοῦ δράκοντος, εὐμενὴς ⟨ἂν⟩ γένοιτο: — MTA

938 ἕξετ' εὐμενῆ Γῆν: ἐλυπεῖτο γὰρ ἡ Γῆ ὅτι τῶν γηγενῶν Σπαρτῶν ἐδέξατο τὸ αἷμα: — MTAB

939 χρυσοπήληκα στάχυν: χρυσαῖς περικεφαλαίαις κεκοσμημένους ἄνδρας· οὕτως γὰρ ἀνεδόθησαν: — MTAB

940 ἐκ γένους δὲ δεῖ θανεῖν: ἀνάγκη δέ ἐστιν ἕνα τῶν ἐκ γένους τῶν Σπαρτῶν, ὅ ἐστι τοῦ δράκοντος, ἀποθανεῖν ὑπὲρ τῆς πατρίδος: — MTA

941 σιαγόνος: — $M^g A^g$

ἐκπέφυκε παῖς: λέγεται δὲ ἐν τῇ μάχῃ τοῦ Κάδμου πρὸς τοὺς Σπαρτοὺς περιλειφθῆναι πέντε. ἐξ ἑνὸς οὖν τούτων κατῆγεν ὁ πατὴρ τοῦ Μενοικέως Κρέων: — MTA

942 σὺ δ' ἐνθάδ' ἡμῖν: οἱ περιλειφθέντες τῶν Σπαρτῶν, ὡς Αἰσχύλος φησίν, ἦσαν Χθόνιος Οὐδαῖος Πέλωρ Ὑπερήνωρ Ἐχίων, ὃς ἔγημεν Ἀγαύην τὴν Κάδμου, ἐξ ἧς ποιεῖ Πενθέα, οὗ Ὄκλασος, οὗ Μενοικεύς, οὗ Κρέων καὶ Ἰοκάστη: — MTAB

943 ἀκέραιος ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο: καὶ ἀπὸ πατρός· ἀντὶ τοῦ ἑνικοῦ τὸ πληθυντικὸν εἶπεν: — M

ἄλλως: ἀληθὴς ὢν ἔκγονος τῶν Σπαρτῶν καὶ ἀπὸ μητρὸς καὶ ἀπὸ πατρός: — MTA

ἄλλως: ἀντὶ τοῦ καθαρὸς καὶ ἀνεπίληπτος καὶ ἀληθὴς ἀπόγονος τῶν Σπαρτῶν. τὸ δὲ ἔκ τε μητρὸς ἀρσένων τ' ἄπο ἀντὶ τοῦ ἑνικοῦ τὸ πληθυντικὸν εἶπεν, ἀντὶ τοῦ ἀκέραιος καὶ ἀπὸ πατρός: — MTAB

944 Αἵμονος: ὁ Αἵμων, φησίν, ὁ πρεσβύτερός σου υἱὸς διὰ τὸ μεμολύνθαι τῇ μνηστείᾳ οὐ σφαγήσεται· ἀφθόρου γὰρ ἀνδρὸς χρεία: — MTAB

---

2 ἰδίου—γένοιτο] ἵλεως ἔσεται A   τὸ τοῦ] τοῦ MT   γένοιτο M ἐγένετο T   4 τῶν om. A   5 ἐδέετο M   τὸ om. A   7 ἄνδρας om. M   9 τῶν om. A   13 πέντε] ἕνα A   κατήγαγεν T   15. 16 ὡς Αἰσχύλος φησίν referas ad Sept. 395 cl. schol. vs. 670 Ap. Rh. III 1179 Apollod. III 4, 1, 5 Paus. IX 5,3   16 $πέλ^{ω}$ M πέλωρος TAB   17 ἀγανὴν TA   ὁ κλάσας B   20 ἑνικὸν M   21 ἔγγονος T   καὶ] ὡς A   μητρὸς] πατρὸς T   22 ἀπὸ om. TA   πατρός] μητρός T   23 ἀντὶ τοῦ om. A   ἀνεπίπληκτος B   ἀληθῶς M   25 ἀντὶ τοῦ om. A   in fine add. καὶ ἀπὸ μητρὸς A   27 μεμολυνθῆναι M

945 θάνατον κωλύουσιν: — M$^g$A$^g$

946 κεἰ μὴ γὰρ εὐνῆς ἥψατ': ἢ καθὸ ἐμνηστεύσατο, ἢ ἐπεί, ὡς λέγουσι, λάθρα αὐτῇ συνῆλθε. τοῦτον δὲ ὡς μάντιν εἰδότα εὐφήμως εἰπεῖν: — MTAB

ἀλλ' ἠγγύηται πρὸς γάμον: — M$^g$B$^1$

947 παιδίον: — M$^g$A$^g$

τῇδ' ἀνειμένος πόλει: ἀντὶ τοῦ ἱερωθεὶς καὶ σφαγεὶς ὑπὲρ τῆς πόλεως: — MM$^g$TAB

ἄφετος ἀπολελυμένος: — M$^g$

949 πικρὸν δ' Ἀδράστῳ: μόνος γὰρ ἐσώθη τῶν στρατηγῶν· διὸ εἶπε νόστον. πικρὸν δὲ διὰ τὴν λύπην τῶν συνεστρατευμένων: — MTAB

950 κατὰ κοινοῦ τὸ θήσει· ποιήσει θανατηφόρον μοῖραν: — M$^g$

951 ἐνδόξους: — M$^g$A$^g$

τοῖνδ' ἑλοῦ δυοῖν πότμοιν: τοῖν δυοῖν πότμοιν τὸν ἕτερον ἑλοῦ, ἢ τοῦ παιδὸς τεθνηκότος σῶσαι τὴν πόλιν, ἢ τῆς πόλεως καταστραφείσης σῶσαι μὲν τὸν υἱόν· οὐ μὴν οὐδ' αὐτὸν σώσεις· μετ' οὐ πολὺ γὰρ καὶ αὐτὸς μετὰ τῆς πόλεως ἀπολεῖται: — MTA

ἐπίλεξαι: — M$^g$A$^g$

954 τῇ μαντικῇ τῇ διὰ πυρός: — M$^g$A$^g$

955 ὁ μὲν ἀντὶ τοῦ γάρ: — M$^g$A$^g$B$^1$

956 ἐχθρός: — M$^g$A$^g$

957 ψευδῆ λέγων ὑπὸ τῆς ἐλεημοσύνης: — M$^g$TA$^g$

ἤτοι τοῖς μαντευομένοις: — M$^g$T

958 ἀδικεῖ τὰ τῶν θεῶν: ἀδικεῖ εἰς θεοὺς ψευδόμενος καὶ κρύπτων τὸ ἀληθές: — MAB

959 μαντεύεσθαι: — M$^g$A$^g$

960 Κρέον, τί σιγᾷς: τὴν φωνὴν ἄηχον ἐπισχὼν καὶ οὐκέτι φθεγγόμενος, ὡσεὶ ἔλεγεν· οὐ σιωπῆς σοι καιρὸς ἀκούσαντι τοιαῦτα, ἀλλὰ βουλεύσασθαί τι καὶ πρᾶξαι: — MTAB

---

2 initio ἢ om. A  3 ὡς om. M καὶ T  post λέγουσι add. ὅτι M  αὐτῇ om. B  οὗτοσ A  δὲ om. T  3. 4 μάντισ εἰδὼσ ἐφήμωσ εἶπεν A  7. 8 scholio 2—4 adi. B initio add. ἀνειμένοσ δὲ πόλει  7 ἀντὶ τοῦ om. A  καὶ σφαγεὶς om. B  σφαγιασθεὶσ M$^g$TA  7. 8 τῆι πόλει ταύτῃ M$^g$AB  τῇ πόλει αὐτῇ T  11 στρατευομένων MT συστρατευσάντων A συστρατευσαμένων B  16 τῆς om. M  17 δ' οὐδ' A δ' M  18 ἀναιρεῖται A  24 ἤτοι] ἢ τοῦτο T τοῦτο M$^g$  in fine add. ἀδικεῖ M$^g$T  25. 26 initio add. ἀντὶ τοῦ B  28 τὴν B τί MTA  29 ὡσεὶ] οἷεῖ M  σοι om. A

ἄηχον: — $M^g$

ἀποκλείσας ἀποκόψας: — $M^g$

σχάσας: μεταφορικῶς, ἀντὶ τοῦ ἀποκόψας ἀποκλείσας. ἄφθογγον δὲ ἀντὶ τοῦ ἄηχον: — AB

961 κἀμοὶ γὰρ οὐδὲν ἧττον: κἀγὼ γάρ σοι οὐδὲν ἧττον συναλγῶ· ἀλλ' οὐ σιωπῆς, βουλῆς δὲ μᾶλλον καιρός ἐστιν· διὸ ἔδει λέγειν: — MTAB

ἀντὶ τοῦ πάρεστιν: — $M^g$

962 λείπει τὸ πρᾶγμα: — $M^gA^g$B

963 νῦν λύπης: — $M^gA^g$

964 ἀντὶ τοῦ παραθεῖναι: — $M^gA^g$B

966 εἰς τὸ φονευθῆναι: — $M^gA^g$

οὐδ' ἂν τὸν αὐτοῦ παῖδά τις δοίη κτανεῖν: τὸ ἑξῆς ἐν εἰρωνείᾳ. αὐτὸς δὲ θνήσκειν ἕτοιμος· ἐν καιρῷ γάρ ἐσμεν τοῦ ἀποθνήσκειν. γέροντες ἐσμέν: — MTA

967 μή μ' εὐλογείτω: ὡς δόξαν μέλλοντα ἔχειν τὸν υἱὸν ὑπὲρ τῆς πόλεως δεδωκότα: — MT$A^g$B

968 αὐτὸς δ' ἐν ὡραίῳ: ἐγὼ δὲ αὐτὸς ἐν τῷ καιρῷ τῆς τελευτῆς ὑπάρχω γέρων ὤν: — M

καιρὸν ἔχω τοῦ θανάτου: — $M^gA^g$B

γράφεται ἵσταμαι: — $B^i$

969 πατρίδος ἐκλυτήριον: λύτρον ὑπὲρ τῆς πατρίδος: — MT$A^gB^i$

ἀπολυόμενος τὴν πατρίδα τῶν περιεστώτων αὐτῇ κακῶν: — MTB

970 ἄγε δή: — $M^g$

971 ἀκόλαστ' ἐάσας: τὰ τολμηρὰ καὶ προπετῆ, τὰ μὴ ὑποπίπτοντα κολάσει, μετ' ἐξουσίας λεγόμενα: — MTAB

---

3 post μεταφορικῶς add. ἀποσχάσας A    ἀντὶ τοῦ om. B    5 γάρ om. B    σοι οὐδὲν B  οὐδέν σοι TA  οὐδὲν M    5. 6 συναλγῶ] σου ἀλγῶ M    6 καιρὸς μᾶλλον AB    λαλεῖν B    in fine add. σε B    9 in fine add. δῆλον πρᾶγμα $A^g$  δῆλον τὸ πρᾶγμα B    11 in fine add. πόλει $M^g$    14 αὐτὸν T    δὲ δὴ A    γάρ ἐσμεν om. T    16. 17 nihil nisi ὡς ὑπὲρ τῆς πόλεως τὸν υἱὸν δεδωκότα habet B    16 initio add. ἐπαινείτω $A^g$

20 ἔχω τοῦ] ἔχον $M^g$  ἔχοντι $A^g$  ἔχοντι τοῦ B    22 τῆς om. $B^i$
26 τὰ—καὶ om. A    τὰ om. B  ἀντὶ T    καὶ om. TB    τὰ] καὶ M
27 ἐξουσίας δὲ B

ἀνεξέταστα, ἀβασάνιστα, τόλμης γέμοντα: — $M^gTA$

973 λέξει γὰρ ἀρχαῖς: τοῖς ἄρχουσι δηλονότι. ἤρκει οὗτος· ὁ γὰρ ἐπιφερόμενος πύλας ἐφ' ἑπτὰ καὶ λοχαγέτας μολὼν περιττός ἐστιν: — MTAB

καὶ στρατηλάταις τάδε: τοῖς ἡγεμόσι, τοῖς βασιλεῦσιν: — $MM^iA^g$

974 πύλας ἐφ' ἑπτά: ἐπὶ τοὺς στρατηλάτας μετελθών: — $MM^i$

975 προλάβωμεν: — $M^gA^gB^i$

976 βραδύνῃς: — $M^gA^gB^i$

978 μακράν: — $M^gA^g$

979 ἐκπονεῖν δ' ἐμέ: ἀνύειν ἐκπληροῦν: — $MA^gB$

980 παρελθὼν τοὺς Δελφοὺς φεῦγε: — $M^iA^g$

ποῖ με χρὴ πάτερ μολεῖν: ἐκ τῶν Δελφῶν δηλονότι. εἰς οὐδὲν χρήσιμον τοπογραφεῖ. μᾶλλον δὲ αὐτὸν ἐχρῆν σκοπεῖν ὅπως τῶν πολεμίων παρακαθεζομένων λήσεται ὁ Μενοικεὺς φεύγων: — MTAB

981 ὄνομα ἔθνους, ἀπὸ Αἰτωλοῦ οἰκιστοῦ: — $M^i$

ἐκ τῆς Αἰτωλίδος γῆς: — $M^iA^g$

982 ἔθνος Θεσσαλίας, ἀπὸ Θεσπρωτοῦ τοῦ Διός: — $M^iAB^g$

σεμνὰ Δωδώνης βάθρα: τὰ σεβάσμια τῆς Δωδώνης θεμέλια: — MTAB

ἐν τῇ Θεσπρωτίᾳ, φησίν, ὅπου τὰ τῆς Δωδώνης βάθρα· Δωδώνη γὰρ ἐγγὺς Θεσπρωτίας, ἐν ᾗ Διός ἐστιν ἱερόν: — MTA

983 ἀποφατικῶς. ἐγνώρισας: — $M^i$

φύλαγμά μοι γενήσεται, ὅ ἐστι· ποία με πόλις δεξαμένη σώσει: — $M^iA^gB$

984 πόμπιμος ὁ δαίμων: αὐτός, φησίν, ὁ Ζεύς πέμψει σε, χρησμῳδήσας δηλονότι ποῖ δεῖ σε σταλέντα σωθῆναι: — MT

† ἐκεῖνος ὁ θεός, ὁ Ζεύς, μαντεύσεται ποῖ δεήσει οἰκεῖν: — B

εὐπορία: — $M^gA^g$

985 ἐγὼ πορεύσω χρυσόν: ἀποστείλω. εἴποι δ' ἄν τις·

---

1 initio add. ἀτελῆ A  2 ἤρκει δὲ B  εἴπει M  2. 3 οὗτος om. A  3 γὰρ ὁ A  πύλαις T  μολὼν om. T  4 περιττός ἐστι post ἐπιφερόμενος coll. B om. M  10 ἀντὶ τοῦ ἀκούειν B  πληροῦν $MA^g$  12 post Δελφῶν add. περάσας B  13 οὐδὲν δὲ B  14 παρακαθιζομένων B  λήσει B  φεύγων ὁ μενοικεὺς B  φεύγων om. A  17 τοῦ om. A  20. 21 scholio quod praecedit adi. MTA  23 πόλις με B  25 ante ὁ ins. ὁ δαίμων ὅ ἐστιν T  παραπέμπει T  26 δέει T  27 μαντεύεται B

ἕως οὗ ἀποστείλῃς τὸν χρυσόν, πόθεν ἕξει τὰ ἀναγκαῖα ἐφόδια: — MTAB

986 ὡς σὴν πρὸς κασιγνήτην: πρὸς τὴν σὴν ἀδελφὴν ἀπελθών· πλεονάζει γὰρ τὸ ὡς: — MTAB

ἄλλως: πρῶτον, φησί, πρὸς τὴν σὴν ἀδελφὴν θέλω ἀπελθεῖν, ἥτις με ἀνέθρεψε στερηθέντα τῆς μητρός: — MTA

988 μητρὸς στερηθείς: ἐναντίως ἱστορεῖ Σοφοκλῆς. μετὰ γὰρ θάνατον Μενοικέως ἡ μήτηρ αὐτοῦ ζῇ, ὡς ἐν Ἀντιγόνῃ φησί [1180]· 'καὶ μὴν ὁρῶ δάμαρτα τὴν Κρέοντος': — TAB

989 προσηγορήσων εἶμι: προσηγορήσων αὐτὴν εἶμι καὶ σώσων τὸν βίον: — MTAB

ἄλλως: σώσων τὴν πόλιν· οὐ γάρ, ὡς ὁ πατὴρ ᾤετο: — MTAB

990 ἀλλ' ἄγε δή: — $M^lM^gA$

·σπεῦσον ἄπελθε· μὴ σαυτὸν ἐμπόδιζε πρὸς τὴν σωτηρίαν: — $M^gAB$

992 κλέψας λόγοισιν: ἀπατήσας παραλογισάμενος: — $MA^g$

τὸ ἑξῆς· εἷλον ἃ βούλομαι τυχεῖν: — $MA^gB^i$

993 ὅς μ' ἐκκομίζει πόλιν: ἐκπέμπει τὴν πόλιν τῆς εὐτυχίας ἀποστερῶν: — MA

φυγαδεύει ἐκπέμπει: — $M^gA^gB$

τῆς εὐτυχίας: — $M^gA^g$

994 λείπει τὸ ἐμέ· ⟨ἐμὲ⟩ δίδωσιν: — $M^g$

996 ἐγέννησεν: — $M^gA^g$

997 ἵνα οὖν: — $M^lA^g$

999 αἰσχρὸν γάρ· οἱ μὲν θεσφάτων: αἰσχρὸν γάρ, εἰ οἱ μὲν καὶ ἄνευ θεσπισμάτων μάχονται καὶ οὐ δι' ἀνάγκην δαιμόνων· αὐτὸς δὲ ἠναγκάζετο διὰ τὴν μῆνιν τῶν θεῶν: — MTA

† ἀντὶ τοῦ· οὐκ εἰς μαντείαν καλούμενοι· αὐτὸς γὰρ ἠναγκάζετο διὰ τὴν μῆνιν τῶν θεῶν. λείπει τὸ εἰ· εἰ οἱ μὲν ἄνευ μαντείας μάχονται: — B

οἱ μὲν μαντείας ἀπηλλαγμένοι: — $M^gA^g$

1006 τὸν Ἥλιόν φησι, τὸν ἄστρων δεσπότην: — $M^gA^g$

---

1 ἀποστείλῃ A τὸν χρυσὸν om. A ἕξοι A 3. 4 ἐπελθὼν M ἄπελθε B 4 γὰρ om. A 6 στερηθέντος T 8 ὡς καὶ A φησί om. A 9 καὶ μὴν] ὡς μὴ A τοῦ A 10 παρηγορήσων T εἶμι αὐτὴν M εἶμι καὶ εἶμι TA 14 μὴ σὺ B σαυτὸν om. A πρὸς om. A τὴν σὴν A 19 in fine add. ὑπεξάγει τῆς πόλεως τῆς εὐτυχίας ἀποστερῶν με B 24 εἰ om. T ὅτι A 25 δὲ] γὰρ A

μὰ τὸν μετ' ἄστρων Ζῆν' Ἄρην τε: τὸν Ἥλιόν φησι καὶ τὸν Ἄρην τὸν τοῦ ἐμοῦ φόνου αἴτιον: — MB

1007 ἀνατείλαντας: — $M^gA^gB^g$

1008 ὁ γὰρ Ἄρης αἴτιος τῶν Σπαρτῶν δράκοντα καταστήσας αὐτόθι φύλακα τῆς κρήνης, ἐξ οὗ τῶν ὀδόντων οἱ Σπαρτοί: — MTAB

δεσπότας κατέστησεν: — $M^iTAB^i$

ἀπὸ κοινοῦ τὸ οὐκ ἄπειμι ἔξω χθονός: — $M^iTAB^i$

1009 ἀλλ' εἶμι: οὐκ ἐκφεύξομαι, ἀλλ' εἶμι πρὸς θάνατον ἐξ ἐπάλξεων ἄκρων: — MTAB

τῶν λίθων τῶν ἐπάνω τοῦ τείχους: — $M^gA$

1010 σφάξας ἐμαυτόν: διαφέρει σηκὸς καὶ ἄδυτον. ὁ μὲν γὰρ σηκὸς ἐπὶ ἀνθρώπου, τὸ δὲ ἄδυτον ἐπὶ θεοῦ: — $MTAB^i$

Σωσιφάνης ὁ τραγικὸς [frg. 4] ὑπὸ τοῦ Λαΐου φησὶ τεθνηκέναι τὸν Μενοικέα· Νικόστρατος [FHG IV p. 466] δὲ ὑπὸ τῆς Σφιγγός: — MTAB

τὸ ἑξῆς· εἰς τὸν σηκὸν σφάξας ἐμαυτὸν ἀπὸ τειχέων, ὡς τοῦ σηκοῦ πλησίον τοῦ τείχους ὄντος: — MTAB

σπήλαιον: — $M^gA^g$

μέλανα σκοτεινόν: — $M^gA^g$

1011 ὁ Τειρεσίας: — $M^gA^gB$

ἐκέλευσεν: — $M^g$

δεῖ τόνδε θαλάμαις, οὗ δράκων ὁ γηγενὴς ἐγένετο Δίρκης ναμάτων ἐπίσκοπος, σφαγέντα φόνιον αἷμα γῇ δοῦναι χοάς [931]: — B

1013 στείχω δὲ θανάτου: λείπει ἡ διά· διὰ θανάτου δῶρον παρέξω τῇ πόλει οὐκ αἰσχρόν: — $MTAB^i$

---

1. 2 καὶ τὸν Ἄρην om. B   2 τὸν αἴτιον τοῦ ἐμοῦ φόνου B   4. 5 scholio 1. 2 adi. MB, om. ὁ γὰρ Ἄρης et ins. ἄρη δὲ φοίνιον ἐπειδὴ οὗτοσ B   5 φύλακασ M   6 δεσπόταα ἔστησεν $M^g$ κατεστήσατο δεσπόταα $B^i$ κατεστήσατο T   7 scholio quod praecedit adi. TA, add. δὲ post κοινοῦ T   8 οὐκ ἐκφεύξομαι om. TA   ἄπειμι TA   πρὸς om. TA   θανάτου A θάνατον τῶν T   ἐξ om. B   10 ἐπάνω A ἐξεπάλξεων $M^g$   11 γὰρ om. A   12 τάφου ἀνθρώπου B   13. 14 scholio quod praecedit adi. M add. δὲ post Σωσιφάνης   13 τωγικοσ M   τοῦ om. A   15. 16 scholio quod praecedit adi. MTA, add. δὲ post τὸ MT om. τὸ ἑξῆς A   15 εἰς τὸν σηκὸν om. M   ἐμαυτὸν] ἐμβῶ τῶν A   τῶν τειχέων AB   21—23 scholio 19 adi. B   22 δοῦναι γῆι B   24 ἡ] τὸ $B^i$   διὰ ἡ διὰ TA   θανάτου μου A   25 παράσχω M   τῆι πόλει post δῶρον coll. $B^i$

1015 εἰ γὰρ λαβὼν ἕκαστος: εἰ ἕκαστος ὃ κατὰ δύναμιν εἶχεν ἀγαθὸν εἰσέφερε τῇ πατρίδι, ἐκτὸς ἂν ἦσαν κακῶν αἱ πόλεις: — $MTAB^i$

κτησάμενος: — $M^gA^g$

1016 διέλθοι τοῦτο: μεταχειρίζοιτο καὶ εἰς μέσον φέροι. τουτέστι διεξέλθοι καὶ μεταχειρίζοιτο: — MTA

διεξέλθοι καὶ εἰς μέσον φέροι: — $M^g$

1018 ἀποπειρώμεναι: — $M^gA^g$

1019 ἔβας ἔβας ὦ πτεροῦσσα: πρὸς οὐδὲν ταῦτα· ἔδει γὰρ τὸν χορὸν οἰκτίσασθαι διὰ τὸν θάνατον Μενοικέως ἢ ἀποδέχεσθαι τὴν εὐψυχίαν τοῦ νεανίσκου. ἀλλὰ τὰ περὶ Οἰδίπουν καὶ τὴν Σφίγγα διηγεῖται τὰ πολλάκις εἰρημένα: — MTAB

πτεροφόρε: — $M^gA^g$

Γᾶς λόχευμα: γέννημα· ἐκ γῆς γὰρ ἀνεδόθη: — $MM^gA^g$

Γᾶς λόχευμα: γέννημα. ἀντὶ τοῦ ὦ πτεροφόρε. γῆς γέννημα: — TAB

† ἄλλως: παρόσον ὅτι ἐν ὄρεσι διατρίβουσα τὸ πρὶν καὶ μὴ φαινομένη ἐξαίφνης ἐπέστη τοῖς Θηβαίοις, διὰ τοῦτο ἔδοξεν οἷον ἐκ γῆς ἀναδοθῆναι: — A

† ἐπορεύθης, ὦ πτερωτή, γῆς θρέμμα καὶ γέννημα: — $B^i$

1020 γέγονε γὰρ ἡ Σφὶγξ Ἐχίδνης καὶ Τυφῶνος: — $MM^iAB$

† οὗτος δὲ ὁ Τυφὼς εἷς ἦν τῶν Τιτάνων, οὓς ὁ Ζεὺς ἐκεραύνωσε· καὶ αὐτὸν δὲ ἐν τῷ Αἴτνῃ κατεκεραύνωσεν. ὅθεν ἔκτοτε ἐν τῷ Αἴτνῃ τὸ πῦρ ὑπανάπτεται: — A

ἐπεὶ ἡ Ἔχιδνα ὑπὸ γῆς κατῴκει: — $TA^gB^i$

1021 Καδμείων ἁρπαγᾶ: λείπει ἡ ἐπί· ἐπὶ ἁρπαγῇ τῶν Θηβαίων: — $MM^gA^gB^i$

1022 πολλοὺς φθείρουσα: — $M^gA^g$

ἐπεὶ τὰ μὲν παρθένου εἶχε, τὰ δὲ θηρίου: — $A^gB$

1023 πολέμιον σημεῖον: — $M^gA^gB^i$

---

1 εἰ om. TA εἰ γὰρ $B^i$ ἕκαστος φησὶν $B^i$ 2 ἀγαθὰ T εἰ εἰς ἓν ἔφερε A τῇ πόλει M κακῶν] πᾶσαι κακοῦ $B^i$ 5 in fine add. τοῦτο A 9 διά] καὶ B τοῦ μενοικέως TA 10 εὐτυχίαν TAB οἰδίπου MTA τῆς σφιγγὸς MTA 10. 11 διηγοῦνται B 14. 15 scholio 8—11 adi. B initio add. λόχευμα δὲ γῆς γέννημα om. B 20 scholio 13 adi. M, scholio 14. 15 B scripto ἡ δὲ σφὶγξ γέγονεν ἐγέγονε M 21—23 scholio quod praecedit adi. A 24 ἐπειδὴ $B^i$ γῆν $B^i$ 28 scholio 20 adi. B initio add. μιξοπάρθενον δὲ ἐπειδὴ B

1024 συναλοιφὴ ἀπὸ τοῦ φοιτήεσιν: — $M^{g}A^{g}B^{1}$

μεμηνόσιν: — $M^{g}A^{g}$

† φοιτᾶσιν: ὁρμητικοῖς, φοιτητικοῖς, οἷς ἐφοίτα καὶ διίπτατο: — TA

† ἄλλως: ἥτις γάρ, ἡ Σφίγξ, ἐν τοῖς πανταχοῦ πετομένοις σου πτεροῖς καὶ ἐν ταῖς σιαγόσιν ὠμὰ τὰ σώματα σιτουμέναις μετεωρίζουσα καὶ ἐξαίρουσα καὶ ἁρπάζουσα ἐκ τῶν Διρκαίων τόπων, ἤτοι ἀπὸ τῶν Θηβῶν, τοὺς νέους διὰ τὴν ἄλυρον καὶ ἀνήδυντον καὶ ἀνάρμοστόν σου μοῦσαν, ἤτοι διὰ τὸ αἴνιγμά σου, καὶ τὴν τιμωρίαν, τὴν ἀπώλειαν, τοῖς ἀνθρώποις ἐμποιοῦσαν ἔφερες ἄχεα τῇ πατρίδι φόνου προξενητική: — A

1025 χαλαῖσί τ' ὠμοσίτοις: τοῖς ὄνυξι τοῖς ὠμὰ κρέα ἁρπάζουσι πρὸς σίτησιν: — MTAB$^{1}$

νῦν σιαγόσιν: — $M^{g}A^{g}$

ὠμὰ σιτουμένοις: — $M^{g}A^{g}$

1026 ἐκ μέρους τὸ πᾶν· ἀντὶ τοῦ ἀπὸ τῶν Θηβῶν: — $M^{1}A^{g}B$

ἥτις ποτέ, ⟨ἡ⟩ Σφίγξ: — $M^{1}A^{g}$

1027 πεδαίρουσα: ἀπὸ τοῦ πεδίου μετεωρίζουσα καὶ αἴρουσα εἰς ὕψος: — TAB

1028 ἄλυρον ἀμφὶ μοῦσαν: ἄλυρον μοῦσαν τὸν θρῆνον παρόσον πρὸς αὐλόν, οὐχὶ πρὸς λύραν, ᾔδοντο οἱ θρῆνοι, ἱερὰν Ἀπόλλωνος νομιζομένην· ἀπενθὴς δὲ θεὸς Ἀπόλλων. Αἰσχύλος [Ag. 1027]· 'τί ταῦτ' ἀνωλόλυξας ἀμφὶ Λοξίου· οὐ γὰρ τοιοῦτος ὥστε θρηνητοῦ τυχεῖν'.

ἡ ἀμφί δὲ πρὸς τὸ ἔφερες: — MTAB

† τουτέστι· περιέφερες καὶ περιῆγες ἄναυλον καὶ ἀνήδονον ᾠδήν. λέγει δὲ τὸ αἴνιγμα: — AB

ἢ διὰ τοὺς γενομένους θρήνους ἢ διὰ τὰ αἰνίγματα: — $M^{g}A^{g}B^{1}$

1029 ἀπολομένην ἀπώλειαν: — $M^{1}A^{g}$

1030 ἔφερες ἔφερες: ὦ Σφίγξ ἥτις † Ἐρινὺς ἄχεα ἧς τῇ

---

1 φοιτήσεσι $M^{g}B^{1}$ 3 ἐφίπτατο καὶ διεφοῖτα T 6 πότων A 9 ἔφερεν A 11. 12 scholio 1 adi. B$^{1}$ initio add. χαλαῖσι δὲ 11 ὄνυξι] ὀρνέοισ M τὰ κρέα B$^{1}$ 12 σίτισιν TAB$^{1}$ 13 cf. Hesych. s. v. χηλή 15 ἀπὸ] ἐκ B 17 ἀντὶ τοῦ ἐκ τοῦ B 20 ᾖδον τὸν θρῆνον T ἱερὰ T ἱεροὶ M 21 νομιζόμενοι MT ὁ ἀπόλλων M Αἰσχύλος om. T 22 ἀνωτότυξας Aeschylus θρηνεῖν M θρηνεῖν τοῦ T θρηνειτοῦ A 23 ἔφερε B 24. 25 scholio quod praecedit adi. AB 24 καὶ (prius)] ὡσ A 26 γινομένουσ B$^{1}$ τὸ αἴνιγμα B$^{1}$ 28 Ἐρινὺν ἔφερες? ἣν MTA

πατρίδι. ἢ καὶ Ἐρινὺν καὶ ἄχεα [φόνους λέγει ταῖς Θήβαις]. ἀντὶ τοῦ· τὰ λύπης αἴτια καὶ φόνου κατὰ τῆς πατρίδος ἔφερες: — MTA

φόνους λύπας ταῖς Θήβαις: — $M^{1}A^{g}B^{1}$

1031 φόνια φόνιος ἐκ θεῶν: τινὲς τὸ φόνια πρὸς τὸ ἑξῆς· ὃς τάδε τὰ φόνια πράξας ἦν, φόνιος ὁ θεός: — $MTAB^{1}$

ἄλλως: ὁ ἐκ θεῶν ταῦτα πράξας φόνιος ἦν αὐτός: — $MTAB^{1}$

παρόσον τὴν Σφίγγα ὁ Διόνυσος ἔπεμψε τοῖς Θηβαίοις ὡς † ἐναντίον λέγειν: — $M^{1}A^{1}$

1033 ἰάλεμοι: οἱ δὲ θρῆνοι ἐστενάζον⟨το⟩ ἐν τοῖς οἴκοις. ἔνιοι δὲ οὕτως· αἱ δὲ ἰάλεμοι τῶν παρθένων καὶ τῶν μητέρων ἐστέναζον ἐν τοῖς οἴκοις πενθοῦσαι αἱ μὲν τὰ τέκνα, αἱ δὲ τοὺς ἀδελφούς: — MTAB

1035 † ἐστέναζον: καὶ ἐστενάζοντο οἱ ἰάλεμοι, θρῆνοι, τῶν μητέρων καὶ τῶν πατέρων διὰ τὴν βοὴν καὶ τὴν λαλιὰν τῆς Σφιγγὸς τὴν ἰήιον καὶ λοξήν, παρόσον ὁ ἰήιος ὕμνος τῷ Λοξίᾳ Ἀπόλλωνι ᾄδεται.

ἢ οὕτως· ἐστέναζον ἰάλεμοι τῶν πατέρων καὶ τῶν μητέρων ⟨ἰήιον βοήν⟩, ἤτοι τὴν θρηνητικήν. τὸ γὰρ ὦ τὸ σχετλιαστικὸν λέγεται καὶ ἰώ καὶ ἰή. εὑρίσκεται γὰρ ἐν τοῖς ποιηταῖς οὕτως, ἰὴ ἰή, ὡς τὸ ἰὼ [καὶ] ἰώ: — A

1036 ἰήιον μέλος: θρηνητικὴν βοήν. ἐπὶ μὲν θρήνων ψιλοῦται, ἐπὶ δὲ παιάνων δασύνεται: — MTAB

ἐθρήνει θρηνητικὴν βοήν: — $M^{g}A^{g}$

† παιάνιον φωνήν. παιὰν δέ ἐστιν ᾆσμα ᾀδόμενον ἐπὶ καταπαύσει λοιμοῦ ἢ δεινῶν τινων: — $B^{1}$

1039 ὁ δὲ στεναγμὸς βροντῇ ἦν ὅμοιος: — $M^{1}A^{g}B^{1}$

1041 ἁρπάσειεν, οἷον· ὅταν ἀφαρπάσειεν ἡ Σφὶγξ τινα τῶν ἀνδρῶν ἀπὸ τῆς πόλεως, θρῆνος καὶ βοὴ ἐγίνετο: — $M^{1}TA^{g}$

1 φόνου MT φόνον A pro λέγει scribas λύπας, dittographiam habebis scholii 3 τὰσ θήβασ A 2 τοῦ—καὶ] τὰσ λύπασ ἀρτίασ ἐπὶ T τὰσ λύπασ τὰσ ἐπὶ A post φόνου ins. γενομένασ TA κατὰ] καὶ M 4 τινὲς—ἑξῆς om. M φόνιον TA τὰ $B^{1}$ 5 ὅς] ὁ M φόνιοσ ἦν $MTAB^{1}$ 6 ὁ om. $B^{1}$ 7 αὐτὸσ φόνιοσ ἦν $B^{1}$ οὗτοσ A 7. 8 schol. Hesiod. Theog. 326 Λύκος .. ἐν τῷ περὶ Θηβαίων αὐτὴν ὑπὸ Διονύσου πεμφθῆναί φησι .. ὡς ἐν Ἀντιγόνῃ λέγει Unger parad. Theb. p. 386 ἐκεῖνον αἴτιον λέγει Münzel 9 ἐστενάζοντο om. M 10 ἔνιοι—ἰάλεμοι om. M 10. 11 ἐστέναζον γὰρ M 11 τοὺς om. B 15 ἤιον A ἤιοσ A 20. 21 scholio 9—11 adi. B initio add. ἰήιον δὲ βοάν 20 διὸ ἐπὶ B μὲν οὖν A 21 παιωνων B 25 ἐφόμοιοσ $B^{1}$ 26 οἷον $M^{1}$ οἷ T ἡ Ag 27 τί γινεται $M^{1}$ γίνεται T

1043 Πυθίαις ἀποστολαῖσιν: ἀντὶ τοῦ ὑπὸ Πυθίου ἀπεσταλμένος. κατὰ χρησμὸν γὰρ τούτου ἦλθεν εἰς Θήβας: — MTA

ταῖς τοῦ Ἀπόλλωνος παραπομπαῖς: — $M^{g}A^{g}$

1044 Οἰδίπους ὁ τλάμων: πυνθανομένῳ γὰρ Οἰδίποδι περὶ τῶν γονέων ἔχρησεν αὐτῷ ὁ θεὸς ὡς ἀποκτείνας τὸν πατέρα γαμήσει τὴν μητέρα. διὸ εἰς Θήβας ἦλθεν, οὐκ εἰς Κόρινθον, φοβούμενος μή πως Πόλυβον φονεύσας γαμήσῃ Μερόπην: — MTAB

1046 τότ' ἀσμένοις: διὰ τὸ λῦσαι τὸ αἴνιγμα. πάλιν δὲ ἄχη συνάπτει διὰ τὸν γάμον τῆς μητρὸς καὶ τὰ λοιπά: — $MTAB^{i}$

ὁ αὐτὸς δὲ πάλιν, φησί, καὶ λύπας αὐτοῖς προσετρίψατο γήμας τὴν μητέρα καὶ φύσας τοὺς περὶ Πολυνείκην ἐξ ἀνόμων γάμων, οἳ νῦν διὰ τὰς τούτου ἀρὰς εἰς ἀγῶνα καὶ πόλεμον κατέστησαν. τὸ δὲ ὕστερον γενόμενον προανεφώνησεν· οὐ γὰρ εὐθὺς ὡς ἐπεδήμησεν ἄσμενοι αὐτὸν εἶδον, ἀλλ' ὅτε ἔλυσε τὸ αἴνιγμα. λείπει δὲ τὸ ἦλθεν: — MTA

ἀπὸ κοινοῦ τὸ συνάπτει· ⟨συνάπτει⟩ ἄχη: — $M^{i}B^{i}$

1049 καλλίνικος ὢν αἰνιγμάτων: τὸ ἑξῆς· καλλίνικος γὰρ ὢν τῶν αἰνιγμάτων τῆς Σφιγγὸς γάμους συνάπτει τῇ μητρί: — MTAB

νικηφόρος ὢν τῶν ἀσαφῶν λόγων τῆς Σφιγγὸς συνάπτει γάμους κακοὺς τῇ μητρὶ αὐτοῦ: — $M^{i}TA^{g}$

1051 τὴν πόλιν ἐξ αἱμάτων ἀμείβει: — $M^{g}$

δι' αἱμάτων δ' ἀμείβει: τὴν πόλιν δι' αἱμάτων ἐναλλάσσει. τὸ δὲ ἀμείβει ἀμείβεσθαι ποιεῖ ἐμβαλὼν διὰ καταρῶν τοὺς παῖδας εἰς φιλονεικίαν: — MTAB

ἄλλως: τὰ πρῶτα κακὰ δι' αἱμάτων ἤλλαξε δευτέρῳ φόνῳ ἐμβαλὼν τοὺς παῖδας διὰ τῶν καταρῶν εἰς φιλονεικίαν: — MTAB

1052 μυσαρὸν εἰς ἀγῶνα: εἰς μεμισημένην φιλονεικίαν. λέγει δὲ τὴν μονομαχίαν τῶν ἀδελφῶν: — $MA^{g}B^{g}$

---

1 ἀντὶ—Πυθίου om. M ἀπὸ TA πυθίους A πυθίου ὁ ἥλιος T 1. 2 ἀπεσταλμένος δὲ M ἀποσταλμένος A 4 πυνθανόμενος T τῶν om. A 5 ἔχρησεν B εἴρηκεν MTA 10—14 scholio quod praecedit adi. MTA 10 ὁ] καὶ A φησι πάλιν A οὕτω καὶ T οὗ καὶ A αὐτῷ M αὐτὸς TA 11 τοῖς T 12 τὰς om. T τούτου om. M 14 τὸ αἴνιγμα Vat. 1332 om. MTA 16 δὲ τὸ $B^{i}$ ἄχη om. $B^{i}$ 18 τῆς μητρὸς MTA in fine spatium unius uersus in B 19 ὢν] ἂν T 20 αὐτοῦ] ἔκρινεν $M^{i}$ 22—24 scholio p. 360,10—14 adi. B post τὴν πόλιν add. δὲ 22 διαλλάσσει MT 23 ἀμείβει om. M ἐμβαλὼν δὲ B 26 τῶν om. B 28 τῶν ἀδελφῶν] καταβαλὼν $B^{g}$

1053 ἐμβαλών. ἀνελών: — $M^g$

τὰ ἄθλια τέκνα διὰ τῆς κατάρας: — $M^g$

ἀραῖσι τέκεα μέλεος: ἀπὸ τούτων ἐχρῆν εὐθέως ἄρξασθαι τὸν χορόν. ἐκεῖνα γὰρ περιττά ἐστιν: — MTAB

1054 ἀγάμεθ' ἀγάμεθα: μετέβησαν ἐπὶ τὸν Μενοικέως φόνον. θαυμάζομεν, φησίν, ἐκπεπλήγμεθα τὸν παῖδα ἀνταλλασσόμενον ἑκουσίῳ θανάτῳ τὴν εὔκλειαν: — MTAB

λείπει τὸ ἐκεῖνον: — $M^gA^gB^1$

1059 νικηφόρα ἐπικρατῆ ποιήσων: — $M^gA^g$

1060 γενοίμεθ' ὧδε ματέρες: εἴθε, φησίν, ὦ δέσποινα Ἀθηνᾶ, καὶ ἡμεῖς εὐτυχήσαιμεν τοιούτων τέκνων. ὡς παρθένοι δὲ παρθένῳ θεῷ εὔχονται ταύτην τέως εἰδυῖαι θεόν: — MTAB

ἄλλως: ἡμεῖς αἱ γυναῖκες. συμπεριλαμβάνει γὰρ τὸ πᾶν γένος τοῦτο λέγουσα: — MTAB

κατὰ τὸν Μενοικέα: — $M^g$

1061 γράφεται φίλα: — $M^g$

ἀναγκαίως ἐπειδὴ παρθένος: — $M^1$

1062 Παλλὰς ἃ δράκοντος: δοκεῖ Ἀθηνᾶ συμπρᾶξαι τῷ Κάδμῳ κατὰ τῶν Σπαρτῶν. διὸ καὶ ἱδρύσατο ταύτην Ὄγκαν προσαγορεύσας τῇ τῶν Φοινίκων διαλέκτῳ. ἐπεγέγραπτο δὲ τῷ ἱερῷ τούτῳ· 'Ὄγκας νηὸς ὅδ' ἐστὶν Ἀθήνης ὅν ποτε Κάδμος εἵσατο βοῦν θ' ἱέρευσεν ὅτ' ἔκτισεν ἄστυ τὸ Θήβης': — MTAB

ἄλλως: προνοίᾳ γὰρ Ἀθηνᾶς λίθῳ τὸν δράκοντα ἀνεῖλεν ὁ Κάδμος· ὡς καὶ ἀνωτέρω [667] Παλλάδος φραδαῖσι: — MTA

κατήνυσας ἐφόνευσας: — $M^gA^g$

1063 ἐν περιφράσει τὸν Κάδμον: — $M^g$

1064 ὁρμήσασ' ἐπ' ἔργον: ἐπὶ τὸν τοῦ δράκοντος φόνον: — A

ἄλλως: διὰ τὸν θάνατον τοῦ δράκοντος μηνίσαντος τοῦ Ἄρεως καὶ ἐπιπέμψαντος τὴν Σφίγγα: — AB

---

1 ἐκβαλών $M^g$  3 τούτου TAB  εὐθέως om. M  4 post χορὸν ins. ἀπὸ τούτου ἐχρῆν ἄρξασθαι τὸν χορὸν A  εἰσίν B  6 φησὶ καὶ AB  8 λείπει] προσυπακουστέον $B^1$  10 φησὶν om. T  11 ὡς] καὶ A  11. 12 πρὸς παρθένον θεὸν M  παρθένον θεὸν TA  12 ταύτην—θεόν om. A  13. 14 scholio quod praecedit adi. B pro ἄλλως scripto γενοίμεθα δὲ εὔτεκνοι  13 γυναῖκες φησὶν B  18—22 cf. schol. Aesch. Sept. 149 Paus. IX 12,2 Steph. Byz. p. 482,20  20 δὲ] γὰρ A  τῷ ἱερείῳ τούτῳ MTB  τῇ τῶν φοινίκων διαλέκτῳ A  21 ναὸς T  ὅ ἐστιν A  23. 24 scholio 27—29 adi. A  24 ὡς om. A  28 τοῦ (alterum) om. B

1066 † καὶ γὰρ ἡ Σφὶγξ ἥρπαζεν, ὁ δὲ Μενοικεὺς πέπονθέ τι ὅμοιον: — $TA^gB$

1067 κλητικὸν ἐπίρρημα: — $M^g$

τυγχάνει: — $M^gA^g$

1068 ἀντὶ τοῦ· εἴπατε ἐκτὸς ἐλθεῖν. ἢ ἀντὶ τοῦ ἐξαγάγετε: — $M^g$

1069 διὰ μακροῦ μέν: βραδέως μὲν ἐξέρχῃ, ὅμως δὲ ἄκουσον, ἔξελθε: — MAB

1070 γράφεται κυδρή: — $M^g$

ἐνδοξοτάτη γύναι: — $M^g$

1072 ἀρά που: — $M^gA^gB^g$

1073 οὐ παρ' ἀσπίδα: ἐπειδὴ ὑπασπιστὴς αὐτοῦ ἦν, νῦν δὲ κεχώρισται τοῦ δεσπότου, διὰ τοῦτο ὑπονοεῖ μὴ καὶ τέθνηκεν: — TAB

1075 ἐν τοῖς πολλοῖς ἀντιγράφοις οὐ φέρεται ὁ στίχος: — AB

1077 μὴ τρέσῃς τόδ' ὥς σ' ἀπαλλάξω φόβου: μὴ κατὰ τοῦτο φοβῇ. καὶ γὰρ ἦλθον ἵνα σε ἀπαλλάξω φόβου. τὸ γὰρ ὡς ἀντὶ τοῦ ἵνα: — MAB

ἀντὶ τοῦ κατὰ τοῦτο. τὸ δὲ ὡς ἀντὶ τοῦ ἵνα: — $M^g$

1078 τί δ'· ἑπτάπυργοι πῶς ἔχουσι περιβολαί: ἀντὶ τοῦ ἑπτάπυλοι. πύργος γὰρ ἡ ἀσφάλεια: — MB

αἱ σκέπαι τῆς πόλεως αἱ ἑπτάπυλοι: — $M^gAB$

1079 ἀβλαβεῖς ἄκλαστοι στερραί: — $M^gA^gB^g$

1080 ἦλθον δὲ πρὸς κίνδυνον: ἀντὶ τοῦ συνέβαλον· συμβαλόντες δὲ τοῖς Ἀργείοις κινδύνου διάπειραν ἔσχον: — MAB

1081 ἀλλ' ὁ Καδμείων Ἄρης: εἰς αὐτήν εἰσι τοῦ πολέμου τὴν σφοδρότητα: — MTAB

ἄλλως: εἰς αὐτὸ τὸ ἀκμαιότατον τοῦ πολέμου ἦλθον: — MTAB

---

1. 2 scholio quod praecedit adi. B initio add. ἁρπαγαῖσι δὲ  1 καὶ ὁ δὲ μενοικεὺσ T ὁ μενοικεὺσ δὲ $A^g$  2 in fine add. ἁρπαγῇι B  7 δὲ om. A  7. 8 ἔξελθε ἄκουσον A ἔξελθε B  12 νονὶ B  14 scholio 7. 8 adi. A  γράφεται A  in fine add. οὗτοσ B  15. 16 μὴ—φοβῇ om. AB  16. 17 τὸ—ἵνα (om. γὰρ) ante καὶ γὰρ coll. B om. A  19. 20 scholio 15 17 adi. B initio add. ἑπτάπυργοι δὲ  20 αἱ ἑπτάπυλοι M  21 αἱ ἑπτάπυλοι σκέπαι τῆσ πόλεωσ B  ἑπτάπυλοι] ἑπτάπυργοι αἱ ἑπτάπυλοι πῦργοσ καὶ ἡ ἀσφάλεια A  22 ἀβλαβεῖσ ἄθραυστοι στερραί $M^g$ ἀβλαβεῖσ ἄκλαστοι $A^g$ ἀβλαβεῖσ στερραί $B^g$  23 συνέβαλον om. B  24 δὲ om. B γὰρ A  τοῖς Ἀργείοις om. M  25 ἐσ B  27 αὐτὸ τὸ om. A τὸ om. T

πόλεμος: — M$^g$A$^g$

1083 ἓν εἰπὲ πρὸς θεῶν: φιλοστόργου μητρὸς ἦθος· εὔχεται γὰρ ἑκάτερον εὐτυχεῖν. ἀκούσασα γὰρ περὶ Ἐτεοκλέους καὶ περὶ Πολυνείκους ἐρωτᾷ: — MTAB

1085 ζῇ σοι ἡ δυὰς τῶν τέκνων μέχρι ταύτης τῆς ὥρας: — M$^g$A$^g$B$^i$

1087 πυλῶν ἀπεστήσασθε πυργηρούμενοι: φυλάσσοντες τοὺς πύργους. ὑπ' ἐκείνων πολιορκούμενοι. ὑμεῖς τειχήρεις ὄντες: — MTAB

1091 πρὸς τὸ πᾶσι τὴν πρᾶξιν καταφανῆ γενέσθαι: — M$^i$A$^g$B

μελάνδετον ξίφος: μέλαιναν λαβὴν ἔχον κερατίνην. ἢ σιδηρᾶν. Ἡσίοδος [Opp. 150]· 'μέλας δ' οὐκ ἔσκε σίδηρος': — MTAB

σιδηρόδετον: — M$^g$A$^g$

1092 τὸ ἑξῆς· ξίφος σωτήριον: — M$^g$A$^g$B$^i$

1093 ἀντὶ τοῦ· τὰ τάγματα διέταξεν: — M$^g$

1095 ἔφεδροι λέγονται οἱ τῶν ἐν τῷ πολέμῳ πιπτόντων ἀναπληροῦντες τὰς [ἑαυτῶν] τάξεις: — M$^i$

ἀντιπάλους ἀνταγωνιστάς: — M$^g$A$^g$B$^i$

ἱππότας μὲν ἱππόταις ἔταξ': διὰ τοῦτο ἑπτὰ ἔταξε στρατηγοὺς πρὸς ταῖς ἑπτὰ πύλαις ἑαυτὸν οὐ συγκατατάξας ὅπως αὐτὸς περιέρχοιτο τὰς πύλας τῷ νοσοῦντι μέρει συμμαχῶν· ἐπάγει γὰρ [1163] ἐπειδὴ τάσδ' εἰσεῖδεν εὐτυχεῖς πύλας, ἄλλας ἐπῄει παῖς σός: — MTAB

† ἄλλως: ἀπὸ κοινοῦ τὸ ἐπεί, ἵνα ᾖ· καὶ ἐπεὶ λόχους ἔνειμεν. ἡ δὲ ἀπόδοσις εἰς τὸ δι' ὀλίγου περγάμων ἀπ' ὀρθίων εἰσορῶμεν: — A

1097 ὅπως: — M$^g$A$^g$

ἀδυναμοῦντι: — M$^g$A$^g$

εἴη ὁ σὸς παῖς, ὁ Ἐτεοκλῆς, βοήθεια: — M$^g$A$^g$B$^i$

1098 διὰ βραχέος χρόνου: — M$^i$A$^g$B$^i$

2. 3 εὔχεται—εὐτυχεῖν om. T  3 γὰρ (alterum) om. B  περὶ (alterum) om. MA  5 ζῇ σοι om. B$^i$  ἡμέρας A$^g$B$^i$  8 ἢ ὑπ' AB  ἡμεῖς M  10 scholio 11. 12 adi. B initio add. ἐπ' ἄκρων δὲ πύργων  11. 12 cf. schol. Or. 821 Hesych. et. m. p. 551,40 Eust. p. 1039,23  11 μέλαναν MT  14 ξίφος] φῶς M$^g$  18 ἀγωνιστάς B$^i$  20 πρὸς om. A  κατατάξας B  21 γὰρ om. A οὖν B  22 ἐπειδὴ om. A  εἶδεν A  πύλας—ἐπῄει om. A sed in fine add. ἄλλας ἐπήιξεν  ἐπήιξε T ἱππήις B  22. 23 σὸς παῖς TAB  24 ἐπεί] ἐπειδὴ A

νῦν τῶν τειχέων: — $M^g A^g$

οὕτως πᾶσαν ἀκρόπολίν φασιν: — $M^g A^g B^i$

περγάμων δ' ἀπ' ὀρθίων: πέργαμα τὰ ἀκρωτήρια. λέγει δὲ τὰ τείχη: — MTA

ὑψηλῶν: — $MM^g TAA^g B^i$

1099 λευκὰς ἀσπίδας ἔχοντα: — $M^g A^g B^i$

1100 Τευμησὸν ἐκλιπόντα: ὄρος Βοιωτίας. ἀντὶ τοῦ τὴν τῷ Τευμησῷ χώραν παρακειμένην. ἐπεὶ πῶς ὁρᾶν ἠδύνατο πλέον ἑκατὸν σταδίους τοῦ Τευμησοῦ ἀφεστηκότος τῶν Θηβῶν: — MTAB

† ἢ οὐκ ἐκλιπόντα, ἀλλ' ἤδη καταλιπόντα: — TAB

ἄλλως: οἱ μὲν ὄρος Βοιωτίας, οἱ δὲ ὅτι ὄρος ἐν Ἄργει, ἐν ᾧ ὡπλίζοντο οἱ Ἀργεῖοι εὐτρεπιζόμενοι πρὸς πόλεμον: — MTA

οὐχ ὅτι Τευμησὸν κατέλιπεν· πολὺ γὰρ ἀφέστηκεν· ἀλλ' ὅτι τὴν χώραν τὴν παρατείνουσαν ἀπὸ τοῦ Τευμησοῦ μέχρι Θηβῶν: — $M^i A$

† ἄλλως: τὴν χώραν, καὶ τὸν τόπον, ἀπὸ Θηβῶν εἰς Τευμησὸν ἄγουσαν καταλιπόντα καὶ πλησιάσαντα τῷ τῆς πόλεως τείχει: — A

1101 περιέλαβον περιεκύκλωσαν: — $M^g A^g B^i$

οἷον· ὀξέως ἐπέβησαν, ἐπλησίασαν: — $M^g$

1102 ὕμνος ᾀδόμενος εἰς Ἀπόλλωνα ἐπὶ καταπαύσει κακῶν: — $M^g B^i$

τουτέστιν· οἱ μὲν εὐχόμενοι σωθῆναι, οἱ δὲ σαλπίζοντες: — $M^g A^i B^i$

1104 προσήρχετο: — $M^g$

Νηίταις πύλαις: ἢ ἀπὸ Νηίδος τῆς Ἀμφίονος καὶ Νιόβης· ἢ ἐπεὶ νέαταί εἰσιν. ὁ δὲ Φερεκύδης [frg. 102c] ἀπὸ Νηίδος τῆς Ζήθου θυγατρός: — MTAB

1105 ἐξορθούμενον ταῖς ἀσπίσιν ὡς τὸ [N 339] 'ἔφριξεν δὲ μάχη φθισίμβροτος ἐγχείῃσιν': — MTAB

---

3 λέγει A στέγη MT  5 scholio quod praecedit adi. MTA add. τῶν, scholio 2 $B^i$ add. ὀρθίων δέ, scholio 1 $M^g A^g$  7 initio add. τευμησὸν A τευμησσὸς B  τὴν om. MB  8 χωρίῳ A  παρακειμένην χώραν B  ἐδύνατο B  9 τῶν om. TAB  10 scholio quod praecedit adi. TAB  11 ὄρος om. M  βοιωτῶν MT  12 ὁπλίζονται A  14 ἀπὸ om. $M^i$  19 ὕμνος ᾀδόμενος $M^g$ εἶδος ᾠδῆς λεγόμενον $B^i$  ἥλιον $M^g$  τῶν κακῶν $B^i$  21 τουτέστιν om. $A^i B^i$  in fine add. τουτέστιν εὐχαὶ καὶ εὐφημίαι $B^i$  23—25 cf. Hesych. s. v. Νηίταις πύλαις Paus. IX 8,4  24 νεήται A  26. 27 scholio quod praecedit adi. B initio add. πεφρικότα δέ  26 ἐξορθούμενον—ἀσπίσιν] πεπυκνωμένον A  ἔφριξε AB ἔφρον M  26. 27 δὲ—ἐγχείῃσιν om. M  27 φθισίμβροτος ἐγχείῃσιν om. A

πεπυκνωμένον: — MM$^{g}$A$^{g}$B$^{g}$

1106 τῆς Ἀταλάντης: — M$^{g}$A$^{g}$

1107 ἔχει γὰρ ἐν τῇ ἀσπίδι τὴν Ἀταλάντην τοξεύουσαν τὸν Αἰτωλὸν κάπρον τοῖς μακροβόλοις οἰστοῖς: — MA

1109 εἰς δὲ Προιτίδας πύλας: ἐκβληθεὶς γὰρ ὑπὸ Ἀκρισίου ᾤκησεν ὁ Προῖτος εἰς τὰς Θήβας πλησίον τούτων τῶν πυλῶν: — MTAB

πύλαι Θηβῶν ἀπὸ Προίτου τοῦ ἄρχοντος, ὃς ἐξ Ἄργους φυγὼν ᾤκησεν ἐν Θήβαις: — MTA

1110 ἐχώρει σφάγι' ἔχων ἐφ' ἅρματι: ἱερεῖα εἰς σφαγὴν ἕτοιμα εἶχεν ἐν τῷ ἅρματι, ἵνα, εἰ χρεία γένοιτο μαντείας, εὐθέως σφάξας μαντεύσηται: — MTAB

1111 οὐ σημεῖ' ἔχων ὑβρισμένα: οὐκ ἔχων ἐπὶ τῆς ἀσπίδος σημεῖα ὑπερήφανα καὶ μεστὰ ἀλαζονείας ὡς τὰ Καπανέως. καὶ παρὰ τῷ Αἰσχύλῳ [Sept. 573]· 'τοίαν ὁ μάντις ἀσπίδ' ἔγκυκλον ἔχων πάγχαλκον ἔρπει· σῆμα δ' οὐκ ἐπῆν κύκλῳ': — MTAB

ἄλλως: οὐχ ὡς οἱ ἄλλοι ἔχων πεποικιλμένην τὴν ἀσπίδα: — A

ὑπερήφανα. οὐχ ὕβρεις ἐπιφέροντα ταῖς Θήβαις: — M$^{1}$

1112 ἀλλὰ σωφρόνως ἄσημ' ὅπλα: ἀντὶ τοῦ οὐκ ἀλαζονείαν τινά. ἴσως δὲ ὡς μάντις προειδὼς τὸ μέλλον οὐδὲν ἀλαζονικὸν ἐφρόνει: — MTA

1113 Ὠγύγια δ' εἰς πυλώμαθ': ἐπειδὴ παρὰ τῷ Ὠγύγου τοῦ Βοιωτοῦ τάφῳ ἔκειντο καὶ οὐχ ὅτι Ὤγυγος αὐτὰς ἔκτισεν· οἱ γὰρ περὶ τὸν Ἀμφίονα ἔκτισαν τὰς Θήβας. ἢ ἀρχαίων, ὡς αὐτῶν πρωτοκτίστων οὐσῶν τῇ πόλει: — MTA

---

1 scholio quod praecedit adi. M 3. 4 scholio 1 adi. M 3 γὰρ om. A τὴν ἀταλάντην ἐν τ. ἀ. A τὴν A 4 τοῖς om. A 5—8 aliter Paus. IX 8,4 5 ἀπὸ T 6 τῶν πυλῶν om. A spatio rel. 7. 8 scholio quod praecedit adi. MT add. δὲ post πύλαι 7 ἐπὶ A ὃς] καὶ A φεύγων A 8 εἰσ θήβασ A 9 σφαγὴν] σφάγια A 10 ἐν—εἰ om. A spatio rel. γένηται A om. T μαντείασ γένηται M 10. 11 εὐθέως—μαντεύσηται om. A spatio rel. 10 εὐθέως om. M 13 ὑπερηφάνου A μετὰ MTAB τὰ] ὁ A 13. 14 καὶ—Αἰσχύλῳ om. A spatio rel. 13. 14 παρὰ τῷ] παρ' B 14 τοίων δ' T τοιαῦθ' Aeschylus ἀσπίδων T ἔγκυκον T ἔγκυκλον A om. MB νέμων corrector codicis Medicei 15 ηὔδα Aeschylus 19 καὶ προειδὼσ A οὐδὲ A 21 ἐπεὶ TA τῷ] τοῦ A γύγου M 21. 22 τοῦ Βοιωτοῦ om. M 22 αὐτοὺσ A αὐτὴν MT 23. 24 cf. Hesych. s. v. Ὠγύγια Paus. IX 8,5 et. m. p. 820,37 23 ἀρχαίωσ T ἀρχαίαι A ὡσ ἂν A

Ὠγύγια προσηγορεύθη, φησὶν ὁ Ἀριστόδημος [frg. 2a], διὰ τὸ τοὺς περὶ Ἀμφίονα καὶ Ζῆθον τειχίζοντας Θήβας παρὰ τὸν Ὠγύγου τοῦ βασιλέως τάφον αὐτὰς τάξαι: — Laur. 32, 33 Vat. 1332

1115 στικτοῖς πανόπτην: πεποικιλμένοις. ἐγγεγραμμένοις: — MTA

ἄλλως: τοῖς ἐμπεποικιλμένοις. φησὶ δὲ τὸν Ἄργον τὸν τῆς Ἰοῦς φύλακα: — MTA

οἰκεῖον δὲ ὁ Ἱππομέδων σημεῖον εἶχεν ἐγγεγραμμένον· εἰς γὰρ τεκμήριον τῆς πατρίδος σημεῖον στικτὸν ἔφερε † τῆς Ἀργείας βοὸς φύλακα: — MT

οἱ δὲ οἷον κατεστιγμένοις, ποικίλοις τῇ γραφῇ· τοὺς γὰρ ὀφθαλμοὺς καταστίκτους γράφουσι καὶ φοβερόν τι ἀποτελοῦσι τῇ καταστίξει: — TA

πεποικιλμένοις. διὰ τὸ εἶναι αὐτὸν ἄυπνον φυλάττοντα τὴν βοῦν ἐκ κελεύσεως Ἥρας: — MgA

τὸν Ἄργον λέγει. ἐνεγέγραπτο γάρ, φησίν, ἐν τῇ ἀσπίδι τοῦ Ἱππομέδοντος: — MgAg

1116 τὰ μὲν σὺν ἄστρων: τοῖς μὲν πρὸς ἀνατολὰς κειμένοις ὄμμασι βλέποντα, μύοντα δὲ τοῖς πρὸς δύσιν. θέλει γὰρ αὐτὸν οἷς μὲν διαγρυπνεῖν, οἷς δὲ καθεύδειν ὄμμασιν: — MTAB

ἄλλως: ἰδίως ὁ Εὐριπίδης ἔνια μὲν τῶν τοῦ Ἄργου ὀμμάτων συνανατέλλειν τοῖς ἄστροις φησὶ δεδορκότα, τὰ δὲ πρὸς ταῖς δύσεσι καταμύειν. ὁ μὲν γὰρ Φερεκύδης [frg. 22] φησὶν αὐτὸν ἐπὶ τοῦ ἰνίου ἔχειν ὀφθαλμὸν ἅμα δηλῶν ὅτι δύο ἐγένοντο Ἄργοι. γράφει δὲ οὕτως· 'Ἄργος ὁ Διὸς γαμεῖ Πειθὼ τὴν Ὠκεανοῦ. τοῦ δὲ γίνεται Κρίασος, τοῦ δ' Ἐρευθαλίων, ἀφ' οὗ Ἐρευθαλίη πόλις καλεῖται ἐν Ἄργει, καὶ Φόρβας. τοῦ δὲ γίνεται Ἀρέστωρ, τοῦ δὲ Ἄργος, ᾧ Ἥρη ὀφθαλμὸν τίθη-

---

1 Ὠγύγια om. Vat. ὁ om. Vat. 2 τὸν] τοῦ Laur. Vat. 4 πεποιημένοισ TA 6 δὲ om. T 8—10 scholio quod praecedit adi. MT 8. 9 τεκμήρια T σημεῖον M 9 σημεῖον om. M 9. 10 τὸν Ἄργον τὸν τῆς βοὸς φύλακα? 11—13 scholio quod praecedit adi. T scholio 6. 7 A 11 κατεστιγμένα T ποικίλωσ A ποικίλλα T 12 γράφουσι T ἔχουσι A 14 τὸν Mg 15 τῆσ ἥρασ A 16 ἐπεὶ ἐγγέγρα[πι] Ag ἐγέγραπτο γὰρ Mg τοῦ om. Ag 19 τὴν M τὰ B 20 ἐξαγρυπνεῖν MTA 21 ὁ om. M 22 φησὶ post μὲν coll. A post συνανατέλλειν B δεδορκόντα M τὰ om. MTA μύσεσι T μύσαισι A 23 γὰρ om. T ἐπὶ τοῦ ἰ. φ. αὐ. TB 24 δηλονότι T ἄργοι γενόνασιν A γράφουσι δὲ T γράφων A 27 ἥρα A

σιν ἐν τῷ ἰνίῳ καὶ τὸν ὕπνον ἐξαιρεῖται καὶ ἐφιστᾷ φύλακα αὐτὸν τῇ Ἰοῖ. ἔπειθ' Ἑρμῆς αὐτὸν κτείνει'. Διονύσιος δὲ ἐν τῷ ᾱ τοῦ Κύκλου [frg. 1] βύρσαν αὐτὸν ἠμφιέσθαι φησὶ καὶ κύκλῳ τὸ σῶμα ὅλον ὠμματῶσθαι. ὁ δὲ τὸν Αἰγίμιον ποιήσας φησί [frg. 5]·

καί οἱ ἐπίσκοπον Ἄργον ἵει κρατερόν τε μέγαν τε
τέτρασιν ὀφθαλμοῖσιν ὁρώμενον ἔνθα καὶ ἔνθα.
ἀκάματον δέ οἱ ὦρσε θεὰ μένος, οὐδέ οἱ ὕπνος
πῖπτεν ἐπὶ βλεφάροις, φυλακὴν δ' ἔχεν ἔμπεδον αἰεί: — MTAB

τὰ μὲν ἔμπροσθεν αὐτοῦ ὄμματα βλέποντα ⟨σὺν⟩ ταῖς ἐπιτολαῖς τῶν ἄστρων, τὰ δὲ ὄπισθεν μετὰ τῶν δυνόντων ἄστρων μύοντα: — M[1]

ἐπιτολαῖσιν ὄμματα: ἐνταῦθα ἀνατολαῖς ἀκούειν δεῖ οὐ διαχωρίζοντας ὡς παρ' Ἡσιόδῳ καὶ Ἀράτῳ. καὶ τὴν πρόφασιν δὲ εἶπεν ἀκολούθως τοῦ λεπτῶς οὕτως γνῶναι τὴν γραφήν· τεθνηκότος γάρ, φησί, τοῦ Ἱππομέδοντος καὶ κειμένου τοῦ ὅπλου παρῆν ἀδεῶς καὶ λεπτότερον ὁρᾶν τὴν γραφήν: — MTA

ἐπιτολὴ δὲ καὶ ἀνατολὴ διαφέρει· ἀνατολὴ μέν ἐστι τῶν μεγίστων ἄστρων τῶν προαναβαινόντων, ἐπιτολὴ δὲ τῶν ἐλαττόνων, τῶν μετ' ἐκεῖνα: — MT

1118 ὥστε παρῆν ὁρᾶν τὴν ἀσπίδα ὕστερον οὕτως γεγραμμένην ἀποθανόντος Ἱππομέδοντος τοῦ αὐτὴν βαστάζοντος: — M[g]TA[g]

τὸ ὡς ἀντὶ τοῦ καθώς, ἵν' ᾖ· οὕτως καθὼς ἦν ἰδεῖν τὴν ἀσπίδα τοῦ Ἱππομέδοντος ὕστερον καὶ διαγνῶναι τὰ σημεῖα μετὰ τὸ αὐτὸν ἀποθανεῖν· ἐπεὶ πῶς ἦν δυνατὸν καλῶς διαγνῶναι ἀπὸ μήκοθεν ὡς γνωρίσαι καὶ τὰ σημεῖα, ἀλλὰ μετὰ τὸ ἀποθανεῖν αὐτόν: — M[1]

1119 Ὁμολωίσιν δὲ τάξιν εἶχε: αὗται οὕτως ἐκλήθησαν ἀπὸ Ὁμολωέως τοῦ Ἀμφίονος. τοὺς γὰρ περὶ Ἀμφίονά φασι σὺν τοῖς παι-

1 ὑφιστᾷ M ὑφιστᾷ καὶ T ὑφίσταται A ὑφίσταται καὶ B φύλακον T αὐτὸν φύλακας M 2 Ἑρμῆς om. M ᾱ τοῦ] αὐτῶ M ἀίτου TA ἐνδεκάτω τοῦ B 2. 3 Κύκλου—καὶ om. MT 3 φησὶ om. A 4 ὁ—φησί om. M αἴγιμον T detritum in B 4—8 Tzetz. ex. Il. p. 153 5 τε (alterum) om. T 6 καὶ ἔνθα om. T 8 πῖπτεν om. MT βλεφάροισιν M βλεφάροισι TB φυλακὴ TAB ἔσχεν TB ἔμπεδοσ TAB 13 ἀνακολούθωσ MT 15 λεπτοτέραν A ὁρᾶν M θαυμάσεισ T θαυμάζειν A 16—18 scholio quod praecedit adi. MT 20 τοῦ om. T τοῦ—βαστάζοντος om. A[g] 21 ἵν' ᾖ Münzel ἵζάν M[1] 25—p. 367,4 Paus. IX 8,6.7 schol. Theocrit. 7, 103 Phot. Suid. s. v. Ὁμολώϊος 25 αὗται δὲ A 26 post Ἀμφίονος add. αἱ ὁμωλέωσ τοῦ ἀμφίονοσ ὁμολωίδεσ λ́ M αἱ ὁμολωίσ ἀπὸ ὁμολωέωσ τοῦ ἀμφίονοσ T 26. p. 367,1 σὺν τοῖς παισὶν om. M

σὶν ἅμα Κάδμῳ τειχίσαι τὴν πόλιν. Ἀριστόδημος [frg. 2] δέ φησιν αὐτὰς οὕτως κληθῆναι διὰ τὸ πλησίον εἶναι τοῦ Ὁμολώου ἥρωος· κατὰ δὲ τοὺς ψευδολογεῖν βουλομένους ἀπὸ μιᾶς τῶν Νιόβης θυγατέρων Ὁμολωίδος: — MTAB

1120 λέοντος δέρος ἔχων: λέοντος δέρμα ἔχων. ὁ Τυδεὺς ἦν ἐγγεγραμμένος τῇ μὲν λαιᾷ τὸ δέρμα, τῇ δὲ δεξιᾷ τὸ πῦρ ἔχων: — TAB

1122 Τιτὰν Προμηθεύς: τὸ ὡς προτακτέον τοῦ Τιτάν· ὡς ὁ Προμηθεὺς ὁ ἀπὸ τῶν Τιτάνων: — MTA

τὸ δὲ Τιτὰν Προμηθεὺς οὕτως ἐξεδέξαντό τινες· ἀντὶ δόρατος ⟨λαμπάδα⟩ εἶχεν ὡς Τιτάν: — MTAB

αὐτόχρημα Τιτὰν Προμηθεύς: — MTAB

1123 πύλαι καὶ αὗται Θηβῶν· ἴσως δὲ τῇ Δίρκῃ παρέκειντο καὶ ἀπὸ ταύτης ὠνομάσθησαν: — M¹T

1124 Ποτνιάδες δ' ἐπ' ἀσπίδι: μανικαί. τινὲς δέ φασι Γλαῦκον τὸν τῶν Ποτνιάδων ἵππων δεσπότην πατέρα εἶναι Βελλεροφόντου, ἐξ οὗ παῖς ἐγένετο Γλαῦκος. Ποτνιάδες δὲ ἐκαλοῦντο ἐπεὶ ἐν Ποτνίαις ἔτρεφεν αὐτὰς Γλαῦκος. Πότνιαι δὲ πόλις Βοιωτίας. Γλαῦκον δὲ οὐ τὸν ἀπὸ Σισύφου, ἀλλὰ τὸν Θρᾷκα τὸν ἄγριον: — MTA

ἄλλως: τὰς τοῦ Γλαύκου φησίν, αἳ λυσσήσασαι κατέφαγον τὸν δεσπότην Γλαῦκον τὸν ἀπὸ Σισύφου ἐν Ποτνίαις τῆς Βοιωτίας: — MTAB

1125 ἐπισήμως. ἢ πλεονάζει ἡ ἐπί: — MᵍTAᵍ

τῷ περὶ αὐτὰς φόβῳ ἐδόκουν σκιρτᾶν: — MᵍT

---

1. 2 οὕτως φησὶν αὐτὰς M ut uidetur 2 εἶναι om. M 2. 3 ἥρωος—βουλομένους] ἄλλοι δὲ B 2 post ἥρωος add. οὗ τὴν ἐπίκλησιν ἔχουσι TA 3 τῶν] τῆς A 4 in fine add. καλουμένης B 6 δὲ γεγραμμένος T γεγραμμένος A 8 τὸ—ὡς om. M 10. 11 scholio quod praecedit adi. MTA scholio 5. 6 B 10 εἶδ' M δόρατος] τοῦ δόρυ B 11 in fine add. ὅπερ ἐξεδέξαντο (ἐδέξαντο A) τινὲς ἀπὸ τοῦ ἑξῆς TA 12 scholio quod praecedit adi. MTAB add. ἀλλ' (i. e. ἄλλως) TB αὐτόχρημα om. A 13 παρέκειτο M¹ 14 ταύτην M¹ ὠνόμασεν M¹ ὠνόμασαν T em. Matthiae 15—21 cf. schol. Or. 318 18 ποτνίαις τῆς βοιωτίας M πότναις T Γλαῦκος] ὁ κάδμος A Πότνιαι — Βοιωτίας om. M ut uidetur 19 οὐ τὸν] αὐτὸν T 20 τοῦ B τῆς M τε TA φησὶν ἵππους M post λυσσήσασαι add. φησὶ A 21 Γλαῦκον—Σισύφου om. M τὸν ἀπὸ om. T ἀπὸ om. B σισισύφου T

οὕτως φοβεραὶ ἦσαν κατὰ τὴν γραφὴν ὡς δοκεῖν σκιρτᾶν: — M$^{g}$TA

1126 μηχαναῖς περιστρεφομέναις: — M$^{g}$A$^{g}$

περικυκλούμεναι: — M$^{g}$

ἔνδοθεν κυκλούμεναι: ἔνδοθεν τῆς ἄντυγος δηλονότι, ἵνα εἴπῃ κατὰ μέσον τῆς ἀσπίδος. στρόφιγξι δὲ ταῖς περιστροφαῖς τοῦ δρόμου: — TAB

† ἐν τῇ γραφῇ κεκαμμένων αὐτῶν τῶν τραχήλων πάνυ ταῖς ἡνίαις, ὡς δοκεῖν ἀληθῶς τῷ ὄπισθεν τοῦ ὅπλου αὐτὰς κατέχεσθαι· ὡς νομίζεσθαι τὸν βαστάζοντα τὸ ὅπλον καὶ τὰς ἡνίας αὐτῶν ὑπὸ τὸν πόρπακα κατέχειν διὰ τὸ μὴ ἐγγεγράφθαι τὸν ἡνίοχον μήτε τὸ ὄχημα μόνην τε τὴν ζεῦξιν τῶν πώλων, ὡς ἐν ἅρματι, ἐγγίζουσαν τοῦ ὅπλου καὶ ἔσωθεν ἡνιοχουμένην. στρόφιγξι δὲ ταῖς ἡνίαις καθὰ δι' αὐτῶν στρέφεται τὸ ἅρμα. πόρπαξ δὲ καλεῖται τὸ κατὰ μέσον τοῦ ὅπλου ὑπὸ τὸν ὀμφαλὸν κοίλωμα δι' οὗ βαστάζεται τὸ ὅπλον. καλῶς πως ὑπὸ τὸν πόρπακα κατεχόμεναι σκιρτηματικῶς ὡς δοκεῖν μαίνεσθαι αὐτάς. εἴη δ' ἂν αὐτῷ τῆς τύχης οἰκεῖον καὶ τῆς φυγῆς τὸ σημεῖον. ἔνδοθεν δηλονότι τῆς ἄντυγος ἔσωθεν, ἵνα εἴπῃ κατὰ μέσον τῆς ἀσπίδος. πόρπακα δὲ τὸν ὀμφαλὸν τῆς ἀσπίδος. ἐν δὲ τῇ ἀσπίδι, φησί, τούτου ἐνετετύπωντο αἱ Ποτνιάδες ἵπποι οὕτως ἀκριβῶς ὡς δοκεῖν τῇ ἀληθείᾳ σκιρτᾶν κατὰ τὴν γραφὴν καὶ περιθέειν τὸν τῆς ἀσπίδος ὀμφαλόν: — TA

1129 ἐπ' Ἠλέκτραις πύλαις: ἀπὸ Ἠλέκτρας τῆς Ἄτλαντος καὶ Ἡσιόνης. ἱστορεῖται δὲ ἡ Ἠλέκτρα τρεῖς παῖδας ἔχειν, Δάρδανον, Ἠετίωνα, ὃν καὶ Ἰασίωνα ὠνόμασαν. καὶ Ἁρμονίαν· ἣν γήμαντα τὸν

---

1 bis scripta in T  scholio quod praecedit adi. M$^{g}$T add. τουτέστιν ἐπιγραφὴν M$^{g}$  in fine add. θέας ἀποτελούσης T$^{a}$A  5. 6. στρόφιγξι—δρόμου hic om. T sed adi. scholio 1 T$^{a}$  7—21 scholio 1. 5. 6 T$^{a}$ adi. T, scholio quod praecedit A  7 κεκαυμένων T  8 τῷ] τῇ TA  αὐτὴν T  10 ἐγεγράφθαι A  11 καὶ ἐν A  12 αὐτὴν ἡνιοχουμένων T  δι'] δ' T  13 τὸ μέσον A  14 ὀφθαλμὸν T  15 ὑπὲρ T  δοκεῖ T  17 τὸ δὲ ἔνδοθεν A  δηλονότι—ἔσωθεν om. T  δηλοῖ ὅτι A  κατὰ τὸ A  18 πόρπακα—ἀσπίδος om. T  19 ἐντετύπωντο T  22—p. 369,4 et. m. p. 425,26 Ἠλέκτραι: πύλαι Θηβῶν· ἢ ἀπὸ τοῦ Ἠλεκτρύωνος τοῦ πατρὸς Ἀλκμήνης· ἢ ἀπὸ Ἠλέκτρας· αὕτη δὲ μήτηρ κατ' ἐνίους Ἁρμονίας .. schol. Ap. Rhod. I 916 ... ἐγέννησε δὲ τρεῖς παῖδας Δάρδανον ... καὶ Ἠετίωνα, ὃν Ἰασίωνα ὀνομάζουσι .... τρίτην δὲ ἔσχεν Ἁρμονίαν, ἣν ἠγάγετο Κάδμος, καὶ ἀπὸ τῆς μητρὸς αὐτῆς Ἠλεκτρίδας πύλας τῆς Θήβης ὀνομάσαι ἱστορεῖ Ἑλλάνικος ἐν πρώτῳ Τρωικῶν καὶ Ἰδομενεύς.  22 ἠλέκτρου T  24 ὃν—ὠνόμασαν om. M  ἡσίονα TA em. Valckenaer  τὸν om. A

Κάδμον ἀπὸ τῆς μητρὸς αὐτῆς Ἠλεκτρίδας πύλας ὀνομάσαι τῆς Θήβης. οἱ δὲ ἀπὸ Ἠλέκτρας μιᾶς τῶν Ἀμφίονος θυγατέρων. ἐνταῦθα ὁ Καπανεὺς λοχαγεῖ· καὶ αὐτὸς δὲ διεσάφησε τὴν οἰκειότητα τοῦ σημείου αὐτοῦ: — MTA

ἄλλως: ἢ ἀπὸ Ἠλεκτρυόνος τοῦ πατρὸς Ἀλκμήνης ἢ ἀπὸ Ἠλέκτρας τῆς Ἀμφίονος. ἔνιοι δὲ ἀπὸ Ἠλέκτρας τῆς Ἁρμονίας μητρός, ἧς εἶναι ἀνάθημά φασι τὸ ἐν Τροίᾳ Παλλάδιον τὸ κλαπὲν ὑπὸ Ὀδυσσέως καὶ Διομήδους: — MTAB

1130 σιδηρονώτοις δ' ἀσπίδος τύποις ἐπῆν: πῶς οὖν ἀνωτέρω [1099] εἶπε λεύκασπιν εἰσορῶμεν Ἀργείων στρατόν· ἐν δὲ τῇ Ἀντιγόνῃ λέγει [frg. 159]· 'χρυσεόνωτον ἀσπίδα τὰν Καπανέως'. λεύκασπιν μὲν οὖν ἀπὸ τοῦ πλεονάζοντός φησι, χρυσόνωτον δὲ τὴν πολυτελῆ, σιδηρόνωτον δὲ τὴν ἰσχυρὰν ἀσπίδα: — MTAB

χαλκενδύτοις: — M$^{g}$A$^{k}$B$^{l}$

ὑπῆρχεν ἐπέκειτο. ἐζωγράφητο ἐπὶ τῆς ἀσπίδος γίγας φέρων πᾶσαν τὴν πόλιν: — M$^{l}$B

1132 γράφεται βάθρων, θεμελίων: — M$^{g}$

1133 ὑποψίαν σημεῖον: — M$^{g}$B

ἀπὸ κοινοῦ τὸ φέρων: — M$^{g}$B$^{l}$

1134 τινές φασι τὰς ἑβδόμας πύλας [τῆς] Βοιωτίας καλεῖσθαι ἀπὸ Βοιωτοῦ τοῦ Ποσειδῶνος καὶ τῆς σοφῆς Μελανίππης, ἀφ' οὗ καὶ ἡ πᾶσα Βοιωτία ἐκλήθη: — MA

1135 ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν: ἀντὶ τοῦ· πλήρη τὴν ἀσπίδα ἔχων λαιοῖς ἐν βραχίοσιν ἑκατὸν ἐχίδναις ὕδρας: — MTA

ἄλλως: τῷ ἑκατόν ἐχρήσατο ἀορίστως: — MTA

ἡ δὲ σύνταξις· πολλαῖς ἐχίδναις, τουτέστι κεφαλαῖς ὕδρας, ἐκπλη-

---

1 ἠλέκτρας T 2 θυγατρῶν M ἐνθάδε A 5 τοῦ πατρὸς] μητρὸς T 6 τοῦ ἀμφίονος A θυγατρὸς τοῦ ἀμφίονος M τῆς τῆς A 7 εἶναι] καὶ A 9 οὖν om. A 10 εἰσορῶμεν—στρατόν om. MT δὲ om. T 11 λέγει] ἐπὶ AB τὴν MT τὸν A 12 τὴν] τὸν B 13 ἀσπίδα om. A 15. 16 scholio 18 adi. B om. ὑπῆρχεν et post ὑπέκειτο add. γάρ φησι καὶ 15 ὑπέκειτο B φέρων ἐπὶ τοῖς ὤμοις B 16 in fine add. ὑπόνοιαν διδοὺς καὶ τὰ ἑξῆς B 18 initio add. τουτέστιν B καὶ σημεῖον B in fine add. ὁποῖα ἡ πόλις πείσεται B 20—22 cf. Hygin. 186 Strab. VI p. 265 Diodor. XIX 53,6 scholio p. 374,29 adi. MA add. δὲ post τινὲς M 20 ἑβδόμους A 24 ἕκαστον T om. A spatio rel. ἐχίδνας T 26—p. 370,5 scholio quod praecedit adi. MTA, scholio p. 370,8.9 B 26 τουτέστι κεφαλαῖς] τὴν κεφαλὴν MT

ρῶν τὴν ἀσπίδα καὶ ἔχων αὐτὴν ἐν τοῖς λαιοῖς βραχίοσιν. ἐκπληρῶν δὲ ἀντὶ τοῦ ⟨ἐκ⟩πληρώσας. τὸ ἑξῆς· ἀσπίδα ἔχων λαιοῖς ἐν βραχίοσιν, ἑκατὸν ἐχίδναις ὕδρας ἐκπληρῶν τῇ γραφῇ. ἀντὶ τοῦ ἑκατὸν κεφαλαῖς. λέγει δὲ τὴν ὕδραν· ἐχιδνώδεις γὰρ ἦσαν αἱ ταύτης κεφαλαί: — MTAB

† ἐν ζωγραφίᾳ πολλῶν ἐχιδνωδῶν ὑδρῶν ἐκπληρῶν τὴν ἀσπίδα: — A

τὴν πολυκέφαλον ὕδραν ἐκπληρῶν τῇ γραφῇ: — M[i]

ἑκατὸν ἐχίδναις ἀσπίδ' ἐκπληρῶν γραφῇ: πληρῶν τὴν ἀσπίδα ἑκατὸν ἐχίδναις· ἐχιδνοκέφαλος γὰρ ἡ ὕδρα: — B

1137 Ἀργεῖον αὔχημ': ἀλλὰ γὰρ βασιλεὺς ὢν τοῦ Ἄργους ἔφερε παράδοξα αὐχήματα λυμαινόμενα καὶ ἐναρπάζοντα τὰς Θήβας. ἐν Λέρνῃ γὰρ τῇ Ἀργείᾳ κρήνῃ ἀνεφύη ἡ ὕδρα, ἥτις δρακόντων κεφαλὰς παμπληθεῖς εἶχεν. οὕτως γοῦν ὁρῶν αὐτὰς Ἡρακλῆς τεμνομένας καὶ πάλιν βλαστώσας ἐκέλευσεν Ἰολάῳ τὰς τεμνομένας περικαίειν. ἔφερεν οὖν τὴν ἀσπίδα τοῖς ἀριστεροῖς βραχίοσι τῇ γραφῇ τῆς ὕδρας πεπληρωμένην καὶ διὰ τῆς γραφῆς τῆς ὕδρας ἐκπληρῶν ἐχίδναις, αἳ † δὴ καὶ ἀνήρπαζον: — MTA

1138 δράκοντες ἔφερον: αἱ ἐχιδνώδεις κεφαλαὶ τῆς ὕδρας. δράκοντας δὲ εἶπεν εἶδος ἀντὶ εἴδους παραλαβών: — MTA

1140 ξύνθημα: ἀντὶ τοῦ σημεῖόν τι ἴδιον † ἐπιγινώσκουσιν ὑπὲρ τοῦ τοὺς οἰκείους μὴ φονεύειν: — MTAB

λέγει δὲ τὸ κηρύκειον. ταῦτα δέ, φησίν, εἶδον ἀκριβῶς πρὸς ἕκαστον τῶν ταξιάρχων κῆρυξ ἀποστελλόμενος: — MTA

τοῖς στρατηγοῖς τῶν ταγμάτων: — M[g]B

1141 μεσαγκύλοις: ἀκοντίοις, διὰ τὸ κατὰ μέσον τοῦ ξύλου τὰ ἀκόντια ἀγκύλον τι καὶ κοῖλον ἔχειν ἐγγλυφέν, εἰς ὃ ἐμβαλόντες τὸν

1—5 ἀσπίδα—κεφαλαί om. A spatio rel. 1 ἐν] ἐπὶ B 1—3 ἐκπληρῶν—βραχίοσιν om. MT 7 τὴν γραφὴν M[i] 11 παραδοσ M παράδοξα καὶ A μαινόμενα MTA 13 ἡρακλῆσ ὁρῶν αὐτὰσ TA 14 παρακαίειν MA καίειν T 16 ἐχίδναισ αὐτὴν ἐκπληρῶν καταγραφεισῶν TA 17 ἀνέρπαζον A 18. 19 cf. schol. Or. 479 18 ἔχιδναι τῆσ κεφαλῆσ TA 19 δὲ εἶπεν om. M 20. 21 cf. lex. Bachm. p. 375,26 Phot. Suid. et. m. p. 735,24 20 ἀντὶ τοῦ om. B εἰς γνώρισιν Valckenaer, scripserim ἐπὶ γνωρισμῷ 20. 21 ἀπὸ τοῦ M ἀπὸ τὸ T μὴ τοὺσ ἰδίουσ AB 22. 23 scholio quod praecedit adi. MTA 23 τῶν] αὐτῶν T τῶν ταξιαρχῶν in fine coll. A 24 scholio 20. 21 adi. B initio add. ποιμέσι δὲ λόγων θαυμάτων M[κ] 25—p. 371,2 cf. schol. Or. 1476 Andr. 1133 scholio quod praecedit adi. B add. μεσαγκύλοισ δὲ 25 τὸ μέσον T μέσου B 25. 26 τὰ—καὶ om. A 26—p. 371,2 ἐγγλυφὲν—πολέμιοι om. B

δάκτυλον τὸν δεύτερον καὶ τοῖν δυοῖν ἑκατέρωθεν κατέχοντες τατικώτερον ῥίπτουσιν οἱ πολέμιοι: — MTAB

1143 σχίσμασι κλάσμασιν· οὐ γὰρ πέτρας ἔρριπτον μεγάλας οὔσας, ἀλλ' εἰς μικρὰ κλῶντες αὐτὰς ἔρριπτον: — $\mathrm{M^gT}$

ἄλλως: τοῖς σχισμοῖς. ἐκ δὲ τούτου θέλει εἰπεῖν τοὺς λίθους τοὺς ἐκ πετρῶν κατερρωγότας: — TA

1145 αἱματωθῆναι πληγαῖς: — $\mathrm{M^g}$

† ἐκ μεταφορᾶς τῶν ἐρίων κατὰ μικρὸν τῇ ἐργασίᾳ ξαινομένων: — B

1146 τί μέλλετ' ἄρδην: διὰ τί κατ' ὀλίγον ἀναλισκόμεθα καὶ οὐχὶ πάντες ἐμπίπτομεν ταῖς πύλαις: — MTAB

ἀναβάλλεσθε: — $\mathrm{M^g}$

1147 ὄνομα στρατιωτῶν οὐ πανοπλίᾳ χρωμένων, ἀλλὰ τῇ σφενδόνῃ. πεζοί: — $\mathrm{M^fT}$

οἱ σφενδονῆται καὶ οἱ τοξόται: — B

φροντισταί: — $\mathrm{M^i}$

1149 κρᾶτας αἱματούμενοι: ἀμφίβολον πότερον τὰς κρᾶτας εἶπεν ἢ τοὺς κρᾶτας· ἐπεὶ καὶ ἐν Ἀρχελάῳ [frg. 243]· 'ἐγὼ δὲ τὸν σὸν κρᾶτ' ἀναστέψαι θέλω'. καὶ Ὅμηρος ἀμφιβόλως εἴρηκεν [χ 309]· 'κράτων τυπτομένων'. καὶ Ἴων [frg. 61]· 'τύπτου τὸν αὐτοῦ κρᾶτα': — TAB

κεφαλάς: — $\mathrm{M^g}$

1151 ἐπὶ κεφαλῆς πίπτοντας: — $\mathrm{M^gB^i}$

τὴν ψυχὴν παραδιδόντας: — $\mathrm{M^gTB^i}$

1153 ὁ δ' Ἀρκὰς οὐκ Ἀργεῖος: Ἀρκὰς γὰρ ὢν ἐν Ἄργει ἐπαιδεύθη. ὡς ἐν ἄλλοις φησίν [Suppl. 890]· 'Ἀρκὰς μὲν ἦν, ἐλθὼν δ' ἐπ' Ἰνάχου ῥοὰς παιδεύεται κατ' Ἄργος': — MTAB

1154 τυφὼς πύλαισι: τύφεσθαί ἐστι τὸ τοὺς ὀφθαλμοὺς συγκεχύσθαι. Μένανδρος ἐν Φιλαδέλφοις [frg. 4]· 'νὴ τὸν Δία τὸν μέγιστον ἐκτυφήσομαι'. καὶ ἐν Ἐπιτρέπουσιν [frg. 10]· 'ἐξετύφην μὲν οὖν κλαί-

1. 2 στατικώτερον MA ταxτικώτερον T   5 τοῖς A τῶν T   6 κατερραγότας T   10 πίπτομεν A   12 χρώμενοι $\mathrm{M^iT}$   14 scholio 9. 10 adi. B initio add. γυμνῆτις δὲ   17 τοὺς κρᾶτας] τὰ κράτα T   18 κράτα TAB   ἀναστρέψαι TB   εἴρηκεν εἰπὼν B   19 κράτος T   τύπτου τὰ T τύπτων τὸν A   αὑτοῦ TAB em. Nauck   κάρα T   21 scholio 22 adi. $\mathrm{B^i}$ initio add. καὶ   23 ἄρκει T   23. 24 ἐπαιδεύετο T   24 ἦν om. T   24. 25 λθὼν δ' ἐ om. T spatio rel.   25 ῥοαῖς MTAB   ἐπάργος T   27 δ' ἐν M   νὴ τὸν Δία] μηδία M   28 ἐκταφήσομαι T   ἐκτυφηθήσομαι M   ἐξετυφήθην M ἐξετύφου T   28. p. 372.1 κλέουσα M

ουσα'. τυφὼς οὖν ἡ ἐκ τῆς ἀναθυμιάσεως συστροφὴ πρὶν ἐκπυρωθῆναι τὸν ἀέρα· βούλεται δὲ ἀπὸ μέρους τὸ πῦρ δηλῶσαι· ἐμπεσών, φησί, ταῖς πύλαις ὡς πῦρ ἀνεβόησε μεγάλῃ φωνῇ. πῦρ καὶ δικέλλας αἰτῶν. τινὲς ἐκ τοῦ Τυφῶνος ἐξεδέξαντο ἑνὸς τῶν γιγάντων: — MTAB

τυφών: τεράστιος δαίμων. λέγεται δὲ καὶ τὸ σφοδρὸν τοῦ ἀνέμου πνεῦμα: — $M^{1}B^{i}$

1155 ἐργαλεῖον μοχλευτικόν: — $M^{g}$

1156 ἀλλ' ἔσχε μαργῶντ' αὐτὸν ἐναλίου: πρὸς ταῖς Κρηναίαις πύλαις φησὶ τὸν Παρθενοπαῖον ὑπὸ τοῦ Περικλυμένου λιθοβοληθῆναι Ἀριστόδημος [frg. 4]: — MTAB

μεμηνότα: — $M^{g}B^{g}$

τοῦ Ποσειδῶνος: — $M^{g}B^{i}$

1157 ὄνομα κύριον: — $M^{g}B^{g}$

1158 δυνάμενον πληρῶσαι ἅμαξαν. ἀπὸ κοινοῦ δὲ τὸ ἐμβαλών: — TB

γεῖσα: ὃν εἶπε λίθον, τοῦτον λέγει γεῖσα, ὄντα τῶν τειχῶν: — TA

ἄλλως: τὰς ποικίλας ἐξοχὰς τῶν οἰκοδομημάτων: — TA

ἄλλως: τὰ ἄκρα τῶν ἐπάλξεων: — $TAB^{i}$

λαμβάνεται δὲ καὶ ἐπὶ τειχῶν ἡ λέξις: — T

1159 διεπάλυνε: εἰς λεπτὰ διέχεε. καὶ γὰρ παιπάλη λέγεται τὸ λεπτὸν τοῦ ἀλεύρου. Ὅμηρος [K 7]· 'ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρού-

---

1. 2 cf. Hesych. s. v. τυφών Phot. Suid. s. v. τυφών et. m. p. 772,32 Zon. p. 1754    1 μὲν οὖν B    ἀθυμιάσεως A    συστροφὴ post ἀέρα coll. B    1. 2 πρὶν—ἀέρα om. A    1 ἀναπυρωθῆναι M  ναπυρωθῆναι T    2 δηλῶσαι τὸ πῦρ A    3 πῦρ om. A    ἀναβοῆσαι A    μεγάλη τῇ φωνῇ A  φωνῆι μεγάληι B    4 ἐδέξαντο B om. A    5 λέγεται δὲ om. $B^{i}$    6 πνεύσαντος $M^{1}$ om. $B^{i}$    9. 10 λίθω βληθῆναι MTA    10 Ἀριστόδημος om. M sed habet $M^{g}$ ἀριστόδημός φησι πρὸς ταῖς κρηναίαις πύλαις τὸν παρθενοπαῖον ὑπὸ τοῦ περικλυμένου λιθοβοληθῆναι    14. 15 scholio 8—10 adi. B initio add. ἁμαξοπλήθει δὲ B    14 δυναμένην T  δυναμένωι B    14. 15 ἀπὸ—ἐμβαλών om. T    ἐμβαίνων B    16 τοῦτο A    17—19 cf. schol. Or. 1569 Hesych. s. v. γεῖσα. γεῖσον lex. Bachm. p. 184,2 et. m. p. 229,32 Gud. p. 122,19 Zon. p. 431 Choerob. Cram. an. Ox. II p. 189,16    18 ἄλλως T  ἢ A initio add. γεῖσα νῦν $B^{i}$    19 scholio quod praecedit adi. T    τειχῶν] χειρῶν T    inde ab hoc scholio desinit T, scholion quod sequitur anteriore loco extat    20—p. 373,2 cf. Hesych. s. v. παλύνας schol. K 6 B Soph. Ant. 246 Eust. p. 1162,48. 1751,33. 1766,38    20 λεπτὸν A    καὶ om. M παιπάλη γὰρ M    γὰρ om. T    21 ὡς δ' ὅτε B    ἐρ om. A spatio rel.

ρας', ἀντὶ τοῦ ἐπέπασσεν. ἢ ἀντὶ τοῦ ἐμόλυνεν. παρὰ τὸ [E 100] 'πaλάσσετο δ' αἵματι θώρηξ': — MTAB

διέσχισεν: — $M^g$

ἁρμογὰς καὶ συνδέσεις. πέντε δὲ ῥαφὰς εἶναί φασιν οἱ ἰατροὶ τῆς κεφαλῆς: — MA

1160 ἄρτι δ' οἰνωπὸν γένυν: τὴν πυρράν. ἢ τὴν ἀνθηρὰν γένυν εὐθέως καὶ παραχρῆμα ᾑμάτωσεν: — MAB

τὴν πυρρὰν γενειάδα: — $M^g$

1161 οὐδὲ ἀπέρχεται ζῶν πρὸς τὴν μητέρα: — $M^g B^i$

1162 τῇ 'Αρκαδικῇ: — $M^g$

Μαινάλου κόρῃ: γράφεται χθόνα, τουτέστιν εἰς τὴν Μαιναλίαν χθόνα. Μαινάλου δὲ κόρῃ τῇ ἀπὸ Μαινάλου ὄρους 'Αρκαδίας. ὡς φιλοκύνηγος δὲ ἐν ὄρει διέτριβεν. τὸ δὲ κόρη ⟨ἀ⟩διαφόρως τάττουσιν ἐπὶ τοῦ γυνή: — MAB

1165 ἀκολούθους ἀσπιδηφόρους: — $M^g B^i$

1167 τὰς ἐξοχὰς τῶν ἐπάλξεων: — $M^g A^g$

ὥστ' ἐπάλξεων: τῶν ἐπάλξεων τὰ ἄκρα: — $M M^g A B^i$

ἄλλως: ἐπάλξεων ἐρίπνας: περιφραστικῶς τὰς ἐπάλξεις. καταλιπεῖν φυγάδας γενομένους. ἐρίπναι δὲ αἱ ἄκραι παρὰ τὸ μεγάλως καταπνέεσθαι: — MAB

ἄλλως: ἐρίπνας: τὰς ἀκρωρείας. τὸ δὲ φυγάδας † ὥστε πάλιν τοὺς φυγόντας ὁ σὸς παῖς ὡς κυνηγὸς ἐξαθροίζει καὶ ὁρμᾷ: — MA

1169 ἐξαθροίζεται: τοὺς φυγάδας συναθροίζει καὶ συνάγει, ὡς ἐπὶ κυνῶν θήρας φευγόντων: — MAB

† ἐξαθροίζει οὖν, φησί, τούτους τοὺς φεύγοντας ὑπὸ τῶν πολεμίων: — A

1 ἀντὶ τοῦ om. T cf. et. m. p. 650,1 Zon. p. 1516 παλύνω: ὡς μὲν Ἀπίων, τὸ μολύνειν καὶ βρέχειν ἢ—ἐμόλυνεν om. B ἀντὶ τοῦ om. TA παρὰ τὸ om. MA 2 πάσσετο M 4. 5 scholio p. 372,20—p. 373,2 adi. M initio add. τὸ δὲ ῥαφὰσ 4 συνθέσεισ M δὲ A καὶ M 4. 5 τῆς κεφαλῆς om. A 6 τὴν πυρράν ἢ om. B 7 γένυν] ἣν B καὶ παραχρῆμα om. A 11 γράφεται χθόνα om. M γράψον A τουτέστιν] τὴν A μαινάλου B 13 ἀδιαφόρως Valckenaer 17—20 cf. Hesych. s. v. ἐρίπνη et. m. p. 374,32 Zon. p. 865 19 φυγάδας γενομένους om. A γινομένουσ M 21 τὸ om. A φυγάδασ δὲ A e. g. coniecerim εἰς τὸ ἑξῆς· αὐτοὺς 22 πόλιν A τοὺς om. A ὁ—ὁρμᾷ] ὡσ κυνηγὸσ ὡσεὶ παῖσ σὸσ ἐξαθροίζεται καὶ συνάγει ὡσ ὑπὸ θηρῶν κύνασ φεύγοντασ A 23 καὶ συνάγει om. B 24 ἐπὶ θῆρασ κυνῶν B ὑπὸ θηρῶν κύνασ A φεύγοντασ A 25 scholio quod praecedit adi. A

1170 κατέστησεν αὐτοὺς πάλιν ἐπὶ τοῖς πύργοις: — $M^g$

1171 τοῦτο τὸ μέρος δυστυχοῦν καὶ κακῶς ἔχον καταπαύσαντες περιήλθομεν εἰς τὰς ἄλλας πύλας: — $M^g B^i$

1173 μακραύχενος γὰρ κλίμακος: ὁ Καπανεὺς θέλων μιμήσασθαι τὸν Δία ἀνῆλθεν εἰς κλίμακα ἔχων δύο λαμπάδας· τὴν μίαν κεραυνὸν ἔλεγεν εἶναι καὶ τὴν μίαν ἀστραπήν. ἐπὶ τούτοις ὀργισθεὶς ὁ Ζεὺς ἐκεραύνωσεν αὐτόν: — MA

τῆς ὑψηλῆς κλίμακος πρὸς τὰς ἀναβάσεις: — $M^g B$

1174 τοσοῦτον ἐκαυχήσατο: — $M^g A^g B^i$

1175 τίμιον: — $M^g B^i$

τουτέστιν ὁ κεραυνός: — $M^g A^g B^i$

τὸ φοβερὸν πῦρ τοῦ Διός: — $M^g A^g$

οἷον μὴ ἀποκωλύειν αὐτόν: — $M^g$

1176 τοῦ μὴ πορθεῖν τὴν πόλιν ἀπὸ ἄκρων τειχέων: — $M^g A^g B^i$

τὸ μὴ οὐ κατ' ἄκρων περγάμων: ἢ κατά πρὸς τὸ ἑλεῖν· [εἰς] τὸ μὴ καθελεῖν τὴν πόλιν. τὸ οὐ πλεονάζει. περγάμων δὲ τῶν τειχέων: — MAB

1178 ἀνεῖρφ' ὑπ' αὐτήν: ἐναργῶς ἔδειξε τὸν ὑπὸ τῇ ἀσπίδι κεκρυμμένον καὶ βαλλόμενον ἄνωθεν, ὁμοίως τῷ [Π 360] 'ἀσπίδι ταυρείῃ κεκαλυμμένος': — MAB

συστρέψας: — $M^g A^g$

1179 ἐν οἷς τὰ ὑπόβαθρα πήγνυται δι' ὧν ἀναβαίνουσιν ἐπὶ τὰ τείχη: — $M^g$

βαθμούς: — $M^g$

ἐνηλάτων βάθρα: περιφραστικῶς τὰ ἐνήλατα, ὅπου ἐπιβαίνομεν. ἢ τὰς βάσεις τῶν ἐνηλάτων τῆς κλίμακος: — MAB

ἄλλως: ἐνήλατά ἐστι τὰ ὀρθὰ ξύλα, ἔνθα πήγνυνται καὶ ἐλαύνονται τὰ βάθρα τῆς κλίμακος: — MAB

ἀντὶ τοῦ εἰς ὕψος: — MA

ἄλλως: τῶν θεμελίων καὶ τῶν βάσεων: — MA

---

2 τὸ μέρος om. $B^i$  2. 3 καταπαύσαντες—πύλας om. $B^i$  6 κεραυνοῦ M κεραύραν A  τούτω A  8 πρὸς τὰς ἀ. τ. ὑ. κλ. B  in fine add. ἀνήρχετο B  15 πρὸς] εἰς A  16 τὸ γὰρ οὐ B  16. 17 περγάμων—τειχῶν post ἑλεῖν coll. B  17 τειχῶν AB  18 ἐναργῶς om. M  τὸν Laur. 32, 33 τοῦτον MAB  τῆς ἀσπίδος M  25 τὰ om. B  27 εἰσι B  πήγνυται B  27. 28 καὶ ἐλαύνονται om. A  ἐλαύνεται B  28 in fine add. κῶλα δὲ τὰ ἄκρα τῶν ποδῶν B  29 scholio quod praecedit adi. MA initio add. τὸ δὲ βάθρα. nescio an dittographia sit scholii p. 375,3  30 initio add. βάθρων M  scholion confusum

1183 ὡς ἀπὸ σφενδόνης ἐχωρίσθησαν αὐτοῦ τὰ μέλη ἀπ' ἀλλήλων: — M[g]B[1]

εἰς ὕψος: — M[g]A[g]

1185 χεῖρες δὲ καὶ κῶλ' ὡς κύκλωμ' Ἰξίονος: ὡς ὁ τροχὸς Ἰξίονος, περὶ ὃν ἀεὶ στρέφεται. οὗτος γὰρ διὰ τὸ τῆς Ἥρας ἐρασθῆναι ταύτην κατεδικάσθη τὴν τιμωρίαν: — MAB

Ἰξίων Λαπίθης τὸ γένος ἠγάγετο Δίαν τὴν Ἠιονέως θυγατέρα, τὸν δὲ πενθερὸν αὐτοῦ ἐλθόντα ἐπὶ τὰ ἕδνα συνεσκευάσατο. ὄρυγμα γὰρ ποιήσας ἐν τῇ οἰκίᾳ καὶ γεμίσας πυρὸς ἐκεῖ τὸν Ἠιονέα ἐνέβαλεν. ἐφ' ᾧ οἱ θεοὶ ἠγανάκτησαν· ὁ δὲ Ζεὺς ἐλεήσας τὸν Ἰξίονα καὶ λαβὼν αὐτὸν ἐν τῷ ἰδίῳ ἱερῷ ἀφῆκε μεταδιδοὺς αὐτῷ καὶ τῆς ἀθανασίας. ὃς ἀκολασταίνων ἰδὼν τὴν Ἥραν ἠράσθη αὐτῆς. μὴ φέρουσα δὲ ἡ Ἥρα τὴν μανίαν αὐτοῦ φησι τῷ Διί· ἐφ' ᾧ ἀγανακτήσας ὁ Ζεὺς βουλόμενός τε γνῶναι εἴ γε ἀληθές ἐστιν, ἀπείκασε τῇ Ἥρᾳ νεφέλην, ἣν ἰδὼν ὁ Ἰξίων νομίσας τὴν Ἥραν εἶναι μίγνυται αὐτῇ καὶ ποιεῖ παῖδα διφυῆ, τὰ μὲν ἀνθρώπου ἔχοντα τὰ δὲ ἵππου, ἀφ' οὗ καὶ οἱ Ἱπποκένταυροι γεγόνασιν. ὀργισθεὶς δὲ ὁ Ζεὺς ὑποπτέρῳ τροχῷ τὸν Ἰξίονα δήσας ἀφῆκε τῷ ἀέρι φέρεσθαι μαστιζόμενον καὶ λέγοντα· 'χρὴ τιμᾶν τοὺς εὐεργέτας.'

οἱ μὲν ὅτι ἐταρτάρωσεν αὐτόν, οἱ δὲ ὅτι καὶ πύρινος ἦν ὁ τροχός, φασίν: — MA

1186 ἐκάμπτετο ἐστρέφετο: — M[g]B

---

4. 5 scholio p. 374,24—27 adi. B initio add. ὡσ κύκλωμα δὲ τοῦ ἰξίονοσ B 5. 6 οὗτος — τιμωρίαν om. B sed habet B[1] 5 γὰρ ὁ ἰξίων B[1] 6 in fine add. ἐν ᾅδου B[1] 7—20 schol. Lucian. dial. d. 6 p. 216 R. Ἰξίων Λαπίθης τὸ γένος ὢν ἠγάγετο Δίαν τὴν Ἠιονέως. τὸν δὲ πενθερὸν αὐτοῦ ἐλθόντα ἐπὶ τὰ ἕδνα συνεσκευάσατο· ὄρυγμα γὰρ ποιήσας καὶ γεμίσας πυρὸς ἔνθα αὐτὸν ἐνέβαλεν. ἐφ' ᾧ οἱ θεοὶ ἀγανακτήσαντες ἔμελλον αὐτὸν τιμωρεῖν· ὁ δὲ Ζεὺς μόνος ἠλέησεν αὐτὸν καὶ λαβὼν ἰδίῳ ἱερῷ ἀφῆκε μεταδιδοὺς αὐτῷ τῆς ἀθανασίας. οὗτος δὲ ἀκόλαστος ὢν ἠράσθη Ἥρας, ἣ ἀνήγγειλε τῷ Διί. ὁ δὲ δοκιμάζων αὐτὸν ἀπείκασε νεφέλην τῇ Ἥρᾳ ᾗ μίγνυται Ἰξίων καὶ ποιεῖ παῖδα τὰ μὲν ἀνθρώπου ἔχοντα, τὰ δὲ ἵππου ἀφ' οὗ ⟨οἱ⟩ Ἱπποκένταυροι. ὁ δὲ Ζεὺς ὀργισθεὶς καὶ ὑποπτέρῳ τροχῷ δήσας τὸν Ἰξίονα ἀφῆκε φέρεσθαι διὰ ἀέρος μαστιζόμενον καὶ λέγοντα· 'χρὴ τιμᾶν τοὺς εὐεργέτας'. cf. schol. Ap. Rh. III 62 A 268 φ 303 Pind. Pyth. II 40 Diod. IV 69 Hyg. 62 Serv. ad Aen. VI 286. 601 Nonn. narr. p. 386 West. scholio quod praecedit adi. MA 9 ἰονέα M 11 αὐτῷ om. M 13 ἐφοῦ A 14 γνῶναι M δοκιμάσαι A 16 οἱ λοιποὶ κένταυροι MA 18 post φέρεσθαι ins. οἱ δὲ ὅτι ἐταρτάρωσεν αὐτὸν MA 19 οἱ—αὐτόν om. A 21 scholio quod sequitur adi. M[g]B add. ἀεὶ B ἐκάμπτετο B ἐκαλύπτετο M[g] ἐστρέφετο om. B

ὑπὸ πυρός: — $M^{g}B$

κεκαυμένος: — $M^{g}$

1190 γνωρίσαντες: — $M^{g}$

τὰ ἅρματα περιφραστικῶς: — $M^{g}A^{g}B^{i}$

1191 ἐν μέσῃ τῇ παρατάξει: — $M^{g}A^{g}B^{i}$

1192 συνέβαλον: — $M^{g}$

1194 ἄξονές τ' ἐπ' ἄξοσι: παρὰ τῷ Αἰσχύλῳ ἐν Γλαύκῳ Ποτνιεῖ [frg. 36]· 'ἐφ' ἅρματος γὰρ ἅρμα καὶ νεκρῷ νεκρός, ἵπποι δ' ἐφ' ἵπποις ἦσαν ἐμπεφυρμένοι': — MAB

1195 νεκροὶ δὲ νεκροῖς: ἐπὶ νεκροῖς ἐσωρεύοντο. περισσὴ δὲ ἡ ἐξ: — MA

σωρηδὸν ἀλλήλοις ἐπέκειντο: — $MAB^{i}$

ἀνεμίγνυντο, ἐπ' ἀλλήλοις ἔπιπτον: — MA

1196 ἔσχομεν κατασκαφάς: ἐπέσχομεν τῆς πόλεως τὴν κατασκαφὴν καὶ τὴν πόρθησιν: — A

† τοὺς θεμελίους τῶν πύργων κατασκαφῆναι διεκωλύσαμεν: — $B^{i}$

τὰς πορθήσεις: — $M^{g}A^{g}$

1200 καλὸν τὸ νικᾶν: εἰ οἱ θεοὶ τὰ δίκαια κρίνουσι, πάντως ἡττηθήσονται οἱ Θηβαῖοι. ἐγὼ οὖν, ὁ χορός, σωθείην, διαφύγοιμι: — $MAB^{i}$

ἄλλως: καλὸν τὸ νικᾶν ἐστιν. εἰ δὲ καὶ βέλτιον τοῦ νικᾶν ἡμᾶς βουλεύονται οἱ θεοί, εὐτυχοίην ἄν· λέγει δὲ τὸ φιλίαν ἐμβαλεῖν τοῖς ἀδελφοῖς: — MAB

εἰ δ' ἀμείνον' οἱ θεοί: τινὲς ἀντὶ τοῦ δικαίαν. ὁ δὲ νοῦς· γένοιτο μὲν νικᾶν τοὺς Θηβαίους· εἰ δὲ οἱ θεοὶ τὰ δίκαια κρίνουσι καὶ συμβῇ ἀπολέσθαι τοὺς Θηβαίους, ἀλλ' οὖν ἐγὼ διαφύγοιμι: — MAB

1201 γράφεται ἔχοιεν: — $M^{g}$

περὶ ἡμᾶς δηλονότι: — $M^{g}$

1204 Κρέων δ' ἔοικε τῶν ἐμῶν νυμφευμάτων: καὶ τῶν ἐμῶν νυμφευμάτων καὶ τῶν Οἰδίποδος κακῶν ὁ Κρέων ἀπέλαυσεν: — MA

1 ὑπὸ τοῦ B 8 ἅρμα] ἅρματα M νεκρῷ νεκρόσ B νεκρῶν νεκροί MA 9 ἐμπεφυμένοι Laur. 32, 33 ἐκπεφυγμένοι MAB em. Valckenaer 10 νεκροὶ δὲ νεκροῖσ A τροχοὶ τ' ἐπήδων M 12 scholio quod praecedit adi. MA 13 scholio quod praecedit adi. MA ἀλλήλοισ ἐπέπιπτον A 18 κρίνωσι A 19 καὶ διαφύγοιμι $B^{i}$ 22 βούλονται MA εὐτυχείην MA 24 δίκαιον M δικαίωσ A 25 νικᾶν] τιμᾶν A εἰ δὲ οἱ] οἱ δὲ A κρίνουσι ex κρίνωσι corr. M 29 καὶ om. A 30 οἰδίπου A ἀπήλαυσεν A

1205 ἀπολαύειν μετέχειν: — $M^gA^g$

1207 λυπηρῶς: — $M^g$

ἀλλ' εἰς τὴν ἀρχὴν τοῦ λόγου ἀνάδραμε καὶ διήγησαι τί μέλλουσι δρᾶσαι: — M

1209 ἔα τὰ λοιπά: μὴ περαιτέρω πύθῃ: — MAB

δεῦρ' ἀεί: ἀντὶ τοῦ μέχρι τούτου καὶ ἕως τούτου: — MAB

1210 τοῦτ' εἰς ὕποπτον εἶπας: ἐπειδὴ εἶπεν· ἔα τὰ λοιπά, ἀεὶ καλῶς πράσσεις, εἶπεν ὅτι εἰς ὑποψίαν εἶπας: — MAB

εἰς ὑποψίαν: — $M^gA^g$

1212 ἀντὶ τοῦ πράξω: — $M^g$

1213 μέθες μ'· ἔρημος παῖς: ἀντὶ τοῦ· ἐμοῦ ἔρημος καὶ χωρίς ἐστιν ὁ σὸς παῖς: — MAB

ἀσπιδηφόρου: — $M^gA^gB$

1214 καλύπτεις ἐν ἀφανείᾳ: — $M^gAB$

κρύπτεις: — $M^gA^g$

1215 κοὐκ ἄν γε λέξαιμ' ἐπ' ἀγαθοῖσι: πρὸς οἷς ἔλεξα ἀγαθοῖς οὐκ ἂν ἀγγείλαιμι τὰ κακά: — MAB

1216 ἤν μή γε φεύγων: εἰ μὴ ἄρα φεύγων με ἐκφύγῃς εἰς τὸν αἰθέρα: — $MA^g$

1219 λείπει τὸ ποιεῖν: — $A^gB^i$

1223 ὑψηλοῦ τείχους: — $M^gA^g$

ὑπῆρξ' ἀπ' ὀρθίου: προήρξατο κατήρξατο. ὀρθίου δὲ ὑψηλοῦ. ἀρχηγὸς ἐγένετο κελεύσας κηρῦξαι: — MAB

1224 ἐπίρρημα: — $M^gB^g$

1225 ἔλεξε δ', ὦ γῆς Ἑλλάδος στρατηλάται: ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετέβη. λείπει οὖν τῷ λόγῳ τὸ ταῦτα λέγων. οὗτος δὲ οὐ φέρεται ἐν τοῖς πολλοῖς ἀντιγράφοις: — MAB

---

3. 4 scholio 25—27 adi. M 4 in fine secuntur in M ἢ γοῦν ......
5 πάθησ A in fine add. γράφεται δεῦρ' ἀεὶ γὰρ εὐτυχεῖσ MB 6 scholio quod praecedit adi. A om. ἀντὶ τοῦ et add. γὰρ post μέχρι μέχρι τοῦ δεῦρο B in fine add. εὐτυχεῖσ A 7 ἀεὶ] εἰ MAB 8 πράσσω M εἶπεν—εἶπας om. M εἶπεν B εἴπερ A εἶπεσ A 11. 12 scholio quod sequitur adi. B om. ἀντὶ τοῦ ἐμοῦ 12 post ἐστιν add. ἐμοῦ τοῦ ὑπασπιστοῦ B ὁ om. M 13 initio add. ἀντὶ τοῦ B 14 initio add. καὶ B καλύπτει σε ἢ $M^g$ κάμπτεισ ἐν B 17 τὰ om. A 22 κατήρξατο om. M ἀπ' ὀρθίου B ἀφ' ὑψηλοῦ B
25. 26 vs. 1225 non adgnoscit scholiasta 27 hic om. B, sed adi. scholio quod sequitur οὕτωσ δὲ M οὗ (corr. in οὕτωσ a rubratore) δὲ A οὗτοσ δὲ ὁ στίχοσ B οὐ φέρεται in fine coll. B φαίνεται MA ἐν om. MA τοῖς om. B

1226 Δαναῶν ἀριστεῖς: Ὁμηρικῶς ἤρξατο [Γ 86]· 'κέκλυτέ μευ Τρῶες καὶ ἐυκνήμιδες Ἀχαιοί': — MAB

1228 ἀπολλύετε προΐεσθε: — $M^{g}$

ψυχὰς ἀπεμπολᾶτε: ἐκπονεῖτε. ἀπεμπολᾶν δὲ κυρίως ἐστὶ τὸ πιπράσκειν: — MAB

εἰς κίνδυνον ἐκδίδοτε· ἡ δὲ μεταφορὰ ἀπὸ τῶν ἐν τῇ θαλάσσῃ κινδυνευόντων διὰ τὸ κέρδος: — MAB

ἄλλως: ἐκβαλὼν τὸν κοινὸν κίνδυνον ὑμῶν καὶ τὸν πόλεμον: — MAB

1232 παραδοῦναι παρασκευάσω πόλιν: — $M^{g}A^{g}B^{g}$

1234 ἐπανέρχεσθε: — $M^{g}B^{g}$

1235 ἅλις ὃς κεῖται νεκρός: καὶ ὁ τῶν Θηβαίων ὄχλος ἀποθανὼν αὐτάρκης: — MAB

1237 ὥρμησεν: — $M^{g}$

ἐπῄνει: — $M^{g}A^{g}$

1240 ἐπὶ τοῖσδε δ' ἐσπείσαντο: ἐπὶ τοῖς ὡμολογημένοις συνθήκας ἐποιήσαντο: — $MA^{g}B^{i}$

εἰς φιλίαν συνῆλθον: — M

κἀν μεταιχμίοις: καὶ ἐν τῷ μέσῳ μέρει τῶν στρατευμάτων: — $MA^{g}$

μεταίχμιον λέγεται ὁ τόπος ὁ μεταξὺ τῶν δύο στρατευμάτων. ἐπὶ τούτοις τοῖς ὁμιλήμασιν ἐν τοῖς μεταιχμίοις συνελθόντες ἐπεσπείσαντο ἐμμενεῖν αὐτοῖς οἱ στρατηγοί. ἔνιοι δὲ γράφουσι στρατηλάταις μετὰ τοῦ ῑ, ἵνα τοὺς ἄλλους βασιλεῖς καὶ τὰ στρατεύματα ἀκούσωσιν ἐμμένειν τοῖς ῥηθεῖσιν ὑπ' ἀμφοτέρων: — MAB

1241 ὅρκους συνῆψαν: τὰ πρὸς τοὺς ὅρκους ἐπιτήδεια συνέμιξαν [Θηβαίων καὶ Ἀργείων], τουτέστι τὸν οἶνον καὶ τὸ αἷμα τῶν ἱερείων: — MAB

---

1. 2 scholio quod praecedit adi. B post ὁμηρικῶς add. δὲ  1 ὅμηρος MA  2 post καὶ add. δάρδανοι καὶ A  3 ἀπελέσκετε $M^{g}$  4 ἐκποιεῖτε MA  ἀπεμπολᾶν] ἀπεμπολᾶ τε A  ἐστι κυρίως B κυρίως A  6 ἡ μεταφορὰ B ἐκ μεταφορᾶς A  6. 7 κινδυνευόντων ἐν θαλάττῃ AB  7 κέρδους χάριν B  8 scholio 4. 5 adi. B initio add. μεθεὶς δὲ παύσας  κίνδυνον] πόλεμον M  ἡμῶν A  πόλεμον] κίνδυνον M  12 ἀθηναίων A  16 ὁμολογουμένοις M  16. 17 συνθήκην M  17 ἐποίησαν $B^{i}$  21—25 scholio quod praecedit adi. M add. γὰρ post μεταίχμιον  21 ὁ τόπος ὁ] καὶ τὸ πεδίον A  μετὰ M  22 συναχθέντες MA  22. 23 ἐπεσπείσαντο om. spatio rel. A  24 τὰ om. B  26 initio add. οἷον A, idem ex corr. B  27 θηβαῖοι καὶ ἀργεῖοι B referas ad στρατηλάται  τὸ αἷμα καὶ τὸν οἶνον M

1242 ὡπλίζοντο: — $M^gA^g$

1244 πρόμαχον: — $M^gA^g$

1247 ἐπιθυμοῦντες μαινόμενοι: — $M^gA_gB^g$

1248 λαθραίως παρεκβαίνοντες: — $M^gA^g$

1249 προετρέποντο: — $M^g$

γράφεται λόγοισι θαρσύνοντες κἄλεγον: — $B^i$

1250 ἐν σοὶ Ζηνὸς ὀρθῶσαι βρέτας: ἐν σοὶ τρόπαιον στῆσαί ἐστιν ἡμῖν ἐλπὶς τῷ τε Ἄργει εὐκλεῆ ἀπαγγελίαν δοῦναι. ἢ ἀντὶ τοῦ· εὐκλείας λόγον καὶ φήμην καταλεῖψαι τῇ πατρίδι: — MAB

στῆσαι τὸ ἄγαλμα: — $M^gA^gB$

1251 νικητήριον: — $M^gA^gBB^g$

1252 παρεθάρσυνον πάλιν οἱ φίλοι: — $M^g$

ἀπὸ κοινοῦ τὸ ἐθάρσυνόν τε καὶ ἔλεγον ταῦτα: — $M^iB^i$

1255 τὴν βολὴν τοῦ πυρός: — $M^gA^gB^i$

† ἐμπύρους τ' ἀκμάς: τὰς ἀναδόσεις τῆς φλογός. τὰ ἄκρα: — A

† ἄλλως: τὰς τῆς φλογὸς ἀναδόσεις καὶ τὰ φῶτα τὰ ἐκ τῶν ἐμπύρων ἀναφερόμενα, ἀφ' ὧν σημειοῦνται οἱ μάντεις. ἀκμάς δὲ τὰς ἀναδόσεις, ἐπεὶ βιαιότατόν ἐστι τὸ πῦρ: — AB

1256 ῥήξεις τ' ἐνώμων: τὰς τῆς χολῆς ῥήξεις ἐπεσκόπουν τὴν ὄψιν μεταφέροντες. τηροῦσι γὰρ οἱ μάντεις τὰς χολὰς πῶς τὴν ὑγρότητα ἀκοντίζουσιν: — MAB

ἄλλως: τῆς κύστεως τὸ στόμα ἐρίῳ δεσμοῦντες ἐπετίθεσαν τῷ πυρὶ καὶ παρετήρουν πῶς ῥαγήσεται καὶ ποῦ τὸ οὖρον ἀκοντίσει. Σοφοκλῆς ἐν Μάντεσι [frg. 361]· 'τὰς μαλλοδετὰς κύστεις': — MAB

ὑγρότητ' ἐναντίαν: τὴν περὶ τῶν ἐναντίων δηλοῦσαν. τὴν ἐπὶ τῶν ἐναντίων καὶ ἐχθρῶν ἀεὶ ταρασσομένην. οἱ γὰρ θύται εἰ περὶ τῶν ἐχθρῶν βουληθεῖεν μαντεύεσθαι, εἰς τὴν χολὴν ἀφορῶσι· πικροὶ γὰρ οἱ ἐχθροί. ὑγρότητα δὲ λέγει αὐτὴν τὴν χολήν. ἢ ἐναντίαν ὡς πρὸς τὸ πῦρ· ξηρὸν γὰρ τοῦτο: — $MAB^i$

---

7 ἐστὶ στῆσαι ἐστὶ M    8. 9 ἀντὶ τοῦ om. AB    9 εὐκλείαν B    καὶ om. A    11 scholio quod praecedit adi. B in fine add. οἱ γὰρ νικῶντες εἴδωλον ἵστασαν διός    13 κοινοῦ δὲ $B^i$    ταῦτα om. $B^i$    20—22 scholio quod praecedit adi. B initio add. ῥήξεις δὲ ἐνώμων    24 ἀκοντίζει B    25 μαλοδέτας MA μαλλοδετεῖς B    κύστις B    26 τὴν—δηλοῦσαν om. $B^i$    27 καὶ om. M    29 λέγουσιν M    29. 30 ἢ—τοῦτο om. $B^i$

ἄλλως: τὴν περὶ τῶν ἐναντίων δηλοῦσαν. τὸ δὲ ἑξῆς· μάντεις τε μῆλ' ἔσφαζον ἐμπύρους τ' ἀκμὰς ἐνώμων (κατὰ κοινοῦ γὰρ τὸ ἐνώμων) ἄκραν τε λαμπάδα ἐνώμων: — MAB

ἐπετήρουν. ἀντὶ τοῦ διέκρινον καὶ ἐσκόπουν. περιφραστικῶς τὴν χολήν: — $M^i$

1257 ἄκραν τε λαμπάδα: τουτέστι τὸ ἄκρον τοῦ πυρὸς ἐσκόπουν, ὃ καλεῖται κέρκος. οἱ δὲ τὴν καρδίαν διὰ τὸ εἶναι πυρώδη τε καὶ θερμήν: — MAB

ἄλλως: τὴν οὐρὰν τοῦ ἱερείου. ἦν γὰρ καὶ δι' αὐτῆς μαντεία. καμπτομένη γὰρ ὑπὸ τοῦ πυρὸς δυσχέρειαν ἐδήλου τοῦ πολέμου, ἁπλουμένη δὲ καὶ κάτω νεύουσα, ἧτταν· ἀνατεινομένη δὲ εἰς ὕψος, νίκην. οἱ δὲ ἄκραν λαμπάδα τὴν χολὴν λέγουσι τὴν ἐν τῷ ἥπατι. σημεῖον γὰρ ἐστι μαντικὸν καὶ ἥττης καὶ νίκης: — MAB

1259 μαγικούς: — $M^gA^gB^g$

1260 ἢ φίλτρ' ἐπῳδῶν: τῶν ἐπᾳδόντων ἀνδρῶν. ἢ ἐπᾳδουσῶν. εἰ δύνασαι εἰς φιλίαν αὐτοὺς ἀγαγεῖν: — MB

σπεῦσον. κυρίως γὰρ ἐπῳδαὶ λέγονται αἱ διὰ τῶν ἐπικλήσεων τῶν μάντεων γινόμεναι: — M

τὰς ἐπικλήσεις: — $M^gA^gB^g$

κώλυσον: — $M^gA^g$

1261 φιλονεικίας: — $M^gA^gB^i$

1262 τὰ ἀγωνίσματα: — $M^gA^gB^i$

καὶ τἆθλα δεινά: ἔπαθλον γὰρ ἑτέρῳ ἔσται ἡ τοῦ ἑτέρου ἀπώλεια· ὥστε ἔξελθε, μὴ καὶ ἀμφοτέρων στερηθῇς: — MA

1263 ἀντὶ τοῦ στερηθήσῃ. τὸ γὰρ στερήσῃ ἀντὶ τοῦ στερηθήσῃ: — $M^g$

---

1 τὰ περὶ B post δηλοῦσαν ins. ἢ διὰ τὸ πικρὰν οὖσαν καλεῖσθαι γλυκεῖαν ἢ ἐναντίαν ὡς πρὸς τὸ πῦρ ξηρὸν γὰρ τὸ πῦρ B δὲ om. A 2 ante κατὰ ins. ὑγρότητ' ἐναντίαν ἐνώμων A κατὰ κοινοῦ] γίνεται M
6. 7 ἐσκόπουν post κέρκος coll. B tum ins. ἄλλως: τὸ ἄκρον τοῦ πυρὸς ὃ καλεῖται κέρκος 7 τε om. AB 9 καὶ γὰρ ἦν καὶ M ἦν γὰρ καὶ ἡ A
10 δηλοῖ AB 10. 11 ἁπλωμένη M 13 ἐστι—νίκης] νίκης καὶ ἥττης A ἐστι νίκης καὶ ἥττης B 15 ἐπαιδόντων ἀνῶν B ἐπῳδῶν ἀνδρῶν M
15. 16 ἡ ἐπάδουσα δύναται B 17. 18 scholio quod praecedit adi. M
18 μαντειῶν M 24 ἐξελθεῖν δεῖ σε A καὶ μὴ A στερηθῆναι A

1266 νῦν σοι προχωρεῖ: ἡ τύχη λέγεται δαιμόνων κατάστασις. ὁ δὲ νοῦς· ἔξελθε τῶν οἴκων· οὐ γὰρ ἐν χορείαις καὶ παρθενῶσιν ἡ παροῦσα τύχη ὥστε καὶ ὄχλον διελθεῖν αἰδεσθῆναι: — MAB

προβαίνει ἡ τῆς εἱμαρμένης παρουσία: — $M^gA^gB^g$

1268 ἀντὶ τοῦ ἐκνεύοντας: — $M^g$

1270 τίν' ὦ τεκοῦσα μῆτερ: τὸ ἑξῆς· τίνα ἔκπληξιν τοῖς φίλοις ἀυτεῖς: — MA

ὁ νοῦς· τίνα, ὦ μῆτερ, καινήν, ἑτέραν, συμφορὰν ἐμοὶ τῇ φίλῃ ἀπαγγέλλεις. τὸ γὰρ φίλοις ἀντὶ τοῦ φίλῃ. ἢ φίλοις ἀντὶ τοῦ περὶ φίλων ἡμῖν, Ἐτεοκλέους καὶ Πολυνείκους: — MAB

συμφοράν: — $M^gA^gB^i$

1272 ἐφθάρη: — $M^gA^g$

1273 ἀντὶ τοῦ· εἰς μονομαχίαν κατέστησαν: — $M^iA^gB^i$

1274 ἐπίρρημα στεναγμοῦ: — $M^iA^gB^i$

συμφοράν, οὐ φίλα λέγω: — $A^gB^i$

1276 οὐκ ἐν αἰσχύνῃ τὰ σά: νῦν οὐχ ἁρμόζει σοι αἰδεῖσθαι. οὐκ ἔστι καιρὸς αἰσχύνεσθαί σε νῦν: — $MAB^i$

1279 ἡγοῦ σὺ πρὸς μεταίχμι': πρὸς τὸν τόπον τὸν μεταξὺ τοῦ πολέμου, ἔνθα ἦν τὸ μονομαχεῖον: — $MAB^i$

οὐ κατασχετέον: — $M^gA^gB^g$

1282 ἐν πολλοῖς οὐ φέρεται: — $B^i$

1285 τρομερὰν φρίκα: ἀντὶ τοῦ φρίκην τρόμου παραιτίαν. καὶ Πίνδαρος [Pyth. IV 81]· 'φρίσσοντας ὄμβρους', τοὺς φρίσσειν ποιοῦντας: — MAB

ἄλλως: ἀντὶ τοῦ· τρομερὰν φρένα ἔχω τῇ φρίκῃ. τρομερὰν ἔχω τὴν φρένα: — MA

τρόμου γεννητικήν: — $M^iA^gB^i$

τρομοποιὸν φόβον: — $M^iA^gB^i$

---

1 κατάστασις ἡ τύχη B 1. 2 λέγεται — κατάστασις om. AB 2 ἔξελθε ἀπὸ B 2. 3 παρθενεῶσιν A 3 in fine add. ἄλλως: ἔξελθε ἐκ τῶν οἴκων οὐ γὰρ ἐν χορείαις καὶ παρθενῶσιν ἀναστραφαῖς ἡ παροῦσα τύχη ὥστε καὶ ὄχλον διελθεῖν αἰδεσθῆναι A 4 initio add. ἀντὶ τοῦ $B^g$ τῆς εἰ. ἡ π. $A^gB^g$ 8—10 scholio quod praecedit adi. MA add. δὲ post ὁ 8 καινήν] καὶ νῦν B 9 τὸ] τοῖς A 10 ἡμῖν om. A 14 scholio quod sequitur adi. $B^i$ initio add. τὸ δὲ οἱ ἐγώ 19 μονομαχεῖν M 23. 24 φρίσσειν ποιοῦντας] φρίσσοντας M 25 ἀντὶ τοῦ om. A 28 scholio quod praecedit adi. $B^i$ add. καὶ

1286 ἀντὶ τοῦ διὰ σαρκός· ὡς τὸ [K 298] 'διά τ' ἔντεα καὶ μέλαν αἷμα': — M[1]AB

1287 ἔλεος ἔλεος: ἔλεός με εἰσῆλθε καὶ οἶκτος ὁ περὶ τῆς Ἰοκάστης διὰ τὰ δίδυμα τέκνα ποῖος ποῖον ἄρα αἱμάξει: — MAB

1288 δίδυμα τέκεα: διπλᾶ: — MA

τοῦτο ἔνιοι σολοικισμὸν ἡγήσαντο. ἔδει γὰρ εἰπεῖν· διδύμων τεκέων πότερος ἄρα πότερον αἱμάξει. νῦν δὲ οὐ πρὸς τὸ ῥητὸν ἀπήντησεν, ἀλλὰ πρὸς τὸ νοητόν, τὸν οἶκτον: — MAB

πότερον αἱμάξει: φονεύσει: — MA[g]

τὸ ἑξῆς· πότερος ἄρα πότερον αἱμάξει ὁμογενῆ δέραν ὁμογενῆ ψυχὰν δι' ἀσπίδων δι' αἱμάτων: — MA[g]B

1295 ποῖον ἄρα νεκρὸν ἀπολλύμενον θρηνήσω: — M[1]A[g]B[i]

1296 φεῦ δᾶ φεῦ δᾶ: οἱ μὲν ὡς ἓν μέρος λόγου ἀνέγνωσαν τὸ φεῦδα ὡς ἐν παρολκῇ τοῦ δα· ἔνιοι δὲ ἀντὶ τοῦ φεῦ δή· τινὲς δὲ ἀντὶ τοῦ φεῦ γῆ, κατὰ πάθος μεταβληθέντος τοῦ γ̄ εἰς δ̄, ὡς ἐν τῷ Δημήτηρ, πηγή πηδή, παρὰ τὸ τὸ ὕδωρ πηδᾶν ἄνω: — MAB

ἄλλως: ἀντὶ τοῦ φεῦ φεῦ. ἡ δα συλλαβὴ Ἀττικῶς πλεονάζει ὡς ἐπὶ τοῦ ἦσθα καὶ φῆσθα: — MAB[i]

1297 φονεύουσαι ἑαυτάς: — M[g]A[g]

1298 δόρυ κατ' ἀλλήλων πάλλουσαι. ἢ ἐπὶ πόλεμον κινηθεῖσαι: — M[1]AB

1299 πέσεα πέσεα: θέλει εἰπεῖν ὅτι πεσόντες αἱμάξουσι τὰ σώματα. πέσεα οὖν ἀντὶ τοῦ πεσήματα πτώματα: — MAB

πολέμια: — M[g]A[g]

1300 τάλανες ὅτι ποτέ: διότι. δυστυχεῖς εἰσιν: — MAB[i]

ὅτι ποτέ: ἀντὶ τοῦ· διότι δὴ ἐπὶ τὸ κατ' ἀλλήλων μονομαχεῖον ἤλθετε: — MA

---

1 ἀντὶ τοῦ om. A  3 με] μὲν A  4 τὸ M  ποῖος—αἱμάξει om. B sed habet B[i]  6—8 scholio quod praecedit adi MA  6 ἔνιοι] τινὲς B  7 πότερον] ποῖον A  post αἱμάξει add. τὴν ὁμογενῆ δέριν A τ. ὁ. δέρην B  10. 11 scholio quod praecedit adi. M  12 τῶν νεκρῶν A[g]B[i]  13—16 cf. et. m. p. 60,8 (schol. Aesch. Prom. 563)  14 οἱ δὲ ὡς A  τοῦ] τὸ A  δὲ om. A  15 τὸ δ̄ B  16 cf. Orion. p. 138,17 πηγή παρὰ τὸ πηδῶ ῥῆμα, πηδή καὶ πηγή. Ἡρωδιανὸς ἐν ἐπιμερισμοῖς. et. m. p. 669,16 Gud. p. 465,8  τὸ τὸ A τὸ MB  17 ἀντὶ τοῦ om. A ἀντὶ τοῦ φεῦ φεῦ om. B  ἡ δὲ δα M  ἀττικῆς M  18 τὸ M  τοῦ φῆσθα B[i]  22 αἱμασουσιν M αἱμάζουσι B  23 οὖν om. A de M non constat  πεσήματα om. A  25 ὅτι A' ἀντὶ τοῦ B[i]  26. 27 scholio quod praecedit adi. A pro ἀντὶ τοῦ scripto ἢ  26 ὅτι A  μονομαχεῖν A

ἄθλιοι: — $M^g$

διότι εἰς ἐνθύμησιν μονομαχίας ἤλθετε: — $M^i A^g B^i$

1301 βοᾷ βαρβάρῳ: τῇ ἐμαυτῆς φωνῇ τῇ βαρβάρῳ τὴν ἐπιστένακτον βοὴν τῶν νεκρῶν, οἷον τὴν ἐπὶ τοῖς νεκροῖς σὺν στεναγμῷ προφερομένην βοήν, μέλουσα τοῖς δάκρυσι θρηνήσω, τουτέστιν ἐπιμελῶς δακρύσασα θρηνήσω: — MAB

1303 ἀντὶ τοῦ μέλουσαν. ἢ ἐπιμελουμένην τῶν νεκρῶν καὶ θεραπεύουσαν τὰς ψυχὰς τούτων: — MAB

1304 τὸ σχεδὸν καὶ τὸ πέλας ἐκ παραλλήλου τὸ αὐτό· ἡ κατ' αὐτοὺς τύχη τοῦ φόνου πλησίον ἐστί, τουτέστιν· ὅσον οὔπω γνωσόμεθα πῶς ἐκβήσεται αὐτοῖς τὸ μονομαχεῖον: — MAB

1305 τὸ σήμερον δηλονότι: — $M^g A^g B^g$

κρινεῖ φάος τὸ μέλλον: ἡ παρεστῶσα ἡμέρα διδάξει τὸ πέρας καὶ τὸ μέλλον: — $MAB^i$

ἄλλως: ἡ παροῦσα ἡμέρα διακρινεῖ τὸ μέλλον: — MA

1306 δυστυχὴς κακόποτμος ὁ θάνατος αὐτοῖς ἔσεται: — $M^g A^g B^g$

ἕνεκ' Ἐρινύων: ὡς τῶν Ἐρινύων ἐπιπεμπουσῶν τὰ φαῦλα τοῖς ἀνθρώποις. ἢ διὰ τὰς ἀρὰς τὰς Οἰδίποδος καὶ τὰς τούτων ἐπηκόους Ἐρινύας: — MAB

χάριν τῶν Ἐρινύων: — $M^g A^g$

1310 οἴμοι τί δράσω: ἵνα δόξῃ φιλόπολις ὁ Κρέων καὶ μὴ μόνον τοῦ παιδὸς λόγον ποιεῖσθαι, φησί· τίνος ἄρξομαι θρῆνον ποιούμενος, τοῦ παιδὸς ἢ τῆς πόλεως, καίτοι εἰδὼς ὅτι διὰ τὸν θάνατον τοῦ παιδὸς εὐτυχεῖ τὰ τῆς πόλεως. μικρὸν γὰρ ὕστερον εἰπὼν ἐμός τε γὰρ παῖς ὤλωλεν ἐπελάθετο εἰπεῖν· πόλις τε, εἰς τὸ λυποῦν μὲν πένθος ἐμμείνας, τῆς δὲ κολακείας ἀτέλεστον ἐάσας τὴν μνήμην: — MAB

1311 ἐν κύκλῳ ἔχει δυστυχήματα: — $M^g$

πλῆθος: — $M^g A^g$

1312 ὥστε διαπέμπεσθαι διὰ τοῦ Ἀχέροντος τὴν πόλιν: — $M^i A^g$

---

2 scholio p. 382,25 adi. $B^i$ μονομαχίου $B^i$ 3 τῆς ἐμαυτῆς B 5 μέλλουσαν B μέλουσα παρὰ A 8 τούτων ψυχάς AB 9 τὸ αὐτό om. B 10 οὐδέπω AB 11 μονομαχεῖν M μονόμαχιον B 15 τὸ πέρας καὶ τὸ μέλλον A 16 κακόποτμος δυστυχής $B^g$ δυστυχής $A^g$ αὐτοῦ γενήσεται $B^g$ 18 ἀρὰς τοῦ οἰδίποδος B τούτων om. AB 22 τὸν λόγον τοῦ παιδὸς M τοὺς παῖδας λόγου A θρῆνον] λόγον A 23 ἢ] καὶ B 25 μὲν om. M

διὰ τὸ καὶ ἐν μέσῳ τοῦ θανάτου αὐτὴν εἶναι: — M$^i$B$^g$

1315 ὃν ἄρτι κρημνῶν: ὡς τοῦ Μενοικέως παρὰ τὸν τάφον ἔνθα ἦν ὁ δράκων κατακρημνίσαντος ἑαυτόν: — MAB

ἄλλως: δεῖ νοεῖν ἔσω τῶν τειχῶν τὸν σηκὸν τοῦ δράκοντος εἶναι. πῶς γὰρ εἶχε τὸ σῶμα ἀναλαβεῖν ὁ Κρέων τῶν πολεμίων παρακαθημένων. ἀπὸ δὲ τοῦ τείχους ἔρριψεν ἑαυτὸν ὁ παῖς εἰς ἐπίδειξιν τῆς ὑπὲρ τῆς πατρίδος προθυμίας: — MAB

σπηλαίων: — M$^g$A$^g$B$^g$

1316 αὐτόχειρα: — M$^g$A$^g$

ἀντὶ τοῦ· εἰς τὴν οἰκίαν ἐκόμισα: — M$^g$

1317 ἀντὶ τοῦ· θρηνεῖ τὸ ἐμὸν δῶμα: — M$^g$B$^g$

1318 ἐγὼ δὲ ὁ γέρων ἐπὶ τὴν ἀδελφὴν τὴν γραῖαν ἦλθον: — M$^g$A$^g$

1319 λούσῃ πρόθηταί τ' οὐκέτ' ὄντα: ἐκκομίσῃ, δημοσίᾳ ἐνταφιάσῃ· ἔθος γὰρ ἦν τοὺς βασιλεῖς οὕτως θάπτεσθαι: — MA

γράφεται κλαύσῃ: — M$^g$

1321 ἢ τὰς ταφάς: — M$^g$

τὸν Ἅιδην περιφραστικῶς: — M$^g$

1323 κόρη τε μητρός: ἅμα τῇ μητρί: — MAB$^g$

τὸ ἑξῆς· κόρη τε Ἀντιγόνη κοινῇ ἐξόδῳ τῆς μητρός: — MB

1326 εἰς μάχην: — M$^g$A$^g$B$^i$

εἰς συμβολήν: — M$^g$B$^i$

1327 πῶς φής· νέκυν τοι παιδός: ἀντὶ τοῦ· τὸ νεκρὸν σῶμα τοῦ ἐμοῦ παιδὸς ἐπιμελείας ἀξιῶν: — MAB

ἄλλως: τί φής· ἀπῆλθεν Ἰοκάστη πρὸς τοὺς παῖδας καταλλάξουσα τούτους, ἐγὼ δὲ τὸ σῶμα τοῦ παιδός μου Μενοικέως περιστέλλων καὶ κοσμῶν καὶ ἐπιμελείας ἀξιῶν καὶ δι' ἀγάπην ἐκείνῳ προσκαθήμενος οὐκ ἔφθασα εἰς τὸ καὶ ταῦτα μαθεῖν, ὅ ἐστιν· ἀσχολούμενος περὶ τὸν υἱὸν οὐκ ἦλθον εἰς εἴδησιν τούτων: — A

ἄλλως: ἐγὼ προσκαθήμενος, φησί, τῷ νεκρῷ τοῦ παιδός μου σώματι καὶ περὶ ἐκεῖνο ἀσχολούμενος οὐκ ἔφθασα τούτων τι μαθεῖν: — A

περιστέλλων θρηνῶν: — M$^g$

1 διὰ τὸ καὶ M$^g$ ὥστε B$^g$ εἶναι αὐτὴν B$^g$ 2 παρὰ τοῦ τάφου A om. M 4. 5 ἄλλως — σῶμα om. M 4 τῶν om. A 5. 6 τῶν — παρακαθημένων] τοῦτον φησὶν ἐπειδὴ M 6 δὲ om. M 18 in fine add. καὶ ἡ ἀντιγόνη ἐξῆλθεν AB$^g$ 19 scholio quod praecedit adi. M add. δὲ post τὸ 22 ἀντὶ τοῦ om. A νεκρὸν τὸ σῶμα A 23 ἀξιῶν Laur. 32. 33 Vat. 1332 ἠξίουν MAB 24 φησὶν A 24. 25 καταλλάξασα A

1328 οὐκ εἰς τόδ' ἦλθον: οὐκ ἐπὶ τοῦτο παρεγενόμην: — MA$^g$B$^i$

1330 νομίζω: — M$^g$

κίνδυνον: — M$^g$A$^g$

1331 ἠνύσθαι: — M$^g$

1333 σκυθρωπὸν ὄμμα: ἐκ τοῦ προσώπου τοῦ ἀγγέλου στοχάζεται τὰ λεχθησόμενα: — MA$^g$B

1334 τὸ πραχθέν: — M$^g$A$^g$

1336 εὐειδέσι καλοῖς φαιδροῖς: — M$^g$

προοιμίοις οὐ καλοῖς, οὐκ εὐσχήμοσιν: — B

1337 ὦ τάλας δισσῶς αὐτῶ: τὸ ὦ τάλας δεύτερον βοῶ διὰ τὸ μεγάλα φέρειν κακά. θρηνητικὸν δὲ τὸ ἦθος: — MAB

1338 πρὸς πεπραγμένοισιν: τοῖς τοῦ Μενοικέως: — MAB$^i$

ἀποφαντικῶς ἢ ἐρωτηματικῶς: — MAB

1339 οὐκέτ' εἰσί: συνήθως πάλιν Εὐριπίδης προειπὼν ἐν ἑνὶ στίχῳ τῆς συμφορᾶς τὸ κεφάλαιον καταστατικώτερον ὕστερον διηγεῖται τὸ πᾶν: — MAB

ἐν φωτί· λέγει δὲ τὴν σωτηρίαν: — M$^g$A$^g$B

1342 ὦ δώματ' εἰσηκούσατ': οὐ μάτην ἄρα, φησίν, ὁ Οἰδίπους κατηράσατο· εἰς ἔργον γὰρ ἐχώρησαν αἱ ἀραί: — MA

1343 λείπει ἡ περί· τὰ περὶ παίδων: — M$^g$B$^i$

1344 ὥστε δακρῦσαι: οἷον· εἰ ἐφρόνει τὰ οἰκήματα, ἐδάκρυσαν ἂν τὰς συμφοράς: — MA

1345 δυστυχεστάτης: — M$^g$A$^g$

1347 μάθοις: — M$^g$

1348 δυστυχέστερα: — M$^g$A$^g$

1350 ἀνάγετ' ἀνάγετε: ἀνεγείρετε, ἄνω ἄγετε, ἀναλαμβάνετε, ἀναβάλλεσθε, ἀντὶ τοῦ προοιμιάζεσθε: — MA

1351 ἐπὶ κάρα τε: ἀπὸ κοινοῦ τὸ ἀνάγετε: — MAB$^i$

γράφεται ἐπὶ κρᾶτα: — M$^g$

λευκοπήχεις δ' ἂν λέγοι τοὺς διὰ τῶν λευκοπηχέων χειρῶν, ἵνα

---

5 ἐκ] οὐκ B  10 βοᾷ A  10. 11 διά—κακά om. AB  12 τοῖς] πρὸς τοῖς πεπραγμένοις B$^i$  τοῦ om. A  13 scholio quod praecedit adi. MA add. δὲ ante ἢ  14—16 scholio quod sequitur adi. B add. δὲ post συνήθως  14 πάλιν αὐτῶ A om. B  ὁ εὐριπίδης B  14. 15 ἐν ἑνὶ στ. πρ. B  15 ὕστερον om. M  17 τουτέστιν ἐν σωτηρίαι B  19 ἐκατηράσατο A  20 τῶν παίδων B$^i$  21 ἐδάκρυσεν A  26 ἀνεγείρατε M  28 scholio quod praecedit adi. A  30—p. 386,5 scholio 28 adi. MA  30 λευκοπήχων A

ἐκ τοῦ ποιοῦντος τὸ ποιούμενον λέγῃ. ἐν γὰρ ταῖς συμφοραῖς αἰκιζόμεθα τὸ σῶμα ὡς ἂν ἐξ αὐτῶν διδαχθέντες μὴ χρῄζειν τοῦ σώματος, ἀλλὰ ἀπαλλαγῆναι τοῦ βίου· μάλιστα δὲ ἐπὶ τῆς κεφαλῆς τοῦτο ποιοῦμεν ὡς ἂν ἐπὶ κεφαλαιωδεστάτου καὶ αἰσθητικωτάτου τοῦ σώματος μέρους: — MA

τοὺς κτύπους τοὺς ἐκ τῶν λευκῶν χειρῶν γινομένους: — M[g]A[g]

1352 ὦ τλῆμον: οἷον τέλος τοῦ βίου καὶ τῶν γάμων ὑπέμεινας διὰ τοὺς αἰνιγμοὺς τῆς Σφιγγός. λείπει γὰρ ἡ διά: — MAB[1]

αἰνιγμοὺς ἔτλης: τοὺς λόγους τοὺς ἔχοντας ἀποκεκρυμμένην τὴν διάνοιαν: — MA

1354 διπλῶν: — M[g]A[g]

1355 ἀρᾶς τ' ἀγώνισμ': τὸ κατάραμα, τουτέστιν· εἰπέ μοι πῶς ἀπέβη ἡ κατάρα τοῦ Οἰδίποδος: — MAB[1]

ἄλλως: τοῖς παισὶν ὁ ἀγὼν πῶς πέπρακται. οἷον ὁ ἐκ τῆς ἀρᾶς πόλεμος· ἐκ γὰρ τοῦ Οἰδίποδος ταῦτα ἐνόσουν. ἢ τὸ ἀποτέλεσμα τῆς ἀρᾶς τοῦ πατρός: — MA

ἄλλως: ὁ πόλεμός τε ὁ ἐκ τῆς ἀρᾶς τοῦ Οἰδίποδος αὐτοῖς ἐπιών. ἢ οὕτως· τὸ κατόρθωμα τῆς ἀρᾶς τοῦ Οἰδίποδος: — A

1357 οἶσθ'· οὐ μακρὰν γὰρ τειχέων· τινὲς εἰς τὸ οὐ στίζουσιν· οὐκ οἶσθα, φησί, τὰ πρὸ τῶν πύργων εὐτυχήματα· μακρὰν γάρ εἰσιν: — MAB

ἄλλως: καλῶς οὖν καὶ διὰ πιθανῆς ἀφορμῆς τὰ προειρημένα ὑπὸ τοῦ πρώτου ἀγγέλου ἐσιώπησεν. ἡ δὲ διάνοια· τὰ μὲν πρὸ τῶν τειχῶν εὐτυχήματα τῆς πόλεως καθὸ ἐνικήσαμεν κοινῇ τοὺς Ἀργείους, οἶδας δηλαδή· πόθεν δὲ οἶμαι εἰδέναι σε· οὐ μακρὰν γὰρ τειχέων περιπτυχαί. ἡ δὲ περίφρασις ἐκ τοῦ περιφράσσειν καὶ οἷον περιπτύσσεσθαι καὶ περικυκλοῦν τὴν πόλιν. περιλαμβάνονται γὰρ αἱ πόλεις τοῖς τείχεσιν: — MAB

---

4 κεφαλαιωδεστάτω M καὶ αἰσθητικωτάτου om. M 4. 5 μέρει M 9. 10 scholio quod praecedit adi. A initio add. αἰνιγμοὺσ δὲ λέγει 9 τοὺς (alterum) om. M 13 ἐπέβη M 14 τοῖς—πέπρακται] ὁ ἐκ τῆσ κατάρασ τοῦ οἰδίποδοσ τοῖσ παισὶν ἀγὼν A 15 ταῦτα om. spatio rel. A 22—25 καλῶς—εἰδέναι post ea quae leguntur 26—28 coll. B pro οὖν scripto δὲ 22 καὶ om. MB ἀπὸ MA 24 κοινοὶ A om. M 25 δηλαδὴ οἶδασ B 25. 26 πόθεν—περιπτυχαί] οὐ γὰρ μακρὰν τὰ τείχη ὡσ μὴ πάντα σε εἰδέναι B 25 σε εἰδέναι A 25. 26 τειχέων περιπτυχαί M εἰσι τὰ τείχη A 26 ἡ δὲ περίφρασις] περιφραστικῶσ τὰ τείχη B περιφράσσειν καὶ om. AB οἷον om. A 27 κυκλοῦν AB

τειχέων περιπτυχαί: περιφραστικῶς τὰ τείχη. οὐ μακράν εἰσιν ὥστε μὴ οὐχὶ πάντα εἰδέναι τὰ δρώμενα: — $MAB^i$

1358 λείπει ἡ μή, ἵν' ᾖ οὕτως· πρὸς τὸ μὴ εἰδέναι σε τὰ πραττόμενα: — $M^g$

τὸ ὡς ἀντὶ τῆς πρός: — $M^g$

1361 ἔστησαν ἐλθόντ': παρῆλθον δὲ εἰς τὸ μέσον ὡς εἰς ἀγῶνα δορὸς καὶ ἀλκὴν μονομάχου: — $MM^iA^gB^i$

1362 ἐκ παραλλήλου τὸ αὐτό: — $M^gA^g$

1363 γράφεται μονομάχου τ' ἀλκήν: — Laur. 32, 33 Vat. 1332

1364 βλέψας δ' ἐς Ἄργος: τὸν νοῦν ἐκεῖσε ἔχων: — $MAB^i$

εἰς Ἄργος δὲ βλέψαι τὸν Πολυνείκην λέγει οἷον ἐπὶ τὸν στρατὸν τῶν Ἀργείων. ἢ εἰς τὸ κλίμα τοῦ Ἄργους. ὡς ἂν Ἀργεῖος δὲ γεγονὼς τῇ Ἥρᾳ εὔχεται Ἀργείᾳ οὔσῃ καὶ πατρίᾳ θεῷ: — MA

νῦν εὐχάς: — $M^gA^g$

1365 ἀντὶ τοῦ· ἐπολιτογραφήθην παρὰ σοί: — $M^gA^gB^i$

1366 ἔζευξ' Ἀδράστου: ἀντὶ τοῦ εἰς ζεῦξιν ἔλαβον: — $M^iA^gB^i$

ἐζεύχθην τῇ παιδὶ τοῦ Ἀδράστου. λέγει δὲ τῇ Ἀργείᾳ: — $M^i$

1367 τὴν ἐκείνῳ ἐναντίαν: — $M^gA^gB^i$

1369 αἴσχιστον αἰτῶ στέφανον: ἄκρως δηλοῖ ἦθος ἀνδρὸς μεμφομένου ἑαυτὸν ἐπ' ὠμότητι: — $MAB^i$

1370 πολλοῖς δ' ἐπῄει δάκρυα: τοσαῦτα, φησίν, ἐπῄει δάκρυα τοῖς πολλοῖς ὅση τῆς τύχης ἡ συμφορὰ τοῖς μονομαχοῦσι, τουτέστι· συμφώνως τῇ κατ' αὐτοὺς τύχῃ ἐδάκρυον οἱ ἐκτός: — MAB

ἄλλως: λείπει τὸ ἕνεκα· ⟨ἕνεκα⟩ τῆς τύχης ἡλίκη ἦν: — MAB

ἄλλως: πολλοῖς δὲ δάκρυα ἐπήρχετο τὴν τύχην αὐτῶν ἐννοοῦσιν ὅση ἦν: — MA

† ἄλλως: πολλοὶ δὲ τῶν λεγομένων ὑπ' αὐτοῦ τῆς δυστυχίας [αὐτῶν] τὸ μέγεθος ἐδάκρυον: — A

---

2 μὴ om. A οὐχ' ἅπαντας A οὐχὶ πάντως $B^i$ in fine add. λείπει γὰρ τὸ μή $B^i$ λείπει τὸ μὴ ἡ δὲ περίφρασις ἐκ τοῦ περιπύσσεσθαι καὶ κυκλοῦν τὴν πόλιν A 6 παρῆλθεν $M^iA^g$ δὲ om. $A^gB^i$ 7 ἀλκῆς $A^g$ μονομαχίου $B^i$ scripserim καὶ ἀλκὴν δορὸς 11—13 scholio quod praecedit adi. MA 11 λέγει τὸν π. A 13 τῇ — θεῷ] τῇ ἀργείᾳ εὔχεται καὶ πατρώῳ θεᾷ ἥρᾳ A πατρίωι M 15 ἀντὶ τοῦ om. $B^i$ γὰρ παρὰ $B^i$ 17 τῇ Laur. 32, 33 τῶ $M^i$ λέγει] λείπει $M^i$ 22 ὅση] ὃ σημαίνει A ταῖς τύχαις MB ἡ M ἦν AB τοῖς μονομαχοῦσι ante τῆς τύχης coll. A 24 λείπει γὰρ B ἕνεκεν AB ἠδὲ M ἠδίκη AB em. Matthiae 27 ὑφ' αὐτῶν A em. Matthiae

1371 κἄβλεψαν: οἰκτρὸν γὰρ θέαμα μονομαχοῦντας ἀδελφοὺς ἰδεῖν, οἷς καὶ τὸ νικᾶν καὶ τὸ ἡττᾶσθαι δεινὸν ἦν: — MAB

ἄλλως: ἐμφαίνεται ὁ κατὰ ἀλήθειαν θυμὸς πικρίαν ἐνδεικνύμενος διὰ τοῦ βλέμματος: — MAB

1373 ναόν: — M$^g$

βλέψας πρὸς οἶκον: καὶ οὗτος τῷ νῷ εἰς τὸ ἱερὸν τῆς Ἀθηνᾶς ἀποβλέψας τὸ ἐν Θήβαις: — MAB$^i$

1374 ἐκ παραλλήλου τὸ αὐτό: — M$^g$

1376 γράφεται κτεῖναί θ': — M$^i$

1377 ἐπεὶ δ' ἀφείθη: πρὸ γὰρ τῆς εὑρέσεως τῆς σάλπιγγος ἐν ταῖς μάχαις καὶ τοῖς μονομαχείοις ἐν μέσῳ τις λαμπάδα καιομένην ἔρριπτε σημεῖον τοῦ κατάρξασθαι τῆς μάχης. τούτῳ οὖν τῷ σημείῳ ἀντὶ σάλπιγγος κἀν τοῖς περὶ Ἐτεοκλέα χρόνοις ἐχρῶντο. ὕστερον δὲ μετὰ τὰ Τρωικὰ καὶ τὴν εἰς γῆν Ῥωμαίων Αἰνείου κατοίκησιν Τυρρηνοὶ τὴν σάλπιγγα ἐξεῦρον ἐν τοῖς Ἰταλικοῖς πολέμοις, ὅθεν καὶ Τυρρηνὶς ἡ σάλπιγξ ἐκλήθη. τὸ οὖν τούτῳ αὐτοὺς χρῆσθαι ἀντὶ σάλπιγγος ἀφ' ἑαυτοῦ ἐμφαίνων ὁ ποιητής φησιν. οὐ γὰρ δὴ εἰς τὸ τοῦ ἀγγέλου πρόσωπον τοῦτο ἀναφέρεσθαι πιθανόν, εἴγε ὅλως οὔπω ᾔδεσαν τὴν σάλπιγγα.
τὸ ἑξῆς· ἐπειδὴ ἀφείθη ἡ λαμπὰς εἰς σημεῖον τῆς φονίας μάχης ταὐτὸ δηλοῦσα τῇ ὕστερον ἐπινοηθείσῃ ἠχῇ τῆς σάλπιγγος, δηλαδὴ τὸ κατάρχεσθαι τῆς μάχης: — MA

ἄλλως: ἐπεὶ δ' ἀφείθη πυρσὸς ὡς Τυρρηνικῆς σάλπιγγος: ἐπὶ τῶν ἑπτὰ ἐπὶ Θήβας οὔπω ἐχρῶντο τῇ σάλπιγγι οἱ Ἕλληνες, ἀλλ' οὐδὲ ἐπὶ τοῦ Τρωϊκοῦ πολέμου. Ὅμηρος γοῦν αὐτὸς μὲν οἶδε τὴν σάλπιγγα, οὐ ποιεῖ δὲ χρωμένους σάλπιγγι τοὺς ἥρωας. πρῶτος δὲ Ἀρχώνδας συμμαχῶν τοῖς Ἡρακλείδαις ἤγαγεν εἰς Ἕλληνας τὴν Τυρρηνικὴν σάλπιγγα. ἐχρῶντο οὖν κατὰ τὸ παλαιὸν ἐν τοῖς πολέμοις ἀντὶ

---

1 γὰρ om. M  2 τὸ (alterum) om. B  3 ἐκφαίνεται A  4 τοῦ om. A  6 τῷ νῷ] νῦν B  11 καὶ] κἀν A  μονομαχοῦσιν M μονομάχοις δὲ A  ἐμ M  13 κἀπὶ ἐτεοκλέα χρόνων A  14 τὴν κατοίκησιν αἰνείου γῆν ῥωμαίων A  15 ἐφεῦρον M  16 τῷ MA  αὐτὸν M  ἀφ' M ἐξ A  17 ὁ ποιητὴς ἐμφαίνων A  δὴ M δεῖ γε A  18 πιθανὸν om. M  οὕτω A  19 τὸ δὲ M  ἐπεὶ ἐρρίφθη A  23. 24 ἐπὶ—πολέμου] οἱ ἕλληνες ἐπὶ τοῦ τρωικοῦ πολέμου οὐκ ἐχρῶντο ταύτῃ M  24 τὴν om. AB  25 σάλπιγγι χρωμένους AB  τοὺς om. A  25. 26 ἀρχαίων δια M ἀρχαιώνδας A ἀρχίδας B em. Valckenaer cl. schol. Soph. Ant. 17  26. 27 Ἡρακλείδαις—τοῖς om. A  27—p. 389,5 cf. Zenob. 5,34 [Diog. 7,15 Suid.]  27 οὖν om. M

σαλπιγκτῶν πυρφόροις· οὗτοι δὲ ἦσαν Ἄρεως ἱερεῖς ἑκατέρας στρατιᾶς προηγούμενοι μετὰ λαμπάδος, ἣν ἀφέντες εἰς τὸ μεταίχμιον ἀνεχώρουν ἀκίνδυνοι, καὶ οὕτως συνέβαλλον αἱ στρατιαί. διεσῴζοντο δὲ οἱ πυρφόροι ὡς ἱεροὶ τοῦ θεοῦ καὶ εἰ πάντες ἀπώλοντο· ὅθεν παροιμία ἐπὶ τῶν ἄρδην ἀπολομένων· οὐδὲ πυρφόρος ἐσώθη: — MAB

† ἄλλως: πυρσός ἐστιν ἡ λαμπάς, ἣν ἀνατείνουσιν ἐν νυκτὶ σημεῖον τοῦ χρῆναι πολεμεῖν. νῦν οὖν οὐκ ἐπὶ τῆς λαμπάδος τέθεικε τὴν λέξιν, ἀλλ' ἐπὶ σημείου ἁπλῶς· ἡμέρας γὰρ οὔσης περιττὸν ἦν λαμπάδι σημῆναι, ἀλλ' οὐ τῇ σάλπιγγι μόνον: — AB

πυρσὸς ὡς Τυρρηνικῆς: ἀντὶ τοῦ μεγάλως, ὡς τῶν Τυρσηνῶν γεγωνότερον τῇ σάλπιγγι χρωμένων. ὁ δὲ νοῦς· ἐπεὶ δὲ ἀφείθη τὸ σημεῖον τῆς μάχης ὡς Τυρσηνικῆς σάλπιγγος ἠχή: — MAB

1380 ἀκονήσαντες: — Mᵍ

1381 ξυνῆψαν ἀφρῷ: συνῆψαν μάχην: — MA

λείπει ὁ γάρ: — MAB

ξυνῆψαν μάχην ὡς κάπροι τὰς γενειάδας ἀφρῷ διάβροχοι καὶ τὴν ἀγρίαν γένυν θήγοντες. ἐπὶ γὰρ τῶν κάπρων ἀμφότερα ληπτέον τό τε θήγοντες καὶ τὸ διάβροχοι: — MAB

λείπει μάχην: — Mᵍ

1382 ὥρμων δὲ κατ' ἀλλήλων ταῖς λόγχαις ἀκοντίζοντες, ἀλλὰ ἑκάτερος ἐν τῷ βάλλειν τὸν ἕτερον ὑπεκαθέζετο τῷ τῆς ἀσπίδος κύκλῳ, ἵνα αὐτὸν ὑπερπηδῆσαν τὸ δόρυ καὶ ὀλισθῆσαν τῷ κύκλῳ τῆς ἀσπίδος μάταιον καὶ ἀνεπίτευκτον γένηται: — MAB

ἀντὶ τοῦ· ὑπεκάθιζον καὶ ἐκρύπτοντο ὑπὸ ταῖς ἀσπίσιν: — Mᵍ

1384 εἰ δ' ὄμμ' ὑπερσχόν: ὄμμα φησὶν ἀπὸ μέρους τὸ πρόσωπον· εἰ εἶδεν ὁ ἕτερος * * εἰ αἴσθοιτο τοῦ ἑτέρου τὸ ὄμμα ὑπερ-

---

1 σαλπίγγων M ἱεροὶ ἦσαν ἄρειοσ A ἱεροὶ ἦσαν ἄρεωσ B 2 προηγούμενοι] προπολεμοῦντεσ ἄλλωσ ἐπεὶ ἐρρίφη λαμπὰσ εἰσ σημεῖον τῆσ φονίου μάχησ ταυτὸ δηλοῦσα τῇ ὕστερον ἐπινοηθείσῃ ἠχῇ τῆσ σάλπιγγοσ δηλαδὴ τὸ κατάρχεσθαι τῆσ μάχησ: ἡγούμενοι A λαμπάδων M ἀφιέντεσ B 3 καὶ] δὲ A 3. 4 πυροφόροι B 4 τῇ θεᾷ A εἰ καὶ AB ἀπέδοντο A 5 ἀπολλομένων M ἀπολλυμένων AB πυρροφόροσ A πυροφόροσ B 7 οὖν A δ' B 8 ἀλλ' B ἄλλωσ A ἁπλοῦ A λαμπάδι B τῇ σάλπιγγι A 9 ἀλλ' om. A οὐ τῇ A αὐτῇ B σάλπιγγι μόνον B λαμπάδι A 10 μεγάλησ B ὡς τῶν] καὶ A 12 τῆς μάχης om. B 15 ἡ M 16 συνῆψαν A διαβρόχουσ M 18 θίγον A in fine add. γενειάδασ B 20 κατ' ἀλλήλων δὲ ὥρμων τὰσ λόγχασ B 23 γένοιτο A 26 lacunam suppleas ex scholio quod sequitur αἰσθηθείη A

ανατεῖναν τῆς περιφερείας τοῦ ὅπλου, ἐν τῷ κατασκοπεῖν ἐκεῖνον ἀνατείναντα καὶ ἀκοντίζοντα εὐθέως ἠκόντιζε κατ' αὐτοῦ βουλόμενος. πρὶν ἐκεῖνον αἰσθηθέντα τῆς βολῆς καταδῦναι, προλαβεῖν [κατὰ τοῦ στόματος] τρῶσαι καὶ καιρίαν ποιήσασθαι τὴν βολὴν κατὰ τοῦ στόματος ἀκοντίσας εἴ που καὶ ὑπεισέλθοι ἢ διέλθοι αὐτοῦ τὸ στόμα τὸ δόρυ: — MA

ἄλλως: εἰ δὲ ἴδοι ὁ ἕτερος τὸ ὄμμα τοῦ ἄλλου ὑπεράνω τῆς ἀσπίδος, ἐκίνει τὴν λόγχην: — MAB

† ἄλλως: εἰ δὲ ὁ ἕτερος τὸ ὄμμα τῆς περιφερείας ὑπερσχὼν ἠβουλήθη θεάσασθαι. ὁ ἕτερος τὴν λόγχην ἐκίνει ὥστε τοῦτον πλῆξαι τῷ στόματι: — B

ὄμμα φησὶν ἀπὸ μέρους τὸ πρόσωπον: — B[1]

τῆς περιφερείας τῆς ἀσπίδος: — M[g]

1386 ἀλλ' εὖ προσῆγον: διότι, φησίν, ἅμα καὶ ἐθεώρουν ἀλλήλους καὶ ἐξέκλινον τὰ δόρατα ἐγκρυπτόμενοι ταῖς ἀσπίσιν: — MA

κεγχρώμασιν: κέγχρον καλοῦσι τὸν περὶ τῆς ἀσπίδος τὴν ἴτυν κόσμον. μικροὶ δὲ ἧλοί εἰσιν, οἳ ἐκ χρυσοῦ γίνονται. τινὲς δὲ μικρὰς ὀπὰς περὶ τὴν ἴτυν, δι' ὧν ἐθεῶντο τοὺς ἐναντίους: — MAB

κεντήμασιν ἐντετυπωμένοις: — M[g]

1387 ὡς μὴ δύνασθαι τρῶσαι· κάτωθεν γὰρ ἦσαν τῶν ἀσπίδων: — M[g]

1389 δειλίαν φόβον: — M[g]

1390 μεταφέρων, μετακινῶν τῷ ποδὶ λίθον: — M[g]

μεταφέρων τῷ ποδὶ κατὰ τὸ λεληθὸς, οἱονεὶ παρασύρων· ἀπὸ τοῦ ψῶ, οὗ παράγωγον τὸ ψαύω. καὶ οἱ ναῦται ψαίρειν φασὶ τὸ ἄρμενον, ὅταν μὴ πολὺς ἄνεμος πνέῃ: — M[1]B

1391 ἴχνους ὑπόδρομον: περιφραστικῶς τὸ ἴχνος. ὑπόδρομον δὲ τὸ ἔξω ὑποδεδραμηκός: — MAB

1393 πληγὴν σιδήρῳ: ἰδὼν τὸν πόδα πρὸς τὸ πλήττεσθαι ἐπι-

---

1. 2 ἀνατείνοντα A  3 βουλῆσ M  4 τρῶσαι om. M  κατὰ—ἀκοντίσας om. A  5 καὶ om. A  τὸ δόρυ om. A  6 εἰ δὲ om. A  ὁ om. M  ὄμμα] πρόσωπον B  13 διὰ τί M διὰ τοῦτο A  post ἅμα ins. προσῆγον A  14 ἐξέκλιναν M  ἐγκρυπτόμενοι Pal. 343 ἐπιρριπτόμενοι A detritum in M  15 τὴν ἴτυν τῆσ ἀσπίδοσ AB  18 κεντρίμασιν Mg  23—25 Hesych. μεταψαίρων μεταφέρων  24 τὸ (prius) om. M[1]  25 in fine add. ἀλλὰ μόνον ψαύῃ B  26. 27 scholio quod praecedit adi. B initio add. ἴχνοσ δὲ ὑπόδρομον  27 τὸ om. B

τήδειον. καὶ εὐτρεπισμένον τὸ σκέλος πρὸς τὸ τρωθῆναι ἰδών: — MAB

1396 γυμνὸν τῆς ἀσπίδος: — M[g]B[i]

1397 ὁ πρόσθε τρωθείς: ὁ Ἐτεοκλῆς ὁ πρῶτον τρωθεὶς τῇ βίᾳ τοῦ Πολυνείκους, ἀντὶ τοῦ ὑπὸ τῆς βίας τοῦ Πολυνείκους τρωθείς, διῆκε τὴν λόγχην τὰ στέρνα, ἀντὶ τοῦ διὰ στέρνων διῆκε τὴν λόγχην: — MA

ἢ λείπει ἡ εἰς, ἵν' ᾖ· εἰς στέρνα: — MA

1398 νῦν τὸ ξίφος. σύνηθες δὲ τοῦτο τοῖς τραγικοῖς: — M[g]AB[g]

1399 ἀπὸ δ' ἔθραυσ' ἄκρον: εἰς τὰ στήθη βιαίως τὸ δόρυ καθῆκεν, ἀπεκλάσθη δὲ τὸ δόρυ μὴ δυνηθὲν διαπερᾶσαι: — AB

τὸ ἑαυτοῦ δόρυ ἀπέκλασε τῇ σφοδρᾷ ῥύμῃ τρώσας: — M[g]AB

1400 ἀντὶ τοῦ· δορατίου σπανίσας: — M[i]

ἐπὶ σκέλος πάλιν χωρεῖ: τουτέστιν· εἰς τοὐπίσω πάλιν τὸ σκέλος ἀνῆκε καὶ ὑπανεχώρει. τὸ δὲ πάλιν ἀντὶ τοῦ εἰς τοὐπίσω: — MAB[i]

χωρεῖν ἐπὶ σκέλος λέγει τὸ ὀπίσω ἀναχωρεῖν μὴ δόντα τοῖς πολεμίοις τὰ νῶτα· ὅμοιον τῷ [Λ 547] 'ὀλίγον γόνυ γουνὸς ἀμείβων'. τοῦτο δ' ἐν ταῖς ναυμαχίαις πρύμναν κρούεσθαί φασιν οἱ συγγραφεῖς: — MA

1402 κατὰ μέσον τὸν ἄκοντα τοῦ Πολυνείκους ἀπέκοψε τῷ πέτρῳ: — M[g]

ἐξ ἴσου δ' Ἄρης: ἐναγώνιον τοῖς ἀκροαταῖς τὸ ἴσον ἀπονεῖμαι τῆς τύχης ἑκατέρῳ τῶν ἀγωνιζομένων: — MAB

ἴσος δὲ ὁ πόλεμος ἦν αὐτοῖς μηδενὸς ἔχοντος δόρυ: — M[i]

1403 ἡ κάμαξ θηλυκῶς: — M[g]

τοῦ δόρατος: — M[g]B[g]

ἀπεστερημένων τὰς χεῖρας τοῦ δόρατος: — M[g]B

1405 εἰς ταὐτὸν ἧκον: ἀμφοτέροις τοῖς ποσὶ βάντες καὶ στάντες πολλὴν ταραχὴν ἐκίνουν πρὸς ἑαυτοὺς ὡρμηκότες: — MAB

---

1 καὶ] ὅ ἐστιν B  πρὸς—ἰδὼν om. A  4 ὁ ante πρῶτον om. M  7 scholio quod praecedit adi. M  initio add. ἀντὶ τοῦ διὰ στέρνων A  τὰ στέρνα M  10 δὲ om. B  περᾶσαι τὸν θώρακα B  11 scholio quod praecedit adi. B post ἑαυτοῦ add. δὲ  13. 14 πάλιν—τοὐπίσω om. M  14 τὸ ὀπίσω A  16—19 scholio quod praecedit adi. MA  16 χωρεῖ M  λέγων M  17 τῷ] τὸ MA  18 δ' om. A  κρύεσθαι M  22 ἐναγώνιον M ἀγωγὸν AB  23 ἑκατέρα A  27 scholio 22. 23 adi. B initio add. ἀποστερημένοις δὲ ἤτοι ἀμφοτέρων  29 πολλὴν B πάλιν MA

1407 ἐνθυμηθείς: — A[g]B[i]

1408 τὸ Θεσσαλὸν εἰσήγαγεν σόφισμ' ὁμιλίᾳ χθονός: παροιμία τὸ Θεσσαλὸν σόφισμα· τάττεται δὲ ἐπὶ τοῦ παραλογίζεσθαι καὶ ἀπατᾶν· ποικίλοι γὰρ τὰ ἤθη οἱ Θεσσαλοὶ καὶ οὐκ ὀρθοὶ τὴν γνώμην. διαδοθῆναι δὲ τὴν παροιμίαν ἐντεῦθεν. Διοτίμῳ τῷ Θεσσαλῷ κατιέναι μέλλοντι λόγιον ἐξέπεσεν ἐπιτηρεῖν μὴ λάθωσιν αὐτὸν οἱ ἐναντίοι μεῖζον εὐξάμενοι. σπεύδων οὖν ἐκείνους ὑπερβαλέσθαι καθ' ἑκατόμβης ἀνδρῶν ηὔξατο καταιβασίῳ Ἀπόλλωνι. κατελθὼν δὲ εἰς θυσίαν ἀνθρώπους ἐλογίσατο μὴ πρέπειν θεῷ μηδ' ἄλλως εὐαγὲς εἶναι καὶ ὑπερέθετο. τοῦτο δὲ ἑκάστου ἔτους δρᾶν τοὺς Θεσσαλούς φασι τὴν θυσίαν ὑπισχνουμένους ἀποδώσειν. ὁ οὖν Εὐριπίδης ἐπὶ τοῦ Ἐτεοκλέους τὸν Πολυνείκην σοφισαμένου τὸ Θεσσαλὸν παρέλαβε σόφισμα. λοιδορεῖ

---

2 — p. 393,9 Eust. p. 331,18 Θετταλὸν σόφισμα ἐπὶ τῶν μὴ εὐθυμαχούντων ἐν παρατάξεσι παροιμιάζεται, ἀλλὰ κακουργούντων [= Suid. s. v. Θεσσαλὸν σόφισμα]. Παυσανίας δὲ εἰς τοῦτο σαφέστερον φράζων φησὶ [= Phot. Suid. s. v. Θετταλῶν σόφισμα] Θετταλὸν σόφισμα ἐπὶ μάχης καὶ ἐπὶ σχήματος καὶ ἐπὶ παρακρούσεως καὶ ἄλλων τάττεσθαι ἀπὸ αἰτίας τοιαύτης. Ἀράτῳ [Ἀρατίῳ Phot. Suid.] κατιόντι ὁ θεὸς ἔχρησε φυλάξασθαι μὴ λάθωσιν αὐτὸν οἱ ἐξ ἐναντίας εὐχῇ μείζονι καὶ λαμπροτέρᾳ κατ' αὐτοῦ χρησάμενοι. ὁ δὲ ἑκατόμβην ἀνδρῶν εὔξατο θύσειν τῷ Ἀπόλλωνι. κατορθώσας δὲ ἃ ἐβούλετο ἀνεβάλλετο ἀεὶ τὴν θυσίαν διὰ τὸ μὴ ἱεροπρεπῆ εἶναι. ὅθεν ἡ παροιμία ἐπὶ τῶν διατριβόντων τὰς ὑποσχέσεις ἢ καὶ ἄλλως παρακρουόντων ....... τῶν τις δὲ παλαιῶν ὀκνήσας περὶ τοῦ Θετταλοῦ σοφίσματος πολυλογῆσαί φησι Θεσσαλὸν σόφισμα ὡς πανούργων καὶ ποικίλων μαρτυρουμένων τῶν ἐκεῖ, ὡς εἶναι κατ' αὐτὸν Θετταλὸν σόφισμα μὴ τοῦτο ἢ ἐκεῖνο, ἀλλ' ἁπλῶς τὸ πανούργημα καθὰ ἐμφαίνει καὶ Εὐριπίδης ἐν τῇ μονομαχίᾳ τῶν παίδων τοῦ Οἰδίποδος. ὡς δὲ καὶ ἀνδραποδισταὶ οἱ Θετταλοί, λαλεῖ καὶ ὁ κωμικὸς τοῦτο. Zenob. 4,29 Θετταλῶν σόφισμα παροιμία ἐπὶ τῶν σοφιζομένων λεγομένη· Διοτίμῳ (διὰ τὸ codd.) τῷ Θετταλῷ λόγιον ἐκπεσεῖν φυλάττεσθαι μὴ ἕλωσιν αὐτὸν οἱ ἐξ ἐναντίας εὐχῇ μείζονι καὶ λαμπροτέρᾳ κατ' αὐτοῦ χρησάμενοι. νοήσας οὖν τὸ λόγιον καὶ πρὸς ὑπερβολὴν τραπόμενος ἑκατόμβην ἀνδρῶν ηὔξατο θυσίαν Ἀπόλλωνι καταιβασίῳ. κατελθὼν οὖν ἐκεῖ καὶ διαπραξάμενος (διαταξάμενος codd.) ἐφ' ἃ ὥρμησε, τὸ περὶ τὴν θυσίαν καὶ τὴν εὐχὴν οὔτε ἱεροπρεπὲς εἶναι νομίσας οὔτε ἄλλως εὐσεβὲς ὑπερετίθετο. καὶ μέχρι νῦν Θετταλοὶ τὴν θυσίαν Ἀπόλλωνι ὑπισχνοῦνται δι' ἔτους. Hesych. Phot. Θεσσαλὸν σόφισμα (om. Hesych. νόμισμα Phot.) τοῦτο παροιμιῶδες τασσόμενον ἐπὶ ἀπάτης. Hesych. Θετταλὸν σόφισμα παροιμία ἐπὶ τῶν σοφιζομένων λεγομένη καὶ μὴ εὐθυμαχούντων. 3 παροιμία] παρὰ M 5 ἐντεῦθεν] ἐν τῶι θεῶι M 7 ἐκεῖνοσ M ἐκείνοισ A καθ' ἑκατόμβης] κατεκατο tum spatium rel. A 8 καταιβασια M καταιβίωι B 9 τρέπειν M ἄλλη M 10 ἑκάστω M 11 ὑπισχνουμένοισ A 11. 12 τοῦ Ἐ. τὸν Π.] τούτω τὸν ἐτεοκλῆν M τούτων πολυνείκην A τοῦτον πολυνείκη B 12 σοφισάμενον MAB

δὲ τοὺς Θεσσαλοὺς ὁ Εὐριπίδης [fr. 426]· ‘πολλοὶ γάρ εἰσιν, ἀλλ᾽ ἄπιστα Θεσσαλοῖς’. Ἀριστοφάνης ἐν Πλούτῳ [521]· ‘ἔμπορος ἥκων ἐκ Θετταλίας παρὰ πλείστων ἀνδραποδιστῶν’. καὶ ὁ ῥήτωρ [Demosth. 1, 22]· ‘εἰσὶ τὰ τῶν Θετταλῶν ἄπιστα δήπου φύσει ταῦτα καὶ ἀεὶ πᾶσιν ἀνθρώποις’. ὅτι δὲ καὶ φαρμακίδες εἰσὶν αἱ Θετταλαί, ὁ Ἀριστοφάνης φησὶν ἐν Νεφέλαις [749]· ‘γυναῖκα φαρμακίδ᾽ εἰ πριάμενος Θετταλήν’. οὐχ ὡς τραφέντος δὲ τοῦ Ἐτεοκλέους ἐν Θετταλίᾳ, ἀλλ᾽ ὡς ἐκ συντυχίας αὐτοῦ πεποιηκότος σχῆμα Θετταλικόν * * οὐχ ὡς Θετταλῶν οὕτω τιτρωσκόντων, ἀλλὰ δι᾽ ἀπάτης νικώντων: — MAB

ἄλλως: σόφισμα λέγει τὴν ἀπάτην παρόσον οἱ Θεσσαλοὶ παραδίδονται ποικίλοι τὰ ἤθη. θέλει οὖν εἰπεῖν ὅτι σοφίσματι καὶ ἀπάτῃ ἐχρήσατο ὁ Ἐτεοκλῆς· ὑποχωρήσας γὰρ ⟨ἐκ⟩ τῆς συμπλοκῆς τὸν μὲν ἀριστερὸν πόδα λάθρα εἰς τοὐπίσω ἀνάγει τὸ πρόσω τῆς γαστρὸς φυλάττων, τὸν δὲ δεξιὸν προβὰς καὶ ἐπικλίνας ἑαυτὸν οὕτως ἔτρωσε διαμπάξ: — MA

1408 ὁμιλίᾳ χθονός: ὡσεὶ ἔλεγεν· ἑταιρείᾳ καὶ ἔρωτι τῆς πατρίδος ὑπέμεινε σοφίσασθαι τὴν μάχην. ἤρα γὰρ πλέον τῆς πατρίδος διὰ τὸ εἰθίσθαι ἄρχειν. τινὲς δὲ ὁμιλεῖν ἀντὶ τοῦ συμμαχεῖν. Ὅμηρος [Λ 269]· ‘καὶ μὲν τοῖσιν ἐγὼ μεθομίλεον ἐκ Πύλου ἐλθών’. καὶ [Ε 834]· ‘νῦν δὲ μετὰ Τρώεσσιν ὁμιλεῖ’. ὁμιλίᾳ οὖν ἀντὶ τοῦ συμμαχίᾳ, βοηθείᾳ. τουτέστι· συμμαχῶν τῇ πατρίδι καὶ βοηθῶν ἐξεῦρε τὸ σόφισμα τοῦτο: — MAB

τὴν ἀπάτην: — $M^gA^g$

τῇ ἐπιθυμίᾳ τῆς βασιλείας: — $M^gA^g$

1410 λαιὸν μὲν εἰς τοὔπισθεν: τοῦτό φησιν· ἐάσας τὸ ἀντι

1—6 cf. schol. Ar. Plut. 521 διαβάλλονται .. οἱ Θετταλοὶ ὡς ἀνδραποδισταὶ καὶ αἰσχροκερδεῖς καὶ ἄπιστοι· ἀεὶ γὰρ τὰ τῶν Θετταλῶν ἄπιστα. καὶ Εὐριπίδης ἐν Ἰνοῖ· ‘πολλοὶ παρῆσαν ἀλλ᾽ ἄπιστοι Θετταλοί ...’ 1 om. ὁ M πολοὶ M 2 Θεσσαλῶν coni. Hemsterhuys ἐμ M ἔμπυρος M 4. 5 εἶτα τὰ τῶν Θετταλῶν. ταῦτα γὰρ ἄπιστα μὲν ἦν δήπου φύσει καὶ ἀεὶ πᾶσιν ἀνθρώποις Demosthenes ταῦτα — ἀνθρώποις om. M 5 οἱ θετταλοὶ M 6 ἐν Νεφέλαις om. B εἰ] εἰς MA θετταλόν A 8 θετταλόν M 9 ἀλλ᾽ ὡς B 11 εἰπεῖν om. A ἀπάταις A 12 ὑποχωρήσας] ὑπονοήσας MA γὰρ om. M 13 πρόσω M δὲ πρόσωπον A 16 cf. Hesych. ὁμιλίᾳ χθονός ἀντὶ τοῦ φιλίᾳ, ἔρωτι τῆς πατρίδος. καὶ ἀντὶ τοῦ πάλῃ. περὶ γὰρ τὴν πάλην ἐσπούδασαν οἱ Θηβαῖοι 17 ὑπέμεινε — πατρίδος om. A 19 μεθ᾽ ὁμίλευον A 19. 20 καὶ — ὁμιλεῖ om. A 20 δὲ M μὲν B τρώεσι M πρώτοισιν B 21 εὗρε M 25 φησὶν ὅτι B

προσώπως μάχεσθαι ὀπίσω ἤνεγκε τὸν ἀριστερὸν πόδα. ἵνα πλάγιος εὑρεθεὶς καὶ μὴ ἀνθισταμένην ἔχων τὴν ἀσπίδα τοῦ Πολυνείκους κατὰ τὴν πλευρὰν αὐτὸν τρώσῃ: — MAB

ἐναλλὰξ τοὺς πόδας τιθέμενος καὶ τὸν ἀριστερὸν εἰς τὸ ὄπισθεν φέρων, ὡς εἶναι πλάγιον καὶ μὴ βλάπτεσθαι τὰ κοῖλα τῆς γαστρὸς ἐξ ἐναντίας ἱστάμενος: — MA

ὅ ἐστι· τὰ περὶ τὴν λαγόνα φυλάττων: — MAB

1411 περιφραστικῶς τὴν λαγόνα, τὸ βάθος τῆς κοιλίας: — $M^i$

τὰ πρόσω κοῖλα: τὰ πρόσω κοῖλα τῆς ἑαυτοῦ γαστρὸς φυλάττων: — AB

1417 ῥίψας: — $M^g A^g$

1418 τὸν νοῦν πρὸς αὐτὸν οὐκ ἔχων: πρὸς τὸν νεκρόν. ἢ πρὸς ἑαυτόν, οἷον· οὐκ ἔχων ἑαυτόν: — MAB

ἄλλως: οὐ πρὸς τὸν νεκρὸν ἔχων τὸν νοῦν, ἀλλ' εἰς τὸ σκυλεύειν τὸν Πολυνείκην· ᾤετο γὰρ αὐτὸν εἶναι νεκρόν: — MAB

εἰς τὸ σκυλεύειν: — $M^g A^g B^i$

1419 ὅπερ αὐτὸν σφαλῆναι ἐποίησεν: — $M^g A^g$

1420 οἷον κατέχων, μὴ ἀποβαλών: — $M^g$

1421 μόλις μὲν, ἐξέτεινε: μόλις ἠδυνήθη λαβεῖν τὸ ξίφος καὶ βαλεῖν εἰς τὸ ἧπαρ αὐτοῦ: — $M^i A^g$

1424 οὐ διέκριναν: — $M^g A^g$

οὐκ ἐσαφήνισαν: — $M^g B^i$

τὴν νίκην: — $M^g A^g B^i$

1425 τινὲς Κρέων. ἕνεκεν τῶν σῶν κακῶν, Οἰδίπου: — $M^g A B^i$

γράφεται ὅσον στένω: — $M^g$

1428 γράφεται ὡς γὰρ πεσόντε παῖδ' ἐλειπέτην βίον: — $M^i$

γράφεται ὡς γὰρ τέκνω πεσόντ' ἐλειπέτην βίον: — $B^i$

1430 προθυμίᾳ ποδός: τῇ σπουδῇ. σπεύδει γὰρ καταλαβεῖν ἔτι ἐμπνέοντας: — $M^i A B^i$

---

4—6 scholio quod praecedit adi. MA, add τουτέστι τὸ σόφισμα A 4 τὸ A ὄπισθεν] ἔμπροσθεν MA 5 φέρων M βλέπων A 7 scholio quod praecedit adi. MA ὅ ἐστι om. B τὴν om. A 9. 10 scholio 7 adi. B 10 in fine add. τὰ περὶ τὴν λαγόνα A 12 initio add. ἢ B 13 ἔχων αὐτόν B 14. 15 ἀλλ' — Πολυνείκην] ἀλλὰ πρὸς τὰ σκῦλα A 16 εἰς] πρὸς $B^i$ 27 παῖδε λιπέτην $M^i$ 28 πεσόντε λιπέτην $B^i$ 29 τῇ σπουδῇ om. A sed ins. ἐν σπουδῇ post γὰρ

1431 θανασίμους ἐπικαιρίους ἐπικινδύνους: — M$^{g}$

1432 βοηδρόμος: βοηθὸς καθ' ὃν οὐκ ἔδει καιρόν: — MB

ἄλλως: ἡ γὰρ ἔξοδος αὕτη γέγονεν οὐκ εἰς διάλυσιν μάχης, ἀλλ' εἰς θέαν τῆς τελευτῆς: — MB

βραδεῖα βοηθός: — M$^{g}$

1433 ἐν μέρει τέκνα: ἐξ ἴσου γὰρ ἡ λύπη ἐπὶ τέκνων, οὐχ ἧσσων ἐπὶ τῷ ἀδικοῦντι: — MB

1435 βοηθοῦσα ὑπηρετουμένη: — M$^{i}$

λείπει τὸ ταῦτα λέγουσα: — MA$^{g}$B$^{i}$

1436 ὦ γηροβοσκὼ μητρός: οἱ ὀφείλοντες ἐν γήρᾳ θρέψαι τὴν μητέρα καὶ προδόντες τοὺς γάμους τῆς ἀδελφῆς, τουτέστιν· οὐ γαμοστολήσαντές με: — MAB

1438 ἀφείς: — M$^{g}$A$^{g}$

δυσέκπνευστον: — M$^{g}$A$^{g}$B$^{i}$

1439 τῷ αἵματι ὑγράν: — M$^{g}$A$^{g}$B$^{i}$

1441 ὥστε σημῆναι φίλα: ὥσ⟨τε⟩ δῆλον ἦν ὅτι ἀσπάζεσθαι τὴν μητέρα βούλεται: — MA$^{g}$B$^{i}$

1448 καὶ πόλιν θυμουμένην: καὶ τοὺς πολίτας τοῦ κατ' ἐμοῦ μίσους παύσατε: — MAB$^{i}$

1449 παραμυθεῖσθε παρηγορεῖτε: — M$^{g}$

ὡς τοσόνδε γοῦν τύχω: γράφεται καὶ τοσόνδε δὴ τύχω: — MB

ὁ δὲ νοῦς· ἵνα κἂν τούτου τύχω, τοῦ θάπτεσθαι εἰς τὴν πατρίδα: — MAB

1452 τίθησι δ' αὐτός: τοῦτο διὰ μέσου ὁ ποιητής· τὰς χεῖρας τὰς τῆς μητρὸς ἐπιτιθεὶς τοῖς ὄμμασιν αὐτοῦ λέγει τὸ χαίρετε: — MAB

1456 δεινοπαθήσασα: — M$^{g}$A$^{g}$B$^{i}$

ὑπερπαθήσασ' ἥρπασ': Ὅμηρός φησιν αὐτὴν ἀγχόνῃ ἀπολέσθαι [λ 271]· 'μητέρα δ' Οἰδιπόδαο ἴδον καλὴν Ἐπικάστην, ἣ μέγα ἔργον ἔρεξε' καὶ τὰ ἑξῆς 'ἁψαμένη βρόχον αἰπὺν ἀφ' ὑψηλοῖο μελάθρου': — MAB

---

2 καθ' ὃν om. B ἂν ἔδει B 3 ἐξοχὴ M 4 θέαν B διάλυσιν M 6. 7 scholio quod praecedit adi. B add. ἐν μέρει δὲ ἀντὶ τοῦ 7 ἧσσον M 9 scholio 10—12 ante καὶ ins. M in fine add. ἡ παρασπίζουσα δὲ ἀντὶ τοῦ ἡ διυπηρετουμένη B$^{i}$ 10 οἱ] οἷον B 10. 11 τὴν μητέρα θρέψαι AB 11 ὅ ἐστιν A οὐ B οἱ MA 16 δῆλον ἦν] δηλῶν B$^{i}$ 21 καὶ M ὡσ B 22. 23 scholio quod praecedit adi. MB, scholio 18. 19 om. ὁ δὲ νοῦς A 22 τοῦτο A τὸ A 24. 25 τὰς χ. τὰς τῆς om. M 25 τὰς om. A τοῖς om. B ἑαυτοῦ B 28. 29 μητέρα—ἑξῆς om. B 28 δ' M τ' A εἶδον A 28. 29 ἣ—ἔρεξε om. A 29 τὰ M τὸ A

1458 μετὰ βίας τινός: — $M^g$

γράφεται σὺν τέκνοις δὲ φιλτάτοις: — B

1459 γράφεται καὶ ἄμφω τέκνα: — $B^1$

1460 ἀνώρμησεν: — $M^gA^g$

1461 ὑπακουστέον τὸ ἐλέγομεν: — $M^gB$

οἱ Θηβαῖοι: — $M^gA^gB$

1462 ἐν δὲ τοῖς στρατηλάταις ἦν ἔρις: — $M^gA^g$

1463 οἱ μὲν πατάξαι: λείπει τὸ λέγοντες· ⟨λέγοντες⟩ τὸν Πολυνείκην πρῶτον πατάξαι: — $MA^gB$

πρότερον: — $M^g$

1465 καὶ ἐν τοσούτῳ: — $M^gA^g$

1466 ὥρμησαν: — $M^gA^g$

1467 ἐκάθητο: — $M^g$

καθῆστο: προνοίᾳ καὶ λογισμῷ ἐκάθηντο ὡπλισμένοι: — AB

1468 κἄφθημεν οὔπω: καὶ προελάβομεν ταχέως οὔπω καθωπλισμένον: — $MM^1$

τὸ ἑξῆς· καὶ ἔφθημεν Ἀργεῖον εἰσπεσόντες ἐξαίφνης στρατὸν οὔπω τεύχεσι πεφραγμένον: — MAB

1469 ἐπελθόντες: — $M^gA^g$

1470 ἀντέστη: — $M^gA^g$

1473 ἄλλοι μὲν νικητήριον: — $M^gA^g$

βρέτας: ἄγαλμα. λέγεται κατὰ ἐτυμολογίαν· βροτῶν εἴκελον: — $M^gB$

1477 θάψαι: — $M^gA^g$

1478 πόλει δ' ἀγῶνες: ὁ πόλεμος, φησίν, ὁ κατὰ τὴν πόλιν πῇ μὲν εἰς καλὸν ἐκβέβηκεν αὐτῇ· ἐσώθη γὰρ καὶ οὐκ ἀνηρπάσθη ὑπὸ τῶν πολεμίων· πῇ δὲ εἰς τοὐναντίον διὰ τοὺς τεθνηκότας: — MA

εὐτυχεῖς ἐπεὶ ἐνίκησαν, δυστυχεῖς δὲ ἐπεὶ ἐσφάγησαν οἱ βασιλεῖς: — $M^1A^gB$

---

5 προσυπακουστέον B 6 scholio quod praecedit adi. B 8 τὸ om. M 8. 9 τὸν—πατάξαι om. $A^g$B 17. 18 scholio quod praecedit adi. M, scholio 14 A 17 ἐκπεσόντες B 18 τεύχεσι om. M πεφραγμένοις B πεπραγμένον M in fine add. ἤγουν προελάβομεν A 21 ἄλλοι μὲν om. $A^g$ 22 cf. et. m. p. 213,3 Gud. p. 115,10 Ammon. p. 99 [et. m. p. 611,15 Gud. p. 415,58] ἄγαλμα λ´ $M^g$ ὅ ἐστι B 28 initio add. ὁ κατὰ τὴν πόλιν πόλεμος B εὐτυχεῖς δὲ B ὡς καὶ δυστυχεῖς B δὲ ἐπεὶ] διότι B

1480 οὐκ εἰς ἀκοάς: οὐκ ἄχρις ἀκοῆς ἐστι τὰ κατὰ τὴν οἰκίαν καὶ τὰ περὶ Οἰδίποδος: — MA$^{g}$B$^{1}$

1481 πάρεστιν ἰδεῖν: — M$^{1}$A$^{g}$

1482 γράφεται σώματα: — A$^{g}$

1483 ταῦτα, τὰ πτώματα: — M$^{g}$

1484 τὴν σκοτεινὴν αἰῶνα: — M$^{1}$

θηλυκῶς εἶπε τὸν αἰῶνα. περιφραστικῶς τὸν θάνατον: — M$^{1}$A$^{g}$

1485 οὐ προκαλυπτομένα: Ἀντιγόνη τραγῳδεῖ. νῦν, φησίν, οὐ προκαλυπτομένη τὰς παρειάς, οὐδὲ γὰρ τὴν πρέπουσαν παρθένοις αἰδῶ ἀναλαβοῦσα, ἐξορμῶ καὶ ἐκβακχεύω καθάπερ βάκχη τις ἐπὶ τοὺς νεκροὺς ἀπορρίψασα τό τε κρήδεμνον καὶ τὴν στολὴν μεθεῖσα τῆς ἐμῆς τρυφῆς, τουτέστιν· ἣν ὅτε ἐτρύφων καὶ εὐδαιμόνουν, περιεβαλλόμην, ἀπαρχομένη θρήνων τοῖς νεκροῖς. οὐ γὰρ τοῦ τρυφᾶν ὁ καιρός: — MAB

ἄλλως: οὐ προκαλυπτομένα: ἀπρεπῶς εἰσβέβηκε καὶ οὐ παρθενικῶς. τίνι γὰρ ἀπολογίζεται, εἰ μὴ τῷ θεάτρῳ: — MAB

ἄλλως: οὐ περικαλυπτομένη τὰ φαιδρὰ τῆς βοστρυχώδους παρειᾶς. βοστρυχώδη εἶπεν, ἐπεὶ μέχρι τῶν παρειῶν εἶχε τὰ οὖλα τῶν τριχῶν: — MAB

† ἄλλως: οὐκέτι, φησίν, ὡς τὸ πρὶν περικαλυπτομένη τὰ ἀνθηρὰ τῆς παρηίδος τῆς βοστρυχώδους διὰ τὸ διὰ ταύτης καθίεσθαι τοὺς πλοκάμους. λέγει δὲ τὸ πρόσωπον ἀπὸ μέρους δηλοῦσα· μὴ οὖν τὸ πρόσωπον ὡς τὸ πρὶν καλυπτομένη μηδὲ ὡς παρθένος αἰδομένη τὸν ἐν προσώποις φοίνικα, ταὐτὸν εἰπεῖν τὸ ἐρύθημα τοῦ προσώπου, ἤγουν τὴν δι' αἰδῶ γινομένην ἐρυθρότητα τῷ προσώπῳ μηκέτι φέρουσα ὡς παρθένος, προηγοῦμαι ὡς βάκχη τῶν νεκρῶν, οὐ Διονύσου βακχείαν ποιουμένη ἀλλὰ νεκρῶν καὶ Ἅιδου, λέγω δὴ ἡγεμόνευμα νεκροῖσι πολύστονον, τὰ κεφαλοδέσμια ῥίψασα ἀπὸ τῆς ἐμῆς κεφαλῆς. τὴν στολίδα κροκόεσσαν, ἀντὶ τοῦ τὴν ἐστολισμένην κρόκῳ ὑπὸ τῆς τρυφῆς, ἤτοι τὸ λαμπρὸν περιβόλαιον ῥίψασα καὶ πενθήρη περιβαλομένη χιτῶνα: — A

---

1 initio add. ἀντὶ τοῦ A$^{g}$B$^{1}$ 1. 2 τὴν — περὶ] τὸν οἶκον τοῦ A$^{g}$ 2 καὶ — Οἰδίποδος om. B$^{1}$ 7 scholio quod praecedit adi. M$^{1}$ add. δὲ post θηλυκῶς τὴν M$^{1}$ περιφραστικῶς M$^{1}$ ἤγουν A$^{g}$ 9 τὰς παρειὰς om. A τὴν om. B παρθενίᾳ A 10 βακχεύω M 11 τὴν τῆς B 12 εὐδαιμόνουν καὶ B εὐδαιμόνως MA 13 ἀπάρχομαι MAB θρῆνον A τοῦ τρυφᾶν] τρυφῆς B 14 εἰσβέβληκε AB 15 γὰρ om. M ἀπολογεῖται B 17 βοστρυχῶδες M βοστρυχώδη δὲ B τῶν om. A 21 γοῦν A 24 ὡς] καὶ A

οὐ περικαλυπτομένη ⟨ὡς⟩ πρόσθεν: — $M^{g}$

1486 τὰ φαιδρὰ τῆς παρειᾶς. περιφραστικῶς τὴν παρειάν: — $M^{i}AB^{i}$

ἀντὶ τοῦ· οὐ διὰ παρθενίαν: — $M^{i}A^{g}$

ἡ ὑπό πρὸς τὸ αἰδουμένη: — $M^{i}A^{g}B^{i}$

1488 πυρρὸν ἀνθηρόν: — $M^{g}A^{g}$

φοίνιχ' ἐρύθημα: τὸν πυρρόν: — MB

ἀρσενικῶς δὲ εἶπε τὸν φοίνικα ἐρύθημα, ἀντὶ τοῦ οὐδετέρου. ἔδει γὰρ εἰπεῖν τὸ ὑπὸ βλεφάροις φοινικοῦν ἐρύθημα. τινὲς δέ· οὐδὲ τὴν ὑπὸ βλεφάροις φοίνιξιν αἰδουμένη, ἥπερ ἐστὶν ἐρύθημα προσώπου: — MAB

† φοίνικα: οὐδὲ ὡς παρθένος αἰδουμένη, φησί, τὸν ὑπὸ βλεφάροις φοίνικα. ἤγουν τὸ ἐρύθημα τοῦ προσώπου. τὴν γὰρ ἐρυθρότητα τοῦ προσώπου τὴν δι' αἰδῶ γινομένην φοίνικα ὠνόμασε. βλέφαρον δὲ εἶπεν ἀπὸ μέρους τὸ πρόσωπον λέγουσα: — A

1489 αἰδομένα: οὐδὲ ὑπαιδουμένη τὸ ὑπὸ τοῖς βλεφάροις φοινικοῦν ἐρύθημα τῆς παρθενίας: — MAB

φέρομαι βάκχα νεκύων: παρόσον αἱ βάκχαι ἀπογυμνούμεναι χορεύουσιν· οὐ Διονύσου δὲ βάκχη, ἀλλὰ νεκρῶν: — MAB

προηγουμένη ὥσπερ θρηνήτρια τῶν νεκρῶν [τῆς ὄψεως] ἐμμανὴς οὖσα: — $M^{i}A^{g}$

1491 τὴν κροκοειδῆ στολὴν ἀποβαλοῦσα. ἀπορρίψασα τῆς τρυφῆς: — $M^{i}$

στολίδα κροκόεσσαν: τὴν ἐκ κρόκης στολὴν χαλάσασα ὥστε γυμνὰ μεῖναι τὰ στήθη: — MAB

ἄλλως: τὴν ἐμὴν στολὴν πάσης τρυφῆς ἐκβαλοῦσα: — MAB

1492 ἡγεμόνευμα νεκροῖς: ἑαυτὴν λέγει προηγήτειραν τῶν νεκρῶν: — $AB^{i}$

ἄλλως: κατὰ κοινοῦ τὸ φέρομαι, τουτέστιν· ἐξορμῶ ἡγεμονεύουσα καὶ ἐξάρχουσα θρήνων τοῖς νεκροῖς: — A

8—10 scholio quod praecedit adi. MB   8 ἀρσενικὸν B   9 τὸν ὑπὸ Laur. 32, 33 τοῦτο MA om. B   οὐ φοινικοῦν A   οὐδὲ om. B   10 ἐπὶ MA   12 αἰδοῦμαι A   16. 17 scholio 8—10 adi. B initio add. αἰδομένα δὲ ἀντὶ τοῦ B   φοινίκεον A   18. 19 scholio quod praecedit adi. B add. καὶ τὸ ante φέρομαι   20 τῆς ὄψεως uidetur interpretamentum esse uocis προσώπου   27 ἑαυτὴν γὰρ $B^{i}$   προηγήτειρα $B^{i}$   29 τουτέστιν] ταύτην A

1493 φερώνυμος· πολλὰ γὰρ νείκεα εἰργάσω: — $M^g A^g B^i$

1495 σὰ δ' ἔρις οὐκ ἔρις: ἡ ἔρις, φησίν, οὐκ αὐτὸ μόνον ἄχρι φιλονεικίας τὸ τέλος ἔσχεν, ἀλλ' ἄχρι φόνων ἐπαλλήλων προελθοῦσα ἄρδην τὸν πάντα οἶκον τοῦ Οἰδίποδος ἀπώλεσεν. τινὲς δὲ οὕτως· ἡ σὴ δ' ἔρις οὐκ αὐτὸ μόνον ψιλὴ γέγονε φιλονεικία, ἀλλὰ φόνος φόνῳ κρανθείς: — MAB

ἄλλως: τὸ τέλειον κρανθεῖσα, οἷον· οὐκ ἄχρι ψιλῆς φιλονεικίας προελθοῦσα ἡ ἔρις, ἀλλὰ φόνος ἐπὶ φόνῳ κρανθεῖσα: — MAB

1498 τίνα προσῳδόν: θρηνητικὴν στοναχήν: — $M M^g A A^g B^i$

ῳδόν: ἀντὶ τοῦ θρῆνον· τὸ δὲ τίνα πρός ἀναστρεπτέον, τουτέστι· πρὸς τίνα πρῶτον τῶν προκειμένων νεκρῶν θρῆνον ἢ πρὸς τίνα τούτων στεναγμὸν μετὰ δακρύων, ὦ δόμος δόμος, ἀναβοάσω. ἢ τὸ προσῳδόν ἐξ ὁλοκλήρου τὸν θρῆνον νοητέον, ἵνα ᾖ τοιοῦτος ὁ λόγος· τίνα θρῆνον ἄξιον ἢ τίνα στεναγμὸν σύμφωνον τῆς προκειμένης συμφορᾶς καὶ τῶν τριῶν τούτων νεκρῶν ἀναβοήσω: — MAB

θρῆνον στεναγμόν: — $M^g$

προσᾴδουσαν καὶ ἁρμόζουσαν: — $A^g$

1499 ἢ τίνα μουσοπόλον: μουσικὸν στεναγμόν· ἔστι γὰρ καὶ θρῆνος μουσικός. Ὅμηρος [Ω 720]· 'παρὰ δ' εἷσαν ἀοιδοὺς θρήνων ἐξάρχους': — MAB

1502 συγγενικά: — $M^g A^g$

1503 ἀντὶ τοῦ· ἔργα Ἐρινύος ἐφ' οἷς χαίρει: — $M^g A^g$

λείπει τὸ ἔφυς· χάρμα ἔφυς Ἐρινύος: — $M^g B^i$

1504 ἥτις, Ἐρινύς: — $M^g B^i$

παντελῶς: — $M^g B^i$

1505 τᾶς ἀγρίας ὅτε: τῆς Σφιγγὸς τῆς ἀσαφοῦς. ἐπεὶ πᾶσι δυσνόητον ἦν τὸ αἴνιγμα πλὴν τοῦ Οἰδίποδος μόνου. διὰ γὰρ τοῦτον ξυνετὸν

---

1 φερωνύμωσ Mg φερώνυμον Ag 4 δ' om. B 5 ἀλλ' ὁ φθόνοσ A 5. 6 κραθείσ MA 7 κραθεῖσα M φιλονεικίασ ψιλῆσ A 8 κρανθείσ M 9 στεναχὴν MA 10—15 scholio quod praecedit adi. MA 10—13 ᾠδόν—λόγος om. B 10 συνῳδὸν M πρός om. M ανατρεπτέον A 13 post νοητέον add. οὐκ ἀποδιαιρουμένησ τῆσ πρὸσ A τοσοῦτοσ A 15 τούτων om. A ἀνακαλέσω B in fine add. προσάιδοντα φησὶ καὶ ἁρμόζοντα τοῖσ νῦν πάθεσι B 18—20 scholio 10—15 adi. B initio add. μουσοπόλον δὲ μουσικὴν et om. μουσικὸν στεναγμόν 19 καὶ ὅμηροσ M παρῆσαν M παρα δ' ἦσαν A παρ δ' ἶσαν B θρήνουσ MAB 20 in fine add. μουσοπόλον οὖν τὴν θρηνητικὸν A οἶτε στονόεσσαν ἀοιδὴν καὶ τὰ ἑξῆσ B 26 ἐπεὶ] ἐπὶ A 26. 27 δυσσύνοπτον AB 27 τοῦτον] τούτου M τοῦτο AB

ἐπὶ ταὐτοῦ εἴρηκε. τὸ μέλος πᾶσι μὲν τοῖς ἄλλοις ἀσαφὲς, αὐτῷ δὲ μόνῳ σαφὲς καὶ καταληπτόν. ξυνετόν γὰρ τὸ σαφές: — MAB

ὅτε δυσξυνέτου: τὴν ἐξ ἔξωθεν προσληπτέον, τουτέστιν ἐξότε. ὁ δὲ λόγος· ἥτις, Ἐρινὺς, τὸν Οἰδίποδος οἶκον ἀπώλεσεν ἐξότε τὸ τῆς ἀγρίας Σφιγγὸς αἴνιγμα τὸ δυσξύνετον ἐκεῖνο καὶ ἀσαφὲς τοῖς πολλοῖς γνοὺς αὐτὸς αἴτιος αὐτῇ γέγονε θανάτου. φασὶ γὰρ ὅτι λύσαντος τοῦ Οἰδίποδος τὸ αἴνιγμα διεσπάραξεν ἑαυτὴν ἡ Σφίγξ: — MA

ἐξότε: — M$^{1}$A$^{g}$

ἀσαφοῦς: — M$^{1}$A$^{g}$

1506 ξυνετὸν μέλος ἔγνω: ἀπὸ κοινοῦ τὸ Σφιγγός. τῷ Οἰδίποδι ξυνετόν: — AB

ἄλλως: συνετόν τινες τὸ βαθύτατον. μέλος τὸ αἴνιγμα εἶπεν, ἐπεὶ μετὰ μέλους τινὸς προέφερεν αὐτὸ ἡ Σφίγξ. διὸ καὶ ἀοιδοῦ Σφιγγός εἶπεν. φονεύσας δὲ ἀντὶ τοῦ φόνου καὶ ἀναιρέσεως αὐτῇ γενόμενος αἴτιος: — AB

εὔγνωστον τῷ Οἰδίποδι: — M$^{g}$

1507 Σφιγγὸς ἀοιδοῦ σῶμα: τῆς ἀοιδοῦ Σφιγγὸς, ἐπεὶ μετὰ ᾠδῆς καὶ μέλους ἔλεγε τὰ αἰνίγματα: — MA

μουσικῆς: — M$^{g}$A$^{g}$

1509 τίς Ἑλλὰς ἢ βάρβαρος: τίς Ἑλληνικὴ ἢ βάρβαρος. δηλονότι γυνή: — MAB

ἄλλως: τίς, φησίν, Ἑλλήνων ἢ βαρβάρων ἢ τῶν ἀνέκαθεν ἀνδρῶν ὑπέμεινε κακῶν τοσοῦτον πλῆθος καὶ λύπης ἐπὶ ἀνθρωπίνῳ σώματι. τὸ γὰρ ἁμερίου ἀντὶ τοῦ ἀνθρωπείου: — MAB

ἢ τῶν πάροιθε: τῶν πρὸ τούτου εὐγενῶν: — M

ἀπὸ κοινοῦ τὸ τίς· ἢ τίς τῶν πάροιθεν εὐγενετᾶν: — MAB$^{i}$

1513 τοιαῦτα ἄχη, κακά: — M$^{g}$A$^{g}$B$^{i}$

---

1 ταὐτοῦ] τούτου MAB 2 μόνον M 3 ἔκτοτε A 4 δόμον A 6. 7 cf. schol. vs. 50 6 φασὶ γὰρ ὅτι A πῶσ φασιν αὐτὴν M 7 ἡ Σφίγξ om. M 10. 11 τῶι οἰδίποδι ξυνετὸν ἀπὸ κοινοῦ δὲ τὸ σφιγγόσ B 12—15 scholio quod praecedit adi. B initio ita scripto τινὲσ δὲ συνετὸν 12 μέλος τὸ om. A 13 εἶπον A ἀοιδοῦσ A 14. 15 γενόμενοσ αὐτῆι B 17 ἀοιδούσησ A 18 ᾠδῆς καὶ om. A 20 ἑλληνικόσ M ἑλληνικὴ γυνὴ B 20. 21 γυνὴ δηλονότι B 22 ἢ τῶν—ἀνδρῶν om. B 23 τοσούτων B 24 ἀμετρίου A in fine add. γένουσ M 26 τὸ om. A τίς (alterum) om. A προπάροιθεν A εὐγενῶν B ἐγένετο A

1514 τάλαιν' ὡς ἐλελίζει: τὸ ἑξῆς οὕτως· τάλαινα αἴλινον αἰάγμασιν ἃ τοῖσδε προκλαίω: — MAB

ἄλλως: ἐγώ, φησίν, ἡ τάλαινα, ἥτις αἴλινον ἀνακλαίω καὶ ἀναθρηνῶ ἐπὶ τούτοις τοῖς οἰκτροῖς ἀτυχήμασι, καθάπερ τις ὄρνις θρηνοῦσα ἀπηχεῖ δρυὸς πετάλοις ἐφεζομένη: — MAB

θρηνεῖ ἀπηχεῖ: — $M^g$

1515 τίς ἄρ' ὄρνις: ἀηδόνα φησὶ καὶ χελιδόνα, εἰς ἃς μετεβλήθησαν Πρόκνη καὶ Φιλομήλα: — MA

1517 ἡ μεμονωμένη καὶ ἐστερημένη τῆς μητρὸς ὄρνις: — $M^gA^g$

1518 τοῖς ἐμοῖς κακοῖς σύμφωνος: — $M^gA^g$

1519 αἰάγμασιν: θρηνητικοῖς ἀπηχήμασιν. τοῖσδε ἀντὶ τοῦ τοῖς νεκροῖς: — $MAB^i$

λείπει † εἰς δ τοῖσδε προκλαίω: — $M^g$

ἃ τοῖσδε προκλαίω: ἅπερ, θρηνητικὰ ἀπηχήματα, ἐπὶ τούτοις, τοῖς νεκροῖς, ἀναβοῶ: — MA

ἡ πρό ἀντὶ τῆς ἀνά, τουτέστιν ἀνακλαίω: — MAB

1520 μονάδ' αἰῶνα: τοῦτο ἰδίᾳ ἀναπεφώνηται: — MAB

ἀντὶ τοῦ μονάδα βίον. ἀντὶ τοῦ ὀρφανόν, μονήρη βίον. μεμονωμένον ἔρημον: — MAB

1523 τίν' ἐπὶ πρῶτον: ἡ ἐπί πρὸς τὸ βάλω, οἷον· ἐπὶ τίνα πρῶτον ἐπιθῶ τὰς τῶν τριχῶν ἀπαρχὰς τοῖς σπαραγμοῖς. ἐπὶ τῆς μητρὸς ἢ ἐπὶ τῶν ἀδελφῶν. ἔθος γὰρ ἦν τοῖς ἀρχαίοις τὰς κόμας ἀποκείρεσθαι ἐπὶ τοῖς τεθνηκόσιν: — MA

1525 δῶρον: — $M^g$

1527 τοῖς ποιητικοῖς τοῦ γάλακτος: — $M^gA^gB^g$

1528 τὸ ἑξῆς· ἢ πρὸς τὰ τῶν ἀδελφῶν αἰκίσματα. οὐλόμενα δὲ διὰ τοὺς ἀφανισμούς: — $M^iA$

1529 γράφεται διssῶν: — $M^g$

1531 τυφλὸν ὄμμα: — $M^gA^g$

---

1 τάλαιναν MA 2 ἃ τοῖσδε] αὐτοῖς δὲ B 3 ἄλλως—ἀνακλαίω om. A ἡ om. B 4 τις om. A 5 ἐν πετάλοις A in fine add. τὸ οὖν τάλαινα πρὸς τὸ κλαίω συναπτέον A 7 καὶ M ἢ A 16 scholio quod praecedit adi. MA add. γὰρ post ἡ, scholio 18. 19 adi. B add. δὲ post ἡ 18. 19 scholio quod praecedit adi. MA 18 ἀντὶ τοῦ om. A μονάβιον A ἀντὶ τοῦ om. AB μονήρη βίον om. A βίον om. B 19 ἔρημον μεμονωμένον A 21 τῶν τριχῶν A τρίχας M 22 ἐπὶ τῶν ἀδελφῶν τὸ στῆθος ἢ ἐπὶ τῆς μητρὸς A 26 τὸ ἑξῆς om. $M^i$ 27 post διὰ ins. τὰς πληγὰς καὶ A

1533 κλητική· ὦ Οἰδιπόδα, ἀπὸ τῆς Οἰδιπόδης εὐθείας: — $M^gA^gB^i$

1535 παρέλκεις καὶ παρατείνεις τὴν ζωὴν καὶ φιλοψυχεῖς: — $M^i$

μεγάλην: — $M^g$

1536 γεραιὸν πόδα: ἀπὸ μέρους, τοῦ ποδός, τὸ ὅλον σῶμα δηλοῖ, τουτέστι· κλύεις, ὦ πάτερ, ὃς ἔνδον κατὰ τὴν αὐλὴν διατρίβεις καὶ τὸ γεγηρακός σου σῶμα τοῖς δεμνίοις ἐγκρύπτεις: — MAB

διατρίβων, πλανώμενος διὰ τύφλωσιν: — $M^g$

1538 ἐγκοιμίζων ἐγκρύπτων: — $M^gA^g$

1539 τί μ' ὦ παρθένε: ὅλως ἐν πᾶσιν Εὐριπίδης πτωχοποιός ἐστι καὶ νῦν ὁ Οἰδίπους οὐδὲ ὁδηγὸν αὐτῷ ἔχει ἐν τῇ πατρίδι ὤν, ἀλλὰ καὶ μόνος ἐκπορεύεται ἑαυτὸν ὁδηγῶν. τάχα δὲ τῶν παρόντων κακῶν πάντες ἐξῆλθον θεαταὶ γενέσθαι· διὸ μεμονωμένον θεράποντος Οἰδίποδος τὸ πρόσωπον ἔξεισιν: — MAB

βακτηρίαις: — $M^gA^gB^i$

τῆς τυφλῆς πορείας: — $M^iA^gB^i$

1540 ἐξήγαγές με προκαλεσαμένη τοῖς δάκρυσιν: — $M^iM^gA^gB^i$

1541 τὸν ἀεὶ ἐν λέχει καὶ σκότει ὑπάρχοντα: — $M^gA^gBB^i$

1543 πολιόν: τὸ ἑξῆς τοῦ νοῦ οὕτως· τί με τὸν πολιόν, ἀντὶ τοῦ τὸν πεπολιωμένον, ἐξήγαγες, ὦ παρθένε, σκοτίων ἐκ θαλάμων εἰς φῶς ἀέρος ὄντα με ἀφανὲς εἴδωλον, ὅ ἐστι τυφλὴν σκιάν: — MAB

ἄλλως: τὸ αἰθέρος ἀφανὲς εἴδωλον κατ' ἰδίαν προενεκτέον· τί με, φησίν, ἐξήγαγες ὥσπερ εἴδωλον ὄντα αἰθέρος, τουτέστι τοῦ ἀέρος· καὶ γὰρ τὸν ἀέρα περιίπτανται τὰ εἴδωλα καὶ αἱ ψυχαί. ἢ καὶ ὡς νεκρόν με ὑπάρχοντα. ἢ ὡς σκιᾶς ὄνειρον: — MAB

1546 ἀντὶ τοῦ δυστυχῆ ἀγγελίαν: — $M^iA^gB^i$

1549 ἀντὶ τοῦ ὁδηγὸς σύντονος: — $M^g$

τὸ ἑξῆς· ἃ σὸν πόδα ἐμόχθει: — $M^gA^g$

---

1 κλητική· ὦ οἰδιπόδα] ὦ οἰδιπόδα κλητικὴ ἐντεῦθεν Mg κλητικὴ Ag$B^i$ οἰδιπόδοσ $B^i$ εὐθείας om. Mg$B^i$ 4 μέρους] μεν M ὅλον] ὄνοσ M 5 τὴν om. A 7 διά] ἢ Mg 9 ὅλοσ M ὅλοσ A ὁ εὐριπίδησ A 10 οὐδὲ] γοῦν M 12 θεράποντοσ post πρόσωπον coll. A 12. 13 τὸ οἰδίποδοσ B 16 in fine add. εἰς φῶς Mg 17 scholio 9—13 adi. B initio add. λεχήρη δέ φησι σκότει] κοίτηι $B^i$ 18 οὕτως τί] ὅτι MAB με] σε A 21 ἄλλως τὸ] ἀλλὰ τὸ MB τὸ δὲ A προσενεκτέον MAB 23 περιίπταται AB καὶ ante ὡς om. A de M non constat 24 σκιᾶς ὄνειρον] σκιᾶσ εἴδωλον ἢ ὡσ ὄνειρον A in fine add. διὰ τὴν ἀσθένειαν δὲ ταῦτα λέγει A 26 σύμπονοσ Mg 27 σὸν] τὸν Mg om. Ag in fine add. τυφλόν Ag

[γράφεται] πόδα σὸν τυφλὸν θεραπεύμασιν ἐμόχθει: — B$^{i}$

1551 γράφεται ὤμοι ἐγὼ παθέων: — M$^{i}$

1552 λείπει τὸ τινά· πάρεστι γάρ τινα στενάζειν: — M$^{i}$A$^{g}$B$^{i}$

βοᾶν ἐκπλήττεσθαι: — M$^{g}$B$^{i}$

1553 γράφεται μιᾷ μοίρᾳ: — B$^{g}$

1555 οὐκ ἐπ' ὀνείδεσιν οὐδ' ἐπιχάρμασιν: οὐκ ἐπιχαίρουσα οὐδὲ ὀνειδίζουσα λέγω νῦν τοῦτο, ἀλλὰ ὀδυνωμένη λέγω καὶ συναλγοῦσα τὴν ψυχὴν ὅτι ἡ σὴ κακοδαιμονία, ἣν ἔδει μέχρι σοῦ στῆναι, καὶ ἐφ' ἡμᾶς τοὺς παῖδας κατήντησεν οὐχ ὁσίως: — MAB

1556 ὁ ἔφορος δαίμων τῶν τὰ ἄλαστα πεποιηκότων: — M$^{g}$B

1557 πλουτῶν ἀκμάζων: — M$^{g}$

1558 γράφεται καὶ φονίαισι μάχαις: — B$^{g}$

ἀντὶ τοῦ μονομαχίαις: — M$^{g}$

1560 γράφεται ὤμοι ἐγώ: — M$^{i}$

λείπει ἡ διά· διὰ τί τάδε καταστένεις: — M$^{i}$AB

ἄδηλος ὁ σὸς θρῆνος· πολλὰ γὰρ τὰ περιέχοντά σε κακά: — M$^{i}$AB

διὰ τί ταῦτα στενάζεις, διὰ τὴν τύφλωσιν ⟨ἢ⟩ διὰ τὸν τῆς μητρὸς γάμον. ὁ δὲ εἶπεν· οὐ διὰ ταῦτα θρηνῶ ἀλλὰ διὰ τὰ τέκνα: — AB

1561 διὰ τὰ τέκνα: — M$^{i}$B$^{i}$

δι' ὀδύνης ἂν ἔβης καὶ εἰ βλέπων ἐτύγχανες: — M$^{i}$A$^{g}$

δι' ὀδύνας ἔβας: λείπει ἡ ἄν, ἵν' ᾖ· δι' ὀδύνας ἂν ἔβης: — A

δι' ὀδύνης ἔβας: μειζόνως ἂν ὠδυνήθης, εἰ τοὺς ὀφθαλμοὺς ἔχων ὁρῶντας καθεώρας τούτους κειμένους νεκρούς· τὸ γὰρ ἐπενώμας ἀντὶ τοῦ διέκρινες καὶ ἐπεσκόπεις: — MAB

1562 ὁ τέ παρέλκει: — M$^{g}$AA$^{g}$

---

3 λείπει τὸ τινά om. A$^{g}$ πάρεστι om. B$^{i}$ γὰρ M$^{i}$ τὸν A$^{g}$B$^{i}$ in fine add. καὶ ἀυτεῖν προσληπτέον γὰρ καὶ τὸν σύνδεσμον B$^{i}$ 6 lemma ex A, habet M ὤμοι μοι ἐπιχαίρουσά φησι A 7 οὔτε M λέγω (alterum) om. B 8 μέχρις M 9 ὁσίωσι B 10 scholio quod praecedit adi. B initio add. ἀλάστωρ δὲ et om. ὁ in fine add. καὶ τιμωρός B 12 φονίαις habet A$^{g}$ 15 scholio 17. 18 adi. B add. δὲ post λείπει καστένεις B om. M$^{i}$ 16 εὔδηλος M$^{i}$ ἐπειδὴ ἄδηλος A ἐπίδηλος B κακά om. M$^{i}$ 17. 18 scholio quod praecedit adi. AB 17 initio add. φανερῶς A τί om. A 18 ὁ δὲ om. B in fine add. καὶ τὴν γυναῖκα ἰοκάστην μου A 21 ἂν] ἀνά A 22 μειζόνους M 24 διέκρινες Laur. 32, 33 Pal. 343 διέκρινας MAB ἐσκόπεις A 25 scholio quod praecedit adi. A το τε M$^{g}$ ὁ δε A$^{g}$

τοῦ ἡλίου: — M$^g$

1564 ἀντὶ τοῦ ὀμμάτων αὐγαῖς: — M$^g$B

ταῖς τῶν ὀμμάτων αὐγαῖς διέκρινες καὶ ἐσκόπεις: — M$^g$A$^g$

† ὄμματος αὐγαῖς: ἀντίπτωσις· [ἢ] τὰς αὐγὰς τοῦ ὄμματος τοῖς σώμασι τῶν νεκρῶν ⟨ἐπ⟩εκίνεις. ἢ ἀντὶ τοῦ διεσκόπεις τὸ ἐπενώμας: — A

1565 τῶν μὲν ἐμῶν τεκέων: ἐγὼ γὰρ κατηρασάμην τῷ θηκτῷ σιδήρῳ δῶμα διαλαχεῖν τοὺς ἐμοὺς παῖδας: — MAB

1566 ἄλοχος: καὶ τοῦτο ἀπρεπὲς ὅτι τὸν Οἰδίποδα ἄλοχον τὴν Ἰοκάστην ποιεῖ λέγοντα ἐπιγνόντα ὅτι μήτηρ ἦν. ἔδει οὖν τὸ ὄνομα παραιτήσασθαι: — MAB

1569 ἱκέτις ἱκέταν: ἱκέτις αὐτὴ οὖσα ἱκέτην τὸν μαστὸν αἱρομένη καὶ μετεωρίζουσα, ἵνα οἱ παῖδες ἰδόντες λήξωσι τῆς μάχης. γράφεται δὲ καὶ ὀρομένα, ὅ ἐστιν ὀρούουσα καὶ προτείνουσα τὸν μαστόν: — MAB

γράφεται αἱρομένα: — M$^1$B$^1$

1571 βοτανοτρόφον: — M$^1$

κατὰ τὸν ἀνθηρὸν λειμῶνα: — M$^1$B

1573 συνοίκους. ἢ ἐν ἐπαύλει μαχομένους: — M$^g$A$^g$B$^g$

1574 ἐπὶ τραύμασιν αἵματος: κατὰ κοινοῦ τὸ εὗρεν· αἵματος δὲ τὴν τύχην ἀντὶ τοῦ ἐν αἵματι τυγχάνοντας καὶ εἰς τοῦτο τύχης ἀφιγμένους, τουτέστιν· ἐλθοῦσα δ' εὗρεν αἵματος λοιβῇ πεφυρμένους καὶ τὴν τύχην αὐτοῖς τοῦ φόνου πέρας λαβοῦσαν. εὗρεν αὐτοὺς ἡ μήτηρ ὥσπερ λέοντας δύο ἐν ἐρήμοις τόποις μαχομένους περὶ τραύματος, ὅ ἐστι περὶ σώματος ἢ παρδάλεως ἢ ἄλλου τινός: — A

κοινὸν τὸ εὗρε. ὁ δὲ λόγος ἀσύνδετος· ἐπὶ τοῖς τραύμασιν εὗρε ψυχρὰν σπονδὴν αἵματος, ὅπερ αἷμα τῶν φονευομένων σπονδή ἐστι τοῦ Ἅιδου: — MAB

---

2 scholio p. 403,22—24 adi. B initio add. ὄμματοσ δὲ αὐγαῖσ  αὐγαῖς om. B  5 ἐνώμασ A  6 γὰρ om. B  8. 9 τῆσ ἰοκάστησ M  ποιεῖ τὴν ἰοκάστην A  9 ἐπιγνόντα ὅτι] ἐπεὶ A  ἡ μήτηρ B  11 μασθὸν B  12 οἱ om. A  λήξουσι A  13 δὲ om. A  ὀρωμένα AB de M non constat  μαζὸν MB  15 in uersu ὀρομένα superscripto αἱ M  ὀρωμένα m. rec. in αἱρομένα mutatum B  17 in fine add. τὸ δὲ ἑξῆσ λόγχαισ μαρναμένουσ B  21 λοιβῇ] λοιπὸν A  22—24 εὗρεν—τινός bis scripta in A  22 ante εὗρεν add. κατὰ κοινοῦ τὸ εὗρεν A$^a$  23 ἐν ἐρήμοισ τόποισ om. A  μαχομένοισ A$^a$  24 ὅ ἐστι A$^a$  ἢ A  25 lemma εὗρε δ' ἐνηλέκτραισι πύλαισ M  τοῖσ B  τὸ MA  26 σπουδὴν M  αἷμα τῶν] αἱμάτων B  πεφονευμένων A  26. 27 τῆσ αἰδοῦσ M  τοῦ ᾅδου καὶ τοῦ ἄρεοσ A

1575 τὴν εἰς φύξιν καὶ θάνατον ἄγουσαν: — $A^gB^i$

λοιβὰν φονίαν: ἥντινα λοιβὴν ἐξ αἵματος ἔλαχεν ὁ Ἅιδης παρόσον οἱ φονευόμενοι εἰς Ἅιδου χωροῦσιν. προεξένησε δέ, φησίν, ὁ Ἄρης τῷ Ἅιδῃ τὴν ἐξ αἵματος σπονδήν: — MAB

1577 παρέσω τὸ ξίφος: — $M^gA^g$

1578 γράφεται ἔβαψεν: — $A^gB^g$

ἐπὶ τῷ πένθει τῶν τέκνων: — $M^iAB^i$

βουλομένη αὐτοὺς καταπαῦσαι τῆς μάχης καὶ αὐτὴν κατέπαυσεν. ἐπὶ τῷ ἄχει δηλονότι: — $AB^i$

1579 πάσας δὲ τὰς λύπας ἐν ταύτῃ τῇ ἡμέρᾳ συνήγαγεν: — $M^gA^gB^i$

1581 εἰς πέρας ἤγαγεν: — $M^iA^g$

1582 γράφεται ἢ τέκνοις ἢ γένει: — $A^gB^g$

1583 εἴη δ' εὐτυχέστερος βίος: οὐχ ὡς τοῦ προτέρου βίου εὐτυχοῦς ὄντος συγκριτικῷ ἐχρήσατο· ἔσθ' ὅτε γὰρ τὰ συγκριτικὰ ἐξ ἀνομοιοειδῶν γίνεται, ὡς τὸ πρεσβύτερος παίδων οὐχ ὡς καὶ τῶν ἄλλων παίδων παλαιῶν ὄντων: — MAB

1584 ὡς ὥρα τάφου: οὐχ ἵνα πάντες ταφῶσιν, ἀλλὰ μόνος ὁ Ἐτεοκλῆς καὶ Ἰοκάστη· τὸν γὰρ Πολυνείκην ἀκήδευτον ἐαθῆναι λέγει: — AB

ὡς ὥρα τάφου: καιρός ἐστι μνήμην ποιεῖσθαι τῶν τάφων καὶ τῶν θαπτομένων: — MAB

1587 ὦ Οἰδίπους δηλονότι: — $M^g$

γάμων φερνὰς διδούς: τὰς ἀρχὰς φερνὰς διδούς: — MAB

ἀπὸ κοινοῦ τὸ διδούς: — $MM^gA^gB$

φερνὰς δέδωκε τῇ ἀδελφῇ ἑαυτοῦ τὴν ἀρχήν: — MAB

τὰ διδόμενα δῶρα τῇ νύμφῃ: — $M^gA^gB$

φερνὰ ἡ προὶξ ἀπὸ τοῦ ἐπιφέρεσθαι αὐτὴν τὰς εἰς γάμους διδομένας: — A

3 φονεόμενοι M φησὶν om. M 7 ἐπὶ δὲ $AB^i$ νεκρῶν $B^i$ 8 initio add. ἐπεὶ $B^i$ λύπησ A αὐτὴ $AB^i$ 9 τῶ ἄχει A τῆι λύπηι $B^i$ 13 γράφεται om. $A^g$ 15 τῶι συγκριτικῶι B συγκριτικῶσ A 16 γίνονται A ὡς τὸ om. M οἷον A καὶ om. A 18 ὁ om. B 19 ἀκήδεστον A ἐκπεμφθῆναι A κελεύει B 20 τοῦ τάφου A 23 φερνὰς om. B 24 scholio 26 adi. $M^g$ scholio 23 B uterque add. δὲ post κοινοῦ 25 scholio quod praecedit adi. MB, add. φησὶν οὖν post φερνὰς B ἑαυτοῦ ἀδελφῇ A ἑαυτοῦ ἀδελφῆι ἑαυτοῦ B 26 scholio 18. 19 adi. B initio add. φέρνασ δέ φησι δῶρα] χάριν προικόσ B

1589 οὐδαμῶς: — $M^g A^g$

1590 ἀληθῶς ἐμαντεύσατο: — $M^g A^g$

1593 διὰ τὸ σὲ εἶναι κακοδαίμονα: — $M^g A^g$

1595 καθὸ πρὶν γενέσθαι δυστυχὴς ὑπῆρχον: — $M^g A^g B^i$

1596 ἀντὶ τοῦ ὡς οὐδείς: — $M^g A^g B^i$

1597 μήπω με μηδὲ σπαρέντα: — $M^g A^g B^g$

1598 ἄπαιδα. ἀγέννητον: — $M^g A^g$

ἐμαντεύσατο: — $M^g A^g B^i$

γράφεται καὶ πατρὸς ὅς μ' ἐγείνατο: — $B^g$

γράφεται μητρί τ' ἀναβῆναι λέχος: — $B^i$

1600 ἐπεὶ δ' ἐγενόμην: ἐπεὶ δὲ ἐγεννήθην: — $AB^i$

αὖθις: μετὰ τὸν Πύθιον θεόν· ὁ μὲν γὰρ τῷ χρησμῷ με προανεῖλε κελεύσας μὴ σπαρῆναι, ὁ δὲ πατὴρ τεχθέντα ἐκθεὶς ἀπέκτεινεν: — MAB

1601 κτείνει με: ὅσον γὰρ τὸ κατ' αὐτόν, ἀπέκτεινεν· ἐξέθηκε γάρ με ἐλπίσας ἀποτεθνήξεσθαι: — MAB

γράφεται πεφυκέναι: — $M^g A^g$

1602 εἵμαρτο γὰρ αὐτῷ ἐξ ἐμοῦ ἀποθανεῖν: — $M^g A^g B^i$

1603 ἔτι μαστὸν ζητοῦντα καὶ χρῄζοντα: — $M^g A^g B^i$

1604 † Ταρτάρου γὰρ ὤφελεν: εἴτε ἐταρταρώθη ὁ Κιθαιρών, ὅπου ἐσώθημεν φυγόντες ἀθλίαν τροφὴν τῶν θηρίων: — A

1605 Κιθαιρὼν εἰς ἄβυσσα χάσματα: αὐτὸς ὁ Κιθαιρὼν [ὃς] ὤφειλε κατατεταρταρῶσθαι. εὐήθως δέ, φασί, καταρᾶται τῷ Κιθαιρῶνι ὅτι οὐκ ἀπώλεσεν αὐτόν· δέον γὰρ τοῖς ἀνελομένοις καταράσασθαι ἢ τῇ Πολύβου γυναικί, τῷ ὄρει καταρᾶται. ἀλλὰ μεμίμηται ὁ Εὐριπίδης τοὺς δι' ὑπερβολὴν συμφορᾶς καὶ τοῖς ἀναισθήτοις θυμουμένους: — MAB

εἰς τὰ βαθέα: — $M^g$

1606 καὶ τοῦτο εὐήθως. οὐ γὰρ δοῦλον αὐτὸν ἐποίησεν ὁ Πόλυβος, ὡς καὶ ἡ Ἰοκάστη φησίν [30]· ἡ δὲ τὸν ἐμὸν ὠδίνων πόνον

4 ὑπῆρχεν Mg ἦν Ag 6 in fine add. δυστυχης ἦν Mg 12 τοῖς χρησμοῖς A 13 ἀπέκτεινεν om. B 14 γὰρ om. AB κτείνει με A ἐξέθηκε om. B sed in fine habet ἐκτέθεικεν 15 ἐλπίσας γάρ με B ἀποθνήξεσθαι A 16 γράφεται om. Ag 20 ὅμου A corr. Dindorf 23. 24 καταρᾶσθαι B 25 τὰς M ὑπερβολὰς M τοὺς ἀναισθήτους M 25. 26 θυμουμένοις B ὑπὸ θυμοῦ καταρωμένους A 28—p. 407,4 scholio quod sequitur adi. M 28 εὔηθες B ὁ om. B 29 καὶ ἡ om. A ἡ om. B τῶν ἐμῶν M τὸν ἐμῶν B

μαστοῖς ὑφεῖτο καὶ πόσιν πείθει τεκεῖν· ὥστε υἱὸς ἐνομίζετο. ἀλλά φαμεν ὅτι ἕνεκα τοῦ εἰς οἶκτον κινῆσαι τοὺς θεωμένους ταῦτα ὁ Εὐριπίδης ἐτεχνάσατο ἢ ὅτι οἱ βαρυνόμενοι συμφοραῖς ὑπὸ προκειμένης δυστυχίας καὶ τὰς προτέρας εὐδαιμονίας δυστυχίας ἀποκαλοῦσιν: — MAB

1607 Πόλυβον ἀμφὶ δεσπότην: οὐκ ἐξέφανεν αὐτὸν πατέρα· οὐκ ἐτέχθη γὰρ υἱός, ἀλλὰ κτῆμα αὐτοῦ γέγονεν: — MAB

Πολύβου γυνὴ Μερόπη: — $M^gA^g$

1611 ἀρὰς παραλαβών: θέλει εἰπεῖν ὅτι εἵμαρτο ταῦτα παθεῖν τῷ γένει· ὁ γὰρ Λάιος, φησί, γνοὺς μὴ κατὰ βούλησιν θεῶν γεγονότα με κατηράσατο, ἵνα δηλονότι ἀποθάνω· ἐγὼ δὲ ἀπὸ σκαιοῦ δαίμονος τὰς παρ' ἐκείνου ἀρὰς δεξάμενος παρέδωκα καὶ τοῖς ἐξ ἐμοῦ παισίν: — MAB

† ὅτι γὰρ οὐχ ἑκὼν κατηρασάμην, ἀλλ' ὑπὸ βίας δαίμονός τινος, τεκμήριον ἐκεῖνο τὸ μὴ τοσοῦτόν τινα ἀνόητον εἶναι ὡς ἑκόντα τυφλὸν γενέσθαι ἢ τοῖς ἑαυτοῦ παισὶ καταρᾶσθαι ἐκτὸς εἰ μὴ δαίμων τις ἄγει πρὸς τοῦτο· ὥστε ταῦτα ἐμηχανησάμην ἔκ τινος θεῶν: — A

1614 ἀντὶ τοῦ τινός: — $M^g$

1617 ἦδ' ἡ θανοῦσα: οἶδα τοῦτο ὅτι, εἰ ἔζη, συνήθως ἄν με ἐχειραγώγησεν: — MB

γράφεται ζῶσά γ' ἂν σάφ' οἶδ' ὅτι: — $B^i$

1618 ἀλλὰ ἡ εὐτεκνία τῶν δύο μου παίδων: — $M^gA^gB^i$

1620 ἀντὶ τοῦ οὐ δυνατόν: — $M^gA^g$

1625 γόνατα μὴ χρῴζειν ἐμά: καλῶς εἶπας ὅτι οὐχ ἱκετεύω σε· εἰ γὰρ καὶ σὺ ἠθέλησας, ἐγὼ οὐ συνεχώρουν: — MB

μὴ ἅπτεσθαι τῶν ἐμῶν γονάτων: — $M^g$

1627 τὸν μὲν τῶν νεκρῶν: — $M^iB^i$

1628 γράφεται δμῶας: — $M^g$

τὸν δὲ Πολυνείκους νέκυν: — $M^gB^i$

1631 φανερώσεται κηρυχθήσεται: — $M^g$

1632 εἰώθασι γὰρ στέφειν τοὺς νεκρούς: — $M^iA^gB^i$

1633 ἀντὶ τῆς ταφῆς θάνατον λήψεται: — $M^iAB^i$

---

1 μαστοῖσιν M   τεκεῖν om. M   2 διὰ τὸ κινῆσαι οἶκτον A   τοῖσ θεωμένοισ A   3 μετετεχνήσατο M   ὑπὲρ A   4 δυστυχίας] συμφορᾶσ A   καλοῦσιν A   5 δεσπότην ἢ πατέρα M   10 κατηγορήσατο M   δηλονότι B δηλώση ὅτι MA   11 παρέδωκα φησὶ B   12—15 scholio quod praecedit adi. A   16 ἀντὶ τοῦ] οὗ Mg   17 initio add. σαφῶσ B   τοῦτο om. B   18 in fine add. ἰοκάστη B   24 ἅπτεσθαι Laur. 32, 33 ἁπτόμενον Mg   25 τὸν] τοὺσ $M^iB^i$   27 in fine add. οὕτω τὰ ἑξῆσ $B^i$   30 initio add. ὁ θάπτων A, ἀντὶ τοῦ θάπτων habet Bg

1634 ὀρνέων τροφήν: — $M^gA^g$

1635 γράφεται τριπτύχων νεκρῶν γόους: — $M^gB$

1637 παρθένος δίαγε ἐκδεξομένη τὴν ἑξῆς ἡμέραν: — $M^1A^gB$

1640 πρὸς τὸν Οἰδίποδα λέγει ὅτι στενάζω σε πλέον τῶν ἀποθανόντων: — $A^gB$

1643 πρὸς τὸν Κρέοντα ἀποστρέφει τὸν λόγον· τί διώκεις τὸν πατέρα· τί ἀπαγορεύεις τὴν ταφὴν τοῦ Πολυνείκους: — $A^gB$

1645 νομοθετεῖς: — $M^gB$

1647 ἄφρονα τὰ βουλεύματα: — $MA^gB$

1648 εἰς πέρας ἄγειν: — $M^1A^gB$

1651 ἀπὸ κοινοῦ τὸ οὐ δικαίως. ἀνόσιον γάρ, φησίν, ὅτι τοιαύτην τιμωρίαν αὐτὸν ἀπαιτεῖς. λέγει δὲ τὸ ἄταφον μεῖναι: — MAB

1652 ναί, φησίν, ἔννομος, εἰ μὴ ὢν φίλος ἐχθρὸς ἐγένετο τῆς πατρίδος: — MAB

† ἄλλως: οὐ δικαίως, εἰ μὴ ὢν φίλος ἐχθρὸς ἐγένετο: — A

1653 οὐχὶ οὖν: — MB

κατ' ἐρώτησιν. ὁ δὲ λόγος· οὐκ ἔδωκεν οὖν τῇ ἀποβάσει τὴν κόλασιν. δαίμονα δέ φησι τὸν ἐξ εἱμαρμένης καὶ δαίμονος θάνατον. τύχῃ δὲ τῇ κατὰ πόλεμον συντυχίᾳ. οὐκοῦν, φησίν, ἀρκέσθητι τῷ θανάτῳ, ὃν ἔτυχεν αὐτὸν ἐν τῷ πολέμῳ ἀνατλῆναι: — MAB

1655 τὸ μέρος εἰ μετῆλθε γῆς: κατ' ἐρώτησιν ἐν ἤθει: — MB

τί πλημμελήσας ἀπήτησε τὸ μέρος: — MAB

ἄλλως: τί ἥμαρτε, φησίν, εἰ τὸ μέρος μετῆλθεν: — A

1657 ἀπαγορεύῃ: — $M^g$

1662 ἔκριν' ὁ δαίμων: ταῦτα ἔκρινεν ὁ δαίμων, οὐχ ἃ σὺ βούλει: — $MA^gB$

1664 ὑγρὰν θήσει κόνιν: ὑγράν: τὴν χυτὴν καὶ λεπτήν, πρὸς ἀντιδιαστολὴν τῆς ἐριβώλακος. Ὅμηρος [Ψ 256]· 'χυτὴν ἐπὶ γαῖαν ἔχευαν'. ἔστι δὲ ὑγρὰ ἡ νεοσκαφὴς γῆ: — MAB

1665 καὶ πρὸς σὲ καὶ τῆς μητρὸς Ἰοκάστης: — $M^1$

λείπει ὁ καί· καὶ τῆς μητρὸς Ἰοκάστης: — $AB^1$

---

4 σε ὦ πάτερ B   4. 5 θανόντων B   7 τί δὲ B   8 initio add. τί B   11 κοινοῦ γὰρ A   ὅτι B τὸ οὗτο M τοῦτο A   12 αὐτὸν om. A   λέγει δὲ om. A   εἶναι M   13 ἔννομος om. A   17—20 scholio quod praecedit adi. MB, add. δὲ post ἐρώτησιν M   17 δὲ om. MB   οὖν] φησὶ A   19 τάχει M τύχην A   τὴν A   δυστυχίαν A   27 χυτὴν B τύχην M λυτὴν χυτὴν A πρὸς om. M   29 ἔχευεν AB   νεοσφαγῆσ A   31 τῆς—Ἰοκάστης] τῆσδε $B^1$

† ὁ δὲ λόγος· ναὶ συγχώρησον ταφῆναι· παρακαλῶ πρὸς τῆς Ἰοκάστης τῆς ἐμῆς μητρός: — A

1668 τῶν ἀπηγορευμένων. Ἀριστοφάνης [Ran. 362]· 'ἢ τἀπόρρητ' ἀποπέμπει ἐξ Αἰγίνης': — B

1669 εἰώθασι γὰρ ἐπιμελεῖσθαι τῶν τραυμάτων τῶν νεκρῶν ὑπὲρ τοῦ αὐτοὺς εὐσχήμονας φαίνεσθαι: — MB

† τελαμῶνας δὲ τὰ ῥάκη, ὅ φαμεν τοὺς ἐπιδέσμους: — B

1671 ὦ φίλτατ': ὦ φίλτατε Πολύνεικες, προσπτύξομαι κἂν τὸ σὸν στόμα, ἐπεὶ οὐ συγχωροῦμαι θάψαι σε: — MB

ὁ ἀλλά ἀντὶ τοῦ καί. ἢ ἀντὶ τοῦ δή παραπληρωματικοῦ: — MB$^{i}$

1672 οὐκ εἰς γάμους σούς: οὐκ ὀφείλεις κλαίειν μέλλουσα γαμεῖν: — MB

ἄλλως: οὐχὶ κτήσῃ τοῖς γόοις συμφορὰς εἰς γάμους σούς. ἢ τὸ οὐ ⟨οὐ⟩ δίφθογγον ἀντὶ τοῦ ⟨δ⟩ μή: — MA$^{g}$B

1674 ποῖ γὰρ ἄπει τὸ λέχος ἐκφυγοῦσα: — M$^{i}$A$^{g}$B$^{i}$

1675 ἐμὲ ὡς μίαν ἕξει τῶν Δαναΐδων: — M$^{i}$B$^{i}$

1676 τὸ τολμηρὸν γύναιον: — A$^{g}$B$^{i}$

ἐξωνείδισεν: καυχωμένη εἶπεν, ἐξύβρισεν. ὄνειδος γὰρ αὐτῷ τὸν υἱὸν ὑπὸ γυναικὸς ἀπολέσθαι. ἢ ἐπὶ τοῦ κλέους εἴληπται, ἀντὶ τοῦ ἐκλέισε καὶ ἔνδοξον ἐποίησε μιμήσασθαι φήσασα τὰς Δαναΐδας· τὸ γὰρ ὄνειδος καὶ ἐπὶ ἀγαθοῦ τάττεται. δύναται καὶ ἡμῖν συνήθως παρόσον ὄνειδος τῷ Κρέοντι, εἰ ὁ υἱὸς αὐτοῦ ὑπὸ γυναικὸς ἀπολεῖται: — MB

1677 γινωσκέτω τὸ ξίφος. ὅρκος γάρ μοι τὸ ξίφος αὐτό: — M$^{i}$A$^{g}$B$^{i}$

1680 γενναιότης σοι, μωρία δ' ἔνεστί τις: εὐγένεια. ἀντὶ τοῦ γενναίως μὲν πράττεις, μωρῶς δέ: — MA$^{g}$B

ἄλλως: ὁ δέ ἀντὶ τοῦ καί, τουτέστιν· εὐγένεια καὶ μωρία ἔνεστί σοι: — MA$^{g}$B

1681 καὶ ξυνθανοῦμαι: καὶ συναποθνήσκω, φησίν, αὐτῷ, ἵνα πλέον τι μάθῃς. ἢ οὕτως· περαιτέρω γενομένη, ἀντὶ τοῦ ἑκὰς τῆς πόλεως γενομένη: — MAB

---

3. 4 scholio quod praecedit adi. A 5 ἐπιμελεῖσθαι post τραυμάτων coll. B 7 scholio quod praecedit adi. B 13 ἄλλως] ἢ οὕτως B 14 τὸ om. A$^{g}$ $\overline{ου}$ οὐ δίφθογγον] $\overline{ου}$ δίφθογγον Mon. 560 $\overline{ου}$ δ ... M $\overline{ου}$ A$^{g}$B τοῦ] τῆς A$^{g}$ μή] $\overline{δη}$ B 18. 19 αὐτῷ — γυναικὸς] τούτωι τὸν τούτου υἱὸν ὑπὸ γυναικὸς B τοῦτο τῆι γυναικιαμην M (sic) 22 ἀπὸ M ἀπολείπεται MB 26 ἄλλως] ἢ B 29 μάθῃς ἢ οὕτως] μαθήσῃ ὅτι MAB γινομένη A ἀντὶ — ἑκὰς] ὅ ἐστι ἐκτὸς A 30 γινομένη A

1684 *ἀλλ' εἰ γαμοίμην:* ἠθικῶς τοῦτο προσενεκτέον καὶ δεῖ συνυπακούειν τὸ καλῶς ἂν ἔχοι, οἷον· οὐ γὰρ ἂν καλῶς ἔχοι, εἰ ἐγὼ γαμοίμην καὶ σὺ μόνος φεύγοις, πάτερ. συναπτέον δὲ τὸ *ἀλλ' εἰ γαμοίμην* τῷ ἑξῆς, οἷον· ἀλλ' εἰ γαμοίμην, καὶ τίς σε τυφλὸν ὄντα θεραπεύσει, πάτερ: — MAB

1687 *πεσὼν ὅπου μοι μοῖρα:* πεσὼν κείσομαι ἐν ἐκείνῳ τῷ τόπῳ ὅπου μοι μοῖρά ἐστιν: — MAB

1689 γράφεται *ἥδ' ἀπώλεσεν·* τὸ δὲ ἥδε ἀντὶ τοῦ καί: — MB

*καὶ ἄλλως:* ὁ δὲ ἀντὶ τοῦ καί· ἓν ἦμαρ με καὶ ὤλβισε καὶ ἀπώλεσε. ποῖον δέ ἐστι καθ' ὃ ὄλβιος ἐγένετο καὶ δυστυχής· ὅτε τὸ αἴνιγμα τῆς Σφιγγὸς ἔλυσε· κατὰ γὰρ τὴν αὐτὴν ἡμέραν ἔγημε τὴν μητέρα καὶ τῆς ἀρχῆς ἀντελάβετο. τὸ μὲν οὖν εὐτύχημα, τὸ λῦσαι τὸ αἴνιγμα καὶ βασιλεῦσαι· δυστύχημα δὲ, τὸ γῆμαι τὴν μητέρα παρὰ τὸν τῆς φύσεως θεσμόν: — MAB

1692 τὸ οὐ πρὸς τὸ *αἰσχρά* συναπτέον, τουτέστιν· οὐκ αἰσχρά: — MB

† *οὐ σωφρονούσῃ γ':* τὸ οὐ πρὸς τὸ *αἰσχρά·* οὐκ αἰσχρὰ σωφρονούσῃ, ἀλλὰ γενναία ἡ τοιαύτη φυγή, τουτέστι· πρὸς γεννικῆς καὶ κοσμίας τὸ παρεῖναι καὶ θεραπεύειν τυφλὸν πατέρα: — A

† *ἄλλως:* κατ' ὀρθὴν πτῶσιν γραπτέον καὶ οὕτω τὸν λόγον ἀποδοτέον· αἰσχρά γε ἡ φυγὴ οὐ σωφρονούσῃ θυγατρί, ἀλλ' ἐγὼ γενναία καὶ σώφρων. ζηλωτέον δὲ ἑκατέρου τὸ ἦθος· ἡ μὲν γὰρ καὶ συμφεύγειν καὶ συναποθνήσκειν ἤθελε τῷ πατρὶ καὶ γάμον παρορῶσα καὶ τυραννίδα, ὁ δὲ τυφλὸς ὢν καὶ γηροκόμου δεόμενος τῇ θυγατρὶ παραινεῖ μένειν καὶ ἀπολαύειν γάμου καὶ τυραννίδος: — A

† οὐ τηρεῖ τὸ σύμφωνον, ἀλλὰ κατὰ τὸ δρᾶμα ὑποτίθεται. πῶς γὰρ θάψει Πολυνείκην Ἀντιγόνη συμφεύγουσα τῷ πατρί· πλεονάζει δὲ τῷ τοιούτῳ εἴδει ὁ Εὐριπίδης: — B[i]

---

1 προσενεκτέον MB προσενεκτέον ἐν ὑποκρίσει A 1. 2 συνυπακούειν οὖν δεῖ A 2 ἂν] ἐὰν B οἷον—εἰ om. MB 3 ὦ πάτερ A τὸ] τῷ M 4 ἑξῆς—καὶ om. B οἷον—γαμοίμην om. A τί A 5 πάτερ om. B 6 κείσομαι om. A 7 ἐστι μοῖρα A 8 post γράφεται add. ἓν ἦμαρ μ' ὤλβισεν B τὸ δὲ τὸ B 9 καὶ ἄλλως—τοῦ καί] ἢ B ἡ δε A τῆσ καί καὶ A 9. 10 με—ἀπώλεσε] μ' ἐξώλεσεν M ὤλβισέ με καὶ ἕν με ἀπώλεσε A 10 ἐστι om. A 11 ἡμέραν om. A ἔγημεν καὶ M καὶ ἔγημε B 12 εὐτυχήματα B 15 lemma praeponit οὐκ οὖν M συναπτέον πρὸσ τὸ αἰσχρὰ B 18 ἀλλὰ σοὶ A 21 γε] γὰρ A 22 συνφεύγειν A

1698 ἐκτεταμένοι: — $A^{g}B^{i}$

1701 ἀντὶ τοῦ πτώματα: — $M^{g}B^{i}$

1703 νῦν χρησμὸς, ὦ παῖ: ἦν γὰρ αὐτῷ χρησμῳδηθὲν ἐν Ἀθήναις ἀποθανεῖν: — A

1704 ὁ ποῖος: ὁ λόγος κατ' ἐρώτησιν· ἆρα δὴ πρὸς τοῖς οὖσι κακοῖς ἄλλα κακὰ ἐρεῖς: — MAB

ὁ ἦ ἀντὶ τοῦ ἆρα, ὁ ἀλλά ἀντὶ τοῦ δή, ἵν' ᾖ· ἆρα δή: — MB

1706 ἀντὶ τοῦ πόλις· τετράπολις γὰρ ἡ Ἀττική: — $MA^{g}B^{i}$

1707 ἱερὸς Κολωνὸς δώμαθ': δέξεταί με δηλονότι. Κολωνὸς ἀκρωτήριον τῆς Ἀττικῆς. ἱππείου δὲ θεοῦ τοῦ Ποσειδῶνος. ἔστι δὲ καὶ ἕτερος Κολωνὸς ἐργάτης: — MAB

δώμαθ' ἱππείου θεοῦ: διχῶς δὲ, πληθυντικῶς καὶ ἑνικῶς: — MB

ἱππείου θεοῦ: περὶ τοῦ ἐν τῷ ἱππείῳ Κολωνῷ τεθάφθαι τὸν Οἰδίπουν ἐν ἄλλοις ἐξειργάσμεθα ἀκριβῶς: — MB

1709 μετέχειν: — $A^{g}B^{g}$

1710 † ἴθ' εἰς φυγὰν τάλαιναν: διὰ μὲν τοῦ [1657] ἐγώ σφε θάψω σπέρματα τῇ Σοφοκλέους Ἀντιγόνῃ παρέσχε, διὰ δὲ τοῦ φεύγειν τῷ ἐπὶ Κολωνῷ Οἰδίποδι. ὡς βούλονται γὰρ οἰκονομοῦσι τὰ δράματα: — B

1712 τὴν τὰς ναῦς διαπέμπουσαν: — B

1716 γενόμεσθα: Ἀττικῶς μετὰ τοῦ σ: — MAB

1717 δῆτα Θηβαίων: τῶν Θηβαίων ἡμεῖς παρθένων ἁπασῶν μάλιστα ἄθλιαι τυγχάνομεν: — AB

1718 πόθι γεραιὸν ἴχνος: ὅπου, φησί, μέλλω τὸ ἴχνος τιθέναι, ἐκεῖσε χειραγώγει με: — AB

1719 καταχρηστικῶς τὰς χειραγωγίας: — $MA^{g}B^{i}$

ἐνταῦθα: — $A^{g}B^{g}$

1722 κατὰ τὴν ἰσχὺν γὰρ εἰκελόνειρος: — $M^{1}B^{i}$

---

5. 6 scholio quod sequitur adi B add. δὲ post ὁ   5 δὴ om. A   7 ὁ δὲ ἀλλά B   8 γὰρ om. M   9. 10 κολωνὸσ δὲ M   10. 11 ἱππείου— Ποσειδῶνος om. B sed post ἐργάτης add. δῶμα δὲ ἱππείου θεοῦ τοῦ ποσειδῶνοσ post Ποσειδῶνος add. ἐκεῖ γὰρ ἦν αὐτοῦ τὰ ἱπποστάσια A   11 ἕτερον M   12 scholio quod praecedit adi. B initio ita scripto λέγεται δὲ διχῶσ καὶ   13. 14 scholio quod praecedit adi. B add. δὲ post περὶ   13 τετάχθαι M   14 ἐξειργάσαμεθα B   17 τῆσ σοφοκλέουσ ἀντιγόνησ B   20 initio add. τὸ γενόμεθα A γρ. γενόμεθα B   ἀττικὸν A ἀττι δὲ τὸ B   in fine add. ἀντὶ τοῦ γενόμεθα A   21 ἡμεῖς om. B   21. 22 ἁπασῶν μάλιστα om. B   23 μέλλω φησὶ A   24 ἐκεῖ B   27 κατὰ] καὶ $M^{1}B^{i}$   εἰκελόνειρον $M^{1}$ εἴκελον ὀνείρωι $B^{i}$

ὥστ' ὄνειρον: ὥσπερ ὄνειρον κατὰ τὴν ἰσχύν. τὸ ὄνειρον εἶπεν ἐπὶ τῆς εὐθείας· κατὰ τὴν ἰσχὺν εἰκελόνειρος: — A

1726 τί τλάς: τί, φησίν, ἀεὶ λέγεις ὅτι δεινὰ τλάς· εἰ γὰρ καὶ συνεχῶς αὐτὸ λέγεις, ὅμως ἡ Δίκη τοὺς κακοὺς οὐχ ὁρᾷ οὐδὲ μετέρχεται αὐτῶν τὰς ἀσεβείας καὶ ἀσυνεσίας: — MAB

1727 † πάσχω δηλονότι: — M[1]

1728 μοῦσαν οὐράνιόν φησι τὴν μεγάλην καὶ περίβλεπτον σοφίαν. ἐγώ, φησίν, εἰμί, ὃς ἔδοξα πάντας ὑπερβεβηκέναι σοφίᾳ λύσας τὸ αἴνιγμα: — MAB

ἢ ἐπί πρὸς τὸ μοῦσαν: — M[1]AB[1]

1732 Σφιγγὸς ἀναφέρεις ὄνειδος: ἀναπολεῖς. κατ' ἐρώτησιν δὲ ὁ λόγος. καὶ νῦν δὲ τὸ ὄνειδος ἐπὶ τοῦ κλέους ἐστίν: — MB

1733 ἄπαγε: διὰ τὸ μνήμην ποιήσασθαι τῆς κατὰ τὴν Σφίγγα σοφίας ἔπεχε, φησί, τοῦτον τὸν λόγον· περιττὸν γάρ, φησί, παρελθούσης † ὁμιλίας μνημονεύειν, ἐπεὶ πλείων ἡ λύπη γίνεται. ἄπαγε οὖν, πέπαυσο καὶ παράλειπε λέγων τὰ εὐτυχήματα δυστυχημάτων παρόντων: — MAB

1737 ποθεινὰ δάκρυα: ποθεινοποιὰ δάκρυα καταλιποῦσα ταῖς παρθένοις ἔξειμι, ἅπερ ἐδάκρυσα μετ' αὐτῶν, ἀφ' ὧν, τῶν δακρύων, εἰς πόθον καὶ εἰς μνήμην ἥξουσί μου μετὰ ταῦτα: — MAB

ἄλλως: ἀντὶ τοῦ· δακρύσασα μετὰ τῶν παρθένων ἔξειμι τῆς πόλεως: — A[g]B

1739 ἀντὶ τοῦ κακοπαρθενεύτως πλανωμένη: — A[g]B[1]

1740 τινὲς καὶ τοῦτο τῆς Ἀντιγόνης: — A[1]B[1]

1741 εἰς πατρός γε συμφοράς: δυστυχὴς ἐγώ, φησίν, ὅτι ἐν καιρῷ συμφορᾶς δόξαν ἀποίσομαι ὡς φρονίμη καὶ συνετή· συνετῆς γὰρ τὸ καὶ δυστυχοῦντι τῷ πατρὶ αἱρεῖσθαι συνεῖναι, ὡσεὶ ἔλεγεν· ἐβουλόμην τὸ συνετόν μου τῶν φρενῶν ἐν εὐτυχίας καιρῷ ἐπιδείξασθαι: — MAB

---

2 καὶ] κατὰ A    3 δειναλᾶσ A    4 συνεχῆ λέ(γ) αὐτὸ A    αὐτῶ M ὅμως] ὃ μὲν M    6 non extrico    7 οὐρανόν A    8 εἰμι φησὶν B ὑπερβεβληκέναι A    10 scholio quod praecedit adi. A    τὴν A    13 διὰ om. M    ποιεῖσθαι A    14 ἐπίσχεσ A    περιττὸν] λυπηρὸν A    φησὶ om. A 15 ὁμιλίας] εὐτυχίας?    πλεῖον ἡ λύπη M ἡ λύπη πλεῖον A    16 λέγειν A 18 καταλιποῦσα δάκρυα AB    19 ἐδάκρυα M    τῶν om. B    20 ἕξουσι M ἕξουσί A    26 συμφορᾶσ τοῦ πατρὸσ B    ἀπώσαιμι M ἀποίσαιμι A    καὶ συνετή om. A    28 ἐν εὐτυχία ἐνδείξασθαι A    εὐτυχίαισ B

1743 τάλαιν' ἐγώ: ἀθλία εἰμὶ ἕνεκα τῶν σῶν κακῶν καὶ τῶν τοῦ ἀδελφοῦ Πολυνείκους ὕβρεων: — MAB

1745 ὃν εἴ με καὶ θανεῖν: ὅνπερ καλύψω τῇ γῇ, εἴ με καὶ χρὴ ἀποθανεῖν: — MA

ἀντὶ τοῦ· εἰ δέοι με καὶ ἀποθανεῖν: — M

1747 Δίδυμός φησι συμβουλεύειν αὐτῇ τοῦτο ποιῆσαι, ἵνα ἐρανίσωσιν αὐτήν. οὐδὲν γὰρ λαμβάνουσιν ἐξιόντες ἐφόδιον: — AB

1748 ἅλις ὀδυρμάτων: αὐτάρκως ὠδύραντο τὴν ἐμὴν ἀτυχίαν αἱ ὁμήλικες. αὐτάρκειά μοι τῶν θρήνων: — MAB[1]

1749 σὺ δ' ἀμφὶ βωμίους: φάνηθι ἀπὸ κοινοῦ. ἵνα ἱκετεύσῃς τοὺς θεοὺς λῆξιν δοῦναι τῶν κακῶν καὶ εὐμενεῖς πρὸς τὰ λοιπὰ γενέσθαι παραπέμψαντας ἡμᾶς εἰς Ἀθήνας: — MAB

1751 ἴθ' ἀλλὰ Βρόμιος: καὶ πρὸς τὸν Διόνυσον ἄπιθι, ἔνθα ἐστὶ ταῖς Βάκχαις ὁ νεὼς τοῦ Διονύσου ἄβατος ὢν τοῖς βεβήλοις. ἀντὶ τοῦ ἐν ὄρει: — MA

ἵνα τε σηκός: ὁ τάφος τῆς Σεμέλης ὅπου ἐστίν, ἐν Κιθαιρῶνι. σηκὸς δὲ ὁ ναός. ἄβατος δὲ δηλονότι τοῖς βεβήλοις. ἐπὶ γοῦν τὸν Βρόμιον, φησίν, ἴθι. ἄδηλον δὲ πρὸς τί ποτέ φησιν αὐτὴν τοὺς θεοὺς ἀξιοῦν καὶ μάλιστα τὸν Διόνυσον. ὁ δὲ χορὸς ἀσυμπαθὴς παρθένον οὕτως ἀτυχῶς φεύγουσαν μὴ οἰκτιζόμενος: — MAB

1753 Καδμείαν: Καδμείαν νεβρίδα, ἀντὶ τοῦ ἐπιχωρίαν καὶ ἣν εἰθίσμεθα ἡμεῖς αἱ Θηβαῖαι φορεῖν: — MAB

ἄλλως: τούτῳ με κελεύεις χορεῦσαι ᾧ ποτε ἀνεχόρευσα ἐγὼ Καδμείαν νεβρίδα στολισαμένη κατὰ τὸν ἐν ὄρεσι θίασον τῆς Σεμέλης· ἀλλ' ὅμως χάριν οὐκ ἐδεξάμην ἀνθ' ὧν ἐχόρευσα. πῶς οὖν με κελεύεις καὶ νῦν αὐτῷ χορεῦσαι τῷ ἅπαξ καταφρονήσαντί μου: — MAB

1757 χάριν διδοῦσα ἧς χάριν καὶ ἀμοιβὴν παρὰ τῶν θεῶν οὐκ ἔσχον, ἐπεὶ Οἰδίπους τοιαῦτα πέπονθεν: — MAB

1759 † ἦν: ἤμην ὑπῆρχον. κατέσχον δὲ ἀντὶ τοῦ ἐνίκησα. ἢ ἔγνων: — B

---

1 τῶν (alterum) om. M 5 scholio quod praecedit adi. M 7 ἐφόδια A 8 εὐτυχίαν A δυστυχίαν B[1] 9 ἡ αὐτάρκεια B[1] 10 ἀπὸ κοινοῦ τὸ φάνηθι B 10. 11 ἱκετεύσω M 11 καὶ om. A πρὸς] εἰς A 18 ποτὲ M αὐτὴ A 19 χορὸς om. M ἀσυμπαθὴς om. A 23 τοῦτο MA με] μὲν A ὃ A 25 ἀλλ'—ἐδεξάμην om. M 25. 26 με—αὐτῷ] καὶ πάλιν κελεύεις A 27. 28 scholio p. 415,6 adi. M 27 χάριν διδοῦσα om. B ἧς] ἣ M 28 ἀλλ' ἐπὶ τοῦ οἰδίποδος B ἐπεί τοι MA αὐτὰ MA πέπονθα MAB

1760 *ὃς μόνος Σφιγγὸς κατέσχον*: ἱστορεῖ Πείσανδρος ὅτι κατὰ χόλον τῆς Ἥρας ἐπέμφθη ἡ Σφὶγξ τοῖς Θηβαίοις ἀπὸ τῶν ἐσχάτων μερῶν τῆς Αἰθιοπίας, ὅτι τὸν Λάιον ἀσεβήσαντα εἰς τὸν παράνομον ἔρωτα τοῦ Χρυσίππου, ὃν ἥρπασεν ἀπὸ τῆς Πίσης, οὐκ ἐτιμωρήσαντο. ἦν δὲ ἡ Σφὶγξ, ὥσπερ γράφεται, τὴν οὐρὰν ἔχουσα δρακαίνης· ἀναρπάζουσα δὲ μικροὺς καὶ μεγάλους κατήσθιεν, ἐν οἷς καὶ Αἵμονα τὸν Κρέοντος παῖδα καὶ Ἵππιον τὸν Εὐρυνόμου τοῦ τοῖς Κενταύροις μαχεσαμένου. ἦσαν δὲ Εὐρύνομος καὶ Ἠιονεὺς υἱοὶ Μάγνητος τοῦ Αἰολίδου καὶ Φυλοδίκης. ὁ μὲν οὖν Ἵππιος καὶ ξένος ὢν ὑπὸ τῆς Σφιγγὸς ἀνῃρέθη, ὁ δὲ Ἠιονεὺς ὑπὸ τοῦ Οἰνομάου, ὃν τρόπον καὶ οἱ ἄλλοι μνηστῆρες. πρῶτος δὲ ὁ Λάιος τὸν ἀθέμιτον ἔρωτα τοῦτον ἔσχεν. ὁ δὲ Χρύσιππος ὑπὸ αἰσχύνης ἑαυτὸν διεχρήσατο τῷ ξίφει. τότε μὲν οὖν ὁ Τειρεσίας ὡς μάντις εἰδὼς ὅτι θεοστυγὴς ἦν ὁ Λάιος, ἀπέτρεπεν αὐτὸν τῆς ἐπὶ τὸν Ἀπόλλωνα ὁδοῦ, τῇ δὲ Ἥρᾳ μᾶλλον τῇ γαμοστόλῳ θεᾷ θύειν ἱερά. ὁ δὲ αὐτὸν ἐξεφαύλιζεν. ἀπελθὼν τοίνυν ἐφονεύθη ἐν τῇ σχιστῇ ὁδῷ αὐτὸς καὶ ὁ ἡνίοχος αὐτοῦ, ἐπειδὴ ἔτυψε τῇ μάστιγι τὸν Οἰδίποδα. κτείνας δὲ αὐτοὺς ἔθαψε παραυτίκα σὺν τοῖς ἱματίοις ἀποσπάσας τὸν ζωστῆρα καὶ τὸ ξίφος τοῦ Λαίου καὶ φορῶν· τὸ δὲ ἅρμα ὑποστρέψας ἔδωκε τῷ Πολύβῳ, εἶτα ἔγημε τὴν μητέρα λύσας τὸ αἴνιγμα. μετὰ ταῦτα δὲ θυσίας τινὰς ἐπιτελέσας ἐν τῷ Κιθαιρῶνι κατήρχετο ἔχων καὶ τὴν Ἰοκάστην ἐν τοῖς ὀχήμασι. καὶ γινομένων αὐτῶν περὶ τὸν τόπον ἐκεῖνον τῆς σχιστῆς ὁδοῦ ὑπομνησθεὶς ἐδείκνυε τῇ Ἰοκάστῃ τὸν τόπον καὶ τὸ πρᾶγμα διηγήσατο καὶ τὸν ζωστῆρα ἔδειξεν. ἡ δὲ δεινῶς φέρουσα ὅμως ἐσιώπα· ἠγνόει γὰρ υἱὸν ὄντα. καὶ μετὰ ταῦτα ἦλθέ τις γέρων ἱπποβουκόλος ἀπὸ Σικυῶνος, ὃς εἶπεν αὐτῷ τὸ πᾶν ὅπως τε αὐτὸν εὗρε καὶ ἀνείλετο καὶ τῇ Μερόπῃ δέδωκε, καὶ ἅμα τὰ σπάργανα αὐτῷ ἐδείκνυε καὶ τὰ κέντρα ἀπῄτει τε αὐτὸν τὰ ζωάγρια· καὶ οὕτως ἐγνώσθη τὸ ὅλον. φασὶ δὲ ὅτι μετὰ τὸν θάνατον τῆς Ἰοκάστης καὶ τὴν αὐτοῦ τύφλωσιν ἔγημεν Εὐρυγάνην παρθένον, ἐξ ἧς αὐτῷ γεγόνασιν οἱ τέσσαρες παῖδες. ταῦτά φησι Πείσανδρος: — MAB

οἱ τὴν Οἰδιποδίαν [frg. 2] γράφοντες [οὐδεὶς οὕτω φησὶ περὶ τῆς

1. 2 cf. Apollod. III 5, 8,2 ἔπεμψε γὰρ Ἥρα Σφίγγα  4 πίσσησ MA  4. 5 οὐκ—οὐρὰν om. M  4 ἐτιμωρήσατο αὐτὸν A  5 τὴν μὲν A  εἶχεν M  ἡ A  7 τὸν om. M  τοῦ AB  8 νιοεὺσ M  υἱοὶ] ὡσ οἱ M  12 διεχειρήσατο M  οὖν om. M  13 θεοστιγὴσ A  14. 15 τῇ—ἐξεφαύλιζεν om. M  21 ἐν] σὺν B  γενομένων B  22 ἐκεῖνον om. M  ἐπεδείκνυεν M  24 ὡσ υἱὸν M  29 ἐρυγάνην M  30 οἱ om. B

Σφιγγός]· 'ἀλλ' ἔτι κάλλιστόν τε καὶ ἱμεροέστατον ἄλλων παῖδα φίλον Κρείοντος ἀμύμονος Αἵμονα δῖον'. καί φασιν ὅτι οὐκ ἦν θηρίον, ὡς οἱ πολλοὶ νομίζουσιν, ἀλλὰ χρησμολόγος δύσγνωστα τοῖς Θηβαίοις λέγουσα καὶ πολλοὺς αὐτῶν ἀπώλλυεν ἐναντίως τοῖς χρησμοῖς χρωμένους: — Mon. 560

τῆς μιαιφόνου κράτη: δι' ὧν ἐκράτει τῆς πόλεως: — M

† μιαιφόνου κράτη: γράφεται καὶ κάρα. κράτη τὰ σοφίσματα, δι' ὧν ἐκράτει τῆς πόλεως: — B

---

7 γράφεται—κάρα] κάρα γὰρ καὶ B

Digitized by Google

# SCHOLIA

IN

# EVRIPIDEM

COLLEGIT RECENSVIT EDIDIT

**EDVARDVS SCHWARTZ**

**VOLVMEN II**

SCHOLIA IN HIPPOLYTUM MEDEAM ALCESTIN
ANDROMACHAM RHESVM TROADES

BEROLINI
TYPIS ET IMPENSIS GEORGII REIMER
MDCCCXCI

# PRAEFATIO

Praeter codices illos antiquos Marcianum 471 Vaticanum 909 Parisinum 2713 quos in priore uolumine descripsi, huic editioni adhibiti sunt

codex Neapolitanus II F 41 chart. s. XV. continet fol. 1. 2 epigrammata graeca et latina, fol. 3—6 uacua sunt, fol. 7ʳ—24ʳ epigrammata graeca, fol. 25ᵘ narrationes Byzantinas de Achille Aiace Paride et Vitam Euripidis a Thoma Magistro scriptam, fol. 26ʳ—65ʳ Hecubam, fol. 66ʳ—107ʳ Orestem, fol. 110ʳ—143ʳ Andromacham cum scholiis marginalibus, fol. 144ʳ—182ᵘ Hippolytum cum breuissimis scholiis marginalibus, fol. 184ʳ—205ʳ scholia in Hippolytum, fol. 206ʳ—249ʳ Phoenissas. summi momenti est codex in Hippolyti scholiis quorum optimam recensionem praebet. e. g. unus Istri Apollodori et ni fallor Philochori locos seruauit in docto scholio ad us. 73 excerptos [p. 15, 3—11].

codex Ottobonianus 339 [ex codicibus Ioannis Angeli Ducis ab Altaemps] chart. s. XVI/XVII. codex miscellaneus est ex triginta fere scriptionibus et graecis et neograecis compositus quae omnes a diuersis librariis scriptae sunt. fol. 158ʳ—186ʳ extant scholia in Euripidis Andromacham et Hecubam uno tenore perscripta. scholia in Hecubam [fol. 177ʳ—185ᵘ] descripta sunt ex iis scholiis quae in cod. Vatican. 1135 ante ipsam Hecubam leguntur neque quicquam ualent. scholia in Andromacham in uitiis lacunis [us. 781—846 desunt scholia in utroque codice praeter

scholl. 818. 820, in codice Neapolitano paginae superscripta sunt λεί$^{π}$ τὰ σχόλια] transpositionibus lemmatibus adeo cum scholiis Neapolitanis cohaerent. ut de uno eodemque codice archetypo et eo quidem Marciani gemello cogitandum sit. ita per codicem Ottobianum scholia grauissima et Lysimachi doctrina referta quae ad us. 10 et 32 in codice Marciano miserrime detrita erant, in integrum restituere licuit, noua accessere scholia ad us. 53 et 285. primum de hoc codice egi in libro 'Mélanges Graux' p. 651 sq.

Troadum scholia in codice Neapolitano II F 9 chart. s. XV ex codice Vaticano 909 transscripta sunt ita ut loci in codice Vaticano detriti ex apographo suppleri possent.

codicem Parisinum 2713 in Andromachae scholiis prorsus abiciendum esse intellexi postquam eum totum contuli; adeo breuem et in peius mutatam recensionem praebet. in lemmatibus secutus sum codicem Marcianum in Hippolyti, ubi fieri poterat, et Andromachae scholiis, in ceteris originem adscripsi nisi unus tantum codex praesto erat, de meo lemma nunquam addidi. glossas et scholia intermarginalia ex codicibus Marciano et Neapolitano recepi omnia, ex codice Parisino fere omnia, ex codice Vaticano, qui glossis scatet, ea tantum quae in ceteris codicibus redeunt, praeter Rhesi Troadumque glossas quas ad unum omnes recipere non dubitaui. siquis plura apud Dindorfium legi mirabitur, haec manu recenti esse scripta sciat. talia neglexi praeter pauca et bona frustula, fragmenta scilicet illa Aristotelis [p. 62] et Callimachi [p. 54, 19] quae alicubi non seruata sunt neque ex scholiis sed ex compendiis Byzantinis desumpta esse uidentur.

Indices cum conficerem id mihi proposui ut uirorum doctorum usui quam maxime consuleretur, ad ea omnia quae scitu digna et notabilia in hac uasta et tenebrosa scholiorum mole extant facilis pararetur aditus, quae denique alicuius momenti sunt ut de more interpretandi, de uaria doctrina, de diuersa scholiorum origine — quantum e. g. Orestis et Andromachae scholia distant — recte iudicetur, commode componerentur. erunt qui leuia recepta, grauia abiecta esse dicant, locos uel neglectos uel non apte relatos in-

ueniant: fatum enim est huiusmodi laborum ut auctori summum taedium afferant, lectoribus et usum commodum et facilem uituperationis occasionem praebeant. uariarum lectionum catalogum componere neque potui, non enim Euripidem recenseo, neque uolui quia scholiis ad artem criticam exercendam nemini uti licet nisi qui totum scholiorum corpus non semel uel bis, sed iterum iterumque diligenter pertractauit. magnam ingentemque disputandi materiem index glossarum praebet, non tamen eam de qua scholiorum Euripideorum editor commode loquatur sed ii qui olim Hesychium Cyrillum, ne dicam omnia lexica Graeca recensebunt. horum praecipue in usum quam maxime euitandum esse duxi ut ingens glossarum et explicationum moles in scholiorum latebris delitescere pergat. quamquam enim multa uocabula ex ipso poetae loco explicata esse non nego, tamen et magnam lexicorum antiquorum partem ex eiusmodi explicationibus conflatam esse omnes sciunt neque certa argumenta me deficiunt cum haud pauca interpretamenta non a glossatore ex ipsius loci sententia petita, sed e lexico desumpta esse contendam. an tu putas casu factum esse ut δάκνειν scholl. Phoen. 383 Hi 696 M 110 in λυπεῖν uertatur, κνίζειν scholl. M 555 An 209 in idem uerbum, κάμνειν et νοσεῖν scholl. He 306 M 768 et Ph 867. 1171 An 548 in δυστυχεῖν, κόμπος scholl. Ph 600 An 1219 in ἔπαρσις uel ἔπαρμα, μηδέν scholl. He 622 T 412 in εὐτελές, σπένδεσθαι σπονδαί ἔνσπονδος ὑπόσπονδος scholl. Ph 1240. 97. 171. 81. 273 in εἰς φιλίαν συνέρχεσθαι, εἰρήνη ἡ μετὰ φιλίας, μετὰ φιλίας, συγχεῖν σύγχυσις scholl. Hi 812 M 1005 An 291 in συνταράσσειν ταραχή? in Orestis scholiis quae nescio an plurima uestigia lèxici praebeant, us. 1138 adscripta sunt κεδνά: κυρίως τὰ συνετά, νῦν δὲ τὰ ἀγαθά: interpretamentum συνετός inuenies schol. M 523, ἀγαθός schol. Al 96. ad us. O 35 adnotata sunt παρὰ μὲν τῷ ποιητῇ τλήμων ὁ ὑπομονητικός. παρὰ δὲ τοῖς τραγικοῖς τλήμων ὁ δυστυχής: schol. He 562 legitur καρτερικώτατον ὑπομονητικώτατον, He 775 ὦ ὑπομονητικὴ ἐν τοῖς κακοῖς. schol. O 795 leguntur νῦν τὸ κῆδος ἀντὶ τῆς συγγενείας κεῖται, κυρίως δὲ ἡ ἐπιγαμβρία: hoc redit scholl. Ph 77. 340. 704 M 400, illud O 752

M 700. schol. Hi 93 τὸ σεμνόν et τὸ ὑπερήφανον et τὸ τίμιον significare exponitur; iam τίμιον legitur scholl. Ph 284. 1175 Hi 99. 103. 143 An 699, ὑπερήφανον M 216. haud raro factum est ut explicatio e lexico petita uel iis locis adscriberetur quibus non apta erat et additamento aliquo accommodaretur. σφάλλειν per ἀποτυγχάνειν explicari solet cf. scholl. Ph 725. 758, itaque us. Medeae 197 σφάλλουσι δόμους ita explicatur ἐξ ὧν, λυπῶν, αἱ δειναὶ συμφοραὶ πταίειν καὶ ἀποτυγχάνειν ποιοῦσι τοὺς οἴκους. quod scholl. Ph. 1023 Hi 1247 τέρας in σημεῖον inepte uertitur, nisi ex lexici uel usu uel memoria excusari nequit. iam scholiorum explicationes saepissime cum lexicis consentire nemo erit qui miretur. lexica a scholiastis adhibita esse ex comparatione uel obiter instituta claro elucet. schol. He 1104 leguntur Ἡσίοδος [opp. 417]· Σείριος ὁ Ἥλιος. νῦν δὲ τὸν ὑπὸ τὸ γένειον τοῦ κυνὸς ἀστέρα φησὶν ἀκολούθως Ὁμήρῳ [X 26 sq.]. talia lexico deberi uel per se intellegitur; testimonium addit Hesychii articulus σείριος ὁ ἥλιος. καὶ ὁ τοῦ κυνὸς ἀστήρ. schol. O. 517 τὸ λοίσθιον μίασμα: τὸ ἔσχατον, τὸ μὴ ἀφ' ἑτέρου εἰς ἕτερον διαβαῖνον. Ὅμηρος [Ψ 536] 'λοῖσθος ἀνὴρ ὥριστος' eundem lexici articulum continet plenum quem misere contraxit Hesychius λοίσθιον: λοῖσθον ἔσχατον. schol. O 268 κερουλκά: διὰ τῶν κεράτων ἕλκοντα τὴν νευρὰν ἢ τὸ βέλος ὡς τὸ κεραελκὴς ταῦρος. ultimum additamentum ex lexico petitum est; cf. Hesych. κερουλκός: ὁ τοῖς κέρασιν ἕλκων τὸ ἄροτρον. quae cum ita sint, lexicorum locos, ubicunque commodum uidebatur, adnotaui, sed, ut fit, multa ne dicam plurima siue consulto siue per neglegentiam omisi. e. g. Hesychius adferri poterat scholl. He 28 [σάλος]. 66 [διερειδομένα]. 115 [στόλος]. 267 [ἔκκριτον]. 268 [ὑπερφέρεις]. 280 [παραψυχή]. 355 [ἀπόβλεπτον]. 369 [διεργάσει]. 445 [θοάς: est glossa Cyrilli ὀξείας ταχείας [τῆς Λακωνικῆς ὁρμάς], ultima ad us 450 ἢ Δωρίδος ὅρμον αἶας pertinent]. 824 [κενόν]. 887 [ἄρδην]. 916 [σκίδναται]. 949 [οἰζύς]. 996 [νῦν]. 1041 = Hi 221 [βέλος]. 1058 [ὀρέστερος]. 1081 [φάρος στέλλων]. 1104 [σείριος]. 1128 [μαργῶσαν χέρα]. 1220 [πένης]. O 11 [φυτεύει]. 140 [ἀρβύλη, ἀρβύλαι]. 147 [ὄροφος]. 225 [πινῶδες]. 289 [νίν]. 327 [φοῖτος]. 383 [ἀφύλλου στόματος]. 517 [λοίσθιον].

530 [ὁμορροθεῖν]. 570 [ἐπίκλημα]. 592 [νέμει]. 670 [θωπεία]. 805 An 422 [θυραῖος]. 846 [ἥκιστα]. 921 [ὁμόσε χωρεῖν]. 981 [ἀστάθμητος]. 1013 [κατακυρωθείς]. 1217 [πάρος]. 1267 [πάντῃ]. 1403 [κακομήτης]. 1421 = M 1278 [ἄρκυς]. Ph 114 [ἔμβολα]. 149 [ἀμφέπει]. 162 [στέρνα]. 237 [γύαλον]. 340 [ἀμφέπει]. 383 [δάκω φρένα]. 443 [διαλλαγή]. 494 [αὐθέκαστα]. 550 [ὑπέρφευ]. 576 [κλέος]. 791 [κῶμος]. 879 [ἔχθος]. 931 [θαλάμη]. 983 [ἔρυμα]. 1023 [δάιον τέρας]. 1247 [μαργῶντες]. 1431 [καίρια]. 1645 [θεσμοποιεῖς]. 1657 [ἀπεννέπῃ]. 1668 [ἀπορρήτους]. Hi 312 [αὖθις]. 480 [ὀψέ]. 601 [ἀναπτυχαί]. 818 [μήκιστα]. 862 [σφενδόνην]. 921 [σοφιστής]. 1105 [σύνεσις]. 1115 [παράσημον]. 1146 [μηνίω]. 1194 [κέντρον]. 1375 [ἔραμαι]. M 173 [ὀμφή]. 193 [εἰλαπίνη]. 337 [ὄχλον]. 424 [θέσπιν]. 461 [ἀχρήμων]. 516 [κίβδηλον]. 523 [οἰακοστρόφος]. 596 [ὁμόσποροι]. 708 [καρτερός]. 762 [γενναῖος]. 785 [δῆθεν]. 1146 [προθύμως]. 1192 [ἀραρότως]. Al 109 [διακναιόμενον]. 256 [σπερχόμενος]. 447 [ἑπτάτονος]. 922 [ὑμεναίων]. An 506 [θῦμα]. 609 [ἐπούρισας]. 689 [γλωσσαλγία]. 696 [ἄρνυται]. 846 [δύσποτμος]. 1135 [πυρρίχας]. Rh 172 [συναινῶ]. 266 [σκαιός]. 318 [κατάντης]. 441 [ἐπεξάρει]. T 958 [πλεκτή]. haec tamen accurate et plane pertractari nequeunt, dum quota Hesychii pars Cyrillo debeatur in molestissimis tenebris latet. praeterea siquis de scholiorum et Hesychii conexu quaesiturus est, grauiter moneo ne illos locos Hesychii neglegat qui ad uersum certum certae fabulae referendi sunt, prorsus tamen a scholiis ad eundem locum pertinentibus discrepant. sunt enim satis multi et fere semper ei qui antiquae originis esse uideantur. similiter de ceteris lexicis iudicium cohibeo dum uiri docti de Caecilio Didymo etc. hariolari desinent et incipient Byzantinorum lexica s. VII. VIII. IX. restituere ut a certo fundamento ad incerta ascendi possit.

Restat ut gratias agam praecipue Vdalrico de Wilamowitz-Moellendorf qui cum laborem plagulas corrigendi mecum sustinere uoluisset, multo meliorem hanc editionem reddidit quam ego potueram, non per coniecturas tantum in apparatu enotatas, sed etiam magis per ea consilia quae ad recensionem pertinentia taceri solent,

tum Ricardo Reitzenstein collegae et amico qui plagularum dimidiam fere partem mecum legit. denique facere non possum quin hoc publico loco bibliopolam optimum quaecunque huius editionis commoditatem augere poterant ea omnia liberaliter pro uirili parte neque ulla difficultate perterritum praestitisse grato animo tester.

Iam uale, liber meus qui per decem fere annos mihi sodalis fuisti raro gratus et uel nimis constans, uale, dico, et proficiscere in publicum, nemini gaudio uel delectationi futurus quippe qui ne mihi quidem multum gaudii attuleris, sed modesti et fidelis serui operam iis praestiturus qui seria et seuera opera legere et tractare illum poetam uolent quo multi feliciores extitere, nemo serior. paucos semper eius modi dominos inuenisses, etiam pauciores tibi hoc tempore contingent quo et studia Graeca et artis grammaticae austeram seueritatem innatae Germanorum uirtuti plurimum nocuisse summi et infimi, aulici et proletarii contendunt atque persuadent.

Rostochii mense Octobri MDCCCXCI.

E. S.

# ΥΠΟΘΕΣΙΣ ΙΠΠΟΛΥΤΟΥ

Θησεὺς υἱὸς μὲν ἦν Αἴθρας καὶ Ποσειδῶνος, βασιλεὺς δὲ Ἀθηναίων. γήμας δὲ μίαν τῶν Ἀμαζονίδων, Ἱππολύτην, Ἱππόλυτον ἐγέννησε, κάλλει τε καὶ σωφροσύνῃ διαφέροντα. ἐπεὶ δὲ ἡ συνοικοῦσα τὸν βίον μετήλλαξεν, ἐπεισηγάγετο Κρητικὴν γυναῖκα, τὴν Μίνω τοῦ Κρητῶν βασιλέως καὶ Πασιφάης θυγατέρα, Φαίδραν. ὁ δὲ Θησεὺς Πάλλαντα ἕνα τῶν συγγενῶν φονεύσας φεύγει εἰς Τροιζῆνα μετὰ τῆς γυναικός, οὗ συνέβαινε τὸν Ἱππόλυτον παρὰ Πιτθεῖ τρέφεσθαι. θεασαμένη δὲ τὸν νεανίσκον ἡ Φαίδρα εἰς ἐπιθυμίαν ὤλισθεν, οὐκ ἀκόλαστος οὖσα, πληροῦσα δὲ Ἀφροδίτης μῆνιν, ἣ τὸν Ἱππόλυτον διὰ σωφροσύνην ἀνελεῖν κρίνασα τὴν Φαίδραν εἰς ἔρωτα παρώρμησε, τέλος δὲ τοῖς προτεθεῖσιν ἐπέθηκε. στέγουσα γὰρ τὴν νόσον ἡ Φαίδρα χρόνῳ πρὸς τῆς τροφοῦ δηλῶσαι ἠναγκάσθη, ἥτις κατεπαγγειλαμένη αὐτῇ βοηθήσειν [ἥτις] παρὰ τὴν προαίρεσιν λόγους προσήνεγκε τῷ νεανίσκῳ. τραχυνόμενον δὲ αὐτὸν ἡ Φαίδρα καταμαθοῦσα τῇ μὲν τροφῷ ἐπέπληξεν, ἑαυτὴν δὲ ἀνήρτησε. καθ' ὃν καιρὸν φανεὶς Θησεὺς καὶ καθελεῖν

---

1 ἱππολύτου ὑπόθεσις M 2 υἱὸς N om. MA, post Αἴθρας ins. in ras. m. rec. B δὲ om. B 3 ἀμαζόνων N Ἱππολύτην] ἀντιόπην m. rec. superscr. B 5 μίνωος NB 6 καὶ Πασιφάης om. MB 8 συνέβη N 9 ὠλίσθησεν A 11 τὴν — παρώρμησε N, ins. m. recentis. A om. MB δὲ om. B 12 ἔθηκε MAB στέγουσα Valckenaer στέργουσα MNAB γὰρ N δὲ MAB νόσον ἡ Φαίδρα om. M ἡ Φαίδρα om. AB χρόνον A 12. 13 τῆς τροφοῦ ego τὴν τροφὸν MNAB 13 ἥτις κατεπαγγειλαμένη ego ἡ δὲ κατεπηγγείλατο N κατεπαγγειλαμένη MAB βοηθῆσαι AB 14 ἥτις deleui καὶ παρὰ N κατὰ MAB προήνεγκε MB 16 ἑαυτὴν N αὐτὴν MAB

σπεύδων τὴν ἀπηγχονισμένην, εὗρεν αὐτῇ προσηρτημένην δέλτον, δι' ἧς Ἱππολύτου φθορὰν κατηγόρει κατ' ἐπιβουλήν. πιστεύσας δὲ τοῖς γεγραμμένοις τὸν μὲν Ἱππόλυτον ἐπέταξε φεύγειν, αὐτὸς δὲ τῷ Ποσειδῶνι ἀρὰς ἔθετο, ὧν ἐπακούσας ὁ θεὸς τὸν Ἱππόλυτον διέφθειρεν. Ἄρτεμις δὲ τῶν γεγενημένων ἕκαστον διασαφήσασα Θησεῖ τὴν μὲν Φαίδραν οὐκ ἐμέμψατο, τοῦτον δὲ παρεμυθήσατο υἱοῦ καὶ γυναικὸς στερηθέντα, τῷ δὲ Ἱππολύτῳ τιμὰς ἔφη ἐπιχωρίους ἐγκαταστήσεσθαι: — MNAB

ἡ σκηνὴ τοῦ δράματος ὑπόκειται * * ἐν Ἀθήναις. ἐδιδάχθη ἐπὶ Ἐπαμείνονος ἄρχοντος ὀλυμπιάδι πζ̄ ἔτει δ̄. πρῶτος Εὐριπίδης, δεύτερος Ἰοφῶν, τρίτος Ἴων. ἔστι δὲ οὗτος Ἱππόλυτος δεύτερος ⟨ὁ⟩ καὶ στεφανίας προσαγορευόμενος. ἐμφαίνεται δὲ ὕστερος γεγραμμένος· τὸ γὰρ ἀπρεπὲς καὶ κατηγορίας ἄξιον ἐν τούτῳ διώρθωται τῷ δράματι. τὸ δὲ δρᾶμα τῶν πρώτων: — MNAB

---

1 θέλων N  βίβλον B  2 κατ' Wil καὶ MNAB  5 διασαφήσας M  6 ἐμέμψατο N ἀπεπέμψατο MAB alterum π in μ corr. B  7 ἐπιχωρίους N γῆς MAB  ἐγκαταστήσασθαι MNAB em. Nauck  8 ὑπόκειται * * ἐν Ἀθήναις scripsi ut e. g. suppleatur ἐν Τροιζῆνι καὶ οὐ καθάπερ τοῦ προτέρου: ὑπόκειται ἐν θήβαις AB ἐν θήβαις κεῖται MN  8. 9 ἐπὶ Ἐπαμείνονος Matthiae ἐπιαμήνονος M ἐπὶ ἀμείνονος NAB  9 ὀλυμπιάδος A  πζ̄ B ἐπὶ πζ̄ M ἐπὶ νζ̄ A γὰρ πζ̄ N  ante δεύτερος ins. καὶ A  10 ante τρίτος ins. καὶ N  οὗτος ὁ ἱππόλυτος B  ὁ add. Nauck  12 κατηγορίας Laur. 31,15 κακηγορίας MNAB  12. 13 τὸ — πρώτων om. N

# ΣΧΟΛΙΑ ΕΙΣ ΙΠΠΟΛΥΤΟΝ

1 Πολλὴ μέν: δυνατή, θαυμαστή, μεγίστη. Ὅμηρος [Η 156]· ‘πολλὸς γάρ τις ἔκειτο’: — $M^gNA^gB^i$

ἡ διάνοια ἐμφαντικώτερόν τε καὶ ῥητορικώτερον πέφρασται ἐκ τοῦ ἐναντίου τὸ ἐναντίον παραλαμβάνουσα: — $MNAB^i$

οὐκ ἀνώνυμος μέν τις ἀλλὰ πολλὴ οὖσα τὴν φήμην ἐν ἀνθρώποις θεὰ κέκλημαι Κύπρις καὶ παρὰ τοῖς ἐν τῷ οὐρανῷ καὶ παρὰ τοῖς ἐν τῷ πόντῳ ζῴοις θεὰ νενόμισμαι. τινὲς δὲ τὸ ἑξῆς οὕτω· πολλὴ μὲν ἐν βροτοῖσι θεὰ κέκλημαι· ποίοις βροτοῖς; [καὶ] ὅσοι Πόντου ⟨τ'⟩ ἔσω ναίουσι τερμόνων τ' Ἀτλαντικῶν: — N

ἄδοξος: — $A^g$

2 ὅ ἐστι· καὶ παρὰ θεοῖς καὶ ἐντὸς οὐρανοῦ: — $M^gNA^gB^g$

3 ὅσοι τε πόντου: ἐπὶ τὸ μέγιστον ηὔξησεν τὸ κατηγόρημα τοῦ νεανίου· εἰ γὰρ ἐκεῖνοι θηριώδεις ὄντες τὴν φύσιν καὶ νόμων καὶ γραφῶν ἄπειροι, σέβουσιν ὅμως τὴν θεόν, τὴν φύσιν δεξάμενοι διδάσκαλον, πόσῳ γε μᾶλλον ὁ ἐν μέσῃ τῇ Ἑλλάδι τραφεὶς καὶ μέγιστον ἐπὶ φιλο-

---

2 in. add. μεγάλη $A^g$ ἀντὶ τοῦ $B^i$   μεγίστη om. $M^gA^g$   2. 3 Ὅμηρος — ἔκειτο om. $M^g$   3 πολλὸς — ἔκειτο om. $A^g$   παρήορος in fine add. $B^i$   4—5 scholio p. 4,18—19 adi. $B^i$ add. δὲ post ἡ   4 ἐμφαντικωτέρα πέφρασται ἡ διάνοια M   τε — ῥητορικώτερον om. A   τε om. $B^i$   5 ἀπολαμβάνουσα NB   6—8 οὐκ — νενόμισμαι et 8—10 τινὲς — Ἀτλαντικῶν separatim et ordine inuerso N   9 καὶ deleui ὅσοι καὶ Wil   τ' addidi   11 Hesych. ἀνώνυμος ἄδοξος   12 ὅ — θεοῖς om. $M^g$ in ras.   13 τὸ M om. NAB   τὴν κατήγορον M   14 νεανίσκου B   15 θεὸν] ἀφροδίτην N   16 πόσωι γε μᾶλλον N πόσης κατὰ γνώμης M πόσης καταγνώσεως AB

σοφίᾳ φρονήσας. εἰ δὲ καὶ ⟨διὰ τὸ⟩ σωφρονεῖν ἀπέχεσθαι γάμων ἤθελεν, οὐδὲν ἧσσον ἔδει πάλιν αὐτὸν σέβειν τὴν δαίμονα, προεστῶσαν τῶν ἀγαθῶν ἐπιθυμιῶν. πάντες γὰρ οἱ φιλόσοφοι τιμῶσι τὴν θεὸν πρὸς τὸ μὴ εἰς ταύτην ἁμαρτάνοντες τὰ ἐναντία τῆς γνώμης δυστυχεῖν· ἑκατέρωθεν δὲ αὐτῆς δύο Ἔρωτας ἱστῶσιν, τὸν μὲν πρὸς τιμωρίαν, τὸν δὲ πρὸς δωρεὰν εἶναι λέγοντες: — MNAB

τερμόνων τ' Ἀτλαντικῶν: τῶν πρὸς Γαδείροις τόπων· ἐκεῖ γὰρ ὄρος Ἄτλας· οὗτος δέ ἐστιν ὁ ἄξων ⟨τοῦ οὐρανοῦ⟩. Ὅμηρος [α 53]· 'ἔχει δέ τε κίονας αὐτός': — N

τερμόνων τ' Ἀτλαντικῶν: παρὰ τὸ Ἀτλαντικὸν πέλαγος. ἔνιοι δὲ τὰ Γάδειρα, ἔνθα ἐστὶν ὄρος Ἄτλας, ὅπερ ἐστὶ δυτικόν. ὁ δὲ Πόντος ἀνατολικός: — MNAB

ἄλλως: εἰς τὰ ἔσχατα. ἵνα καὶ τοῖς στοιχείοις Ἀφροδίτην γινώσκεσθαι λέγῃ δι' ὧν φύεται, οἷον· καὶ τὰ ἔσω τοῦ πόντου φυόμενα Ἀφροδίτην οἶδεν τῇ φύσει. ἢ τοὺς ἐν τοῖς πέρασι [τῶν στοιχείων τούτων] οἰκοῦντας θηριώδεις ἀνθρώπους λέγει, ὃ καὶ βέλτιον: — MNB[1]

4 φῶς ὁρῶντες Ἡλίου: πάσαις ταῖς ἀπὸ Ἡλίου ἐγκότως διάκειται Ἀφροδίτη διὰ τὸν ἔλεγχον τῆς μοιχείας Ἄρεως: — MNA[g]B[1]

5 τοὺς μὲν σέβοντας: τὸ ἑξῆς τῆς διανοίας· προαποδειχθέντος τοῦ μεγάλην μέ τινα εἶναι καὶ ἐπίσημον παρὰ πᾶσι τοιαύτη τις εἰμὶ τὴν φύσιν ὡς τοὺς μὲν σέβοντάς με τιμᾶν, τοὺς δὲ ἀποσειομένους τὴν εἰς ἐμὲ εὐσέβειαν καταβάλλειν. ἀντὶ τοῦ· πολλή τις οὖσα, τοὺς μὲν τιμῶ,

---

1 ἀπέχεσθαι γάμων scripsi ἀπὸ γάμων MNB ὑπὸ γάμον A ἐπὶ γάμων Wil ἠθέλησεν M 2 δεῖ N 4 εἰς scripsi πρὸς MNAB ἁμαρτάνοντας MA 4—6 ἑκατέρωθεν — λέγοντες om. MAB 7 ἐκεῖ ego ἔστι N 8 τοῦ οὐρανοῦ addidi 9 αὐτάς N 10—12 scholio p. 3,13 — p. 4,4 adi. B praemissis τερμόνων δὲ ἀτλαντικῶν 10 παρὰ τὸ] περὶ N post πέλαγος add. ἤκουσαν MAB 11 ὁ ἄτλας B 12 Πόντος Wil ἀνατολικόν A ἀνατολικός siue — όν B ἀτλαντικός N 13 τὸ ἔσχατον NB dist. Wil 14 γιγνώσκεσθαι M λέγεται M 15. 16 τῶν — τούτων del. Wil 18 ἐγκότως Boissonade εἰκότως MNB[1] om. A[g] 18. 19 ἀντίκειται M 19 ἡ ἀ. M τῆς] τὸν M 20—21 τὸ ἑξῆς — πᾶσι om. M 20 τὸ — διανοίας om. N προαποδειχθείσης A 21 μέ] μέν A καὶ ἐπίσημον Heath et Wil καὶ ἐπιστήμην A καὶ ἐπιστήμονα B om. N πᾶσι N τοῖς ἀνθρώποις AB 22 με N om. MAB 22. 23 τὴν εἰς ἐμὲ εὐσέβειαν AB τὴν εἰς ἐμὲ θυσίαν καὶ εὐσέβειαν N με M 23 καταβαλεῖν N διαβάλλειν A 23 — p. 5,2 ἀντὶ — προτιμᾶν om. N τιμῶ MB τιμῶντας σέβω A

τοὺς δὲ σφάλλω. πρεσβεύω δὲ τὸ προτιμῶ. οὕτως Ἀττικοί· πρεσβεύειν τὸ προτιμᾶν: — MNAB

τιμῶ σέβω: — $M^{g}A^{g}$

6 βλάπτω καταβάλλω: — $M^{g}A^{g}B^{g}$

ἀντὶ τοῦ· καθ᾽ ἡμῶν: — $M^{g}A^{g}B^{g}$

7 ἔνεστι γὰρ δή: ἔνεστι καὶ ἐν τοῖς θεοῖς τὸ χαίρειν ταῖς τιμαῖς, ὡς ἐπὶ τῶν ἀνθρώπων. καὶ διὰ τοῦ κἀν ἔδειξεν ὅτι τοῦτο προσωμολόγηται παρὰ πᾶσιν: — $MAB^{1}$

8 δείξω δὲ μύθων τῶνδ᾽ ἀλήθειαν τάχα: ἔξεστι μὲν τοῦτο καὶ καθόλου ἐπὶ τῶν προειρημένων νοημάτων λαβεῖν, ἐξαιρέτως δὲ ἐπὶ τοῦ τοὺς μὲν σέβοντας τιμῶ, τοὺς δὲ βλασφημοῦντας με σφάλλω: — MAB

τοῦτο δύναται καὶ ἐπὶ πάντων λαμβάνεσθαι τῶν προειρημένων. δύναται ⟨δὲ⟩ καὶ ἐπὶ τοῦ παρόντος: — M

10 Ἀμαζόνος τόκος: ὅτε γὰρ μετὰ Ἡρακλέους ὁ Θησεὺς ταῖς Ἀμαζόσιν ἐπολέμησεν διὰ τὸν ζωστῆρα, Ἀντιόπην ἔλαβεν αἰχμάλωτον καὶ ἤγαγεν εἰς τὴν Ἑλλάδα καὶ συμμιγεὶς αὐτῇ ἐποίησεν υἱόν, τὸν Ἱππόλυτον: — MNAB

τῆς Ἀντιόπης: — $M^{g}A^{g}$

11 ἁγνοῦ Πιτθέως: ἁγνὸν τὸν Πιτθέα ⟨λέγει⟩, ὡς καὶ ἐν Μηδείᾳ [684]· ʻπαῖς, ὡς λέγουσι, Πέλοπος εὐσεβέστατοςʼ. παρὰ Πιτθεῖ τῷ πατρὶ τῆς Αἴθρας τῆς μητρὸς Θησέως ἐπαιδεύετο ὁ Ἱππόλυτος. ἦν δὲ ὁ Πιτθεὺς σοφὸς καὶ χρησμολόγος καὶ ἱερὸς θεοῖς, ὃς καὶ ἔλυσε τὸν χρησμὸν τῷ Αἰγεῖ καὶ τὴν θυγατέρα ἔδωκεν, εἰδὼς τῇ σοφίᾳ οἷος ἔσται

---

1 δὲ MB μὴ τιμῶντας A προτιμῶ scripsi ὑπερτιμῶ MAB cf. Phot. πρεσβεύειν: προτιμᾶν· Εὐριπίδης Hes. s. u. πρεσβεύειν schol. Plat. conu. p. 186ᵇ ἀττικῶς M ἀττικὸν A 2 post πρεσβεύειν add. δὲ B ὑπερτιμᾶν M τιμᾶν AB 7 ὡς MA ὥσπερ καὶ $B^{1}$ τοῦ κἂν M τοῦτο καὶ A τοῦ καὶ $B^{1}$ 7. 8 τοῦτο προωμολόγηται $B^{1}$ τοῦτο προωμολόγησεν M προωμολόγηται τοῦτο A 8 in fine add. ἀνθρώποις $B^{1}$ 9 μὲν Heath μοι MAB 9. 10 καὶ τοῦτο A 10 καθόλου ἐπὶ τῶν Wil ἐπὶ τῶν [τοῦ A] καθόλου MAB νοήματα M 11 τοῦ] τούτου M σφάλλω] βάλλω κάτω M 13. 14 scholio p. 4,13—17 adi. M 13 τῶν πάντων M 14 δὲ add. Dindorf 15 ὁ θησεὺς μετὰ ἡρακλέους N 16 ante Ἀντιόπην add. καὶ MAB ἀντιόπη M ἤνυσαν B ἀνέλαβεν A 17. 18 τὸν ἱππόλυτον N ὁμώνυμον τῆι ἱππολύτηι MB ὁμώνυμον τῷ ἱππολύτῳ A 20 καὶ om. MNA 22 μητρὸς om. M 23 ἱερὸς MAB de N non constat φίλος Wil προσφιλὴς ego 24 ante τῷ add. ἐν A τὴν σοφίαν N

ὁ τεχθησόμενος. παρ' αὐτῷ δὲ ὁ Θησεὺς ἐπαιδεύετο, ὡς Καλλίμαχος [frg. 567]: — MNAB

Ἀριστοτέλης ἱστορεῖ ὅτι ἐλθὼν Θησεὺς εἰς Σκῦρον ἐπὶ κατασκοπὴν εἰκότως διὰ τὴν Αἰγέως συγγένειαν, ἐτελεύτησεν ὠσθεὶς κατὰ πετρῶν φοβηθέντος τοῦ Λυκομήδους τοῦ βασιλεύοντος * *· Ἀθηναῖοι δὲ μετὰ τὰ Μηδικὰ κατὰ μαντείαν ἀνελόντες τὰ ὀστᾶ αὐτοῦ ἔθαψαν: — A man. recentiss.

13 ὑπάρχειν: — M[g]A[g]

14 ἀναίνεται δὲ λέκτρα: καὶ τί, φασὶν, ἐλύπει αὐτὴν τὸ τῆς φιλοσοφίας; καὶ λεκτέον ὅτι ὡς αὐτὴν ἀτιμάζων ἐδόκει [καὶ τοῦτο ποιεῖν ὡς καὶ] αὐτῆς μὴ ποιεῖν τὰ τερπνά, ἀγνοῶν ὅτι καὶ σωφροσύνης ἔρωτας αὐτὴ ἀποστέλλει. ὡς ἐν διηγήσει λέγει ἢ ὡς πρὸς κνησμονὴν αὐτῆς ἐκείνου τοῦτο ποιοῦντος: — MNAB

19 μείζω βροτείας: εὐτυχήσας τῆς ἐπιμιξίας τῆς δαίμονος πλέον ἢ ὡς δεῖ ἀξιοῦσθαι ἄνθρωπον φιλίας θεοῦ. οἷον· μείζονι τῆς ἀνθρωπίνης ὁμιλίας ἐντυχὼν τῇ Ἀρτέμιδος: — MNAB

22. 23 τὰ πολλὰ δὲ πάλαι προκόψασ': τοῦτο ἐσολοίκισεν· οὕτω γὰρ ἔδει εἰπεῖν· τὰ πολλὰ δὲ πάλαι προκόψασα οὐ πόνου πολλοῦ χρείαν ἔχω. συνεχῶς τούτῳ τῷ σχήματι χρῆται ὁ Εὐριπίδης. ἣν

---

p. 5,22—1 Aristotel. ap. Plut. Thes. 3 cf. Wil   1 post δὲ add. φησὶν B   ἐπαιδεύετο om. NA   ὥσ φησιν M καὶ N ὡσ καὶ AB   2 in fine add. μαρτυρεῖ B   3—7 cf. Heraclidis qui fertur excerpta p. 371 Ros. ἐλθὼν εἰς Σκῦρον ἐτελεύτησεν ὠσθεὶς κατὰ πετρῶν ὑπὸ Λυκομήδους φοβηθέντος μὴ σφετερίσηται τὴν νῆσον. Ἀθηναῖοι δὲ ὕστερον περὶ τὰ Μηδικὰ μετεκόμισαν αὐτοῦ τὰ ὀστᾶ et Plut. Thes. 35 [cf. Cim. 8] εἰς Σκῦρον ἐξέπλευσεν οὔσης αὐτῷ πρὸς τοὺς ἐκεῖ φιλίας καὶ χωρίων ἐν τῇ νήσῳ πατρῴων. ἐβασίλευσε δὲ Λυκομήδης τότε τῶν Σκυρίων .... ὁ δὲ εἴτε δείσας τὴν δόξαν τοῦ ἀνδρὸς .... ὦσε κατὰ τῶν πετρῶν καὶ διέφθειρεν ..... 36 μετὰ δὲ τὰ Μηδικὰ ... μαντευομένοις τοῖς Ἀθηναίοις ἀνεῖλεν ἡ Πυθία τὰ Θησέως ἀναλαβεῖν ὀστᾶ. praeterea cf. schol. Lycophr. 1326   4 ὠσθεὶς scripsi ὡσ θησεὺσ A   6 μηδιακὰ A   9 τί om. N   φασὶν Matthiae φησὶν MNAB   10 καὶ del. Wil   10. 11 καὶ—καὶ deleui   11 ὡς—τερπνὰ del. Wil   αὐτῇ MNAB   ποιεῖν ego ποιῶν MNAB   12 ὡσ καὶ B   διηγήμασι M   ἢ N καὶ τί φησὶν ἐλύπει ... [siue αὕτη siue οὕτωσ scriptum fuisse adnotaui] ἡ σωφροσύνη τὴν θεόν· ἀλλ' οὕτωσ αὐτῶ εἶπεν M ἄλλως καὶ τί φησὶν ἐλύπει αὐτὴν [αὐτὴν ἐλύπει B] τοῦτο· ἀλλ' οὕτωσ αὐτὸ εἶπεν AB   13 ἐκείνου post ὡς coll. NB   15 ὡς δεῖ] αἰδεῖ A   μείζονι Wil μεῖζον τι MNAB   16 εὐτυχῶν B   τῇ Wil τῆσ MNAB   18 γὰρ om. N   πάλαι om. M   19 post συνεχῶς add. δὲ MAB   χρήματι M

δὲ [ὥσπερ] ὑγιέστερον οὕτως εἰπεῖν· τὰ πολλὰ δὲ προκεκοφυίας μου, ἔτι οὐ πολλοῦ με δεῖ πόνου, ἢ οὕτως· τὰ πολλὰ δὲ ἤδη προκόψασα οὐκέτι πολὺν ἔχω πόνον. προκόψασα δὲ προκατασκευάσασα, ἐπαυξήσασα τὴν ἐπίνοιαν· ὥσπερ ἂν εἴ τις εἴποι· προοικονομήσασα ὀλίγου χρείαν ἔχω πόνου. γέγονε δὲ ὁ σολοικισμὸς πρὸς τὸ ἀκατάλληλον τῆς πτώσεως. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· προανυσάσῃ μοι τὰ πρὸς τὸν ἔρωτα τοιῷδε τρόπῳ, ὀλίγα λείπεται πρὸς τὴν τιμωρίαν: — MNAB

προκόψασ': ἔδει εἶναι προκόψασαν ἢ προκοψάσῃ· συνεχῶς δὲ οὗτος κέχρηται τῷ τοιούτῳ σχηματισμῷ: — MA

24 ἐλθόντα γάρ νιν: ἐν τῇ Ἀττικῇ ἔτι οὖσα ἡ Φαίδρα [πρὶν μετοικῆσαι εἰς Τροιζῆνα] ἰδοῦσα τὸν Ἱππόλυτον ἐλθόντα ἐπὶ μύησιν τῶν Ἐλευσινίων ἤρα πρὶν καὶ εἰς Τροιζῆνα ἐλθεῖν καὶ ἐκ τῆς συνεχοῦς θέας * * ⟨ἔστι⟩ νοῆσαι τὸν ἔρωτα ὅτι πολὺς ἦν ὡς ἐξ αἰφνιδίου θέας τηλικοῦτον ἰσχῦσαι: — MNAB

25 σεμνῶν ἐς ὄψιν· μεγάλων σεπτῶν. ἔοικε δὲ λέγειν τῶν Ἐλευσινιακῶν. ὄψιν δὲ λέγει τὴν θέαν, τέλη δὲ τὴν τελετήν: — MNAB

26 εἰς τὴν Ἀττικήν: — M[g]A[g]B[i]

27 κατεσχέθη ὑπὸ τοῦ ἔρωτος: — M[i]A[g]B[i]

29 καὶ πρὶν μὲν ἐλθεῖν: τὸ ἐξαίρετον τοῦ ἔρωτος δηλοῖ, ὅτι καὶ πρὸ τοῦ ἐλθεῖν εἰς Τροιζῆνα οὕτως ἤρα, ὡς καὶ Ἀφροδίτης ἱερὸν ἱδρύσασθαι ἐν τῇ Ἀττικῇ ἐξιλεουμένη τὸν ἔρωτα [καὶ μὴ παρόντος ἐρῶσα τοῦ Ἱππολύτου ἐπ' αὐτῷ ἱδρύσασθαι τὸ ἱερὸν ἔλεγε]: — MNAB

---

1 ὡσ N deleui ὑγιέστερος M post δὲ add. πάλαι AB προκεκοφυίας μου ego προκεκοφύης B προκεκούφισμαι MA προκεκούφισται N 2 πόνου δεῖ A δὲ om. N ἤδη om. M 3 post δὲ add. ἀντὶ τοῦ A 4 προοικοδομήσασα MNA 6 προάνισάσης μου N 7 τὴν om. A 9 προκόψασα A 9—10 συνεχῶς — σχηματισμῷ om. A 10 οὗτος scripsi οὐ M 11. 12 πρὶν — Τροιζῆνα deleui 12 ἐξελθόντα A om. N 13 πρὶν — ἐλθεῖν om. A καὶ πρὶν B post ἐλθεῖν add. ὥστε B συνεχῆσ M 14 ἔστι Dindorf δυνατὸν B om. MNA ὅτι] ὡσ B ὡσ NA ὁ ἔρωσ ὡσ M ὅτι καὶ B νοῆσαι. ὁ ἔρως οὕτως πολὺς sine lacuna Wil 15 ἴσχυσε B 16 σεπτῶν] conicio ἐποπτείαν δὲ] καὶ M τὴν AB 17 ἐλευσινιαίων AB 17 τελευτήν NA in fine add. ἐκάλεσεν αὐτὴν ἀφροδίτην ἐφ' ἱππολύτωι ἣν καὶ ἱππολυσίαν καλοῦσιν N 22 ἡ ἀφροδίτη A 23. 24 deleui, cf. p. 9,9 24 post Ἱππολύτου add. ὥστε καὶ B τὸ om. M ἔλεγε M λέγει A om. NB

30 πέτραν παρ' αὐτήν: ἐπὶ πέτρας τινὸς ἐν τῇ Ἀττικῇ, ἀφ' ἧς ⟨ἦν⟩ ἀποβλέπεσθαι τὴν Τροιζῆνα. Ἀφροδίτης ναὸν ἱδρύσασθαι τὴν Φαίδραν φησίν, ἐκάλεσε δὲ Ἀφροδίτην ἐφ' Ἱππολύτῳ, ὃ νῦν καὶ Ἱππολύτειον καλοῦσιν: — MNAB

Παλλάδος κατόψιον: ,πέτραν Παλλάδος φησὶ τὸ Γλαυκώπιον ὄρος. κατόψιον δὲ ἀντὶ τοῦ· ἐπὶ ταύτης τῆς γῆς, τῆς Ἀττικῆς. ἢ τὸ κατόψιον ἀντὶ τοῦ· ἐξ ἐναντίας ⟨τῆς γῆς τῆσδε, ὅ ἐστι Τροιζῆνος⟩: — MA

κατόψιον: τὸ κατόψιον οἱ πιθανώτερον ἐξηγούμενοι ἤκουσαν τὸ ὄρος τὸ ἀντικείμενον τῷ Γλαυκωπίῳ [τῆς γῆς τῆσδε ὅ ἐστι Τροιζῆνος]. ἢ κατόψιον τὸ ὑψηλόν, παρόσον τὰ ὑψηλὰ κατοπτεύουσι πάντα τὰ ὑποκείμενα: — MNAB

31 ὅτι ἡ Τροιζὴν τὸ τέλος ἐστὶ τῆς Πελοποννήσου ἀντικειμένη τῇ Ἀττικῇ καὶ τῷ Γλαυκωπίῳ ὄρει τῆς Ἀττικῆς † τὸ θύνιον. οἱ δὲ Ἀττικῶς λεγόμενον ἐπὶ Τροιζῆνος λαμβάνουσιν, ἐπειδὴ καὶ ἐν αὐτῇ ὑφέστηκε τὰ πράγματα. βέλτιον δὲ ἐπακολουθοῦντα τοῖς προτέροις Πανδίονος γῆν

---

1 post Ἀττικῇ ins. scholion 13—p. 9,2 M, tum pergit ἄλλως· ἐπὶ πέτρας τινὸς ἐν τῇ ἀττι[x] 2 ἦν add. Valckenaer ναὸν om. M 3 φησίν scripsi φασὶν MNAB 2—4 cf. adnotata ad p. 7,18 ὃ νῦν scripsi ἴσως M om. N ἦν AB 4 Ἱππολύτειον scripsi cl. schol. μ 321 Φαίδρα δὲ ἐρωτικῶς διατεθεῖσα τοῦ Ἱππολύτου σφοδρῶς ἐπ' αὐτῷ τηκομένη τὸ μὲν πρῶτον ἱερὸν Ἀφροδίτης ἐν Ἀθήναις ἱδρύσατο τὸ νῦν Ἱππολύτειον καλούμενον: ἱππολυτίαν MAB ὑπολύτην N 5 πέραν A γλαυκώπειον MA 6 ἀντὶ τοῦ om. A 7 ἢ τὸ M τὸ δὲ A ἀντὶ τοῦ M τουτέστιν A 7—8 τῆς—Τροιζῆνος ex 10 addidi 9—12 scholio 13—p. 9,2 adi. B initio add. τοῦτο δὲ 9 τὸ κατόψιον om. A οἱ N om. MAB 10 γλαυκωπείῳ MAB 10—11 τῆς—Τροιζῆνος deleui cf. 8 τῆσδε] δὲ M 11. 12 ἢ—ὑποκείμενα om. A 11 ἢ MN ἄλλως B κατόψιον om. N 12 in fine add. πέτραν δὲ παλλάδος τὸ γλαυκώπειον ὄρος B 13—p. 9,2 cf. adnotata ad 1 scholio 1—4 sine lemmate adi. B 14 γλαυκωπείῳ ὄρει MAB γλαυκωπεῖ ὄρει ὄρει N τὸ θύνιον NB τὸ θύνειον M τὸ θήνιον A τὸ Σούνιον Heath locum ita restituere conatus sum ὅτι—Ἀττικῆς, ⟨αὐτὸς δηλοῖ λέγων [373] τόδ' ἔσχατον οἰκεῖτε χώρας Πελοπίας προνώπιον, ἀντὶ⟩ τοῦ πρόθυρον οἱ] ὁ M 16 ante τὰ πράγματα ins. τὴν δύναμιν καὶ A τῷ προτέρῳ N de M non constat 16. p. 9,1 Πανδίονος—αὐτὸ scripsi πρὸς τὸν ἀττικὸν πανδίονα αὐτὴν καὶ τἄλλα καὶ [καὶ om. N] ὡς [ὡσεὶ M ὡσεὶ N] προειρημένης [προειμένης N προειρημ[έ] B] αὐτῇ [αὐτὸ NB αὐτῇ siue αὐτὸ M] MNAB

καὶ τἄλλα. ἐπὶ τῆς Ἀττικῆς ὡς προειρημένης αὐτὸ λαμβάνειν. κατόψιον οὖν ἀντὶ τοῦ· κατὰ τὸ ἀντικείμενον: — MNAB

31 ἐνιδρύσατο: — M$^{g}$A$^{g}$

32 μὴ παρόντος: — M$^{g}$

ἀποδήμου καὶ μὴ ἐπιδημοῦντος Ἱππολύτου ἤρα: — N

ἐρῶσ' ἔρωτ': ἐν γὰρ τῇ ἀκροπόλει ἱδρύσατο Ἀφροδίτης ναὸν ἐπὶ αὐτῷ [Ἱππολύτῳ]: — NAB$^{i}$

33 εἰς τὰ μετὰ ταῦτα: — M$^{i}$A$^{g}$B$^{g}$

ἱδρῦσθαι θεάν: ⟨μὴ παρόντος ἐρῶσα τοῦ Ἱππολύτου ἐπ' αὐτῷ⟩ ἱδρύσασθαι ⟨τὸ⟩ ἱερὸν ἔλεγε. πέτραν δὲ Παλλάδος φησὶ τὸ ἐν τῇ Ἀττικῇ Γλαυκώπιον, οὗ Καλλίμαχος ἐν Ἑκάλῃ [frg. 66 f] μέμνηται. περὶ δὲ ⟨τοῦ⟩ τὸ ἱερὸν Γλαυκώπιον καλεῖσθαι ἀπὸ τοῦ ἐπωνύμου * *: — MNAB$^{i}$

34 μεθίσταται τῆς γῆς: — M$^{g}$A$^{g}$

35 μίασμα φεύγων αἵματος: τοὺς Παλλαντίδας ὑπὸ Θησέως ἀνῃρῆσθαι Φιλόχορος οὕτω φησί [frg. 36]. Πάλλαντος ἐπιθέσθαι ταῖς Ἀθήναις διανοουμένου καὶ τὴν Σφηττίαν ὁδὸν προφανῶς πορευομένου ἐπὶ τὸ ἄστυ μετὰ τῆς δυνάμεως αὐτοῦ, οἱ τούτου παῖδες κατὰ βούλησιν τοῦ πατρὸς Γαργηττοῖ ἐγκαθίζουσι μετὰ τῶν ἡλικιωτῶν, ἵν', ὅταν ἐπεξελθοῦσι τοῖς Ἀθηναίοις ὁ Πάλλας συμβάλῃ, ἐξ ἐφόδου προσπεσόντες λά-

---

4 παρόντος ego παρόντα M$^{g}$ explicatur lectio ἔκδημον 5 lemmate ἐνιαύσιον ἔκδημον praeposito ad us. 37 relatum N 6 init. add. ἔρως τοῦ ἱππολύτου ἐπ' αὐτῶ A 7 αὐτῷ Wil κακῶ NAB$^{i}$ ἱππόλυτοσ B incerta compendia in NA del. Wil 9—12 scholio 6. 7 adi. B$^{i}$ et om. μὴ — ἔλεγε N 9 μὴ — αὐτῷ addidi ex uerbis in A initio scholii 6. 7 adscriptis et schol. p. 7, 23 10 τὸ addidi φησὶ om. B$^{i}$ 11 γλαυκώπειον MNAB$^{i}$ οὗ N οὕτωσ M οὕτω AB$^{i}$ Ἑκάλῃ Matthiae ἑκάβῃ MNAB$^{i}$ 12 τοῦ add. et lacunam indicauit Wil cf. Apollodor. ap. Strab. 7 p. 299 ἄλλους δ' αἰτιᾶται (Callimachus) ψεύσασθαι περὶ Γερήνων καὶ τοῦ Ἀκακησίου καὶ Δήμου ἐν Ἰθάκῃ, Πελεθρονίου δ' ἐν Πηλίῳ, Γλαυκωπίου δ' ἐν Ἀθήναις Heracl. ap. schol. E 422 etym. m. p. 546, 18 atque Steph. Byz. p. 68, 17 et. m. p. 233, 35 δὲ τὸ] τὸ δὲ M γλαυκώπειον MNAB$^{i}$ 16 οὕτω φησὶ N ἱστορεῖ A ἱστορεῖ οὕτωσ B de M non constat 16 — p. 10, 2 eadem accuratius ex Philochoro excerpsit Plutarch. Thes. 13 16 ἐπιθεῖναι AB 17 διανοουμένησ A σφηττίαν spatio uacuo relicto ins. m. recentiss. A διαπορευομένου NAB 19 Γαργηττοῖ Matthiae γαργίττου M βαρβίτου A βαρβίττου B om. N ἡλικιωτῶν A 19. 20 ἐπεξελθοῦσι τοῖσ ἀθηναίοισ N ἐπεξέλθωσι τοῖσ ἀθηναίοισ καὶ MAB 20 συμβάλλῃ MA συμβάλλῃι B ὁδοῦ N

βωσι τὴν πόλιν. ἀνὴρ δέ τις, ὃς ἐκηρύκευε τῷ Πάλλαντι, ἀπαγγέλλει τῷ Θησεῖ τὸ γενόμενον. ὁ δὲ προσπεσὼν εὐθὺς μετὰ τῶν ἡλικιωτῶν αὐτοὺς ἀναιρεῖ'. ἡ δὲ ἱστορία οὕτως ἔχει· Νῖσος καὶ Πάλλας καὶ Αἰγεὺς τρεῖς ἀδελφοὶ ἐκ Πανδίονος γεγόνασιν, καὶ ὁ μὲν Νῖσος τὰ Μέγαρα ᾤκει, Αἰγεὺς δὲ καὶ Πάλλας δήμων τινῶν ἦρχον, τῆς Ἀττικῆς οὔπω συνῳκισμένης εἰς ἕν. λόγος οὖν τὸν Θησέα, ἀνεψιὸν ὄντα τῶν Πάλλαντος παίδων, ἕνα αὐτῶν ἀντιποιούμενον τῆς βασιλείας ἀνελεῖν. [οἱ δὲ οὕτως ἱστόρησαν. φασὶ γὰρ τοὺς Παλλαντίδας παῖδας ἀνελεῖν τὸν Θησέα, λοχῶντας ἵνα εἰσπέσωσι τῇ πόλει.] ἐπειδὴ δὲ νόμος ἦν τοὺς ἐμφύλιον καὶ συγγενικὸν φόνον ποιήσαντας ἐνιαυσίᾳ φυγῇ ζημιοῦσθαι ⟨διὰ⟩ τὸ μίασμα, ἔξορον αὐτὸν ἐποίησεν καὶ τὴν γυναῖκα εἰς Τροιζῆνα πλησιάζουσαν ὡς τοὺς συγγενεῖς μετήνεγκεν ἑαυτὸν ἐκ ταύτης καὶ πάσης τῆς Πελοποννήσου ἀφορίσας. ἔθος γὰρ τοῖς ἐφ' αἵματι φεύγουσιν ἐνιαυτὸν ποιεῖν ἔξωθεν τῆς πατρίδος: — MNAB

Πάλλας πολύπαις ὢν ὡς ἄπαιδα τὸν Αἰγέα κατεπόνει ἕως ἡβήσας ὁ Θησεὺς ἠμύνατο τοὺς Παλλαντίδας. βαλὼν γὰρ ἐν κυνηγίῳ κατὰ συὸς τινὰ τῶν Πάλλαντος παίδων ἀνεῖλεν: — MAB

36 καὶ τῇδε σὺν δάμαρτι: εἰς τὴν Ἀττικὴν ἦλθε πλεύσας διὰ τὸν φόνον: — MNA

37 οἱ γὰρ ἐφ' αἵματι φεύγοντες ἐνιαυτὸν ποιοῦσιν ἔξωθεν τῆς πατρίδος: — MA

---

1 ἐκηρύκευσε MB 4 ἐγεγόνασι A 7 Πάλλαντος scripsi παλλαντιδῶν MNAB αὐτῶν B αὐτὸν NA de M non constat 8—9 οἱ δὲ — πόλει ex priore scholio repetita et discrepantiae notandae causa huic loco adscripta esse apparet ex magno codicum discrimine. in recensendo isto additamento secutus sum codicem N quippe qui antiquissimam illius formam exhibere uideretur 9 post πόλει add. ὅταν ὁ πατὴρ αὐτῶν πάλλας ἐγγὺς γένηται ὁ δὲ θησεὺς ἀνεῖλεν αὐτοὺς τὴν ἔφοδον αὐτῶν νοήσας M ὅταν ὁ πατὴρ αὐτῶν πάλλας ἐγγὺς γένηται ὁ δὲ θησεῖ [θησεὺς A] μηνύσας τὴν ἔφοδον αὐτῶν [αὐτὸν A] ἀνὴρ ἦν ὃς ἐκηρύκευε τῷ πάλλαντι ὡς οὖν βοηθῶν [corruptum uidetur ex βοηθήσωσι] τῷ πάλλαντι τοὺς παῖδας αὐτοῦ καταλύοντας ἀνεῖλεν ὁ θησεὺς AB ἐπειδὴ δὲ] ἐπεὶ A ἐπεὶ δὲ B 9. 10 τοῖς — ποιήσασιν A 10 συγγενῆ N ἐνιαυσίᾳ ego ἑκουσία NAB ἐκ ͧ M φυγὴν M 11 διὰ addidi 12 ὡς] καὶ A ἑαυτὸν NA ἑαυτὸν δὲ M εἰς ἑαυτὸν B 13 ἀφορίσας N ἀφώρισεν MAB αἵμασι NB 14 ἐκτὸς NB 15—17 scholio p. 15, 12. 13 adi. M 15 ἡψήσας A 16 dist. Wil 18 uolebat Τροιζῆνα 18. 19 διὰ τὸν φόνον N om. MA 20—21 scholio quod praecedit adi. M et initio add. ὅπως ἐνιαυτὸν ποιήσῃ A

45 ἄναξ Ποσειδῶν: Αἴθρᾳ γὰρ συνελθὼν Ποσειδῶν ἐποίησε τὸν Θησέα. τοὺς δὲ εἰς ἀπαλλαγὴν τῶν κακῶν γινομένους ἀνθρώπους θεῶν παῖδας ὠνόμαζον, ὧν καὶ ὁ Θησεὺς εἷς ἐστιν: — MNAB

παρέσχεν. ἢ ἐδωρήσατο: — M$^g$A$^g$

46 μηδὲν μάταιον: μίαν μὲν ἠτήσατο τὸ ἀνελθεῖν ἐξ Αἴδου. δευτέραν ἐκ λαβυρίνθου, τρίτην ⟨τὸ⟩ τῷ Ἱππολύτῳ ⟨θάνατον πεμφθῆναι⟩: — MNAB$^i$

47 ἡ δ' εὐκλεὴς μέν: Μίνωος γάρ ἐστι θυγάτηρ, Θησέως δὲ γυνή. ἢ ὅτι ἐρῶσα καρτερεῖ. διὰ τὸ Θησέως μὲν εἶναι γυνή, Μίνωος δὲ θυγάτηρ, εὐκλεής ἐστι. τὸ δὲ ἀπόλλυται ἀντὶ τοῦ· ἀπολεῖται καίπερ οὖσα εὐκλεής. τὸ δὲ αἴτιον ὅτι πάσαις ταῖς ἀφ' Ἡλίου γενομέναις ἐμήνιεν Ἀφροδίτη, διὰ τὴν μηνυθεῖσαν ὑφ' Ἡλίου μοιχείαν. τὴν γοῦν Πασιφάην οὐ μόνον τοῦ ταύρου, ἀλλὰ καὶ τοῦ * * Μίνωος ἐρασθῆναί φασιν, ὡς ἱστορεῖ Σωσικράτης [frg. 8]. εἰκότως δὲ ἡ Ἀφροδίτη τὴν παρ' ἀμφοῖν εἰσπράττεται τιμωρίαν, παρὰ μὲν Φαίδρας, ὅτι ἀφ' Ἡλίου· παρ' Ἱππολύτου δέ, ὅτι οὐκ εἶχε τὰ περὶ αὐτὴν ἐν τιμῇ, ἀπαξιῶν τὴν πρὸς τὰς γυναῖκας ὁμιλίαν: — MNAB

48 τὸ γὰρ τῆσδ' οὐ προτιμήσω: οὐ τὸ ταύτης κακὸν ἔμπροσθεν θήσομαι τοῦ μὴ τιμωρήσασθαι τοὺς ἐχθρούς, ἀντὶ τοῦ· οὐ φροντίσασα τῆς ἀπωλείας αὐτῆς τὸ μὴ οὐ παρασχεῖν τοὺς ἐμοὺς ἐχθροὺς ἐμοὶ δίκην ὕστερον θήσομαι: — MNAB

ἄλλως: οὐκ ἂν προτιμήσαιμι τὴν ταύτης ἀπώλειαν καὶ τὸ μὴ τιμωρήσασθαι τοὺς ἐμοὺς ἐχθροὺς ἐν ὑστέρῳ θήσομαι: — MNAB

54 ἑπόμενος χορός: — M$^g$A$^g$B$^i$

1 τῇ αἴθρα N γὰρ om. N ἐπεισελθὼν AB 2. 3 τοὺς — ἐστίν om. N 2 δὲ — ἀπαλλαγὴν M γε παραυτίκα τοῦ ἀπαλλαγῆναι AB γινομένουσ M τοὺσ A om. B 3 ἐδόξαζον AB καὶ — ἐστίν] ἐστι καὶ ὁ [om. B] θησεὺσ AB 6 τὸ om. MAB$^i$ 7 post δευτέραν add. δὲ M τρίτην om. N τὸ addidi τοῦ ἱππολύτου A add. κατὰ m. recentiss., B$^i$ 7. 8 θάνατον πεμφθῆναι addidi cl. schol. 887 9 μίνωσ NA μίνω B 10 ἢ] ἀλλ' ἡ N μὲν om. A γυναῖκα N 11 post εὐκλεής add. δὲ M 12. 13 cf. schol. us. 8 13 ἐμήνισεν B post μηνυθεῖσαν add. αὐτῆσ N αὐτοῖσ AB 14 lacunam statui. an scribendum Μινωταύρου? 15 φησὶν N Σωσικράτης Barnes σωκράτησ MNAB defendit Wil 17 δὲ om. N παρὰ αὐτῆσ N 19 κακὸν ταύτησ A 20 τοῦ μὴ scripsi τὸ μὴ MNAB 20—22 ἀντὶ — ἐμοὶ om. N 24 post ἐχθροὺς add. ἐμοὶ M

55 χορός. ἢ ὕμνος: — M$^{g}$A$^{g}$B$^{i}$

βοᾷ ὑμνεῖ: — A$^{g}$B$^{i}$

56 οὐ γὰρ οἶδ' ἀνεῳγμένας πύλας: οὐκ ἐπίσταται, φησίν, ὅτι ἕτοιμος αὐτῷ ἐστιν ὁ θάνατος: — MNAB$^{i}$

57 τελευταῖον: — M$^{g}$

58 ἕπεσθ' ᾄδοντες: τοῦτο ἔνιοι μὲν τὸν Ἱππόλυτον φασὶν ᾄδειν. ἄμεινον δὲ τοὺς ἑπομένους τῷ Ἱππολύτῳ ἀπὸ τῶν κυνηγεσίων ταῦτα λέγειν. ἕτεροί εἰσι τοῦ χοροῦ, καθάπερ ἐν τῷ Ἀλεξάνδρῳ [FTG$^{2}$ p. 374] οἱ ποιμένες. ἐνταῦθα μὲν οὖν δύναται προαποχρήσασθαι τοῖς ἀπὸ τοῦ χοροῦ, ἐκεῖ δὲ συνεστῶτος τοῦ χοροῦ ἐπεισάγει τοιοῦτο ἄθροισμα, ὡς καὶ ἐν τῇ Ἀντιόπῃ [FTG$^{2}$ p. 412] δύο χοροὺς εἰσάγει, τόν τε τῶν Θηβαίων γερόντων διόλου καὶ τὸν μετὰ Δίρκης. ὥστε βέλτιστον ἐπιγράφειν 'χορὸς νεανιῶν τῶν κυνηγῶν Ἱππολύτου', οὐχ ᾗ λέγουσι τινὲς ⟨τὸν⟩ Ἱππόλυτον ⟨ταῦτα⟩ λέγειν, ὅπου γε καὶ αὐτὸς προστάττει αὐτοῖς ᾄδειν τὴν Ἄρτεμιν, λέγων ἕπεσθ' ᾄδοντες: — MNAB

ἢ ὁ Ἱππόλυτος ὑμνεῖν παρακελεύεται αὐτοῖς, ἢ ἀλλήλους προτρέπονται οἱ ἀπὸ τοῦ χοροῦ, ἤγουν οἱ συνεπόμενοι τῷ Ἱππολύτῳ κυνηγέται. ἄλλοι δέ τινές εἰσι παρὰ τὸν χορόν. ὁ γὰρ χορός, ὡς εἴρηται, ἐκ Τροιζηνίων γυναικῶν ἐστιν: — MNAB

60 ἢ μέλομεν κυνηγετικὴν ἀσκοῦντες: — M$^{i}$NA$^{g}$B$^{g}$

66 καλλίστη οὖσα ὑπὲρ πάσας τὰς παρθένους: — MA$^{g}$B$^{g}$

68 τὴν καλλίστην τοῦ πατρὸς Διὸς αὐλήν: — M$^{i}$A$^{g}$B$^{g}$

---

2 Hesych. λέλακεν ἐβόησεν  3 ἐπίσταμαι N ἐπίσταμεν A  4 ὁ θάνατος ἐστίν M  6—10 τοῦτο — ἄθροισμα om. N scholio 16—19 praemisso ἄλλως add. A  6—8 ad us. 58—60, 8—15 ad us. 61 sq. referenda sunt. recte igitur in N lemma πότνια adscriptum  6 μὲν om. B  φασὶ τὸν ἱππόλυτον A  7 τοὺς — κυνηγεσίων] ἀπὸ τοὺς ἀπὸ τῶν κυνηγεσίων ἑπομένους A  8 post ἕτεροι add. δὲ B  ἐστὶ A  τῷ Ἀλεξάνδρῳ Musgrave τῇ ἀλ$^{\varepsilon}$ M τῇ ἀλεξαν$^{\delta\rho}$ A τῆι ἀλεξαν$^{\delta}$ B  9 οἱ Palatin. 343 om. MAB  προσαποχωρήσασθαι A προσαποχρήσασθαι B  10 τοιοῦτο scripsi τὸ M τοῦτο τὸ AB  11—15 ὡς — ᾄδοντες scholio p. 15, 11. 12 adi. A om. B  11 ante δύο add. δὲ A  τῶν τε A  τῶν om. MA  12 ante Δίρκης ins. θήβης ἢ A  13 χορὸν A  νεανίδων MA  13—15 οὐχ — ᾄδοντες om. N  13—14 οὐχ — λέγειν scripsi θύχηλον τινὲς ἱππόλυτον λέγειν A om. M  15 ἕπεσθαι ἀείδοντες M  16 ἢ om. AB  ὁ om. N  αὐτοῖς N om. MAB  18 εἰσὶ τινὲς M  περὶ MNAB  18. 19 ὡς εἴρηται om. M  21 παρὰ M

73 σοὶ τόνδε πλεκτὸν στέφανον ἐξ ἀκηράτου: διαβεβόηται τοῦτο τὸ ζήτημα. καὶ οἱ μὲν ὑπέλαβον τὸν Ἱππόλυτον στέφειν τὴν Ἄρτεμιν ἀνθίνῳ στεφάνῳ, οἱ δὲ [Φιλόχορος [frg. 167] τὴν ἐν Ἄγραις Ἄρτεμιν τῷ μελιλώτῳ στέφεσθαί φησιν] ἐφ' ἑαυτοῦ τὸν Ἱππόλυτον ταῦτα λέγειν ὅτι ἐμαυτόν σοι ἀνατίθημι, ὦ θεά, στέφανον, τουτέστι κόσμον ἀνθηρότατον· κόσμον γὰρ εἶναι τῇ παρθένῳ τὸ μετὰ τοῦ σωφρονεστάτου τῶν νέων διημερεύειν. ἄλλοι δὲ μηδὲν αἰνίττεσθαι τὸν ποιητήν φασι μηδὲ ἀλληγορεῖν, ἀλλὰ κυρίως λέγειν, καὶ τῷ ὄντι στέφανον φέρειν τὸν Ἱππόλυτον, τοῦτον δὲ ἐκ τοιούτου λειμῶνος, καθ' ὃν οὐκ ἔστιν ἡμῖν ὅσιον δρέπεσθαι τῶν ἀνθέων. τὸ γὰρ οὐδ' ἦλθέ πω σίδηρος εἰς τοῦτο καταστρέφει, ὅτι οὐ δέδρεπται ὑπό τινος οὐδὲ εἴργασται. ἄλλοι δέ φασι τὸν Εὐριπίδην τροπικώτερον τὸν ἐπὶ τῇ Ἀρτέμιδι ὕμνον στέφανον λέγειν. καὶ γὰρ δὴ παράλογον εἶναι καὶ πολλὴν ἀτοπίαν ἔχον τὸ δοκεῖν ἄνθινον λειμῶνα εἶναι, ὅθεν ἐδρέφθη τὰ ἄνθη. καὶ τοιοῦτον, εἰς ὃν οἱ εἰσιόντες ἐξετάζονται πότερον διδακτὴν ἔχουσι τὴν σωφροσύνην ἢ ἐκ φύσεως, καὶ ⟨ὑπὸ τῆς αἰδοῦς⟩ κατάρδεσθαι αὐτόν. φιλοσόφως δέ φησι τῷ μὲν ξοάνῳ πλεκτὸν στέφανον προσφέρειν, τῇ δὲ θεῷ τὸν ὕμνον. ἐξ ἀκηράτου δὲ τῆς ἀδόλου καὶ ἀφθάρτου μου διανοίας: — MNAB

ἄλλως: ἐπιεικῶς οἱ ποιηταὶ τὰς μὲν ἰδίας φύσεις λειμῶσιν ἢ ποταμοῖς ἢ μελίσσαις εἰκάζουσι, τὴν δὲ ποίησιν στεφάνοις, διὰ μὲν τῶν ἀνθέων τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῆς παριστάντες, διὰ δὲ τῶν ποταμῶν τὴν πληθὺν καὶ τὴν εἰς τὸ ποιεῖν ὁρμήν, διὰ δὲ τῶν μελισσῶν τὸ μελιχρόν, διὰ δὲ τῶν στεφάνων τὸν κόσμον τῶν ὑμνουμένων. ταῦτα δὴ

---

1 lemma ex N σοὶ τόνδε πλεκτὸν στέφανον B ἄλλως MA ubi 1—14,5 scholio p. 17,1—4 postposita sunt 2 καὶ] ὡς N ὑπέβαλον N 3 οἱ ego ὁ MNAB 3. 4 Φιλόχορος — φησιν eieci cf. schol. p. 15,3 4 μελιλώτῳ scripsi μὲν λόγω M ex μὴν λόγωι corr. B λόγω N om. spatio uacuo rel. A ἐφ' Matthiae ἀφ' MNAB post ἑαυτοῦ add. δὲ AB 5 post στέφανον add. δὲ M 7 ἄλλως ἄλλοι A φασι post δὲ coll. B 8 μηδὲ B μηδὲν NA καὶ μηδὲν M 9 τοῦ τοιούτου M 10 ante δρέπεσθαι add. οὐδὲν M οὐδὲ AB οὐ διῆλθε A ποῦ N σίδαρος AB 11 οὐ δέδρεπται scripsi οὐδὲ δρέπεται A οὐδὲ δρέπεσθαι MB οὐ δέον δρέπεσθαι N ut uidetur εἴργασται A εἰργάσθαι NB εἰργέσθαι M ἄλλως ἄλλοι A 13 ἔχει N τὸ scripsi καὶ MNAB 14 ἄνθιμον N ἀκήρατον Wil ἁγνὸν τὸν ego 15 καὶ πότερον B 16 καὶ om. M ὑπὸ — αἰδοῦς add. Wil φιλοσόφως ego φιλόχορος MNAB cf. p. 14,7 17 τῷ μὲν om. N προσφέρει N θεᾷ M ὑμεναι.. M 18 δὲ λέγει N μου post ἀδόλου coll. A om. B φθάρτου N 19 — p. 14,5 cf. paraphrasin p. 16,1—15 21 καλὸν N παρ' ἱστῶντες M

πάντα συνελὼν ὁ ποιητὴς ἐφαίδρυνε τῆς ἀλληγορίας τὸν τρόπον. τὸ δὲ ἐξ ἀκηράτου λειμῶνος, ἐπειδὴ δεῖ τὸν μετιόντα μουσικὴν καθαρὰν καὶ ἀκήρατον ἔχειν τὴν ψυχὴν παντός τε ἄχραντον κακοῦ καὶ μάλιστα τῆς αἰδοῦς μεμοιραμένην. διά γάρ τοι τὸ αἰδέσιμον καὶ παρθένους ὑποτίθενται τὰς Μούσας, γονιμωτάτας οὔσας: — MNAB

† ἄλλως: καθολικόν ἐστι, τῆς διανοίας καὶ στέφανον αὐτὸν προσφέροντα ἅτε δὴ σοφόν. τῷ μὲν γὰρ ξοάνῳ τὸν χειροποίητον στέφανον προσφέρει, τῇ δὲ θεῷ τὸν ὕμνον. πλεκτὸν τοίνυν στέφανον λέγει τὸν ὕμνον ⟨διὰ τὸ⟩ δίκην πλοκῆς συντεθέντας τοὺς λόγους ἀποτελεῖν τοὺς ὕμνους. ἀκήρατον δὲ λειμῶνα ἀλληγορεῖ, ἐξ οὗ τῶν ἀνθέων πεπλέχθαι τὸν στέφανον, τὴν παρθένιον καὶ ἄδολον ἔννοιαν ἐν ᾧ λειμῶνι οὐδὲ ποιμὴν ἄξιον νενόμικε τὰ ποίμνια ἄγειν· τὰ οὖν ἄνθη τούτου τοῦ λειμῶνος σοφίας εἶναι καὶ ἀρετῆς ἀποτελέσματα. ἀλλὰ μὴν οὐδὲ σίδηρος εἰς τμῆσιν ἦλθε τοῦ λειμῶνος καὶ αὐτοῦ τὰ ἄνθη περιέκειρεν· σίδηρον οὖν λέγει ἤτοι τὴν πανοῦργον φιλοπραγμονίαν καὶ κακουργίαν ἢ τὴν τῶν αἰσχρῶν ἡδονῶν φθοράν, ἵνα αὐτοῦ τὸ παρθένιον καὶ ἄδολον δηλοῖ· [βοτὰ δὲ λέγει τὰ ποίμνια] μέλισσαν μέντοι ἀλληγορεῖ αὐτὴν τὴν ψυχήν. καθαριώτατον γάρ τι ζῷον ἡ μέλισσα, ἔνθεν τὰς ἱερείας μελίσσας καλοῦσιν οἱ ποιηταί. ἐαρινὸν δὲ αὐτὸν εἶπεν ἤτοι

---

2 δεῖ om. et post μουσικὴν ins. χρὴ N    post δεῖ add. πάντωσυνελῶν ὁ ποιητὴσ εφαι, sed deleto εφαι M ʼπάντωσ AB    3 τὴν om. N    παντός τε scripsi πάντοτε N πάντοτε καὶ MAB    ante κακοῦ add. ἀπὸ MAB    4 τῆς αἰδοῦς] τοῖσ ἄδουσι M    μεμοιραμένη N    5 γνωριμωτάτασ N    6 καθολικόν ego καθόλου μέν NAB    6. 7 τῆς — σοφόν mutila    7 γὰρ ξοάνῳ] ξοάνω ἄρα A    τὸ B    8 προσφέρον N προφέρειν B    θεῶι δὲ B    8. 9 πλεκτὸν — ὕμνον] ἀκήρατον A    9 διά τὸ addidi    συντεθέντα A    10 τοὺσ ὕμνουσ N τὸν ὕμνον AB    10. 11 ἐξ οὗ τῶν ἀνθέων scripsi καθὸ τῶν ἀκανθῶν N τὸν ἐξ ἀκανθῶν A τὸν ἐξ ἀνθέων B    11 πεπλέχθαι τὸν N πεπλεγμένον AB    τὴν παρθένιον scripsi τῇ παρθένω NAB    12 οὐδὲ] ὁ δὲ A    πρόβατα A    οὖν N γοῦν AB    13 εἶναι] puto ἀλληγορεῖται    15 οὖν λέγει scripsi ἂν λέγοι N δ' ἂν λέγον A δ' ἂν λέγοισ B    τὴν] τὸν NAB    post πανοῦργον add. ἢ N    16 ἢ] καὶ N    αὐτάσ B    17 ἄφθορον N    βοτὰ — ποίμνια deleui    μέντοι N δὲ AB    17. 18 ἀλληγορεῖ ego ἀλληγορικῶσ AB ἀλληγορι superscr. κʾ N    18 καθαρώτερον A    τοι N    ante ἔνθεν ins. ἢ διὰ τὸ μελίχρον τοῦ ὕμνου N    ἔνθεν οὖν A    schol. Pind. Pyth. 4, 104 μελίσσας κυρίως μὲν τὰς τῆς Δήμητρος ἱερείας φασί, καταχρηστικῶς δὲ καὶ τὰς πάσας διὰ τὸ τοῦ ζῴου καθαρόν    19 ἐαρινὴν — αὐτὴν AB    ἢ A

ὅτι ἡ μέλισσα ἥδεται τῷ ἔαρι διὰ τὰ ἄνθη ἢ ὅτι αἱ καθαραὶ ψυχαὶ ἀεὶ ἐν ἀνθήσει εἰσί. τὸ γὰρ ἔαρ ἀνθέων γεννητικόν: — NAB

χαίρων τῷ μελιλώτῳ στέφεσθαι τὴν ἐν Ἄγραις Ἄρτεμιν, Ἀπολλόδωρος δὲ παρὰ Κρησὶν δίκταμνον ἢ σχῖνον εἶναί φησιν αὐτῆς τὰ στεφανώματα· φύεσθαι δὲ τὸ δίκταμνον ἐν Κρήτῃ μόνῃ· τοῦτο καὶ ὠκυτόκιον εἶναι, διὸ καὶ ταῖς δυστοκούσαις δίδοσθαι χάριν τοῦ ταχέως ἀποτίκτειν. Ἴστρος δέ φησιν ἐν τῷ γ̄ τῶν Ἀτάκτων καταλέγεσθαι παῖδας ἀμφιθαλεῖς ἀνθοφόρους, ἐπὶ πᾶσι δὲ τοὺς παῖδας ἀνθοφορεῖν ἐκ τῶν τῆς θεοῦ κήπων εἰς τὸν στέφανον, τὴν δὲ ἱέρειαν πλέκειν καὶ στεφανοῦν πρῶτον μὲν τὸ ἕδος, μετὰ δὲ ταῦτα τὸ ἄγαλμα: — $NB^i$

τὸ ἄγαλμα τῆς Ἀρτέμιδος οἱ μὲν δικτάμνῳ, οἱ δὲ σχίνῳ, οἱ δὲ λωτῷ στέφεσθαί φασιν: — $MAB^i$

ἐκ καθαρᾶς καρδίας: — $M^gA^gB^g$

75 ἄμουσοι καὶ αἰσχροπρεπεῖς οἱ ποιμένες: — $M^iA^gB^i$

τρέφειν τὰ ποίμνια: — $M^gA^gB^g$

76 παραμόνιμον: — $M^gB^g$

77 ψυχή: — $M^g$

78 † αἰδὼς δὲ ποταμίαισιν: ἡ αἰδώς, φησί, τοῦτον τὸν λειμῶνα γεωργεῖ καὶ αὐτὸν τοῖς ὕδασι τοῖς ποταμίοις κηπεύει καὶ ποτίζει. τοῦτο δὲ λέγει, ἐπεὶ πλεῖστον μέρος τῆς σωφροσύνης ἡ αἰδὼς ἔλαχε καὶ τοῖς ἀγαθοῖς ἀνδράσι καὶ σοφοῖς ἔνεστι τὸ αἰδημονικόν. ὅσοις οὖν μηδὲν διδακτὸν καὶ ἐκ βίας φύσεως ἔγνωσται, ἀλλὰ φύσει τὴν σωφροσύνην ἐγνώκασι, τούτοις ἐκ τούτου τοῦ λειμῶνος μόνοις

---

2 ἀνθῶν N  3—10 scholio quod praecedit adi. N  3—5 χαίρων — στεφανώματα om. $B^i$  3 χαίρων N conicio cl. p. 13,3 ⟨Φιλόχορος μέν φησιν ἐν⟩ $β^{ἑρῳ}$ (= δευτέρῳ)  3. 4 Ἀπολλόδωρος δὲ παρὰ Κρησὶν Wil $ἀπολλόδ^{ω}$ ὁ $π^{α}$ κρήσιον N  4 διήταμνον N  4. 5 τὰ στεφανώματα scripsi τῶ στεφανώματι N  5 δὲ om. $B^i$  τὸν $B^i$  ante ἐν add. φασιν $B^i$  6 ὠκυτόον N  δέδοσθαι N  7 τίκτειν $B^i$  7—11 Ἴστρος — ἄγαλμα om. $B^i$  7 Ἴστρος scripsi ἴστορος N  8 ἐπὶ πᾶσι corruptum  9 τὸ N  12. 13 lemma τὰν διὸσ οὐρανίαν ἄρτεμιν [59. 60] MA  12 σχίνῳ scripsi ἐχίνω $MAB^i$  16 Hesych. [cf. Suid.] φέρβειν τρέφειν βόσκειν lex. Bachm. p. 404,24 = Zon. p. 1803 et. Gud. p. 551,4 [cf. p. 115,14 et. m. p. 213,10 Eust. p. 1088,34] φέρβειν τρέφειν  21 post ποτίζει add. καὶ γεωργεῖ B  22 ex ἡγεμονικὸν corr. B

δρέπεσθαι καὶ καρποῦσθαι δέδοται * * τοιαύτῃ ψυχῇ σοφίας ἀπολαύειν: — NAB

† ἄλλως: ταῦτα οὐκ ἔστιν ἐπινοῆσαι, εἰ κυρίως τις βούλεται ἐπὶ τῶν κηπευμάτων ἐκδέχεσθαι τὸν λόγον. ἀλληγορεῖται οὖν τὰ προκείμενα. οἱ γὰρ ποιηταὶ ἐπιεικῶς τὰς ἰδίας φύσεις μελίσσαις καὶ ποταμοῖς καὶ λειμῶσι προσομοιοῦσιν. αὐτὴν δὲ τὴν ποίησιν στεφάνοις, διὰ μὲν τῶν ἀνθέων τὸ ποικίλον καὶ τὸ κάλλος αὐτῆς παριστάντες, διὰ δὲ τῶν ποταμῶν τὸ πλῆθος καὶ τὴν ἐπὶ τὸ ποιεῖν ὁρμήν, διὰ δὲ τῶν μελισσῶν τὸ ἐπιμελὲς καὶ τὸ συντεταγμένον, ἅμα καὶ τὸ τῶν ποιημάτων μελιχρόν, τοὺς στεφάνους ἕνεκα τοῦ λαμπρύνεσθαι δι' αὐτῶν τοὺς ἐπαινουμένους. ταῦτα δὲ πάντα συλλαβὼν ὁ Εὐριπίδης ἐφαίδρυνε τὴν ἀλληγορίαν, δι' ἧς τὸν εἰς τὴν Ἄρτεμιν ὕμνον ἠβουλήθη παραστῆσαι, τῶν ἄλλων ποιητῶν σποράδην τοῖς τρόποις χρησαμένων. τὸ δὲ ἐξ ἀκηράτων λειμώνων δρέπεσθαι διὰ τὸ δεῖν τὴν ποιητικὴν ψυχὴν καθαράν τε καὶ ἀκήρατον εἶναι καὶ παντὸς κακοῦ ἄχραντον. δεῖ γὰρ τοῖς ποιητικὴν μετιοῦσιν αἰδοῦς μεμοιρᾶσθαι πάντως· διὸ καὶ τὰς Μούσας παρθένους εἶπον ἔνιοι: — NAB

ἀνατρέφει: — M[s]

79 ὅσοις διδακτόν: διδακτόν ἐστιν τὸ μὴ ἐκ φύσεως πλεονέκτημα, ἀλλ' ἐκ συνεχοῦς μελέτης ἀνυόμενον· καὶ οἱ φιλόσοφοι διδακτὰ μὲν τὰ πονηρὰ καλοῦσιν, φυσικὰ δὲ τὰ καλά. διδακτὸν οὖν τὸ ἐκ βίας φύσεως μάθημα ἢ συνεχεῖ ἐγνωσμένον μελέτῃ. τὰ γοῦν ἐξ ἐπινοίας καλὰ καὶ παλίμβολά εἰσιν: — MNAB

80 ἔλαχεν: — M[s]

81 καρποῦσθαι: — M[s]

---

1 δέδεται N om. B lacunam indicaui τοιαύ ψυχῆς N τοιαύτης ψυχῆς καὶ AB 3—17 paraphrasis Byzantina scholii p. 13, 19—14, 5 3 κυρίως τις om. A spatio uacuo rel. 6 στεφάνω N 7 ἀνθῶν N post ἀνθέων ins. ὡς εἴρηται B 9 τὸ ante τῶν om. N 10 καὶ τοὺς στεφάνους N τοὺς καὶ στεφάνους A locus mutilus ante δι' add. τοὺς A ἐπαίνους N 14 δεῖν] δεινὸν τοὺς A 15 καὶ — ἄχραντον om. A ποιητικὴν μετιοῦσιν N ποιητικῶς φρονοῦσιν AB 16 πάντων AB 19 μὴ] μὲν N 20 οἱ φιλόσοφοι] φιλοσόφου N 20. 21 τὰ πονηρὰ καλοῦσιν MN λέγουσι τὰ κακά AB 21 καλά N ἀγαθά MAB βιᾶς M βίας β in ras. A μιᾶς N τῆς φύσεως M 22 συνεχῶς χρώμενον N 22. 23 τὰ — εἰσιν om. B spatio uacuo rel. 22 ἐξεπινοίας N ἐπινοίᾳ M ἐξῆς ἐπίνοιαι A καλὰ om. A 23 παλίμβολά εἰσιν ego πάλιν κακά εἰσιν Wil πάλιν καλά εἰσιν M πάλιν πολλά N πάλιν πολλά εἰσιν A

82 χρυσέας κόμης: τοῦτο πάλιν πρὸς τὸν χειροποίητον στέφανον, ὃν ἔφερεν τῷ ξοάνῳ. τινὲς μέντοι καὶ τοῦτο ἐπὶ τῆς αὐτῆς ἀλληγορίας ἀκούουσι, λέγοντες τὸν ὕμνον κόσμον εἰρῆσθαι αὐτῷ. τοῦτον ἂν λέγοι τὸν ὕμνον δεικτικῶς πρὸς τὸ εἰρημένον πότνια: — MNAB

85 σοὶ δὲ ξύνειμι: τὸ ἑξῆς· σοὶ δὲ σύνειμι καὶ λόγοις ἀμείβομαι καὶ μόνῳ βροτῶν τοῦτό ἐστιν ἐμοὶ γέρας: — MA$^{g}$

87 τέλος δὲ κάμψαιμ': τὸ δὲ τέλος τοῦ βίου ἀνύσαιμι ὥσπερ καὶ ἠρξάμην, ἐν σωφροσύνῃ διατελέσας: — MN

88 ἄναξ· θεοὺς γάρ: ἄναξ κυρίως ὁ σωτήρ, διὸ καὶ τοὺς θεοὺς ἄνακτας καλοῦσιν. καταχρηστικῶς δὲ καὶ τοὺς δεσπότας ἄνακτας καλοῦσιν, ὡς δευτέρους σωτῆρας. καὶ Ὅμηρος [Z 403]· ''Ἀστυάναξ· οἶος γὰρ ἐρύετο Ἴλιον Ἕκτωρ', οἷον ὁ τοῦ ἄστεος σωτήρ. ὦ οὖν ἄναξ· θεοὺς γὰρ καὶ σωτῆρας καλεῖν τοὺς δεσπότας χρή. δύναται δὲ τὸ ἄναξ ἐπὶ τοῦ Ἱππολύτου, τὸ δὲ δεσπότας ἐπὶ τῶν θεῶν: — MNAB

† ἄλλως: ὡς τῆς ἄναξ προσηγορίας θεοῖς ἁρμοζούσης. δύναται δὲ καὶ οὕτως ἀκούεσθαι ὡς τοῦ πρεσβύτου τὸν μὲν Ἱππόλυτον ἄνακτα λέγοντος, τοὺς δὲ θεοὺς δεσπότας. καὶ γὰρ εἰκὸς μέλλοντα συμβουλεύειν αὐτῷ περὶ τοῦ μὴ ὑπερφρονεῖν τὴν Ἀφροδίτην, οὕτως καὶ ἄρξασθαι σεμνύνοντα τὸ θεῖον καὶ ὑπερτιθέντα τῆς ἀνθρωπίνης φύσεως: — B

---

1—4 lemma ex B, ἀλλ' ὦ φίλη δέσποινα χρυσέας κόμης: χρυσέας κόμης N σοὶ τόνδε πλεκτόν M    in A scholion bis scriptum est primum cum lemmate σοὶ τόνδε πλεκτὸν στέφανον, deinde χρυσέας κόμης    2 μὲν N    2. 3 τῆς ἀληγορίας τῆς αὐτῆς MA$^{1}$    3 αὐτον N αὐταῖς A$^{2}$    4 τοῦτον — πότνια om. M, ad us. 73 referenda esse uidit Rei    4 οὖν B    λέγοις A$^{2}$B πρὸς τὸ εἰρῆσθαι N    6 δὲ M (in lemmate et in scholio) καὶ A$^{g}$    8 δὲ om. M    ἀνύσαιμι ego ἀναλύσαιμι MA    9 ἐν τῷ N    διατελέσθαι N    10—16 scholio quod praecedit adi. N    10—14 cf. Eust. p. 21,20. 423,18    10 διὸ καὶ τοὺς NA διὸ τοὺς M τοὺς οὖν B    11 καλοῦσιν] καὶ πατέρας καλοῦμεν B    καὶ om. M    11. 12 καλοῦσιν om. NB    12 δευτέρως σωτῆρες N    12—16 καὶ — θεῶν om. A sine clausulae signo    12 καὶ ὅμηρος M ὅμηρος N δηλοῖ δὲ τοῦτο μάλιστα ὅμηρος B    13 ante οἷον add. εἴρηται γὰρ B    14 τοὺς δεσπότας καλεῖν B    15 δὲ om. N    τὸ μὲν B    τοῦ om. N    δὲ om. MN    τῶν om. MB    16 in fine add. εἰκὸς γὰρ καὶ αὐτὸν μέλλοντα περὶ τῆς θεοῦ συμβουλεύειν πάσης ἀνθρωπίνης φύσεως ὑπερτιθέναι τὸ κρυπτὸν [κρεῖττον Arsenius] B    19 καὶ γὰρ Bruhn καίπερ B

90 καὶ κάρτα γ᾽: κατ᾽ ἐναλλαγήν ἐστιν ἀπὸ τοῦ κράτα, οἷον κραταιῶς, ὡς ἀπὸ τοῦ σάφα σαφῶς: — MB

93 μισεῖν τὸ σεμνόν: σεμνόν τὸ ὑπερήφανον. δηλοῖ δὲ ἡ λέξις καὶ τὸ τίμιον ὡς ὑποκατιών φησι [99]· πῶς οὖν σὺ σεμνὴν δαίμον᾽ οὐ προσεννέπεις, ἀντὶ τοῦ σεβαστήν. δηλοῖ δὲ καὶ τὴν πάνυ τιμίαν· σεμνή γε μέντοι. διὸ καὶ τὸ ☧: — $MB^1$

τὸ ὑπερήφανον. καὶ σφόδρα τίμιον: — $M^g$

94 λυπηρός: — $M^gA^g$

96 τῆς προσηγορίας ὁ μόχθος βραχύς· δι᾽ αὐτῆς γὰρ πρᾶγμα εὑρίσκει: — $M^gAB^1$

97 ἆρα οὖν κατὰ ταὐτὸ τοὺς θεοὺς ὑπονοεῖς χάριν ἔχειν τοῖς εὐπροσηγόροις: — $M^gAB^1$

98 εἴπερ γε θνητοὶ θεῶν: τοῦτο εἶπεν, ἐπεὶ ἐξ ἀρχῆς Ῥαδάμανθυς καὶ Μίνως παρὰ τῶν θεῶν διδασκόμενοι τὰ νόμιμα, τοῖς ἀνθρώποις φανερὰ ταῦτα ἐποίησαν: — MNB

καὶ ἄλλως: ἐπεὶ παρὰ τῶν θεῶν ἔλεγον τοὺς νόμους ἀκηκοέναι οἱ νομοθέται, ὡς Λυκοῦργος μὲν ἀπὸ Ἀπόλλωνος, Μίνως δὲ ἀπὸ Διός. Ὅμηρος [τ 179]· 'ἐννέωρος βασίλευε Διὸς μεγάλου ὀαριστής': — MNB

---

1 init. add. καὶ μάλιστα τὸ δὲ κάρτα B   ἐστιν ἀπὸ τοῦ M λέγεται στοιχείου B   κάρτα M   3—5 cf. schol. Med. 216 Suid. σεμνόν ἐπὶ τοῦ ἀξιωματικοῦ λέγουσιν, ἔσθ᾽ ὅτε δὲ καὶ ἐπὶ τοῦ ὑπερηφάνου τιθέασιν· Εὐριπίδης Μηδείᾳ [216] 'οἶδα γὰρ πολλοὺς βροτῶν σεμνοὺς γεγῶτας' καὶ ἐν Ἱππολύτῳ 'μισεῖν τὸ σεμνὸν καὶ τὸ μὴ πᾶσιν φίλον'. καὶ ἔνδοξον· Εὐριπίδης Ἱππολύτῳ [99] 'πῶς οὖν σὺ σεμνὴν δαίμον᾽ οὐ προσεννέπεις' καὶ τὸ μέγα [huc usque = Phot.]. καὶ τοὺς τιμίους· 'τοῖς δ᾽ αὖ σεμνοῖσι τῶν ὀρνίθων' Ἀριστοφάνης [Au. 617], ἀντὶ τοῦ τιμίοις . . . lex. Bachm. p. 363,15 σεμνόν μέγα[ν] ἔνδοξον ἀξιωματικόν et. m. p. 709,48 Gud. p. 498,44 Zon. p. 1634 Hesych. s. u. σεμνή σεμνόν   3 post ὑπερήφανον add. τὸ ἐπαχθὲς $B^1$   3. 4 ἡ λέξις om. $B^1$   4 σὺ om. M   5 ἀντὶ τοῦ σεβαστήν om. $B^1$   δηλοῖ om. M   9 εὐπροσηγορίας Wil   9. 10 δι᾽—εὑρίσκει corrupta   11 οὖν om. $M^g$   κατὰ ταὐτὸ Wil καὶ αὐτὸ $AB^1$ αὐτὸ $M^g$   τοὺς θεοὺς scripsi θεοῖς $M^gAB^1$   ὑπονοεῖς scripsi ὑπονοεῖν $M^gAB^1$   ἔχεις $B^1$   12 εὐπροσηγόροις scripsi συνηγόροις $M^gAB^1$   13 post τοῦτο add. δὲ N   14 τὰ νόμιμα διδασκόμενοι B   15 ταῦ ἐποίουν M ταῦτα ἐποίησεν B   16 τῶν om. B   τοὺς B τινὲς MN   17 οἱ νομοθέται om. M   μὲν om. N   ἀπὸ scripsi ὑπὸ MNB   ἀπὸ scripsi ὑπὸ MN παρὰ B   18 μεγάλου ὀαριστὺς MB μεγάλοιο δαριστίω N

99 πῶς οὖν τὴν τιμίαν θεὸν οὐ προσαγορεύεις: — $M^{g}$

100 τίν'· εὐλαβοῦ γάρ: ἀντὶ τοῦ· σιώπα μή κατά τι ἁμάρτῃς τοῖς σοῖς ῥήμασιν· ὑπενόησε γὰρ αὐτὸν τὴν Ἀφροδίτην λέγειν: — $MNAB^{i}$

διὰ τῆς Ἀφροδίτης: — $M^{g}$

102 οὕτως Ἀριστοφάνης [frg. 676]· 'μὰ τοὺς πρόσωθεν': — $M^{i}$

ἁγνὸς ὢν μακρόθεν αὐτὴν ἀσπάζομαι: — $M^{i}A^{g}B^{i}$

103 τιμία σεβασμία: — $M^{g}$

ἔνδοξος: — $M^{g}A^{g}B^{g}$

104 ἄλλοισιν ἄλλος: ὃ λέγει, τοιοῦτόν ἐστιν· οὐ πάντες τοὺς αὐτοὺς θεοὺς σέβομεν οὐδὲ τοὺς αὐτοὺς ἀνθρώπους ἀγαπῶμεν, ἀλλ' οἱ μὲν τόνδε, ἄλλοι δὲ τόνδε. ὁμοίως δὲ κἀγὼ τὴν Ἄρτεμιν σέβω, ἄλλος δὲ τὴν Ἀφροδίτην: — MNAB

διαφόροις, φησίν, ἀνθρώποις ἄλλος θεῶν καὶ ἄλλος ἀνθρώπων ἐν φροντίδι ἐστίν. καὶ Ὅμηρος [B 400]· 'ἄλλος δ' ἄλλῳ ἔρεζε θεῶν αἰειγενετάων': — MNA

105 εὐδαιμονοίης: μήτε ὑπὲρ τὸ καθῆκον φρονῶν μήτε ὑπὲρ ἄνθρωπον. ὅ ἐστιν· εἴη σε τῆς ἀρετῆς ἔχειν τὸ ἄκρον μὴ ὑπὲρ ἄνθρωπον φρονοῦντα: — MNAB

ἄλλως: εἴη σοι εὐδαιμονεῖν τὰ καθήκοντα φρονοῦντα. λυποῦμαι γὰρ νῦν ὁρῶν σε ἀφρονοῦντα: — MNAB

106 θεός, ὅς ἐστι θαυμαζόμενος ἐν νυκτί, ἐμοὶ οὐκ ἀρέσκει. διὰ τὸ νυκτὸς ἀφροδισιάζειν: — $M^{i}NAB^{i}$

107 τιμαῖσιν, ὦ παῖ: ταῖς νομίμοις τιμαῖς τῶν θεῶν προσήκει

---

2 lemma dedi ex M τίν' εὐλαβοῦμαι N τίν' εὐλαβοῦ A  in. add. εὐλαβοῦ N  ἀντὶ τοῦ om. $AB^{i}$  3 σοῖσ om. AB  αὐτὴν NAB  Ἀφροδίτην Wil  ἄρτεμιν $MNAB^{i}$  7 scholio quod praecedit adi. $M^{i}$  αὐτῆσ μακρόθεν $M^{i}$  12 οἱ MNB ἄλλοι A  ἄλλοι] οἱ B  13 ἄλλοι MB  14—16 scholio quod praecedit adi. MNA  14 ἀνθρώπων N  15 καὶ ὅμηροσ M om. NA  δὲ ἄλλοσ A  15. 16 cf. Eust. p. 245, 16  18. 19 ὃ — ἄνθρωπον om. N  20. 21 scholio quod praecedit adi. N  20 εἴη σοι εὐδαιμονεῖν N εἴησ εὐδαιμονῶν M εἴησ εὐδαίμονωνεῖν A εἴησ εὐδαίμων B  φρονοῦντα N φρονῶν MAB  22 θεὸς ὅς scripsi οἷοσ $M^{i}N$ οἷον $AB^{i}$  θαυμαζόμενος scripsi θεὸσ μυούμενοσ $M^{i}NAB^{i}$  23 τὸ $M^{i}N$ τῆσ $AB^{i}$  ἀφροδιάζειν N θαυμάζεσθαι $AB^{i}$  24 init. colloc. p. 20, 1—2 χρὴ — θεοὺς om. γὰρ $B^{i}$  νομιζομέναισ $B^{i}$  τιμαῖς om. N  post θεῶν add. αἷσ $B^{i}$  24 — p. 20, 1 προσήκεσοι N

σοι χρῆσθαι. χρὴ γὰρ ταῖς τιμαῖς τῶν θεῶν χρῆσθαι, τουτέστι τιμᾶν τοὺς θεούς: — MNAB$^{1}$

108 ἀκόλουθοι: — M$^{g}$

109 τερπνὸν ἐκ κυναγίας: τερπνὸν γάρ ἐστι τὸ ἐκ καμάτου τῆς κυνηγίας εὑρεῖν τράπεζαν γέμουσαν καὶ κορεσθῆναι: — MNA$^{g}$B

110 τράπεζα πλήρης: προτεθεῖσα δηλονότι. [καὶ] καθολικόν ἐστι, τοῦ καμάτου εὐεκτότερα ποιοῦντος τὰ σώματα τῇ κινήσει τοῦ θερμοῦ: — MNAB

ψηκτρίζειν: — M$^{g}$

112 γυμνάσω τὰ πρόσφορα: τὰ συνήθη καὶ ἕτοιμα. τὰ σύμφορα, τὰ ἐπιτήδεια, τὰ δέοντα: — MB$^{1}$

113 ἀντὶ τοῦ σῴζεσθαι: — M$^{g}$

ἡμεῖς δέ· τοὺς νέους: ἡμεῖς δὲ προσευχόμεθα τοῖς σοῖς ἀγάλμασιν. οἷον· ὡς πρέπει δούλοις, τὴν εὐχὴν ποιησόμεθα, οἷον· οὐ μετὰ πολυτελείας θυσιῶν, ἀλλὰ ψιλὴν τὴν προσφώνησιν ποιησόμεθα: — MNAB$^{1}$

117 χρὴ δὲ συγγνώμην ἔχειν: εἰς τὸ ἔχειν τελείαν στιγμήν, τὸ δὲ ἑξῆς ἀπὸ ἄλλης ἀρχῆς: — MN

118 εἴ τίς σ᾽ ὑφ᾽ ἥβης: ὑπὸ ἀκμῆς καὶ προπετείας νεότητος θρασὺ καὶ ἰταμὸν καὶ ἀναιδὲς [καὶ ἄτιμον] ἔχων τὸ σπλάγχνον: — M

119 μὴ δόκει τούτου κλύειν: νόμιζε μηδὲ ἀκούειν τοῦ τοιούτου λόγου: — M

121 Ὠκεανοῦ τις ὕδωρ: ὁ χορὸς ἧκεν ἐκ Τροιζηνίων γυναικῶν συναχθεὶς εἰς ἐπίσκεψιν τῆς Φαίδρας. καὶ πρῶτα μὲν διηγεῖται πόθεν αὐτῇ ἡ φήμη τῆς βασιλίσσης ἦλθεν, ἔπειτα δὲ καὶ ζητεῖ, τίς ἂν εἴη ἡ πρόφασις αὐτῇ τῆς νόσου: — MNAB

καὶ ἄλλως: ὁ νοῦς· πέτρα τίς ἐστιν ὕδωρ Ὠκεάνειον στάζουσα,

---

1 σοι om. B$^{1}$ χρὴ — χρῆσθαι om. N χρῆσθαι scripsi προσέρχεσθαι MAB$^{1}$ 4 ἐστι τὸ om. A$^{g}$B κόπου A$^{g}$B τῆς om. A$^{g}$B 6 καὶ deleui 10 καὶ M ἤτοι τὰ B$^{1}$ 10. 11 ante τὰ σύμφορα add. τὰ ἁρμόζοντα τὰ καθήκοντα ἤτοι B$^{1}$ 11 τὰ ἐπιτήδεια — δέοντα om. B$^{1}$ 13. 14 ἡμεῖς — ἀγάλμασιν om. MAB$^{1}$ 14 οἷον (alterum)] ἀντὶ τοῦ B$^{1}$ 15 τὴν om. AB$^{1}$ 19 ἀκμῆς Wil ἀκοῆς M 20 καὶ ἄτιμον del. Wil pro dittographia uerborum καὶ ἰταμόν 25 βασιλίσσης ἦλθεν B βασιλίσσης εἰσῆλθεν A βασιλείας εἰσῆλθεν N βασι$^{\lambda}$ εἰσῆλθεν M καὶ om. M ἡ om. N 26 αὐτῇ om. MAB 27 — p. 21,2 scholio quod praecedit adi. B add. δὲ post ὁ 27 ὁ νοῦς om. N ὠκεάνιον NB

οὐ διϊπετὲς οὐδ' ὑέτιον, ἀλλ' αὐτομάτως ἀναβλύζον. πᾶν δὲ ὕδωρ Ὠκεανὸς λέγεται: — MNAB

στάζουσα πέτρα: πέτρα τις λέγεται τοσοῦτον ὕδωρ ἔχουσα πηγαῖον ὥστε βάπτειν ὑδρίαν. Ὠκεανοῦ δὲ καθὸ γλυκὺ καὶ πότιμον: — MNAB

123 βαπτὰν κάλπισι: οἷον· ὥστε βαπτίζειν ἐν τῇ εὐύδρῳ πηγῇ τὴν ὑδρίαν. ἢ ὅσον δύναταί τις χαλῶν τὴν ὑδρίαν γεμίζειν. ἢ τὴν περιρρεομένην ὑπὸ τοῦ ὕδατος πηγήν. ἢ τὴν δυναμένην βάψαι κάλπιν καὶ οὐ περαιτέρω: — MNAB

καὶ ἄλλως: ὡς 'κοτυλήρυτον αἷμα [Ψ 34]', τὸ κοτύλην βάψαν. ἢ ὅτι περὶ τὴν Τροιζηνίαν τοιαύτη τίς ἐστι πέτρα ἐξ ἧς τὸ καταφερόμενον ὕδωρ βάπτει τὰς ὑδρίας, ὡς Διονυσόδωρος ἱστορεῖ [FHG II p. 84[b]] ἐν τῷ Περὶ ποταμῶν: — MNAB

124 πέμπουσα τὸ ὕδωρ διὰ τῶν κρημνῶν: — M[g]

125 ὅθι μοί τις ἦν φίλα: ὅπου μοί τις φίλη ἐνέτυχεν. ἀπιθάνως δὲ κεῖται τὸ ἦν. ἔδει γὰρ λέγειν· ἔνθα μοί τις συνέτυχε φίλη: — MAB

ἄλλως: ἐνταῦθά μοί τις γυνή, ἀνελθοῦσα πλῦναι τὰ ἱμάτια καὶ ταῦτα ἐπὶ τῆς εὐηλίου πέτρας ἐπὶ ξηρασίαν καταβαλοῦσα, ἀκούσασα τῆς βασιλίσσης τὴν νόσον πρῶτον ἤγγειλεν [ἐλθοῦσα]. φιλοῦσι γὰρ ἐν ταῖς τοιαύταις συνόδοις ὁμιλίαι περὶ βασιλέων παρεμπίπτειν πρὸς παραμυθίαν τῶν καμάτων, ὥστε οὐκ ἀπεικότως πρὸς πλυνούσης φίλης πυθέσθαι [καὶ] εἰπεῖν: — MAB

---

1 βλύζον AB 2 cf. Eust. p. 353,14 καὶ πᾶν δέ, φασίν, ὄρος ὑψηλὸν ... Ἴδη ἐλέγετο ὥσπερ καὶ πᾶν ὕδωρ Ἀχελῷος καὶ Ὠκεανὸς δὲ κατά τε Ὅμηρον καὶ τοὺς ὁμηρίζοντας, ἐν οἷς ἐστι καὶ Εὐριπίδης, εἰπὼν ὡς πέτρα τις Ὠκεανοῦ ὕδωρ στάζει, τουτέστι πηγήν et p. 500,42 ἰστέον δὲ ὅτι κατὰ Δίδυμον Ἴδη οὐ μόνον ἡ Τρωική, ἀλλὰ πᾶν ὄρος ἐξ οὗ τὰ κύκλῳ ἔστιν ἰδεῖν [= schol. Δ 475], ὡς καὶ Ἀχελῷος πᾶν ὕδωρ, ὁμοίως καὶ Ὠκεανός 3. 4 scholio quod praecedit adi. N 6 ἐνύδρῳ NA om. M 7 τὴν om. M τὰσ ὑδρίασ N 8 ὑπὸ om. N πηγήν] πέτραν Rei 8. 9 ἢ — περαιτέρω om. MB, sed habet B[1] om. ἢ τὴν 8 ἢ τὴν δύναμην N βαπτὸν καλεῖται ἀντὶ τοῦ δυνάμενον A 9 οὐ om. B[1] 10 τὴν κοτύλην AB ἀναβάψαν MAB 11 περὶ τὴν] παρὰ M 12 τὴν ὑδρίαν A ἱστορεῖ post ποταμῶν coll. B om. MA 18 ἀνελθοῦσα ego ἀπελθοῦσα M ex corr. ἀπελθούση A ἀπελθούσῃ B 19 τῆς] τὰσ A καταβαλοῦσα Heath καταβαλούση MA καταβαλούσῃ B 20 βασιλείασ A ἤγγειλα M ἐλθοῦσα delevi 21 παρεμπίπτειν ego προσεμπίπτειν MA προσπίπτειν B 22 πλυνούσης φίλης scripsi πλύνουσαν φίλην MAB καὶ delevi

128 τέγγουσα, θερμᾶς: βρέχουσα πλύνουσα. ἐπὶ τὰ νῶτα δὲ τῆς θερμαινημένης ἐκ τῆς τοῦ ἡλίου βολῆς πέτρας: — MAB

ἐπὶ τῆς εὐηλίου πέτρας: — M[g]

129 ὅθεν μοι πρῶτα φάτις: ὅθεν, ἐκ τῆς φίλης δηλονότι. ὅπου πρῶτον ἔμαθον τὴν Φαίδραν κακουμένην ἔσω τῶν οἴκων ἐπὶ τῆς κλίνης εἶναι, τουτέστιν κλινήρη: — MNAB

132 δέμας ἐντὸς ἔχειν: ἐντός ἀντὶ τοῦ· ἐν τοῖς μυχοῖς τοῦ οἴκου. τοῦτο δέ, ἐπεὶ καὶ σωφροσύνης ἕνεκα πολλάκις ἀπροϊτία γίνεται: — MNAB

133 λεπτὰ δὲ φάρη: λεπτοῖς δὲ φάρεσι κατακαλύπτεσθαι τὴν κεφαλήν· οὐκ ἀνέχεται γὰρ βαρύτερα διὰ τὴν προσοῦσαν καῦσιν τῆς νόσου: — MNAB

135 τριτάταν δέ νιν κλύω: τὸ ἑξῆς· τριτάταν δέ νιν κλύω τάνδε ἡμέραν κατέχειν ἁγνὸν τὸ στόμα τῆς Δήμητρος ἀκτῆς. οἷον· λοιπὸν τρεῖς ἡμέρας ἔχω ἀκούουσα περὶ αὐτῆς ὅτι ἀσθενεῖ καὶ οὐ μεταλαμβάνει βρώσεως ἐν τῷ στόματι αὐτῆς. τὸ δὲ κρυπτῷ πένθει ἀντὶ τοῦ· ἐπὶ ἀδήλῳ συμφορᾷ καὶ μὴ ἐμφαινομένῃ πρὸς τὸ τέλος τοῦ θανάτου φέρεται. ἀντὶ τοῦ· ὑπὸ τῆς ἀλγηδόνος καὶ τῆς νόσου τῆς κρύπτῆς μέλλει ἀποθνήσκειν. θαυμασίως δὲ ὁ Εὐριπίδης ἐπὶ Ὀρέστου νοσοῦντός φησιν [41] οὔτε σῖτα διὰ δέρης ἐδέξατο ὡς βουλομένου μὲν φαγεῖν, καταπιεῖν δὲ μὴ δυναμένου ὑπὸ ἀσθενείας· περὶ δὲ Φαίδρας ἀσιτεῖν βουλομένης εἰς θάνατον τὸ σύνολον αὐτὴν μὴ δέχεσθαι εἰς τὸ στόμα τροφήν: — MNAB

138 τροφῆς τῆς γῆς: — M[g]A[g]B[i]

---

1. 2 scholio p. 21,10—13 adi. B init. add. τέγγουσα δὲ ἀντὶ τοῦ    τὰ om. M    2 δὲ om. B    ταῖσ — βολαῖσ B    πέτρας om. MA    5 κακουμένην τὴν φαίδραν M    6 τουτέστιν κλινήρη om. AB    7—9 scholio quod praecedit adi. B pro ἐντός init. add. δέμασ δὲ ἐντὸσ ἔχειν    8 post δέ add. φησὶν B    10 κατακαλύπτεται AB    11 οὐ γὰρ ἀνέχεται B οὐ γὰρ ἂν περίεσται A    βαρυτέραν MN    παροῦσαν MN    κάκωσιν A    11. 12 τῆς νόσου om. A    13 τριτάτην N    νιν om. M    14 ἁγνὸν] αὐτὴν corr. ex αὐτῆσ M    δημῆτ (ε supra) M    ἀκτῆς om. spatio uacuo rel. A    15 ἀκούων MAB    16 κρυπτῷ om. A spatio uacuo rel.    17 εὐφραινομένη M εὐφραινομένην NA    18 φέρεται om. MNA    19 περὶ MN    21 βουλόμενοσ M    μὴ δυναμένου δὲ καταπιεῖν AB    24 initio add. περιφραστικῶσ μὴ ἐσθίειν B[i]    in fine add. λέγει δὲ τὴν οἷον ἀγὴν καὶ κλάσιν τοῦ σίτου διὰ τὸ κατάγνυσθαι ἐν τῆι ἅλωνι ἢ ἐν τῶι μύλωνι θραύεσθαι B

ἄθικτον. 'ἁγνὴ γάρ εἰμι' Μένανδρος [frg. 920]: — Laur. 31, 15

140 κέλσαι ποτὶ τέρμα: ἐπὶ ἀδήλῳ συμφορᾷ καὶ μὴ ἐμφαινομένῃ πρὸς τὸ τέρμα τοῦ θανάτου κέλσαι καὶ προσπελάσαι θέλει. οἷον· ἀκούω αὐτὴν ἀσιτεῖν [καὶ] ἀποθανεῖν σπουδάζουσαν διὰ μετάστασιν βίου: — B

προσπελάσαι: — $M^g$

141 σὺ γὰρ ἔνθεος, ὦ κούρα: ἀπέτεινε λοιπὸν τὸν λόγον πρὸς τὴν Φαίδραν, τῆς νόσου αὐτῆς τὴν πρόφασιν ἐπιζητοῦσα καὶ τοῖς [τῆς] μανίας αἰτίοις προσθεμένη δαίμοσι. δοκεῖ γὰρ καὶ μαίνεσθαι ἐνίοτε τῇ ὑπερβολῇ τοῦ ἔρωτος, μὴ καθεστάναι δοκοῦντα ῥήματα φθεγγομένη, οἵανπερ αὐτὴν εἰσάγει καὶ κυνηγεσίων ἐρῶσαν καὶ δι' αἰνιγμάτων τὰ τοῦ ἔρωτος φράζειν δοκοῦσαν [μαίνεσθαι]: — MNAB

† ἄλλως: ἐμμανής, ἐν σεαυτῇ μανιῶδές τι ἔχουσα. τὸ δὲ ἑξῆς· ἔνθεος φοιτᾷς, ὥστε εἶναι τὸ ἑξῆς τῆς διανοίας οὕτως· σὺ γάρ, ὦ κόρη Φαίδρα, ἔνθεος καὶ ἐμμανὴς φοιτᾷς καὶ ἐνθουσιᾷς, ἔκ τινος θεῶν τοῦτο παθοῦσα. καὶ ἀπορούσῃ εἰπέ μοι· ἐκ Πανὸς σὺ ἐμάνης εἴτε ἐκ τῆς Ἥρας ἢ Κορυβάντων τοῦτο νοσεῖς; λέγειν οὐκ ἔχω· καὶ εἴ τι τούτων ἁμαρτήσασα. τὴν ὀρείαν καὶ μανίας αἰτίαν: — B

γράφεται φοιτᾷς. ὦ νέα Φαίδρα. τὸ δὲ ἔνθεος ἐμμανής. σὺ γὰρ ἔνθεος φοιτᾷς· πόθεν δέ, λέγειν οὐκ ἂν δυναίμην. ὁ εἰ ἀντὶ τοῦ ἢ καὶ ὁ τε παρέλκει. τὸ δὲ φοιτᾷς ἀντὶ τοῦ μαίνῃ, ἐπιθειάζῃ, κατέχῃ. ἀντὶ γὰρ τοῦ ὦ κούρα τινὲς τὸ φοιτᾷς γράφουσιν: — MN

---

4 καὶ deleui cf. us. 277 8—12 τῆς νόσου — μαίνεσθαι om. A spatio uacuo VI linearum relicto 8 ἐπιζητῶν NB 8. 9 καὶ — δαίμοσι scripsi αἰτίους τοὺς δαίμονας προθεμένη M ἐκ τοῦ τῆς μανίας αἰτίου προσθέμενος [προθέμενος N] δαίμονα NB 9 τῆς del. Wil 9. 10 δοκεῖ — ὑπερβολῇ] ἐνίοτε γὰρ ἐδόκει μαίνεσθαι ἐκ τῆς ὑπερβολῆς M cf. adnotata ad p. 24, 1—2 10—12 μὴ — μαίνεσθαι om. M 11 οἵαν πως N 12 αἰνισμῶν N μαίνεσθαι del. Wil 14 ἐμμανὴς scripsi ἐμάνης B 18 Ἥρας] uolebat librarius Ῥέας, sed ne hoc quidem apte 19 καὶ — τούτων] conicio ἢ εἰς Δίκτυνναν 21—25 scholio 7—10 adi. M 21. 22 γράφεται — δυναίμην om. N 21 γράφεται φοιτᾷς et 24. 25 ἀντὶ — γράφουσιν uaria lectio us. 144 falso ad us. 141 refertur 22 γάρ νιν M 22. 23 πόθεν — μαίνῃ habent $A^gB^1$ om. δὲ 24. 25 γράφουσιν M γάρ N

143 ἢ σεμνῶν Κορυβάντων: σεμνῶν ἀντὶ τοῦ τιμίων. Κορύβαντες μανίας αἴτιοι· ἔνθεν καὶ κορυβαντιᾶν: — $\mathrm{MA^{1}A^{g}B^{1}}$

144 τῆς Ῥέας τῆς ἐν τοῖς ὄρεσι διατριβούσης: — $\mathrm{M^{g}A^{g}B^{g}}$

145 σὺ δ' ἀμφὶ τὰν πολύθηρον: σὺ δὲ μὴ θύσασα τῇ Ἀρτέμιδι τρύχῃ. ἢ τῇ Ἑκάτῃ [ὅτι οὐκ ἐτέλεσας θυσίαν]. σὺ μὲν δή, φησίν, διὰ τοῦτο τρύχῃ ὅτι τῇ Ἑκάτῃ οὐκ ἐτέλεσας θυσίαν. τὸ δὲ ἑξῆς· σὺ δὲ ἀμπλακίαις τρύχῃ ἀμετάδοτος οὖσα ἀθύτων πελάνων περὶ τὴν Δίκτυνναν. λείπει γὰρ τὸ οὖσα. τουτέστιν· τῶν μὴ τεθυμένων πελάνων ἐκτὸς μείνασα καὶ ἀνίερος οὖσα εἰς αὐτὴν [διὰ τῶν θυμάτων] καταπονῇ: — MAB

146 Δίκτυνναν ἀμπλακίαις: τὴν Δίκτυνναν νῦν διέκρινεν τῆς Ἑκάτης ἐνίων τὴν αὐτὴν εἶναι φασκόντων. τινὲς Δίκτυνναν τὴν Ἄρτεμιν. ἀπὸ τῆς κυνηγοῦ νύμφης Βριτομάρτιδος τῆς ἐμπεσούσης εἰς δίκτυα φευγούσης τὸν Μίνωα. παρὰ δὲ Καλλιμάχῳ ἐν ὕμνῳ [190 sq.] ἡ ἱστορία. τινὲς δὲ τὴν αὐτὴν εἶναι τῇ Ἑκάτῃ. περὶ ἧς φησὶν Ἡσίοδος [Theog. 413]· 'μοῖραν ἔχει γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης': — MNAB

---

1 σεμνῶν — τιμίων om. $\mathrm{B^{1}}$ sed habet ἐπεὶ δοκεῖς μαίνεσθαι ταῦτα ῥήματα φθεγγομένη: κορύβαντες δὲ  σεμνῶν — τιμίων scripsi  ἀντὶ τοῦ σεμνῶν τιμίων M  τιμίων $\mathrm{A^{g}}$  2 ἐξ οὗ $\mathrm{A^{1}B^{1}}$  4—10 scholio 11—16 adi. B init. add. ὁ δὲ νοῦς  5 ὅτι — θυσίαν deleui  διότι τῆι ἑκάτηι οὐκ B  5. 6 σὺ — θυσίαν om. M  5 post δὴ add. γε A  6 διότι B  post θυσίαν add. πέλανοι γὰρ τὰ εἰς θυσίαν πέμματα B  6—8 τὸ — τουτέστιν om. B  7 ἀμετάθετος M  8 ante τῶν habet ἄλλως B  9 ἀνίερος οὖσα scripsi  ἀνιερώσασα M ἀνιερῶσα A μὴ ἀνιερώσασα B  εἰς αὐτὴν Wil ἑαυτὴν MAB  διὰ — θυμάτων del. Wil  9. 10 καταπονῇ] τῆι θεῶι τρύχηι B  10 in fine add. πελάνων δὲ τῶν πλακουντωδῶν πεμμάτων τῶν ἐπιθυομένων B  11 τὴν om. NA  12 εἶναι] γῆν A  τινὲς δὲ MAB  13 cf. schol. us. 1130 Diodor. 5, 76, 3 Βριτόμαρτιν . . . εὑρέτιν γενομένην δικτύων τῶν εἰς κυνηγίαν προσαγορευθῆναι Δίκτυνναν καὶ τὰς μὲν διατριβὰς ποιήσασθαι μετὰ τῆς Ἀρτέμιδος, ἀφ' ἧς αἰτίας ἐνίους δοκεῖν τὴν αὐτὴν εἶναι Δίκτυννάν τε καὶ Ἄρτεμιν, . . . . τοὺς δ' ἱστοροῦντας αὐτὴν ὠνομάσθαι Δίκτυνναν ἀπὸ τοῦ συμφυγεῖν εἰς ἁλιευτικὰ δίκτυα διωκομένην ὑπὸ Μίνω συνουσίας ἕνεκα, διημαρτηκέναι τῆς ἀληθείας [cf. Strab. 10 p. 479]. schol. Arist. Ran. 1356 Δίκτυνναν λέγει τὴν Ἄρτεμιν διὰ ταῦτα ἐπειδὴ τῶν κυνηγετῶν ἐστι τὸ δίκτυα φέρειν· ἔφορος δὲ κυνηγίας ἡ Ἄρτεμις [cf. schol. Vesp. 368]. φασὶ δὲ ὅτι νύμφη τις Βριτόμαρτις καλουμένη θηρεύουσά ποτε δικτύοις τισὶ κατὰ τύχην ἐνέπεσε καὶ ὑπὸ Ἀρτέμιδος ῥυσθεῖσα Δικτύννης Ἀρτέμιδος ἱερὸν ἱδρύσατο. Ἑκάτην δὲ καὶ Ἄρτεμιν οἱ μὲν τὴν αὐτήν φασιν, οἱ δὲ ἄλλην καὶ ἄλλην, ὡς κἀνταῦθα.  ἀπὸ] ἢ τὸ A  Βριτομάρτιδος post νύμφης collocaui: post δίκτυα coll. MNAB del. Wil  14 καλλίμαχον A  ἐν ἀρτέμιδος ὕμνωι B

148 φοιτᾷ γάρ: φοιτῶσιν οἱ θεοὶ πανταχοῦ τοὺς ἀτιμάζοντας τιμωρούμενοι: — MA[s]

150 ταῖς διύγροις: — M[s]A[s]

151 ἦ πόσιν τὸν Ἐρεχθειδᾶν: στοχαστικὸν τὸ ἦθος. ἦ, φησίν, εἰς οὐδένα τῶν θεῶν ἥμαρτες. ἀλλὰ τάχα τὸ δεινὸν ἔρως ἐστὶ καὶ μοιχεία ἑτέρου, φόβῳ δὲ τοῦ ἀνδρὸς καὶ ἔρωτι τοῦ μοιχοῦ κατεχομένη ἀγωνιᾷς. δύναται καὶ ὡς τοῦ Θησέως ἔχοντος ἑτέραν γυναῖκα ὁ λόγος τάττεσθαι· ἤ τις γυνὴ ἀπατᾷ σοῦ τὸν ἄνδρα τῇ ἑαυτῆς λαθραίᾳ συνουσίᾳ, σὺ δὲ ἐκ τῆς ζηλοτυπίας εἰς νόσον καὶ μανίαν κατέστης. ἀγνοεῖ γὰρ ὁ χορὸς ἔκδημον ὄντα τὸν Θησέα, ὅπου γε καὶ ἐν τοῖς ἑξῆς φησιν [280] ὁ δ' εἰς πρόσωπον οὐ τεκμαίρεται βλέπων, εἶτα ἡ τροφός ἔκδημος ὢν γὰρ τῆσδε τυγχάνει χθονός. ἀγνοῶν οὖν αὐτὸν ἐνόμιζε παρόντα συνορᾶν τὰ γινόμενα: — MNAB

155 ἦ ναυβάτας: ἕτερος λογισμὸς νόσου. ἦ τάχα τις ναύτης ἐκ Κρήτης ὁρμήσας εἰς Τροιζῆνα φήμην πένθους τῶν οἰκείων ἀπήγγειλεν αὐτῇ: — MNAB

ἄλλως: τάχα τις ἦλθεν ἐκ τῆς πατρίδος αὐτῆς λυπηρὰν φήμην κομίζων. [καὶ] ἐκ τούτων δὲ τῶν παθῶν τῶν ἠγγελμένων καὶ τῇ ὑπὲρ τῶν παθῶν εὐναίᾳ λύπῃ δέδεται τὴν ψυχήν: — MNAB

159 δ' ὑπὲρ παθέων: ὅ ἐστι· διὰ τὰ πάθη συνδέδεται αὐτῆς ἡ ψυχὴ τῇ εὐναίᾳ λύπῃ, ἀντὶ τοῦ ⟨τῇ⟩ εἰς εὐνὴν αὐτὴν βαλλούσῃ. ἢ αὐτὴ ⟨ἡ⟩ Φαίδρα εὐναία δέδεται τὴν ψυχήν. τινὲς

---

5 ἥμαρτον MA post ἥμαρτες ins. B ἀλλ' ἔρωτα νοσεῖς τινός σε μοιχευομένου καὶ τὸν ἄνδρα σου τὸν Ἀθηναίων βασιλέα βουκολεῖς καὶ ἀπατᾶς ἐπὶ τῶν σῶν λεχέων κρυπτῆι χρωμένη κοίτηι. δύναται δὲ καὶ ἀντεστραμμένως ὁ λόγος εἶναι· ἤ τίς γυνὴ ἀπατᾶι σου τὸν ἄνδρα τῶι ἔρωτι τῶι αὐτῆς λάθρα χρώμενον καὶ ἐκ τῆς ζηλοτυπίας εἰς νόσον καὶ μανίαν κατήχθης: — ἄλλως: ἢ φησὶν εἰς οὐδένα τῶν θεῶν ἥμαρτες τὸ] τί N cf. us. 322 6 ἑταίρου A 7 ante ὁ add. καὶ N 8 αὐτῆς M 9 καὶ μανίαν om. M 12 ὢν γὰρ] ὢν γε M ὢν N ὅδε A ὅγε B οὖν MN: καὶ A γὰρ καὶ B 13 ἐνόμιζεν αὐτὸν N 17 τάχα τις] τάχιστα N 18 καὶ deleui 19 εὐναίωι M δέδεται τὴν ψυχήν] δέ N in fine add. B ὡς καὶ εἰς τηλικαύτην νόσον ἀποσκῆψαι τῆς λύπης [τῇ λύπῃ Matthiae]. εὐναίαι δὲ λύπηι τῆι εἰς εὐνὴν κατακλινούσηι διὰ τῆς νόσου, τουτέστιν· οὕτως συνδέδεται ἡ Φαίδρα τῆι εὐναίαι λύπηι ὡς ὑπερβαλεῖν ἅπαν πάθος. γράφεται δὲ καὶ πρὸς εὐθεῖαν· ὑπὸ τῆς λύπης εὐναία ἡ Φαίδρα δέχεται [in δέδεται m. rec. corr.] τὴν ψυχήν: — 20 δέδεται N 21 τῇ om. N τῇ addidi αὐτὴν om. N 21. 22 ἁλούσῃ A 22 ἡ addidi δέδεται] ἐστι M τινὲς MN τουτέστιν A

οὕτως· συνδέδεται ἡ ψυχὴ τῇ εὐναίᾳ λύπῃ ὑπερβαλλούσῃ πᾶν πάθος: — ΜΝΑ

161 φιλεῖ δὲ τᾷ δυστρόπῳ: ἀντὶ τοῦ κακοτρόπῳ. καθολικῶς δὲ τοῦτο λέγει, τῇ τῶν γυναικῶν ἁρμογῇ πρὸς ἄνδρα κάκωσιν συνοικεῖν. ὅταν γὰρ ἐγγὺς τῶν ὠδίνων γένωνται, δυσχερεῖ τροφῇ χρῆσθαι εἰώθασιν: — ΜΝΑΒ

ἄλλως: οἷον· ἆρα μὴ ἐν γαστρὶ ἔχει ἡ Φαίδρα καὶ διὰ τοῦτο ἄσιτός ἐστι; φιλεῖ γὰρ τῶν γυναικῶν ἡ τοιαύτη κατάστασις, ⟨ἡ⟩ τοῦ ἐγκυμονεῖν, δυστροπίαν ἐργάζεσθαι καὶ ἀποστροφὴν τῶν σιτίων καὶ ἐκ τούτου συμβαίνειν κάκωσις. λοιπὸν δὲ πρὸς ἀνακεφαλαίωσιν τῶν εἰρημένων στοχασμῶν γνώμην ἐπιφέρει λέγων οὕτως· τὸ δυστυχὲς γὰρ τῶν γυναικῶν τῆς φύσεως εἴωθεν διαφόρους ἀμηχανιῶν ἐπάγειν αἰτίας, ποτὲ μὲν δι' ὠδίνων πόνους, ποτὲ δὲ διὰ πορνείαν, ἤτοι αὐτῶν μοιχευομένων καὶ ἐπὶ τῇ ἁλώσει ἀπορουσῶν, ἢ τῶν ἀνδρῶν ἄλλας περιπτυσσομένων, καὶ ἐπὶ τούτῳ ἀπορουσῶν τῇ ζηλοτυπίᾳ: — ΜΝΑΒ

† τοῦτο ὡς πρὸς τὸ ἢ πόσιν τὸν Ἐρεχθειδᾶν ἀρχηγόν. εἶπε γὰρ ἐκεῖ ὅτι ἢ διὰ τοῦτο νοσεῖ ὡς μοιχευομένη καὶ τῷ φόβῳ στενοχωρουμένη μὴ φωραθῇ. ὡς οὖν πρὸς τοῦτο ἐπάγει ὅτι τῇ κακοτρόπῳ

---

1 ὑπερβαλοῦσα Μ  3 ἀντὶ — κακοτρόπῳ om. Β  4 δὲ om. Β  4. 5 τῇ — συνοικεῖν] εἰώθασιν αἱ γυναῖκες Β  ἄνδρας Α  κάκωσιν scripsi κακῶ Μ κακῶς Α κακὰ Ν quod defendit Wil  5 γὰρ Μ om. ΝΑΒ  τοῦ τεκεῖν Β  γένηται ΜΝΑ  δυσχερῆι Β  5. 6 κεχρῆσθαι ΜΝ  6 εἰώθασιν scripsi εἰσὶ Μ om. ΝΑΒ  in fine add. καθὸ καὶ δύστροπον αὐτῶν τὸ πνεῦμα τῶν ὠδίνων Β  7 οἷον αρα μὴ Μ μὴ Ν οἷον μὴ ἆρα Α μὴ ἆρα Β  8. 9 τῶν — ἐγκυμονεῖν] ὁ τοῦ ἐγκυμονεῖν καιρὸς Β  8 ἡ om. ΝΑ  ἡ addidi  8. 9 τοῦ ἐγκυμονεῖν ΝΑ ὅτε ἐγκυμονοῦσι Μ  9 post δυστροπίαν ins. ταῖς γυναιξὶν Β  ἀποτροπὴν ΑΒ  9. 10 καὶ — κάκωσις om. Β et add. ἀφροσύνας δὲ παραφροσύνας ἀνοίας ἐξ οὗ πορνείας. ἄλλοι δὲ γράφουσι δυσφροσύνας, ὅ ἐστι κακοχυμίας τῶν τοκετῶν. θέλει δὲ λέγειν τὴν κατὰ τὰς ἀλγηδόνας γινομένην ἔκπληξιν ἐκ τῶν ὠδίνων. λοι$^{\pi}$ [i. e. λείπει] δὲ τὸ ἕνεκεν: —  10 κάκωσις scripsi κάκωσιν Μ καὶ κάκωσιν Ν ἡ κακωσις Α  10—15 λοιπὸν — ζηλοτυπίᾳ separatim habet Β praemisso ἄλλως et om. λοιπὸν δὲ  11 γνώμην — οὕτως] ἐπάγει τὸ γνωμικὸν τῆς γυναικείας φύσεως διαφόρους αἰτίας βεβαιοῦν. τὸ δὲ φιλεῖ τέτακται ἀντὶ τοῦ εἴωθε πέφυκεν Β  ἐπιφέρειν Μ  λέγειν Α  11. 12 τὸ — εἴωθεν] πέφυκε τὸ δυστυχὲς τῆς γυναικείας φύσεως Β  12 τῆς om. ΝΑ  δυσφόρους Ν  13. 14 μοιχευομένη Μ  14. 15 πρὸς ἄλλας ἐχόντων Β  15 τοῦτο ΜΝΑ  ἀποροῦσι τὴν ζηλοτυπίαν ΝΑ ζηλοτυπουσῶν Μ

καὶ δολερᾷ τῶν γυναικῶν ἁρμογῇ κακῇ. ὅ ἐστι τῇ κρυφαίᾳ μίξει. εἴωθε συνεῖναι ἀμηχανία τις δυστυχεστάτη ἕνεκα τῶν ὠδίνων καὶ τῆς ἀφροσύνης. αἱ γὰρ κεκρυμμένως ἁρμοζόμεναι καὶ μοιχευόμεναι, ὅταν ἐγκυμονήσωσι, τὰς ὠδῖνας ἐννοήσασαι καὶ τὰς ἀφροσύνας αὐτῶν, ἀμηχανοῦσι καὶ οὐκ ἔχουσι τί δρᾶσαι. εἶτα, ἐπεὶ ὠδίνων ἐμνημόνευσε, πρὸς αὐτό φησιν ὅτι καὶ ἐγώ ποτε ὠδινήσασα κακῶς εἶχον καὶ παρεκάλουν τὴν Ἄρτεμιν: — A

162 κάκωσις: — $\mathrm{M^g}$

δυστυχής: — $\mathrm{M^gA^g}$

165 ἦξέ ποτε νηδύος: δι' ἐμῆς γαστρὸς ὥρμησέ ποτε ἡ αὔρα αὕτη καὶ τὸ πνεῦμα τῶν ὠδίνων καὶ τὴν λοχείαν Ἄρτεμιν ἐκάλουν, ἣ δὴ ἀεί μοι ἐπὶ τῶν τόκων ζηλωτὸς σὺν τοῖς ἄλλοις θεοῖς ἐπέρχεται: — NA

† ἦξέν ποτε νηδύος: τὸ πνεῦμα, φησί, τῶν ὠδίνων καὶ ἡ αὔρα αὕτη ὥρμησέν ποτε διὰ τῆς ἐμῆς γαστρός, τουτέστι· καὶ αὐτή ποτε ὠδίνων πεῖραν ἔσχον καὶ ἔπαθον τοῦτο. ἐγενόμην, φησί, κἀγώ ποτε ἐν ἀμηχανίᾳ: — B

168 πολυθαύμαστος. ἢ πολύτιμος: — $\mathrm{M^gA^gB^i}$

169 σὺν ταῖς Εἰλειθυίαις: — $\mathrm{M^i}$

171 τήνδε κομίζουσ' ἔξω: τοῦτο σεσημείωται τῷ Ἀριστοφάνει [p. 62 N.] ὅτι καίτοι τῷ ἐκκυκλήματι χρώμενος τὸ ἐκκομίζουσα προσέθηκεν περισσῶς: — MA

† τήνδε κομίζουσ': τοῦτο σεσημείωκεν Ἀριστοφάνης, ὅτι κατὰ τὸ ἀκριβὲς τὸ ἐκκύκλημα τοιοῦτον ἐστὶ τῇ ὑποθέσει. ἐπὶ γὰρ τῆς σκηνῆς δείκνυται τὰ ἔνδον πραττόμενα, ὁ δὲ ἔξω προϊοῦσαν αὐτὴν ὑποτίθεται: — B

τὴν Φαίδραν ἐκβιβάζουσα: — $\mathrm{M^gB^i}$

172 τὸ συνηγμένον καὶ σκυθρωπόν: — $\mathrm{M^gA^gB^i}$

173 τί ποτ' ἔστι μαθεῖν: τί ποτε ἐστὶ τὸ συμβάν, ἡ ψυχή μου μαθεῖν ἐρᾷ καὶ τί ἔβλαψε τὸ σῶμα τῆς βασιλείας τὸ ὑπὸ τῆς νόσου ἀλλόχροον γενόμενον: — MA

174 βέβλαπται: — $\mathrm{M^gA^g}$

---

12 δὴ om. A 20 τῶ ἀριστοφ$^{α}$ M ἀριστοφάνης A 21 ἐκκυκλήματι Cobet ἐγκυκλήματι M ἐγκλήματι A 24 ἐκκύκλημα Dindorf ἔγκλημα B τοιοῦτον corruptum 27 ἐκβιβάζουσα ego ἐκβάλλουσα $\mathrm{M^gB^i}$ 28 init. add. ἐπήρτηται ηὔξηται· στυγνὸν δὲ $\mathrm{B^i}$

177 *τί σ' ἐγὼ δράσω*: τὸ ἦθος ἀπειρηκυίας τοῖς κακοῖς τῆς θεραπείας ὥστε κοινῇ τὸν βίον βλασφημεῖν [προάγεσθαι]. διὸ καὶ τὸ γνωμικὸν ἐπάγεται, ὅπερ σύνηθές ἐστι τοῖς δυστυχοῦσιν: — MNAB

178 *τόδε σοι φέγγος*: δεικτικῶς ἅμα καὶ ἀναφορικῶς· ἰδοὺ γὰρ ὅρα, φησίν, ἅπερ ἐκ πολλοῦ ἐπεθύμεις ἰδεῖν. ἤδη δέ σοι καὶ τὰ στρώματα τῆς κοίτης ἔξω τῶν οἴκων ἐστὶν καί, καθὼς ἐπεθύμεις, ἡ ἀνάκλισις ὕπαιθρός σοι κατεσκεύασται: — MNAB

181 *δεῦρο γὰρ ἐλθεῖν πᾶν ἔπος ἦν σοι*: καὶ γὰρ ἐνταῦθα ἐλθεῖν πᾶς λόγος ἦν σοι, καὶ οὐ διέλιπες λέγουσα προέλθεῖν ἔξω τοῦ οἴκου. οἶδα μέντοι τοῦτο ὅτι ταχέως σπεύσεις πάλιν εἰς τοὺς οἴκους γενέσθαι, καὶ δίδωσί μοι τοῦτο ἔμπροσθεν στοχάζεσθαι τὸ παλίμβολόν σου καὶ δυσάρεστον τῆς νόσου: — MNAB

182 *τάχα δ' εἰς θαλάμους*: ταχέως δὲ πάλιν εἰς τὸν θάλαμον ἐπ⟨αν⟩έλθῃς: — A

187 *τὸ μὲν ἐστιν ἁπλοῦν*: ἤγουν τὸ νοσεῖν. βέλτιον δὲ τὸ συντόμως κακοῦσθαι ἢ κακουμένου ἀνέχεσθαι. τὸ γὰρ νοσεῖν ἁπλοῦν ἐστιν, τὸ δὲ θεραπεύειν διπλοῦν. ἐν ταὐτῷ γάρ τις καὶ τῇ λύπῃ ἀνιᾶται διὰ τὸν κακούμενον καὶ κάμνει περὶ αὐτὸν ἐνεργῶν καὶ ἀτυχῶν ἐν τῷ ὑπηρετεῖν: — MAB

191 *ἀλλ' ὅτι τοῦ ζῆν φίλτερον ἄλλο*: ὁ νοῦς· ἐγώ, φησί,

---

1 τοῖς κακοῖς om. AB 2 ὥστε B ὡσ τὸ A ὡσ τοῦ N om. M προάγεσθαι MB προσάγεσθαι N προαγαγέσθαι A del. Wil 3 ἐπάγεται M κατεπάγεται N κατάγεται A ἐπεισάγεται B ἐστι om. B in fine add. ἐπί τισιν. ἐκκομίσασα δὲ αὐτὴν πρὸ τῆσ σκηνῆσ καὶ πάλιν ὁρῶσα αὐτὴν ἀχθομένην ἐπὶ τῆι ἐξόδωι τὰ τοιαῦτα λέγει B 4 δεικτικὸν M ἀναφορικὸν M post ἀναφορικῶς add. λέγει B 4. 5 ἰδοὺ — ἰδεῖν om. B 5 ὥρα M ἃ A ἤδη] ἴδε M ἠδὲ N δὲ om. B καὶ om. B 5. 6 δέμνια B 6 εἰσὶ B ἐπιθυμεῖσ N ἡ om. B 7 σοι ὑπαίθριοσ B παρεσκεύασται MB 8—12 scholio 4—7 adi. B 8 καὶ] ἡ N 9 ἐλθεῖν om. M ut in lemmate οὐ om. B διέλειπεσ A ἐθέλειν προελθεῖν B 9. 10 ἔξω — οἴκου om. B 11 ἔμπροσθεν ego ἐντεῦθεν MNAB παλίμβουλόν M σοι A 13. 14 τάχα δ' ἐσ θαλάμουσ σπεύσεισ etiam in M extat 15. 16 βέλτιον — ἀνέχεσθαι in fine coll. B 15 δὲ] οὖν B 16 τὸ om. AB κακουμένην A 16. 17 τὸ — ἐστιν om. B 17 post θεραπεύειν add. τινὰ AB 18 τὸν] τὸ M 18. 19 ἀτυχῶν καὶ ἐνεργῶν AB 20 in lemmate ἄλλο A ἡγῇ M initio coll. p. 29, 5—13 τοῦτο — κατασκευάζουσιν M 20 — p. 29, 4 ὁ νοῦς — μυθεύεται om. N post νοῦς ins. δὲ οὕτωσ τοῦ, ἀλλ' ὅτι τοῦ ζῆν φίλτερον ἡγῇ M

προκρίνω μᾶλλον τὰ καθ' Ἅιδου· καὶ πᾶς ἄνθρωπος ἔκρινεν ἂν οὕτως, εἰ κἀκεῖνα ὁρῶν συνέκρινε τοῖς ἐνθάδε. νυνὶ δὲ, ἐπεὶ τόδε μὲν τῷ ἰδίῳ φωτὶ θέλγει τὴν θέαν, ἐκεῖνο δὲ κεκαλυμμένον ταῖς μυθοποιΐαις φοβερὸν εἶναι μυθεύεται, τούτου χάριν δυσέρωτες ἐσμὲν αὐτοῦ καὶ σφοδρῶς ἐρῶντες τούτου, ὅπερ ἐστὶν ἄρα τοῦτο τὸ λαμπρόν. τοῦτο δέ φησι, παρόσον διάφορος δόξα κρατεῖ παρὰ φιλοσόφοις περὶ τῆς τοῦ ἡλίου δυνάμεως. οἱ μὲν γὰρ ἐδόξασαν σῶμα εἶναι τὴν φωτιστικὴν αὐτοῦ δύναμιν, ὧν ἐστι καὶ Ἀριστοτέλης, διὰ τὰς γινομένας ἀνταναχλάσεις τῶν ἀκτίνων. τὰ γὰρ ἀσώματα ἀνεμποδίστως προϊόντα ἀνακλᾶσθαι οὐ πέφυκεν· ἔτι δὲ καὶ ἐν κατεσκεπασμένοις οἴκοις μὴ εἰσδῦνον τὸ φῶς δεικνύει ὅτι οὐκ ἔστιν ἀσώματον. οἱ δὲ ἀσώματον αὐτὸ φάσκοντες ἐκ τῶν χρονικῶν ἐλλάμψεων τῶν γινομένων ἐξ ἡλίου πιθανῶς κατασκευάζουσιν: — MNAB

ἄλλως: ἐκ τοῦ ὀδυνηροῦ βίου στοχάζεται βελτίονα εἶναι τὰ ἐν Ἅιδου τῆς γῆς. ὡς καὶ αὐτὸς ἐν Πολυΐδῳ [frg. 638] 'τίς δ' οἶδεν, εἰ τὸ ζῆν μέν ἐστι κατθανεῖν, τὸ κατθανεῖν δὲ ζῆν'. τὸ ἑξῆς· ἀλλ' ὅ,τι βέλτιον, κέκρυφεν ὁ σκότος ὑπὸ γῆν, [καὶ βέλτιόν τι ἄλλο τοῦ ἐνταῦθα εἶναι ὑπὸ γῆν σκότῳ κρυπτόμενον] κἂν δυσέρωτες φαινώμεθα καὶ σφόδρα φιλοῦντες τοῦτον τὸν βίον διὰ τὸ ἀπείρως ἔχειν τοῦ ἄλλου βίου καὶ μὴ εἰδέναι βελτίονα εἶναι τὰ ὑπὸ γῆν. μάτην ⟨δὲ⟩ τοῖς μύθοις πιστεύοντες φοβούμεθα τοῖς ποιοῦσιν αὐτὰ φοβερά: — B

192 † σκότος ἀμπίσχων: οὐκ ἔστι, φησί, τῷ βιοῦντι πόνων ἀπαλλαγή. καὶ ἔστι μὲν ἄλλη τις ζωή, φησί, κρείττων τῆς παρούσης καὶ ἀπονωτέρα, ἀλλὰ διότι ἀδηλία τις κατέχει ταύτην καὶ ἀγνοεῖται ⟨ὑφ'⟩ ἡμῶν, διὰ τοῦτο μανικῶς διακείμεθα περὶ τὴν παροῦσαν ζωὴν καὶ πάνυ ἐρῶμεν ταύτης, ὅτι στίλβει καὶ φανερά ἐστιν. ἀπειρίαν γὰρ

---

1 προέκρινεν AB     οὕτως om. AB     2 ἐπεὶ om. M sed post μὲν habet ἐπι     τοῦτο AB     2. 3 θέλγει τῶ ἰδίω φωτὶ AB     4 ἐσμὲν N μὲν MAB     post αὐτοῦ add. ὑπάρχομεν B     καὶ post σφοδρῶς coll. A om. MB     post σφοδρῶς add. δὲ MB     5 post τούτου add. φαινοίμεθα M     ὅπερ — λαμπρόν om. MB     6 κρατεῖ om. AB     8 caueas ne hoc in ipsis Aristotelis libris quaeras     γενομένασ M     9 ἀνενποδίστωσ M     ἀντανακλᾶσθαι N     10 κατασκευασμένοισ M κατεσκευασμένοισ N     11—13 cf. e. g. Plot. IV 5,7     17. 18 καὶ — κρυπτόμενον del. Wil     21 δὲ addidi 26 ὑφ' addidi

ἔχομεν ἄλλου βιότου καὶ οὐκ ἀπόδειξιν τῶν ὑπὸ γῆν, ἀλλὰ μύθοις μορμολυττόμεθα Πυριφλεγέθοντας καὶ Κωκυτοὺς ἀκούοντες ἐν Ἅιδου καὶ τοιαῦτά τινα· διὸ καὶ τῆς ὑπὸ γῆν ζωῆς καταφρονοῦντες πάνυ ταύτης τῆς ὑπὲρ γῆν ἐρῶμεν: — A

περιέχων: — M$^g$A$^g$

197 μύθοις δ' ἄλλως φερόμεσθα: ὁ δὲ ἀντὶ τοῦ γάρ. τοῖς γὰρ μύθοις ἀπατώμεθα, ταῖς τούτων σκηνοποιίαις φοβεριζόμενοι ἀναπλαττόντων Πυριφλεγέθοντα καὶ Κωκυτὸν καὶ Ἀχέροντα ποταμοὺς * *: — MNAB

198 αἴρετέ μου δέμας: ἐφύλαξε τὸ τῶν νοσούντων ἦθος πάντῃ πρὸς τὴν τοῦ σώματος κηδεμονίαν καταγινομένων. μονονουχὶ αὐτὴν ἡμῖν ὑπέστησε τὴν Φαίδραν προκομιζομένην καὶ τοῖς λόγοις καὶ τοῖς σχήμασιν. ὁ δὲ νοῦς· ἐπιθεῖσαι τοῖς ἑαυτῶν ὤμοις τοὺς ἐμοὺς βραχίονας καὶ ταῖς χερσὶν ἀντερειδόμεναί μου τοῦ αὐχένος, οὕτως με ἐπαίρετε. κομματικαὶ δὲ αἱ διάνοιαι καὶ τῇ τῶν πόνων ὀλιγωρίᾳ τὸ σπουδαζόμενον συντόμως ἐξαιτούμεναι: — MNAB

199 ἄρθρα νεῦρα: — M$^g$B$^g$

201 βαρύ μοι ἐστι τῆς κεφαλῆς τὸ κεφαλοδέσμιον: — M$^g$A$^g$BB$^i$

βαρύ μοι κεφαλῆς ἐπίκρανον ἔχειν: τὴν ἐρωτικὴν ἄκρως ἐνέφηνε πύρωσιν οὐδὲ τοῦ συνήθους ἀνεχομένη στολίσματος. ἄφελε τοίνυν αὐτὸ καὶ γύμνωσόν μου τὸν πλόκαμον: — MNAB

202 ὤμοι: γράφεται φεῦ φεῦ: — MA

---

7 λόγοισ MNA ante ταῖς add. καὶ B 7. 8 δεδισσόμεθα B 8 ἀναπλάττοντες τὸν MN ἀναπλάττοντεσ A ἀναπλαττόντων αὐτῶν B κωκυτὸν καὶ πυριφλεγέθοντα B τὸν κωκυτὸν A 8. 9 πο^τ M ποταμόν A 9 in fine add. ᾄδου καὶ κύνα κέρβερον καὶ χάρωνα [καὶ] πορθμέα καὶ τῶι φοβερῶι τῶν ὀνομάτων καταπληττόντων ἡμᾶσ B 11 πάντῃ om. B καταγινομένων scripsi καταγινομ´ MA κατὰ γινομένην N καταγινόμενον B 12 ἡμῖν post ὑπέστησε coll. M ὑποστήσασ B 16 ἐξαιρούμεναι B ἐξηγούμεναι Wil ἐξαιτουμένης ego 19 τῆσ κεφαλῆσ M$^g$B$^i$ om. A φησὶ τὸ ἔχειν B κεφαλόδεσμον B 20—22 scholio quod praecedit adi. B add. ἄκρωσ οὖν ἄκρως om. B 21 ἔφηνε M ἔφασκεν N ἔφανε A πάρεστιν N πόρρωσιν A 22 ἀναπέτασόν B 23 scholio quod praecedit adi. A

203 μὴ ἐπὶ χαλεπότητι καὶ κακώσει διάρριπτε τὸ σῶμά σου. ῥᾷον γὰρ [μᾶλλον] οἴσεις τὴν νόσον γενναιάζουσα: — MNAB

ἄλλως: μὴ ἐπὶ τὰ ἀσύμφορα διάρριπτέ σου τὸ σῶμα. μᾶλλον γὰρ εὖ οἴσεις τὴν νόσον μετὰ γενναιότητος: — MAB

205 ῥᾳδίως γὰρ ⟨ἂν⟩ τὴν νόσον ὑπενέγκοις ἐὰν γενναίως ἐνέγκῃς: — M

208 πῶς ἂν δροσερᾶς ἀπὸ κρηνῖδος: ὁ νοῦς· πῶς ἂν δροσερᾶς ἀπὸ κρηνῖδος πόμα καθαρῶν ὑδάτων ἀπαντλησαίμην. ἠβουλόμην, φησί, τυχεῖν ψυχρῶν ὑδάτων, ἵνα τὴν ἐν ἐμοὶ τοῦ ἔρωτος φλόγα σβέσω, ἀναπαῦσαί τε ἐμαυτὴν ὑπὸ αἰγείροις καὶ λειμῶνι κομῶντι τοῖς ἄνθεσιν ἀνακλιθεῖσα: — MNAB

213 οὐ μὴ παρ' ὄχλῳ: οὐ μὴ φθέγξῃ ταῦτα μεταξὺ πλήθους μανιώδεις λόγους ῥίπτουσα. ἔδοξε γὰρ αὐτῇ τὰ ῥηθέντα ἀσχήμονα εἶναι καὶ οὐκ αὐτῆς ἄξια. τί γὰρ ἦν ὕδατος ψυχροῦ ἐρᾶν καὶ ἄνθη τοῦ λειμῶνος ποθεῖν τὴν βασιλείαν ἐχούσης: — MNB

τῷ ἐλθόντι εἰς ἐπίσκεψιν: — M[i]

φθέγξῃ λαλήσεις: — M[g]

214 μανίας ἔποχον ῥίπτουσα λόγον: ὑπὸ μανίας ὀχούμενον, ἐμμανῆ, κατεχόμενον ὑπὸ μανίας. ἐδόκει γὰρ αὐτὴν ταῖς ἀληθείαις ἐρᾶν ὧν προεῖπεν. παρ' ὄχλῳ δὲ ἀντὶ τοῦ· ἐπὶ τοῦ χοροῦ: — MNAB

215 πέμπετέ μ' εἰς ὄρος: ἐπαναβέβηκεν ὁ λόγος ἐπὶ τὸ μανι-

---

1. 2 scholio quod praecedit adi. MA initio add. ἡ δὲ τροφὸς A κακώσει scripsi κακοῖς MAB κακῷ N 2 μὲν γὰρ MN μᾶλλον deleui: post οἴσεις coll. M 3 ῥίπτε M 4 γενναιάζουσα M 5. 6 scholio quod praecedit adi. M 5 ἂν addidi 5. 6 γενναῖος ἐνεχθῇς M 7—8 ὁ νοῦς — ἀπαντλησαίμην] ἐπαναβέβηκε λοιπὸν ὁ λόγος ὡσπερεὶ συναυξόμενος τῷ πάθει καὶ λοιπὸν ἐσχηματισμένως τὰ τοῦ ἔρωτος αἰνίττεται. λέγει οὖν ὅτι B 7 ὁ νοῦς om. A 8 πῶμα M 8. 9 ἐβουλόμην B 9 φησὶ om. MB τυχεῖν] τὴν ψυχὴν N τυχεῖν post ὑδάτων coll. B 10 ἀναπαῦσαί τε scripsi ἀνέπαυσα δὲ MNA ἀναπαύσασα B ἑαυτὴν NB λειμῶσι κομῶσι B 11 in fine add. ταῦτα δὲ ἔξωθεν ἐσχημάτισται πρὸς τὸ ἦθος τῶν νοσούντων B 12 init. add. ἀντὶ τοῦ B 14 ἐρῶσαν ψυχροῦ B ἐρᾶν scripsi ἐρῶσαν MNB 14. 15 κομῶντος λειμῶνος ἄνθη B 15 ἐχούσῃ MN in fine add. εἰ μή τοι ἔλεγε· πῶς μοι γένοιτο τοῦ ἔρωτος σβέσαι τὸ πῦρ; ἢ τίς τοσαύτη τέρψις ἀνθέων ὡς ἀναπαῦσαι τὸν πόθον B 18—20 scholio 12—15 adi. B init. add. μανίας δὲ ἔποχον ἤτοι 18 ἀπὸ M ὀχλούμενον A 19 τῆς μανίας NA 19. 20 ἐδόκει — προεῖπεν om. B 19 τῆς ἀληθείας A τῇ ἀληθείᾳ Rei 20 τοῦ (alterum) om. NAB

κώτερον ἅμα τῷ πάθει, ὡς λοιπὸν σαφέστερον δηλοῦσθαι τὸν ἔρωτα. εἰς ὄρος γὰρ βούλεται προπέμπεσθαι πρὸς θέαν τοῦ ἐρωμένου, κυνηγετεῖν δὲ ἐπιθυμεῖ πρὸς συνομιλίαν τοῦ ποθουμένου. ἐνταῦθα δὲ δεῖ τὸν ὑποκρινόμενον κινῆσαι ἑαυτὸν καὶ σχήματι καὶ φωνῇ καὶ ἐν τῷ εἶμι πρὸς ὕλην ἀναπηδᾶν, ὡς αὐτῆς πορευομένης. τὸ δὲ ἑξῆς· πέμπετέ μ' εἰς ὄρος πρὸς θεῶν. μᾶλλον δὲ δι' ἐμαυτῆς πορεύομαι· [καὶ] κυνηγεσίων γὰρ ἐπιθυμῶ ὥστε κυσὶ μὲν συρίσαι, ἐπὶ θῆρας δὲ ὁρμᾶν, τὸ δὲ ἀκόντιον ἀνατείνασαν ῥῖψαι: — MNAB

216 ἵνα θηροφόνοι: ⟨τρέχουσι περιπατοῦσιν ἀνιχνεύουσιν οἱ κύνες τὰ θηρία⟩ φονεύοντες: — N

218 βαλιαῖς: ταῖς ποικίλαις τὴν δορὰν καὶ καταστίκτοις. ἢ ταχείαις, παρὰ τὸ βαίνειν ἅλις: — N

πλησιάζουσαι ἐπιπηδῶσαι, αἱ κύνες: — M[g]

219 ἔραμαι: ἀντὶ τοῦ ἐρῶ, παθητικὸν ἀντὶ ἐνεργητικοῦ. οἰκείως δὲ τῇ μεσότητι ἐχρήσατο: — AB

---

1 δηλοῦσθαι τὸν ἔρωτα] τὸν αἰνιγμὸν τοῦ ἔρωτος ἔξωθεν εἶναι σχηματισμοῦ B 2 εἰς ὄρος γὰρ] καὶ εἰς τὸ ὄρος B πρὸς] εἰς N 2. 3 κυνηγετεῖν — ἐπιθυμεῖ] καὶ εἰς κυνηγίαν B 3 τε A πρὸς τὴν ἐκείνου τοῦ ποθουμένου θέαν A 5 ὕλας B ὡς — ἑξῆς om. M αὐτῆς πορευομένης scripsi: αὐτῇ πορευομένη A αὐτὴ πορευομένη NB post ἑξῆς add. οὕτως B 6 δι' om. M 6—8 πορεύομαι — ῥῖψαι] horum loco habet B ἄπειμι εἰς ὕλην καὶ πρὸς τὰς πεύκας ὅπου εἰσὶ τὰ κυνηγέσια καὶ ὅπου αἱ κύνες τρέχουσι ταῖς ἐλάφοις πρὸς τὸ ἐπιπηδᾶν πλησιάζουσαι. ἐπιθυμῶ κυνηγετικὴν τέχνην ἀναδέξασθαι καὶ κυσὶ μὲν συρίζειν ἐπὶ θῆρας δὲ ὁρμᾶν καὶ τὸ ἀκόντιον πρὸς τὴν κεφαλὴν ἀνατεῖναι τὸ δὲ σίδηρον αὐτοῦ ταῖς χερσὶ κατέχουσα οὕτως ἀκοντίζειν. οἱ μὲν ἀκοντίζοντες τὴν χεῖρα ἄνω πρὸς τὴν κεφαλὴν ἀνατείνουσι, τὸ δὲ σίδηρον τοῦ ἀκοντίου πρὸς τὸν κρίκον τοῖς δυσὶ δακτύλοις τοῖς μέσοις κατέχοντες οὕτως ῥίπτουσιν. ἄριστα δὲ τῶι λεπτομερεῖ τῆς φράσεως μιμεῖται τὸ τῶν ἐρώντων ἦθος, ὅτε τινὸς ἐρῶντες τέχνηι [τέχνης Wil] ὑπογράφουσιν ὥσπερ ζωγράφοι τῆι λεπτολογίαι ἐκείνην τὴν τέχνην καὶ τὰ αὐτῆς ὄργανα, καὶ ὥσπερ οἱ εἰς ἐπίδειξιν αὐτῆς ἐρχόμενοι ἐρεθίζουσι τῶι λεπτομερεῖ τῆς φράσεως τὸν ἐρῶντα [ἔρωτα Wil]. καθόλου δὲ τοῦτο ἐπὶ τῶν ἐρώντων συμβαίνει: — 6 καὶ deleui 7 post μὲν add. τρέχουσι πατοῦσιν ἀνιχνεύουσιν οἱ κύνες τὰ θηρία N δὲ om. A ὁρμῆσαι A 8 καὶ τὸ A om. δὲ ἀνατείνασα A 9. 10 τρέχουσι — θηρία suppleui ex iis quae 8 falso intrusa sunt et Laur. 31,15 9 περιπατοῦσιν A[g] πατοῦσιν N 11. 12 cf. schol. Hec. 90 14 καὶ οἰκείως B om. δὲ 15 in fine add. B ἄκρως δὲ ἐρωτικὸν ἦθος ἀπεμάξατο τῆι λεπτομερεῖ τῆς ἐκφράσεως περιεργίαι. εἰς ὑπόμνησιν γὰρ ἐρχόμενοι τῶν ἐπιθυμουμένων καὶ μονονουχὶ ζωγραφοῦντες αὐτὰ τοῖς λόγοις ἔτι μᾶλλον τὴν ἐπιθυμίαν ἐξεγείρουσιν: —

221 Θεσσαλὸν ὅρπακ᾽: Θεσσαλῶν γὰρ εὕρεμα τὸ δόρυ. ἐπίλογχον δὲ βέλος αὐτὸ τὸ τιτρῶσκον σιδήριον, ὅπερ ὁ κρίκος ἐμβεβλημένος ἐν τῷ ξύλῳ συνέχει. διὰ τὸ ἐπὶ τῇ λόγχῃ κεῖσθαι, ὅ ἐστι τῷ ξύλῳ. οἱ γὰρ ἀκοντίζοντες τὸ σιδήριον τοῦ ἀκοντίου πρὸς τὸν κρίκον ἐν δυσὶ δακτύλοις κατέχοντες οὕτως ῥίπτουσιν: — MNAB

ἐπίλογχον ἔχουσ᾽: ἐπεὶ βέλος πᾶν τὸ βαλλόμενον, διέστειλεν εἰποῦσα ἐπίλογχον, ὅ ἐστι· βέλος ἔχουσα ἐν τῇ χειρὶ λόγχην ἔχον, ἵνα σημάνῃ τὸ ἀκόντιον: — MNAB

223 κηραίνεις: μεριμνᾷς φροντίζεις, ἐν τῷ κέαρι ἔχεις. ἢ ἐπὶ βλάβῃ ἔχεις. κὴρ γὰρ ἡ θανατηφόρος μοῖρα: — AB$^i$

224 τί κυνηγεσίων: ἀντὶ τοῦ ἐπιμελείας. τουτέστιν· τί σοι περὶ κυνηγίας μέλει. τί, φησίν, ὦ τέκνον, καὶ σοί, καθάπερ τοῖς ἀνδράσι, δεῖ μελετᾶσθαι τὰ κυνηγέσια· τί δὲ καὶ τὸ τυχεῖν κρηναίων ⟨ὑδάτων⟩ ἐν ἔρωτι μεγάλῳ τίθεσαι. εἰ μὲν γὰρ ἀληθῶς ἐπιθυμεῖς, πάρεστιν ἐπὶ τῶν οἴκων δροσώδης καὶ ψυχρὰ ἀνάκλισις πέτρας, ὅθεν σοὶ ποτὸν ἂν γένοιτο καὶ τὸν πόθον ἐκπληρώσαις. εἰ δ᾽ οὐ βούλει, τί καὶ τοῦτο ἐν ἔρωτος τάξει ἄγεις: — MNAB

225 ῥευμάτων: — M$^g$A$^g$B$^i$

226 πύργοις συνεχής: ἄφθονος τοῖς ὕδασιν. ὁ δὲ νοῦς· εἴπερ ὅλως ὕδατος ἐπιθυμεῖς, πάρεστιν ἐπὶ τῶν οἴκων δροσώδης [καὶ ὑψηλὴ πέτρα] κλιτύς, ὅ ἐστιν ἀνακεκλιμένη καὶ ψυχρὰ πέτρα, συνεχὲς ὕδωρ στάζουσα: — MNAB

ἐγγύς: — M$^g$A$^g$B$^i$

228 δέσποινα: Λίμνη γυμνάσιον ἐν Τροιζῆνι, ὡς καὶ ἑξῆς [1133]

---

2 σίδηρον NA 2. 3 ὥπερ — συνέχεται M 4 ἄκοντοσ MNA 5 ῥίπτουσιν οὕτωσ MNA 6 ἐπειδὴ N 7 τὴν λόγχην NAB 9. 10 cf. Hesych. κηδαίνει· μεριμνᾷ. κηραίνει· φθείρει μεριμνᾷ φροντίζει δυσθανατεῖ. κηραίνειν βλάπτειν. κηραίνοντα βλάπτοντα. praeterea cf. Hesych. s. u. κηρ Apollon. soph. p. 99,12 lex. Bachm. p. 277,25 et. m. p. 511,22 Gud. p. 320,4 Cram. an. Paris. 4 p. 34,2 Zon. p. 1206 Apion. gloss. Hom. p. 607,43 Suid. s. u. κηρ 12 κυνηγεσίων M 13 δεῖ μελετᾶσθαι ego δεῖ μελετᾶν MN μελετᾶται AB δεῖ μέλειν Wil τὰ κυνηγεσια AB κυνηγεσίων M κυνηγεσίαν N τὸ] τοῦ MN ὑδάτων addidi ἐν om. A 14 τίθεσθαι M πίθεσθαι N 15 δροσώδεισ καὶ ψυχαὶ ἀνακλίσεισ N 16 καὶ τί καὶ N 17 ἄγεισ Laur. 31, 15 λέγεισ MNA 18 Hesych. νασμῶν ῥευμάτων 20 ἐπιθυμεῖσ ὑδάτων AB τῷ οἴκῳ N τὸν οἶκον A 20. 21 πέτρα καὶ ὑψηλὴ N deleui 21 ψυχρά Wil ὑψηλὴ MAB ὑψηλὴν N συνεχῶσ N 23 init. add. ἐπὶ τῶν πύργων A$^g$B$^i$ 24 ἐν τοῖσ ἑξῆσ AB

φησὶ τὸν ἀμφὶ Λίμνης τροχόν. ὁ δὲ νοῦς· ὦ δέσποινα τῆς ἰσοπέδου Λίμνης καὶ τῶν ἐν αὐτῇ γυμνασίων τῶν ἱπποκρότων. ἐπεύχεται δὲ λοιπὸν τῇ οἰκείᾳ θεῷ τῶν κυνηγεσίων, ὥστε τοῖς τοῦ ἐρωμένου ἐπιτηδεύμασι χρήσασθαι πρὸς τὸ αὐτῷ συναναστρέφεσθαι καὶ συνδιαιτᾶσθαι. τῆς δὲ θαλάττης φησὶν αὐτὴν δεσπόζειν, ὡς καὶ Ἡσίοδος [theog. 413]· 'μοῖραν ἔχει γαίης τε καὶ ἀτρυγέτοιο θαλάσσης'. ἢ ἐπεὶ Λιμνᾶτις ἡ Ἄρτεμις τιμᾶται: — MNAB

229 ἱπποδρόμων: — M[g]

231 πώλους Ἐνέτας: ταῦτα ἀνακεχρόνισται. οὐδέπω γὰρ Ἕλληνες Ἐνέταις ἐχρῶντο ἵπποις. οἱ γὰρ Ἐνέται Παφλαγονίαν τὸ πρῶτον οἰκοῦντες εἰς τὸν Ἀδρίαν ὕστερον διέβησαν. πρῶτος δὲ Λέων Λακεδαιμόνιος πε ὀλυμπιάδι ἐνίκησεν Ἐνέταις ἵπποις, ὡς Πολέμων [frg. 22] ἱστορεῖ, καὶ ἐπέγραψε τῇ εἰκόνι· Λέων Λακεδαιμόνιος ἵπποις νικῶν Ἐνέταις Ἀντικλεΐδα πατέρος: — MNAB

---

2 ἰσοπέδου] cf. Harpocr. p. 11,17 [cf. Suid. s. u. ἀλίπεδον lex. Bachm. p. 67,5 et. m. p. 64,45 Gud. p. 35,50] ἀλίπεδον ... ἤτοι ὁμαλὸν πεδίον καὶ τετριμμένον καὶ οἷον ἀλῃλεσμένον.. Zon. p. 134 ἀλίπεδον τὸ ὁμαλόν. οὕτως εὗρον παρὰ τῷ Ψελλῷ 3 τῇ οἰκείᾳ λοιπὸν M 3. 4 τὰ — ἐπιτηδεύματα AB 5 post θαλάττης add. καὶ τῆσ γῆσ MN καὶ om. M 6 τε om. NA 7 λιμνὴ τίσ N λιμνῶτισ AB ἄρτεμισ MN τιμᾶται om. AB cf. Paus. 2, 30, 7 Σάρων ... τῇ Σαρωνίδι τὸ ἱερὸν Ἀρτέμιδι ᾠκοδόμησεν ἐπὶ θαλάσσῃ τελματώδει καὶ ἐπιπολῆς μᾶλλον ὥστε καὶ Φοιβαία λίμνη διὰ τοῦτο ἐκαλεῖτο 9—14 Eust. p. 361, 22 μέμνηται δὲ καὶ Εὐριπίδης ἵππων Ἐνετικῶν Ἐνέτας ἐκείνους προενεγκών. αἰτιῶνται δ' ἐκεῖ τῆς τῶν τοιούτων ἵππων μνείας οἱ παλαιοὶ οὐκ εὔζηλον ἀναχρονισμὸν ὡς μήπω τότε παρ' Ἕλλησιν ὄντων Ἐνετῶν ἵππων, ἀλλ' αὐτῶν μὲν ὕστερον εἰς χρῆσιν ἐλθόντων, ὅτε πρῶτος Λέων Λακεδαιμόνιος ὀγδοηκοστὴν πέμπτην ὀλυμπιάδα νενίκηκεν Ἐνέταις ἵπποις μετ' ἐπιγράμματος, τοῦ δὲ Εὐριπίδου ἀναχρονίσαντος τὴν τοιαύτην ἱππείαν εἰς τὰ ἡρωικά. Steph. Byz. p. 270, 19 Ἐνετοί ... ᾤκουν περὶ Παφλαγονίαν Eust. p. 361, 10 Ἐνετοὶ ἔθνος περὶ Παφλαγονίαν.... Suid. Ἐνετοί ἔθνος Παφλαγονίας. schol. us. 1132. Strab. 12 p. 543 τὸ δὲ μάλισθ' ὁμολογούμενόν [cf. 13 p. 608] ἐστιν ὅτι ἀξιολογώτατον ἦν τῶν Παφλαγόνων φῦλον οἱ Ἐνετοί.... διέβησαν εἰς τὴν Θρᾴκην μετὰ τὴν Τροίας ἅλωσιν, πλανώμενοι δ' εἰς τὴν νῦν Ἐνετικὴν ἀφίκοντο. 1 p. 61 Ἐνετῶν ἐκ Παφλαγονίας ἐπὶ τὸν Ἀδρίαν 5 p. 212 cf. Liu. 1,1 Plin. 6,5 10 παφλαγόνεσ ἐνέται M τὸ πρῶτον N πρῶτον M πρότερον B om. A 11 οἰκοῦντεσ] ἐκαλοῦντο M εἰσ τὸν ἀδρίαν δὲ ὕστερον M ὕστερον ἐπὶ τὸν ἀδρίαν AB πρῶτος δὲ Λέων scripsi λέων δὲ πρῶτοσ NAB λέων δὲ M 12 ὀγδοηκοστῇ πέμπτῃ A πθ B ὀλυμπιάδοσ M 13 τῇ] ἐν B ἵπποις Wilamowitz *philol. Unters.* 1 p. 79 anapaestos agnoscens ἵπποισι MAB ἵπποισιν N νικῶ A 14 πατέρος Wilamowitz πατὴρ MNAB πατρός Preller

δαμάζουσα ἡνιοχοῦσα: — M[s]B[i]

232 τί τοῦτο τὸ ῥῆμα μωραίνουσα πάλιν εἶπας: — M[s]B[i]

233 νῦν δὴ μὲν ὄρος: ἀρτίως μὲν εἶχες ἔρωτα εἰς ὄρος ἀπελθεῖν καὶ ἐπὶ θήρας πόθον ὥρμας καὶ κυνηγεσίων· πάλιν δὲ νῦν ἐν σταδίοις πώλων δρόμου ἐπιθυμεῖς καὶ ⟨τοῦ⟩ ἐπὶ ταύταις ὀχεῖσθαι γυμναστικῶς. τινὲς γράφουσι καὶ πόθον, δηλοῦντες ὅτι τὸν πόθον εἰς θήρας καὶ κυνηγέσια ἠφίεις: — MNAB

235 ἐπ' ἀκυμάντοις πώλων: ταῖς μὴ θαλασσίαις, ἀλλ' ἠπειρωτικαῖς, τουτέστιν τοῖς σταδίοις. ἢ τοῖς ἀνηνέμοις αἰγιαλοῖς, ἔνθα καὶ στάδια πολλάκις εἰσίν: — MB

237 ὅστις σε θεῶν: τοῦ καλῶς ἔχοντος ἀνθέλκει. ἀπὸ μεταφορᾶς τῶν ταῖς σειραῖς ἀνακρουομένων ἵππων καὶ τοῦ εὐθέος δρόμου παρεκβαλλομένων: — MNAB

ἄλλως: ἀνασειράζει: ἀνορούειν ποιεῖ ἀνερεθίζει. μεταφέρει δὲ ἀπὸ τῶν ἵππων, οἵ, ὅταν ἐπισπάσωνται τὰς ἡνίας, ἀναπηδῶσι καὶ κωλύονται τοῦ κατ' εὐθεῖαν δρόμου: — MNAB[i]

238 καὶ παρακόπτει φρένας: ἀντὶ τοῦ ἐλαττοῖ. ἀπὸ μεταφορᾶς τῶν παρακοπτομένων τὰ πτερὰ ὀρνέων, ἅπερ ἅμα τῇ τῶν πτερῶν τμήσει τὴν ἰσχὺν ἀποβάλλει καὶ παντελῶς ἀσθενῆ γίνεται: — MAB

240 ποῖ παρεπλάγχθην γνώμας: πάλιν καταστᾶσα ⟨ἐκ⟩ τῆς μανίας καὶ ἔμφρων γινομένη αἰσθάνεται ἑαυτὴν παραπαίσασαν καὶ

---

3 δὴ μὲν NB μὲν δὴ MA εἶχεν A 4 θῆρασ MA 5 τοῦ add. Wil ταύτασ NB 6 τινὲσ δὲ NB τὸν δὲ A γράφουσι om. A spatio uacuo rel. 8—10 scholio 3—7 adi. B initio add. ἐπ' ἀκυμάντοισ δὲ 8 πώλοισ M 11 τοῖς M ἐν B (bis) cf. lex. Bachm. p. 64,4 λέγεται δὲ ἀκύμων θάλασσα ἡ μὴ ἀνέμοις ταρασσομένη καὶ κυμαινομένη ἀνειμένοισ M 10 πολλά M 11—13 scholio quod praecedit adi. B initio add. ἀνασειράζει δὲ lex. Bachm. p. 85,10 = Suid. ἀνασειράζει ἀνθέλκει ἀνατρέπει Hesych. ἀνασειράζουσιν ἀνθέλκουσιν ἀνακόπτουσιν 11 post ἀνθέλκει add. καὶ ἀνακρούει B 12 παρὰ κρουομένων B 13 παραβαλλομένων MA πόρρω βαλλομένων N 14 Hesych. ἀνασειράζει ἀνορούειν [ἀνακρούειν cod.] ποιεῖ· Εὐριπίδης Ἱππολύτῳ στεφανηφόρῳ ἀνείργειν ποιεῖ M post δὲ add. τοῦτο B[i] 15 οἵ] οἷον M ἢ N ἐπισπῶνται N 16 εὐθέοσ A εὐθὺ B[i] 17—19 scholio 11—13 adi. B initio add. καὶ τὸ παρακόπτει δὲ 18 περικοπτομένων MAB 19 ἀποβάλλουσι B 21 ἀποστάσα M ἐκ addidi 22 παραπταίσαντι M παρατρέψασαν AB om. N καὶ om. N

μανιώδη φθεγγομένην. τὸ γὰρ τοῦ ἔρωτος ἐνδιδὸν τῇ ἡδονῇ τῶν λόγων καὶ ἐρεθιζόμενον ὥσπερ εἰς θέαν τῶν ἐπιθυμουμένων τῇ λεπτολογίᾳ εἰς τοῦτο μανίας ἐξήρχετο καὶ πάλιν εἰς ἔννοιαν καθισταμένη τῶν ῥηθέντων ἐσωφρόνει καὶ ἐπὶ τοῖς ῥηθεῖσιν ὠδυνᾶτο: — MNAB

243 σκέπασον: — $M^{g}$

245 διὰ τὰ λελεγμένα πρώην ὑπ' ἐμοῦ δάκρυα προσέρχεται τοῖς ὀφθαλμοῖς μου: — $MNAB^{i}$

247 τὸ γὰρ μετὰ τὴν μανίαν ὀρθοῦσθαι τὴν γνώμην ὀδυνᾷ λυπουμένην ἐπὶ τοῖς ἐν τῇ μανίᾳ ῥηθεῖσιν: — MNAB

ἄλλως: τὸ γὰρ ὀρθοῦσθαι ἐκ τῆς μανίας ὀδυνᾷ μεταμελουμένην ἐπὶ τοῖς ἐν τῇ μανίᾳ ῥηθεῖσιν. ὡς ἐν τῷ καθεστηκότι δίκας πρὸ αἰσθήσεως διδόναι: — NAB

τὸ ἐπιλογιζόμενον λυπεῖ: — $M^{i}$

248 τὸ δὲ μαινόμενον κακόν: αὐτὸ τὸ μανιῶδες κακὸν μέν, ὅτι ἃ μὴ βούλεται φθέγγεται, κρατεῖ δὲ καὶ ὑπερέχει τὸ μὴ αἰσθανόμενον ἀλλ' ἐν τῇ μανίᾳ ἀπολέσθαι. οὔτε γὰρ τῶν ἁμαρτημάτων ἐν τῇ μανίᾳ αἰσθάνεται οὔτε τοῦ θανάτου τὴν ἀλγηδόνα λογίζεται τῶν τοῦ βίου τερπνῶν ἀποστάς: — NAB

ἄλλως: ἀντὶ τοῦ· κακὸν μὲν τὸ μαίνεσθαι, ἀλλὰ κρατεῖ, τουτέστι κρεῖσσόν ἐστι καὶ ὑπερέχει, τοῦ μετὰ συνειδήσεως ἀποθανεῖν. ὡς εἴ τις λέγοι· λυσιτελές ἐστι μὴ γινώσκοντα ἀπολέσθαι, ὡς κρεῖσσον ὂν τοῦ τοιούτου βίου: — NAB

250 κρύπτω· τὸ δ' ἐμὸν πότε: ἐγὼ μέν, φησί, τὴν σὴν κε-

---

1 φθεγγομένην — ἡδονῇ om. N ἐνδιδὸν Wil ἐνδιδόμενον MAB 2 εἰς om. N 3 εἰσ ταυτομανίασ N ἐκ ταυτομανίασ M ἐκ μανίασ signo lacunae in mg. addito A πρὸσ ἐκφροσύνην B εὔνοιαν A 3. 4 καθισταμένων MN καθισταμένην A 4 ἐσωφρόνει — ὠδυνᾶτο om. M τοῖς ῥηθεῖσιν] τοῖσιν N 7 λεγόμενα A 11—13 scholio quod praecedit adi. AB om. τὸ γὰρ — ῥηθεῖσιν 12 ὡς] τὸ ὡσεὶ ego καὶ Wil πρὸ AB πρῖ N τῶν πρὶν ego τῆς Wil 14 τὸ ego τὸν $M^{i}$ ἐπιλογιζόμενον Wil ἐκλογιζόμενον $M^{i}$ 15 lemma ex N post αὐτὸ add. δὲ B 16 φθέγγονται N 16. 17 τὸ — μανίᾳ] τοῦ μετὰ συνειδήσεωσ B 17 οὔτε] οὕτω οὐδὲ N 18 κακία A οὐδὲ NA 20 initio add. τὸ δὲ μαινόμενον AB τὸ] τι N 20. 21 habet $M^{i}$ ἀντὶ τοῦ κρεῖσσον ἐστὶ καὶ ὑπερέχει τὸ μετὰ συνειδήσεωσ ἀποθανεῖν: — 21 ante τοῦ add. τοῦτο N 22 λέγει N κρεῖσσον ὂν Wil κρείσσονοσ ὄντοσ NAB 24 lemma ex A

φαλὴν αἰδουμένη ἐπὶ τοῖς εἰρημένοις σκεπάζω, πότε δὲ καὶ τὸ ἐμὸν σῶμα ὀδυνηρῶς ἔχον πρὸς τὸν βίον ὁ θάνατος κρύψει: — M$^1$AB

252 οὐ γὰρ μόνη ἡ σοφία διδάσκει, ἀλλὰ καὶ ἡ πολυπειρία τῶν πραγμάτων: — MB$^1$

⟨ὁ⟩ μακρὸς χρόνος καὶ τὸ γῆρας: — M$^1$

253 ἔδει, φησίν, τοὺς ἀνθρώπους μεμετρημένως φιλεῖν καὶ μὴ εἰς ἄκρον ἐξέρχεσθαι τοῦ στέργειν, ἀλλ' ὥστε εὐκόλως ἐκβάλλειν τὸ τῆς ὀρέξεως φίλτρον καὶ πάλιν ἐπαυξῆσαι. ὥστε ποτὲ μὲν ἐλασσοῦν, ποτὲ δὲ αὔξειν τὰ φίλτρα τῆς ψυχῆς. οἱ γὰρ ἄγαν στέργοντες διπλασίως κάμνουσιν, ὑπέρ τε τῆς ἑαυτῶν σωτηρίας καὶ τῆς τῶν φίλων φροντίζοντες: — MNAB

254 ἀναμιγνύναι: — M$^g$A$^g$

255 καὶ μὴ πρὸς ἄκρον: τὸν ἐσώτατον τόπον. τροπικῶς δὲ εἶπεν ὡς ἐπὶ σώματος καὶ ὀστέου τὸ βάθος τῆς ψυχῆς. παραινεῖ δὲ μὴ πρὸς ἄκρον ποιεῖσθαι τὰς φιλίας, ἵνα καὶ πρὸς ἀπόστασιν εὐλύτως ἔχωμεν. στέργηθρα δὲ τὰς φιλίας, τὰς ἀγάπας: — NAB

256 εὐκόλως λύεσθαι δυνάμενα: — M$^g$A$^g$

257 τὴν ἀπὸ πρόθεσιν πρὸς τὸ ὤσασθαι: — NA

καὶ ἀπώσασθαι τὰς ἀγάπας καὶ φίλον εἶναι: — M$^1$

258 τὸ δ' ὑπὲρ δισσῶν: χαλεπόν ἐστι, φησί, τὸ μίαν ψυχὴν λυπεῖσθαι ὑπὲρ δύο: — M$^g$NAB$^1$

260 ὑπὲρ ταύτης λυποῦμαι: — M$^1$A$^g$

261 βιότου δ' ἀτρεκεῖς: τὸ δὲ τῶν κατὰ τὸν βίον τι πραγμάτων ἀκριβῶς καὶ πρὸς ἀκρίβειαν ἐπιτηδεύειν οὐκ ἀσφαλές. ἀντὶ τοῦ· εἰ ἐπιτηδεύεται πρᾶγμα ὁτιοῦν ὑπεράγαν, πάντως ἐπιλήψιμόν τι ἐν

---

1 ante σκεπάζω add. κρύπτω καὶ B δὴ MA 2 τὴν βίαν A 3 post ἀλλὰ ins. καὶ ὁ πολὺσ καὶ μακρὸσ χρόνοσ B$^1$ 3. 4 τῶν πραγμάτων om. B$^1$ 6 ἔδει γὰρ N 7 ἐκβάλλειν εὐκόλωσ N εἰσβάλλειν A 8 Hesych. στέργηθρον φίλτρον ... ἐλασσοῦσθαι A 9 τῆσ ψυχῆσ φίλτρα AB 13 lemma ex NA 14. 15 παραινεῖ — μὴ om. N 18 scholio 13—16 adi. NA add. δὲ post τὴν N πρόθεσιν om. A 19 ἀπώνασθαι τὰσ ἀπάτασ M$^1$ 20 lemma ex NA 23 lemma ex N initio spatium dimidiae lineae uacuum relictum N 23. 24 τὸ — ἀσφαλές om. M sed habet M$^1$ 23 τῶν om. N βίον τι] βίοτον A 24 καὶ πρὸς ἀκρίβειαν om. B 25 εἰ ἐπιτηδεύεται Wil ἐπιτηδεύσει M εἰ ἐπιτοδεύσει N εἰ ἐπιτηδεύση A εἰ ἐπιτηδεύει τισ B ὁτιοῦν Wil ποιεῖν MNAB ἐπιλείψιμον MA

αὐτῷ εὑρίσκεται. ἐπιτηδεύσεις δέ φησιν τὰς τῇ ὑπερβολῇ τῆς συνηθείας ἀνενδεεῖς. καθόλου δὲ τὰς ἀληθεῖς καὶ εἰς ἄκρον ἐκβαινούσας τῆς ἀληθείας μελέτας [ἐπιτηδεύσεις] φασὶν οἱ σοφοὶ μὴ μόνον σφάλλειν, ἀλλὰ καὶ πρὸς ὑγίειαν ἐμποδίζειν: — MNAB

ἀτρεκεῖς ἐπιτηδεύσεις: ἀντὶ τοῦ· λίαν βλαβερὰς εἶναι. ὡς εἴ τις ἐπιμελείᾳ καὶ διηνεκεῖ ἀσκήσει χρῷτο λόγων ὡς κατὰ μηδὲν ὑπείκειν, οὗτος εἰς ἄλογόν τι ἐκπίπτει ἐν τῷ λόγῳ καὶ εἴς τι μανιῶδες· ἀλλὰ καὶ τῷ σώματι [καὶ τὸ σῶμα] εἰς νόσον κατακλίνεσθαι φέρει τὸ ἀεὶ τῆς ἀσκήσεως χάριν τὰ αὐτὰ ποιεῖν: — NAB

ἄλλως: φασὶ δὲ τὸ πᾶν ἐν τῷ βίῳ πρᾶγμα ἀληθῶς καὶ ἀκριβῶς ἐπιτηδεύειν βλάπτειν μᾶλλον ἢ ὠφελεῖν. δεῖ γάρ τι καὶ καθυποκρίνασθαι: — NA

ἀτρεκεῖς: ἀνενδεεῖς τελείας. ἐχρῆν γάρ, φησί, τοὺς ἀνθρώπους συμμέτρως ἀλλήλους φιλεῖν καὶ μὴ ἄγαν, ὥστε καὶ ⟨τὸ⟩ σῶμα κατατήκειν καὶ μὴ δύνασθαι διαλῦσαι τὴν φιλίαν: — NB

264 οὕτω τὸ λίαν ἧσσον: ἀντὶ τοῦ· οὐδὲ ὅλως οὕτω τὸ λίαν ἐπιτηδεύειν ἐπαινῶ, ὡς τὸ μηδὲν ἄγαν, τουτέστι μὴ λίαν, ἐπιτηδεύειν· καὶ συγκαταθήσονταί μοι πάντες οἱ σοφοί: — NAB

ἄλλως: οὕτω τὸ λίαν ἔλαττον ἐπαινῶ τοῦ μηδὲν ἄγαν καὶ μεμετρημένου, καὶ μάρτυρες ἔσονται οἱ σοφοί, εἴπερ ἑνὸς τῶν ἑπτὰ σοφῶν ἐστιν ἀπόφθεγμα τὸ μηδὲν ἄγαν, ὅπερ Χίλωνι ἀνατιθέασιν, ὡς Κριτίας.

---

1 εὑρίσκεσθαι M  1. 2 ἐπιτηδεύσεις — ἀνενδεεῖς om. M  post φησιν add. τὰς μελέτας B  τῆς om. A  2 ἐνδεεῖσ NA  inde a καθόλου nouum schol. incipit M  καθολικῶσ A  3 ἐπιτηδεύσεις deleui  post σοφοὶ add. ἃσ B  post μόνον add. δὲ N  4 ὑγείαν NA  in fine add. εἰρήκασιν B  5—9 scholio quod praecedit adi. B om. ἀντὶ τοῦ λίαν βλαβερὰς εἶναι  5 ἀντὶ — εἶναι mutila  post εἶναι ins. καθόλου δὲ τὰσ ἀληθεῖσ καὶ εἰσ ἄκρον ἐκβαινούσασ τῆσ ἀληθείασ ἐπιτηδεύσεισ φασὶν οἱ σοφοὶ σφάλλειν A  6 καὶ om. B  ἀσκήσει scripsi κτήσει NA om. B  λόγων Wil λόγω NA τῶι λόγωι B  7 οὕτωσ NA  ἄλογόν Wil ἄλλο NAB  ἐμπίπτει A  ἐν om. B  ἀλλὰ καὶ τῷ σώματι ante οὕτως coll. NA om. B  8 καὶ — σῶμα del. Wil  φέρει σοι N  8. 9 τὸ — ποιεῖν om. B  8 ἀεὶ Rei αὐτὸ NAB  10 τὸ πᾶν scripsi πᾶν τὸ NA  13—15 scholio p. 37, 6—11 adi. B om. ἀνενδεεῖς τελείας  13 γὰρ N οὖν B  14 τὸ om. NB  15 δυνατὸν λύεσθαι B  16 lemma ex N  17 ante μὴ add. καὶ AB  19—22 οὕτω — Κριτίας om. M  20 σοφῶν τῶν ἑπτὰ N  21 εἶναι A  χρητίασ AB

καὶ Πίνδαρος [frg. 216]· 'σοφοὶ δὲ καὶ τὸ μηδὲν ἄγαν ἔπος αἴνησαν περισσῶς': — MNAB

τὸ μηδὲν ἄγαν οἱ μὲν Χίλωνι τῷ Λακεδαιμονίῳ ἀνατιθέασιν, ὡς Κριτίας [frg. 13], οἱ δὲ Σωδάμῳ, ὡς τὸ ἐν Τεγέᾳ ἐπίγραμμα δηλοῖ·

ταῦτα ἔλεγεν Σώδαμος Ἐπηράτου, ὅς μ' ἀνέθηκεν·
μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά.

ὁ δὲ Θεόφραστος· 'ὡς τὰ Σισύφου λεγόμενα καὶ Πιτθέως, οἷον μηδὲν ἄγαν, μηδὲ δίκαν δικάσῃς': — MNAB

† ἄλλως: προτιμῶ τὸ μηδὲν ἄγαν. ἢ ἀντὶ τοῦ ἔλαττον, οἷον· πλεῖον ἐπαινῶ τὸ μηδὲν ἄγαν παρὰ τὸ ἄγαν: — A

266 Χίλωνος γάρ ἐστι τὸ μηδὲν ἄγαν: — M$^1$A$^g$

συμμαρτυρήσουσι: — M$^1$A$^g$

267 γύναι γεραιά: διὰ τούτου ἔδειξεν ὅτι ὤφειλε θαρρηθῆναι τὰ κατὰ τὴν Φαίδραν, γυναῖκα αὐτὴν ἀποκαλέσασα (γυναιξὶ γὰρ μᾶλλον αἱ γυναῖκες θαρροῦσιν τὰ καθ' ἑαυτὰς) ἄλλως τε καὶ γηραιὰν καὶ πιστὴν τροφόν: — B

βασιλίσσης: — M$^g$A$^g$

269 ἄσημον, οἷον ἄγνωστον. οὕτω δ' εἰώθασι χρῆσθαι Ἀττικοὶ πληθυντικοῖς· ὡς καὶ Θουκυδίδης [1, 125] 'ἀδύνατα ἦν', ἀντὶ τοῦ ἀδύνατον: — MAB

---

1. 2 σοφοὶ — περισσῶς om. AB  1 μηδ' M  ἔποσ ἤνησαν M ἐπήνεσαν N  3—8 scholio quod praecedit adi. MNAB add. δὲ post τὸ M om. τὸ — Κριτίας AB  Clem. Al. strom. 1, 14 p. 351 P. πάλιν αὖ Χίλωνι τῷ Λακεδαιμονίῳ ἀναφέρουσι τὸ μηδὲν ἄγαν· Στράτων δὲ ἐν τῷ Περὶ εὑρημάτων [FHG II p. 369] Στρατοδήμῳ τῷ Τεγεάτῃ προσάπτει τὸ ἀπόφθεγμα. schol. Pind. Pyth. 2, 63 ὅμοιον δὲ τοῦτο τῷ ὑπὸ Χίλωνος ἐν Δελφοῖς γεγραμμένῳ ὅπερ τινές φασι Σωδάμου εἶναι. Diog. Laert. 1, 40 ἦν Λακεδαιμόνιος Χίλων σοφὸς ὃς τάδ' ἔλεξε· μηδὲν ἄγαν, καιρῷ πάντα πρόσεστι καλά cf. Wilam. comm. gramm. 2 p. 6
4 τὸ om. N  ἐπίγραφον M  5 ἔλεγε NAB  ἐπηρᾶτε A  ἀνέθηκε NAB  6 μηδ' ἐσ M  ἐν καιρῷ A  πρόσεστι καλά om. NA
7 οἳ A  8 μηδὲν διώκειν δέκσησ M  11 γάρ ἐστι M$^1$ φασὶν εἶναι A$^g$
18—20 scholio 13—16 adi. B initio add. ἄσημα δὲ et om. ἄσημον cf. Hesych. ἀσήμων ἀφανῶν ἀγνώστων  18 ἀντὶ τοῦ ἄσημον καὶ ἄγνωτον A  ἄγνωστα B  οὕτω δ' B οὐδ' M οὕτωσ A  εἴωθε B  κεχρῆσθαι MB  Ἀττικοί Dindorf ἀττικῶσ MAB  πληθυν$^{\tau\chi}$ A om. MB  19 ὡς om. A
18—20 schol. Thuc. ἀδύνατα ἀντὶ τοῦ ἀδύνατον Suid. ἀδύνατα εἶναι ἀντὶ τοῦ ἀδύνατον· πολλάκις γὰρ κέχρηται Θουκυδίδης τοῖς πληθυντικοῖς ἀντὶ ἑνικῶν, μάλιστα δ' ἐπὶ ταύτης τῆς λέξεως

ἀνεπίγνωστα ἀσαφῆ: — M$^{g}$

271 οὐκ οἶδ' ἐλέγχουσ': ὑπερβολὴν σπουδῆς ἐνέφηνε τὸ ἐλέγχουσα· τὴν γὰρ ἐπίμονον ἐρώτησιν ἔλεγχον ὠνόμασεν: — M$^{1}$NA

ἐρωτῶσα ἐρευνῶσα ἀνακρίνουσα, ὅπερ ἐστὶν ὑπερβολὴ ἐρωτήσεως: — MNAB

273 εἰς ταὐτὸν ἥκεις: εἰς ταὐτό μοι ἀγνοίας * * ἥκει ὅτι οὐκ ἀποκρίνεται οὔτε πρὸς ἀρχὴν οὔτε πρὸς τέλος: — NA

ἐὰν μὲν ἥκει, πρὸς τὴν ἀρχὴν ἐστὶν ὁ λόγος, ὅ ἐστιν· εἰς ταὐτὸν ἥκει ἡ ἀρχὴ τῷ τέλει. ὥσπερ γὰρ τὸ τέλος οὐχ ὁμολογεῖ, οὕτως οὐδὲ τὴν ἀρχήν. εἰ δὲ ἥκεις, πρὸς τὸν χορόν· ἐμοὶ εἰς ταὐτὸν τῆς ἀγνοίας ἥκεις: — M$^{1}$NAB

πάντα γὰρ σιγᾷ: ἀντὶ τοῦ· οὐκ ἀποκρίνεται οὔτε πρὸς ἀρχὴν οὔτε πρὸς τέλος: — NAB

274 ἀντὶ τοῦ· κατετάκη τὸ σῶμα. οὐκ ὀφείλει γὰρ κατατακῆναι; διὰ τοῦτο οὐκ ἐσθίει ἵνα ἀποθάνῃ: — MB

λελέπτυνται: — M$^{g}$

276 ἀρά γε ἰσχύουσα φαγεῖν οὐ τρώγει διὰ τὸ θέλειν ἀποθανεῖν, ἢ κἂν βούληται, οὐ δύναται ὑπὸ τῆς νόσου: — A

βλάβης παραφροσύνης. ἢ τῆς ὀδύνης τῆς κακώσεως: — MA

278 ἀντὶ τοῦ εὐδοκεῖ ἀρέσκει. ὁ δὲ λόγος· εἰ ταῦτα ἀρέσκει τῷ ἀνδρὶ αὐτῆς: — MA

281 εἰς Πυθίαν ἦν θεωρός: — M$^{g}$A$^{g}$B$^{1}$

283 ἀντὶ τοῦ ἔκστασιν: — M$^{1}$A$^{g}$

284 πολλοὺς ἐμηχανησάμην τρόπους καὶ οὐκ ἠδυνήθην μαθεῖν: — MA$^{g}$B$^{1}$

---

2 lemma ex NA 4 ἀνακρίνουσα ἐρευνῶσα A ἀντὶ τοῦ κρίνουσα N ἅπερ M 4. 5 ἐρωτήσεως] τὴν γὰρ ἐπίμονον ἐρώτησιν ἔλεγχον ὠνόμασεν B 6 lemma ex N εἰσ ταυτὸν ἥκει A lacunam indicaui, suppleas ἥκεις. ἢ εἰς ταὐτὸ 7 οὐδὲ (bis) N τὶ τέλοσ N 8—11 scholio quod praecedit adi. NA 8 add. γὰρ post μὲν A post ἥκει add. γράφηται B ὅ ἐστιν om. M$^{1}$ 9 γὰρ om. B post οὕτως add. οὖν M$^{1}$ οὔτε N 11 ἡμεῖσ M ἥκει A in fine add. ἢ εἰσ ταυτό μοι ἀγνοίασ ἥκει B 12 ὅ ἐστιν B ἀρχὰσ N 13 τέλη N 14. 15 scholio 12. 13 adi. B init. add. τὸ δὲ ἀσθενεῖ τέ καὶ κατέξανται δέμασ 14 ἀντὶ τοῦ γὰρ M οὐκ—γὰρ] πῶσ δὲ οὐκ ὤφειλε B 15 post κατατακῆναι add. τριταία οὖσα τρίτην ἡμέραν ἔχουσα ἄγευστοσ B 15 διὰ—ἀποθάνῃ om. B 17 lemma πῶσ δ' οὐ τριταία A 19 Hesych. ἄτη βλάβη Suid. Zon. p. 334 et. Gud. p. 89,54 ἄτη ἡ βλάβη cf. Apollon. soph. p. 46,11 [Apion. gloss. Hom. p. 603,41 et. m. p. 163,48] et. m. p. 40,16 Gud. p. 33,35. 88,51. 90,14

285 γράφεται τὴν ἐμὴν προθυμίαν: — B[g]

288 ἄγ', ὦ φίλη παῖ: ἀπέτεινε πάλιν τὸν λόγον πρὸς τὴν Φαίδραν. ἄλλο δῆθεν εἶδος μετιοῦσα νουθεσίας. τὸ γὰρ παραινέσει πείθειν βέλτιον ἢ ἐπαχθέσι ῥήμασιν * εἰπεῖν τὴν πρόφασιν: — NAB

ἄλλως: ἄγε οὖν, ὦ φίλη παῖ, ἀμφότεραι ὅπως ἐπιλαθώμεθα τῶν προειρημένων, καὶ σύ τε ἡδίων καὶ πρᾳοτέρα γενήσῃ καὶ δέξῃ τὴν παραίνεσιν ἐγώ τε, ὅπου ἔδοξα τὸ πρὶν ἐπαχθής τις εἶναι, [ἕως] τούτου τοῦ μέρους ἀποστᾶσα ἐπ' ἄλλην πορεύσομαι κρείττω νουθεσίαν: — NAB

290 τὴν συνηγμένην καὶ σκυθρωπάζουσαν: — MNAB[1]

τουτέστι· τὴν στυγνότητα τοῦ προσώπου ἄφελε καὶ τῆς χαλεπῆς γνώμης ἐκείνης παῦσαι: — MNAB

τὴν στυγνὴν τῆς ἀφροσύνης: — MB

291 ἐγώ θ' ὅπῃ: ὅπου οὐ καλῶς ἠκολούθουν σοι τῇ παραινέσει, ἀποστᾶσα ἀπὸ τούτου ἐπὶ νουθεσίαν πραεῖαν μετέρχομαι: — MNAB

εἴ τι, φησί, τὸ πρότερον ἐλύπουν σε τῷ συνεχεῖ τῆς ἐρωτήσεως, τὰ νῦν ἐπὶ τὸ κολακεύειν σε τραπήσομαι: — NAB

294 συνδιοικήσουσιν ἀποκαταστήσουσι θεραπεύσουσι τὴν μοιχείαν: — MNAB

συμπράξουσι συνεργήσουσι. γυναῖκες γὰρ οὖσαι ἐν ταῖς τοιαύταις συμβάλλονται νόσοις, αἱ μὲν πειραθεῖσαι, αἱ δὲ προσδοκῶσαι πείσεσθαι. καὶ γὰρ εὐεπίβατον ἄγαν εἰς τὰ τοιαῦτα τὸ τῶν γυναικῶν γένος. ἔοικε δὲ λέγειν ἔρωτας ἢ τοιοῦτον ἀπόρρητον. ἢ οὕτως· μὴ ἐρᾷς τινος καὶ οὐ θέλεις εἰδέναι τινά: — MNAB

295 ἀντὶ τοῦ ἀνακοινωτέος. εἰ ἡ νόσος σώματος ἦν ἢ ἐνόσεις: — M

εἰ δὲ δύνανται καὶ ἄρρενες ἀκοῦσαι τὴν συμφοράν: — M[1]B

---

2 lemma ex NB τὸν λόγον πάλιν AB 3 μετροῦσα A ἀνέσει NA 4 lacunam indicaui, suppleas e. g. βιάζεσθαι 5—8 scholio quod praecedit adi. NB 5 οὖν om. AB 6 τε Wil γε NAB γένῃ NA καὶ NA εἰ B τὴν] καὶ A 7 ἕως deleui 8 ἀποστᾶσα — νουθεσίαν habet M[1] κρείττονα M[1] 9 cf. schol. us. 172 10. 11 scholio quod praecedit adi. NA scholio 12—14 B 12 στυγνὴν ὁδὸν Rei στυγνὴν ἐκ Wil 13. 14 scholio quod praecedit adi. MB 13 lemma ex NA σου B 15. 16 scholio quod praecedit adi. NA 15 τὸ om. B 17. 18 scholio quod sequitur adi. B add. οὖν post συνδιοικήσουσιν 19—23 scholio quod praecedit adi. NA 20 συμβάλουσι A πείθεσθαι N 22. 23 ἀπόρρητον — τινά om. B ἢ — τινά om. M 24 ἀνακοινωτέου M 25 ἐνόσεις scripsi ἐνόσει M 26 initio add. ἀντὶ τοῦ ἐξελεγχθῆναι καὶ ῥηθῆναι δυναμένη τουτέστιν B τῆσ συμφορᾶσ B

299 πείθεσθαι, συντρέχειν, εἰς τὸ αὐτὸ χωρεῖν, συνῳδὰ τοῖς λόγοις μου πράττειν: — M

300 δεῦρ' ἄθρησον: δεῦρο εἰς ἐμὲ βλέψον, ἵνα κἂν διὰ τῆς ὄψεως αἰδεσθῇς με· εἶτα ὡς ἐκείνης μὴ ἐνατενιζούσης μηδὲ πραϋνομένης τῇ παραινέσει φησὶ πρὸς τὸν χορόν· μάτην, ὦ γυναῖκες, μοχθοῦμεν πείθειν ταύτην πειρώμεναι: — MNAB

302 εἰς δὲ τὸ πείθειν ὁμοίως ἄπεσμεν τοῖς πρὶν ῥήμασιν. ὥσπερ γὰρ δι' ἐκείνων οὐδὲν ἠνύσαμεν, οὕτως οὐδὲ διὰ τούτων: — MNAB

303 ἐχαυνοῦτο ἐμαλάσσετο. τὰ γὰρ βρεχόμενα μαλάσσεται. ἡ μεταφορὰ ἐκ τούτου. γράφεται δὲ τριχῶς· λόγοις ἐπείθετο, λόγοις ἐθέλγετο, λόγοις ἐτέγγετο: — M$^1$NAB$^1$

304 λοιπὸν ἀπεγνωκυῖα τὴν κολακείαν κνηστικοῖς αὐτὴν λόγοις ἐρεθίζει, φάσκουσα· ἴσθι ὅτι, ἐὰν θάνῃς μὴ ἀξιώσασα λόγου τὸν σὸν ἄνδρα, προδώσεις τοὺς σοὺς παῖδας. ἐκβληθήσονται γὰρ τῶν οἴκων. λοιπὸν πρὶν ἀποπληρῶσαι τὸν λόγον διὰ μέσου φησὶ πρὸς τάδ' αὐθαδεστέρα γίγνου θαλάσσης: — MNAB

ἀλλ' ἴσθι μέντοι: γίνωσκε προδιδοῦσα τοὺς σοὺς παῖδας, εἰ θανῇ: — M$^1$NAB

305 εἰ ἀποθάνοις: — M$^1$A$^B$

306 μὴ μετέχοντας καὶ δεσπόζοντας τῶν οἴκων: — M$^1$NAB$^1$

307 ἔσθ' ὅτε ἠθικῶς ὀμνύομεν κατὰ τῶν ἐχθρῶν, οὐ σεμνύναι αὐτοὺς βουλόμενοι, ἀλλ' εἰρωνευόμενοι. ἢ πρὸς πλείονα ἐρεθισμὸν κατ' ἐκείνης ὄμνυσιν, ἢ ἐπεὶ εἰώθασιν εἰρωνευόμενοι κατὰ τῶν ἐχθρῶν ὀμνύναι· ὡς καὶ Σοφοκλῆς ἐν Μυκηναίαις [frg. 136]· 'μὰ τὴν ἐκείνου

---

4 ἀτενιζούσησ NA 6 πειρώμενοι B 7. 8 scholio quod praecedit adi. B initio add. ἢ οὕτωσ 7 ὥσ N 9 λόγοισ ἐθέλγε lemma N λόγοισ ἐθέλγεθ' ἥδε lemma A 9. 10 ἐχαυνοῦτο — τούτου post 10. 11 γράφεται — ἐτέγγετο coll. B$^1$ om. δὲ post γράφεται et ante ἐχαυνοῦτο add. ἀντὶ τοῦ 9 Suid. τέγγει βρέχει μαλάττει ἡ om. M$^1$B$^1$ 10 μεταφορικῶς B$^1$ 9. 10 ἡ — τούτου aut mutila aut corrupta 10 γράφεται — τριχῶς om. M$^1$ διὰ τριῶν A 10. 11 λόγοις — ἐτέγγετο separatim habet M$^1$ 13 θάνη MA θανῆι B μὴ om. A λόγων A 15 πλὴν A 16 γίνου NA γενοῦ MB 17 lemma ex N 20 scholio quod praecedit adi. M$^1$ scholio 17. 18 NA κατέχοντασ M$^1$AB$^1$ τὸν οἶκον M$^1$ τῶν πατρώων οἴκων A 21 τὰ ἤθικα M εἰδικῶσ N τῶν om. A 22 αὐτὰ M αὐτοῖσ οὖσ A εἰρωνεύομεν A πλείονα] τὰ λεγόμενα N 23 κατ' — ὄμνυσιν om. M ἐκείνου N ἐκεῖνο A οἱ εἰρωνευόμενοι B 24 καὶ om. NA μυκήναισ AB

δειλίαν. ἢ βόσκεται, θῆλυς μὲν αὐτός, ἄρσενας δ' ἐχθροὺς ἔχων': — MNAB

τὴν Ἀντιόπην λέγει: — $M^gA^g$

309 νόθον φρονοῦντα γνήσι': καθὸ φιλοσοφίαν ἤσκει, ὅπερ ἐστὶν ἐλευθέρων. τὸ δὲ οἶσθά νιν καλῶς * * προσέθηκε· πρὸς πλείονα γὰρ ὀδύνην αὐτὴν ἐκίνησεν, οὐκ ἀμφίβολον αὐτῇ τὴν γνῶσιν τούτου εἶναι λέγουσα: — $M^1$NAB

310 οἴμοι: ἀκούσασα ἡ Φαίδρα τοῦ ἐρωμένου τὸ ὄνομα θρηνητικὸν ἐπίφθεγμα εἶπεν: — $M^1NAB^1$

θιγγάνει σέθεν τόδε: καθήψατό σου, φησί, τῆς ψυχῆς καὶ λόγῳ μόνον εἰρημένον τὸ περὶ ὀρφανίας τῶν παίδων: — NAB

312 λίσσομαι σιγᾶν: τὸ ἑξῆς· καί σε πρὸς θεῶν λίσσομαι τὸ αὖθις, ὅ ἐστι τὸ μετὰ ταῦτα, περὶ ⟨τούτου⟩ τοῦ ἀνδρὸς μηδὲν φθέγγεσθαι: — $MNAB^1$

313 ὁρᾷς: διὰ τὸ μηδὲ λόγῳ ἀνέχεσθαι ἀκούειν ἀδικουμένους ὑπὸ τοῦ νόθου τοὺς παῖδας οὕτως ἤκουσεν ἡ τροφός: — $NAB^1$

314 Ἀκάμας καὶ Δημοφῶν τέκνα Φαίδρας καὶ Θησέως: — MNB

316 ἁγνὰς μέν, ὦ παῖ: οἶμαι ὅτι τοῦτον οὐκ ἐφόνευσας, διὰ τὸ εἰρηκέναι ἄλλῃ δ' ἐν τύχῃ χειμάζομαι: — NAB

318 διὰ φαρμακείας γεγενημένη. ἐπακτὴ γὰρ πημονὴ ἡ ἔξωθεν ἐπαγομένη γοητεία παρὰ τῶν ἐχθρῶν: — MNAB

μή τίς σοι, φησί, τῶν ἐχθρῶν ἐπάγει τι λύπης ἄξιον. ἆρά τινος ἐχθρῶν ἐπαγωγὴν μηχανησαμένου σοι; εἰώθασι γὰρ οἱ ἐχθροὶ

---

1 ἄρσενασ N ἄρρενασ MAB δὲ M om. N 4 lemma ex NA 4. 5 καθὸ — ἐλευθέρων scholio p. 42,21—1 adi. B initio add. νόθον δὲ φρονοῦντα 5—7 τὸ δὲ — λέγουσα separatim habent $M^1$B om. δὲ $M^1$ om. τὸ δὲ et add. τοῦτο post καλῶς B 5 lacunam indicaui, suppleas θαυμασίως 6 αὐτὴν ὀδύνην N αὐτοῦ A 7 τοῦτο $M^1$ ταύτῃ A 8 lemma ex NA ἡ φαίδρα A φησι $M^1NB^1$ 10 lemma ex N 10. 11 scholio 5—7 adi. B init. add. θιγγάνει δὲ σέθεν τόδε οἷον 10 φησὶ om. N καὶ om. A 12 lemma ex NA τὸ ἑξῆς om. M 13 τὸ om. A περὶ om. $B^1$ τούτου add. Rei 15 lemma ex N τὸ] τοῦτο N λόγου A 16 οὕτωσ — τροφόσ post ἀκούειν coll. N 17 παῖδε N παῖδεσ B θησέωσ καὶ φαίδρασ N 18 lemma ex NA 18. 19 scholio 10. 11 adi. B 20 in γεγενημένησ corr. M 21 post ἐπαγομένη add. καὶ ἐγγινομένη A 22 — p. 44,3 scholio quod praecedit adi. NAB 22 τῶν ἐχθρῶν φησὶ A τι om. N 23 ἐχθρῶν ἐπαγωγὴν scripsi ἔχθραν ἐπαγαγὸν N ἐχθρὰν ἐπαγω[γ] A ἔχθραν B μηχανησαμένου Wil μηχανησαμένησ NAB σοι scripsi σου NAB

ἐπαγωγάς τινας δαιμονίων ποιεῖσθαι ἐπὶ τὰς οἰκίας. ἢ οὕτως· μή τίς σε οὖν τῶν ἐχθρῶν ἐφάρμαξε, διὰ τὸ εἰρηκέναι φρὴν δ' ἔχει μίασμά τι: — NAB

319 φίλος μ' ἀπόλλυσ': τὸ μὲν φίλος πρὸς ἀντιδιαστολὴν ἐχθρῶν τινος, τὸ δὲ οὐχ ἑκών, ἐπεὶ οὐκ ἐκ προνοίας αὐτοῦ ὁ ἔρως: — NAB

320 ἐπειδὴ εἶπεν φίλος, λέγει· μήτι ἄρα ὁ Θησεὺς εἰς σὲ ἥμαρτεν: — MNAB

321 μὴ δρῶσ' ἔγωγ' ἐκεῖνον: εἴθε, φησίν, ἐγὼ μὴ ὀφθείην ἀδικοῦσα αὐτόν, ὡς ἐκεῖνος ἐμὲ οὐδὲν ἀδικεῖ: — NAB[1]

324 οὐ δῆθ' ἑκοῦσά γ', ἐν δὲ σοὶ λελείψομαι: ἀντὶ τοῦ· ἐνιζανοῦμαί σοι. ἢ οὕτως· ἐν σοὶ καταλειφθήσομαι: — NAB[1]

ἐξαρτηθήσομαί σου τῇ ἱκεσίᾳ. ἢ ἐν σοὶ τὸν βίον λείψω. εἰ μὴ ἄρα, φησί, μετά τινος ἀνάγκης, οὐ συγχωρήσω οὐδὲ ἀπολύσω: — MNAB

327 κάκ' ὦ τάλαινα: πρὸς ἀνατροπὴν τοῦ πυθέσθαι ἐπάγει δεύτερον τὸ κακά· κακόν ἐστί σοι, εἰ πεύσῃ τὰ σιωπώμενα κακά: — NAB

329 ὀλῇ: ἀπολῇ ἀκούσασα τὸ πάθος. οὕτως γὰρ δεινόν ἐστιν ὡς καὶ τοὺς ἀκούοντας φίλους διαφθείρειν: — NA

ὀλῇ· τὸ μέντοι: ἀπολῇ, φησίν, εἰ ἀναγκάσεις με λέγειν. ἐμοὶ δὲ τοῦτο, ⟨τὸ⟩ σιωπᾶν, τιμὴν ἀπονέμει, καθὸ οὐκ ἔκφορος εἰς πολλοὺς ἡ νόσος,

---

1 τινῶν AB  πολεῖσθαι A  2 οὖν om. B  2. 3 ἔχεται μιάσματι A  4 lemma ex NA  4—6 scholio quod sequitur adi. B add. οὖν post μὲν  5 τῶν ἐχθρῶν Laur. 31,15 ἐχθροῦ NAB  ante ὁ add. ἦν B  7. 8 scholio quod praecedit adi. NA pro ἐπειδὴ scripto ἐπεὶ δὲ  7 ἐπεὶ B  λέγει ἡ τροφὸσ A  ante ὁ add. ἄκων A  7. 8 ἡμάρτηκεν A  9 lemma ex NA  μὴ ἐγὼ B[1]  10 με A  11 lemma ex N  ἀντὶ τοῦ N ὅ ἐστιν A om. B[1]  12 οὕτωσ scripsi ὅτι NAB[1]  in fine add. δρᾶσ δὲ τὸ βούλει B[1]  13. 14 scholio quod praecedit adi. NA initio add. ἢ ὅτι N ἢ A  multa detrita in M  13 ἐξαρτῶμαι NA  post λείψω habet .... φασιν ἔχουσα M  14 ἀπολύσομαι B  16 lemma ex NA  initio add. ἤτοι NB  εἶπε A  17 τὰ N  κακόν — σοι] κακὰ οὖν ἐστιν B  19 ἀκούσασα τὸ A ἀκούσατο N  20 καὶ N ὁ A  21 — p. 45,2 scholio quod praecedit adi. NA  21 ἀπολῇ om. M  φησὶν om. A  εἰ μὲν A  με om. A  22 τοῦτο τὸ scripsi τοῦτο MNB τοσοῦτο A  ἀπονέμει] φέρει B  ἡ νόσοσ εἰσ πολλοὺσ γίνεται NA

ἀλλὰ συγκαταθάψω ἐμαυτῇ τὸ τῆς σωφροσύνης ὄνομα μέλλουσα ἐν σωφροσύνῃ τελευτᾶν: — MNAB

330 κἄπειτα κρύπτεις: ἐὰν μὴ ᾖ στιγμὴ εἰς τὸ χρηστά, ἐστὶν ὁ λόγος· κρύπτεις τὰ καλά, ἐμοῦ παρακαλούσης σε λέγειν αὐτά, τουτέστιν· ἐμοὶ τὰ τιμῆς σοι αἴτια ἐσόμενα οὐκ ἀξιοῖς ἀνακοινώσασθαι. ἢ οὕτως· κρύπτεις με, ἐμοῦ χρηστὰ ἱκετευούσης καὶ χρησίμως ἀξιούσης ἀνακοινοῦσθαί μοι καὶ ἐπὶ χρηστῷ: — NAB

331 ἐκ τῶν γὰρ ἐσθλῶν: ἐὰν εἴπω τὸ ἀγαθόν, εἰς αἰσχρόν μοι καθίσταται: — NA

εἰκότως κρύπτω, ἃ ἀπαιτεῖς με λέγειν. μέλλω γὰρ ἐκ τούτων τῶν ἐσθλῶν, δηλαδὴ τῆς ἐγκρατείας, εἰς αἰσχρὰ μεταβαίνειν, ὅ ἐστι φονεύειν ἐμαυτήν. ἐὰν μέντοι ᾖ λέγουσα ἡ γραῦς· χρηστά μου ἀναγκαζούσης λέγειν κρύπτεις με, ἀναλόγως ἐπιφέρει ὅτι ἐκ γὰρ τῶν ἀγαθῶν τούτων ὧν λέγεις, ὅ ἐστι τοῦ φανερῶσαι τὸ πάθος, ἐγὼ εἰς αἰσχρὰν ἐμπεσοῦμαι φήμην ἢ καὶ πορνεύειν ἀναγκασθήσομαι: — MNAB

ἄλλως: γράφεται ἐκ τῶν γὰρ αἰσχρῶν ⟨ἐσθλά⟩, ὅ ἐστι· πειρῶμαι γὰρ ἀπὸ πορνείας ἐκφυγεῖν, εἰς σωφροσύνην δὲ πηδῆσαι, διὸ ἐν σιωπῇ βούλομαι ἀποθανεῖν. καὶ ἔστιν αὕτη ἡ γραφὴ ἁρμοζομένη τῷ ἑξῆς· εἰ γὰρ κρύφα, φησίν, ἐξ αἰσχρῶν μηχανήσασθαι βουλεύῃ ἐσθλά, πόσῳ μᾶλλον θαυμασθήσῃ αὐτὴν τὴν βουλὴν σαφῶς διεξελθοῦσα. καθόλου γὰρ ἡ σαφὴς ἐπίδειξίς ἐστιν ἰσχυροτέρα. διὸ καὶ ἀπορήσασα

---

1 καταθάψω M μελλούσῃ N 2 in fine add. B ἢ οὕτωσ· ἐὰν μή μοι εἴπησ, ἀποθανῆι· τοῦ δὲ στερηθῆναί σου μεῖζον οὐκ ἔστι μοι κακόν. εἶτα φησίν, ἀπολοῦμαι, τὸ δὲ ἀπολέσθαι με τιμήν μοι φέρει. ἡ δὲ γραῦσ μὴ νοήσασα τὸ πρᾶγμα φησίν, εἰ τιμήν σοι φέρει τὸ πρᾶγμα, διὰ τί μὴ λέγεισ: — 3 lemma ex NA χρηστά] κρυπτὰ A 4 τουτέστιν A ἐστὶ N ὅ ἐστιν B 5 τὰ] τῆσ N ἐσομένη N γινόμενα A 6 μοι B 7 καὶ — χρηστῷ om. B 10—15 scholio quod praecedit adi. NA add. φησὶ post εἰκότωσ 10 γὰρ om. A 11 δῆλα δὲ M μεταλαμβάνειν MNA 12 ἑαυτήν A μοι A 13 ante λέγειν add. σε B μὲν M γὰρ om. A 14 ὧν λέγεις om. M τοῦ] τὸ A πεσοῦμαι B 16 — p. 46,2 scholio quod praecedit adi. B add. δὲ καὶ post γράφεται 16 γράφεται om. A ἐκ γὰρ τῶν ἐσθλῶν A ἐσθλά add. Dindorf 17 γὰρ B μὲν γὰρ N μὲν A ἐξελθεῖν A 18 ἁρμοζόμενον A τοῦ N 19 ἐχθρῶν N ἐσθλά N om. AB 20 θαυμάσῃ A αὐτὴν διελθοῦσα σαφῶσ τὴν βουλὴν A αὐτὴν τὴν βουλὴν διεξελθοῦσα σαφῶσ B 21 σαφὴσ] ἀφ' ἧσ A ἀπορρήσασα B

ἀντειπεῖν φησιν ἄπελθε πρὸς θεῶν δεξιᾶς τ' ἐμῆς μέθες. ὅμως γε μὴν ἡ προτέρα γραφὴ βελτίων: — NAB

332 οὐκοῦν λέγουσα: σεβασμιωτέρα ἐμοὶ φανῇ τὰ ἀπόρρητα μοι θαρροῦσα. ἢ σοφωτέρα, ὡς φίλοις θαρροῦσα τὴν συμφορὰν καὶ μὴ κρυπτῷ πάθει πολιορκουμένη. κατὰ γὰρ Μένανδρον σοφῶν ἀνδρῶν ἐστι τὸ τοῖς φίλοις λέγειν τὰ ἀναγκαῖα, ἐν οἷς φησι [frg. 925] 'λανθάνει τὰ πράγματα τοὺς λέγειν ἡμῶν ὀκνοῦντας τὰς ἀληθείας ἀεὶ τοῖς ἀναγκαίοις' καὶ τὰ ἑξῆς: — NAB

334 δῶρον οὐ δίδως ὃ χρῇν: ὃ ζητῶ, οὐ δίδως μοι. λέγει δὲ τοῦτο, ἐπεὶ οὐκ ἀνέχεται ὁμολογῆσαι αὐτῇ τί ἔχει: — M

335 ὀκνῶ τὴν σὴν ἱκεσίαν καὶ τὴν ἐκ ταύτης ὀργήν: — MB$^1$

336 σιγῷμ' ἂν ἤδη: τὸ τέλειον σιγῷμι· ἤδη σιγῶ, λοιπὸν ὀφείλεις σὺ λέγειν: — MNB$^1$

337 ὦ τλῆμον: αἰνιγματικῶς θέλει φράσαι τὸν ἔρωτα. πιθανώτατα δὲ ἅμα τῷ αἰνιγμῷ καὶ τὴν συγγνώμην ᾐτήσατο ὡς προγονικὸν κεκτημένη τὸ πάθος καὶ οὐκ ἰδίας φύσεως ἁμάρτημα: — MNAB

338 ὃν ἔσχε ταύρου: ἀντὶ τοῦ· ὃν εἰς τὸν ταῦρον ἔσχεν: — NA$^g$B$^1$

339 σύ τ' ὦ τάλαιν': Θησέως γὰρ ἠράσθη ἡ Ἀριάδνη, ἡ ἀδελφὴ Φαίδρας: — MA$^g$

340 συγγόνους κακορροθεῖς: κακολογεῖς λοιδορεῖς. ἐνόμιζε γὰρ αὐτὴν ὀνειδίζειν αὐταῖς τὰς νόσους: — M

343 ἐκεῖθεν ἡμεῖς: ἐκ τῆς καταγωγῆς τοῦ γένους δυστυχοῦμεν τὴν νόσον τοῦ ἔρωτος, ἀντὶ τοῦ· προγονικήν τινα δυστυχίαν δυστυχοῦντες τοῦτο πάσχομεν: — MNAB

---

1 ἀντεῖπεν N  δεξιὰν ἐμὴν μέθεσ N om. A  2 γε μὴν om. B  πρώτη B  βέλτιον A  3 lemma ex NA  3. 4 σεβασμιωτέρα — θαρροῦσα in fine coll. B add. λέγει οὖν ὅτι  3 ante ἀπόρρητα add. οὕτωσ B  μοι] μὴ N  4 ἢ om. B  5 κατὰ] καὶ A  σοφῶν ἀνδρῶν ἐστι post ἀναγκαῖα coll. A  6—8 ἐν — ἑξῆς om. NA  6 λανθάνειν B  9 ζητῶν M  11 ὀκνῶ om. B$^1$  τὴν om. M  ὀργὴν scripsi ὁρμὴν M ὁρμήν B$^1$  12 ἤδη σιγῶ om. N  12. 13 σὺ γὰρ ὀφείλεις N  14 φράσαι θέλει B  15 αἰνίγματι N  16 κεκτημένοσ M  τὸ ἁμάρτημα N  20 δ' in lemmate M  22 Hesych. κακορροθεῖ κακολογεῖ λοιδορεῖ ὑβρίζει  24 δυστυγῶ N δυστυχοῦμεν γράψον A  26 τοῦτο om. M

γράφεται καὶ νεωστί, ἵν' ᾖ· καὶ ἐκεῖθεν καὶ νεωστὶ δυστυχοῦμεν: — MNAB[1]

344 ⟨οὐδέν τι⟩ μᾶλλον: οὐ μᾶλλον οἶδα. τὸ δὲ οὐδέν παρέλκει: — MB[1]

οὐδὲν πλέον, σου ἐπεξεργαζομένης, ἔχω γνῶναι, ὃ βούλομαι ἀκοῦσαι, τουτέστι ⟨τὴν⟩ πρόφασιν τῆς νόσου. οὐδὲν μᾶλλον οἶδα ὃ βούλομαι ἀκούειν: — MNAB

345 πῶς ἂν σύ μοι λέξειας: ἐπεὶ παχυτέρα τὸν νοῦν οὖσα ἡ γραῦς τοῖς τοσούτοις αἰνιγμοῖς οὐ συνῆκε τὸ λεγόμενον ὑπὸ τῆς Φαίδρας, ἀγανακτοῦσα ἡ Φαίδρα φησί· πῶς ἂν δυνηθείης εἰπεῖν μοι ταῦτα ἃ ἔδει ἐμὲ ἀποκρίνασθαι καὶ πῶς μοι λέξεις ἃ μέλλω λέγειν. ἐπεὶ γὰρ πολυμερῶς αἰνιξαμένης ⟨αὐτῆς⟩ τὸ παχύτερον τοῦ λογισμοῦ τῆς γραὸς οὐκ ἐδυνήθη συμβαλεῖν, ἐρυθριῶσα τὸ πάθος ἐξειπεῖν εἰς τοῦτο ἀπορίας ἦλθεν, ὥστε ἐρωτᾶν ἅπερ αὐτὴν ἔδει λέγειν. τοῦτο δὲ καὶ τὸ αἰσχυντικὸν τοῦ γυναίου ὑποδηλοῖ καὶ τὸ κομματικὸν τῶν νοσούντων: — MNAB

κεκωμῴδηται [δὲ] ὁ στίχος ὑπὸ Ἀριστοφάνους [equ. 16] καὶ εἰς παροιμίαν μετῆκται: — B

347 τί τοῦθ' ὃ δὴ λέγουσιν: ἀγνοούσης δι' αἰνιγμῶν συμβάλλειν αὐτῆς λοιπὸν ἐρωτᾷ τὴν τοῦ ἔρωτος φύσιν, δηλοῦσα ὅτι ἔκ τινος

---

1. 2 scholio quod praecedit adi. NA add. δὲ post γράφεται N  1 νεωστὶ] οἱ νεωστὶ δυστυχεῖσ B[i]  καὶ ἐκεῖθεν om. N  καὶ (prius) om. M  5—7 scholio quod praecedit adi. M  5 ἐπεργαζομένησ B de M non constat  6 τὴν πρόφασιν Wil πρόφασιν M προφάσει NAB  οὐδὲ M  7 ἀκούειν post οἶδα coll. MNAB  8—15 ita disponit M πῶσ ἂν [10] — μέλλειν λέγω [11]: — ἄλλωσ ἐπεὶ παχυτέρα [8] — φησὶ [10] πῶσ ἂν σύ μοι τὸ πάθοσ δὲ ἐρυθριῶσα ἐξειπεῖν εἰς [13] — νοσούντων: —  9 τοῖς — αἰνιγμοῖς om. A  τοιούτοισ M  10 ἔδει om. N  11 λέγεισ MB  μέλλειν λέγω MN λέγειν μέλλω B  11—13 ἐπεὶ — συμβαλεῖν om. M u. s.  11 γὰρ NA οὖν ὡσ εἴρηται B  12 αἰνιξαμένης αὐτῆς scripsi αἰνιξαμένη NAB  τοῦ λογισμοῦ om. B  13 ἐρυθριῶσα M u. s. ἀπερυθριῶσα NAB  13. 14 τοῦτο ἀπορίασ B ἀπορίαν MNA  14 post ἐρωτᾶν add. αὐτὴν NAB  αὐτὴν καὶ δεῖ N καὶ δεῖ A  καὶ om. N de M non constat  15 αἰδεστικὸν NAB  . ποδηλοῖ M τεκμαίρει NAB  17. 18 scholio quod praecedit adi. B  17 δὲ deleui  19 lemma ex NA  ἀγνοούσης scripsi ἀγνοούση NA ἀγνοοῦσι B  αὐτῆι ante συμβάλλειν add. B  20 αὐτῆς scripsi αὐτῇ αὐτὴ A αὐτὴ B om. N  λοιπὸν om. N  ἐρωτᾷ om. A ἔρωτα N  τοῦ om. B δηλοῦσα φύσιν A

θείας ὀργῆς τοῦτο νοσεῖ. οὔκουν ἐκ μελέτης καὶ κακῆς φύσεως, ὅπου γε καὶ τὴν ἰδέαν ἀγνοεῖ τοῦ πάθους: — NAB

348 ἥδιστον, ὦ παῖ . . . . . . . . . . . . ἄλλος: — M

349 ἡμεῖς ἂν εἶμεν: τῷ ἑτέρῳ εἴδει τοῦ ἔρωτος, δηλαδὴ τῷ ἀλγεινῷ, ὡς δηλοῖ ἡ νόσος: — NAB[i]

351 ὅστίς ποθ' οὗτος: πιθανώτατα παρέδραμε τὸ ὄνομα, ἤτοι αἰδουμένη, ἢ διὰ τούτου σημᾶναι θέλουσα ὡς οὐκ ἐξ εἰδήσεως οὐδὲ ἀπὸ τρυφῆς καὶ συνεχοῦς θέας αὐτοῦ ἐρᾷ, ἀλλὰ χόλῳ τῆς Ἀφροδίτης, οὐ τῷ κάλλει τοῦ νέου: — MNAB

352 σοῦ τάδ', οὐκ ἐμοῦ: σεαυτῆς ταῦτα κλύεις, οὐκ ἐμοῦ, ἀντὶ τοῦ· σὺ εἶπας, οὐκ ἐγώ. ἄριστα δὲ καὶ ἡ ἄρνησις μετὰ τὴν ὁμολογίαν: — NAB

353 οἴμοι τί λέξεις: σαφῶς ἀκούσασα τὸν ἔρωτα, λοιπὸν σχετλιάζει τὴν ὑπερβολὴν τοῦ πάθους. κομματικὴ δὲ ἡ διάνοια, ὡσὰν ἐκπεπληγμένης τῷ θαύματι: — NAB

358 οἱ σώφρονες γάρ: οὐχὶ θέλοντες κακῶν ἐρῶσιν, ἀλλ' ἀναγκαζόμενοι: — NABB[i]

359 Κύπρις οὐκ ἄρ' ἦν θεός: θεὸν γὰρ κυρίως φασὶ τὸν μετὰ τοῦ δυνατοῦ καὶ τὸ προνοητικὸν ἔχοντα τῶν δυναστευομένων. μείζονα οὖν αὐτήν φησι θεοῦ, καθὸ μόνον ⟨τῷ⟩ ἐνδείξασθαι δύναμιν ἐγκαταγίνεται, οὐ τῷ προνοεῖσθαι: — NAB

362 ἄιες ὦ: οἰκειότατα μέσον κατεπάγει ἐπίρρημα σχετλιαστι-

---

1 ὁρμῆσ A  1. 2 οὔκουν — πάθους om. B  3 plura legere non potui  4 lemma ex NA  initio add. καλὸν μὲν ὁρᾶν [i. e. ἐρᾶν] τοῦ ἰδίου ἀνδρός· κακὸν δὲ τοῖσ ἐρῶσιν [i. e. τὸ ἐρᾶν] ἀλλοτρίου B[i]  5 post ἀλγεινῷ add. κεχρημέναι N  ὡς] μὲν A  6—9 multa detrita in M  6 πιθανώτατον N πιθανωτάτωσ A  7 τούτου] τόπου N  ἐκ συνειδήσεως Wil ἐξ αἱρέσεως ego  8 ἀπὸ τρυφῆς] ἀποστροφῆσ A  αὐτοῦ θέασ M  10 lemma ex NAB  σαὐτῆσ B  11 ἀντὶ — ἐγώ Laur. 31,15 ἀντὶ τοῦ N om. AB  ἄριστα — μετὰ om. N  13 lemma ex NAB  14. 15 ἐκπεπληγμένη N  16 lemma ex NAB[i]  16. 17 scholio 6—9 adi. B  16 οὐχὶ om. N  17 in fine add. κακῶν ἐρῶσι N  18 lemma ex NA  φησὶ B λέγουσι A  19 προνοητικοῦ καὶ τὸ δυνατὸν A  δυνατικοῦ N  τὸ om. N  προνοητικὴν N  τῶν δυναστευομένων om. A  20 φησιν ante αὐτὴν coll. A om. B  τῷ addidi  20. 21 ἐγκαταγίνεται ego γίνεται NAB  21 τῷ ego τοῦ NAB  22 lemma ex NAB  22 — p. 49,2 οἰκειότατα — ἀπόρρητα in fine coll. B add. δὲ post οἰκειότατα  22 ἐπάγει NA  ἐπίρρημα Wil τὸ σχῆμα tum spatium uacuum N τὸ σχῆμα A om. B

κὸν, ὡς ἂν τῇ λύπῃ κωλυομένη ἀπαρτίσαι τὴν διάνοιαν. ἀνήκουστα δὲ τὰ μὴ ἀκοῆς ἄξια, τὰ ἀπόρρητα. ἐκπλαγεὶς δὲ ὁ χορὸς τὴν ὑπερβολὴν τοῦ πάθους σχετλιάζει οἰκτείρων ἅμα καὶ θρηνῶν τὸ συμβάν. καὶ τὸ σχετλιαστικὸν ὦ διὰ μέσου κείμενον οἰκείως [ἐν] λυπουμένοις οὐκ εὐαπάρτιστον ἀποτελεῖ τὸ σχῆμα τοῦ λόγου, διαφόροις τε ῥήμασιν αὐτὸ κατεπάγει τὸ τῶν λυπουμένων ἦθος μιμούμενος, οἳ τὰ αὐτὰ κατεπάγουσι πρὸς πλείονα ἐνθύμησιν τῶν ἑαυτῶν κακῶν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· ἤκουσας, φησὶ, τῆς τυράννου τὰ ἀνήκουστα καὶ δυστυχῆ πάθη θροούσης καὶ λεγούσης. πρὸς ἀλλήλας δέ φασιν, οὐχ ὡς ἀγνοοῦσαι τὰ λεχθέντα, ἀλλὰ πρὸς πλείονα σύστασιν καὶ ἐνθύμησιν τοῦ πάθους: — NAB

363 ὀλοίμαν ἔγωγε: ἀπολοίμην πρίν σε ἀποθανοῦσαν ἰδεῖν καὶ πληρῶσαι τὴν σὴν φιλίαν. τὸ γὰρ κατανύσαι ἀντὶ τοῦ πληρῶσαι, παρὰ τὴν νύσσαν. οἱ δὲ, πρὶν λῆξιν λαβεῖν σου τὰς προσφιλεῖς φρένας: — MNAB$^{i}$

364 στερηθῆναι: — M$^{g}$

† ἢ πρὶν σὲ τὴν φιλτάτην καταλῦσαι τὴν σωφροσύνην· ταύτην γὰρ φρένας ὠνόμασεν: — A$^{g}$

366 πόνοι: ἐν οἷς τρέφονται οἱ βροτοί· ἐπεὶ ἐν πόνοις διατελοῦμεν: — MNAB$^{i}$

οἱ συναυξανόμενοι: — M$^{i}$

368 τίς ἄρα σε χρόνος καὶ ποῖος ἐκ πασῶν τῶν ἡμερῶν οὗτος ἐξεδέχετο ᾧ τὰ τοῦ ἔρωτος νοσήματα ἐξέφηνας. παναμέριος δὲ

---

1 ἀπαρτίσαι Matthiae ἀναρτῆσαι NAB  2 μήτε B  δὲ om. B  4 post καὶ addiderim διὰ  4. 5 οἰκεῖ N οἰκεῖον A  5 ἐν del. Wil  ἀποτελεῖται NA  6 διαφόρους N διάφορον A  ῥήμ$^{αι}$ A  ἔθος NA  6. 7 μιμούμενοι N  7 οἳ scripsi ὅσοι NAB  ἐπάγουσιν A  8 τῆς om. N  10 φησιν B  12 lemma ex NA  12. 13 ἀπολοίμην — φιλίαν et 13—15 πληρῶσαι — φρένας separata habet B$^{i}$  om. τὸ γὰρ — τοῦ  ἀπολοίμην — τοῦ om. M  13 καταλύσαι NA  ἀντὶ τοῦ N ὅ ἐστι A  14 οἱ δὲ Wil εἰ δὲ N ὅ ἐστι B om. A de M non constat  πρὶν] πλην N  σου om. M sed inter προσφιλεῖς et φρένας aliquid habuit M quod legi iam nequit  19 ἐν οἷς om. N  ἐπεὶ om. A  ἐμπόνως B$^{i}$ ἐν πόνῳ M  19. 20 διατελοῦμεν scripsi διατελοῦμεν . . διαντλοῦμεν M διαντλοῦμεν καὶ διατελοῦμεν N διαντλοῦμεν τὲ καὶ διατελοῦμεν A διαντλοῦμεν B$^{i}$  22 ποσῶν M  τῶν om. N  οὗτος om. M  23 νοσήματα GHermann νοσήσασα N νοήσασα MB ἐνοήσασα A  ἐξέφηνεν M

ὁ ἐκ πασῶν τῶν ἡμερῶν εἰς ταύτην συναφθείς. ἢ οὕτως· ἐκ τίνος ἄρα χρόνου καὶ ποίας αἰτίας αὕτη ἡ δυστυχὴς ἡμέρα ἐξεδέχετό σε: — MNAB

370 ἄδηλα καὶ ἄγνωστα: — M^g

ὅπου ἀποβήσεται, τέλος ⟨σχήσει⟩: — M^g

ἄσημα δ' οὐκέτ' ἔστιν οἷ φθίνει τύχα: ὅπου μέλλει τελεῖσθαι ἡ τύχη τῆς Κύπριδος. τὸ γὰρ οἷ φθίνει ὅπου χωρεῖ καὶ τέλος ἴσχει, ἀποβαίνει: — NAB^i

372 Τροιζήνιαι γυναῖκες: ἔσχατον γάρ ἐστι μέρος τῆς Πελοποννήσου ἡ Τροιζὴν παρὰ θάλασσαν κατ' ἀντικρὺ τῆς Ἀττικῆς κειμένη. ἤδη δὲ λοιπὸν ἐγνωσμένου τοῦ πάθους, ἀφεμένη τῶν ὑπ' αἰδοῦς αἰνιγματωδῶν διανοιῶν, ἀπολογεῖσθαι διαρρήδην ἄρχεται ὡς ⟨οὐ⟩ κατὰ φύσιν νοσήσασα τὸν ἔρωτα καὶ βουλομένη ἐγκρατῶς ἑαυτὴν ἀνελεῖν. οἰκείως δὲ τοῖς ἀπολογουμένοις πολλῷ τῷ γνωμικῷ χρῆται: — NAB

373 πρόθυρον. κατὰ ⟨πρόσωπον⟩ γὰρ τῆς Πελοποννήσου ἐστὶν ἡ Τροιζὴν πρὸς ἀνατολάς: — MAB

τὸ κατὰ πρόσωπον κείμενον: — M^g

374 ἤδη ποτ' ἄλλως: πολλάκις, φησί, διαγρυπνήσασα ἐν νυκτὶ ἐσκόπησα πῶς διέφθαρται ὁ ἀνθρώπινος βίος, ἆρα ἐκ φύσεως ἐχόντων τῶν ἀνθρώπων τὸ ἁμαρτάνειν ἢ ἐκ ῥᾳθυμίας· καὶ κρίνασα ἔγνων ὅτι οὐκ ἐκ φύσεως πρόσεστιν ἡμῖν ἡ κακία. καὶ ἐκ τούτου δῆλον· τὰ φυσικὰ πάντα καθόλου πᾶσι παρέπεται, οἷον τὸ γελαστικόν, τὸ πτύειν,

---

1 εἰς ταύτην om. M 1. 2 ἢ — σε om. A 2 σε om. N 5 σχήσει suppleui in loco detrito 6 lemma ex N initio add. διεφθάρησ ἐρωτικῶι πάθει ἀποφαντικῶσ B^i 8 AB^i τελεῖσθαι Wil τελειοῦν NAB^i 8 in fine add. κρησία δὲ κρητικὴ οὖσα καθ' ὃ θυγάτηρ μίνωοσ κρητόσ B^i 9 lemma ex NAB ἐστι om. B 10 τροιζηνία B κατὰ θάλασσαν A 11 δὲ om. A σμένου — πάθους om. spatio uacuo rel. A ἀφιεμένη A 12 αἰνιγμάτων N οὐ addidi 13 νοσήσασα scripsi νοήσασα NAB 15. 16 scholio quod praecedit adi. B initio add. προνώπιον δὲ 15 Hesych. προνώπιον τὸ προκείμενον οἷον πρόθυρον πρόσωπον addidi τὴν πελοπόννησον B 16 τροιζηνία M τροίζηνα B 17 cf. Phot. lex. Bachm. p. 349,2 Suid. προνώπιον τὸ προεκκείμενον Eust. p. 82,36 προνώπιον παρ' Εὐριπίδῃ ἤτοι προενώπιον πρόσχημα οἷον γῆς Πελοπίας προνώπιον cf. p. 312,15 18 lemma ex NAB ἀγρυπνήσασα N ἐν] τῇ A 19 ἔχων A 20 τῶν ἀνθρώπων om. A 21 δῆλον ὅτι AB τὰ om. A 22 καθολικῶσ A 22 — p. 51,1 πτύειν — διαχωρίζειν] ὑπνοῦν καὶ τὰ ὅμοια B per ridiculam librarii fastidiosi interpolationem

τὸ διαχωρίζειν, καὶ οὐκ ἄν τινα εὕροις χωρὶς τούτων· εἰ δὲ εὑρίσκεις παρὰ πολλοῖς ἀνθρώποις τὸ εὖ φρονεῖν καὶ δικαιοπραγεῖν, δῆλον ὅτι οὐ φύσει πρόσεστιν ἡμῖν τὸ φαῦλον. οὐ γὰρ ἂν ηὑρίσκοντο πολλοὶ καὶ ἀγαθοί: — NAB

ἄλλως: ἤδη ποτ' ἄλλως: χωρὶς νόσου τυγχάνουσα. πιθανῶς δὲ ἐν νυκτί φησιν ἐνθυμηθῆναι, ὁπότε πάσης τῆς τῶν αἰσθήσεων ἀπηλλαγμένη ὀχλήσεως ἡ ψυχὴ φιλοσοφωτέροις ἐγκαταγίνεται ζητήμασι. πιθανὸν δὲ καὶ τὸ ἠρέμα νοσηλευομένην αὐτὴν ἐνθυμεῖσθαι τοιαῦτα. παρὰ γὰρ τὰς συμφορὰς γνωμικώτεροι γινόμεθα, τῆς φύσεως ἡμᾶς διὰ τοῦ πάθους ἐκπαιδευούσης: — NAB

λίαν: — $\mathrm{M^g}$

375 ὄντως: — $\mathrm{M^g}$

πῶς: — $\mathrm{M^g}$

376 οὐκ ἀγνοίᾳ μοι δοκοῦσιν οἱ ἄνθρωποι ἐκπίπτειν εἰς τὰ ἁμαρτήματα, ὅπου γε πολλοὶ καὶ εὖ φρονοῦντες καὶ αἰσθανόμενοι κακῶν τε καὶ ἀγαθῶν ἐκπίπτουσιν εἰς τὸ κακόν. ἐπειδὴ τοίνυν οὐκ ἀγνοίᾳ, ἀλλὰ γινώσκοντες ἁμαρτάνομεν, ταύτῃ σκοπητέον τοῦ βίου τὴν λύμην τίς ἐστιν: — MNAB

οὐ κατὰ γνώμης: τῆς γνώσεως. οὐχ ἁμαρτίᾳ δὲ τῆς γνωστικῆς φύσεως ἁμαρτάνουσιν, ὅπου γε πολλοὶ αἰσθανόμενοι τὸ ἀγαθὸν προκρίνουσιν αὐτοῦ τὸ κακόν: — AB

τὴν προαίρεσιν: — $\mathrm{M^g}$

377 πολλοῖς ὑπάρχει φρόνησις: — $\mathrm{M^g}$

378 οὕτως δή: — $\mathrm{M^g}$

379 τὰ χρήστ' ἐπιστάμεσθα: δεῖξαι βούλεται τοῦτο ὅτι οὐκ ἀγνοίᾳ τοῦ καλοῦ τὸ κακὸν πράττομεν. ἅτινα μὲν οὖν χρηστὰ καὶ χρήσιμα τῷ βίῳ καθέστηκεν ἴσμεν, ἐκπονεῖν δὲ αὐτὰ οὐ θέλομεν διαφόροις ἡδοναῖς ἡττώμενοι. οἱ μὲν ἀπό τινος ἀργίας καὶ ὄκνου τοῦ ἐκ-

---

1 εὑρίσκοισ N 3 εὑρίσκοντο N 5 lemma ex NB τυγχάνουσιν N post τυγχάνουσα add. δηλονότι B 8 πιθανῶσ NA τὸ om. N 9 παρὰ γὰρ τὰσ συμφορὰσ A παρὰ γὰρ ἀμφοτέρων N τότε γὰρ B 10 τοῦ om. A 12 pro ἠ legit ἡ 14 ἀνοίᾳ ex ἀνίᾳ corr. A ἐμπίπτειν M 16 εἰς τὸ] ἔχοντεσ M 16—18 ἐπειδὴ—ἐστιν om. M 16 ἀλλὰ om. A 19 lemma ex A γνωμικῆσ B 20 ἁμαρτάνουσιν om. B 25 lemma ex NAB, sed pro τὰ habent ἃ NA τοῦτο om. B 26 ἀνοίᾳ N καὶ om. A 28 οἱ μὲν om. NB post τινος add. γὰρ B

πονεῖν τὰ καλά, τὰ κακὰ μετέρχονται. ὅσῳ γὰρ δυσάλωτός ἐστιν ἡ ἀρετή, τοσούτῳ ἡ κακία εὐάλωτος. καὶ Ἡσίοδος [opp. 287. 289]· 'τὴν μέντοι κακότητα καὶ ἰλαδὸν ἐστιν ἑλέσθαι, τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν ἔθηκαν': — NAB

380 οὐ τελειοῦμεν: — M[g]

ὑπὸ τοῦ ἔρωτος: — M[g]

381 οἱ δ' ἡδονὴν προθέντες: καλῶς τὰς αἰσχρὰς ἡδονὰς ἀπεσιώπησεν, ὡς ἤδη διὰ τούτων κἀκείνας σημάνασα. αὗται γὰρ ἐκείνων εἰσὶ τικτικαί. σχολὴ γὰρ καὶ ὁμιλία περισσὴ πεφύκασιν εἰς ἀπορρήτους ἡδονὰς προκαλεῖσθαι τὴν φύσιν. οὐ γὰρ δὴ μία, ἀλλὰ διάφοροι ἡδοναί εἰσιν. εἶτα μεταξὺ διηγεῖται τὰς ἀρχὰς τῶν κακῶν ἡδονῶν: — NAB

προτιμήσαντες: — M[g]A[x]B[g]

383 πολυλογίαι: — M[g]

ὁμιλίαι φλυαρίαι: — A[g]

ἡ σχολὴ ἡδεῖα μὲν τῇ ἀναπαύσει, ἐπιβλαβὴς δὲ τῷ ἐπιζημίῳ καὶ ἀργῷ τοῦ σώματος, διὸ καὶ τερπνὸν κακὸν εἶπεν: — MNAB

384 αἰδώς τε· δισσαί: ταῖς αἰσχραῖς ἡδοναῖς συγκατηρίθμησε τὴν αἰσχρὰν αἰδῶ. διαφθείρει γὰρ τοὺς κεκτημένους, ὥσπερ κἀκεῖναι τοὺς ἐμπιστεύσαντας αὐταῖς ἑαυτοὺς ἀπολλύουσιν: — NAB

385 ἡ δ' ἄχθος οἴκων: τί φής, Εὐριπίδη, κακὴ ἡ αἰδώς; ναί φησιν ἔσθ' ὅτε κακή. δισσαὶ γάρ εἰσιν αἰδοῖ. εἰ δὲ ᾔδειμεν εὐκαίρως αἰδεῖσθαι, οὐκ ἂν δύο ἦσαν ἑνὶ ὀνόματι καλούμεναι. ἴσως δὲ τὸ Ὁμη-

---

1 μετέρχεται N μετερχόμεθα B   ὅσ N   2 τοσοῦτον N   2. 3 καὶ— ἑλέσθαι om. N   3 μέντοι AB non μὲν γὰρ   3. 4 τῆς—ἔθηκαν om. A   4 ἔθηκαν om. B   7 lemma ex NAB   9 ἀμέλια N   10. 11 οὐ— εἰσιν] οὐ γὰρ μία ἡ ἡδονὴ ἀλλὰ διάφοροι habet M[1]   11 post εἰσιν ins. pro lemmate καὶ σχολὴ τερπνὸν A   ἡδονῶν om. NB   14 cf. Zonar. p. 1296 λέσχαι . . καὶ αἱ φλυαρίαι καὶ αἱ πολυλογίαι καὶ αἱ ὕβρεις . . .
15 cf. Hesych. λέσχαι φλυαρίαι. πολλαὶ ὁμιλίαι. λέσχη ὁμιλία. καὶ ἡ φλυαρία Phot. lex. Bachm. p. 289,19 Suid. λέσχη πολλὴ ὁμιλία φλυαρία . . .
16. 17 multa detrita in M   16 initio add. ὁμιλίαι καὶ σχολὴ ῥαθυμία ἀργία B   post σχολὴ add. φησὶν B   τὸ ἐπιζημία N   17 ἀργοῦ N   ante εἶπεν add. αὐτὴν A   18 lemma ex NA   20 αὐταῖσ ἑαυτοὺσ B ἑαυταῖσ N αὐτὰσ A   ὀλύουσιν A   21 lemma ex AB   ἡ om. NA   22 κακόν NA   εἰσιν NB αἱ A   post αἰδοί ins. pro lemmate εἰ δ' ὁ καιρὸσ A

ρικὸν ἀνέγνω Εὐριπίδης [Ω 45]· 'ἥ τ' ἄνδρας μέγα σίνεται, ἥ δ' ὀνίνησιν': — NAB

ἄλλως: εἰ δ' ὁ καιρὸς ἦν σαφής: ἐπεί φησιν Ὅμηρος μίαν μὲν εἶναι τὴν αἰδῶ, δισσὴν δὲ δύναμιν ἔχειν 'αἰδώς, ἥ τ' ἄνδρας μέγα σίνεται ἠδ' ὀνίνησι'. τὴν διαφωνίαν ἰώμενός φησιν ὅτι τῆς αἰδοῦς ἡ διπλῆ διάνοια παρὰ τὴν ἡμετέραν γίνεται ἄγνοιαν. ἡμεῖς γὰρ οὐ κατὰ καιρὸν αὐτῇ χρώμενοι διπλῆν ἡγούμεθα τὴν μίαν. ἔδει γὰρ τὴν εὐκαίρως γινομένην μόνην ὀνομάζειν αἰδῶ. τὸ δὲ ταὔτ' ἔχοντε γράμματα, οἷον· ἑνὶ ὀνόματι τόνῳ καὶ φθόγγῳ προσαγορευομένα: — NAB

ἀκριβὴς φανερός: — $M^g$

386 τὴν αὐτὴν ἐπωνυμίαν: — $M^g$

387 ταῦτ' οὖν ἐπειδὴ τυγχάνω: ἐπειδὴ τοίνυν τὴν φύσιν ἑκάστου πράγματος ἐτύγχανον γινώσκουσα καὶ πόθεν οἱ ἄνθρωποι τὸν βίον ἑαυτῶν διαφθείρουσιν, ἐνόμιζον τοῦτο ὅτι οὐκ ἔστιν μοι οὐδεμία πρόφασις οὕτως ἰσχυρὰ οὐδὲ δέλεαρ τοιοῦτον, ὅπερ ἐκ τῶν φρενῶν καὶ τῆς τοσαύτης σωφροσύνης μεταστήσει ἐμὲ εἰς πορνείαν. οὐκ ἀπεικότως δὲ τοῦτό φησιν, ἀλλὰ πρὸς πλείονα δεῖξιν τοῦ μὴ μόνον οὐ κατὰ φύσιν, ἀλλὰ καὶ παρ' ἐλπίδα νοσεῖν ἔρωτα: — NAB

τὴν εὐσχημοσύνην φρονοῦσα: — $M^i$

388 † οὐκ ἔσθ' ὁποίῳ φαρμάκῳ: οὐκ ἔστι, φάρμακον δηλονότι, ὁποίῳ φθαρῆναι ἐδόκουν. οὐκ ἦν ἰσχυρὸν δέλεαρ, ὅπερ ἔμελλε μεταβάλλειν τὴν σωφροσύνην: — B

389 τὸ ἐναντίον: — $M^g$

391 ἐπεί μ' ἔρως ἔτρωσεν: τὸ λοιπὸν καταστατικώτερον αὐτὴν

---

1 ὁ εὐριπίδησ A ἥ τ' — σίνεται om. NA ἦδ' NA ἠδ' B cf. schol. Ω 45 T [breuius in A] τινὲς ἐδάσυναν τὸ ῆ, ἵνα εἶεν δύο αἰδοῖ, ὡς Εὐριπίδης 'δισσαὶ — εἰσίν'· οὔπω γὰρ αἰδὼς καὶ αἰσχύνη διεκέκριτο, ἀλλ' ἐπὶ διαφόροις πράγμασιν ἓν ἦν ὄνομα. πανταχοῦ δὲ τῶν ὑπομνημάτων οὕτως εὗρον πλὴν Ἡρακλέωνος 3 lemma ex B ἐπειδὴ N 4 cf. schol. Ω 45 A .. δύναιτο δ' ἂν ἡ αὐτὴ οὖσα πῇ μὲν ὠφέλιμος εἶναι, πῇ δὲ βλαβερά ἄνδρα N 5 ἦδ' NA 6 ⟨διπλῆ δι⟩άνοια scripsi ἄγνοια NAB ἄγνοιαν scripsi ἄνοιαν NAB 9 καὶ τόνω A προσαγορευομένα Wil προσαγορευομένασ NAB 11 ὁμωνυμίαν $M^g$ 12 lemma ex NB 14 διαφθείρονται NA μοι om. N 14—16 οὐδεμία — πορνείαν] habet .......... ὅπερ ἂν τοῦ ....... ωφροσύνησ καὶ ........ πορνείαν: — M 16 τοιαύτησ N μεταστήσειέ με NB 17 πρὸς om. A οὐ om. NA 19 ἀσχημοσύνην φρονοῦσαν $M^i$ 21 οὐκ ἦν Wil οὔκουν B 24 — p. 54,2 iuxta us. 391 scholion extitit in M 24 τὸ scripsi ὅτι B

τὴν διοίκησιν τῆς νόσου διηγεῖται. ἠρξάμην μὲν οὖν, φησίν, ἐκ τοῦδε, σιγᾶν, ἵνα διὰ τῆς ἡσυχίας λήθη μοι γένηται: — B

394 γλώσσῃ γὰρ οὐδὲν πιστόν: ἔοικε τὸ συμβαῖνον ἐκ τῆς γλώσσης δι' ἄλλων τῇ γλώσσῃ προστεθεικέναι, καθὸ πολλάκις τῶν ἀκουόντων ἀπίστων γινομένων αὕτη τῆς προδοσίας αἰτία νομίζεται. ἄμεινον, φησίν, ἡγησάμην τὸ σιωπᾶν, εὐλαβουμένη μὴ γλῶσσαν κτήσωμαι σύμβουλον, λόγῳ μὲν ἐπαινοῦσαν τὰς ἀρετάς, ἔργῳ δὲ ἀκόλαστον. δάκνει γὰρ τὸ παραινούμενον, ὅταν τις 'ἕτερον κεύθῃ ἐνὶ φρενί, ἄλλο δὲ εἴπῃ [I 313]': — NAB

397 τὴν πορνείαν, ἐπεὶ καὶ τὸ ἐναντίον σωφροσύνη καλεῖται· ἐν ᾗ σῴζομεν τὰς φρένας: — MB

τὸν ἔρωτα: — M[g]

399 τρίτον δ' ἐπειδή: ἐπειδὴ τοῖς δύο τρόποις οὐδὲν ἥνυον πρὸς ἐγκράτειαν τοῦ ἔρωτος οὔτε τῇ σιωπῇ οὔτε τῇ σωφροσύνῃ, ἔδοξέ μοι ἀποθανεῖν: — MNAB

401 κράτιστον, οὐδεὶς ἀντερεῖ:] ὡς οὐ καλῶς βουλευθεῖσιν οἷς ἐσκεψάμην, σιωπᾶν καὶ σωφρονεῖν ἢ ἀποθανεῖν: — NAB

ἀντιλέξει: — M[g]A[g]

402 Καλλίμαχος [frg. 402]· 'ἄγνωτον μηδὲν ἔχοιμι καλόν': — A m. recentiss.

404 τὸν ἔρωτα: — M[g]

405 γυνὴ δὲ πρὸς τοῖσδ' οὖσα: τὸ ἑξῆς· ⟨πρὸς⟩ τοῖσδε δὲ οὖσα γυνὴ προσῄδειν τὴν νόσον ταύτην δυσκλεᾶ καὶ τὸ ἔργον τῆς πορνείας μίσημα ὂν παρὰ πᾶσι. τὸ δὲ γυνὴ οὖσα, ἐπειδὴ μάλιστα αἱ γυναῖκες

---

3 lemma ex NA 3. 4 ἐκ τῆς γλώττης N del. Wil 4 τῇ γλώσσῃ ego ἐκ τῆς γλώσσης A ἐκ τῆς γλώττης N om. B προστεθεικέναι ego προτεθεικέναι NAB πολλάκις scripsi πολλὰ NA πολλῶν B 4. 5 τοῖς ἀκούουσιν B 5 αὐτῇ A αἰτίων [i. e. αἴτιον] A 6 τὸ σιωπᾶν] τοῦ πᾶν A 7 σύμβολον B ἐπινοοῦσαν B 8 post παραινούμενον add. σύμβουλον A σύμβολον NB 8. 9 ὅταν — εἴπῃ om. A 8 τις B ὅς γ' N 10. 11 scholio quod praecedit adi. B initio add. ἄνοιαν δὲ 10 πορνείαν φησὶν B 13 lemma ex NAB 13—15 multa detrita in M 13 δυσὶ M 14 μοι] τὸ A 16. 17 scholio quod praecedit adi. B initio add. καὶ οὐδεὶς ἀντιλέξει 16 ὡς — καλῶς] τοῖς B 17 οἷς scripsi ἐν οἷς NA ὡς οὐ καλῶς B ante σιωπᾶν add. ἢ B 22 lemma ex NA πρὸς add. Wil δὲ postea del. N om. B 23 προσῄδειν corruptum, postulatur εὖ ᾔδειν δυσκλεῆ A τῆς] ὡς A

μισεῖν ὀφείλουσι τὴν πορνείαν, αἱ μὲν δι' αὐτὴν μεμισημέναι ἀνδράσι τε καὶ γυναιξίν, αἱ δὲ φεύγουσαι τὴν ἐξ αὐτῆς αἰσχύνην: — NAB

ἐγίγνωσκον: καὶ τοῦτο οὐχ ἁπλῇ γνώσει ἔξωθεν ἠπιστάμην, ἀλλὰ καὶ γυνὴ πεφυκυῖα ἀκριβῶς εἶχον τοῦ μίσους τούτου τὴν γνῶσιν, ὥστε καὶ μέχρι τοῦ νῦν, καίτοι νοσοῦσα καὶ νικωμένη τῷ πάθει, ἡδέως ἂν καταρασαίμην τῇ πρώτῃ πορνευσάσῃ: — NAB

406 μίσημα πᾶσιν: ἀκριβῶς ἔγνω ὁ Εὐριπίδης τὴν ῥίζαν τῆς πορνείας ἄνωθεν ἐξ εὐγενίδων συστᾶσαν τῷ ἐξαπλοῦσθαι εἰς πολλὰς τὸ κακόν. εἰ γὰρ ἐβεβλαστήκει ἐξ εὐτελῶν, ταχέως ἂν ἐξεκέκοπτο καὶ οὐκ ἐζηλοῦτο: — NAB

407 ἥτις πρὸς ἄνδρας: Ἡρωδιανὸς ἐν τῷ μονοβίβλῳ τῷ Περὶ κυρίων καὶ ἐπιθέτων καὶ προσηγορικῶν [II p. 1] λέγει εἶναι τὰς πρῶτον πορνευσάσας θυγατέρας τοῦ Εὐρυπύλου, οὐ τοῦ Κῴου, ἀλλὰ ἄλλου τινός. ἔστι δὲ τὰ ὀνόματα αὐτῶν Μορφὴ καὶ Κλυτή. ὡς φιλόσοφος δὲ συμβάλλει τοῦτο ὅτι εὐγενεῖς καὶ πλούσιαι κατήρξαντο τῆς πορνείας, οὐ μόνον ἐκ τοῦ ὑπερτρυφᾶν, ὅπερ τὸν ἔρωτα προκαλεῖται, ἀλλὰ καὶ ἐκ τοῦ ἐπιζηλωθῆναι τὸ ἁμάρτημα μὴ ἐξ εὐτελοῦς τινος γινόμενον: — NAB

411 ὅταν γὰρ αἰσχρά: ἐστοχάσατο τὸ τοιοῦτον οὐ μόνον ἀπὸ τῆς κολακείας, ἀλλὰ καὶ ἐκ τῆς τῶν ἁμαρτανόντων ἀξιοπιστίας. ὅταν γάρ, φησίν, αἰσχρὰ ποιῶσιν αἱ βέλτισται, πάντως αἱ εὐτελεῖς μιμοῦνται καὶ ἀκολουθοῦσιν ἐκείναις. εἰ γὰρ τοῖς ἀγαθοῖς τὰ αἰσχρὰ νομίζεται καλά, πολλῷ μᾶλλον τοῖς κακοῖς: — MNAB

413 μισῶ δὲ καὶ τὰς σώφρονας: μισῶ δὲ καὶ τὰς λόγῳ μὲν τὴν σωφροσύνην μετιούσας, ἔργῳ δὲ τὰ κακὰ πράττουσας: — NAB[1]

415 αἳ πῶς ποτ', ὦ δέσποινα: αἵτινες ἄρα πῶς τολμῶσιν

---

3 lemma ex A   4 μίσους] πάθους A   5 καίτοι νοσοῦσα καὶ νικωμένη scripsi ἐπὶ νοοῦσα καὶ νικωμένη N εἴ τινος οὖσα νικωμένη A ἤτοι μέχρι τοῦ νοσῆσαι καὶ νικηθῆναι B   μίσει NA   ἂν om. NA   6 κατηρασάμην B   7 lemma ex NA   8 εὐγενίδων A ἐρίδων NB   συστῶσαν B   τῷ scripsi τὸ NAB   9 ἐβεβλάστηκε N ἐβλαστήκει A   εὐτελῶν] κακῶν A   10 ἐζηλ$^{\pi}$οῖ N ἐζηλοῖτο A   11 lemma ex NAB   ad us. 407 scholion breuissimum fuit in M   12 τὰς] τοῦ A   13 πορνευούσας N πορνεύουσαν A   τοῦ om. B   τοῦ οὐ A   17 μὴ ἐξ εὐτελοῦς N ἐξ εὐτελοῦς B ἐξ εὐγενοῦς A   τινος γινόμενον NB προσγενόμενον A   18—22 plurima detrita in M   18 lemma ex AB   20 φησὶν om. B   αἱ MAB καὶ N   βέλτιστοι NB   αἱ om. N   μιμοῦντες N   21 ἐκείνοις NA   23 lemma ex NA   δὲ] μὲν A   24 τὴν om. N   25 lemma ex NA

ὁρᾶν τοὺς ἄνδρας; μόνον οὐχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων ⟨τὸν⟩ παρὰ φύσιν ἔλεγχον δεδοικυῖαι. τὴν νύκτα. θεὸς γὰρ οὖσα θεοῖς ἀνάκειται: — NAB

στεναχτικὸν καὶ σχετλιαστικόν: — M[g]

417 πῶς οὐχὶ καὶ αὐτῶν τῶν ἀναισθήτων τὸν παρὰ φύσιν ἔλεγχον δεδοίκασιν: — MNB[1]

418 τὰ στέγη τῶν οἴκων: — M[g]

420 φωραθῶ: — M[g]

421 ἀπὸ κοινοῦ τὸ *αἰσχύνασα*: — M

426 *μόνον δὲ τοῦτό φασ'*: ὁ βίος ἥδεται τοῖς πονηροῖς· ὡς Μένανδρος [frg. 223] 'πράττει δ' ὁ κόλαξ ἄριστα πάντων· δεύτερα ὁ συκοφάντης, ὁ κακοήθης τρίτα λέγει'. παλαίει οὖν τῷ βίῳ καὶ ἁμιλλᾶται, ὃς ἂν βούληται δικαιοπραγεῖν, τῷ διαφωνεῖν πρὸς τὴν κοινὴν πολιτείαν. ἢ ἐπειδὴ οἱ φαῦλοι, ὅταν περὶ δικαιοπραγοῦς τινος ἀκούωσι, ζητοῦσιν αὐτὸν παντὶ τρόπῳ ὑποσκελίσαι. παλαίει οὖν τοῖς φαύλοις ὁ ἀγαθός: — NAB

*ἄλλως*: μόνον τοῦτο νικᾷ, φησί, τὸν βίον καὶ οὐκ ἀποκαλύπτεται ὑπ' αὐτοῦ, ἀλλὰ καὶ μετὰ θάνατον λάμπει, τὸ τῆς σωφροσύνης. τοὺς γὰρ ἀκολάστους ἐλέγχει καὶ δειγματίζει ὁ χρόνος, ὡς καὶ παρθένον κάτοπτρον. ὥστε δεῖ με μὴ τοῦ παρόντος μόνον ἀντιποιήσασθαι. ἀλλὰ καὶ τοῦ μετὰ ταῦτα: — NAB

*ἄλλως*: *μόνον δὲ τοῦτο*: τὸ κεκτῆσθαι διάνοιαν ἀγαθήν, ὡς εἰ ἔλεγεν ὅτι ἀθάνατόν τέ ἐστι καὶ εἰς ὅλον τὸν βίον μνημονεύεται. δεῖ με οὖν μὴ τοῦ παρόντος, ἀλλὰ καὶ τοῦ μέλλοντος προνοήσασθαι, εἰδυῖαν ὅτι, ὥσπερ τοὺς ἀγαθοὺς ἐπιβεβαιοῖ, τοσοῦτον τοὺς πονηροὺς ἐλέγχει

---

1 ἀναιθύτων N 1. 2 τὸν — δεδοικυῖαι] παρὰ φύσιν ἔχειν δεδοικυίας [δεδωκυίας B] NAB 2. 3 τὴν — ἀνάκειται corrupta et mutila 5. 6 multa detrita in M 7 cf. schol. Or. 1371 Eust. p. 1943,5 τέραμνον . . . ἡ τοῦ οἴκου στέγη καθὰ σὺν ἄλλοις καὶ ὁ Λυκόφρων [350. 361] δηλοῖ schol. Lycophr. 350 τέραμνα . . τὰ ξύλινα στέγη 10 lemma ex NA initio add. ἀλλ' A 11 δεύτερα ὁ] δεύτερος NAB 12 τρία λέγει N τρίτατος λέγεται A τρίτα (τ superscr.) B 12. 13 ὃς ἂν βούληται scripsi ὅσα βούλοιτο A ὅστις βούλοιτο NB 13 πολιτείαν corr. ex σωτηρίαν A 14 ἐπεὶ A ἀκούσωσι NB αὐτὸν post ὑποσκελίσαι coll. B αὐτὸ A 16 φησὶ νικᾷ καὶ A οὐ καλύπτεται B 17 ὑπ' αὐτοῦ] τῷ βίῳ A καὶ om. NA τὸ om. N 18 χορὸς A παρθένῳ A 19 μὴ τοῦ] μήτε A 20 καὶ τοῦ om. N μετ' αὐτὸν AB 21 lemma ex NAB initio add. φασὶ συγκαταστρέφειν καὶ συναπόλυσθαι τῷ βίῳ A 22 ὅτι om. A 23 οὖν με A 24 τοσούτῳ A οὕτως καὶ B

ὁ χρόνος. κατόπτρῳ δὲ παρείκασεν τὰ ἐν τῷ προϊόντι χρόνῳ φαινόμενα τεκμήρια τῶν πρὶν ἁμαρτηθέντων, καθὸ παρελθόντων τῶν ἔργων αὐτῶν ὥσπερ ἐν κατόπτρῳ τεκμήρια καὶ σκιὰς τῶν παλαιῶν [αὐτῶν] ὁρῶμεν ἁμαρτημάτων: — NAB

παλαίειν ἀνταγωνίζεσθαι: — M

427 γνώμην δικαίαν: θαυμασίως ἄγαν ἀπολύτως ἐχρήσατο ὅτῳ παρῇ. ⟨τοῦ δικαίου⟩ οὐ διαστολὴν ἐπιδεχομένου πλουσίου καὶ πένητος ἢ εὐγενοῦς καὶ εὐτελοῦς, ἀλλὰ καθολικωτέρου ὑπάρχοντος ἐπὶ πάντων: — NAB

428 κακοὺς δὲ θνητῶν: τινὲς οὕτως τὸ ἑξῆς· τοὺς κακοὺς τῶν θνητῶν ἐλέγχει ὁ χρόνος, ὅταν τύχῃ προθεὶς τὸ κάτοπτρον αὐτοῖς ὡς παρθένῳ νέᾳ, τουτέστιν ὅταν τύχῃ αὐτοὺς ἐλέγχων καὶ φανεροποιῶν: — MNAB

429 προθεὶς κάτοπτρον: κατόπτρῳ εἰκάζει τὰ ἐν τῷ χρόνῳ προϊόντι φαινόμενα τεκμήρια τῶν πρὶν ἁμαρτηθέντων. ὥσπερ ἐν κατόπτρῳ τεκμήρια ὁρῶμεν τῆς ἀληθείας: — NA

431 θαυμαστικὸν τὸ φεῦ: — M[1]

432 τιμὴν ἀγαθήν: — M[g]

433 δέσποιν', ἐμοί τοι συμφορά: ἐμοί, φησίν, ἀρτίως ἡ σὴ συμφορὰ ἀγγελθεῖσα δεινὸν φόβον ἐνέβαλεν: — NAB

ἄλλως: καλῶς ἐμιμήσατο τὸ τῶν γραῶν παλίμβολον· ὑπερφοβοῦνται γὰρ καὶ θρασύνονται ταῖς συμφοραῖς: — NAB

435 νῦν δ' ἐννοοῦμαι φαῦλος: ἀντὶ τοῦ· μωρὰ οὖσα. νῦν δὲ δεύτερον, εἰ καὶ εὐτελής τίς εἰμι, ἐνεθυμήθην. καθόλου γὰρ [ὅτι] ἀνθρώποις αἱ δεύτεραι [τῶν ἄλλων ἀνθρώπων] βουλαὶ τῶν πρώτων εἰσὶ χρησιμώτεραι: — NA

ἄλλως: εἰ καί τις εὐτελὴς τυγχάνω τὴν γνώμην καὶ οὐκ ἀπ'

---

1 ὁ χρόνος om. A παριόντι Wil 2. 3 τῶν πρὶν — τεκμήρια om. A 3 αὐτῶν deleui 4 ἁμαρτημάτων ὁρῶμεν A 6 lemma ex NA 7 τοῦ δικαίου addidi 10 lemma ex NAB 10—12 multa detrita in M 10 τινὲς — ἑξῆς om. M οὕτως B οὖν N om. A 11 αὐτοῖς M om. NAB ὥστε N 11. 12 τῆι νέαι παρθένωι B 12 αὐτοὺς in fine coll. A φαντασιοποιῶν N 13 lemma ex NA κατόπτρῳ om. A 14 γινόμενα N ἁμαρτημάτων A 18 lemma ex NB ἐμοὶ τί N ἀρτίον N σὴ om. NA 19 φόνον ἀνέβαλεν N 20 τῶν γραιῶν τὸ A παλίμβουλον A 20. 21 ὑποφοβοῦνται NB 22 lemma ex N 23 δευτέραν A καθόλου ego καὶ καλῶς NA γ' N ὅτι A ὃ N deleui 24 τῶν — ἀνθρώπων deleui 26 lemma ex N τις om. B post εὐτελὴς add. φησὶ B τῇ γνώμῃ A

ἐμαυτῆς ὀφείλουσα στοχάζεσθαι, ὅμως εὗρον ὅτι παρὰ πᾶσιν ἀνθρώποις ἀκριβέστεραί εἰσιν αἱ ἐπισκέψεις καὶ αἱ δεύτεραι γνῶμαι: — NAB

λογίζομαι: — M[g]

ἀσύνετος: — M[g]

437 οὐ γὰρ περισσὸν οὐδέν: ἀντὶ τοῦ παράλογον παράδοξον: — NAB[i]

οὐδὲν ἔπαθες περισσὸν ὧν πάσχομεν πάντες. τοῦτο πρὸς παραμυθίαν, ὡς μὴ νοσούσης αὐτῆς ἐξ ἰδίας φύσεως τὸν ἔρωτα. μὴ οὖν, φησί, διεργάσῃ σαυτήν, ἀλλὰ συγγίνωσκε τῷ πάθει, βιαζομένη παρὰ τοῦ κρείσσονος, ἄλλως τε καὶ τῶν πολλῶν ἐκ φύσεως αὐτὸ νοσούντων: — NAB

438 ἀγανακτήσεις: — M[g]

441 . . . . . . . οὐ λυ⟨σιτελεῖ⟩ . . . . . . . . . . . . . . . . . . . . ἐρῶσι καὶ ὅσοι μέλ⟨λουσιν⟩ ἐρᾶν εἰ ὁ ἔρως αὐτοῖς θάνατον προξενεῖ: — M

τοῦτο ἐκ τοῦ καθολικωτέρου. ὄντως οὐ λυσιτελεῖ, [οὐ χρή], οὐ συμφέρει, φησί, τοῖς τῶν πλησίον ἐρῶσι καὶ ὅσοι μέλλουσιν ἐρᾶν, εἰ χρεὼν αὐτοῖς ἐστι τοῦ θανεῖν: — B

οὐκ ἄρα γ' οὐ δεῖ: λείπει τὸ ἐρᾶν. ὁ δὲ λόγος· οὔτε τοῖς νῦν ἐρῶσιν οὔτε τοῖς μέλλουσιν ἐρᾶν λυσιτελεῖ τὸ ἐρᾶν, εἴπερ ἀντὶ τῶν ἐρωμένων ἀπολαύσουσι θανάτου, οὐκ ἐπ' ἀνύσει τοῦ ἔρωτος, ἀλλ' ἐπὶ θανάτῳ ἐρῶντες. ἐκ τοῦ καθολικοῦ δὲ πάθους τὸ ἴδιον δυσχερὲς θεραπεύεται καὶ τῷ ἁπλουστέρῳ ὀνόματι τοῦ ἔρωτος καλύπτει τὸ αἰσχρόν: — A

442 ἐὰν πρὸς θάνατον ἐρῶσιν: — M[g]

443 Κύπρις γὰρ οὐ φορητός: ἐπεξηγεῖται πῶς δεῖ φέρειν πολλὴν ῥεύσασαν τὴν θεόν, ὑπείκοντα μᾶλλον οὐδὲ ἀνθοπλιζόμενον. οἶδε γὰρ [ἄρα] ὑποχωροῦσιν ὑπείκειν ἡ θεός: — NAB

ἄλλως: οὐκ ἔστιν δυνατὸν βαστάσαι τὴν Κύπριν μεγάλως ἐπερχομένην, ὅτι χρὴ εἴκειν μᾶλλον τῇ Ἀφροδίτῃ ἢ ἀντιμάχεσθαι αὐτῇ: — NAB

---

2 αἱ ἐπισκέψεις καὶ om. A   5 ἀντὶ τοῦ om. AB[i]   7—10 scholio quod praecedit adi. NA   7 ad hunc siue ad us. qui sequitur breue scholium fuit in M cuius nihil nisi initium πέπονθ⟨ας⟩ legi potest   post οὐδὲν add. φησιν B   πάσχουσι B   τοῦτο δὲ B   8 μὴ νοσούσης A μισούσης NB   9 τῷ πάθει om. A τῷ πάσχει N   10 πολλῶν om. NA   αὐτὸν NB   13 αὐτοῖς θάνατον ego αὐτοὺς θανάτῳ M   14 οὐ χρὴ del. Wil   17 οὐδὲ A   18 τῶν] τοῦ A   22 ἀφορῶσι M[g]   23 lemma ex NAB   δεῖ NB μέλλει τινὰ A   24 οὐδὲ scripsi οὐ γὰρ NB οὐδὲ γὰρ A   25 ἄρα deleui   26 με μεγάλως αὐτῷ N   27 ὅτι NA ἀλλὰ B   μᾶλλον ὑπείκειν A   τῇ Ἀφροδίτῃ om. A   ἢ om. N   ἀντὶ τοῦ μάχεσθαι N   αὐτῇ om. A

446 ὅσῳ γὰρ ἀρνεῖταί τις τῆς θεοῦ τὴν δυναστείαν, τοσούτῳ μᾶλλον εἰς αὐτὸν ἐπιδείκνυται τὴν ἀνδραγαθίαν. καὶ στοχάζου μοι τῆς τιμωρίας τὴν ὑπερβολήν. κρείσσων γάρ ἐστι [τῆς τοῦ] λόγου δυνάμεως. τοῦτο γὰρ δηλοῖ τὸ πῶς δοκεῖς: — MNAB

λίαν: — Mg

447 φοιτᾷ δ' ἀν' αἰθέρα: ἐντεῦθεν ἄρχεται τὸ τῆς Ἀφροδίτης αὐξάνειν μέγεθος. ἐν θαλάσσῃ δὲ αὐτήν φησιν ἤτοι ἐπεὶ ἀφρογενής ἐστιν ἢ ἐπεὶ καὶ τὰ ἐν θαλάσσῃ ἀφροδισιάζει, καὶ ἔοικεν ἐκ τοῦ παραδόξου σεσημειωκέναι τὸ ὁμολογούμενον, φημὶ δὴ τὸ ἐπὶ γῆς εἶναι τὴν θεόν: — NAB

450 γεννήματα: — Mg

452 ἀντὶ τοῦ μέμνηνται: — MiBi

ἐν τοῖς λόγοις τῶν συγγραφέων: — Mg

455 ἡ καλλιφεγγὴς Κέφαλον: Κέφαλος εἷς ἐστι τῶν † ἐξ ἐνδυμίονος ἔγγονος, γαμεῖ δὲ Πρόκριν τὴν Ἀθηναίαν. ὅτι δὲ Κέφαλον ἡ Ἠὼς ἥρπασε διὰ κάλλος, καὶ Ὅμηρος εἴρηκεν [ἦν δὲ ὁ Κέφαλος Δηιονέως παῖς]: — NAB

456 ἔρωτος οὕνεκ': ταῦτα δυσωπητικῶς λέγει. ἤδη μὲν γὰρ ἐκ τοῦ μείζονος προκατεσκεύασεν εἰποῦσα καὶ θεοὺς ἐρᾶν. λοιπὸν δὲ καὶ τὸ δύσφορον καὶ τὸ μωρὸν αὐτῆς ἐλέγχει: — NAB

457 ναίουσι κοὐ φεύγουσιν: οὐκ ἀφίστανται καὶ πρὸς τοὺς οἰκείους παραγίνονται. ἀλλὰ σὺν τοῖς θεοῖς διατρίβουσιν. ἢ ἐπὶ τῶν ἐρώντων θεῶν· καὶ οὐ φεύγουσι τὴν δίαιταν τὴν μετὰ τῶν ἄλλων θεῶν αἰδούμενοι ὅτι ἐρῶσι. κοινὸν γὰρ κατὰ πάντων συμβαίνει τὸ τοῦ ἔρωτος πάθος: — NAB

---

1 τις om. M  τῆς] τοῦ A  δύναμιν M  τοσοῦτον N  3 δυνάμεωσ A  τῆς τοῦ deleui  4 δηλοῖ] ἐστι A  5 schol. Aristoph. Plut. 742 θαυμαστικόν, ἀντὶ τοῦ λίαν  6 lemma ex NAB  7 δὲ om. A  ἐπεὶ A ὅτι NB  8 ἐπεὶ NA ὅτι ἐπειδὴ B  9 σεσιωπηκέναι NB  δὲ B  13 γραφῶν Mg cf. Eust. p. 262,20 ἀεὶ ἐν μούσαις εἰμί. ὃ δὴ περὶ τῶν ποιητῶν ἢ τῶν ἁπλῶς λογίων Εὐριπίδης φησί  14 lemma ex N  Κέφαλος om. N  14. 15 ἐνδυμίωνοσ NB  15 ἔγγονοσ om. B  14. 15 τῶν ἑκατόν, Δηιονέως ἔγγονος coni. Wilamowitz *phil. Unters.* 1 p. 146[65] τῶν ἐκ ξέν⟨ων Ἀθηναίων γενομένων, υἱὸς μὲν ὢν⟩ Δηιόνος, ⟨Αἰόλου δ'⟩ siue τῶν ⟨Αἰόλ ου⟩ ἐκ Δηιόνος ἐγγόνων ego  15 γαμεῖ δὲ NA οὗτοσ γαμεῖ B  Πρόκριν Barnes πρόκνην NAB  16 καὶ Ὅμηρος ad ο 249 refert Wil  16. 17 ἦν — παῖς del. Wilamowitz  δηιονέωσ A  18 lemma ex NAB  λέγεται NA  γὰρ om. N  19 τῶν μειζόνων NB  21 lemma ex NAB  καὶ πρὸς τοὺς οἰκείους scripsi π. τ. οἰ. καὶ NAB  23 θεῶν — θεῶν om. N  τῶν om. A

πορρωτάτω: — Mg

459 σὺ δ' οὐκ ἀνέξῃ; χρῆν σ': ἐπὶ συνθήκαις. ἐχρῆν τὸν πατέρα σου γεννῆσαί σε ἐπὶ ὡρισμένοις, ἢ ἐπ' ἄλλοις δεσπόταις θεοῖς: — NAB

ὁμολογίαις: — Mg

461 † εἰ μὴ τούσδε γε στέρξεις νόμους: εἰ μὴ ἔμελλες καὶ αὐτὴ κατὰ τοὺς λοιποὺς ἅπαντας ἀνθρώπους ὑποκεῖσθαι καὶ δουλεύειν τοῖς θεοῖς πᾶσιν ἐπίσης [δηλαδὴ πᾶσιν ἀνθρώποις], ἐχρῆν τὸν γεννῶντά σε πατέρα ἐπὶ ὡρισμένοις τισί σε προαγαγεῖν καὶ μὴ κατὰ τὸ κοινὸν τῶν ἀνθρώπων, οἷον· οὕτω σε γεννῆσαι ὥστε ὡρίσθαι σε τοῖσδε μὲν ὑποκειμένην θεοῖς ἢ καὶ πάθεσιν ἀνθρωπίνοις, τοῖσδε δὲ μή: — A

ὑπομενεῖς: — Mg

462 πόσους δοκεῖς: ἕως τοῦ εὖ φρονεῖν καὶ οὐχ ὑπ' ἀγνοίας ἀνεξικακοῦντας, ἵνα μὴ τοῦτο ἀντιθῇς: — NAB

463 νοσοῦνθ' ὁρῶντας: μὴ δοκεῖν ὁρᾶν τὰ πταίσματα, τῇ κοινῇ δυναστείᾳ τοῦ ἔρωτος συγγινώσκοντας: — NAB

464 πόσους δὲ παισὶ πατέρας: πόσους δὲ οἴει πατέρας τοῖς παισὶν ἡμαρτηκόσι δι' ἔρωτα συμβαστάζειν [αὐτοῖς] τὴν παρὰ τῆς Ἀφροδίτης νόσον καὶ τοσοῦτον ἀπέχειν τοῦ μέμφεσθαι ὥστε καὶ συγκάμνειν εἰς τοὺς ἔρωτας αὐτοῖς. τὸ γὰρ ἐλέγχειν τὰ τοιαῦτα οὐδὲν ⟨ἕτερόν⟩ ἐστιν ἢ συμφορὰν ὀνειδίζειν: — NAB

465 τὸ γνωμικὸν ἐπήνεγκεν πρὸς τὸ μὴ δοκεῖν ὁρᾶν· καὶ ⟨κατὰ⟩ τοῦτο πολλοὶ ὁρῶντες τὰ λέχη νοσοῦντα οὐκ ἐξελέγχουσι, νομίζοντες συμφορὰν ⟨ἂν⟩ ὀνειδίζειν. τὸ δὲ τῆς στιγμῆς ἀμφιβόλως ἔχει· ἤτοι γὰρ ἐπὶ

---

2—4 simile scholion fuit in M cuius haec supersunt .... μόνοισ λόγοισ ........ ⟨τ⟩ῆσ ἀφροδίτησ ................: — 2 lemma ex N 3 δεσπόταισ om. A 4 in fine add. εἰ μὴ στέργεισ δὲ νόμουσ τῆσ ἀφροδίτησ φησὶ καὶ τοῦ ἔρωτοσ B 8 δηλαδὴ — ἀνθρώποις del. Wil 9 παραγαγεῖν A 12 ὑπομένη Mg 13 lemma ex N ἕωσ τὸ NB ὑπ' ἀνοίασ A ὑπονοίασ N 14 ἀντιθῆσαν N ἀνατιθῆσ A 15 lemma ex NAB μὴ δοκεῖν ὁρᾶν om. N 16 ante τοῦ ins. καὶ τῇ A 17 lemma ex NB πατέρας] πόσουσ δὲ A 18 post ἡμαρτηκόσι ins. πατέρασ A αὐτοὺσ A deleui τὴν παρὰ τῆς Ἀφροδίτης Matthiae παρὰ τῆσ [τοῖσ N] ἀφροδίτησ τὴν NB παρὰ τὴν ἀφροδίτην τὴν A 20 τοὺς] τὰσ N μὲν γὰρ A μὲν N ἕτερον addidi 21 post ἐστιν add. ἄλλο ἀλλ' B 22 breue scholion huic uersui adscriptum fuit in M καὶ κατὰ ego κατὰ Wil 23 post ὁρῶντες add. καὶ N νοσοῦντεσ N 24 ἂν addidi

τοῦ θνητῶν ὑποστικτέον, ἵν' ᾖ· ἓν γὰρ τῶν σοφῶν τοῦ ἀνθρώπου τοῦτό ἐστι, τὸ λανθάνειν ἑαυτὸν προσποιεῖσθαι τοῦ πλησίον τὰ μὴ καλά, ⟨τὰ⟩ ἁμαρτήματα· τὸ γὰρ ἐξελέγχειν τὰ τοιαῦτά ⟨ἐστιν⟩ ἄντικρυς ὀνειδίζειν συμφοράν. ἢ ἐπὶ τοῦ ἐστί ὑποστικτέον, ⟨ἵν' ᾖ⟩ ὁ νοῦς· ἐν γὰρ τοῖς σοφοῖς ἔνεστι τὸ λανθάνειν ἑαυτὸν προσποιεῖσθαι θνητῶν τὰ μὴ καλά. βελτίων δὲ ἡ προκειμένη ἐξήγησις: — N

467 οὐδ' ἐκπονεῖν τοι χρή: οὐδὲ καταπονεῖσθαι δεῖ πάνυ τοὺς ἀνθρώπους ἀντέχοντας πρὸς τὸν ἔρωτα: — NAB

† ἄλλως: ἐνταῦθα τὸ ἐκπονεῖν λίαν τὸν βίον τοιοῦτόν ἐστιν ὡς οὐ χρὴ τὸν ἄνθρωπον βιάζειν ἑαυτὸν ὥστε ὑπερανέχειν τήν τε ἀναγκάζουσαν φύσιν καὶ τὰ συμπίπτοντα ⟨πάθη⟩. τὸ γὰρ ἐκπονεῖν τοιαύτην ἔχει σημασίαν, τὸ λίαν ⟨πονοῦντα⟩ σπεύδειν κερδαίνειν. δεῖ γὰρ ποτὲ μὲν ἐκτείνειν πόνοις τὸ σῶμα, ποτὲ δὲ ἀνιέναι. τὸ δ' ἐκπονεῖν ἤτοι ἀεὶ ἐθέλειν πονεῖν οὐ πρὸς καλοῦ τοῖς ἀνθρώποις: — A

468 οὐδὲ στέγην γάρ: οὐδὲ στέγην γὰρ ὑφ' ἧς οἱ δόμοι κατηρεφεῖς γίνονται, καλῶς ἀκριβώσειαν, ἀντὶ τοῦ· ⟨οὐδ' ἂν⟩ τέκτονες τὸ μέτρον τοῦ διαστήματος τῶν δοκῶν φυλάξειαν ὡς μήτε ἐκείνην πολὺ ἀπέχειν μήτε τὴν ἄλλην πλησιάζειν. εἶτα πρὸς μὲν ξύλων συνθέσεις καὶ κανόνας εὐσυνθέτους οὐκ ἐφίκετο τῆς ἀκριβείας ἡ τέχνη· σὺ δὲ τηλικαύτην συμφορὰν ἀπταίστως βούλει παραδραμεῖν: — NAB

469 εἰς δὲ τὴν τύχην: εἰς δὲ πέλαγος ἄδηλον τῆς τύχης εἰσπεσοῦσα πῶς δοκεῖς ἐκκολυμβῆσαι; οἰκειότατα δὲ τῇ λέξει κέχρηται

1 τὸ θνητὸν N 1—3 ἓν — ἁμαρτήματα habet B adiuncta scholio 21— p. 62,2 1 ἐν NB τὸν σοφὸν N τοῖς σοφοῖς B τῶν ἀνθρώπων B 2 ἔνεστι N ὑπάρχει B post ἑαυτὸν add. καὶ B τῶν πλησίον B τοῦ πλησίου [οὐ del.] τὸν N τὰ addidi 3 ἐστιν addidi ὀνειδίζει N 4 τοῦ ἐστί scripsi τούτου N ἀποστικτέον N ἵν' ᾖ addidi 5 θνητὸν N post τὰ add. τὸν N 7 lemma ex NAB [χρῆν AB χρή N] initio add. οὐκ ἐξακριβάζεσθαι B οὐδὲ A οὐ γὰρ N οὐ B 7. 8 τοὺς ἀνθρώπους πάνυ scripserim 11 πάθη suppl. Wil: spatium fere III litterarum uacuum rel. A 12 πονοῦντα suppleui: spatium fere VI litterarum uacuum rel. A 13 πόνους A 15 lemma ex NA 15—20 scholio 7. 8 adi. B 15 οὐδὲ — γὰρ om. N 16 ἀντὶ τοῦ οὐδ' ἂν τέκτονες scripsi ἀντὶ τοῦ τέκτονες A ἀντὶ τοῦ τέκτονες καὶ N οἱ τέκτονες δηλονότι καὶ B τέκτονες, ἀντὶ τοῦ· οὐκ ἂν Wil 17 τῶν δοκῶν Valckenaer τῶν δόμων AB om. N 21 lemma ex AB δὲ om. N 21. 22 εἰσπεσοῦσα πῶς δοκεῖς ἐκκολυμβῆσαι scripsi ἐκκολυμβῆσαι πῶς δοκεῖς ἐκπεσοῦσα N ἐκκολυμβῆσαι AB Hesych. ἐκνεύσας ἐκκολυμβήσας

ὡς ἐπὶ πελάγους καὶ χειμῶνος. ἀκολούθως δὲ καὶ τῷ πεσοῦσα πρὸς τὴν μεταφορὰν ἐχρήσατο: — NAB

470 πολλήν: — M$^g$

ζῆσαι: — M$^g$

471 ἀλλ' εἰ τὰ πλείω: ἀλλ' ἐὰν ἔχῃς περισσότερα καλὰ καὶ ὀλιγώτερα κακά, ἄνθρωπος οὖσα καλῶς πράξειας ἄν: — NAB

473 ἀλλ' ὦ φίλη παῖ: τῶν δυσφορουσῶν καὶ ὑπὲρ φύσιν φθεγγομένων καὶ ἐπ' ἔρωτι θάνατον μηχανωμένων. τὸ γὰρ ἀρχόμενόν τινα δυσφορεῖν οὐδὲν ἕτερόν ἐστιν ἢ κρείσσονα ἑαυτὸν νοεῖν τοῦ κρατοῦντος καὶ τὴν δεσποτείαν ἄδικον εἶναι λέγειν: — NAB

475 τάδ' ἐστί, κρείσσω: ἢ καθὸ μὴ βούλεται ὑποκεῖσθαι τῇ Ἀφροδίτῃ, ἢ ἐπεὶ καὶ οἱ θεοὶ πολλάκις ἐρῶσιν, ὡς καὶ ἡ γραῦς ἔφη. διὰ τούτου δὲ θεραπεύει τὴν ὑποψίαν τῆς αἰσχρότητος, εἰς θειοτέραν ἀνάγκην τὸ ἀκούσιον τῆς γνώμης ἀναφέρουσα: — NAB

476 ὑπόμενε: — M$^g$

477 νοσοῦσα δ' εὖ πως: καλῶς σαυτὴν διάθες καὶ γενναίως φέρε αὐτήν. οἷον· μὴ ἡττῶ τῇ νόσῳ, ἀλλὰ γενναίαζε: — NAB

ἄλλως: καλῶς πως σαυτὴν διάθες. ἢ καλῶς διατίθει τὴν νόσον καὶ ὑπότασσε σαυτήν. οἷον· μὴ ἡττῶ τῆς νόσου, ἀλλὰ γενναίως φέρε καὶ ἐπὶ πέρας ἄγε αὐτήν: — NAB

478 ἐπᾴσματα: — M$^g$

480 ἢ τἄρ' ἂν ὀψέ γ' ἄνδρες: βραδέως ἂν οἱ ἄνδρες διανοηθεῖεν περί τινος, εἰ μὴ ἡμεῖς αἱ γυναῖκες μηχανὰς εὑρήσομεν. εἰ γὰρ αἱ γυναῖκες ἀπορήσομεν πανουργιῶν, πόσῳ μᾶλλον οὐκ εἰς ἔσχατον ἀμηχανίας περιπεσοῦνται οἱ ἄνδρες; ὥσπερ γὰρ τὸ νοῦν ἔχειν δέ-

---

1 δὲ om. A    τὸ μεταπεσοῦσα A    2 συμφορὰν NB    ἐκτήσατο A    4 in uersu ἐκπνεῦσαι M    5 lemma ex NB    5. 6 πλείονα ἔχῃς καλὰ βραχύτερα δὲ κακὰ B    6 ἄνθρωπος οὖσα om. NB    7 lemma ex NAB    τῶν δυσφορουσῶν καὶ scripsi τῶν συμφορῶν οὐσῶν καὶ NA τῶν B τῶν ἀσυμφόρων βουλῶν καὶ Wil    8 post φθεγγομένων add. φρενῶν NB    post μηχανωμένων add. λῆγε B    9 κρεῖσσον A    11 lemma ex A    12 καὶ (prius) om. NA    13 τοῦτο A    εἰς] διὰ A    14 ἑκούσιον N    16 lemma ex NAB    ἑαυτὴν N    18 αὐτὴν A om. B    διάθες — καλῶς om. AB    20 αὐτὴν om. NB    22 lemma ex NAB [ἦτ' ἄρα τ' N ἡ γὰρ ἂν A ἦτ' ἄρα γ' B]    22. 23 διανοηθεῖεν Pal. 343 νοηθεῖεν A διαμυθεῖεν N διαμυηθεῖεν B    23 πρὸς N παρὰ A    ἡμεῖς om. A    ἀνευρήσομεν B    24 πόσω μᾶλλον NB πῶς ἂν A    25 ἄνθρωποι A    γὰρ καὶ N    τὸν νοῦν A

δοται τοῖς ἀνδράσιν, οὕτως τὸ πανουργεῖν καὶ μηχανὰς ἐξευρίσκειν ταῖς γυναιξί: — NAB

ὄντως γάρ. οὐδόλως οὐδέποτε: — M

482 Φαίδρα, λέγει μέν: πρὸς μὲν τὴν παροῦσαν, φησὶ, συμφορὰν τοῦ ἔρωτος χρησιμώτερά σου λέγει ἡ τροφὸς, ᾗ σὺ μὲν ἐκβάλλεις σαυτὴν ζωῆς, ἡ δὲ τὸ ζῆν σοι προξενεῖ. σὲ δὲ, φησὶν, ὅμως ἐπαινῶ τῆς σωφροσύνης. συγκριτικῶς δὲ εἶπε τὸ δυστυχέστερος, ὡς ἂν ἀμφοτέρων τῶν λόγων τὸ δυστυχὲς κεκτημένων, τοῦ μὲν διὰ τὴν αἰσχύνην, τοῦ δὲ διὰ τὸν θάνατον. ἐμφαντικώτερον δὲ καὶ ἀλγίονα εἶπεν ⟨τὸν⟩ ἔπαινον τὸν οὐχ ἡδονὴν κατὰ τοὺς ἄλλους ἐπαίνους, ἀλλὰ θάνατον προξενοῦντα τοῖς ἀκούουσιν: — NAB

τὴν μὲν αἰνεῖ τὴν δὲ θαυμάζει ...... ἕνεκεν τῆς σωφροσύνης ὁ ................ ⟨σω⟩φροσύνης: — M

Φαίδρα: τὴν μὲν αἰνεῖ διὰ τὸ χρήσιμον καὶ πιθανὸν τῆς γνώμης, τὴν δὲ θαυμάζει διὰ τὸ βέβαιον τῆς σωφροσύνης: — NB[i]

484 ὁ δ' αἶνος οὗτος: ἴσθι μέντοι τοῦτο ὅτι ὁ ἔπαινος τῆς σωφροσύνης ὁ παρ' ἐμοῦ λεγόμενος, εἰ καὶ καλλίων ἐστὶ τῶν ταύτης λόγων, ἀλλ' οὖν γε δυστυχέστερος αὐτῶν, καθὸ θάνατόν σοι προξενεῖ. διὰ τοῦτο εἰκότως ⟨ἂν⟩ εἴη σοι λυπηρὸς ἀκούειν, εἰς ἀπώλειάν σε προτρεπόμενος. ἀλγίονα δὲ ἔφη τὸν ἔπαινον ὡς ἂν μηδὲ ἐπαίνου φύσιν εἰληχότα. οἱ γὰρ ἔπαινοι ἥδουσι τοὺς ἐπαινουμένους: — NAB

486 τοῦτ' ἔσθ' ὃ θνητῶν: μάλιστα τὰς πολιτείας τοῦτο ἀπόλλυσι, τὸ τὰ κεχαρισμένα τῷ δήμῳ λέγειν πρὸς τὴν ἰδίαν σύστασιν. ὅταν γὰρ ἁμαρτάνοντί τινι μὴ πρὸς σωτηρίαν, ἀλλὰ πρὸς αὔξησιν τῆς ἁμαρτίας συμβουλεύῃ τις, οὗτος διὰ τῶν ἡδέων λόγων ἀπόλλυσι τὸν

---

1 τὸ om. A 4 lemma ex NA φησὶ om. A 5. 6 ἡ — προξενεῖ om. N 7 δὲ om. N 8 δυστυχέστερος om. N τὸ δυστυχὲς om. N 9 τῶν N τὸν A (bis) δὲ om. N 10 εἶπεν καὶ ἀλγίονα N τὸν ἔπαινον τὸν ego ἔπαινον τὸν NAB τὸν ἔπαινον Wil 11 προξενοῦντα post ἡδονὴν coll. B 11. 12 τοῖσ ἀκούουσιν post ἐπαίνους coll. B 15 τὴν B[i] τὸν N 17 lemma ex NAB τοῦτο ὅτι Arsenius τοῦτο NB om. A 18 καὶ om. N καλῶσ A 20 ἂν addidi λυπηρὸν N λυπηρῶσ A 21. 22 μήτε NAB 22 ἐπαίνου — εἰληχότα] ἔπαινον καθαρῶσ ἔχοντα B φύσιν scripsi φησὶν NA 24 lemma ex NAB 26 τινι om. NB 27 ἁμαρτίας] σωτηρίασ A οὕτωσ A

ἁμαρτάνοντα. οἱ ἡδεῖς γὰρ λόγοι καὶ πλανητικοὶ ἀπολλύουσι τὰς καλῶς οἰκουμένας πόλεις καὶ τοὺς οἴκους: — NAB

488 διαβάλλει τὴν φύσιν τῶν ἡδέων ὡς ἄχρι τῆς ἀκοῆς τὸ χρήσιμον ἐχόντων. οὐ γὰρ τὰ πρὸς ἡδονὴν δεῖ λέγειν, ἀλλὰ τὰ πρὸς δόξαν: — NA$^g$B$^i$

490 ἀλαζονεύεις: — M$^g$

οὐ χρεία ἐστὶν εὐσχημο⟨σύνης⟩, ἀλλ' ἀνδρός: — M

491 ὡς τάχος διϊστέον: διαγνωστέον πειρατέον. ὁ δὲ νοῦς· ἀλλὰ πειρατέον τῆς γνώμης τοῦ Ἱππολύτου, ποῖος ἔσται πρὸς τὰ λεγόμενα: — NAB

492 τὸν εὐθὺν ἐξειπόντας: ἐκ γὰρ τῆς συντόμου ὁμιλίας ἐλεήσειεν ἂν τὸ τῆς φύσεως αἰφνίδιον νόσημα καὶ οὐκ ἂν ἐκ τοῦ ποικίλου τῆς ἀπαγγελίας ὡς ἐθάδα σε τῆς νόσου μισήσειεν: — NAB

τὸν ἁπλοῦν κα⟨ὶ⟩ σύντομον καὶ ἀ⟩ληθινόν: — M

496 πρὸς τ⟨ὴν εὐν⟩ήν: — M

497 οὐκ ἐπίφθονον: σῶσαι βίον: — N

οὐκ ἐπίφθονον τόδε: ἀντὶ τοῦ· ⟨οὐ⟩ νεμεσητὸν οὐδὲ μεμπτὸν τὸ σῶσαι τὸν βίον διὰ τῆς ἐκπληρώσεως τοῦ ἔρωτος, εἴγε δεύτερα πάντα τῆς σωτηρίας ἡγούμεθα: — NAB$^i$

499 καὶ μὴ μεθήσεις: ἀπειρηκυῖα τοῖς σοφίσμασι τῆς γραὸς παρακαλεῖ μηκέτι περὶ τοιούτων γυμνάζειν μηδὲ λέγειν ὅτι καλῶς καὶ μετρίως ὑπείργασται αὐτὴν ὁ ἔρως * * οὐ παράλογος οὐδὲ ἄξιος θανάτου: — NAB

500 αἰσχρὰ μὲν τὰ λεχθέντα: — M

---

1 ἁμαρτήσαντα B ἀπόλουσι N ἀπόλλυσι A 2 καλῶς om. A δόμους B 3 δεῖσ' ἀλλατ' ἀνδρόσ lemma in N initio add. οὐ πρὸσ ἡδονὴν λεγόμενοι B$^i$ post διαβάλλει add. δὲ B$^i$ ὡς om. N 3. 4 χρήσιμον] τερπνὸν A$^g$ 8 lemma ex A ὁ δὲ νοῦς om. N 9 τοῦ om. N 9. 10 ποῖος — λεγόμενα om. A 9 ἔστι N 11 lemma ex NAB 11. 12 ἐλεήσειεν ἂν scripsi ἐλεύσειε N ὀλέσειεν A ὀλέσειε B 13 ἐπαγγελίασ NA ἐθάδα σε scripsi ἐθάδασ NAB μισησειεν$^{νο}$ N μισήσειασ A 17 lemma ex NA ἀντὶ — νεμεσητὸν om. B$^i$ ἀντὶ N ἄγει A οὐ om. NA οὐ B$^i$ post μεμπτὸν add. φησι B$^i$ 18 τὸ] τοῦ A ante τὸν add. σου B$^i$ post πάντα add. τὰ A 20 lemma ex N 21 τοιοῦτον A τοιούτου N 22 εἰργασθαι N εἴργασται B αὐτῇ N ὁ om. B suppleuerim e. g. μηδ' ὅτι ὁ ἔρως. ne lacuna statuatur, καλῶς — αὐτὴν del. Wil

*αἴσχρ' ἀλλ' ἀμείνω*: παρὰ μὲν ἑτέρῳ τινὶ μὴ ἐρῶντι αἰσχρὰ ⟨ἂν⟩ νομισθείη, παρὰ σοὶ δὲ βελτίω εἰσὶ τῶν παρὰ σοῦ καλῶς λεγομένων, καθὸ τὰ μὲν θάνατον, τὰ δὲ σωτηρίαν σοι περιποιεῖ. πρὸς πλείονα δὲ πειθὼ τὸ μὲν ἔργον, τὸ δὲ ὄνομα ἐκάλεσεν, ὡς τοῦ μὲν τῇ ἀληθείᾳ σωτηρίαν ἔχοντος, τοῦ δὲ τὸ ἐπάγγελμα ἐν φήμῃ καὶ ἀμφιβολίᾳ τοῖς ἔξωθεν: — NAB

*ἄλλως*: τὰ δοκοῦντά σοι αἰσχρὰ εἶναι τῶν καλῶν λόγων κρείσσονά εἰσιν. ἢ αἰσχρὰ μὲν τὰ λεχθέντα τῷ προστυχόντι, σοὶ μέντοι νοσούσῃ τὸν ἔρωτα βελτίονα: — NAB

501 τὸ αἰσχρὸν ἔργον: — Mg

502 ἀλαζονευομένη: — Mg

503 *εὖ λέγεις γάρ*: καλῶς μὲν λέγεις καὶ πιθανῶς, αἰσχρὰ δέ ἐστι τῇ φύσει τὰ λεγόμενα καὶ μή γε πρὸς θεῶν πέρα προβῇς τι τῶν λόγων τούτων μηδὲ σοφιζομένη λέγε, ὅτι καλῶς ὑπείργασμαι καὶ ὑποθάλπομαι τὴν ψυχήν, καὶ καρτερῶ τῷ ἔρωτι, καὶ οὐδὲν ἡμᾶς ἔβλαψεν ἄξιον θανάτου: — NAB

διὰ μέσου: — Mg

505 *τὰ αἰσχρὰ δ' ἢν λέγῃς*: ὅταν δὲ τὰ αἰσχρὰ πιθανῶς λέγῃς, τῇ δεινότητι διαφθαρήσομαι ἐγὼ καὶ ἐμπέσω εἰς ὃ φεύγω, τουτέστι τὴν ὁμιλίαν καὶ συνουσίαν τοῦ ἐρωμένου: — NAB

506 πεσοῦμαι ἡττηθήσομαι: — Mg

507 εἰ δοκεῖ σοι σωφρονεῖν, ὤφειλες μηδὲ τὴν ἀρχὴν ἁμαρτάνειν ἐρασθεῖσα· ὅμως κἂν ταύτην ἥσσονά μοι χάριν δός. τινὲς δὲ οὕτως· εἰ δοκεῖ σοι μὴ πείθεσθαι εἰς τοῦτο, ἐχρῆν μὲν οὖν σε μὴ σφάλλεσθαι ἀπειθοῦσαν· εἰ ⟨δὲ⟩ δέδοκταί σοι τὸ μὴ πεισθῆναι, ⟨κἂν δευτέραν⟩ καὶ ἥσσονά μοι χάριν δός: — M

μὴ δυνηθεῖσα τοῖς σοφισμοῖς περιγενέσθαι, δευτέραν εἰσηγεῖται

---

1 lemma ex NAB ἐρωτῶντι N ἂν add. Wil 2 ante παρὰ add. τὰ A 3 σοι om. N 4 τοῦ scripsi τούτου NAB 5. 6 τοῖς ἔξωθεν corrupta, temptaui τάξαντος 8 ἐστιν B μὲν τῇ N 12 lemma ex NAB 12. 13 καλῶς — λεγόμενα habet M 12 μὲν M μὲν γὰρ NAB 13 ἐστι om. N 14 καλῶς scripsi καλὸν NAB 18 lemma ex NB 19 post λέγῃς add. καλὰ AB τουτέστι] τοῦ A 20 in fine add. δέδοικε γὰρ ἡ φαίδρα μὴ λαθοῦσα ἁλῶι τῆι πιθανότητι B 22 δοκεῖ σοι scripsi δοκεῖσ M 23 ἐρασθεῖσαν M 24 εἰσ τοῦτο post πεισθῆναι collocauerim 25 ἀπειθοῦσαν] scripserim πεισθεῖσαν δὲ addidi κἂν δευτέραν in loco detrito suppleui 27 σοφίσμασι N

γνώμην ἡ γραῦς καὶ ὑπισχνεῖται ἀντιτρώσειν κἀκεῖνον φαρμάκοις τισίν, ὅπως ἂν θαρσαλεώτεραι αὐτῷ τὸν ἔρωτα μηνύσωσιν ὡς πάντως πείσουσαι. εἰ τοίνυν, φησί, δοκεῖ σοι τὸ μὴ συνελθεῖν τῷ ἐρωμένῳ, ἔδει σε μηδὲ τὴν ἀρχὴν ἁμαρτάνειν ἐρασθεῖσαν. καὶ εἰ τὸ σωφρονεῖν σοι δέδοκται, ἔδει μηδ' ὅλως ἁλῶναι τῷ ἔρωτι. κἂν δευτέραν χάριν μοι δός, δευτέρῳ τρόπῳ πεισθεῖσα, τῷ τῶν φαρμάκων. ἔστι δέ μοι, φησίν, ἐν τῇ οἰκίᾳ φάρμακα ἐρωτικά, ἃ δύναται παῦσαί ⟨σε⟩ τῆς νόσου καὶ τελέσαι τὸν ἔρωτα, ἀντιτρώσαντα τὸν ἐρώμενον. εἰ δὲ πάλιν σὺ ἀπειθήσασα οὐκ ἐάσεις με τοῦτο ποιῆσαι, βλάβη σοι γενήσεται: — NAB

ἄλλως: τινὲς οὕτως· εἰ δοκεῖ σοι σωφρονεῖν, ὤφειλες μηδέν μοι λέγειν· εἰ δὲ δέδοκταί σοι τὸ μὴ πεισθῆναι, κἂν δευτέραν καὶ ἥσσονά μοι χάριν δός: — NAB

ἔπρεπεν οὖν σε μηδαμῶς ἁμαρτάνειν: — M[i]

511 πάντως γὰρ κἀκείνου ἐρῶντος οὐκ ἂν ἀποτυχοῦσα τῆς κοινωνίας ἠσχυνθείης: — MNAB

τῶν ἐννοιῶν: — M[g]

512 παύσει νόσου τῆσδ': τὸν ἔρωτα ὑποληπτέον. ἅτινα φίλτρα οὔτε δύσκλειαν πορνείας σοι προσθέντα οὔτε ἀπατήσαντά σε σοφισμοῖς παύσει: — NB

513 τοῦ Ἱππολύτου δηλονότι: — M[g]

514 σημεῖον ἢ λόγον: δεῖ, φησίν, ἐν τῇ φαρμάξει ἐκ τοῦ Ἱππο-

---

1 ἐκεῖνον A 2 θαρσαλειώτεροι N θαρσαλεώτερον A πείσασαι A 3 ἔδει] ἔδει δε N 4. 5 καὶ — ἔρωτι his insertis paraphrasin uerborum εἰ δ' οὖν πιθοῦ μοι interiisse crediderim δέδεικται N 5 ἔδει δὲ N post κἂν add. γοῦν φησὶ B μοι χάριν A 7. 8 παῦσαί σε τῆς νόσου scripsi παῦσαι τῆσ νόσου NA σου παῦσαι τὴν νόσον B 8 τρώσαντα δηλονότι B 9 με om. A ποιῆσαι] γίνεσθαι A τὸ γινόμενον A 10—12 scholio quod praecedit adi. N add. δὲ post τινὲς 11 τινὲς οὕτως om. A μοι om. NA 12 μὴ πεισθῆναι B μὴσθῆναι N πεισθῆναι A 14 ἐπέτρεπεν M[i] 15. 16 scholio 11—13 adi. NAB κἀκείνου — ἠσχυνθείης om. A spatio uacuo relicto 15 post κἀκείνου add. οὕτωσ NAB 16 ησχυνθείησ agnoui in M ἡττηθείησ NB 18 lemma ex NB ὑποληπτέον ego προσληπτέον NB post φίλτρα add. ἤτοι φάρμακα τὰ θέλγοντα εἰσ φιλίαν B 19 προσθέντα scripsi πειθέντα Pal. 343 τιθὲν τα N θέντα B οὐδὲ NB σοφισμοῖς om. B 20 in fine add. τῆσ νόσου ἐὰν σὺ μὴ γένηι κακὴ ἀντὶ τοῦ εἰ μὴ ἀπειθήσασα κωλύσεισ με B 22 lemma ex NAB τοῖσ φαρμάκοισ N

λύτου σημεῖόν τι λαβεῖν, ἢ λόγου μνημόνευμα ἢ κρασπέδου ἀπόσπασμα· καὶ τὸν μὲν λόγον αὐτοῦ τῷ λόγῳ τῆς Φαίδρας συνάψαντας ἐπᾴδειν. τὸ δὲ ἀπόσπασμα τῆς ἐσθῆτος πάλιν ἐπαοιδῇ ἀποσπάσματι τῆς ἐσθῆτος Φαίδρας συνάπτειν, ἵν', ἐὰν τοῦ διὰ λόγου ἀποτύχωμεν, τῷ δι' ἐσθῆτος χρησώμεθα. συνάψαντες γὰρ ἄμφω τοὺς λόγους ἢ τὰ ἀποσπάσματα τῶν ἱματίων, οὕτως ἐπᾴδουσιν. οἷον· Ἱππόλυτος ὁ τόδε εἰπὼν ἐρασθείη Φαίδρας τῆς τόδε εἰπούσης. μερικῶς δὲ καὶ τὸ φυσιολογικὸν μᾶλλον διήγημα εἶπε συνάψαι τ' ἐκ δυοῖν μίαν χάριν. διὰ γὰρ φυσιολογιῶν τινῶν ἄμφω τὰς φύσεις εἰς ἕνα συνάγουσιν ἔρωτα. ἄριστα δὲ καὶ ἐνταῦθα ἡ διοίκησις· τὴν μὲν ὅλην φάρμαξιν οὐκ ἐπὶ σκηνῆς, ἀλλ' ἔνδον ποιῆσαι μέλλουσα, πιθανῶς ἤδη τὸ κεφάλαιον ὑπέθετο τῆς φαρμάξεως. ἔδοξε γὰρ ἂν ἐνοχλεῖν διηγουμένη φανερῶς: — NAB

516 ἆρα χριόμενον ἢ πινόμενον τὸ φάρμακον: — N

517 διδάσκει πῶς δεῖ τοῖς ἀναγκαίοις χρῆσθαι, εἰς τὴν παραυτίκα μόνον ἀπαλλαγὴν τῶν κακῶν καὶ ἀπόλαυσιν· οὐ γὰρ εἰς τὴν διηνεκῆ γνῶσιν. τὸ γὰρ τοιοῦτον πονηρίας ἐστὶν ἐπιθυμία καὶ διηνεκὴς τῆς κακουργίας ἀπόλαυσις. δεῖ οὖν πρὸς τὸ λυσιτελοῦν ἀπολαύοντας τῶν τοιούτων καταρρᾳθυμεῖν τῶν διηνεκῶν εἰδήσεων. ὠφεληθῆναι, φησί, βούλου μόνον, ἀλλὰ μὴ μαθεῖν τῆς ὠφελείας τὴν φύσιν: — NAB

518 δέδοιχ' ὅπως: ἐπειδὴ μεσότης ἐστὶ καὶ ὑπερβολὴ καὶ ἔλλειψις καὶ ἡ μὲν μεσότης ἐστὶ φρόνησις ἡ δὲ ἔλλειψις ἀφροσύνη ἡ δὲ ὑπερβολὴ πονηρία, διὰ τοῦτο εἶπε δέδοικα μὴ λίαν φανῇς σοφή, ἤτοι πονηρά. τὸ λίαν γὰρ ἐπαυξητικόν ἐστι τοῦ ⟨μέσου⟩, καὶ λοιπὸν

---

1 σημεῖον [ἢ σημεῖον N] ante ἐκ coll. NB    λόγων A λό^γ N    ἢ — ἀπόσπασμα om. N    ἀπόσπασμα om. A    2 τῷ om. NA    συνθέντας N    3 τῆς om. B    ἐσθῆτος] αἰσθήσεως N    ἐπαοιδῇ N ἐπαοιδῆς AB    ἀποσπάσματι Barnes σπάσματος N σπασ^μτ A ἐπάσματος B    3. 4 αἴσθητος N    4 συνάπτει N    ἐὰν τοῦ A ἑαυτοῦ N εἰ τοῦ B    τὸ A    4. 5 διαισθητος N    5 χρησόμεθα A    7 καὶ om. N    τὸ om. N    8 μᾶλλον διήγημα εἰπὼν NB διήγημα εἶπε A μαγγάνευμα εἶπε Wil καὶ μᾶλλον ἐν διηγήματι εἶπε ego    10 καὶ om. N    μὲν] γὰρ Wil    11 θέλουσα A    13 scholio quod praecedit adi. N    14—19 in M leguntur . . . . ἀλειφόμενον . . . ὠφελη . . μὴ μαθεῖν δὲ βου . . .    14 διδάσκου B    χρῆσθαι scripsi κεχρῆσθαι NAB    15 μόνην NA    καὶ ἀπόλαυσιν om. B    16 τῆς] τὴν N    17 οὖν] γὰρ N    18 εἰδέσεων N    19 in fine add. τὸ δὲ ὄνασθαι ὡς ἵστασθαι τὸ θέμα ὄνημι AB    22 διαβολὴ A    φανῇ A    23 μέσου suppleui, om. spatio uacuo rel. A

ἐκ τῆς πονηρίας βλάψεις μᾶλλον ἢ ὠφελήσεις. τῆς γὰρ φρονήσεως, ἤτοι τῆς μεσότητος, λειπούσης ἐξ ἀνάγκης ἄμφω αἱ κακίαι, ἤτοι ἡ πονηρία καὶ ἡ ἀφροσύνη, βλάπτουσι: — A

δέδοικα, φησί, μὴ ⟨λόγῳ⟩ μετιοῦσα τὴν φάρμαξιν ἔργῳ δηλώσῃς τὴν νόσον: — NA$^g$B

519 εἰ τὸ μηδὲν ἄξιον φόβου φοβῇ, πάντα ἂν φοβηθεῖσαν γνῶθι σαυτήν: — NAB

520 φοβοῦμαι μὴ ἐπ' ἐμοὶ σφόδρα τις πανοῦργος ἀποδειχθῇς μηνύουσα τῷ Ἱππολύτῳ τὸν πρὸς αὐτὸν ἀπ' ἐμοῦ ἔρωτα: — NB

521 οἰκονομικώτατα οὐδὲν πρὸς τὴν ἐρώτησιν ἀντέθηκεν καίτοι αὐτὴ ἐρωτήσασα τὴν Φαίδραν διὰ τί φοβοῖτο, ἀλλὰ μόνον φησὶν 'ἐγὼ ταῦτα θήσω καλῶς', οὐ βουλομένη κατήγορος ὕστερον ἑαυτῆς φωρᾶσθαι. τὴν Ἀφροδίτην δὲ ἐπικαλεῖται ὡς παραστατοῦσαν ταῖς τοιαύταις περιεργίαις: — NAB

524 τοῖς ἔνδον ἡμῖν: φίλον ὀνομάζει τὸν Ἱππόλυτον καθ' ἡδονὴν ἡ γραῦς, προλαμβάνουσα ταῖς ἐλπίσι: — NAB

ἄλλως: τὰ δὲ ἄλλα, ἃ φρονῶ, ἀρκέσει τοῖς ἔνδον διηγήσασθαι φίλοις, ὁποῖά ἐστι, καὶ μὴ ἐπὶ πάντων καὶ ἐπὶ τοῦ θεάτρου ταῦτα ἐκφέρειν: — NAB

ἄλλως: οὐ βούλομαι παρρησιάζεσθαι τὰ τῆς γοητείας, ἀρκεσθήσομαι γὰρ τοῖς ἔνδον εἰπεῖν: — A$^g$B

συμβουλεύσασθαι: — M$^g$

525 λοιπὸν ὁ χορὸς ἐκτείνεται πρὸς τὸν Ἔρωτα λέγων· ὦ Ἔρως, ὅστις διὰ τῶν ὀμμάτων τῶν ἀνθρώπων στάζεις τὸν πόθον, διὰ τούτου εἰσάγων ταῖς ψυχαῖς τὴν γλυκεῖαν ἡδονήν, καθ' ὧν ἂν ἐπιστρατεύσῃ τῷ ἐρωτικῷ τόξῳ καὶ ἐρᾶν ποιήσῃς. τὸ δὲ ἑξῆς οὕτως· ὦ Ἔρως, ὃς κατὰ τῶν ὀμμάτων τῶν ἐρωμένων ἡδονὴν καὶ ἐπιθυμίαν ἐπιχέεις, διὰ

---

4 λόγῳ add. Wil 6. 7 scholio quod antecedit adi. B initio add. τὸ δὲ πάντα ἂν φοβηθεῖσ' ἴσθι ἀντὶ τοῦ 8. 9 ἀποδειχθεῖσα μηνύσῃσ B 11. 12 ἀλλὰ — καλῶς om. A 13. 14 περιεργασίαισ B 15 lemma ex NAB
16 γραῖα N γραία A 17—19 scholio quod antecedit adi. NB initio add. ὁ δὲ νοῦσ 17 τοῖς scripsi ἄρα τοῖσ N ἄρα B om. A 18 καὶ (alterum) om. N 20. 21 ἀρκεσθήσομαι γὰρ B ἀρκεσθήσεται A$^g$ 21 εἰπεῖν Wil εἶναι A$^g$ om. B 24 τούτων N τοῦ A 25 εἰσάγειν A ante τὴν add. καὶ B γλυκεῖαν τὴν A ἂν N ψυχῶν ἂν A ἂν ψυχῶν B
26 ποιήσῃς] ποιεῖσ N ποιήσειε A ποιήσειασ B 26 — p. 69,2 τὸ δὲ — βέλεσιν om. N

τούτου ταῖς ψυχαῖς ἐκείνων εἰσάγων γλυκεῖάν τινα ἡδονήν, καθ' ὧν ἂν ἐπιστρατεύσῃ τοῖς ἐρωτικοῖς βέλεσιν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστι· ὅτε ἐπαναγκάσεις τινὰ ἐρᾶν, τῷ ἐρωμένῳ γλυκεῖαν ἐπιτίθῃς ταῖς ὄψεσιν ἡδονήν, ὅπως τοὺς ἐρῶντας αὐτοπροαιρέτῳ καθυποτάξῃς ἀνάγκῃ διὰ τῆς ἡδονῆς. τὸ δὲ ἑξῆς· ὦ Ἔρως Ἔρως, ὃς κατ' ὀμμάτων στάζεις πόθον, μή μοι ποτὲ σὺν κακῷ φανείης: — NAB

ὃ ἀντὶ τοῦ ὅς: — N

527 ψυχᾷ χάριν: ἀπὸ ἑνικοῦ εἰς πληθυντικὸν μετέβη. ἔδει γάρ, εἰσάγων ψυχῇ χάριν ᾗ ἐπιστρατεύσῃ. ἀλλὰ τὸ μὲν ἑνικὸν παρέλαβε πρὸς τὸ ὁμοιοπαθὲς τῆς ἀνθρωπίνης φύσεως, εἰς δὲ τὸ πληθυντικὸν ἐξέπεσε πρὸς ἐξήγησιν τοῦ κατὰ τὸν ἑνικὸν ἀριθμὸν δεδηλωμένου πληθυντικοῦ. εἰσὶ δὲ τὰ ὀνόματα οἰκεῖα ἔρωτι: — A

528 οὐ πάντῃ ἀπεύχεται τὸν ἔρωτα, ἀλλὰ τὸν ἐθελόκακον, ἐπεὶ καὶ ἀρετῶν εἰσὶν ἔρωτες: — MNAB

529 μηδ' ἄρρυθμος ἔλθοις: μηδὲ ἄμετρός τις καὶ ἄτακτος ἔλθοις. ῥυθμὸς γάρ ἐστιν ἡ μουσικὴ τάξις. πᾶς δέ τις ἔρως μεμετρημένος ἔχει μετὰ τῆς τάξεως τὸ χάριεν ἅμα καὶ ἀβλαβές: — NAB

530 οὔτε γὰρ πυρός: οὔτε γὰρ τὸ βέλος τοῦ πυρὸς οὔτε τὸ ὑψηλότατον βέλος τῶν ἄστρων τοιοῦτόν ἐστιν οἷον ἵησιν ἐκ χειρῶν ὁ Ἔρως ὁ Διὸς παῖς. εἶτα, ἵνα μὴ δόξῃ τὸ κοινὸν βέλος λέγειν, φησὶ τὸ τῆς Ἀφροδίτης, ἀπὸ κοινοῦ δὲ τὸ βέλος τοῦ πυρὸς καὶ τὸ βέλος τῶν ἄστρων: — NAB

ἄλλως: ἡ μὲν τοῦ πυρὸς βολὴ ⟨πρὸς⟩ τὸ δυνατόν, ἡ δὲ τῶν ἄστρων πρὸς τὸ ἐπιτευκτικόν. τὸ μὲν γὰρ ἀναλωτικὸν τῶν ἐμπιπτόντων, τὸ δὲ ὀξείας καὶ ἐξόχους ἔχον τὰς ἀφάς, ὥστε τὸ μὲν πρὸς τὴν ἰσχύν, τὸ δὲ πρὸς τὴν εὐστοχίαν. οὔτε γὰρ τοῦ πυρὸς οὔτε τῶν ἄστρων

---

1 γλυκεῖάν τινα ἡδονὴν εἰσάγων ταῖσ ψυχαῖσ ἐκείνων B 3 ἀναγκάσεισ A ἐπαναγκάζεις Wil ἐπιτίθῃς scripsi ἐπιτιθεὶσ NAB 5 ὦ om. A 6 in fine add. μηδ' ἄρυθμοσ ἔλθησ A 7 τὸ ὃ προτακτικὸν ἀντὶ τοῦ ὃς ὑποτακτικοῦ habet A[g] τὸ — ὑποτακτικοῦ ἄρθρου B[1] 8. 9 ἀπὸ — ᾗ habere uidetur M 11 ἀριθμοῦ A 12 οἰκεῖ (ω) A 13. 14 scholio p. 68, 23 — 6 adi. B add. δὲ post πάντῃ 13 ἐθελόκακον] ἐπὶ κακῶι B 13. 14 ἐπεὶ — εἰσὶν] εἰσι γὰρ καὶ ἀρετῶν B 15 — 17 κακόρρυθμοσ . . . habet M 15 lemma ex NAB τις om. N 17 τάξεως Wil ἰάσεωσ NAB εὐλαβέσ A in fine uerba ῥυθμὸσ — μεμετρημένοσ repetit A 18 lemma ex NA 19 χειρὸς NB ὁ om. A 23 ἡ] ὁ N βολὴ πρὸς scripsi περιβολὴ NA βολὴ B ἄστρων om. N 24 γὰρ om. N 26 εὐτυχείαν N

τῶν τὰς χειμασίας ἐμποιούντων τὸ βέλος κρεῖσσόν ἐστι τοῦ σοῦ βέλους: — NAB

535 παρά τ' Ἀλφεῷ: τουτέστιν· ἐν Ὀλυμπίᾳ ἡ Ἑλλὰς αὔξει θυσίας μὴ τιμῶσα τὸν Ἔρωτα: — NB[i]

μάτην θύομεν Διὶ Ὀλυμπίῳ καὶ Ἀπόλλωνι Πυθίῳ, μὴ τιμῶντες τὸν Ἔρωτα, τὸν ὄντα τύραννον μὲν ἀνθρώπων, φύλακα δὲ τῶν ἀφροδισίων θαλάμων, τὸν πορθοῦντα καὶ ὀλοθρεύοντα τὸν τῶν ἀνθρώπων βίον καὶ διὰ πάσης συμφορᾶς πόνους καὶ λύπας παρέχοντα καὶ παντὸς κακοῦ πειραθῆναι ποιοῦντα, ὅταν πρὸς αὐτοὺς ἔλθῃ: — NAB

536 ἐν τοῖς οἰκήμασι τοῖς Πυθικοῖς τοῦ Ἀπόλλωνος: — M[i]

537 τὴν διὰ βοῶν θυσίαν: — MA[g]

αὐξήσει: — M[g]

538 τύραννον ἀνδρῶν: καλῶς οὐ βασιλέα, ἀλλὰ τύραννον αὐτόν φησιν, ἐπειδὴ μὴ προνοεῖται τῆς τῶν ἀρχομένων ὠφελείας, μόνον δὲ ⟨τὰ⟩ λυσιτελοῦντα τῇ ἑαυτοῦ προαιρέσει κατεργάζεται ἐπίδειξιν τῆς δυναστείας ποιούμενος: — NAB

541 κληδοῦχον οὐ σεβίζομεν: τὸν φύλακα τῶν οἴκων τῆς Ἀφροδίτης οὐ τιμῶμεν. φύλακα δὲ τῶν ἀφροδισίων αὐτὸν ἔφη θαλάμων· δι' ἔρωτος γὰρ ἀφροδισιάζομεν καὶ τότε κατ' αὐτῶν ὁρμῶμεν, ὁπόταν ἐκεῖνος τὴν ἐπιθυμίαν εἰς ἡμᾶς ἐπιπέμψῃ: — NAB

542 πορθοῦντα ἡμᾶς τοῖς ἔρωσι καὶ [διὰ] παντὸς κακοῦ ποιοῦντα πειραθῆναι τοὺς ἀνθρώπους ὅταν πρὸς αὐτοὺς ἔλθῃ: — N

545 περὶ τῆς Ἰόλης ὁ λόγος ὅτι ὁ ταύτης ἔρως τὴν Οἰχαλίαν

---

1 κρεῖσσον N χεῖρον AB 1. 2 βέλοσ N 3 ὀλυμπιάδι NB[i]
5 καὶ] ἡ N ἡλίω A 6 ὄντα om. A τύραννον ego φύλακα NAB
9 ποιοῦντοσ NA 12 διὰ βοῶν A[g] . . . ρῶν M 14 lemma ex N
15 ἐπεὶ AB μόνον scripsi cf. schol. us. 359 πόνον NAB 16 τὰ addidi 18 lemma ex NB 18. 19 τῆς Ἀφροδίτης om. AB
19—21 φύλακα — ἐπιπέμψῃ] simile scholion fuit in M cuius haec supersunt φύλακα τ' ἀφροδισί(ων) θαλ(άμων) . . . . . δι' ἔρωτοσ εἰσ . . . . . . . . . . . 19 δὲ om. A ἀφροδισίων] τῆσ ἀφροδίτησ N αὐτὸν B αὐτῶν A om. N
20. 21 αὐτῶν — ὁπόταν om. A spatio uacuo relicto 20 κατ' αὐτῶν Pal. 343 καθ' αὐτῶν B τὰ καθ' αὐτὸν N 21 ὑπὸ τὰν N τὴν om. N ἐπιμέμψη N 22 διὰ deleui κακοποιοῦντα N
24 περὶ — τὴν om. A spatio uacuo relicto et signo lacunae apposito ὅτι ὁ ταύτησ B ὅταν τίσ N

ἐπόρθησεν. ἔνιοι μὲν οὖν φασιν ἀτιμασθέντα Ἡρακλέα ὑπὸ Εὐρύτου καὶ τῶν ἀδελφῶν αὐτῆς (οὐ γὰρ δεδωκέναι αὐτῷ τὴν κόρην) πορθῆσαι τὴν Οἰχαλίαν. Ἡρόδωρος [frg. 33] δέ φησιν ὅτι τοῦ τῆς Ἰόλης γάμου προκειμένου τοξείας ἐπάθλου Ἡρακλέα νικήσαντα ἀπαξιοῦσθαι τοῦ γάμου. διὸ καὶ κατὰ κράτος ἑλεῖν τὴν Οἰχαλίαν καὶ τοὺς ἀδελφοὺς αὐτῆς ἀνελεῖν, Εὔρυτον δὲ φυγεῖν εἰς Εὔβοιαν. Λυσίμαχος δέ φησιν ἐν τοῖς Θηβαϊκοῖς παραδόξοις [frg. 8] τριάκοντα ἀργυρίου τάλαντα ἀπαιτούντων ποινὴν ἐπὶ Ἰφίτῳ, οὕτως ἐπ᾽ αὐτοὺς Ἡρακλέα στρατεῦσαι: — NAB

τὴν Ἰόλην λέγει τὴν Εὐρύτου θυγατέρα, ἣν ἆθλον ἐπὶ τοξείᾳ θεὶς

---

1. 2 cf. Diodor. 4,31 ἐμνήστευσεν Ἰόλην τὴν Εὐρύτου . . ὁ δ᾽ Εὔρυτος διὰ τὴν ἐκ τῆς Μεγάρας . . ἀτυχίαν εὐλαβηθεὶς [cf. schol. Soph. Trach. 264 ἢ εἰς τὴν παιδοκτονίαν τῶν ἀπὸ Μεγάρας τέκνων ἢ ὅτι πολλαῖς πρῴην ὡμίλησεν γυναιξὶν ὡς Ἀπολλόδωρος (Ἡρόδωρος coni. Wil)] ἀπεκρίθη βουλεύσεσθαι περὶ τοῦ γάμου. ὁ δ᾽ ἀποτυχὼν τῆς μνηστείας διὰ τὴν ἀτιμίαν . . . 37 . . ἐστράτευσεν εἰς τὴν Οἰχαλίαν ἐπὶ τοὺς Εὐρύτου παῖδας ὅτι τὴν Ἰόλην μνηστεύσας ἀπέτυχε . . . τήν τε πόλιν εἷλε καὶ τοὺς Εὐρύτου παῖδας ἀπέκτεινε Hyg. 31 *Eurytum quod Iolen filiam eius in coniugium petiit et ille eum repudiauit, occidit* [= 35] 1 τὸν ἡρακλέα B 2 αὐτῆς scripsi αὐτοῦ NAB δεδωκέναι scripsi δεδώκασιν NAB κόρην] πόλιν A 3—6 Apollod. II 6,1 γῆμαι θέλων ἐπυνθάνετο Εὔρυτον . . . . ἆθλον προθεῖναι τὸν Ἰόλης τῆς θυγατρὸς γάμον τῷ νικήσαντι τοξικῇ αὐτόν τε καὶ τοὺς παῖδας τοὺς αὐτῷ ὑπάρχοντας. ἀφικόμενος οὖν εἰς Οἰχαλίαν καὶ τῇ τοξικῇ κρείττων αὐτῶν γενόμενος οὐκ ἔτυχε τοῦ γάμου . . . Εὐρύτου . . καὶ τῶν λοιπῶν [praeter Iphitum] . . . . δεδοικέναι λεγόντων μὴ τεκνοποιησάμενος τὰ γενόμενα πάλιν ἀποκτείνῃ II 7, 7, 5 στρατιὰν ἐπ᾽ Οἰχαλίαν συνήθροιζεν Εὔρυτον τιμωρήσασθαι θέλων . . . κτείνας μετὰ τῶν παίδων Εὔρυτον αἱρεῖ τὴν πόλιν schol. Soph. Trach. 266 δῶρον τοξείας προθεὶς τὴν Ἰόλην νικήσαντι Ἡρακλεῖ οὐκ ἠγγύησεν schol. E 392 Εὔρυτος . . . προέθηκε τὸν τῆς θυγατρὸς Ἰόλης γάμον τῷ κατὰ τὴν τοξικὴν αὐτὸν νικῆσαι δυναμένῳ ἤ, ὥς τινες, τοὺς παῖδας . . . . Ἡρακλέους δὲ διαγωνισαμένου ἀγανακτήσας ὁ Εὔρυτος οὐκ ἀπεδίδου τὴν κόρην. ὀργισθεὶς δὲ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν schol. φ 22 [quod falso ad Pherecydem relatum est] . . διὰ τὸ πρὸς αὐτὸν [Iphitum] ἔχειν ἔγκλημα καὶ τὸν πατέρα ὅτι τελευτήσαντι αὐτῷ τὸν ἆθλον τὴν Ἰόλην γαμεῖν οὐκ ἔδωκαν Seru. ad Aen. 8,291 . . *Eurytus . . Iolen filiam denegauit Herculi (uictori certamine sagittarum) ante promissam ideo quod cum fuerat filius dehortatus dicens ab Hercule et Megaram uxorem et ex ea filios interemptos . . . . unde iratus Hercules propter nuptias sibi denegatas euersa ciuitate interemit Eurytum* 3 ἡρόδωροσ B ἡρωδωροσ N ἡρόδοτοσ A 4 ἔπαθλον NB ἀπαξιώσασθαι NA 5 τοῦ γάμου NB τὸν χάλον A 6 αὐτὴν A cf. Pherecyd. ap. schol. Soph. Trach. 354 Εὔρυτος [Ἴφιτος cod.] δὲ ἔφυγεν εἰς Εὔβοιαν et Diodor. 4,37 7 παραδόξησ A ἀργύρου AB 8 τιμὴν A καὶ οὕτωσ N

ὁ Εὔρυτος νικηθεὶς ὑφ' Ἡρακλέους καὶ μὴ ἀποδιδοὺς παρεσκεύασεν Ἡρακλέα καὶ τὴν πόλιν πορθῆσαι καὶ ταύτην λαβεῖν: — $A^g$

τὴν μὲν νεάνιδα: — $M^g$

546 πῶλον ἄζυγα: ἄπειρον γάμου, καθαράν. πῶλον δὲ παρθένον. πώλῳ διὰ τὸ ἀκμαῖον αὐτῆς εἴκασεν. λέγει δὲ τὴν Ἰόλην τὴν παῖδα τοῦ Εὐρύτου, ἣν ἔλεγε διδόναι τῷ νικῶντι αὐτὸν κατὰ τὴν τοξικήν. ἐλθὼν δὲ ὁ Ἡρακλῆς ἐνίκησε τοῦτον. ὁ δὲ Εὔρυτος παρῃτήσατο δοῦναι αὐτήν, καὶ ἕνεκεν τῆς παραβασίας ὁ Ἡρακλῆς ἐπόρθησε τὴν Οἰχαλίαν καὶ αὐτὴν ἔλαβε πρὸς γάμον: — NAB

ἄζευκτον καὶ ἄπειρον λέκτρων: — $M^g$

549 ζεύξασ' ἀπειρεσίαν: ἀποζεύξασα ἀποχωρίσασα τῶν οἴκων. ὁ δὲ νοῦς· τὴν μὲν δὴ ἐν Οἰχαλίᾳ παρθένον ἄνανδρον ἄνυμφον οὖσαν τὸ πρότερον τῶν νυμφικῶν οἴκων ἀποχωρίσασα ἡ Ἀφροδίτη τῷ Ἡρακλεῖ ἐπὶ φόνοις καὶ πορθήσει τῆς πατρίδος ἐπέδωκεν: — NAB

ἄπειρον οὖσαν: — $M^1$

550 ἀντὶ τοῦ νύμφην. δηλοῖ ἐξ ἐπιθέτου τὸ προσηγορικόν: — NAB

γράφεται μαινάδα: — $B^g$

551 παρόσον σὺν αἵματι καὶ καύσει τῆς πατρίδος [αἰτία] γέγονεν. παρόσον ὁ γάμος αὐτῆς πρόξενος τούτων ὅλων ἐγένετο· ὡς Σοφοκλῆς ἐν Τραχινίαις [352] 'ὡς τῆς κόρης ταύτης ἕκατι κεῖνος Εὔρυτόν θ' ἕλοι: — NAB

552 φονικοῖς γάμοις: — $M^g$

553 Ἀλκμήνας τόκῳ: τὸ ἑξῆς· ναΐδα ὅπως τε βάκχαν Ἀλκμήνης τόκῳ Κύπρις ἔδωκεν: — NAB

554 ἀθλία: — $M^g$

---

4 lemma ex NAB initio add. παρθένον B γάμου om. NA 4. 5 πῶλον — παρθένον om. B 5 πῶλον διὰ N πώλω δὲ AB ἀκμαιότατον A 6 αὐτῶ NA περὶ NA 7 τὴν om. A δὲ om. A γὰρ B 7. 8 παρητήσας τὸ N 8 ταύτην N 11 lemma ex NAB post ἀποζεύξασα add. καὶ B 12. 13 ἄνυμφον et νυμφικῶν eiecerim 14 φόνοις] συμφώνοις NAB 16 scholio 24. 25 adi. AB ἀντὶ τοῦ] ὅ ἐστι A δηλοῖ ἐξ ἐπιθέτου NB ἀπὸ τοῦ ἐπωνύμου A 19 τῶ αἵματι N καύσει] τοῦ κλαθμοῦ A αἰτία deleui, subiectum est ὁ γάμος 20 ante παρόσον add. ἤτοι B τούτων ὅλων om. N 20—22 ὡς — ἕλοι om. A 21 ἐν om. B 21. 22 ὡς — ἕλοι om. N 24 ναΐδω A νηΐδα B ὅπως — βάκχαν om. AB 24. 25 ἀλκμήνης B 25 Κύπρις ἔδωκεν] κύπριδος N

τῶν γάμων ἕνεκα τῶν σῶν: — M[g]

555 ὦ Θήβας: διὰ μέσου τοῦτο ἐσχετλίασται· εἶτα τὸ τῆς ἑτέρας ἱστορίας ἐπισυνῆπται: — NA[g]B[i]

δεύτερον διήγημα τῆς δυνάμεως τῆς Ἀφροδίτης, δηλαδὴ τὸ κατὰ τὴν Σεμέλην καὶ τὴν ταύτης κύησιν: — NA[g]B[i]

557 συνείπαιτ᾽: συμμαρτυρήσαιτ᾽ ἂν οἷον ἐπέρχεται σοβαρῶς ἡ θεός: — NA[g]B[i]

559 βροντᾷ γάρ: τῇ Ἀφροδίτῃ ἀνατίθησι τὴν Σεμέλης κεραύνωσιν, ἤτοι καθὸ ὁ Ζεὺς ἀπρονόητος γενόμενος τῷ ἔρωτι ἐπείσθη τῇ Σεμέλῃ τὸ τῶν ἐραστῶν ἀναδεξάμενος πάθος, ἢ καθὸ ἐν τῇ μίξει καὶ τῷ ἀφροδισιασμῷ ἀπώλετο. διαπέπλασται δὲ τὰ τοῦ μύθου, καθὸ ῥιζοβολεῖν ἀρχόμεναι πολλάκις ⟨αἱ⟩ ἄμπελοι τῇ καύσει τῶν νότων ἐκκόπτονται: — NAB

ἀμφιπύρῳ: τῇ πεπυρωμένῃ, ὡς εἰ ἔλεγε τῇ μετὰ ἀστραπῆς βροντῇ. τὴν γὰρ μητέρα τοῦ Βάκχου Σεμέλην, συγκοιμηθεῖσαν οὐ τῷ Διΐ, ἀλλὰ βροντῇ ἀμφιπύρῳ, πότμῳ φονίῳ κατεύνασεν, ὅ ἐστι κατεκοίμισεν, εὐφήμως ἀντὶ τοῦ ἀνεῖλεν, ἡ Ἀφροδίτη δηλονότι: — NAB

τοῦ Βάκχου γεννήτριαν: — M[g]

560 γράφεται καὶ διγόνοιο καθὸ καὶ διθύραμβος λέγεται τῷ δισσῶς τεχθῆναι: — B[i]

561 συγκεκοιμημένην: — M[g]

563 δεινὰ γὰρ πάντᾳ: ἀπὸ θαυμαστικοῦ ἀρξάμενος καὶ εἰς θαυμαστικὸν κατέκλεισεν, ὥστε θαυμάζων ἄρχεται καὶ θαυμάζων παύεται. δεινὴ γὰρ ἡ Ἀφροδίτη καὶ πανταχόθεν δίκην μελίσσης προσίπταται, τὰ κάλλιστα τῶν σωμάτων μαραίνουσα: — NAB

---

3 ἐπισυνῆκται N 6. 7 ad us. 556 fuit scholion in M cuius haec supersunt . . . . θηβῶν . . ⟨συμμαρτυρή⟩σατε . . . . . . . . . . γεννη . . . . . . γενομένασ . . . . . . κεν . . . . . . 6 οἷον N ὁποῖον A[g] ἕρπει δὲ οἷον B[i] βαρέωσ A[g] 6. 7 ὁ θεόσ N ἡ θεά A[g] om. B[i] 8 lemma ex NAB τῆσ σεμέλησ N 9 ὁ om. B 11 τῷ om. N ὤλετο A 12 πολλάκις om. A αἱ add. Wil 14—17 scholio quod antecedit adi. B initio add. ἀμφιπύρωι δὲ 14 lemma ex NA 14. 15 τῇ — Σεμέλην om. N 16. 17 Hesych. κατευνάζει κοιμίζει. κατευνάζεσθαι κοιμίζεσθαι Phot. Suid. lex. Bachm. p. 273, 11 κατευνάζεται κατακοιμίζεται Zonar. p. 1173 κατευνάσαι κοιμίσαι

17 ἀντὶ τοῦ om. A 23 lemma ex NB [πάντα N παν B (superscr. τ)] ἀρχόμενο A 24 καὶ om. N 25 προσίπταται scripsi περιίπταται N περιίσταται AB

οἷα τις: λείπει ἡ πρός καὶ συνακουστέον τὸ κεντοῦσα: — A$^{g}$B$^{i}$

565 σιγήσατ' ὦ γυναῖκες: ἔξεισιν ἡ Φαίδρα ταραχώδης, τὴν ἀπάτην τῆς γραὸς αἰσθηθεῖσα. σιγὴν δὲ αἰτεῖ, πρὸς ἀκρίβειαν πυθέσθαι βουλομένη καὶ αὐτὰς ἀκοῦσαι προτρεπομένη τὰ λεγόμενα πρὸς Ἱππολύτου: — AB

ἀνῃρήμεθα πεφονεύμεθα: — M$^{g}$

566 τί δ' ἔστι, Φαίδρα: περὶ τὴν τῆς Φαίδρας ἀγωνίαν καταγινόμενος ὁ χορὸς οὐκ ἐπαισθάνεται τῶν τοῦ Ἱππολύτου λόγων, καὶ τοῦτο εἰκότως φυλάξαντος τοῦ τραγικοῦ· περιπαθέστερον γάρ ἐστι ὑπὸ Φαίδρας λεγόμενον: — NAB

567 πρὸς τὰς τοῦ χοροῦ, ἵνα μὴ ἀκούσῃ ὁ Ἱππόλυτος ἔσωθεν: — A

· 568 τὸ προοίμιόν σου τῶν λόγων κακῶν ἐμφαντικόν ἐστιν: — MB$^{i}$

569 ἰώ μοι, αἰαῖ: πρὸς ὀλίγον ἐν τῇ σκηνῇ σιωπῆς γενομένης, ἀκούσασα τὰ λεγόμενα ἡ Φαίδρα καὶ μὴ ἐνεγκοῦσα τὸ πάθος ἀνέκραγεν. [ἢ] οἰκονομικῶς γὰρ οὐκ ἐξέβαλεν Ἱππόλυτον, ἀλλὰ προτετραγῴδηκε τῆς Φαίδρας τὴν ἀγωνίαν: — NAB

φεῦ ἐμοί: — M$^{g}$

573 ἔννεπε τίς φοβεῖ: εἰπὲ, ὦ γύναι, ποῖος οὗτος λόγος εἰσελθὼν εἰς τὰ ὦτά σου ἐπτόησέν σε. ἢ οὕτως· εἰπέ μοι ποία φήμη καὶ βοὴ ἐφορμήσασα ἐκφοβεῖ σου τὰς φρένας. στικτέον δὲ ἢ εἰς τὸ φρένας ἢ συναπτέον αὐτῷ τὸ ἐπίσσυτος. ἑκατέρως γὰρ δύναται ὑποστίζεσθαι: — NAB

574 ἐφορμῶσα: — M$^{g}$

576 ἐπέρχεται: — M$^{g}$

577 σὺ παρὰ κλῇθρα: παραιτεῖται τὴν ἀκοὴν πολλάκις, ἐπεὶ ἔμελλε διαδιδόναι αὐτῇ ἃ ἤκουσεν καὶ ἐκ τούτου πρόξενος αὐτῇ τῆς

---

1 λείπει ἡ om. A$^{g}$ καὶ om. A$^{g}$ 2 lemma ex AB ταραχώδησ ἡ φαίδρα B 4 τὰ λεγόμενα B τί δὲ λεγόμεθα A πρὸσ Pal. 343 περὶ AB 7 lemma ex NA τὴν om. N 9 στρατηγικοῦ N περιπαθέστερα B 10 λεγόμενα B 11. 12 scholio 2—5 adi. A 13 κακῶν om. M 14 lemma ex NAB ἐν om. N 15. 16 ἀνεκέκραγεν N 16 ἢ del. Dindorf γὰρ om. B ἱππόλυτοσ N 19 lemma ex N εἰπὲ ὦ A εἰ πῶσ N εἰπὲ B οὕτω AB 21 τικτέον A ἢ om. N 22 αὐτῷ] νῦν N ἑκατέρων A 26 lemma ex NA initio add. παρὰ ταῖσ πύλαισ B πολλάκις, ἐπεὶ scripsi ἐπεὶ πολλάκισ NAB 27 διδόναι A

λύπης γίνεσθαι. ὁ δὲ νοῦς· σὺ παρὰ κλῇθρα ἵστασο· σοὶ γὰρ μέλει ἡ ἐκ τῶν οἴκων πεμπομένη βοή: — NAB

ἐπειδὴ γὰρ καὶ σόν ἐστι τὸ πάθος. σοὶ ἐν φροντίδι ἔστω ἡ πεμπομένη φήμη ἐκ τῶν οἴκων: — NAB$^i$

582 ὁ τῆς φιλίππου παῖς: ὁ Ἱππόλυτος ὁ τῆς Ἀμαζόνος παῖς τῆς φιλούσης τοὺς ἵππους βοᾷ ὑβρίζων τὴν δούλην, ἤτοι τὴν τροφόν: — NAB

585 ἰαχὰν μὲν κλύω: φωνὴν μὲν ἀκούω, αὐτὰ δὲ τὰ λεγόμενα οὐκ ἔχω σαφῶς εἰπεῖν. τὸ δὲ ὄπᾳ ἀντὶ τοῦ· ὁπόθεν καὶ ἐκ τίνος εἴη ⟨ἡ βοή⟩. διὰ τὸ μὴ ἀκούειν τὸν λόγον [τὸ πῶς], οὐδὲ εἰπεῖν δύναται τίς ἐστιν ἡ αἰτία. παραιτεῖται πάλιν ⟨τὴν ἀκοὴν⟩ οὐ θέλουσα μαρτυρεῖν τῇ δυστυχίᾳ διὰ τῆς αἰσθήσεως τῶν λεγομένων.

γράφεται ἰωάν, ἀντὶ τοῦ φωνήν, παρὰ τὸ ἱέναι καὶ ἀναπέμπεσθαι: — NB$^g$

586 γεγωνεῖν ὄπᾳ: γράφεται ὄπα χωρὶς τοῦ ῑ καί φασι συναίρεσιν εἶναι τοῦ ὁποία: — NB$^i$

589 ἑρμηνεύτριαν: — M$^g$B

592 τί σοι μήσομαι: βουλεύσομαι μηχανήσομαι: — NA$^g$B$^g$

κομματικὴ ἡ διάνοια ὡς ἐν σχετλιάζοντι προσώπῳ λεγομένη: — NA$^g$B$^i$

---

1. 2 σὺ — βοή om. N 2 μέλλει A ἐν φροντίδι ἐστὶν B φωνή B 3. 4 scholio quod antecedit adi. NA om. ἐπειδὴ — πάθος N 3 γὰρ om. B$^i$ post σοὶ add. φησιν B$^i$ ἔσται NA 3. 4 ἡ — οἴκων] καὶ τὰ ἑξῆσ B$^i$ 5—7 lemma ex N 5 post Ἀμαζόνος add. ἀντιόπησ B 6 ἤτοι om. N 8 lemma ex NAB κλύω NB 9 ὄπᾳ] ὅθεν A ὁπόθεν] ὀτῶθι N καὶ] ὅθεν A 10 ἡ βοή addidi ἀκουόμενον A τὸν λόγον τὸ πῶσ NA οὐν τῶν λόγων B τὸ πῶς deleui 11 ἐστιν om. B αἰτία A βοή NB παραιτεῖται — οὐ om. A spatio uacuo relicto post παραιτεῖται add. δὲ B τὴν ἀκοὴν addidi 12 δυναστεία A 13. 14 cf. Eust. p. 794,52 et. m. p. 481,16 Gud. p. 287,22 Zonar. p. 1138 et. m. p. 26,19 Gud. p. 287,10 13 γράφεται καὶ B$^g$ 15 γράφεται ὄπα N γράφεται καὶ B$^i$ καί φασι B$^i$ ἤγουν τὴν φωνὴν ἢ κατὰ N 17 scholio 8—12 adi. B initio add. προμνήστριαν δὲ in fine add. προξενήτριαν B [cf. μαυλίστριαν προξενήτριαν A$^g$ Suid. προμνήστρια ἡ προνοήσασα γάμον ἣν νῦν προξενητριάν φασι] 18 cf. Hesych. s. u. μήδεο μήδεσθαι μήδετο μηδόμενος μήσατο Suid. s. u. μήσατο 19 scholio quod antecedit adi. N add. μὲν post κομματική λέγεται NA$^g$

593 τὸ ἑξῆς· διὰ δ' ὤλλυσαι πρόδοτος ἐκ φίλων: — A^g B^1

595 προδοθεῖσα παρὰ τῶν φίλων: — M

597 φίλως μέν, καλῶς δ' οὔ: προσφιλῶς μὲν ἐμοὶ πρᾶξαι βουλομένη καὶ παντὶ τρόπῳ τοῦτο σκοποῦσα, οὐ μέντοι καλῶς, ἐπεὶ οὐκ ἐστοχάσατο τοῦ μέλλοντος [τὸ τέλος]. μετ' εὐνοίας μέν, φησί, καὶ οὐκ ἐξ ἐπιβουλῆς, ἀσκόπως δὲ καὶ ἀτυχῶς. καὶ ἔστιν ὅμοιον τῇ παροιμίᾳ 'εὔνοια ἄκαιρος οὐδὲν διαλλάσσει ἔχθρας': — NAB

598 τὰ χαλεπά: — M^g

599 οὐκ οἶδα πλὴν ἕν: τὸ ἑξῆς· οὐκ οἶδα τῶν νῦν παρόντων πημάτων ἄκος, πλὴν ἓν μόνον, τὸ κατθανεῖν ὅσον τάχος: — NAB

601 ὦ γαῖα μῆτερ: ὡς φιλόσοφος τὴν γῆν καὶ τὸν ἥλιον ἐπικαλεῖται προσμαρτυροῦντας χάριν τῶν εἰρημένων. ἤδη δὲ προτραγῳδήσας ἱκανῶς, [ἐπὶ] τὴν ὀργὴν Ἱππολύτου καὶ τὴν ἱκεσίαν τῆς γραὸς ἐπεξέρχεται, πρότερον ἀρξάμενος ἀπὸ τοῦ τραγικοῦ, δηλαδὴ τῆς ὀργῆς Ἱππολύτου, τὴν δὲ ἐξ ἀρχῆς ἀδολεσχίαν τῆς γραὸς καὶ τὸν ὅρκον ἀποκρυψάμενος. ὡς φιλόσοφος γῆν καὶ ἥλιον ἐπιβοᾷ, ἐπεὶ ἀρχὴ πάντων εἰσί, γῆ μὲν πάντων μήτηρ κατὰ Ἡσίοδον [theog. 45. 106. 421. 644], ἥλιος δ', ἐπεὶ 'πάντ' ἐφορᾷ καὶ πάντ' ἐπακούει' [λ 109 μ 323]. [Ἀναξαγόρας οὖν τὸν ἥλιον μύδρον ἔφησε καὶ ἐξ αὐτοῦ πάντα γίγνεσθαι, ᾧ ἀκολουθήσας ὁ Εὐριπίδης [Or. 983] χρυσέαν βῶλον αὐτὸν εἴρηκεν]: — NAB

ἡλίου τ' ἀναπτυχαί: ὦ ἀκτῖνες, καθὸ τὸ σκότος ἀναπτύσσουσι καὶ ἡμῖν δηλοῦσι τὰ πάντα διὰ τοῦ φωτός: — NA^g B

602 οἵων λόγων ἄρρητον: οὐκ ἀξίαν τοῦ ῥηθῆναι καὶ ὀνομασθῆναι, ἣν οὐδὲ λόγῳ διεξιέναι καλόν: — NAB

---

3 lemma ex NAB 3. 4 προσφιλῶσ — σκοποῦσα habet M 4. 5 τοῦτο — μέλλοντος om. N 5 τὸ τέλος delevi 6 ἐπιβολῆσ A 6. 7 καὶ — ἔχθρας om. NA 6 ὅμοιον Wil ὁμοία B cf. Zenob. personat. 1,50 etc. 9 lemma ex NAB τῷ A νῦν om. A spatio uacuo relicto παρόντων] παρόσον τῶν A 10 in fine add. οὐκ οἶδα, φησί, τί πρακτέον μοι ἐν τοῖσ νῦν κακοῖσ πλὴν ἕν μοι ἴαμα τὸ ἀποθανεῖν διὰ τάχουσ B 11 lemma ex NAB τὴν γῆν καὶ τὸν ἥλιον A τὸν ἥλιον καὶ [κατὰ N] τὴν γῆν NB 12 δὲ om. N 13 ἐπὶ del. Wil 14 πότερον A τοῦ] τῆσ A καὶ δηλαδὴ N 15 δὲ om. B 16 post φιλόσοφος add. δὲ B 18 ἥλιον NA 18—20 ex schol. Or. 982 inepte addita 19 ἔφη B 20 αὐτὴν N 21. 22 scholio quod antecedit adi. B initio add. ἡλίου δὲ ἀναπτυχαὶ 21 ὦ N αἱ B ἀναπτύσσουσι καὶ [ὡσ καὶ A^g] A^g B ἀναπτύσσουσαι N 22 post διὰ ins. ἱππο N (λ' superscr.) 24 lemma ex NA

605 ναὶ πρὸς σέ: ναὶ σίγησον, λίσσομαί σε πρὸς τῆς σῆς δεξιᾶς τῆς καλὸν βραχίονα ἐχούσης: — NAB

606 οὐ μὴ προσοίσεις χεῖρα: ὡς μυσαττόμενος καὶ τὴν δεξιὰν αὐτῆς τοῦτό φησιν ἢ μᾶλλον φοβούμενος ἁλῶναι ταῖς ἱκεσίαις: — NAB

607 φονεύσῃς: — MM[g]A[g]

608 τί δ', εἴπερ ὡς φής: τί δὲ σιωπῆσαί με θέλεις, εἴπερ ἐκ τῆς ⟨σῆς⟩ διανοίας οὐδὲν εἴρηκας κακόν: — NAB

ἄλλως: ὁρᾷς, φησίν, ὅτι σκέπεις τῶν εἰρημένων τὴν κακίαν τῇ σιωπῇ. ἐπεὶ εἰ καλόν ἐστι, τί με κωλύεις βοῶντα; ἔστι δὲ ὁ λόγος ἐν ἤθει ἐκ τοῦ ἀντικειμένου· εἰ δὴ μηδὲν εἴρηκας κακόν, οὐδὲ σὲ ποιῶ κακόν, ἂν εἴπω: — NAB

διὰ τί: — M[g]

609 ὁ μῦθος ὦ παῖ: παραλογίζεται τὸν νέον τῇ μεταθέσει τῶν ὀνομάτων κλέπτουσα τὴν ἀκρόασιν. δέον γὰρ εἰπεῖν οὐ κακός, φησὶν οὐ κοινός, οὐ πᾶσιν ὀφείλων ἀνακοινωθῆναι. εἶναι γὰρ μέχρι τινὸς καὶ καλὰ σιωπώμενα: — NAB

ὁ μῦθος ὦ παῖ: ὁ περὶ γάμων μῦθος οὐκ ὀφείλει λεχθῆναι πᾶσιν: — NA[g]B

καθολικός: — M[g]

610 τά τοι κάλ' ἐν πολλοῖσι: δεινότερον αὐτῆς ἀνεῖλε τὴν ἐκ τῶν ὀνομάτων ἀπάτην. εἰ γὰρ οὐ κοινά, δῆλον ὡς οὐδὲ καλά. τῷ γὰρ δημοτελεῖ τῆς ἐπιδείξεως πλέον δοξάζεται τὸ χρηστόν: — NAB

612 ἡ γλῶσσ' ὀμώμοχ': οἷον· οὐκ εἰδὼς ὤμοσα. οὐ γὰρ γνοὺς περὶ τίνος ὀμνύω, ὤμοσα. τὰ δὲ κατὰ ἄγνοιαν τῶν ὅρκων γινόμενα συγγνώμης τυγχάνει παρὰ τῶν θεῶν. οὐ καθολικῶς δὲ τὸ τοιοῦτον, ἀλλὰ νῦν, ἐπείπερ ἡ γραῦς, πρὶν εἰπεῖν τὸ πάθος αὐτῷ καὶ πρὶν εἰς

1 lemma ex NA  2 in fine add. ἐνομίζετο γὰρ κατὰ τῆσ δεξιᾶσ ἱκετεύειν ὡσ κατὰ τῶν γονάτων B  3 lemma ex NAB [προσοίσεισ NA προσοισηι B]  3. 4 δεξιὰν] θίξιν uel tale quid Wil  7 lemma ex NAB  7. 8 ἐκ τῆς διανοίας addito σῆς post εἴπερ collocaui ἐκ τῆσ διανοίασ post δὲ coll. NAB  10 καλά εἰσι B  βοᾶν A  11 εἰ δὴ scripsi εἰ δὲ NB εἰ A  οὐδέν NB  12 κἂν B  14 lemma ex NAB  16 ἀνακοινοῦσθαι A  post γὰρ add. φησι A  μεχρίαν N  18 lemma ex N  21 lemma ex AB  22 ἀστάτην A  24 lemma ex NAB  25 ὀμνύω om. A  ὅρκων] κακῶν N  26 τῶν θεῶν scripsi τῷ θεῷ A θεοῦ NB  ante οὐ collocauerim p. 78, 3—5 Ἀριστοφάνης — διάνοιαν

ἔννοιαν ἐλθεῖν αὐτὸν τοῦ ῥηθησομένου, ὅρκον ᾔτησεν τῆς σιωπῆς καὶ τῆς διανοίας μὴ προειδυίας ἐφ' ᾧ ὤμοσεν, ὤμοσε, φησίν, ἡ γλῶσσα προπετέστερον καὶ παρὰ γνώμην τῆς φρενός. Ἀριστοφάνης [Ran. 102] καθολικώτερον νοήσας φησὶ τὸν Εὐριπίδην ὑβρίζειν ⟨διὰ⟩ τῆς γλώσσης τὴν διάνοιαν, ὡς ἂν μὴ τὰ δόξαντα τῇ διανοίᾳ φθεγγομένης. ἄλλως τε φαίνεται διὰ τῶν ἑξῆς τὸ εὐσεβὲς αὐτοῦ φυλάττων· φησὶ γὰρ [657] εἰ μὴ γὰρ ὅρκοις θεῶν ἄφρακτος ηὑρέθην, ὥστε μηδὲ δόκησιν αὐτῷ ἐπιορκίας προσάπτειν: — NAB

615 σύγγνωθι, φησίν, ἐπὶ τῇ ἀνομίᾳ τοῦ λόγου. εἰκὸς γὰρ ἀνθρώπους ὄντας ἁμαρτάνειν, καὶ πέφυκε τὸ τῆς θνητῆς φύσεως ἁλίσκεσθαι τοῖς ἁμαρτήμασιν: — NAB

ἄλλως: διὰ τῆς κοινῆς προπετείας ἀπολύεται τῶν ἰδίων πλημμελημάτων τὴν ἀκολασίαν: — NAB

616 ὦ Ζεῦ: λοιπὸν καταστατικώτερον τὴν γυναικείαν διαβάλλει φύσιν, ἀναφέρων τὸ προοίμιον ἐπὶ τὴν τοῦ κρείσσονος † νόσον. φιλοσοφώτερον δὲ τὴν ἀντίθεσιν λύει, τὴν ἀρχὴν ἀξιῶν μὴ ὑπὸ ἀφροδισιασμῶν παῖδας γίνεσθαι. ὁ δὲ νοῦς· διὰ τί, φησίν, εἰς τὸ φῶς τοῦ ἡλίου τὰς γυναῖκας ἀδόκιμον κακὸν τοῖς ἀνθρώποις κατῴκισας. κίβδηλον τὸ μηδὲ δοκιμασίας δεόμενον, ἀλλὰ προφανῶς δεινόν: — NAB

τὸ ἄχρηστον καὶ κακόν: — M[s]

---

1 αὐτὸν om. A  2 post διανοίας add. ὁ δὲ B  προειδυίας Wil προειδὼσ NAB  ᾧ A ἃ NB  φησὶν B γὰρ N om. A  3 post φρενός add. ἐμώμοκεν B  4 διὰ addidi  5 τὰ] τοῦ N  διανοίᾳ] κρίσει τῆσ διανοίασ B  φθεγγομένην N φθεγγομένησ καὶ μὴ κρίσει τῆσ διανοίασ A  ἄλλωσ A pro lemmate noui scholii om. τε  6 αὐτοῦ N αὐτῶ A αὐτῶν B  7 γὰρ om. NB  ὅρκοις λόγοισ NAB  ἀφράκτοισ N  εὑρέθην NB  7. 8 μηδὲ — αὐτῷ om. spatio uacuo rel. A  7 μηδὲ Dindorf μήτε NB  8 αὐτῶν N  προσάπτειν scripsi πράττειν A πλάττειν NB  10 ὄντας om. NA  ἁλίσκεσθαι om. spatio uacuo rel. A  12 προπετείας Rei et Wil προστασίασ NAB  14 lemma ex N  καταστανττικώτερον A  15 τὴν τοῦ κρείσσονος] τὸν κρείσσονα N  νόσον corruptum, temptaui ἔννοιαν  16 ἀντίθεσιν λύει] αὐ̔τ spatium uacuum A  μηδὲ N om. A  16. 17 ἀφροδισιασμοῦ B  17 γενέσθαι N  17—19 διὰ — δεινόν om. N spatio uacuo relicto  18 τοῦ ἡλίου] τοῦτο A  τὰς γυναῖκας ἀδόκιμον Dindorf ἀδόκιμον τὰσ γυναῖκασ A ἀδόκιμον B  τοῖς ἀνθρώποις om. A  19 post κίβδηλον add. δὲ B  προφανὲσ B  δεινόν corruptum

618 εἰ γὰρ βρότειον: εἰ γὰρ ἤθελες εἶναι γένος τοῖς ἀνθρώποις, ὤφειλες ποιῆσαι μὴ ἀπὸ γυναικῶν αὐτὸ εἶναι, ἀλλ' ἕκαστον διδόναι ἢ χρυσὸν ἢ χαλκὸν ἐν τοῖς ναοῖς καὶ οὕτως ἀγοράζειν: — NAB

620 ἀλλ' ἀντιθέντας: ἤτοι ἀνατιθέντας, εἰς σημεῖον τοῦ γενέσθαι τὴν αἴτησιν. ἀτόπως δὲ ταῦτα. οἱ γὰρ πένητες οὐκ ἂν ἐκτήσαντο παῖδας: — NAB

623 τῆς ἀξίας ἕκαστον: ἄμεινον τὴν ἀξίαν ἐπὶ τῆς φύσεως ἀκούειν, ὅπως χρηστός τις ὢν χρηστοῦ τύχῃ καὶ πάλιν τοὐναντίον, ἵνα τὸ μὲν ἀνάθημα τῆς αἰτήσεως ἕνεκα διδῷτο, τὸ δὲ βρέφος πρὸς τὴν φύσιν τοῦ αἰτοῦντος. τινὲς δὲ ἐπὶ τῆς ἀξίας τοῦ ἀναθήματος καὶ τιμήματος. βέλτιον δὲ τὸ πρῶτον, οἷον· ἐάν τις ᾖ ἀγαθὸς τοῖς τρόποις καὶ τοῖς ἐπιτηδεύμασιν, ἵνα καὶ τοῦ υἱοῦ ἀξίου τῶν ἔργων καὶ ὁμοίου μεταλάβοι, καὶ πάλιν τοὐναντίον, ἐὰν ὑπάρχῃ χείρων, ἀξίου καὶ τοῦ παιδὸς τύχοι: — NAB

οἰκειοτάτη τῷ προσώπῳ ἡ γυμνασία, πῶς [γὰρ] ἂν ἀφροδισιασμῶν χωρὶς ἡ φύσις συνίσταιτο: — NAB[i]

624 ναίειν ἐλευθέροισιν: χαριέστατα τὸν εὐτυχοῦντα τῆς ἀπουσίας τῶν γυναικῶν οἶκον ἐλεύθερον εἶπεν: — AB[i]

625 νῦν δ' ἐς δόμους μέν: ἕδνα παρέχοντες δαπάνην ἀγοράζομεν. ἕδνα ὑπὲρ τῆς μνηστείας καὶ πρὸ τῆς πείρας τοῦ κακοῦ κατατιθέμεθα ὥσπερ αὐθαίρετον τὸ κακὸν ἐπισπώμενοι. δύναται δὲ τὸ πρῶτον καὶ ὡς ἐν τάξει διηγήσεως λαμβάνεσθαι· πρῶτον μὲν τὴν οὐσίαν ὑπὲρ κακοῦ δίδομεν. προκατασκευάσας δὲ λογισμὸν οἰκειότατον τῷ προσώπῳ, λοιπὸν κατατρέχει καὶ [ἐπὶ τὴν διαβολὴν] τῆς γυναι-

---

1 lemma ex NA τὸ ἀνθρώπων A 4—6 scholio quod antecedit adi. B initio add. τὸ δὲ ἀντιθέντας 4 lemma ex NA ἀντιτιθένταϲ N post ἀνατιθέντας add. ἢ ἀντὶ τῶν παίδων τιθένταϲ B 4. 5 γίνεσθαι N 5 ἀτόμωϲ A 7 lemma ex NAB 8 ὅπως—τύχῃ om. B τις om. N 10. 11 καὶ—πρῶτον om. A 11 τοῖς om. A 12 ἀξίωϲ B τῶν ἔργων scripsi τὸ ἔργον NAB ὁμοίου scripsi ὁμοίωϲ NAB 14 τύχοι scripsi τύχῃ N τύχηϲ B 15. 16 scholio quod antecedit adi. A 15 οἰκειοτάτη scripsi οἰκειότατα NAB γὰρ del. Wil γὰρ ἂν NB γὰρ A 16 συνίσταται A συνίστατο B[i] 17 χαριέστατα τὸν scripsi χαριέστατον AB[i] 18 ἐλεύθερον εἶπεν A man. recentiss. χαριέστατον εἰπεῖν A ἐλεύθερον ἔχειν B[i] 19 lemma ex N δαπάνη N 21 τὸ om. N ἐπιφερώμενοι N 22 ὡς om. N 22. 23 οὐσίαν Heath θυσίαν NAB 23 post δίδομεν add. καὶ τὰ ἑξῆϲ B προκατασκευὰϲ A προκατεσκευάσε N δὲ A οὖν B om. N 23. 24 οἰκειότατα NB 24 ἐπὶ—διαβολὴν deleui

κείας φύσεως. ἔδει γὰρ πρῶτον λογισμῷ τινι ἀναιρῆσαι τὸ εἶναι αὐτάς. εἶθ' οὕτως ἄρξασθαι τῶν διαβολῶν. τὸ δὲ ἑξῆς ἄριστα ὡς ἐκ συγκρίσεως ἐπιφέρεται: — NAB

626 ἀποδίδομεν παρέχομεν: — M[g]

627 τούτῳ δὲ δῆλον ὡς γυνὴ κακὸν μέγα: δηλονότι ἐν τῷ τὸν πατέρα φερνὰς διδόναι πρὸς τὸ ἀπατῆσαί τινα. ἀτηρὸν δὲ ἐπιζήμιον, ἐπιβλαβές. ἀπάτης τοῖς ἀνθρώποις παραίτιον: — N

628 προσθεὶς γὰρ ὁ σπείρας: ὁ δὲ τεκὼν αὐτὴν καὶ ἀναθρέψας προσδίδωσι προῖκα ὥστε ἀπαλλαγῆναι αὐτὸν τοῦ κακοῦ καὶ οὐδὲ τὴν φύσιν τῆς παιδοποιίας εἰς αὐτὴν σῴζει ὁ πατὴρ τὴν ἀπαλλαγὴν ἀντὶ τῆς φιλοστοργίας τῆς παιδὸς ἀντικαταλλασσόμενος: — AB

629 προῖκα: — M[g]

630 γράφεται ἀτηρὸν ἐν δόμοις κακόν: — M[g]

ἐπιζήμιον ἐπιβλαβές. ἄτης, ἢ βλάβης, παρεκτικόν: — B[1]

631 ὡς ἀνδριάντι ἀναυδήτῳ κόσμον περιβαλών: — M

προστιθεὶς ἀγάλματι: πᾶν ἐφ' ᾧ τις ἀγάλλεται. ἀγάλλεται δὲ καὶ ὁ ἀνὴρ ἐπὶ τῷ γάμῳ. ὡς ἀνδριάντι ἀναισθήτῳ τιμὰς περιάπτων. λείπει δὲ τὸ ὡς, ὡς ἀγάλματι: — NAB

632 καλὸν κακίστῳ: τουτέστι τὸν χρυσὸν τῷ κακίστῳ γυναικείῳ φυτῷ προστιθεὶς ὡς ἀγάλματι χαίρει: — AB

634 ἔχει δ' ἀνάγκην: ταῦτα διεξέρχεται πάντη τὸ περὶ τὴν γυναῖκα μοχθηρὸν ἀποδεικνύς, ὡς μὴ μόνον τὸ πρὸς ταύτην σκοπεῖν, ἀλλὰ καὶ τοὺς γαμβροὺς εἰ καλῶς σχοίη. διπλῆ δέ ἐστι πρὸς τὴν στιγμὴν ἡ ἀνάγνωσις. τινὲς γὰρ οὕτως· εἰ δὲ κακὸν λάβοι τὸ λέχος, γαμβροὺς δὲ χρηστούς, ἀναγκάζεται στέργειν αὐτήν, ἐκείνοις τὰ

1 φύσεως om. N 8 lemma ex AB 9 προῖκα scripsi πρᾶγμα NAB οὐδὲ scripsi οὔτε B οὕτωσ A 10 παιδοποιίας] φιλοστοργίας Wil σώζει ὁ πατὴρ εἰσ αὐτὴν B 10. 11 ἀντὶ τοῦ τῆσ A ἀντὶ [τῆς φιλοστοργίας] τῆς προικὸς Wil 13 cf. Hesych. Suid. Zon. p. 336 ἀτηρόν βλαβερόν 16. 17 Apollon. soph. p. 6,30 schol. γ 274. 438 Eust. p. 456,22 Hesych. et. m. p. 5,35 Gud. p. 3,4 Suid. [= Zon. p. 29] lex. Bachm. p. 6,24 ἄγαλμα πᾶν ἐφ' ᾧ τις ἀγάλλεται scholio 8—11 adi. B initio add. ἄγαλμα δὲ 16 lemma ex N πᾶν] πῶσ N 17 δὲ om. A πατὴρ NB 18 δὲ om. A ὡς alterum om. N 19 lemma ex AB 21 lemma ex NAB δὲ ἐξέρχεται A τὸν N περὶ scripsi πρὸσ NAB 21. 22 τὰσ γυναῖκασ N 23 γάμουσ B ἄλλουσ N καλῶσ σχοίη NB ταὐτὰ χρίη A 24 καλὸν NB 25 δὲ] ὁ N ἀναγκάζεται στέργειν N ἀναγκάζεται στέγειν B ἀναγκάζει ἄγειν A αὐτὴν ἐκείνοις scripsi αὐτοῖσ ἐκεῖνα NA om. B τὰ om. N τὰ τὰ B

κεχαρισμένα πράττειν θέλων. τινὲς δὲ [οὕτως] στίζουσιν εἰς τὸ ἔχει δ' ἀνάγκην, ἵν' ᾖ οὕτως· πάντῃ τε καὶ πάντως ὁ γαμήσας ἐλεύθερος εἶναι οὐ δύναται, ἀλλὰ τὸ ἀναγκάζον καὶ καταδουλοῦν αὐτὸν ἔχει. ἐὰν μὲν γὰρ κακῆς τύχῃ γυναικός, ἀναγκάζεται στέργειν αὐτὴν τῶν γαμβρῶν ἕνεκα καλῶν ὄντων· ἢ δι' ἐκείνην ἀναγκάζεται ἀπολαύειν γαμβρῶν ἀχρήστων: — NAB

635 σῴζεται πικρὸν λέχος: ἀντὶ τοῦ σῴζει. γαμβροῖς δὲ τοῖς πενθεροῖς λέγει, συγχέων τῆς ὀνομασίας τὸ ἀκριβές. ἐν μέντοι τῷ πενθεροὺς δ' ἀνωφελεῖς ὑγιῶς κέχρηται: — NAB

κομίζεται λαμβάνει: — M[g]

638 μᾶλλον δὲ μήτε πενθεροὶ χρηστοὶ μήτε γυνὴ χρηστὴ ἀλλ' εὐήθης ὑπάρχοι γυνή. τοῦτο γὰρ συμφέρει: — M

ῥᾷστον: βέλτιον δὲ μήτε πενθερὸν χρηστὸν μήτε γυναῖκα χρηστὴν ἔχειν: — NAB

ἄλλως: ὠφελιμώτερόν ἐστι, φησίν, ᾧτινι τὸ μηδὲν οὖσα πρὸς σύνεσιν γυνὴ ἀλλ' ἀνωφελὴς τῇ εὐηθείᾳ ἵδρυται. ὡς ἐπὶ ἀνδριάντος δὲ τὸ ἵδρυται, οὐκ ἔργοις, ἀλλὰ θέᾳ τέρποντος τὸν κεκτημένον: — NAB

συμφέρον: — M[g]

642 τὸ γὰρ πανοῦργον καὶ φιλάργυρον πρὸς πορνείαν ἐν ταῖς σοφαῖς γυναιξὶ πλεῖον ἡ Κύπρις ἐμφύει. αἱ γὰρ μεγαλόφρονες πολύτολμοι γενόμεναι, εὐέμπτωτοί εἰσιν εἰς τὸ ἁμαρτάνειν, ἡ δὲ ἀποροῦσα καὶ ἀνόητος διὰ τὸ βραχὺ τῆς γνώμης καὶ ἄδολον τὴν πορνείαν ἀφῄρηται, τουτέστιν οὐχ ἁμαρτάνει: — NAB

---

1 post κεχαρισμένα ins. ἔχειν B   θέλω B   οὕτως deleui   2 οὕτως scripsi ὅτι NAB   3 καταδηλοῦν B   5 γάμων NB   7 lemma ex A   7—9 scholio quod antecedit adi. B initio add. τὸ σώιζεται δὲ πικρὸν λέχοσ   7. 8 γαμβροῖσ δὲ NA καὶ γαμβροῖσ B   8 cf. Phot. Suid. s. u. πενθερά et. m. p. 220,40 Eust. p. 572,45. 758,53 Bekk. an. p. 229,1 Poll. 3,31   post λέγει add. ἢ N   μὲν NA   9 κεχρῆσθαι A   10 κομίζεται Wil κομίζει M[g]   12 ὑπάρ[χ] M   13 lemma ex N   δὲ om. N   15 ὥιτινι φησὶ B   15. 16 τὸ — σύνεσιν] μὴ ἐστὶν N   16 ἀλλ' om. N   τῇ — ἵδρυται] γὰρ τῷ κεκτημένῳ καθέζεται N   16. 17 ὡς — ἵδρυται om. NA   17 οὐκ — κεκτημένον] τῇ θέᾳ μόνον αὐτὸν τέρπουσα N   τέρπουσα A   19. 20 τὸ — ἐμφύει habet M   19 κακοῦργον AB   φιλάργυρον corruptum   21 εὐέπτωτοι A   22 διὰ — ἄδολον in hoc loco coll. Matthiae, post εὐέμπτωτοι coll. NAB   τῆς γνώμης om. N   ἄδηλον N   post ἀφῄρηται add. τὴν ἁμαρτίαν ἀφῃρέθη A   23 ἁμαρτάνει AB ἁμαρτίαν N

644 **μωρίαν ἀφῃρέθη**: τῆς πορνείας ἀπεστερήθη. μωρίαν γὰρ τὴν πορνείαν φησίν, ὅθεν καὶ σινάμωρος ὁ πόρνος. αὕτη γὰρ σκέπειν οὐκ ἔχουσα τὸ πλημμέλημα προφάσει κερδαίνει τὴν σωφροσύνην: — NAB

645 **χρῆν δ' εἰς γυναῖκας**: ἤδη διεξελθὼν ὡς εἰσὶν αἱ γυναῖκες πάντων πρόξενοι τῶν κακῶν, λοιπὸν ἐπὶ τὴν διοίκησιν καὶ χρῆσιν αὐτῶν μεταβαίνει ⟨καὶ⟩ τὸ πῶς ἔδει τὴν κακουργίαν αὐτῶν νικᾶν τοὺς ἄνδρας. ἔδει, φησί, τοὺς ἄνδρας ἀντὶ διακόνων θηρία αὐταῖς συνοικίζειν, ἵνα κἂν τῇ ἀπορίᾳ τῆς διακονίας νικῶσι τὴν κακίαν τῆς φύσεως. τοῦτο δὲ μάλιστα πρὸς τὸ παράφορον εἴρηκεν. δάκη δὲ ἢ περιφραστικῶς τὰ θηρία ἢ τὰ ἔκγονα τῶν θηρίων: — NAB

649 **νῦν δ' αἱ μὲν ἔνδον**: αἱ μὲν δέσποιναι αὐτῶν ἔνδον μηχανῶνται τὰ κακά, αἱ δὲ δοῦλαι σημαίνουσι τοῖς φίλοις αὐτῶν: — AB

651 **ὡς καὶ σύ γ' ἡμῖν**: ἀντὶ τοῦ ἐπεί. τὸ ἑξῆς· ὁπότε καὶ σύ, κάρα κακόν, τῶν ἀθίκτων λέκτρων τοῦ πατρὸς εἰς συναλλαγὰς ἡμῖν ἦλθες: — NAB

γράφεται **εἰ καὶ σύ γ'**, ἀντὶ τοῦ ἐπεί: — B[i]

652 **ἀθίκτων**: ὧν οὐδένα θιγεῖν ἄξιον, μήτι γε ἡμᾶς τοὺς παῖδας: — NA[g]B[i]

653 **ἁγὼ ῥυτοῖς**: ἅπερ, ἤτοι τὰ εἰρημένα, ἐγὼ ἀποκαθαρθήσομαι ῥευστικοῖς ὕδασι. ταῦτα γὰρ μάλιστα ⟨ὅτι⟩ τῶν ἱσταμένων διαυγέστερα τυγχάνουσιν: — NAB

---

1 lemma ex NA  τῆς πορνείας ἀπεστερήθη N τῆς μωρίας ἀπεστερήθη A τουτέστι τῆς ἁμαρτίας ἀπεστερήθη ἤτοι τῆς πορνείας B  γὰρ om. A  2 φησίν om. AB  schol. Arist. Nub. 1070 Suid. Zon. p. 1641 σινάμωρον τὸ πορνικόν  3 πρόφασιν A  4 lemma ex NAB [χρῆν NA χρὴ B]  αἱ γυναῖκες post κακῶν coll. A  6 καὶ τὸ scripsi τὸ NA om. B  πῶς] πᾶν N  αὐτὴν A  7 ἔδει — ἄνδρας om. N  δεῖ A  τῶν διὰ κήμον N  θηρίων N  9 τὸ παραφέρον N τὴν παραφόριων A  ἢ om. A  Hesych. lex. Bachm. p. 188, 14 δάκη θηρία et. m. p. 245, 35 Eust. p. 427, 30 δάκος τὸ θηρίον schol. Nic. Ther. 115 δακέεσσι . . τοῖς θηρίοις  10 τὰ — θηρίων] ἔκγονα θηρῶν NB  11 lemma ex AB  13 lemma ex NA  ἐπεὶ — ἑξῆς om. N ἀντὶ — ἐπεί om. B  14 κακὴ κεφαλὴ N ἀψαύστων N  18 in fine add. ἐξομόρξομαι δὲ καταμάξομαι καθαίρομαι B[i]  19—21 scholio 13—15 adi. B  19 lemma ex N  habet M ἀποκαθαρθήσομαι . . . . ῥευτικοῖς ὕδασιν  ἅπερ — εἰρημένα om. N  ἤτοι τὰ om. A  καθαρθήσομαι N  20 ὅτι addidi  διαυγέστερα om. spatio uacuo rel. A  21 τυγχάνει B

654 εἰς ὦτα κλύζων: ἐκκλυζόμενος τὰ ὦτα, δι' ὧν μετέλαβον τῆς ἀνομίας. πῶς οὖν μέλλω ἐξαμαρτεῖν πεισθείς σοι: — NAB

656 εὖ δ' ἴσθι: οὐκ ἔστι φορτικὸς ὁ λόγος, ἀλλὰ μᾶλλον τῆς ὑποψίας τοῦ ἁμαρτήματος θεραπευτικός. ἢ τάχα προτραγῳδεῖ τὸ πάθος, ⟨τὸν⟩ τοιοῦτον μικρὸν ὕστερον ἐπὶ καταγνώσει μοιχείας ποιῶν κατηγορούμενον: — NAB

† Ἀριστοτέλης φησὶν δίκαιον καὶ ὅσιον διαφέρειν, δίκαιον λέγων τὸ εἰς ἀνθρώπους, ὅσιον δὲ τὸ εἰς θεούς. Τζέτζης δέ φησιν διαφέρειν ὅσιον δίκαιον εὐσεβές, δίκαιον εἰς ζῶντας ἀνθρώπους, εὐσεβὲς εἰς θεούς, ὅσιον εἰς νεκρούς· ὅθεν καὶ ⟨ὁσία⟩ ἡ ταφή: — A man. recentiss.

657 εἰ μὴ γὰρ ὅρκοις θεῶν: ἀντὶ τοῦ· εἰ ἐλήφθην [καὶ εὑρέθην] ἀπεριφύλακτος εἰς τὴν κατὰ σοῦ κόλασιν. τὸ δὲ μή καὶ οὐ μίαν κατάθεσιν ποιοῦσιν ὥστε τὸ ἓν ἐξήρκει εἰπεῖν, ἵν' ᾖ· οὐκ ἄν ποτε ἀπεσχόμην τοῦ εἰπεῖν: — NAB

περιπεφραγμένος συνδεδεμένος: — M

658 γράφεται καὶ πατρί: — M

659 νῦν δ' ἐκ δόμων: ἤτοι διὰ τὸ μὴ μετασχεῖν τοῦ μύσους αὐταῖς, ἢ διὰ τὸ δεδοικέναι τινὰ ἐξ αὐτῶν ἐπιβουλήν. ἄλλως τε καὶ ὁ ποιητὴς οἰκονομικώτατα ἐξεργάζεται, διὰ τῆς τοῦ Ἱππολύτου ἀπουσίας ἐξουσίαν διδοὺς τῇ Φαίδρᾳ ἐργάσασθαι τὴν ἀγχόνην καὶ τὴν διαβολὴν αὐτοῦ τὴν διὰ τῶν γραμμάτων, ἵνα ἡ δέλτος καὶ ἡ τοῦ Ἱππολύτου ἐρημία πιστώσηται τὴν κατηγορίαν τῆς μοιχείας: — NAB

ἕως οὖν ἐστιν ὁ ἐμὸς πατὴρ ἔκδημος, κἀγὼ ἄπειμι, ὅ ἐστιν ὑποχωρήσω: — M

660 σιγᾷ δ' ἕξομαι στόμα: τῇ σιγῇ τὸ στόμα καθέξομαι: — NB

661 θεάσομαι δέ: συνεπιστὰς δὲ τῷ πατρὶ θεάσομαι ποίοις

1 ἐκκλυζόμενος ego εἰσκλυζόμενος N εἰσκλύζομαι AB   1. 2 lemma ex NAB   2 post ἀνομίας add. τῶν λόγων B   ἐξαμαρτάνειν N   3—6 scholio quod antecedit adi. N   3 lemma ex A   4 προτραγῳδεῖ ego προστραγῳδεῖ NAB   5 τὸν addidi   ἐπὶ καταγνώσει corrupta   8 cf. Menandr. IX p. 198 W.   11 lemma ex NAB   11. 12 καὶ εὑρέθην del. Wil, latet ᾑρέθην   12 ἀπαραφύλακτος NB   habet M τὸ μὴ καὶ τὸ οὐχὶ μίαν κατάθεσιν ποιεῖ: — μὲν N   οὐ] θεοῦ N   16 in uersu κακὰ M   17 lemma ex N   μύσους N   18 ἐπιβουλίαν A   ἄλλως τε κ om. rubricator quasi nouum scholion inciperet A   19 ποιητῆς] ητῆς om. spatio uacuo rel. A   τοῦ om. A   20 ἐργάζεσθαι A   21 τῶν om. A   πραγμάτων N   21. 22 ἐρημία τοῦ ἱππολύτου A   26 lemma ex NB   τῷ πατρὶ] τὸ πρὶν N

ὄμμασιν αὐτὸν προσβλέψετε ὑπὸ τῆς συνειδήσεως μὴ καταπληττόμεναι: — NAB

663 τῆς σῆς δὲ τόλμης: καὶ πάντως τότε τὸ ἀναιδές σου καὶ τολμηρὸν διαγνώσομαι. πεπειραμένος αὐτῆς ἤδη καὶ διὰ τῶν παρόντων: — B

πεῖραν λαβὼν γινώσκω σε: — M

664 μισῶν δ' οὔποτ' ἐμπλησθήσομαι: οὐδαμῶς χορτασθήσομαι κακῶς λέγων τὰς γυναῖκας: — NB

665 οὐδ' ἄν μοι εἴπῃ τις 'τοῦτ' ἐστὶν ὀνειδίσαι' διὰ τὸ ἀεὶ αὐτὰς λέγειν κακῶς: — M

οὐδ' εἰ φησί τίς μ': οὐδ' εἰ λέγοι μέ τις εἶναι κατὰ φύσιν φιλαπεχθήμονα πρὸς αὐτάς. οὐ γὰρ ἐκ παρέργου, φησί, τὰς κατηγορίας ⟨ποιοῦμαι⟩. τῷ συνεχεῖ δὲ τῶν πλημμελημάτων ὑπόθεσις γίνονται τοῖς κατηγόροις: — NAB

668 τάλανες ὦ κακοτυχεῖς: ἀπὸ κοινοῦ πάλιν ἀτυχήματος πειρᾶται παραμυθεῖσθαι τὸ πταῖσμα. ὁ δὲ λόγος· τίνα νῦν ἢ τέχνην ἢ λόγον ἔχομεν πορίσασθαι, δι' οὗ δυνησόμεθα σφαλεῖσαι τῆς ἐλπίδος τὸν δεσμὸν τῶν ἐγκλημάτων ἀπολύσασθαι τὸν δεθησόμενον καθ' ἡμῶν ὑπὸ τοῦ Ἱππολύτου, ὅταν ἔλθῃ ὁ Θησεύς: — NAB

670 τίνα νῦν τέχναν: τουτέστι· πῶς καθ' ἕκαστον δεσμὸν κατηγορίας ἀπολυσόμεθα τὰ ἐγκλήματα τοῦ Ἱππολύτου, σφαλεῖσαι τῆς ἐλπίδος δι' ἧς προσεδοκῶμεν πεῖσαι αὐτὸν ἐπὶ τὴν ἁμαρτίαν: — NAB

671 καθάμμα λύσειν: παρὰ τὴν παροιμίαν ἥτις ἐστίν· οὐχ ἅμμα λύεις. εἴρηται δὲ ἀπὸ τοιαύτης αἰτίας. τοῖς Φρυξὶ

---

1 πρὸσ βλέψαιτο N προβλέψαιτο A 3—5 habet N τῆσ σῆσ δὲ τόλμησ, τὸ ἀνεδὲσ καὶ ἄκηρον διαγνώσομαι: — 7 lemma ex NB οὐ N 8 κακὰσ N in fine add. ταῦτα δὲ λοιπὸν ὡσ τεχνίτησ ῥήτωρ sequitur spatium uacuum dimidii fere uersus B 10 κακὰς Wil κακῶσ M 11 lemma ex NAB λέγοι με] λέγοιμεν A 11. 12 φιλαπεχθήμονον A 12 αὐτὰς NB ἡμᾶσ A 13 ποιοῦμαι addidi om. NAB sed ὑμῶν ποιοῦμαι ins. m. recentiss. A γινόμεθα A 15 lemma ex NAB 16 παραμυθεῖσθαι πειρᾶται N πράγμα N δὲ om. A 16. 17 ἢ λόγον ἢ τέχνην N 17 σφαλῆσα N σφαλίσαι A 20 lemma ex AB 21 σφαλίσαι A 23 lemma ex NB 24 λύεις ego λύσισ NAB cf. Zen. 4, 46 Suid. [Diogen. 5, 47 Hesych. κάθαμμα λύεις] κάθαμμα λύεις ἐπὶ τῶν δύσλυτόν τι λύειν ἐπιχειρούντων, ἀπὸ τῆς ἁμάξης Μίδου. λόγιον γὰρ τοῖς Φρυξὶν ἐκπεπτώκει, τῆς κομισάσης τὸν Μίδαν ἁμάξης εἴ τις ἐπιλύσειε τὸν δεσμόν, τοῦτον τῆς Ἀσίας ἄρξειν. Ἀλέξανδρος δὲ ἔλυσε

λόγιον ἐδόθη ἐκεῖνον βασιλεύσειν τῆς Ἀσίας, ὃς ἂν τῆς ἀπήνης λύσῃ τὸν δεσμὸν τῆς κομισάσης Μίδαν εἰς Φρυγίαν [ὃς ἦν ἀμπέλινος, ᾧ συνεδέδετο ὁ ζυγὸς καὶ ὁ ῥυμός]. λέγεται δὲ Ἀλέξανδρον διαλῦσαι, ἐξελόντα τὸν ἔμβολον ᾧ κατείχετο ὁ ῥυμός, ἢ τῷ ἐγχειριδίῳ ἀποτεμόντα, μετὰ τὴν ἐπὶ Γρανίκῳ μάχην. [γέγονε δὲ ὁ Ἀλέξανδρος μετὰ τοὺς Εὐριπίδους χρόνους]. παροιμιῶδες οὖν ἐστιν ἐπὶ τῶν δύσλυτόν τι ἐπιχειρούντων λῦσαι. * * Μαρσύας δὲ ὁ νεώτερος ἐν τῇ πρώτῃ τῶν Μακεδονικῶν ἱστοριῶν [frg. 1] φησιν οὕτως· 'τῆς δὲ ἁμάξης λέγεται τὸν ζυγὸν τῷ ῥυμῷ προσδεδέσθαι κλήματι ἀμπελίνῳ'. ἔστι δὲ λόγιον· ὃς ἂν τὸν δεσμὸν τοῦτον λύσῃ, βασιλεύσει τῆς Ἀσίας. Ἀλέξανδρον δέ φασι τὸν Μακεδόνων βασιλέα λῦσαι αὐτόν. ὃς διαβὰς ⟨εἰς⟩ τὴν Ἀσίαν τὴν ἐπὶ Γρανίκῳ μάχην ἐνίκησε καὶ παρεγένετο ἐπὶ τὸν τόπον. ὡς δὲ οὐκ ἠδύνατο εὑρεῖν τὴν ἀρχὴν τοῦ δεσμοῦ ποῦ κατέκειτο, οἱ μὲν λέγουσι τῷ ἐγχειριδίῳ διακόψαι αὐτὸν τὸν δεσμὸν καὶ ταύτην ⟨εἰπεῖν⟩ εἶναι τὴν λύσιν· οἱ δὲ ὡς τὸν ἔμβολον ἐξέλοι ᾧ συνείχετο ὁ ζυγὸς πρὸς τῷ ῥυμῷ. περιειλημμένον δὲ εἶναι καὶ τοῦτον κλήματι· τούτου δὲ ἐξαιρε-

p. 84, 24—2 habet M φασὶν χρηστήριον ἐκεῖνον βασι ἀσίας ὃς ἂν τ . ς ἀπήνης τὸν δεσμὸν λῦσαι δυνηθείη τῆς κομισάσης μίδαν εἰς φρυγίαν: — 1 λόγιον scripsi λόγος NAB βασιλεύσειν Dindorf βασιλεύειν NAB 1. 2 λύσῃ τὸν δεσμὸν scripsi δυνηθείη λῦσαι τὸν δεσμὸν N λῦσαι δυνηθείη τὸν δεσμὸν A λῦσαι τὸν δεσμὸν δυνηθείη B 2. 3 ὃς — ῥυμός deleui 3 λέγεται ego λόγος NAB δὲ om. N 4 τὸν om. N 5 γεγονὼς N 5. 6 γέγονε — χρόνους del. Matthiae 5 μετὰ Wil κατὰ NAB 5. 6 εὐριπιδείους A 7 λύσειν B lacunam statui, deest historia Midae et prior pars descriptionis currus cf. Arrian. anab. 2, 3, 7 ἦν δὲ ὁ δεσμὸς ἐκ φλοιοῦ κρανείας Plut. Al. 18 ἅμαξαν .. φλοιῷ κρανείας ἐνδεδεμένην 7. 8 Μακεδονικῶν Dindorf μακεδόνων NAB 9 ante κλήματι ins. καὶ A δὲ om. A 10 φησὶ N φησι A 11 εἰς τὴν Ἀσίαν τὴν Ritschl et ego τινὰ μάντιν τὴν N τινα μάντιν B τὸν ἄμαντιν A 13 ἀρχὴν om. N 13—17 cf. Plut. Al. 18 οἱ μὲν οὖν πολλοί φασι τῶν δεσμῶν τυφλὰς ἐχόντων τὰς ἀρχὰς . . . τὸν Ἀλέξανδρον . . . διατεμεῖν τῇ μαχαίρᾳ τὸ σύναμμα . . . Ἀριστόβουλος δὲ καὶ πάνυ λέγει ῥᾳδίαν αὐτῷ τὴν λύσιν γενέσθαι ἐξελόντι τοῦ ῥυμοῦ τὸν ἕστορα καλούμενον ᾧ συνείχετο τὸ ζυγόδεσμον, εἶθ' οὕτως ὑφελκύσαντι τὸν ζυγόν. Arrian. anab. 2. 3. 7 τούτου οὔτε τέλος οὔτε ἀρχὴ ἐφαίνετο . . Ἀλέξανδρος δὲ . . . . . οἱ μὲν λέγουσιν ὅτι παίσας τῷ ξίφει διέκοψε τὸν δεσμὸν καὶ λελύσθαι ἔφη· Ἀριστόβουλος δὲ λέγει ἐξελόντα τὸν ἕστορα τοῦ ῥυμοῦ, ὃς ἦν τύλος διαβεβλημένος διὰ τοῦ ῥυμοῦ διαμπὰξ ξυνέχων τὸν δεσμόν, ἐξελκύσαι ἔξω τοῦ ῥυμοῦ τὸν ζυγόν 14 διακόψαι τῷ ἐγχειριδίῳ N τῷ δεσμῷ A εἰπεῖν add. Rei et ego 15 τὸν om. N post ζυγὸς add. τὸν ζυγὸν A 15. 16 τὸν ῥυμὸν N 16 παρὰ τὸ εἰλημμένον N δὲ om. N τοῦτον κλήματι N τοῦτο κλήματος AB

θέντος καὶ τοῦ δεσμοῦ χαλάσαντος. οὕτως λυθῆναι καὶ τὸν δεσμὸν τοῦ ῥυμοῦ: — NAB

672 ἐτύχομεν δίκας· ὦ γᾶ: ἀντὶ τοῦ· τιμωρίαν παρὰ θεοῦ ἐλάβομεν. τὸ δὲ κομματικὸν τῆς διανοίας ἐκτόπως ὑπέγραψε τὴν ἀπορίαν τῆς συμφορᾶς: — NB[1]

ἐτύχομεν δίκας: μετάγεται πάλιν ἡ σκηνὴ εἰς θάτερον μέρος. τουτέστιν ἐπὶ τὴν τῆς Φαίδρας ἀγωνίαν καὶ τοῦ χοροῦ συμπάθειαν. τραγικώτατα εἰς ἄλλον οἶκτον μετιόντος πάλιν τοῦ ποιητοῦ. ἄριστα δὲ τὴν ὑπερβολὴν τῆς συμφορᾶς μιμεῖται αὐτὸ τὸ πάθος διεξιών, ὅπερ εἰώθασι πολλάκις ποιεῖν ἀξίων ἀποροῦντες θρήνων. δικαίως, φησίν, ἐτιμωρήθημεν καὶ τῆς ἀξίας δίκης ἐτύχομεν. πάλιν δὲ τὴν γῆν καὶ τὸ φῶς ἐπικαλεῖται, ὡς ἂν ἀρχικώτατα στοιχεῖα· καθὼς καὶ ἄνω φησὶν [601] ὦ γαῖα μῆτερ ἡλίου τ' ἀναπτυχαί: — NAB

673 ⟨πῶς ποτε⟩ ἐκφύγω τὰς παρούσας τύχας: — M

675 ἀρωγός: φανείη δηλονότι· τοῦτο γὰρ ἀπὸ κοινοῦ: — B[1]

678 παρὸν δυσεκπέρατον: ἢ ἐν ὑπερβατῷ, ἵν' ᾖ οὕτως· τὸ γὰρ παρόν μοι δυστύχημα τοῦ βίου δυσεκπέρατόν ἐστιν. ἢ οὕτως· τὸ γὰρ νῦν παρὸν πάθος παντὸς τοῦ βίου καὶ τῶν ἐν αὐτῷ συμφορῶν δυσεκφευκτότατον καθέστηκεν. ἢ οὕτως· τὸ γὰρ παρὸν πάθος δυσκόλως ἄν μοι περάσαι τὸν βίον καὶ δυσχερῶς ἂν αὐτὸ φύγοιμι: — MAB

680 φεῦ φεῦ: προϊούσης τῆς τροφοῦ κατηφοῦς ὁ χορός φησι. πάλιν δὲ κομματικός ἐστιν ὁ λόγος. καὶ ἐπὶ τοῦ πέπρακται δεῖ στίζειν· οὕτω γὰρ ἁρμόσει τοῖς ἑξῆς. τὸ δὲ κοὐ κατώρθωνται τέχναι ἀντὶ τοῦ· οὐδὲν τοῦ πράγματος κατώρθωσαν αἱ τέχναι τῆς δούλης, ἀλλὰ καὶ κατέστρεψαν: — AB

---

1 καὶ (alterum) om. B  3. 4 ἀντὶ — ἐλάβομεν N πότε ἐκφύγω τὰσ δυστυχίασ B  6 lemma ex NAB  7 τὴν τοῦ χοροῦ B  8 μετιόντοσ A βελτίω τοῦ N βελτίονα τοῦ B  post ποιητοῦ add. τρέψαντοσ B  10 ante ἀξίων add. οἱ B  ἀπορούντων N  post δικαίως add. δὲ A  11 post δίκης add. παρὰ θεοῦ B  12 ἂν ἀρχικώτατα Wil ἂν αἰτιώτατα N ἀναιτιώτατα AB  καθὰ N  καὶ ἄνω om. N  13 γαῖα μῆτερ B γᾶ καὶ φῶσ A γᾶ φῶσ N  ἀναπτυχέσ A  14 πῶς ποτε suppleui in loco detrito  16 lemma ex A [δυσεκπέραντον A]  ἢ — οὕτως om. M  17 δυστύχημα AB πάθοσ M  δυσεκπέραντον M δυσεκπεράντόν A  18 παρὸν πάθος scripsi πάθοσ παρὸν AB πάθοσ M  παντὸς om. M  συμφορῶν M δυσφορῶν AB  19 post παρὸν add. μοι A  20 περάσοι AB  τὸν om. M  δυσχερῶσ ἂν MA δυσκόλωσ B  αὐτοῦ M  φάγοιμι A  21 lemma ex A  22 καὶ om. B  23 κατώρθωνται τέχναι] κατώρθωται τέχνη AB  25 καὶ om. B

683 Ζεύς σ' ὁ γεννήτωρ: Εὐρώπης γὰρ καὶ Διὸς ὁ Μίνως. ὁ Ζεύς σε, φησίν, ἐκριζώσειε καὶ παντελῶς ἀπολέσειεν: — AB

684 οὐτάσας πυρί: ἀντὶ τοῦ βαλὼν τῷ κεραυνῷ. οἱ δὲ νεώτεροι οὐκ ἴσασι τὴν διαφορὰν τοῦ οὐτάσαι καὶ βαλεῖν. Ὅμηρος δὲ οὐτάσαι μὲν τὸ ἐκ χειρὸς καὶ ἐκ τοῦ σύνεγγυς τρῶσαι, βαλεῖν δὲ τὸ πόρρωθεν: — AB

686 σιγᾶν ἐφ' οἷσι νῦν: ἐλεγκτικὸν τὸ ἦθος. τὸ δὲ ἑξῆς οὕτως· οὐκ εἶπον σιγᾶν ἐφ' οἷς κακῶς διάγω καὶ νοσηλεύομαι, τουτέστι τὸν ἔρωτα: ὁ δὲ νοῦς· οὐχὶ τὸ προπετὲς τῆς διανοίας προνοουμένη ἐκέλευον σιωπᾶν καὶ μὴ ἐκφαίνειν τὴν ἐμὴν ἐρωτικὴν κάκωσιν: — AB

687 διὰ τοῦτο γὰρ οὐκ εὔδοξοι γεγόναμεν· ἐπειδὴ οὐκ ἤκουσάς μου: — B[1]

688 ἐπινοιῶν καὶ μηχανημάτων χρεία ἐστίν: — B[1]

689 ἠκονημένος ὑπὸ τῆς ὀργῆς: — M

ἀντὶ τοῦ ὀργισθείς: — M[g]

693 ὄλοιο καὶ σὺ χὤστις: γνωμικώτερόν πως ἐπάγει τὴν κατάραν. ἀπόλοιο, φησί, παρὰ γνώμην μου εὐεργετῆσαί με θελήσασα, καὶ πᾶς ἄλλος ταὐτά σοι δρῶν καὶ προθυμούμενος ἄκοντας τοὺς φίλους μὴ καλῶς εὐεργετεῖν. ἄντικρυς δὲ ἐλέγχων τὸ ψευδώνυμον τῆς τοιαύτης εὐεργεσίας ⟨τὸ⟩ μὴ καλῶς προσέθηκεν. οὐ γὰρ οἶδε φύσις κἂν ἐξ εὐεργετήματος ἀνάγκην ἐπιδέχεσθαι, εἴγε τὰς χρείας καταθυμίους δεῖ ποιεῖσθαι: — AB

695 δέσποιν'. ἔχεις μέν: καταδέχεται τὴν ἐξ αὐτῆς μέμψιν, ἵνα οὕτως καὶ αὕτη τὴν τοῦ σφάλματος ἀπολογίαν καταδέξηται. ἑξῆς δὲ πάλιν εἰς εὔνοιαν αὐτὴν προάγειν βούλεται, τὸν σκοπὸν τῆς μηνύσεως

1 lemma ex A 1. 2 totum scholion om. A spatio uacuo relicto et signo lacunae in mg. posito 1 μίνωος B 3 τῷ κεραυνῷ om. A 4 δὲ om. A 5 μὲν om. A ἐκ χειρὸς καὶ om. A ἐγγὺς A 5. 6 βαλεῖν — πόρρωθεν om. A cf. Lehrs. Arist. p. 51 7 lemma ex A 8 κακῶ A κακῶς διάκειμαι ἤτοι B 10 ἐμφαίνειν A 14 τῆι ὀργῆι M 16 lemma ex AB 17 μου B μὴ A θέλουσα A 18 δρῶν B δ' οὖν A ἄκοντας B ἄκων γὰρ A 19 ἐλέγχων — ψευδώνυμον om. A spatio uacuo relicto 20 τὸ addidi 20. 21 οὐ γὰρ οἶδε φύσις εὐεργετήματος ἀνάγκην ἐπιδέχεσθαι B ἐμοὶ δὲ καὶ ἐξ εὐεργετήματος ἂν οὐκ ἔστι δέχεσθαι A equidem praeter ea quae dedi scripserim ⟨φιλίας⟩ φύσις cl. schol. 484 21 εἴγε scripsi εἴτε AB 21. 22 θυμίους δεῖ ποιεῖσθαι om. spatio uacuo relicto et signo lacunae in margine posito A 23 lemma ex AB 24 καὶ αὕτη om. spatio uacuo relicto A 25 εὔνοιαν Dindorf ἔννοιαν AB

καθ' ὃν γεγένηται λέγουσα. τὸ δὲ ἑξῆς οὕτως· ἔχεις μὲν δικαίως τὰ ἐμὰ παίσματα μέμψασθαι. παραιρεῖται γάρ σου τὸ λογιστικὸν ἡ λύπη καὶ τὴν αἰτίαν τοῦ παίσματος γινώσκειν οὐ συγχωρεῖ σοι. ἀναιτία γὰρ ἐγώ εἰμι τῆς συμφορᾶς. ὁ δὲ νοῦς· ἔχεις μὲν μέμψασθαι τὰ ἐμὰ κακά, δέσποινα· τὸ γὰρ λυποῦν σε κρατεῖ, ὅθεν μέμφῃ μοι. εἰ γὰρ μὴ ἐγένετο, οὐκ ἂν ἐμέμφου, ἀλλ' ἐπῄνεις. ὅθεν ἐπιφέρει πρὸς τὰς τύχας γὰρ τὰς φρένας κεκτήμεθα. ἡ μὲν κατασκευὴ τοῦ λογισμοῦ τῆς εὐνοίας ἀπόδειξις, ἡ δὲ τῆς ἀποτυχίας δυσχέρεια τῆς τύχης κατηγόρημα: — AB

696 τὸ δάκνον σου τὴν φρένα νικᾷ: — M

ἡ γὰρ λύπη τὸ διαλογιστικόν σου νικᾷ: — B[i]

700 εἰ δ' εὖ γ' ἔπραξα: εἰ καλῶς, φησίν, ἔπραξα καὶ μὴ ἐσφάλην τῆς ἐλπίδος, ἐθαυμάζετ' ⟨ἂν⟩ μου τὸ βούλευμα. οὐκ ἄρα ἡ ἐμή σε βουλὴ ἠδίκησεν, ἀλλ' ἡ τύχη. εἰ γὰρ καλῶς ἀπέβη τὸ πρᾶγμα, ἔλεγες ἂν ὅτι οὐκ ἔστιν ἄλλη κρείττων τῆς τροφοῦ: — AB

701 πρὸς τὰς ἀποβάσεις τῆς τύχης ἔχομεν τὰς φρένας. ἐν ὀρ⟨γῇ ταῦ⟩τα λέγει. ἀρνεῖται . . . . . . . . . . . .: — M

702 ἦ γὰρ δίκαια ταῦτα: ὀργίζεται καλῶς ἐπὶ τῷ καὶ ἀπολογίαν ἐθέλειν σοφίσασθαι. ἆρα οὖν, φησί, δίκαιόν ἐστι τοῦτο καὶ οὐχὶ φανερῶς ἄτοπον, τὸ καὶ ἐθέλειν σε ἰσολογεῖν μοι καὶ ἐκ τῶν ἴσων ἀμφισβητεῖν, τρώσασάν με. ἐξαρκοῦντα δέ μοί ἐστιν ἤγουν ἱκανὰ πρὸς θεραπείαν τῆς βλάβης: — AB

703 εἰς ταὐτὸ συνιέναι καὶ ἐκ τοῦ ἴσου ἁμιλλᾶσθαι: — B[i]

704 μακρηγοροῦμεν: μάτην φλυαροῦμεν καὶ ἐπεκτείνομεν τὸν λόγον ἐπὶ τοῖς ἤδη πραχθεῖσιν: — AB

οὐκ ἐσωφρόνουν ἐγώ: ὁμολογεῖ τὸ ἁμάρτημα, ἐπεὶ εἶδεν αὐτὴν πρὸς τὴν ἀπολογίαν δυσχεραίνουσαν. ὁμολογῶ, φησί,

1 γένηται A 2 παραιτεῖται B 3 ἀναιτία scripsi αἰτία AB 4 post νοῦς add. B ἔχει οὕτως μὲν om. A 5 ὦ δέσποινα B 6 ἂν om. A ἐπιφέρειν A 7 γὰρ B καὶ A 8 εὐνοίας Dindorf ἐννοίας AB 12 lemma ex A 13 ἂν addidi 15 ἂν om. A ἄλλη om. A κρεῖττον A τῆς om. A 17 suppl. Wil in loco detrito 18 lemma ex AB ὀρίζεται A 18. 19 ἀπολογίας A 19 θέλειν A οὖν om. A 20 τὸ om. A θέλειν A 20. 21 scholiasta ita uersum legisse uidetur τρώσασαν ἡμᾶς εἰς ἴσον χωρεῖν λόγοις 21 ἐστιν ἤγουν A ἐστὶν B cf. . . . . . εἰσὶν εἰς θεραπείαν M[g] 24 lemma ex AB initio add. ἀντὶ τοῦ B 26 lemma ex AB τὸ ἁμάρτημα A ἡμαρτηκέναι B

τὸ πρότερον πταῖσμα οὐκ ἐκ τύχης, ἀλλ' ἐξ ἐμῆς ἀνοίας γεγενημένον: — AB

710 ὑμεῖς δὲ παῖδες: μεταστρέφει τὸν λόγον πρὸς τὰς γυναῖκας τοῦ χοροῦ: — AB

713 ὄμνυμι σεμνήν: οἰκονομικῶς ὁ χορὸς σιωπὴν ἐπαγγέλλεται. λύοιτο γὰρ ἂν τὰ τῆς ὑποθέσεως: — NAB

715 ἓν δὲ προτρέπουσ' ἐγώ: ζητοῦσα. μετατρέπουσα καὶ πολλὰ δοκιμάζουσα καὶ εἰς πολλὰ μεταφέρουσά μου τὴν γνώμην, ἓν μόνον ἴαμα τῆς συμφορᾶς εὗρον: — NAB

ἐρευνῶσα πολυπραγμονοῦσα βουλευομένη: — M

717 περιποιήσασθαι τοῖς ἐμοῖς τέκνοις δόξαν: — B[1]

719 οὐ γάρ ποτ' αἰσχυνῶ γε: ὅτι Μίνως βασιλεὺς τῶν Κρητῶν ἐγένετο πατὴρ αὐτῆς. καὶ διὰ τοῦτο Κρησίους δόμους λέγει: — NAB

721 αἰσχροῖς ἐπ' ἔργοις: ἀντιδιασταλτικῶς τὸ μιᾶς εἶπεν· ἐγὼ γὰρ τῆς μιᾶς μου ψυχῆς καταφρονήσασα πολλὰς ἑτέρας διασώσω. τὰς τῶν οἰκείων δηλονότι, ῥυσαμένη τῆς αἰσχύνης. οὐχ ὑπερτιμήσω οὖν τὴν μίαν ψυχὴν τῆς αἰσχύνης τῶν πολλῶν: — NAB

724 καὶ σύ γ' εὖ με νουθέτει: ἀπειλητικώτερον εἴρηται ὁ λόγος, ὡς εἰ ἔλεγε· μὴ καὶ σὺ ζήλου τῆς τροφοῦ τὴν παραίνεσιν μηδὲ τὰ αὐτὰ ἐκείνῃ νουθετήσῃς με, ἅ ἐστιν ἐπιζήμια καὶ φαῦλα. ἀλλὰ πρὸς τὸ συμφέρον με νουθέτει: — NAB

728 ἀτὰρ κακόν γε χἀτέρῳ: καὶ δὴ ἀποθανοῦσα κακὸν γενήσομαι καὶ ἄλλῳ. ἀντὶ τοῦ τῷ Ἱππολύτῳ, ἵν' εἰδῇ. κοινῇ ταύτης μοι

1 τὸ om. A   1. 2 γενόμενον B   3 lemma ex AB   μεταστρέφει τὸν λόγον A μεταστρέφεται νῦν B   5 lemma ex NA   5. 6 scholio quod antecedit adi. B initio add. αἱ δὲ ὀμνύουσιν   5 ὁ χορὸσ σιωπὴν N ὁ χορὸσ A καὶ σιωπᾶν B   ἐπαγγέλλονται B   6 λέγοιτί [γ postea del.] N   7 lemma ex NA   ζητοῦσα NA ἀντὶ τοῦ ζητοῦσα καὶ ἐξερευνῶσα B   post μετατρέπουσα add. φησὶ B   8 μετατρέπουσα A   9 μόνον AB δὲ N   τῆς om. N   εὗρε A om. N   11 περιποιήσασθαι Wil προσποιήσασθαι B[1]   12 lemma ex NA   13 ἐγένετο τῶν κρητῶν B   ὁ πατὴρ B   15 lemma ex NA   ἀντιδιασταλτικῶσ — εἶπε om. B   ἀντιδιασταλτικῶς scripsi ἀντὶ τοῦ διασταλτικῶσ NA   19 lemma ex NAB   20 τὴν τροφὸν τῆσ παραινέσεωσ NB   21 νουθετήσεισ NA   ἅ ἐστιν om. N   23 lemma ex N   24 καὶ om. NA   post Ἱππολύτῳ add. διὰ τῆσ κατηγορίασ B   post εἰδῇ add. μὴ N

μετασχὼν τῆς νόσου. μετριάζειν καὶ μὴ ὑψηλοφρονεῖν ἐπὶ ταῖς ἑτέρων δυστυχίαις: — NAB

732 ἠλιβάτοις: ἀντὶ τοῦ βαθυτάτοις. ἠλίβατον γὰρ οὐ μόνον τὸ ὑψηλόν, ἀλλὰ καὶ τὸ βαθύ, οὗ ἐστιν ἀλιτεῖν τῆς βάσεως. κευθμῶσι δὲ ἐρήμοις τόποις, κεκρυμμένοις, πάσης ξυντυχίας ἀνθρώπων χωρίς. ἀφανισμὸν δὲ καὶ μεταβολὴν τῆς φύσεως ἐπεύχεται ἑαυτῷ ὁ χορὸς ἤτοι πρὸς τὸ ἄπειρος γενέσθαι τῶν ἐπικαταληψομένων συμφορῶν ἢ πρὸς τὸ μὴ καταναγκασθῆναι ψευδομαρτυρεῖν κατὰ Ἱππολύτου. ἤ, ὅπερ ἄμεινον, καταγνοῦσα τῆς ἀνθρωπίνης φύσεως καὶ ταῦτα διὰ τῶν παρόντων κακῶν ἄριστα παιδευθεῖσα, ὄρνις εὔχεται εἶναι πρὸς τὸ μηδὲ συντυχίας ἢ θέας ἀπολαύειν ἀνθρώπων. τοῦτο γὰρ τὸ ζῷον καθαρώτατόν ἐστι παρὰ πάντα· διὸ καὶ ἕκαστον αὐτῶν θεοῖς ἀνάκειται. καὶ τῇ πτήσει μᾶλλον τῶν ἄλλων ζῴων ἐκτοπίζεσθαι τῶν ἀνθρώπων δύναται ὡς καὶ ἐν ἐρημίᾳ ἀνθρώπου ἐπιστάντος ἀνίπτασθαι καὶ νικᾶν τῇ πτήσει τὴν τούτου θέαν: — NAB

733 γενοίμην, φησίν, ὄρνις, ᾗ εἴη δυνατὸν καὶ πελάγη διίπτασθαι.

---

1 συμετασχὼν N 3 lemma ex NAB 4 οὗ — ἀλιτεῖν om. A λιτεῖν N 3. 4 et. m. p. 427,50 Εὐριπίδης ἐν Ἱππολύτῳ ἠλιβάτοις κευθμῶσιν· βαθυτάτοις, ἀπὸ τοῦ ἀλιτεῖν τῆς βάσεως. cf. Herodian. ad O 619 [cf. et. m. p. 427,39] ἠλίβατος ψιλῶς· ἀπὸ γὰρ τοῦ ἀλιτεῖν ἐσχημάτισται . . . . . et. Gud. p. 240,32 ἀλιτόβατον . . Ἡλιόδωρος ἀφ᾽ οὗ ἔστιν ἀλιτεῖν βαίνοντας ἢ διὰ τὸ ὕψος ἢ διὰ τὴν τραχύτητα Hesych. [= Phot. et. m. p. 427,39] ἠλίβατον ὑψηλὴν ἄβατον ἧς ἔστιν ἀλιτεῖν βαίνοντα . . . Στησίχορος [frg. 83] δὲ Τάρταρον ἠλίβατον τὸν βαθὺν λέγει . . . schol. ι 243 Q ὑψηλὴν ἢ ποιοῦσάν τινα ἀλιταίνειν τῆς βάσεως, ἤτοι ἁμαρτάνειν. T μόνῳ ⟨ἠ⟩λίῳ βατὴν ἢ ἧς ἔστιν ἀλιτεῖν τῆς βάσεως . . . . ν 196 τινὲς παρὰ τὸ ἀλιτεῖν τοὺς ἐπιβαίνοντας schol. Ap. Rhod. 2,169 οὗ ἀλιτεῖν ἔστι τῆς βάσεως, τουτέστι ὑψηλῷ καὶ ἀπροσβάτῳ schol. Pind. Ol. 6,109 τὴν ὑψηλὴν καὶ ἤτοι ἐφ᾽ ἧς βαίνοντα ἔστιν ἀλιτεῖν διὰ τὸ ὕψος . . . . praeterea uid. Apoll. soph. p. 83,25 Orion. p. 67,10 Zon. p. 986 lex. Bachm. p. 250,9 schol. Hesiod. Theog. 483 epim. Hom. 194 5 τοῖσ ἐρήμοισ καὶ κεκρυμμένοισ τόποισ καὶ B ἀνθρώπου A 6 post χωρίς add. B τὸ ἑξῆσ οὖν οὕτωσ· πτεροῦσάν με ὄρνιν θείη θεὸσ ἵνα γενοίμην ἐν ἠλιβάτοις κευθμῶσι καὶ πλεῖστον ἄποπτος εἴην ἀνθρωπίνου γένουσ αὐτῷ N 7 post χορὸς add. ἐπὶ τῆι συμβεβηκυίαι τύχηι B 8 πρὸς τὸ — Ἱππολύτου] horum loco habet B ἢ ἐπειδὴ μέλλει συνίστωρ γενέσθαι τῆι Φαίδραι εἰσ τὴν κατὰ τοῦ Ἱππολύτου διαβολὴν καὶ τηλικαύτην ἁμαρτίαν εἰσ ἑαυτὸν ἐπισπᾶσθαι ψευδομαρτυρεῖν ἀναγκασθεῖσα κατ᾽ αὐτοῦ. πρὶν οὖν ἐκεῖνον ἐπιστῆναι αὐτῶι τὸν καιρὸν ἀπαλλαγῆναι τῆσ φύσεωσ ἐπεύχεται 8 ἀναγκασθῆναι A 9 ταῦτα om. B 11 μηδὲν A 12 ἐστι om. A 15 τούτου τὴν N τούτων A 16 ᾗ εἴη scripsi εἰ ἦν M εἴην δυνατὸς Wil

καὶ ἀρθείην καὶ μετεωρισθείην ἐπὶ τὸ θαλάττιον κῦμα τὸ τῆς Ἀδρίου ἀκτῆς καὶ ἐπὶ τὸ τοῦ Ἠριδανοῦ ὕδωρ: — M

ἵνα με πτεροῦσσαν ὄρνιν: πτεροῦσσάν με ὄρνιν θείη θεός, ἵνα γενοίμην ἐν ἠλιβάτοις κευθμῶσι καὶ πλεῖστον ἄποπτος εἴην ἀνθρωπίνου γένους. ὁ χορὸς ἐπὶ τῇ συμβεβηκυίᾳ τύχῃ ἀφανισμὸν καὶ μεταβολὴν τῆς φύσεως ἑαυτοῦ κατεύχεται, ἵνα ἄπειρος τῶν ἐφεξῆς μείνῃ συμφορῶν. ἢ ἐπειδὴ μέλλει συνίστωρ γενέσθαι τῇ Φαίδρᾳ τῆς κατὰ Ἱππολύτου διαβολῆς καὶ [μέλλει] τηλικαύτην ἁμαρτίαν εἰς ἑαυτὸν ἐπισπᾶσθαι· πρὶν οὖν ἐκεῖνον ἐπιστῆναι αὐτῷ τὸν καιρόν, ἀπαλλαγῆναι τῆς φύσεως ἐπεύχεται. πρὸς τὸν Ἀδρίαν δὲ καὶ τὴν Κελτικὴν ἀρθῆναι εὔχεται οἰκείως τοῖς πεπραγμένοις καὶ ὡς μάλιστα τῶν τόπων τούτων λύπας ἀναδεξαμένων. ἐν γὰρ τῷ Ἀδρίᾳ ἡ Ἰὼ εἰς βοῦν μεταβληθεῖσα κατὰ βούλησιν Ἥρας διεπέρασε τὸ ἀπ' αὐτῆς Ἰόνιον πέλαγος κληθέν, ἐν δὲ τῷ Ἠριδανῷ αἱ Ἡλιάδες κόραι τὸν Φαέθοντα δακρύουσι μεταβληθεῖσαι εἰς δένδρα: — NAB

736 κῦμα τᾶς Ἀδριηνᾶς: τὸ πόντιον κῦμα ἀντιδιασταλτικόν ἐστι τοῦ ῥεύματος τοῦ Ἠριδανοῦ. ὁ δὲ Ἀδρίας πέλαγός ἐστι μέγιστον πρὸς τῇ Ἰταλίᾳ, ὁ δὲ Ἠριδανὸς ποταμὸς Κελτικῆς. ἐν τούτοις δὲ ἄρα εὔχεται μάλιστα τοῖς τόποις εἶναι ὡς πειραθεῖσι συμφορῶν (ὁ μὲν γὰρ Ἀδρίας συνέπαθε τῇ βοΐ, ὁ δὲ Ἠριδανὸς τῷ Φαέθοντι), ὅπως ἂν πρόφασιν ἔχουσα τὸν τόπον ἀκαταπαύστως θρηνοίη τοὺς ἀνθρώπους. ἤ, ὅπερ ἄμεινον, εὔχεται μεταβολὴν τῆς φύσεως εἰς τοὺς τόπους ἐκείνους γενέσθαι οἵτινες μάλιστα πεῖραν μετεμψυχώσεως ἐδέξαντο. ἐν μὲν γὰρ τῷ Ἀδρίᾳ ἡ Ἰὼ ἐπλανήθη εἰς βοῦν μεταμορφωθεῖσα, ἐν δὲ τῷ Ἠριδανῷ αἱ Ἡλιάδες εἰς αἰγείρους μετεβλήθησαν: — NAB

738 ἔνθα πορφύρεον: εἰς πορφύρεον οἶδμα τοῦ Ἠριδανοῦ αἱ

1 Ἀδρίου Dindorf ἀδρίας M  3—10 πτεροῦσσάν — ἐπεύχεται om. B  3 lemma ex A  μὲν A  5 τύχη A φύσει N  6 τῆς om. N  8 μέλλει deleui  9 ἐκεῖνον om. A  αὐτῷ — καιρὸν om. N  10—15 πρὸς — μετεβλήθησαν scholio p. 90, 3—15 adi. B  10 τὴν om. N  ἀρθῆναι om. NA  11 οἰκείοις B  13 ἐπέρασε NA  14 τὸν φαέθοντα δακρύουσι A δακρύουσαι τὸν φαέθοντα B τὸν φαέθοντα ἐδάκρυσαν N  14. 15 μεταβληθεῖσαι εἰς δένδρα NA εἰς φηγοὺς μετεβλήθησαν B  16 lemma ex NAB  17 τοῦ alterum om. A  ἐστι om. N  18 κελτικός A  ἄρα corruptum, del. Wil  19 μάλιστα om. N  19—22 εἶναι — εὔχεται om. N  19 πειραθεῖσα A  22 τῆς — ἐκείνους om. N  ⟨διὰ⟩ μεταβολὴν Rei  26 lemma ex NA

τοῦ πατρὸς Ἡλίου ἄθλιαι κόραι Ἡλιάδες τῷ οἴκτῳ καὶ θρήνῳ τοῦ Φαέθοντος εἰς δένδρα μεταβληθεῖσαι δακρύουσι τοῦτο τὸ δάκρυον. ὅπερ πηγνύμενον ἐν τῇ ψυχρότητι τοῦ ὕδατος ἀποτελεῖ τὸν ἤλεκτρον: — NAB

739 εἰς οἶδμα πατρός: πατέρα αὐτῶν τὸν Ἠριδανόν φησι. παρόσον τρέφονται αὐτοῦ τῷ ὕδατι, αἴγειροι οὖσαι: — MNAB

740 κόραι Φαέθοντος: ἐκ γὰρ Ἡλίου βούλεται ὁ μῦθος αὐτὰς εἶναι. διὸ καὶ τὸ δάκρυον αὐτῶν φωτεινοειδὲς λέγεται εἶναι. ἤλεκτρον ὀνομαζόμενον, ἐπεὶ καὶ Ἠλέκτωρ ὁ Ἥλιος καλεῖται: — NAB

742 Ἑσπερίδων: ἔνθα τὰ χρύσεα μῆλα ἐσπάρησαν. Φερεκύδης [frg. 33[b]] δὲ Διὸς καὶ Θέμιδος εἶναί φησιν αὐτάς, ἔνιοι δὲ τὰς αὐτὰς ταῖς Ἀτλαντίσιν. Ἑσπερίδες δὲ ὀνομάζονται διὰ τὸ ἐν τῇ ἑσπέρᾳ, τουτέστιν ἐν τῇ δύσει, κεῖσθαι. ὁ δὲ νοῦς· ἀνύσαιμι καὶ ἔλθοιμι ἐπὶ τὴν ἀκτὴν τῶν Ἑσπερίδων νυμφῶν τῶν ἀοιδῶν, ἔνθα εἰσὶ χρυσᾶ μῆλα σπαρέντα. πάλιν δὲ ἀκολούθως τοῖς προειρημένοις καὶ ἐνταῦθα εὔχεται γενέσθαι. ἐπειδὴ καὶ αὗται νῦν ἐν θρήνοις εἰσὶν θρηνοῦσαι τὸν δράκοντα τὸν μηλοφύλακα τὸν νεωστὶ ὑφ' Ἡρακλέους φονευθέντα. διὰ τοῦτο γὰρ καὶ ἀοιδοὺς αὐτὰς λέγει. διὰ τὸ ἐπὶ θρήνοις εἶναι: — NAB

743 παραγενοίμην εἰσέλθοιμι: — M

744 ἵν' ὁ ποντομέδων: ὅπου ὁ Ποσειδῶν οὐκέτι δίδωσι τοῖς ναύταις διέξοδον [προσεγγίζειν] εἰς τὸν ὠκεανόν. τέρμονα γὰρ οὐ-

5. 6 scholio quod antecedit adi. B add. δὲ post πατέρα 5 lemma ex N πατέρα om. M αὐτὸν M 6 παρόσον — οὖσαι] αἱ γὰρ αἴγειροι ἐν αὐτῷ τρέφονται M 7 lemma ex NA ἐκ γὰρ Ἡλίου scripsi ἐπὶ γὰρ ἡλίου A ἐπεὶ γὰρ ἡλίου N ἡλίου γὰρ B 8 εἶναι om. N διὸ scripsi διότι N διὰ τὸ AB 8. 9 τὸ — καλεῖται om. A spatio uacuo rel. et signo lacunae in mg. posito 8 λέγεται N λέγεσθαι εἶναι B 10 lemma ex NA 11 εἶναι NA φησὶν B 10. 11 de Pherecyde falsa referuntur cf. schol. Ap. Rhod. 4,1396 Φερεκύδης ἐν δεκάτῳ [ἐν ῑ Athen. 11 p. 470] . . . φησὶ . . . ὅτι αἱ νύμφαι Διὸς καὶ Θέμιδος οἰκοῦσαι ἐν σπηλαίῳ περὶ τὸν Ἠριδανὸν ὑπέθεντο Ἡρακλεῖ ἀποροῦντι μαθεῖν παρὰ Νηρέως ποῦ ἔλῃ τὰ χρύσεα μῆλα Apollodor. II 5, 11, 3 ἧκε πρὸς νύμφας Διὸς καὶ Θέμιδος. αὗται μηνύουσιν αὐτῷ Νηρέα schol. Ap. Rh. 4, 1399 οἱ δὲ Ἄτλαντος λέγουσιν Seru. ad Aen. 4, 484 *Hesperides Atlantis siue Hesperi filiae* Diodor. 4, 27, 2 ἀπὸ μὲν τοῦ πατρὸς Ἀτλαντίδας, ἀπὸ δὲ τῆς μητρὸς Ἑσπερίδας ὀνομασθῆναι 12—14 Ἑσπερίδες — ἐπὶ τὴν om. A 13 νοῦς N λόγος B 14 τὴν ἀοιδὴν A 17 τὸν (alterum) om. N 18 ἐν A 20 lemma ex NAB post οὐκέτι add. οὖν N 21 προσεγγίζειν NB πρὸς τὸ ἐγγίζειν A, deleui τέρμα N

ρανοῦ τὸν ὠκεανόν φησιν, εἰς ὃν δοκεῖ τῇ θέᾳ τῇ ἀνθρωπίνῃ ἀποτερματίζεσθαι καὶ καταπίπτειν ὁ οὐρανός. πάλιν δὲ πρὸς τὴν διήγησιν ἐτράπη τῶν τόπων, ἔνθα ὁ Ποσειδῶν τὸν πλοῦν τῆς θαλάσσης τοῖς ναύταις οὐκέτι δίδωσι, καθάπερ καὶ Πίνδαρος [Nem. 4, 69] 'Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν': — NAB

745 πρὸς τὸν ζόφον. ἐκεῖ γάρ φασι τὸν Δία μιχθῆναι τῇ Ἥρᾳ: — MA^g B^i

οὐκέθ' ὁδόν: μερίζει. διέξοδον δίδωσι. διὰ τὸ τέλος εἶναι ἐκεῖ τοῦ ὠκεανοῦ καὶ τοῦ οὐρανοῦ: — NB^i

746 γράφεται κυρῶν: — A^g

747 τὸν Ἄτλας ἔχει: τὸν Ἄτλαντα οἱ μὲν ὄρος εἰρήκασι, μυθευόμενοι τὸν οὐρανὸν βαστάζειν, ἐπειδὴ πάνυ ὑψηλὸν ὑπάρχει καὶ δοκεῖ ἐπικεῖσθαι αὐτῷ ὁ οὐρανός. ὅθεν καὶ Ἄτλας εἴρηται, διὰ τὸ ἄτλητον ποιῆσαι τὴν εἰς αὐτὸν ἀνάβασιν. τινὲς δὲ Ἄτλαντα εἰρήκασιν αὐτὸν τὸν ἄξονα τοῦ οὐρανοῦ, δι' οὗ ἡ τοῦ παντὸς κίνησις γίνεται. δῆλον δ' ἐκ τοῦ Ὁμήρου λέγοντος [α 53] 'ἔχει δέ τε κίονας αὐτὸς μακράς, αἳ γαῖάν τε καὶ οὐρανὸν ἀμφὶς ἔχουσιν'. εἰρῆσθαι δὲ Ἄτλαντα, οἱονεὶ πολύτλαν, διὰ τὸ αὐτὸν πάντα βαστάζειν: — NAB

748 κρῆναί τ' ἀμβρόσιαι: αἱ τοῦ νέκταρος κρῆναι, καθὸ ἡ ἀμβροσία καὶ τὸ νέκταρ ἐκεῖσε φύονται: — NAB

ἄλλως: ὑποτίθενται τὴν τῶν Φαιάκων γῆν εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμότητος καὶ ἐκ τοῦ ἐπικειμένου πυρὸς τρὶς τοῦ ἐνιαυτοῦ τὸν σῖτον καὶ τὰ ἄλλα κάρπιμα φέρειν λέγεται. τὸ δὲ ἑξῆς· καὶ ἔλθοιμι ἐν ἐκείνῳ τῷ τόπῳ, ὅθεν ἐκ τῶν κοιτῶν, τῶν οἴκων, τοῦ Διὸς χέονται αἱ πηγαὶ αἱ τὸ ζῆν τοῖς θεοῖς δωρούμεναι: — NAB

4 οὐκέτι δίδωσι A δίδωσιν ἔτι N οὐ δίδωσιν ἔτι B καθὰ B 6 πρὸς τὸν ζόφον om. A^g B^i γὰρ om. A^g B^i 8 τέλος B^i γένος N 9 ἐκεῖ B^i ἐκ N τοῦ ἀλλ' τοῦ οὐρανοῦ N τοῦ οὐρανοῦ καὶ τοῦ ὠκεανοῦ B^i 11 lemma ex NA ἄτλαν A 12 ἐπεὶ A ὑψηλὸν ὑπάρχει] ὑψηλὸς δοκεῖ εἶναι N 14 ποιήσασθαι NB τὴν om. N αὐτὸν om. N 14—18 schol. us. 3 Eust. p. 1390, 12 οὕτω μὲν τὸν Ἄτλαντα ..... εἰς τὸν κοσμικὸν ἔστι μεταλαμβάνειν ἄξονα ....... 36 δῆλον δὲ καὶ ὡς Ἄτλας λέγεται ἢ .... ἢ ἐπιτατικῶς ὡς πολύτλας Hesych. ἄτλας .. καὶ ἡ διιοῦσα εὐθεῖα ἕως τῶν πόλων 15 δι' ὃν NA κοίνησις A δ' ἐκ ego δὲ AB om. N 15. 16 τοῦ — λέγοντος] καὶ τὸ ὁμηρικὸν B 17 δὲ om. A ἄτλαν B πολύτλαντα A 19 lemma ex NAB 21 ὑποτίθενται Wil ὑποτίθεται NAB 22 τρὶς scripsi τρίτον NAB τὸν ἐνιαυτὸν A 25 αἱ (prius) om. A

750 ἵν' ὀλβιόδωρος: πρὸς τῷ πυρίνῳ κύκλῳ καὶ τῇ ζώνῃ τοῦ πυρὸς ἑτέραν [γὰρ] ἐμύθευσαν εἶναι γῆν ἐν ᾗ πλεῖστα καὶ θαυμαστὰ φύονται. ἐν ταύτῃ γὰρ καὶ τὸ Ἠλύσιον πεδίον καὶ τὴν τῶν Φαιάκων γῆν ἐμύθευσαν εἶναι. ἐκ γὰρ τῆς πολλῆς θερμασίας τοῦ ἐπικειμένου πυρὸς τρὶς τοῦ ἐνιαυτοῦ συμβαίνει τὰ κάρπιμα φύεσθαι * * καὶ τὸ νέκταρ· φησὶ γοῦν κρήνας μὲν ἀμβροσίας τὰς τοῦ νέκταρος, εὐδαιμονίαν δὲ τὴν ἀμβροσίαν: — NAB

ἀντὶ τοῦ φύει βλαστάνει: — M

ἡ τὸν βίον διὰ τῆς τροφῆς παρέχουσα: — A[g]B[i]

751 τὴν εὐδαιμονίαν τῶν θεῶν. τουτέστιν τῶν μακάρων αἱ νῆσοι: — M

752 ὦ λευκόπτερε Κρησία πορθμίς: λευκὰ πτερά, ὅ ἐστιν ἄρμενα, ἔχουσα Κρητικὴ ναῦ, ἥτις κατὰ τὸ κῦμα τῆς θαλάσσης τὴν δέσποινάν μου Φαίδραν ἐκόμισας νυμφευθεῖσαν Θησεῖ: — NAB[i]

754 κῦμ' ἁλίκτυπον: ἑτέρα μοῖρα χορικὴ ἤδη καὶ τὰ παρόντα

1 lemma ex NA    cf. schol. η 153 T*) . . πρὸς . . τοὺς ζητοῦντας πῶς φησιν ὡς χειμῶνος ὄντος Ἀρήτην ἀλεαίνεσθαι παρὰ τῷ πυρί. εὔκρατος γὰρ ὁ ἀὴρ καὶ οἱ καρποὶ διαμένουσιν, καὶ γειτνιῶσιν Ἠλυσίῳ πεδίῳ [μένοντες], ὅθεν καὶ τὸν Ῥαδάμανθυν διεκόμισαν [Wil διεκόσμησαν cod.]. ⟨ἔσ⟩τι δὲ τὸ ἀεὶ καθιερωμένον τῇ Ἑστίᾳ πῦρ. 324 φαίνονται γοῦν οἱ Φαίακες πλησίον τῶν Μακάρων νήσων κατοικοῦντες. Porphyr. ap. Stob. ecl. 1, 49, 61 p. 448 W. πάλιν αἰνιττόμενος ὅτι ταῖς τῶν εὐσεβῶς βεβιωκότων ψυχαῖς μετὰ τὴν τελευτὴν οἰκεῖός ἐστι τόπος ὁ περὶ τὴν σελήνην, ὑπεδήλωσεν εἰπὼν [δ 563 sq.] *ἀλλά σ'—Ῥαδάμανθυς* Ἠλύσιον μὲν πεδίον εἰκότως προσειπὼν τὴν τῆς σελήνης ἐπιφάνειαν ὑπὸ ἡλίου καταλαμπομένην . . . [cf. Plut. de fac. in orbe lun. 27 sq. p. 942 f]. Seru. ad Aen. 5, 735 *secundum philosophos elysium est insulae fortunatae quas ait Sallustius inclitas esse Homeri carminibus quarum descriptionem Porphyrius commentator dicit* ⟨de Orpheo add. Thilo⟩ *esse sublatam: secundum theologos circa lunarem circulum, ubi iam aer purior est* cf. praeterea Herm. Trism. ap. Stob. ecl. 1, 49, 69 p. 463 sq. W.
2 γὰρ del. Wil    γῆν NB τὴν A    3. 4 τὴν τῶν φαιάκων γῆν N τῶν φαι̕ ᾶ γὰρ superscripto his tribus syllabis compendio terminationis ων A τῶν φαιάκων τὴν γῆν B    4 ante τοῦ add. καὶ AB    5 τρὶς scripsi τρίτον NB καὶ τρίτον A    lacunam indicaui    6 οὖν N    7 in fine add. καὶ ἀφθαρσίαν B    12 lemma ex A    initio add. ὦ B[i]    13 ἔχουσα post πτερὰ coll. A    ναῦς N    14 ἐκόμισε B[i]    15 lemma ex AB    χωρικὴ AB    ἤδη scripsi ἡ δὴ A ᾗ δὴ B

*) utor exemplari quod olim ipse descripsi

θρηνεῖ ἄνωθεν ἐκ τῆς ἐπιδημίας ὀλοφυρομένη τὴν Φαίδραν. σύ μοι, φησί, προοίμιον τῶν θρήνων, ὦ πορθμίς. ἐπεὶ καὶ τῶν συμφορῶν ὑπόθεσις γεγένησαι: — AB

τὸ ἐν τῇ ἁλὶ κτυποῦν: — M

τὸ ἐν τῇ θαλάσσῃ ἠχοῦν: — M[s]

τῆς θαλάσσης: — M[g]

757 κακονυμφοτάταν: νυμφευσαμένην τῷ Θησεῖ νύμφευσιν ἀνόνητον, τουτέστιν εἰς κακὴν ὠφέλειαν τοῦ γάμου, εἰς ἀπόλαυσιν κακῶν: — AB[1]

758 ἢ γὰρ ἀπ' ἀμφοτέρων: ὄντως γὰρ ἀπὸ τῶν δύο, ἀπό τε τῆς Κρήτης καὶ τῆς Ἀττικῆς, κακὰ σημεῖα ἐφάνησαν αὐτῇ. τὸ δὲ ἀμφοτέρων ἀκούουσιν ἔκ τε τοῦ πατρὸς καὶ τῆς μητρός. ἵν' ᾖ οὕτως· ἐπὶ κακοῖς γὰρ σημείοις ἐκδοθεῖσα ⟨ὑπὸ⟩ τῶν γονέων ἦλθες εἰς Ἀττικὴν ἀπὸ τῆς Κρήτης. ἐπεὶ δὲ καὶ δύσορνιν αὐτὴν ἔφη, εἶπεν τὸ ἔπτατο, ἀντὶ τοῦ ἦλθεν. Μουνύχιος δὲ λιμὴν Ἀττικῆς. ὁπηνίκα δὲ ἐν τῷ Μουνυχίῳ λιμένι παρέβαλον τὰς ἀρχὰς τῶν σχοινίων καὶ ἔδησαν ἐν αὐτῷ καὶ ἐξέβησαν ἐν τῇ γῇ, τὸ τηνικαῦτα ἡ Ἀφροδίτη κακὸν ἔρωτα ἔπεμψε τῇ ἐμῇ δεσποίνῃ: — NAB

τὸ ἢ τὸ δεύτερον ἀντὶ τοῦ καί: — M

759 ἡ κακοτυχίαν ἡμῖν φέρουσα ναῦς: — M[1]

764 ἀνθ' ὧν: ἀντὶ τοῦ ἀφ' ὧν. ὁ δὲ νοῦς· ἀφ' ὧν, τῶν κακοσήμων οἰωνῶν, ὑπὸ ἀδίκων ἐρώτων Ἀφροδίτης δεινῇ νόσῳ φρένας κατεκλάσθη: — NAB[1]

767 χαλεπᾷ δ' ὑπέραντλος: ἐκ μεταφορᾶς τῶν ἐν τῇ νηΐ μηκέτι τῆς ἀντλίας ὑπερέχειν δυναμένων. ἀδυνατοῦσα, φησί, πρὸς τὴν συμφορὰν καὶ ὑπερβαρῆ νοσήσασα νόσον τὴν ἀγχόνην ἐβουλεύσατο: — MNAB

---

9*

2 πορθμίς om. spatio uacuo rel. A  2. 3 πα A  3 γεγένηται B  7. 8 usque ad ἀνόνητον habet M  7 lemma ex A  νυμφευσαμένην scripsi νυμφευσαμένη MNAB[1]  10 lemma ex NAB  10. 11 τε τῆσ κρήτησ B τῆσ κρήτησ A τε κρήτησ N  12 ἔκ τε μητρὸσ καὶ πατρὸσ NB  13 ὑπὸ add. Matthiae  14 δὲ om. N  καὶ om. A  εἶπεν NB εἰσ A  15 ἀντὶ τοῦ ἦλθεν NB ἀνῆλθεν A  post ὁπηνίκα δὲ add. φησὶν B  16 post λιμένι add. τῆσ ἀττικῆσ B  21 lemma ex N  τῶν om. B[1]  21. 22 κακῶν N  22 ἐρώτων om. N  ante δεινῇ add. δὲ N  24 lemma ex NA  25 δυναμένην A  post δυναμένων add. ἀντὶ τοῦ ὑπερβολῇ νοσοῦσα τὴν ἀγχόνην ἐ⟨βουλεύσατο⟩ M  26 ὑπερβαρεῖ A βαρέως M  νόσον M om. NAB

ὑπερπεπλησμένη: — M$^g$

769 ἀπὸ νυμφιδίων: ἀπὸ τῶν νυμφικῶν στεγῶν σχοινίον ἔδησε μέλλουσα ἀπάγχεσθαι: — NA$^g$B$^i$

770 ἅψεται ἀμφὶ βρόχον: ἡ ἀμφὶ πρὸς τὸ ἅψεται, ἀντὶ τοῦ περιάψεται: — NA$^g$B$^i$

772 δαίμονα στυγνόν: δαίμονα τὴν πορνείαν φησίν: — NA$^g$B$^i$

773 ἀνθαιρουμένα: ἀντὶ τοῦ μεταλαμβομένη: — NA$^g$

776 ἰοὺ ἰού: τινὲς βούλονται τὴν τροφὸν ἔσωθεν ταῦτα λέγειν. ἔνιοι δὲ ἐξάγγελόν φασι. ἐξάγγελος δὲ ὁ τὰ πεπραγμένα ἔνδον τῆς σκηνῆς τῷ χορῷ ἀγγέλλων: — NAB

βοηδρομεῖτε: βοηδρομεῖν ἐστι τὸ μετὰ βοῆς τρέχειν, ἵνα διὰ τῆς βοῆς καὶ ἄλλους πρὸς ἐπικουρίαν κινήσωσιν: — MNAB

γράφεται δρόμῳ: — B$^g$

778 πεφόνευται: — M$^g$

ἀντὶ τοῦ· οὐκέτι ζῇ: — A$^g$B$^i$

780 ἀμφιδέξιον: δίστομον, ᾧ ἄν τις πρὸς ἀμφότερα τὰ μέρη δεξιῶς χρήσαιτο. ἐδόκουν γὰρ μετέχειν τοῦ μιάσματος ὅσοι μὴ ἔκοπτον τὰς ἀγχόνας τῶν ἠγχονισμένων: — MNAB

783 ἐξ ἐπισπαστῶν: ἐκ τῶν δεδεμένων: — N

785 τὸ πολλὰ πράττειν: οὐκ ἔστιν ἀσφαλὴς ὁ βίος τῶν ἐμβαλλόντων ἑαυτοὺς εἰς πολλὰ πράγματα: — AB

786 ὀρθώσατ' ἐκτείνοντες: ἀνορθώσατε, φησίν, αὐτῆς τὰ μέλη καὶ κατ' ὀρθὸν σχηματίσατε: — NAB

---

2 σχοινία N    4 ἀντὶ τοῦ om. NB$^i$    5 in fine add. βρόχον B$^i$    6 lemma ex NB$^i$    δαίμονα om. A$^g$B$^i$    φησίν om. B$^i$    8 lemma ex NA    τὴν τροφὸν ἔσωθεν ταῦτα λέγειν N τὴν τροφὸν ταῦτα λέγειν ἔσωθεν A ταῦτα τὴν τροφὸν ἔσωθεν λέγειν B    9 ἐξαγγέλων B    cf. Hesych. ἐξαγγέλος ἄγγελος ὁ τὰ ἔσω γεγονότα τοῖς ἔξω ἀγγέλλων    11. 12 scholio quod antecedit adi. B post βοηδρομεῖν add. δὲ    11 lemma ex NA    βοηδρομεῖν — τὸ om. M    τρέχετε M    12 κινήσωσιν NA κινήσωσι B καλοῦσιν M    16—18 multa detrita in M    16 lemma ex NA    initio add. ἀντὶ τοῦ B    ᾧ ἄν] οἷον A    τὰ om. M    17 χρήσαιτο δεξιῶς A    post μὴ add. ἔχειν N    17. 18 μὴ — ἠγχονισμένων] μὴ . . . . . τῆς ἀγχόνης: — M    18 ἠγχονισμάτων N    in fine add. ἅμμα δὲ δεσμὸς σχοινίον καὶ τὸ ἐξ ἐπισπαστῶν βρόχων ἀντὶ τοῦ τῶν δεδεμένων βρόχων B    20 lemma ex AB    20. 21 βαλλόντων A    22 lemma ex AB    ἀνορθώσατε ego ἀπορθώσατε NAB

787 οἰκούρημα: τὸν νεκρόν, τὸ πικρὸν οἰκούρημα τῶν ἐμῶν δεσποτῶν, ὅ ἐστι· τὸν ἀτυχῆ οἰκουρόν: — NAB

οἰκουρὸς λέγεται ἡ γυνή: — M[g]

790 γυναῖκες: τὸ ἑξῆς· γυναῖκες, ἠχὼ βαρεῖα προσπόλων ἀφίκετο· ἴστε τίς ποτ' ἐν δόμοις βοή. ἴστε, φησί, τίς ἡ βοὴ ἡ ἐν τοῖς οἴκοις, ὦ γυναῖκες; ἠχὼ γὰρ βαρεῖα πρός με ἀφίκετο: — NAB

792 οὐ γάρ τί μ' ὡς θεωρόν: ἀντὶ τοῦ ἀπὸ μαντείας. ἔθος γὰρ εἶχον οἱ ἀρχαῖοι τοῦτο· ὅτε ἤρχοντο ἀπὸ μαντείας, ἐστεφανωμένοι ἤρχοντο, καὶ πάντες τοῦ οἴκου προσεκύνουν αὐτούς. τὸ δὲ ἑξῆς· οὐκέτι μοι ὡς θεωρῷ προσφθέγγεται ὁ οἶκός μου ἀγαθά, ἀλλὰ φαῦλα· οὐ γὰρ ὡς θεωρόν με ἀξιοῖ προσκυνεῖν, ἀλλ' ἔχω ἀφελέσθαι τὸν στέφανον διὰ τὴν βοήν. θεωροὶ δὲ καλοῦνται πάντες οἱ εἰς θεοὺς στελλόμενοι, καὶ ὕστερον ὑποστρέφοντες: — NAB

794 ἀντὶ τοῦ ἀπέθανεν: — B[1]

795 πρόσω μὲν ἤδη βίοτος: πόρρω, μακρός. ἀντὶ τοῦ· προβέβηκε τῇ ἡλικίᾳ. ἀντὶ τοῦ· γέρων μὲν ἤδη ἦν, ἀλλ' ὅμως λυπηρὸς ἔσται ἀποθανών: — NAB

799 τέκνων μοι μήτι: μὴ ἄρα τῶν τέκνων μου ἡ ζωὴ κλέπτεται, ἀντὶ τοῦ ἀπέθανον: — NAB

800 ἀντὶ τοῦ· ὅσον ἄλγιστον: — M[g]

802 ἀγχόνης: ὥστε ἀπάγξασθαι: — M

803 τῇ λύπῃ κακωθεῖσα. ἡ γὰρ πάχνη πᾶν βλάστημα διαφθείρει: — M

λύπῃ παχνωθεῖσα: ἀντὶ τοῦ κακωθεῖσα. ἁπάντων γὰρ τῶν φυτῶν φθαρτική ἐστιν ἡ πάχνη: — NAB

⟨ἤ τινα⟩ συμφορὰν ἔπαθεν ⟨ἐμοῦ ὄντος⟩ μακράν: — M

804 οἰκονομικῶς ψεύδεται τὰ λοιπὰ μὴ εἰδέναι ὁ χορός: — MNAB

---

1. 2 scholio quod antecedit adi. B 1 lemma ex N 4 lemma ex N γυναῖκες om. B 5 ἡ alterum om. N 7 lemma ex NAB 7. 8 ἔθος— μαντείας om. N 12. 13 θεωροί—ἀντὶ στρέφοντεσ habet M om. δὲ 12 πάντες om. N εἰσ θεοὺσ M ἐκ θεοῦ NAB 13 καὶ scripsi ἢ MAB om. N ἀντὶ στρέφοντεσ M ἀποστρέφοντεσ A 15 lemma ex NAB initio add. οἷον B 16 ἀντὶ τοῦ] ἤτοι B ἤδη om. B ἦν N ἐστὶν AB 17 ἔσται scripsi ἐστιν NA ἡμῖν γενήσεται B 18 lemma ex N 22 κακωθεῖσα scripsi παχνωθεῖσα M 24 lemma ex NAB 26 suppleui locos detritos 27 scholio 24. 25 adi. NAB add. δὲ post οἰκονομικῶς μὴ εἰδέναι om. M

806 ἀνέστεμμαι κάρα: ἔθος γὰρ ἦν τοὺς ἐξ ἱεροῦ στελλομένους στέφεσθαι. πλεκτοῖς δὲ φύλλοις ἀντὶ τοῦ πλεκτοῖς στεφάνοις: — MNAB

808 χαλᾶτε κλῇθρα: ἀνοίγετε τὰς θύρας. ἁρμοὺς δὲ ἀντὶ τοῦ δεσμούς: — NB

809 τὴν τύχην: — M$^s$

812 ἔπαθες εἰργάσω: πέπονθας τὸ τῆς ἀγχόνης κακόν, εἰργάσω εἰς ἑαυτὴν τὸν δι' ἀγχόνης θάνατον. τὸ δὲ αἰαῖ τόλμας διὰ μέσου ἀναπεφώνηται, καὶ οὕτως τὸ ἑξῆς ἔσταται: — NAB

συνταράξαι: — M$^s$

814 ἀπὸ χειρὸς σαυτῆς: — A$^s$B$^i$

815 λείπει ἡ κατά: — A$^s$B$^i$

πάλαισμα μελέας: τὸ κατάπτωμα τῆς ἀγχόνης, ἀπὸ μεταφορᾶς τῶν παλαιόντων, οἳ οἱονεὶ πνίγουσιν ἑαυτοὺς ἐν τῷ τραχήλῳ πιέζοντες: — NAB

ἄλλως: ὦ πάλαισμα καὶ κατάπτωμα τῆς σῆς ἀθλίας χειρός: — A

816 τίς ἄρα: λείπει τὸ δαιμόνων: — NA$^s$B

818 τὰ μάκιστα: ἅπερ μήκιστα καὶ μέγιστα ἦν μοι τῶν κακῶν, ἔπαθον: — NA$^s$B$^i$

820 κηλὶς ἄφραστος: κακὸν ἀπροσδόκητον: — NAB$^i$

ῥυπαρία μολύνουσα, αἰσχύνη. ἄφραστος δὲ ἀντὶ τοῦ ἀπροόρατος, ἀ⟨προσ⟩δόκητος. σπῖλος καὶ αἰσχύνη: — NAB

821 κατακονά: ἀντὶ τοῦ καταφθορά. λείπει δὲ τὸ κατέλαβέ

---

1 lemma ex NA ἦν om. NA τοῖσ MN στελλομένοισ N 2 πλεκτοῖς — στεφάνοις om. MA 4. 5 scholio quod antecedit adi. B initio add. χαλᾶτε δὲ κλῇθρα ἀντὶ τοῦ ἁρμούς — δεσμούς om. B 6 δυσδαίμονα in textu M 7 lemma ex NB ἔπαθεσ N 8 τὸν om. A post δὲ add. ἑξῆσ N 13 lemma ex NB κατάπτωμα scripsi παράπτωμα NAB 14 τῶν παλαιόντων om. NA οἳ οἱονεὶ B οἷον N οἳ A ἑαυτοὺς om. A 14. 15 πιέζοντες Arsenius ut uidetur παίζοντες NB παλαίοντεσ A 18 lemma ex N δαίμων N in fine add. τίσ ἄρα δαιμόνων ἀμαυροῖ ἤτοι ἀφανῆ καθιστᾶι [cf. ἀφανῆ καθιστᾶ A$^s$] τὴν σὴν ζωήν B 21 lemma ex NA initio add. ἀντὶ τοῦ AB$^i$ 22. 23 scholio quod antecedit adi. N 22 μολύνουσα scripsi μελαίνουσα NAB 22. 23 ἀπροόρατος — αἰσχύνη] ἀπλήρωτοσ πολλὴ N cf. πολλὴ A$^s$ 23 ἀδόκητοσ AB 24 lemma ex N τὸ om. N

με. ὁ δὲ νοῦς· καταφθορὰ μὲν ζωῆς ἀβιωτοποιὸς κατέλαβέ με, κακῶν δὲ ὁ τάλας πέλαγος εἰσορῶ. γράφεται δὲ καὶ τὸ κατακονᾷ ῥῆμα, ἵν' ᾖ οὕτως· μαραίνει με καὶ καταναλίσκει ἡ δυστυχία τοῦ βίου: — NAB

824 μηδ' ἐκπερᾶσαι: ἐκκολυμβῆσαι παρέρπειν, ἐπεὶ καὶ πέλαγος προείρηται. ἐνέμεινε δὲ τῇ μεταφορᾷ: — NAB

826 τίνα τύχαν σέθεν: ἡ πρός πρὸς τὸ σέθεν, ἀντὶ τοῦ παρὰ σοῦ: — NB[1]

828 ὄρνις γὰρ ὥς τις: ὥσπερ ὄρνις κρατουμένη ὑπό τινος ἀφανὴς γίνεται, οὕτω καὶ σύ: — NAB

829 πήδημ' ἐς Ἅιδου: ἀντὶ τοῦ· ταχέως πηδήσασα ἐν τῷ Ἅιδῃ: — NB

831 τὴν πόρρωθέν μου καὶ ἀπροσδόκητον: — M[1]

πρόσωθεν δέ ποθεν: πόθεν συνέβη μοι αὕτη ἡ συμφορά; μὴ ἄρα ἕνεκεν τῶν πρότερον ἡμαρτημένων μοι ἢ ἀπό τινος παλαιᾶς ὀργῆς τῶν δαιμόνων; πολλάκις γὰρ πατέρων ἀνομίαι τέκνοις ἀποδίδονται: — AB

833 ἀμπλακίαισι: ὅ ἐστιν· οὐ δι' ἐμὸν ἁμάρτημα τιμωροῦμαι, ἀλλὰ διὰ προγονικόν: — NB

ἀμπλακίαισι: ταῖς ἁμαρτίαις τῶν προγόνων: — A

ἄλλως: μὴ διὰ τὰς ἁμαρτίας τῶν ἀρχαίων μου προγόνων ἐγὼ ἀνακομίζομαι, ἀναλαμβάνω, τοιαύτην δυστυχίαν: — AB

834 οὐ σοὶ τάδ' ὦναξ: καὶ ἐν τῇ Ἀλκήστιδι [417] 'οὐ γάρ τι πρῶτος οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς ἤμπλακες': — B

---

1 ὁ δὲ νοῦς om. N    ἡ καταφθορὰ NA    μὲν scripsi με NA om. B    2 ὁ NA ὦ B    καὶ om. A    κατακονῶ NB    3 καὶ καταναλίσκει N διαφθείρει A om. B    4 in fine add. γράφεται κατακονάω κατακονῶ κατακονάεισ κατακονᾶσ κατακονάει κατακονᾶ ἀντὶ τοῦ καταναλίσκει A γράφεται καὶ κατακονᾶι μὲν οὖν ἀντὶ τοῦ καταναλίσκει B    cf. Eust. p. 381,21    5 lemma ex NA initio add. ἀντὶ τοῦ B    παρέρπειν corruptum    6 ἔμεινε N ἐπέμεινε A    7 initio add. λείπει N    τὸ om. N    9 lemma ex NAB    post ὥσπερ add. γὰρ A    11 scholio quod antecedit adi. B om. ἀντὶ τοῦ    11. 12 ἐν τ. ᾅ. πηδήσασα B    14—17 scholio p. 100,5. 6 adi. A    14 lemma ex B    15 ἀπό A πρόσ B    16. 17 πολλάκις—ἀποδίδονται om. B    18 lemma ex N    19 προγονικὴν N πορνικόν B    21 τάσ ἐμάσ ἁμαρτίασ A    ἀρχαίων μου A προτέρων μου ἤτοι ἀρχαίων B    21. 22 ἐγὼ ἀνακομίζομαι om. B    22 in fine add. παρὰ θεῶν B    23 τοι B    24 ἤμπλακοσ B

836 τὸ κατὰ γᾶς θέλω: οἷον· θέλω τὸ λοιπὸν ἀποθανεῖν: — NA$^{g}$B$^{i}$

839 ἀπώλεσας: μᾶλλον ἐμὲ ἀπώλεσας ἢ σεαυτήν: — NA$^{g}$B$^{i}$

840 τίνος κλύω: λείπει ἡ παρά, παρὰ τίνος ἀκούσω: — NA$^{g}$B

τίνος κλύω: ἀπὸ τίνος ἀκούσω καὶ μαθήσομαι τὸ συμβάν σοι αἴτιον ὅθεν ἀπώλου: — AB

842 ἦ, ὄντως. τὸ δῶμα μάτην ἔχει θεραπόντων τὸν ὄχλον: — NB

στέγει: ἀντὶ τοῦ ἔχει: — N

846 οὐ τλητόν: ὃ οὔτε σιωπᾶν δύναμαι· μέγα γάρ ἐστιν· οὔτε λέγειν· αἰσχύνην γάρ μοι φέρει τὸ παράδοξον τοῦ θανάτου: — NAB

ἀπωλόμην: ὁ ἀλλά ἀντὶ τοῦ γάρ: — NA$^{g}$

851 νυκτὸς ἀστερωπός: καὶ ἡ διὰ νυκτὸς λαμπρὰ σελήνη. ἡ μετὰ ἀστέρων φαινομένη σελήνη, ὡς πρὸς ἀντιδιαστολὴν τοῦ ἡλίου· ἐκεῖνος γὰρ κρύπτει πάντων τῶν ἀστέρων τὸ φῶς: — NAB

ἄλλως: ἡ μετὰ ἀστέρων φαινομένη, πρὸς ἀντιδιαστολὴν τοῦ ἡλίου· ὁ γὰρ ἥλιος ἅπαντας ἀμαυροῖ τοὺς ἀστέρας ταῖς ἀκτῖσιν αὐτοῦ, οὐχ οὕτω δὲ καὶ ἡ σελήνη, ἀλλὰ μόνους τοὺς πλησιάζοντας: — A

852 γράφεται ἰὼ τάλας: — M$^{i}$

ἰὼ τάλας: ἀντὶ τοῦ τάλαινα. καὶ γὰρ ταῦτα ⟨αἱ⟩ τοῦ χοροῦ φασιν: — NB

855 τὸ δ' ἐπὶ τῷδε: ἐπὶ πολὺ φρίσσω. διὰ τί γὰρ κακῶς ἀπήγξω; περὶ οὗ φοβοῦμαι μὴ ἕτερόν τι πάθω κακόν: — NAB

859 ἔγραψεν ἡ δύστηνος: ⟨ἢ⟩ μᾶλλον ἔγραψε παρακλήσεις, ἵνα μὴ ἄλλην γαμήσω, ἢ διὰ τὰ τέκνα: — NAB

---

4 lemma ex NB ἀκούσω om. N in fin. add. τὸ πόθεν ἀπώλεσε A 5. 6 scholio quod antecedit adi. B om. ἀπὸ — ἀκούσω 5 ἀκούσομαι A 6 ὅθεν ἀπώλου om. A 7 scholio quod antecedit adi. B initio add. τίς ἂν εἴποι τὸ γενόμενον ὄντως B ὅτι N 7 τὸν om. B 9 lemma ex N οὔτε AB οὕτως N σιωπῆσαι A 9. 10 μέγα — θανάτου om. A spatio uacuo relicto et signo lacunae margini apposito 13 lemma ex NB 15 in fine add. ὡς πρὸς ἀντιδιαστολήν A 20 lemma ex N initio add. B τὸ ἔλιπες ἔλιπες ὦ φίλη ἀντὶ τοῦ ἀπέθανες ἔλιπες τὸ ζῆν καὶ τὸ ἰὼ τάλας αἱ add. Wil 22 lemma ex N ἐπὶ — φρίσσω om. A conicio [ἐπὶ] πάλιν διὰ τί AB διὰ N 23 φοβοῦνται A post μὴ add. καὶ B 24 lemma ex NAB ἢ addidi 25 ἄλλην om. NA μνηστεύσωμαι B

860 θάρσει: γελοῖον πρὸς νεκρὸν τὸ θάρσει. συγγνωστέον δὲ διὰ τὴν περικειμένην συμφοράν: — NAB

λέκτρα γὰρ τὰ Θησέως: ἀντὶ τοῦ· οὐδὲ εἰς τὰ ἐμὰ λέκτρα οὐδὲ εἰς τὰ δώματα: — A

861 οὐκ ἔστι δώμαθ᾽: οὐκ ἔστιν ἥτις γυνὴ εἰς τοὺς δόμους εἰσέλθῃ διὰ τὰ λέκτρα τοῦ Θησέως: — A

862 καὶ μὴν τύποι γε: σφενδόνην λέγει τὴν δέσιν, τὸν δεσμόν. τύπον δὲ τὴν ἐπικειμένην σφραγῖδα τῷ δεσμῷ: — NAA^g B

σφενδόνης: τῆς σφραγῖδος: — N

863 προσσαίνουσί με: ἡδύνουσί με, προτρέπονται, κολακεύουσιν: — NAB

864 λύσας τοὺς δεσμούς. τὰς περιπλοκὰς ἀναλύσας: — N

φέρ᾽ ἐξελίξας: φέρε ἀποκόψας τὸν δεσμὸν τῆς σφραγῖδος: — AB

865 ἴδω τί λέξαι: ἵν᾽ ἴδω τί θέλει σημᾶναι ἡ δέλτος αὕτη: — NA

866 ἐκδοχαῖς: κατὰ διαδοχὴν νέα κακὰ ὁ θεὸς ἐπιφέρει τούτοις τοῖς οἴκοις: — AB

868 ἀβίωτος βίου τύχα: θάνατος. τύχη ἀβιωτοποιὸς τῆς ζωῆς, ἀντὶ τοῦ· ἡ τύχη τοῦ βίου πρὸς τὸ συμβὰν ἀβίωτός ἐστι: — NB

ἀβίωτος: ἀντίπτωσις· ἐμοὶ μὲν οὖν εἴη τυχεῖν, ὦ τύχη, βίου ἀβιώτου πρὸς τὸ κρανθέν, ἤτοι· ἐγὼ μὴ ἐπιζήσαιμι πρὸς τὸ μέλλον γενέσθαι: — A

868 πρὸς τὸ συμβάν: — N

ἀντὶ τοῦ ἀπολοίμην: — NB[1]

870 ἐμῶν τυράννων δόμους: τὸ ἑξῆς· ὀλομένους δόμους

---

1 lemma ex N  1. 2 συγγνωστέον — συμφοράν om. A, sed clausulae signum deest  1 συγγνωστέος B  6 εἰσέλθῃ scripsi εἰσέλθοι A  7 lemma ex NA  post δεσμὸν add. τοῦ δακτυλίου A^g  10 scholio 7. 8 adi. B initio add. προσσαίνουσί με δὲ ἀντὶ τοῦ  10. 11 κολακεύονται N  11 in fine add. ὅθεν ἐπάγει ἴδω τί λέξαι ἵνα ἴδω τί θέλει σημᾶναι A αὐτῆς γάρ εἰσι B  13 scholio 10. 11 adi. B  φέρε δὴ οὖν ἀποκόψω B  in fine add. τοῦ δακτυλίου καὶ τὰς περιπλοκὰς ἀναλύσας ἴδω τί βούλεται σημᾶναι ἡ δέλτος B  14 lemma ex NA  ἵν᾽ ἴδω τί N ἴδω οὖν τί μοι A  σημᾶναι θέλει A  15 lemma ex A  post διαδοχὴν add. ἵνα ἴδω πῶς A  ἐπιφέρει A ἐπεισφέρει B  τόποις B  17 lemma ex NB  19 in fine add. πρὸς τὸ κρανθὲν γὰρ νῦν ἀντὶ τοῦ πρὸς τὸ συμβάν B  25 lemma ex N  ὀλουμένους B

τῶν ἐμῶν δεσποτῶν οὐκέτ' ὄντας λέγω. τὸ δὲ φεῦ φεῦ διὰ μέσου: — NB

871 ἔν τισιν οὐ φέρονται οὗτοι: — B$^1$

872 πρὸς γάρ τινος: ἡ πρός ἀντὶ τῆς ἀπό, ἀπό τινος τύχης: — NB

πρὸς γάρ τινος: εἰσορῶ γὰρ τὸ δεινὸν τὸ μέλλον ὡς ὁ μάντις παρά τινος τῶν οἰωνῶν καὶ ὀρνέων εἰσορᾷ καὶ μαντεύεται: — A

875 ὦ τάλας: λείπει τὸ εὗρον: — NA$^s$B$^1$

876 εἴ τι μοι λόγου μέτα: εἰ μέτεστί μοι τοῦ λόγου, εἰ μεταδώσεις μοι τοῦ λόγου: — N

881 αἰαῖ κακῶν ἀρχηγόν: ἀντὶ τοῦ· κακοῦ λόγου ἀρχὴν λέγεις: — NA$^s$B

882 τόδε μὲν οὐκέτι: τὸ ἑξῆς· τόδε μὲν δυσεκπέρατον ὁλοὸν κακὸν οὐκέτι σιωπήσω. στόματος δὲ πύλαις περιφραστικῶς ἐν τῷ στόματι: — NAB

ἄλλως: πύλαι στόματος τὰ χείλη. οὐκέτι οὖν, φησί, καθέξω τὸν λόγον ἐντὸς τοῦ στόματός μου, τουτέστιν οὐκέτι σιγήσω: — A

στόματος ἐν πύλαις: ὁμοίως τῷ Ὁμηρικῷ· 'ἕρκος ὀδόντων': — NA

886 ἀντὶ τοῦ· τὸν πατρῷον Δία ὑβρίσας: — A$^s$B

887 † ἀλλ' ὦ πάτερ Πόσειδον: ἱστορία. Μίνως ὁ βασιλεὺς τῶν Κρητῶν ἔσχε γυναῖκα τὴν Πασιφάην, ἥτις ἠράσθη ταύρου καὶ μὴ δυναμένη τὸν τοιοῦτον ἐκπληρῶσαι ἔρωτα προσῆλθε Δαιδάλῳ τῷ ἀγαλματουργῷ καὶ ἀπήγγειλε αὐτῷ τὸν ἐπὶ τῷ ταύρῳ [ταύτης] ἔρωτα. ὃς δὴ Δαίδαλος θέλων ἐκπληρῶσαι τὴν ταύτης ἔφεσιν κατεσκεύασε ξύλινον ταῦρον συνάψας αὐτῷ καὶ αἰδοῖον καὶ ἐνέδυσεν αὐτὸν δέρμα ταύρου * * ἐν μιᾷ γοῦν τῶν ἡμερῶν κατερχόμενος ὁ ταῦρος ἀπὸ τῆς θήρας πρὸς τὸ οἰκεῖον σπήλαιον ἐφεῦρε τὸν τοιοῦτον τεχνητὸν ταῦρον καὶ εἰς μῖξιν ἄθεσμον ἐκινήθη. ἐξ ἧς δὴ μίξεως συνέλαβεν ἡ Πασιφάη τὸν λεγόμε-

---

1 φεῦ N 4 lemma ex NB post ἀπό add. ἵν' ἧι οὕτωσ B 7 εἴσορῶ A 8 in fine add. τοῦτο NA$^s$ 9 εἰ (alterum) Wil ἢ N 11 lemma ex N 13—15 scholio 18. 19 adi. A om. τὸ ἑξῆς, scholio quod antecedit adi. B 13 lemma ex N τὸ δὲ ἑξῆσ N 14 ἐν om. A 15 in fine add. B ὅμοιον δὲ τοῦτο τῶι ὁμηρικῶι ἕρκοσ ὀδόντων δυσεκπέρατον δὲ δυσαπάλλακτον δυσεπίληπτον 18 ὁμήρω NA 24 τὸν] τὴν A ταύτης deleui 26 lacunam indicaui

νον Μινώταυρον. φοβηθεὶς δὲ ὁ Δαίδαλος μὴ τὸ πραχθὲν παρ' αὐτοῦ ἐνωτίσηται ὁ Μίνως καὶ εἰς ὀργὴν αὐτῷ κινηθῇ, περιῆψεν ἑαυτῷ ἀλλὰ δὴ καὶ τῷ υἱῷ αὐτοῦ Ἰκάρῳ πτερὰ κήρινα, καὶ ἀπήρχοντο. ὁ δὲ υἱὸς αὐτοῦ Ἴκαρος, οἷα νέος νεωτερικόν τι φρονήσας, πρὸς τὰ μετεωρότερα τοῦ ἀέρος ἐφέρετο, τῶν δὲ κηρίνων πτερῶν διαλυθέντων ταῖς ἡλιακαῖς ἀκτῖσι πρὸς τὸ παρ' Ἀσίαν πέλαγος ἐξωλίσθησεν, ὃ δὴ καὶ μέχρι τοῦ νῦν τὴν ἐπωνυμίαν αὐτοῦ κέκληται. ὁ δὲ Δαίδαλος οἷά τις ἐπιτήδειος πρὸς τὰ χθαμαλώτερα μέρη φερόμενος εἰς Ἀθήνας κατήντησεν. ὃ δὴ μαθὼν ὁ Μίνως εἰς Ἀθήνας πρέσβεις ἔστειλε τὸν τοιοῦτον ἀποκομίσοντας πρὸς αὐτόν. τῶν Ἀθηναίων δὲ μὴ πειθομένων πάλιν ὁ τοιοῦτος Μίνως διὰ γραφῆς αὐτοῖς κατήγγειλεν αὐτῷ τὸ κατ' ἔτος διδόναι αὐτῶν ἕνα ἄνθρωπον ὥστε τρώγειν αὐτὸν τὸν Μινώταυρον. ὃ δὴ καὶ οἱ Ἀθηναῖοι ἠθέλησαν. διαφόρων γοῦν ἀπελθόντων ἐκεῖσε ἐζήτησε καὶ ὁ Θησεὺς ἀπελθὼν * * ἐκεῖσε ἠράσθη παρὰ τῆς θυγατρὸς τῆς Πασιφάης. ἦν γοῦν ὁ τοιοῦτος Μινώταυρος ἀποκεκλεισμένος ἐν πολυθύρῳ καὶ πολυπλόκῳ οἰκήματι, ὃ δὴ καὶ Λαβύρινθος ἐκαλεῖτο * * Θησεὺς υἱὸς μὲν Αἴθρας καὶ λόγῳ μὲν Αἰγέως, ἔργῳ δὲ Ποσειδῶνος: — A

ἀλλ', ὦ πάτερ: μιᾷ τούτων τῶν καταρῶν κατέργασαι τὸν ἐμὸν παῖδα. ποίων δέ; ἃς ἀρὰς ἐμοὶ ὑπέσχου· τὸ ἀνελθεῖν ἐξ Ἅιδου, τὸ ὑποστρέψαι ἀπὸ τοῦ λαβυρίνθου, τὸ πεμφθῆναι τῷ υἱῷ αὐτοῦ θάνατον: — NAB

892 γνώσῃ γὰρ αὖθις ἀμπλακών: ἔχεις γὰρ γνῶναι ὅτι ἥμαρτες. καὶ ἐν Ἀλκήστιδι [417] 'οὐ γάρ ⟨τι⟩ πρῶτος οὐδὲ λοίσθιος βροτῶν γυναικὸς ἐσθλῆς ἤμπλακες': — NAB

893 καὶ πρός γ' ἐξελῶ: ⟨πρὸς τὸ⟩ αὖθις ἀμπλακών, ἀντὶ τοῦ· οὐδαμῶς, ἀλλὰ πρὸς τούτοις ἐκβαλῶ αὐτὸν ἐκ ταύτης τῆς γῆς: — NAB

894 δυοῖν δὲ μοίραιν: μιᾷ τῶν δύο μοιρῶν πληγήσεται: — NA$^s$B

---

3 αὐτοῦ ἰκάρου A 6 παρ' Ἀσίαν ego παράλιον A 11 αὐτῷ] αὐτοῦ A αὐτῶν Wil αὐτὸν A 14 et 16 lacunas indicaui 18 lemma ex N 19 ὑπέσχου ἐμοὶ N 20 ἀποστρέψαι NB post λαβυρίνθου add. οἴκου B 22 lemma ex N ἔχει B 23 τι om. NAB 24 ἐσθλῆς om. A cf. schol. 834 25 lemma ex NAB πρὸς τὸ addidi ἀμπλακὼν Wil ἐπαναλαβὼν NB ἐπανέλαβεν A 25. 26 ἀντὶ τοῦ om. A 26 καὶ ἐκβαλῶ B ἐκβάλω A 27 lemma ex N

897 ἀλώμενος: πλανώμενος: — NA$^{g}$B$^{g}$

898 ἀντλήσει: διάξει: — NA$^{g}$B$^{i}$

906 μεγίστου θαύματος: τοῦτο τὸ πρᾶγμα μεγίστου θαύματός ἐστιν ἄξιον: — NA$^{g}$B$^{i}$

908 οὔπω χρόνον: οὐκ ἐκ πολλοῦ χρόνου, ἀλλ' ἔναγχος: — NB

οὔπω χρόνον: ἀντὶ τοῦ· ἣν ἀρτίως κατέλιπον τὸ φῶς ὁρῶσαν, ἄρτι ἀπέθανεν: — NB

911 σιωπῆς δ' οὐδὲν ἔργον: ἤγουν ὄφελος. βέλτιον δὲ ἀντὶ τοῦ· ἐν τοῖς κακοῖς οὐδεὶς ὀφείλει σιγᾶν. οὐδὲν κέρδος ἐν τοῖς κακοῖς ἡ σιωπή: — NAB

912 ἡ γὰρ ποθοῦσα: ἡ γὰρ καρδία ἐπιζητοῦσα πάντα ἀκούειν δαπανᾶται: — NAB

913 ἐπιθυμητικὴ περίεργος ἐφευρίσκεται: — A$^{g}$

915 κρύπτειν δίκαιον: οὐ γὰρ ὀφείλεις κρύπτειν τὰς σὰς δυστυχίας τοὺς φίλους σου ἢ τοὺς ὑπὲρ τοὺς φίλους σου, τουτέστι τὰ τέκνα σου: — NAB

916 ὦ πόλλ' ἁμαρτάνοντες: ὦ ἄνθρωποι πολλὰ ἐπιστάμενοι καὶ διδάσκοντες τοὺς ἀνθρώπους πλὴν τούτου, τοῦ διδάσκειν ⟨εἶναι⟩ συνετοὺς τοὺς ἀσυνέτους: — NAB

920 φρονεῖν διδάσκειν: περιτταὶ οὖν, φασίν, αἱ παραινέσεις καὶ συμβουλίαι τῶν ποιητῶν, οὐχὶ τὰ δέοντα φρονεῖν διδάσκουσαι τοὺς ἀνθρώπους [αὗται]. λέγομεν δὲ ὅτι τῇ προσθήκῃ τὴν ἀπορίαν ἔλυσεν, εἰπὼν οἷσιν οὐκ ἔνεστι νοῦς· εἰς γὰρ νοῦν ἔχοντα ἄνδρα καταβαλλομένη παραίνεσις καρπὸν φέρει· εἰς δὲ ἄνουν, μάτην ἐκρίπτεται: — NAB

---

5 lemma ex N  οὐ πρὸ B  6 scholio quod antecedit adi. B  7 ἄρτι B ἀντὶ τοῦ N  8 lemma ex N  ἤγουν ὄφελος N om. AB  βέλτιον Wil τὸ τέλειον NAB  8. 9 δὲ ἀντὶ τοῦ NA οὕτωσ B  9 post ἐν add. γὰρ A  post οὐδὲν add. ὄφελοσ φησὶν οὐδὲ B  10 in fine add. ἐστι A  11 lemma ex N  τὰ πάντα A  12 in fine add. λίχνοσ δὲ ἤτοι ἐπιθυμητικὴ περίεργοσ B  14 lemma ex NB  15 ἢ — φίλους σου om. B  15. 16 τὰ τέκνα σου om. N  17 lemma ex NA [ἁμαρτήσαντεσ A]  18 τοὺς ἀνθρώπους om. A  τούτου om. A  εἶναι addidi  20 lemma ex NAB  φασὶν ego φησὶν NB om. A  22 τοῖσ ἀνθρώποισ B  αὗται deleui  ὅτι B οὕτωσ NA  τῇ om. N  23 ἔστι B  νοῦν γὰρ A νοῦν N  24 καταβαλλόμενοσ παραίνεσοσ A  εἰς NA εἰ B  24. 25 μάτην ἐκρίπτεται NB ματαιοπονεῖ A

921 δεινὸν σοφιστήν: λογιστὴν ἐξεταστὴν διδάσκαλον. ὁ νοῦς τοιοῦτος· ἀληθῶς καλὸν διδάσκαλον εἶπας τὸν δυνάμενον διδάξαι φρονεῖν τοὺς μὴ φρονοῦντας: — NAB

922 ἱκανός: — M[1]

924 δέδοικα μή σου γλῶσσα: φοβοῦμαι μὴ ἐν τοῖς κακοῖς ὑπερβάλλουσά σου ἡ γλῶσσα τὸ εὖ ἔξηχον καὶ παράφρονά σε ποιήσῃ: — NAB

ἄλλως: ἢ ὅτι ἄτοπόν τι φθέγγεται. ὑπὲρ τὸ εὖ: — N

927 ὅστις τ' ἀληθής ἐστιν: ἐπὶ μὲν τῶν ἄλλων πραγμάτων εὑρίσκομεν διάκρισιν εἴτε καλά ἐστιν εἴτε κακά, ὡς ἐπὶ τοῦ χρυσίου· δοκιμαζομένου γὰρ φαίνεται εἰ καλόν ἐστιν εἴτε κακόν· ἐπὶ δὲ τοῦ ἀνθρώπου οὐχ εὑρίσκομεν. ἐχρῆν οὖν καὶ τοὺς ἀνθρώπους δύο φωνὰς ἔχειν, δικαίαν τε καὶ ἄδικον, ἵνα, εἴπερ ἡ ἄδικος φωνὴ θελήσειε ψεύσασθαι, ἠλέγχετο ὑπὸ τῆς δικαίας, ἵνα μηδεὶς ἀπατηθῇ: — NAB

932 ἀλλ' ἤ τις εἰς σόν: μὴ ἄρα τίς με διέβαλεν εἰς τὸ σὸν ὠτίον ἀπὸ τῶν φίλων: — NAB

Ἀττικόν, ἀντὶ τοῦ διέβαλεν· ὡς καὶ Ἡσίοδος [opp. 42] 'κρύψαντες γὰρ ἔχουσι θεοὶ βίον ἀνθρώποισιν', ἀντὶ τοῦ κεκρύφασι: — A[6]

934 ἐκ τοι πέπληγμαι: ξένους λόγους ἀκούων παρὰ σοῦ ἐκπλήσσομαι: — NAB

935 λόγοι παραλλάσσοντες: παρηλλαγμένοι τοῦ καθήκοντος. οἱ γὰρ σοὶ λόγοι οἱ ἐξεδροποιοὶ τῶν φρενῶν παρεξηλλαγμένοι τοῦ καθήκοντος παραπλῆγά με κατεργάζονται: — NAB

---

1 lemma ex NAB  2 post νοῦς add. δὲ N  3 φρονεῖν om. A  5 lemma ex NA  6 σου om. A σε N  τὸ εὖ scripsi ζεῦ N om. AB  ἔξηχον NA ἄνουν B  σε om. B  6. 7 ποιήσει A ποιήσειεν N ποιήσειε B  8 cf. πεφόβημαι μή πως σου ἡ γλῶσσα ἄτοπόν τι φθέγξηται A[6]  εὖ scripsi ζεῦ N  9 lemma ex NAB  10 καλόν NB  κακόν NB  10. 11 ὡς — κακόν om. N  10 ὥσπερ B  10. 11 χρυσοῦ B  11 δοκιμαζόμενος B  καλός B  εἴτε A ἢ B  κακός B  13 εἴπερ scripsi εἰ μὲν NA ἐὰν B  13. 14 θελήσειε scripsi θελήσῃ N θελήσει A ἠθέλησε B  14 ἵνα — ἀπατηθῇ] καὶ οὐδεὶς ἂν ἠπατᾶτο A  16 lemma ex NA  17 ὠτίον N οὖς AB  ἐκ A  20 lemma ex NAB  ἀκούων om. N  22—24 scholio quod antecedit adi. B om. παρηλλαγμένοι τοῦ καθήκοντος  22 lemma ex NA  22. 23 τοῦ — παρεξηλλαγμένοι om. N

ἄλλως: ἢ παραλλάσσοντες τοῦ πρέποντος ἤτοι ἔξω τοῦ εἰκότος φερόμενοι καὶ ἐκτὸς ὄντες λογισμοῦ: — A

ἔξεδροι: οἱ ἐξεδροποιοὶ τῶν φρενῶν μου ἤτοι μαινόμενοι, ἐξεστηκότες, ἄδικοι, παραλογιστικοί, μὴ καλῶς λεγόμενοι, ἀλλ' ἔξω τῆς διανοίας ὄντες: — NAB

937 τί τέρμα τόλμης: τί ἔσται τὸ τέλος τοῦ θράσους· τὸ θράσος δηλονότι: — NB

938 εἰ γὰρ κατ' ἀνδρός: εἰ γὰρ ἐπαρθήσεται ἑνὸς ἑκάστου ἀνδρὸς ὁ βίος καὶ ὁ ἐπιγινόμενος χείρων ἔσται τοῦ πρὸ αὐτοῦ, ὀφείλομεν δεήσεις τοῖς θεοῖς ἀνενεγκεῖν, ἵνα ἄλλην γῆν τινα ἀπομερίσωσιν, ἥτις τοὺς κακοὺς χωρήσει. ἐκ τούτου διαβάλλει τὸν τρόπον τοῦ Ἱππολύτου: — NAB

ἄλλως: εἰ γὰρ κατὰ ζωὴν ἑκάστου ἀνδρὸς ἡ κακουργία αὐξάνεται καὶ ὁ μεταγενέστερος τοῦ προβεβηκότος πανουργότερός ἐστιν, ἐχρῆν τοὺς θεοὺς ἄλλην πόλιν κτίσαι εἰς τὸ χωρῆσαι τοὺς πανούργους: — NAB

940 θεοῖσι προσβαλεῖν χθονί: εἰσὶ φύσεις ζῴων πρὸς ἑτέρας φύσεις ζῴων ἐναντίως ἔχουσαι, οἷον ἡ τῶν λεόντων πρὸς τὴν τῶν ἀνθρώπων, ἡ τῶν λύκων πρὸς τὴν τῶν προβάτων. καὶ Ὅμηρος [X 262] 'ὡς οὐκ ἔστι λέουσι καὶ ἀνδράσιν ὅρκια πιστά'. καὶ τοῖς μὲν θηρίοις δέδοται πρὸς οἴκησιν ἡ ἐρημία, τοῖς δὲ ἀνθρώποις αἱ ἡμερώτεραι τῶν χωρῶν. ὅταν, φησίν, πρὸς ἄκρον κακίας προκόψῃ τῶν ἀνθρώπων ἡ φύσις, ἀπορήσουσιν οἱ θεοὶ ποῖ τοὺς πονηροὺς κατοικίσουσιν. εἰς τὰς ἐρήμους; ἀλλ' ἐκεῖ θῆρες. εἰς τὰ ἥμερα χωρία; ἀλλ' ἐκεῖ δίκαιοι ἄνθρωποι. λοιπὸν ἀνάγκη ἑτέρας δεῖσθαι γῆς ἥτις χωρήσει τοὺς κακούς: — NAB

---

3 lemma ex NA    ἤτοι scripsi ὡσ τὸ N ὥστε B οἷον A    6 lemma ex N    θάρσους?    8 lemma ex NA    9 ἔσται om. N    10 τινα om. A    ἀπομερίσωσιν scripsi ἀπομερίση A ἀπομερίσηι B ἀπομερήση N    14 καὶ scripsi ἵνα NAB    15 εἰσ τὸ χωρῆσαι NB καὶ χωρίσαι A    17 lemma ex N    εἰσὶ NB εἰ αἱ A    18 οἷον om. N    τὴν τῶν B τῶν A τὴν N    20 post πιστά add. οὐδὲ λύκοι τε καὶ ἄρνεσ ὁμόφρονεσ B    21 αἱ ἡμερώτεραι scripsi ἡ ἡμερωτέρα N ἡ ἡμετέρα AB    22 χωρῶν scripsi χωρίων NAB    ὅτε N    προκόψη κακίασ N    23 πῆ N ποῦ A    κατοικήσουσιν NB κατοικήσωσι A    24 ἥμερα N ἡμέτερα AB    25 δεῖσθαι NB om. A    ἢ A    25. 26 τοὺσ κακοὺσ χωρήσει B

943 σκέψασθε δ' εἰς τόνδ': ἀποβλέπετε εἰς τὸν ἐμὸν υἱόν, ὅστις ἠθέλησε μιᾶναι τὴν ἐμὴν κοίτην καὶ ἐλέγχεται ὑπὸ τῆς ἀποθανούσης: — NAB

946 δεῖξον δ' ἐπειδή γ' εἰς μίασμ' ἐλήλυθας: ⟨ἐπειδὴ εἰς μίασμα⟩ ἐλήλυθας, δεῦρό μοι ἐναντίον στῆθι, ἤγουν ἐπεὶ ὅλως εἰς τὸ μιᾶναί με ἦλθες, δεῖξόν μοι τὸ σὸν πρόσωπον. ἢ ἐπεὶ ὅλως ἐτόλμησας ἐλθεῖν εἰς τὸν τῆς Φαίδρας ἔρωτα, ὅπερ μίασμα καλεῖ: — A

948 σὺ δὴ θεοῖσιν: σὺ δὲ εἶ ὁ ὑπὲρ πάντας σοφὸς ὢν καὶ σώφρων καὶ ἀκούων ἀμίαντος τῶν κακῶν; οὐδαμῶς ἐγὼ πείθομαι τοῖς σοῖς ψεύσμασι: — NAB

949 καθαρὸς ἄχραντος: — B$^1$

952 καὶ δι' ἀψύχου βορᾶς: τῆς δι' ὀρνέων τροφῆς: — NB$^1$

953 σίτοις καπήλευ': ἀντὶ τοῦ· χλεύαζε, ἀποπλάνα τοὺς ἀνθρώπους, ὥστε πορίζειν τροφάς. ἢ ἐν λόγοις ἐμπορεύου, καθάπερ οἱ λογέμποροι λεγόμενοι καὶ μὴ κατὰ φύσιν φιλοσοφοῦντες, ἀλλὰ τοὺς λόγους καπηλεύοντες, καὶ τοῖς σιτίοις τοῖς δι' ἀψύχου βορᾶς ἀπάτα.
ἀντὶ τοῦ· ἅγνευε, ὡς οἱ φιλόσοφοι μηδὲν ἀπὸ τῶν ὀρνέων ἐσθίοντες ἢ ἑτέρων ζῴων, ἀλλὰ σῖτον μόνον καὶ ἔχοντες τὸν Ὀρφέα βασιλέα, ὡς σώφρονα. ἐπεὶ ἔνδοξος ἦν ὁ Πυθαγόρας, ἤδη καὶ πολλοὶ ἐμψύχων ἀπείχοντο. ἀνάγει δὲ τοὺς χρόνους. περὶ ἑαυτοῦ γὰρ αἰνίξασθαι βούλεται ὁ Εὐριπίδης. τοιοῦτος δέ ἐστιν ἀεί, τὰ ἡρωϊκὰ πρόσωπα εἰσάγων φιλοσοφοῦντα: — NAB

τὸν ἡγεμόνα τῆς σοφίας: — NB$^1$

954 βάκχευε: μεγαλαύχει τὰς μωρίας πολλῶν γραμμάτων ἐπιστάμενος. τὸ γὰρ ληφθῆναί σε σκαιὰν ἐποίησέ σου τὴν ἄσκησιν: — NAB

---

1 lemma ex NAB ἀποβλέπετε N ἀποβλέψασθε φησὶν B om. A 4. 5 ἐπειδὴ εἰς μίασμα addidi 8 lemma ex NA δὲ εἶ ὁ om. N 9 καὶ om. N ἀκούων] ἀπάντων? 12 ex scholio quod sequitur inepte excerpta 13 lemma ex NAB 15 λεγόμενοι λογέμποροι B λεγόμενοι N cf. Plat. Prot. p. 313c 15. 16 τοῖσ λόγοισ A 16 ἀπάται B 17 ἅγνευε scripsi ἁγνεύετε AB ἁγνεύεται N μηδὲ A 17. 18 ἀπὸ τῶν ὀρνέων ἐσθίοντες ἢ ἑτέρων ζῴων scripsi ἀπὸ τῶν ὀρνέων ἐσθιόμενον ἢ ἑτέρων A ἀπὸ τῶν ὀρνέων ἐσθίοντες ἢ ἑτέρων N κατὰ τῶν ἐσθιομένων ζώων ἢ ἑτέρων ἐσθίοντεσ B 18 σίτου A ἔχων A 19 post ἐπεὶ add. γὰρ B ἐνδόξοισ N ἀψύχων AB 20 ἀπήχοντο B ἀπέσχοντο A αυτοῦ B 20. 21 βούλεται αἰνίξασθαι A 24 lemma ex NA τὰσ πολλὰσ μωρίασ τῶν γραμμάτων NA

τιμῶν καπνούς: προσποιοῦ ἔνθεος εἶναι: — N

958 τέθνηκεν ἥδε: εἰ δὲ νομίζεις τοῦτό σε ἐξελεῖν καὶ λυτρώσασθαι, τὸ ταύτην ἀποθανεῖν, ἀλλ' οὖν ἔχεις ἔλεγχον, τὰ γράμματα: — N

τέθνηκεν ἥδε: εἰ δὲ νομίζεις ἐκφυγεῖν ταύτης ἀποθανούσης, οὐδαμῶς ἔσται τοῦτο· ἐπεὶ ἔχεις ἔλεγχον, τὰ γράμματα ταῦτα: — AB

962 μισεῖν σε φήσεις: ἀλλ' ἔχεις εἰπεῖν ὅτι ἐμίσει σε ὡς νόθον ὄντα· ἐπειδὴ οἱ γνήσιοι πολέμιοι εἰσὶ τοῖς νόθοις: — NAB

964 κακὴν ἄρ' αὐτὴν ἔμπορον: οἱ ἔμποροι τὰ μὲν παρέχουσι, τὰ δὲ λαμβάνουσι, καὶ τοῦτο ἐπ' ὠφελείᾳ ποιοῦσιν. εἰ οὖν αὕτη τὴν ψυχὴν ἑαυτῆς δέδωκεν, ἵνα σε μισητὸν τῷ πατρὶ καταστήσῃ, ἄφρων ἄρα καθέστηκε τοιαῦτα ἐμπορευομένη. οἱ γὰρ ἔμποροι ἐπὶ κέρδει πραγματεύονται. ἔχεις, φησίν, εἰπεῖν ὅτι ἐπραγματεύσατο, θέλουσά σε φονεῦσαι διὰ τὸ τὰ τέκνα αὐτῆς κρατῆσαι τῆς πόλεως: — NAB

965 ἑαυτήν: — M[1]

966 ἀνδράσιν μὲν οὐκ ἔνι: τὸ ἀκόλαστον ἤτοι πορνικόν: — NB[1]

967 οἶδ' ἐγὼ νέους: οἶδα ἐγὼ νεωτέρους οἵτινες, ὁπηνίκα αὐτοὺς ἡ Κύπρις ταράξει, μωρότεροι γίνονται τῶν γυναικῶν: — NAB

970 τὸ δ' ἄρσεν αὐτούς: συγγνώμην αὐτοῖς παρέχει τὸ εἶναι ἀνδράσιν ἐν ταῖς ἁμαρτίαις, ταῖς γυναιξὶ δὲ οὔ. ἢ τὸ καλεῖσθαι ἄρσενας, ἐπεὶ οὐκ αἰσχύνονται ἐρῶντες, ἢ τὸ θρασὺ καὶ ἀναιδές: — NAB

971 νῦν οὖν τί ταῦτα: τί, φησίν, ἐναντιούμενος οὖν ἐγὼ νῦν τοῖς σοῖς λόγοις ταῦτα λέγω, ἔχων καὶ σαφῆ μάρτυρα, τὴν νεκρόν: — NAB

---

2. 3 λυτρώσασθαι scripsi τιτρώσασθαι N    3 ἔλεγχον scripsi ἐλέγχοντα N
5 lemma ex AB    post νομίζεις add. φησὶν B    ἐκφυγεῖν B ἐξελεῖν A
6 ἔσται τοῦτο om. A    ἔλεγχον A εἰς ἔλεγχον B    ταῦτα B ταῦτα ταύτης ἀποθανούσης A    7 lemma ex NA    8 τῶν νόθων εἰσίν A    9 lemma ex NAB    10 εἰ οὖν om. A    αὐτὴ A    11 αὐτῆς NB    12 τοιαῦτα A τοιαύτην ὁδὸν NB    13 ἔχεις Wil θέλεις NAB    σε om. N
14 in fine add. ταύτης A ταύτης ἔμπορος δὲ διοικήτρια προνοητικὴ πρακτικὴ B
16 ἤτοι B[1] ἢ τὸ N    17 lemma ex NAB    οἵτινες ego ὅτι NAB    18 τῶν om. A    19 lemma ex NAB    αὐτοὺς N    19. 20 ἀνδράσιν εἶναι N ἄνδρας εἶναι A    20 ἐν — ἁμαρτίαις om. B    ταῖς (prius) om. N
23 lemma ex NA    τί φησὶν om. AB    οὖν ἐγὼ om. A    νῦν om. N
24 καὶ om. N    σοφὴν AB    τὸν νεκρόν NA

973 ἔξερρε: φθείρου ἐκ ταύτης τῆς γῆς φυγὰς γεγονὼς καὶ μήτε εἰς τὴν πόλιν ταύτην εἰσέλθῃς. τὴν ἐπὶ Ἀθηνᾷ ᾠκοδομημένην. θεοδμήτους γὰρ τὰς θείως ᾠκοδομημένας· οὐ γὰρ ὑπὸ θεῶν ἐτειχίσθησαν: — NAB

974 † θεοδμήτους μόλῃς: θεοδμήτους οὐ λέγει τὰς Ἀθήνας ὡς ὑπὸ θεῶν τειχισθείσας, ἀλλ' ὡς ἐπὶ τῇ Ἀθηνᾷ ἀνατεθείσας. αἱ γὰρ Ἀθῆναι πρῶτα κατὰ τὸν μῦθον ἀναφανεῖσαι πολλοὺς τῶν θεῶν εἵλκυσαν εἰς ἔρωτα ἑαυτῶν, ἐξαιρέτως δὲ παρὰ τοὺς λοιποὺς θεοὺς Ἄρης καὶ Ἀθηνᾶ τῆς πόλεως ἤρων καὶ ἀντεποιεῖτο ἑκάτερος. καθιστῶσιν οὖν αὐτοὺς τοὺς πολίτας τοὺς Ἀθηναίους δικαστὰς τίνι ἂν ἡ πόλις προσήκοι μᾶλλον. Ἀθηναῖοι δὲ λέγουσιν [ὡς] τῷ δεδειχότι σημεῖόν τι ἐν πόλει ἐκείνῳ ἀνατεθῆναι ταύτην. Ἀθηνᾶ οὖν ἐλαίαν ἐν τῇ ἀκροπόλει ἐξέφυσε καὶ οὕτως νικήσασα τὴν πόλιν ἔλαβεν ἑαυτῇ. καὶ διὰ τοῦτο τοῖς νικῶσι θαλλὸς ἐλαίας ἔκτοτε διδόμενος ἦν. ὥστε θεοδμήτους λέγει τὰς Ἀθήνας ὡς ἐπὶ τούτῳ οἰκοδομηθείσας ὥστε ἀνακεῖσθαι τῇ θεᾷ Ἀθηνᾷ: — A

976 εἰ γὰρ παθών γε: εἰ γὰρ μὴ τιμωρήσομαί σε, οὐδὲ ἃ πρὶν κατώρθωσα, ἔτι ἐμὰ νομισθήσεται, ἀλλὰ μάτην ἂν ἐπαινοίμην ἐπ' αὐτοῖς: — NAB

977 † οὐ μαρτυρήσει μ' Ἴσθμιος Σίνις: Ἰσθμοῖ Σίνις ἐγένετο, ὅστις εἶχε κράββατον ἀνὰ μέσον τῆς ὁδοῦ καὶ τοὺς παριόντας κρατῶν προσεμέτρει τῷ κραββάτῳ, καὶ εἰ μὲν ἦν μακρός, ἀπέκοπτεν ἐκ τῶν ποδῶν αὐτοῦ διὰ τὸ ἰσῶσαι αὐτὸν τῷ κραββάτῳ· εἰ δὲ μικρὸς ἦν, μετὰ σφύρας κατέτυπτε τοὺς πόδας αὐτοῦ ἵνα ἐξισωθῇ τῷ κραββάτῳ. τοῦτον ἐφόνευσεν ὁ Θησεὺς μόνος. λέγει οὖν ὅτι, ἐὰν ὑπὸ σοῦ ἡττη-

---

1 lemma ex N γενόμενος A 2 ἐπὶ Ἀθηνᾷ Wil ὑπὸ ἀθηνᾶς AB ὑπαθηνᾶς N 11 προσήκει A 17 lemma ex N 18 ἔτι om. AB νεμεσθήσεται B 20 lemma ex N Ἰσθμοῖ Arsenius ἴσθμιος NAB 20—25 haec de Procruste solent narrari cf. compendia ap. Diodor. 4, 59 Hygin. 38 et Plut. Thes. 11, sed cf. arg. Pind. Isthm. Σίνιδι τῷ Προκρούστῃ Paus. 1, 38, 5 λῃστὴν Πολυπήμονα ὄνομα, Προκρούστην δὲ ἐπίκλησιν Θησεὺς ἀπέκτεινεν Ouid. Ib. 405 21 τοὺς παριόντας κρατῶν N κρατῶν τοὺς παριόντας B ἐκράτει τοὺς ἀνθρώπους καὶ A 22 προσεμέτρει AB ἐτίθει ἐν N 23 αὐτὸν om. A μικρὸς N κονδὸς A κοντὸς B neograece 24 μετὰ σφύρας cf. Sophocl. Aeg. frg. 19 αὐτοῦ om. A ἰσώσῃ A 25 οὖν ὅτι B οὖν οὕτως ὅτι A δὲ ὁ N

θήσομαι, οὐ μὴ πιστώσῃ ἐκεῖνος ὁ Ἴσθμιος Σίνις ὅτι ἐγὼ αὐτὸν ἐφόνευσα: — NAB

Σίνις υἱὸς Πολυπήμονος περὶ τὸν Ἰσθμὸν ξενοκτονῶν, ὃς Πιτυοκάμπτης ἐλέγετο: — N$A^g$B

978 ἑαυτόν: δύο ἀντωνυμίαι ἐπάλληλοι, κτείνειν ἓ αὐτόν. ⟨ἢ⟩ σύνθετον ἀντὶ ἁπλοῦ, τῆς αὐτός: — N$B^1$

979 οὐδ' αἱ θαλάσσης: ὁ Σκείρων ἦν ἐν Μεγάροις τύραννος ἄξενος, ὃν τῇ χελώνῃ ἔρριψεν ὁ Θησεύς. Σκειρωνίδες δὲ πέτραι καλοῦνται ἀπὸ Σκείρωνος τοῦ τὴν χελώνην τρέφοντος, οὗ μέμνηται Καλλίμαχος [frg. 378]: — NAB

ἄλλως: ὁ Σκείρων οὗτος ἠνάγκαζε τοὺς παριόντας νίπτειν τοὺς πόδας αὐτῷ καὶ λακτίζων αὐτοὺς βρῶμα ἐποίει γίνεσθαι χελώνης. Θησεὺς δὲ τοῦτον ὑπεράνω τῆς κεφαλῆς ῥίψας εἰς θάλασσαν, ἐποίησε βρωθῆναι ὑπὸ τῆς χελώνης: — NAB

982 τὰ εὐτυχήματα τοῦ Θησέως: — $A^g B^1$

983 πάτερ, μένος: ὦ πάτερ, ἡ μὲν δύναμίς σου μεγάλη ἐστὶ καὶ ἡ διάνοια τῶν σῶν φρενῶν. ἀλλ' ὅμως, ἐάν τις ἐρευνήσῃ τὸ πρᾶγμα

---

1 οὐ om. NA  πιστώσῃ Wil πιστεύσει N πιστεύσηι B λέγει A  Ἴσθμιος om. A  Σίνις om. B  1. 2 ὅτι—ἐφόνευσα] φονευθῆναι ὑπ' ἐμοῦ A  3. 4 scholio quod antecedit adi. NB add. ἦν δὲ N, pro Σίνις insertis ὁ σῖνοσ δὲ οὗτος B  3 υἱὸς Πολυπήμονος Matthiae cl. Apollod. III 16, 2, 1: ἀσαπήμονοσ N υἱὸσ πήμονοσ $A^g$ υἱὸσ ἦν πήμονοσ B  ὃσ N ὁ καὶ $A^g$B  4 ἐλέγετο N om. $A^g$B  5. 6 ἓ αὐτόν. ἢ scripsi ἑαυτὸν NAB  7 lemma ex N  ἐν μεγάροισ ἦν B ἐν μεγάροισ N  8 ἄξενος Valckenaer ξένοσ NAB Steph. Byz. p. 575, 9 Σκιρωνίδες πέτραι ἀπὸ Σκίρωνος  9 τοῦ σκείρωνοσ A τοῦ τὴν NB τουτέστιν A  11—14 cf. Paus. 1, 44, 8 τὰς δὲ μετὰ ταύτην νομίζουσιν ἐναγεῖς ὅτι παροικῶν σφίσιν ὁ Σκίρων ὁπόσοις τῶν ξένων ἐπετύγχανεν, ἠφίει σφᾶς ἐς τὴν θάλασσαν. χελώνη δὲ ὑπενήχετο ταῖς πέτραις τοὺς ἐσβληθέντας ἁρπάζειν ... τούτων περιῆλθεν ἡ δίκη Σκίρωνα ἀφεθέντα ἐς θάλασσαν τὴν αὐτὴν ὑπὸ Θησέως etym. Miller. p. 267 Σκείρων ὄνομα λῃστοῦ, πολλῆς φθορᾶς ὢν αἴτιος· .... καὶ γὰρ τοὺς παρερχομένους ἐπάνω τῆς χελώνης ἔρριπτεν· ἡ δὲ δεχομένη ἤσθιεν αὐτούς. καὶ γὰρ Καλλιμάχου γεγραφότος αὐτὸ διὰ τοῦ ῑ, Ἀριστοφάνης ὁ γραμματικὸς προσέθηκε τὸ ε̄ ...... praeterea cf. Plut. Thes. 10 Diodor. 4, 59 Hygin. 38 schol. Stat. Theb. 1, 339  scholio quod antecedit adi. NB om. ὁ Σκείρων B  11 ὁ om. A  11. 12 αὐτὸν πόδασ N πόδασ B  12 αὐτῷ om. NB  λακτίζων αὐτοὺσ N λακτιζομένουσ ὑπ' αὐτοῦ AB  ἐποίει om. A  γενέσθαι N τῆσ χελώνησ A  16 lemma ex N  17 καὶ om. N  ἐρευνήσει N ἐρευνήσειε B

τοῦτο, οὐ καλόν ἐστι. λέγει δὲ ταῦτα διὰ τὸ ἀγνοῆσαι ἐκεῖνον ὅτι ἡ Φαίδρα αὐτοῦ ἠράσθη, καὶ οὐχ αὐτὸς ἐκείνης: — NAB

ξύστασις: πύκνωσις λύπη. οἱ γὰρ χαίροντες ἐκ τοῦ ἐναντίου διαχέονται: — NA$^{g}$B

984 τὸ μέντοι πρᾶγμα: τὸ πρᾶγμα, ἐν ὅσῳ μέν σοι ἄδηλόν ἐστιν, ὦ πάτερ, δοκεῖ δικαίους ἔχειν κατ' ἐμοῦ τοὺς λόγους· εἰ δέ τις αὐτὸ ἐξετάσει, οὐ σχήσει κατ' ἐμοῦ δικαίαν τὴν μέμψιν: — NAB

985 δοκιμάσειεν ἐρευνήσειεν φανερὸν ποιήσειεν κρίνειεν: — NB$^{1}$

986 ἄκομψος: ἀπίθανος ἀνίκανος: — NB$^{1}$

ἐγὼ δ' ἄκομψος: ἐγὼ δὲ ἐν τοῖς μωροῖς ἀνεπιτήδειός εἰμι διὰ τὸ μὴ εἰδέναι αὐτοὺς τί ἀκούουσιν· ἐν δὲ τοῖς σοφοῖς λέξω καὶ νικήσω: — NAB

988 ἔχει δὲ μοῖραν καὶ τόδ': ἔχει δὲ καὶ τοῦτο λόγον, ὅ ἐστιν· οὐκ ἀλόγως τοῦτο εἶπον ὅτι ἄκομψος μὲν εἰς ὄχλον εἰμί, εἰς ἥλικας δὲ σοφώτερος: — NAB

οἱ γὰρ ἐν σοφοῖς φαῦλοι: καὶ τοὐναντίον οἱ παρ' ὄχλῳ φαῦλοι ἐν σοφοῖς μουσικώτεροι λέγειν: — NAB

992 ὅθεν μ' ὑπῆλθες: ὅθεν με κατέβαλες πρῶτον ὡς διαφθερῶν ἀπολογίαν οὐκ ἔχοντα. ὅθεν με, φησί, διαφθεῖραι ἔδοξας ὡς ἀπολογίαν μὴ ἔχοντα πρὸς τὰ ἐγκληθέντα: — NAB

ἄλλως: θεωρεῖς με ὅτι οὐκ ἀναβλέπω πρὸς σὲ καὶ οὐκ ἀντιλέγω τοῖς λεγομένοις ὑπὸ σοῦ, καὶ θέλεις εἰπεῖν ὅτι ἐγὼ αὐτὴν διέφθειρα: — NAB

993 περισσὸς ὁ καί: — A$^{g}$B$^{1}$

996 ἐπίσταμαι γάρ: ἀντὶ τοῦ· φίλος εἰμὶ τῶν δικαίων ἀνθρώ-

---

1 ἀγνοῆσαι Wil et ego νοῆσαι NAB    ἡ om. B    2 καὶ—ἐκείνης] δοκῆ δὲ δικαίουσ ἔχειν κατ' ἐμοῦ τοὺσ λόγουσ N    3 παίζοντεσ N    5 lemma ex NAB    τὸ πρᾶγμα om. N    μέν om. N    ἄδηλόν σοι N    7 οὐχ' ἥσει A    10 lemma ex NAB    12 in fine add. ἀναιδῶν γάρ ἐστιν ἐν ὄχλωι δημηγορεῖν εἰσ ἥλικασ ἤτοι εἰσ ὁμήλικασ καὶ σοφούσ B    13 lemma ex N    initio add. ἀντὶ τοῦ B    ὅ ἐστιν om. N    14 εἶπεν N    ὄχλον A λόγον NB    16. 17 scholio quod antecedit adi. B    16 lemma ex NA    post τοὐναντίον add. φησὶν B    18 lemma ex NA    με om. NB    κατέλαβεσ N    19 post διαφθερῶν add. ἄνθρωπον B    ὡς om. N    21 ὁρᾶσ B    post με add. φησὶν N    22 ὑπὸ σοῦ λεγομένοισ B λεγομένοισ N    θέλεισ εἰπεῖν NA διανοῆι B    25 lemma ex NAB

πων. μήτε ἀνταποδιδόναι κακὰ τοῖς χρωμένοις κακῶς, ὅ ἐστι τοῖς μὴ ἀμυνομένοις τοὺς προαδικοῦντας: — NAB

ἄλλως: ἐπίσταμαι δὲ κτᾶσθαι φίλους τοιούτους, τοὺς μὴ ἐπιχειροῦντας μηδὲ θέλοντας ἀδικεῖν: — NAB

998 ἀλλ' οἷσιν αἰδώς: ἀλλ' [ἐν] οἷς πρόσεστιν ἡ αἰσχύνη καὶ μὴ ὁμιλοῦσι κακὰ μηδὲ ἀντὶ κακοῦ ἀποδιδοῦσι. μηδὲ συμπράττειν τοῖς αἰσχροῖς καὶ τοῖς ταῦτα βουλομένοις: — NAB

ὡς μήτε συμβουλεύειν καὶ ὑποτιθέναι τὰ χείριστα μήτε συνεργεῖν τοῖς τὰ αἰσχρὰ πράττουσιν: — A[g]

1000 οὐκ ἐγγελαστής: οἷον· οὐχ ἕνεκα τοῦ ἐπεγγελᾶν φίλος εἰμί, ἀλλ' ἀρετῆς χάριν: — NAB

ἄλλως: οὐδὲ προσγελῶν τοῖς φίλοις μου, ἀλλὰ καὶ τοῖς περὶ ἐμὲ οὖσι καὶ τοῖς ἄποθέν μου οὖσιν ὁ αὐτός εἰμι καὶ τὴν αὐτὴν διάθεσιν ἔχω πρὸς ἀμφοτέρους: — NAB

ἄλλως: οὐκ εἰμι ἐγὼ ἐγγελαστής, οἷον· οὐκ ἐγγελῶ τοῖς περὶ τὰ τοιαῦτα ἔχουσιν, ἀλλὰ μόνον οὐ σύνειμι αὐτοῖς: — NAB

1001 ἀλλ' αὐτὸς οὐ παροῦσι: ἀλλ' ὁμοίως καὶ μὴ παροῦσιν αὐτοῖς φίλοις ἐχρώμην καὶ ἐγγὺς ὤν: — NAB[i]

ὁ ὅμοιος: — A[g]

γράφεται καὶ φίλοις: — B[g]

1002 ἑνὸς δ' ἄθικτος: ἑνὸς δὲ πράγματός εἰμι ἀμίαντος, ἐν ᾧ καὶ νομίζεις με ληφθῆναι. μέχρι γὰρ ταύτης τῆς ἡμέρας ἀμίαντον σῶμα ἔχω καὶ τοῦ λέχους οὐκ οἶδα πρᾶξιν: — NAB

1005 γραφῇ τε λεύσσων: καὶ ἐν τοῖς ἀναγνώσμασιν ὁρῶν· καὶ ὅμως οὐδὲ ἐκεῖνα κατασκοπῶ καλῶς, οὕτως ὢν ἀμίαντος: — NAB

1006 παρθένον: καθαρὰν ἁγνήν: — B[i]

---

1 ἀνταποδιδόμενοσ N χρωμένοις κακῶς scripsi χρωμένοισ ἐν κακοῖς AB ἀδικεῖν πειρομένοισ N cf. φίλουσ τε τοιούτουσ ἔχω τοὺσ μὴ δὲ πειρωμένουσ ἀδικεῖν A[g] ὅ ἐστι AB τουτέστι N τοῖς om. N 2 ἀμυνόμενοσ N 3 δὲ om. N 4 ἐθέλοντασ B 5 lemma ex NAB ἐν deleui 7 βουλευομένοισ B 10 lemma ex NB 12 initio add. καὶ AB περὶ scripsi πρὸσ NAB 13 καὶ — οὖσιν om. N εἰμι om. NA 15 ἐγὼ om. N 15. 16 τὰ τοιαῦτα AB ταῦτα N 16 οὐ om. N 17 lemma ex NA ὁμοίως καὶ Wil ὡσ NAB[i] 21 lemma ex NAB 22 ληφθῆναι Arsenius μιανθῆναι NAB 24 lemma ex NAB ὁρῶν N ὁρῶ AB καὶ om. N 25 ἐκεῖνα Wil σκοπῶ N

1011 ἔγκληρον εὐνήν: πρὸς τοῖς οἴκοις λαβὼν καὶ τὴν εὔπορόν σου κοίτην: — NAB

ἄλλως: μονοκληρονόμον εἰ προσεδόκησα πατρὸς γυναῖκα λαμβάνειν, μάταιος ἄρα ἤμην. οὐδαμοῦ, φησί, συνέσεως ἦν ἐγὼ τοιαῦτα ἐννοούμενος: — NAB

1013 ἀλλ' ὡς τυραννεῖν ἡδύ: οὐδαμῶς ⟨ὁ⟩ σώφρων ἐπιθυμεῖ βασιλεύειν, εἰ μὴ ἐκσταίη τῶν φρενῶν. τὸ δὲ ἑξῆς· εἰ μὴ τὰς φρένας διέφθορε τῶν θνητῶν ἡ μοναρχία, οἷς ἀνδάνει ἡ μοναρχία. ἀπὸ κοινοῦ δὲ ληπτέον τὸ μοναρχία: — NAB

1016 ἐγὼ δ' ἀγῶνας: ἐγὼ πρῶτος θέλω εἶναι ἐν τῇ κυνηγεσίᾳ καὶ ἐν τῇ φιλοσοφίᾳ, ἐν δὲ τῇ πόλει δεύτερος: — NAB

1019 πράσσειν γὰρ εὖ: ὁ γὰρ ἐν ἀγῶσι τοιοῦτος ὢν καλῶς πράττει καὶ ἀκίνδυνός ἐστιν· ὁ δὲ πόλεως πρῶτος ὢν κίνδυνον ἔχει. οἱ γὰρ βασιλεύοντες ⟨ἐν⟩ κινδύνοις διάγουσιν: — NAB

1022 εἰ μὲν γὰρ ἦν μοι μάρτυς: εἰ γάρ, φησί, καὶ ἕτερος ἦν καὶ τὰ αὐτά μοι ἔλεγε καὶ ἐμαρτύρει (τοῦτο γὰρ δηλοῖ τὸ οἷός εἰμι ἐγώ) καὶ ἦν ὁ ἀγὼν ζώσης αὐτῆς: — NAB

ἄλλως: εἰ παρῆν μοι μάρτυς δίκαιος, οἷός εἰμι ἐγώ, ὅ ἐστιν· εἰ εὐπόρησα μάρτυρος ἀληθοῦς, ὁμοίου τοῖς ἡμετέροις τρόποις: — NAB

1027 μηδ' ἂν θελῆσαι: μηδὲ εἰς ἔννοιαν ἐλθεῖν μέ ποτε τοῦ μιᾶναι τὴν σὴν κοίτην, οὐχ ὅτι λέγεις με καὶ φθεῖραι αὐτήν: — NAB

1028 ἢ τἄρ' ὀλοίμην: διαζευκτικὸς ὁ ἤ· ἢ ὀλοίμην, εἰ κακὸς φανήσομαι: — NB

1032 εἰ δ' ἥδε δειμαίνουσ': εἰ δὲ ἑαυτὴν φοβουμένη ἐφόνευσεν ἵνα μὴ κακὴν δόξαν λάβῃ διὰ τὸ ἐρασθῆναι τοῦ υἱοῦ τοῦ ἀνδρὸς αὐτῆς, οὐκ οἶδα: — NAB

1034 ἐσωφρόνησεν οὐκ ἔχουσα: δύναται ἐν ἐρωτήσει, ἵν' ᾖ

---

1 lemma ex NAB τοὺς οἴκους A 4 ἤμην NA ἦν B ἦν NA ἤμην B 6 lemma ex N ὁ add. Wil 7 ἐκσταίη N ἐκστῇ AB 8 οἷς ἀνδάνει ἡ μοναρχία om. NA 10 lemma ex N ἐγὼ δὲ A 12 lemma ex N 13 δὲ B γὰρ NA 14 ἐν om. NAB 15 lemma ex NAB 16 καὶ N om. AB ἔλεγε NB λέγων A 16. 17 ἐγὼ εἰμὶ A 17 post ἐγὼ add. οἷα ἐγὼ AB 18 ἐγὼ εἰμὶ A 20 lemma ex NAB 21 μιᾶναι τὴν σὴν κοίτην scripsi μιγῆναι τῇ σῇ κοίτῃ NAB οὐχ—αὐτήν om. A αὐτήν om. N 22 lemma ex NB [ἢ τ' ἂν N ἢ (corr. in ἢ) τ' ἄρ B] 24 lemma ex NAB ἐφόνευσεν φοβουμένη B 25 διὰ post ἐρασθῆναι coll. A 27 lemma ex N δύναται scripsi δυνατὸν NAB

οὕτως· ἡ Φαίδρα, ὡς σὺ φῄς, ἐσωφρόνησεν, καίτοι μὴ φύσει ὑπάρχουσα τοιαύτη· ἐγὼ δὲ ὁ ἔχων ⟨τὸ σωφρονεῖν⟩ οὐκ ἐσωφρόνησα, ἀλλ' ἐβουλήθην αὐτῇ μιγῆναι, αὐτῆς μὴ βουλομένης: — NAB

ἄλλως: τινὲς δὲ κατ' ἐρώτησιν οὕτως· ἆρα ἡ Φαίδρα μὴ οὐκ ἔχουσα σωφρονεῖν ἐσωφρόνησεν, ἐγὼ δὲ ὁ δυνάμενος σωφρονεῖν οὐκ ἐσωφρόνουν: — A

ἄλλως: ἐσωφρόνησεν ἡ Φαίδρα εἰποῦσα τὸν ἔρωτα, καίτοι οὐκ εἶχε σωφρονεῖν τοῦ ἔρωτος νικωμένη· ἐγὼ δὲ ἔχων τὴν σωφροσύνην οὐ καλῶς ἐχρησάμην αὐτῇ διὰ τὸ μὴ αὐτίκα μηνῦσαί σοι τὰ κατ' αὐτὴν καὶ δηλῶσαί σοι: — A

γράφεται οὐχ ἑκοῦσα: — A[g]B[1]

ἀποθανοῦσα, φησί, μὴ δυναμένη βαστάζειν τὸν ἔρωτα: — A[g]B[1]

1035 ἡμεῖς δ' ἔχοντες: ἡμεῖς δὲ σιωπήσαντες οὐ καλῶς ἐποιήσαμεν. τὸ δὲ ἔχοντες ἀντὶ τοῦ σιωπήσαντες, ἢ τὴν σωφροσύνην φυλάξαντες: — NAB

1036 ἀρκοῦσαν εἶπας: ἀπολογίαν ἀρκοῦσαν εἶπας τοῦ μὴ φονεῦσαί σε τὴν Φαίδραν: — NAB

1038 γόης: ἀπατεών, φαρμάκων ἔμπειρος: — NB

1039 εὐοργησίᾳ: πρᾳότητι, ἀνεξικακίᾳ, βαθύτητι. οὕτως Ἀττικῶς. τινὲς δὲ εὐηθείᾳ: — NAB

1041 καὶ σοῦ γε κάρτα: θαυμάζω σε, ὦ πάτερ, εἰ ταῦτα καρτερεῖς. εἰ γὰρ ἐγὼ πατήρ σου ἤμην, οὐδαμῶς ⟨ἂν⟩ ἐφυγάδευόν σε, ἀλλ' ἐφόνευον, εἰ ὑπελάμβανον διαφθείραντά μου τὴν γυναῖκα: — NAB

1047 ταχὺς γὰρ Ἅιδης ῥᾷστος: ἀντὶ τοῦ ἥδιστος. ταχὺς

---

1 φησὶν A 2 τοιαύτη AB σωφρονεῖν N τὸ σωφρονεῖν addidi 3 αὐτῆς μὴ om. N βουλομένη corr. ut uidetur ex βουλομένην N 5 δύνασθαι A 11 γράφεται om. A[g] 13 lemma ex NAB 14 τὸ — σιωπήσαντες om. A δὲ N γὰρ B 16 lemma ex NA 17 σε om. NB 18 lemma ex N initio add. ἀντὶ τοῦ B cf. lex. Bachm. p. 186, 22 = Suid. s. u. γόης et. m. p. 238, 22 Gud. p. 128, 32 Hesych. s. u. γοησίοδος Zonar. p. 446 19. 20 scholio quod antecedit adi. B initio add. εὐοργησίαι δὲ 19 lemma ex NA ἀνεξικακία om. AB 20 in fine add. ἀντὶ τοῦ εὐήθης εἶναι ὑποκρινόμενος B 21 lemma ex NA 22 σὸς B ἂν addidi σε ἐφυγάδευον N ἐφυγάδευον B 23 post ἐφόνευον add. ἄν σε B διαφθείραντα τὴν γυναῖκα μοῦ N τὴν γυναῖκά μου διαφθείροντα B 24 lemma ex NB

δὲ, ἀντὶ τοῦ ὀξύς. οἱ γὰρ ἄδικοι ταχὺ τὸν θάνατον λαμβάνοντες χαίρουσι διὰ τὸ μὴ κρίνεσθαι αὐτοὺς πολλάκις: — NAB

1050 μισθὸς γάρ: ἐν πολλοῖς οὐ φέρεται οὗτος ὁ ἴαμβος: — NB[1]

1051 οὐδὲ μηνυτὴν χρόνον: οὐδὲ περιμενεῖς ὀλίγον χρόνον, ἵνα μάθῃς τὸ ἀσφαλές, ἀλλ' οὕτως με διώκεις: — NAB

1057 ἡ δέλτος ἥδε: αὕτη ἡ δέλτος οὐκ ἔστιν ἀπὸ μαντείας κατεσκευασμένη, ἀλλὰ κατηγορεῖ σου· ἥνπερ ἐγὼ [πιστεύω] δέχομαι, τοὺς δὲ μάντεις πολλάκις ἐγὼ χαίρειν λέγω, ἀντὶ τοῦ οἰμώζειν. οὐ παρὰ μάντεων, φησὶ, μαθοῦσα, ἀλλ' αὐτὴ παθοῦσα καὶ πλέον ἄλλων εἰδυῖα. κλῆρος δέ ἐστι τὸ σημεῖον τὸ διδόμενον τοῖς μαντευομένοις, ἀφ' ὧν οἱ μάντεις ὁρμώμενοι προφητεύουσι περὶ τῶν μελλόντων. τινὲς δὲ τῶν μάντεων ὄρνισι προσέχουσιν, οἱ δὲ κλήροις. κλῆρον τὴν μαντείαν. εἰσὶ γάρ τινες κλήρῳ μαντευόμενοι, ὅ ἐστι λαχμοῖς: — NAB

κλῆροι λέγονται τὰ σημεῖα τῆς πτήσεως τῶν οἰωνῶν, ἐξ ὧν οἱ μάντεις προλέγουσιν: — A

1062 οὐ δῆτα πάντως: ὑφ' ἓν ἀναγνωστέον καὶ περιττεύει ἡ μία ἄρνησις: — NAB

οὐ δῆτα: ἀντὶ τοῦ· οὐδαμῶς [λύσω τὸν ὅρκον] ἐγχωρεῖ μοι πεῖσαί σε καὶ μάτην λύσω τὸν ὅρκον, ὃν ὤμοσα τῇ τροφῷ μηδενὶ εἰπεῖν: — NAB

ἄλλως: ἐπεὶ ὅλως, φησίν, ἂν εἴπω, οὐ πείθω, διὰ τί καὶ τοὺς ὅρκους παραβαίνω: — NAB

ἄλλως: οὐ μή ποτε πείσω τοὺς περὶ Θησέα οὓς με δεῖ πεῖσαι, κἂν ἀποκαλύψω τὸν ἔρωτα τῆς Φαίδρας, ὥστε μάτην ἂν συγχέαιμι τοὺς ὅρκους οὓς πρὸς τὴν τροφὸν τῆς Φαίδρας ἐποιησάμην: — A

---

4 lemma ex NAB περιμενεῖς scripsi περιμένεισ NB περιμείνησ A
6 lemma ex NB ἔστιν NB ἐσ τὴν A 7 [πιστεύω] δέχομαι Wil πιστεύω δέχομαι N πιστεύω καὶ δέχομαι A δέχομαι καὶ ταύτηι πιστεύω B 8 πολλάκις post μάντεων coll. A 12 post κλῆρον add. οὖν B 8—13 Eust. p. 419,8 ἐν δὲ τῷ δέλτος κλήρους οὐ δεδεγμένη κλήρους, φασὶ, λέγει ἢ τὰς μαντείας ἢ σημεῖά τινα διδόμενα τῷ μάντει ἐξ ὧν ὁρμώμενος προεφήτευε
15. 16 cf. schol. Phoen. 838 Eust. p. 419,5 15 πτώσεωσ A 17 lemma ex NAB 19 lemma ex NAB λύσω — ὅρκον del. Wil λύση N
19. 20 ἐγχωρεῖ — ὅρκον om. N μοι πεῖσαί σε scripsi πεῖσαί σε A μὴ πεῖσαί με B 20 μηδὲν N 22 ἐπεὶ ὅλως scripsi πολλάκισ NAB διὰ om. B
23 παραβαίνασ A 24 οὐ μὴ Wil οὐκ ἂν A 25 συγχέσαιμι A

1065 οὐκ εἶ πατρῴας ἐκτός: τὸ εἶμι τὸ πορεύομαι, καὶ τὸ εἰμί τὸ ὑπάρχω, ἐν τῇ συνηθείᾳ κατὰ τὸ δεύτερον πρόσωπον ἀποβολὴν πάσχουσι τοῦ σ̄ παραλόγως. φασὶ γὰρ ποῖ ἄπει καὶ ποῦ εἶ: — NB

1066 τίνος ξένων: τίνος τῶν ξένων εἰς τοὺς οἴκους πορεύσομαι· διὰ τοιαύτην αἰτίαν φυγόντα τίς με ἐν οἴκῳ εἰσδέξεται: — B

1068 ὅστις γυναικῶν: ὅστις ἥδεται κομίζων ὡς ξένους λυμεῶνας τῶν γυναικῶν καὶ συνεργάτας τῶν κακῶν: — NB

1074 ὦ δώματ' εἴθε: ὦ οἰκήματα, εἴθε φωνὴν ἀφείητε καὶ μαρτυρήσαιτέ μοι, εἰ τοιοῦτος ἀνὴρ γέγονα: — NAB

1076 εἰς τοὺς ἀφώνους: γράφεται σοφῶς, ἵν' ᾖ σοφιστικῶς καὶ τεχνικῶς. εἰς τὸ φεύγεις ὑποστικτέον, τὸ δὲ λοιπὸν κατὰ ἀπόφασιν· εἰς τοὺς ἀφώνους μάρτυρας ⟨φεύγεις⟩, ὅ ἐστιν ἀφώνους μάρτυρας ἐπικαλῇ, τὸ δὲ κατὰ Φαίδραν πρᾶγμα μὴ φθεγγόμενον σαφῶς μηνύει σε κακόν: — NAB

1078 εἴθ' ἦν ἐμαυτόν: εἴθε δυνατὸν ἦν ἐμαυτὸν ἄλλον γενόμενον προσβλέψαι δακρύοντα καὶ κατιδεῖν ἐν ὁποίοις κακοῖς εἰμι. τοῦτο δὲ λέγει διὰ τὸ μὴ τὸν Θησέα προσβλέποντα αὐτὸν οἰκτείρειν: — NAB

1080 πολλῷ γε μᾶλλον: σαυτὸν ἐμελέτησας μᾶλλον σέβειν ὑπὲρ τοὺς τεκόντας [ἢ καλῶς ποιεῖν]. ὢν δίκαιος, ὡς αὐτὸς λέγεις. μᾶλλον σεαυτὸν ἤσκησας σέβειν: — NAB

1082 Ἀντιόπη: — B[1]

1084 οὐχ ἕλξετ' αὐτὸν δμῶες: οὐ διώκετε αὐτὸν ἐκ ταύτης τῆς γῆς· οὐκ ἐκ πολλοῦ χρόνου εἶπον ὑμῖν: — NB

1085 πάλαι ξενοῦσθαι: ἐπὶ ξένης γῆς διατρίβειν, ξένος ἀντὶ πολίτου γίνεσθαι. οὕτως Ἀττικῶς: — NAB

1086 κλαίων τις αὐτῶν: οὐχ ὡς ἀντιτείνων λέγει, ἀλλ' ὡς ἐξ ἐλευθέρας χειρὸς ὠθεῖσθαι βουλόμενος. ὄντως, ἐάν μέ τις διώξῃ ἐκ

---

1 lemma ex NB 2 ὑπάρχω B πορεύομαι καὶ τὸ εἰ μὴ τὸ ὑπάρχω N 3 φησὶ N 6 lemma ex NB ὡς Wil τοὺσ NB 7 ξυνεργατασ N 8 lemma ex NAB δώματα A ἀφείητε scripsi ἀφίετε NAB 9 μαρτυρήσετέ A ἐμαρτυρήσατέ NB 10 lemma ex N γράφε N γρ. καὶ B 12 φεύγεις add. Matthiae 13 τὸ δὲ B καὶ τὸ NA φθεγγόμενον Wil φαινόμενον NAB 14 σε N τὸ AB 15 lemma ex NAB ἄλλωσ N 18 lemma ex NAB σαυτὸν ἐμελέτησας om. A 19 ἢ — ποιεῖν deleui 22 lemma ex N διώκεται ταυτὸν N 24 lemma ex NAB cf. schol. Soph. Trach. 65 ἐν ξένῃ διατρίβοντος 25 γενέσθαι N οὕτωσ ἀττικῶσ NA ἔστι δὲ ἀττικόν B 26 lemma ex N

τῶν δούλων, κλαίων ἀναχωρήσει· ἐὰν δὲ θέλῃς, σὺ δίωξόν με ἐκ τῆς γῆς σαυτοῦ: — NAB

1090 ἄραρεν: ἀντὶ τοῦ· ἔδοξε κέκριται: — NB[1]

ὦ τάλας ἐγώ: ἐγίνωσκον γὰρ ⟨τὰ⟩ περὶ ἐμοῦ καὶ Φαίδρας ἐπεγίνωσκον ὥστε μὴ δυνατὸν εἶναι ταῦτα φράζειν 'ὅρκοις πεδηθεὶς τῆς τροφοῦ παρ' ἀξίαν': — A

ἄλλως: γινώσκω ταῦτα, γινώσκω δὲ οὐχ οὕτως ὥστε εἰπεῖν, ἀλλὰ κρύψαι: — A

1093 φευξούμεσθα: [εἰς] Ἀττικήν φησι φεύγειν, ὅτι ὑπὸ μίαν βασιλείαν ἦσαν Ἀττική τε καὶ Τροιζήν. καὶ ἑτέραν λέγων, ἑκατέραν ὠνόμασεν: — NAB

1095 καὶ γαῖ' Ἐρεχθέως: τὸ αὐτὸ λέγει. Ἐρεχθεὺς γὰρ ἐβασίλευσεν εἰς τὰς Ἀθήνας: — NB

1096 ὡς ἐγκαθηβᾶν: ἐννεάσαι. ἡβητὰς τρέφεις διὰ τὸ ἔχειν τόπους εἰς τὸ ἡβᾶν ἐπιτηδείους. ὅθεν καὶ ἡβητήρια τὰ γυμνάσια: — NAB

1102 ἦ μέγα μοι τὰ θεῶν: γυναῖκες μέν εἰσιν αἱ τοῦ χοροῦ. μεταφέρει δὲ τὸ πρόσωπον ἐφ' ἑαυτοῦ ὁ ποιητὴς καταλιπὼν τὰ χορικὰ πρόσωπα· μετοχαῖς γὰρ ἀρσενικαῖς κέχρηται. τὸ δὲ μοί ἀντὶ τοῦ μοῦ, ὡς τὸ [β 50] 'μητέρι μοι μνηστῆρες'. τὸ δὲ ἑξῆς· ὄντως μου τὰς λύπας μεγάλως ἀφανεῖς καθίστησι τὰ περὶ θεῶν μελεδήματα, ὅταν

---

1 τῶν om. NB 2 σαυτοῦ scripsi αὑτοῦ N ταύτησ AB 3 cf. schol. Med. 322 Hesych. ἄραρεν ... ἢ παγίως δέδοκται. ἢ κέκριται lex. Bachm. p. 140,3 Suid. ἄραρε κέκριται ... 4 τὰ add. Wil 4. 5 ἐπεγίνωσκον corruptum, coniecerim οὕτως δὲ ἐγίνωσκον 5. 6 senarius Byzantinus 9 lemma ex N εἰσ del. Wil φησὶ φεύγειν ὅτι AB φευξούμεθα N μίαν AB τὴν τὴν (i. e. αὐτὴν) N 10 ἦσαν — Τροιζήν] τῆσ ἀττικῆσ καὶ τροιζῆνα N ἑτέραν AB μίαν N 11 post hoc scholion spatium fere ca III linearum uacuum relictum est in N, in mg. legitur λείπει σημ(είωσαι). crediderim scholia 4—8 excidisse 12. 13 scholio quod antecedit adi. B initio add. καὶ ἐρεχθέωσ δὲ γῆν 14—16 scholio quod antecedit adi. B initio add. ἐγκαθηβᾶν δὲ 14 lemma ex N ἐννεάσαι om. A διὰ τὸ ἐννεάσαι N ἡβητὰς τρέφεις ego ἡβητὰσ τρέφειν AB ἣδ βητὰσ φρένα N 15. 16 ὅθεν — γυμνάσια om. N 15 cf. Hesych. s. u. ἡβητήριον Athen. 10 p. 425e πρὸσ B 17 lemma ex NAB αἱ τοῦ AB αὐτοῦ N 18 χωρικὰ superscripto θηλυκὰ A 19 γὰρ om. NA ἀρσενικῶν A 20 ὄντωσ AB οὕτωσ N μου B μὲν NA

εἰς φρένας ἔλθῃ. ὁρῶν δὲ ὁ χορὸς εὐσεβῆ μὲν ὄντα τὸν Ἱππόλυτον, κακῶς δὲ πράττοντα παρὰ τὸ δίκαιον, θαυμάζει τοῦ βίου τὸ ἀνώμαλον καὶ ταράττεσθαί φησι τὴν διάνοιαν, ὑπονοῶν μὲν τὸ θεῖον προνοεῖσθαι τῶν ἀνθρωπίνων, ὁρῶν δὲ θείας προνοίας μὴ μετέχοντα τῶν ἀνθρώπων τὰ πράγματα ἐκ τοῦ τοὺς μὲν ⟨ἀδίκους⟩ εὖ πράττειν, τοὺς δὲ δικαίους παρὰ τὴν ἀξίαν πράττειν κακῶς. ὁ δὲ νοῦς· ὅταν, φησί, θεοὺς λογίσωμαι, πάσης λύπης ἀπαλλάσσομαι, ἐνθυμούμενος ὅτι ἀδεκάστως τὰ πράγματα κρίνουσι, τὰ πρὸς ἀξίαν ἑκάστῳ παρέχοντες. καὶ δοκῶν κατὰ τοῦτο συνετὸς εἶναι ἄφρων ἐλέγχομαι, ὁρῶν τοῦ βίου τὴν σύγχυσιν. σύνεσιν γάρ τινα ἐν ταῖς ἐλπίσιν ἔχων, ἐλαττοῦμαι καὶ ἀπολείπομαι βλέπων ἔν τε ταῖς τύχαις τῶν ἀνθρώπων καὶ ἐν τοῖς ἔργοις, τουτέστιν· ὁπηνίκα ἂν τὰ ἀνθρώπινα ἐννοήσω, ἐλαττοῦμαι καὶ οὐ μέγα φρονῶ: — NAB

ἄλλως: ὁπηνίκα μοι τὰ τῶν θεῶν προνοήματα καὶ αἱ διοικήσεις καθ' ἃς τῶν ἀνθρωπίνων ἐπιστατοῦσι πραγμάτων, περὶ τὴν ἐμὴν διάνοιαν γένωνται καὶ ἀνασκοπήσω αὐτά, μέγα μέρος τῆς λύπης ἀφαιροῦμαι, πρόνοιαν νομίζων εἶναι τὴν δικαίως τὰ ἀνθρώπων οἰκονομοῦσαν. βλέπων δὲ πάλιν εἰς τὰς τῶν ἀνθρώπων τύχας καὶ εἰς τὰς πράξεις αὐτῶν καὶ ὁρῶν τοὺς μὲν κακοὺς εὐτυχοῦντας τοὺς δὲ ἀγαθοὺς ἀτυχοῦντας, λείπομαι κατὰ πολὺ καὶ ἄφρων ἐλέγχομαι καὶ ἀμαθής, κἂν νομίζω καὶ ἐλπίζω ὅτι σύνεσίν τινα καὶ νόησιν τῶν ἀνθρωπίνων ἔχω πραγμάτων: — A

ἄλλως: ὁπηνίκα, φησίν, ἐνθυμηθῶ ὅτι οἱ θεοὶ προνοοῦνται τῶν ἀνθρώπων, μεγάλως τῆς λύπης ἀναχαιτίζομαι: — A

1105 ξύνεσιν δέ τιν': σοφίαν δέ τινα ἐν τῇ διανοίᾳ ἔχων καθὸ πρόνοιαν θεῶν λογιζόμενος, ἐκπίπτω ταύτης, ἔν τε ταῖς τύχαις τῶν θνητῶν καὶ ἐν τοῖς ἔργμασι βλέπων: — NAB

ἄλλως: νόησιν δέ τινα τῶν ἀνθρωπίνων πραγμάτων ἐλπίζων ἔχειν ⟨ἐν⟩ τῇ διανοίᾳ, ἐλέγχομαι κατὰ πολὺ τῆς ἀληθείας λειπόμενος: — A

---

3. 4 φησι — ἀνθρώπων om. N 5 ἐκ τοῦ τοὺσ NB τὰ ἐκ τούτου A ἀδίκους om. NAB ex coniectura inseruisse uidetur Arsenius πράττειν εὖ N 6 παρὰ τὴν ἀξίαν B μὲν τὴν ἀξίαν N παρὰ ἀξίαν A πράττειν NA πάσχειν B 7 πάσης — ἀπαλλάσσομαι om. N ἐνθυμουμένη N 8 τὴν ἀξίαν N ἑκάστου N 10—12 καὶ ἀπολείπομαι — ἐλαττοῦμαι om. N 14 αἱ] ὡσ A 24 lemma ex NAB καθὸ] ὡσ B 25 πρόνοια A τε om. N 26 τοῖς om. B post ἔργμασι add. τουτέστιν ἐν τοῖσ ἔργοισ A βλέπων NA λεύσσων B 28 ἐν addidi

ἐν ἐλπίδι δέ, φησί, τιθέμενος τὰ πράγματα, ἀπολείπομαι τῆς ἐλπίδος· οὐ γὰρ ἀποβαίνει καθὼς ἐλπίζω: — NAB

1106 ἔν τε τύχαις: ἐν ταῖς τύχαις τῶν ἀνθρώπων καὶ ἐν τοῖς ἔργοις βλέπων: — N

1108 ἄλλα γὰρ ἄλλοθεν πράγματα ἐναλλάσσεται, οἷον· πολλὴ ⟨ἡ⟩ μεταβολὴ τῶν ἀνθρωπίνων πραγμάτων: — NAB

1109 μεταβαίνει εἰς πολλά, μεταβάλλεται: — N

μετὰ δ' ἵσταται: μεταβαίνει εἰς πολλὰ πλανώμενος τοῖς ἀνθρώποις ὁ βίος, οἷον· οὐ μένει βέβαιος ὁ αἰών, ἀλλὰ μεταβάλλεται: — AB

1110 πολυπλάνητος: οἷον· τὸ ζῆν ἀεὶ μεταβάλλεται πολυπλάνητον ὂν τοῖς ἀνθρώποις: — AB

1114 ἄλγεσι θυμόν: καὶ ἐν κακοῖς ἄφθαρτον, ἀβλαβῆ τὴν ψυχὴν παράσχοι: — NAB[i]

1115 δόξα δὲ μήτ' ἀτρεκής: ἀντὶ τοῦ· μὴ σχῶ μεγάλην δόξαν μήτε μικράν, ἀλλὰ μέσην καὶ καλήν: — NAB

μήτ' αὖ παράσημος: ἀντὶ τοῦ ἀδόκιμος, ἀπὸ μεταφορᾶς τῶν κιβδήλων νομισμάτων: — NAB

ἄλλως: εἰς ἄκρον τελεία ἐν εὐτυχίᾳ. ἤτοι παρὰ τὸ σημεῖον τοῦ ἀτρεκοῦς. τοῦτο δὲ λέγει ὅτι εἴθε μοι ἐδόθη βίος εὐτυχὴς καὶ ἄλυπος καὶ μήτε βασιλείᾳ ἐτιμήθην· αὕτη γάρ ἐστιν ἡ ἀτρεκὴς καὶ ὑπερφέρουσα δόξα· μήτε κατὰ τὸν βίον πενία ἐσχάτη καὶ ἀτυχία καὶ ἀδοξία καὶ θλῖψις. διὰ τοῦτο γὰρ τῇ παράσημος λέξει ἐ⟨χρή⟩σατο κατ' ἐναντίωσιν τοῦ ἀτρεκής, ἤτοι παρὰ τὸ σημεῖον καὶ τὸ σύμβολον τῆς ἀτρεκότητος καὶ τῆς ὑπερφερούσης δόξης: — A

1117 ῥᾴδια δ' ἤθεα: ἀντὶ τοῦ εὐχερῆ καὶ ἄλυπα ἤθη ἔχουσα, προβαίνουσα εὐτυχοίην ἀεί: — NAB

ἄλλως: εὐχερῶς δὲ τὰ ἤθη μεταβάλλουσα τὸν ὀλίγον χρόνον,

---

1 ἐλπίσι AB 2 καθὰ N 6 ἡ addidi 7 falso lemma adscriptum est ἀμείβεται 8 lemma ex AB 9 post βέβαιος add. τοῖσ ἀνθρώποισ B 11 lemma ex A 13 lemma ex N post ἄφθαρτον add. καὶ B[i] 14 παράσχη A 15 lemma ex NAB ἀντὶ τοῦ NB ὅ ἐστι A 16 καλήν NA σεμνήν B 17. 18 scholio quod antecedit adi. B initio add. παράσημοσ δὲ 17 lemma ex NA 18 κιβδήλων om. NA 23 ἐχρήσατο] χρή om. spatio uacuo relicto A 26 lemma ex NAB καὶ om. N post ἔχουσα add. καὶ AB 28 ἤθη Wil συνήθη NAB

εὐτυχοίην τὸν βίον. τὸ δὲ ἑξῆς· εὔκολον δὲ ζωὴν εἰς τὸν καθ' ἡμέραν χρόνον ἀεὶ διαδεχομένη σὺν ἄλλοις τὸν βίον εὐτυχοίην. δύναται καὶ ἀντὶ ἐνεργητικοῦ κεῖσθαι, μεταβαλλομένη, ἀντὶ τοῦ μεταβάλλουσα· δύναται πάλιν εἶναι· κατὰ τὰ ἤθη μεταβαλλομένη: — NAB

1118 μεταβαλλομένα: διαδεχομένη, ἡ μοῖρα δηλονότι: — N

1119 βίον συνευτυχοίην: καλῶς ἡ σύν ἔγκειται πρόθεσις, δηλοῦσα ὡς οὐκ ἄκραν εὔχεται εὐδαιμονίαν οὐδὲ πλεονεκτεῖν τῶν ἄλλων, ἀλλὰ σὺν ἄλλοις εὐπραγεῖν κατὰ τὸν βίον: — NAB

1120 οὐκέτι γὰρ καθαράν: ἀντὶ τοῦ οὐκ ἀτάραχον, οὐκ ἄφοβον· διὸ καὶ μετὰ φυλακῆς ηὐξάμην: — NAB

ἄλλως: ἄδολον, εἰς θεοὺς δηλονότι. τοῦτο δὲ [ἐν] τοῖς ἄνω συναπτέον, ἵν' ᾖ οὕτως· ἐκπίπτω τοῦ ἀνάγειν εἰς θεοὺς πρόνοιαν τῶν ἀνθρωπίνων πραγμάτων· οὐκέτι γὰρ καθαρὰν φρένα ἔχω, τουτέστιν· οὐκ ἔχω ἀτάραχον φρένα ἐπὶ τῷ παρόντι, ὅτι ἀδίκως ἀπόλλυται ὁ Ἱππόλυτος: — NAB

1122 ἐπεὶ τὸν Ἑλλανίας: ἐπειδὴ τὸν τῆς Ἑλληνικῆς γῆς φανερώτατον ἀστέρα, καὶ τὰ ἑξῆς. ἀστέρα λέγει τὸν Ἱππόλυτον, διὰ τὸ ἐπιφανὲς τῆς παρθενίας αὐτοῦ: — NAB

1123 φανερώτατον ἀστέρα: τὸν ἐπιφανέστατον τῆς Ἀττικῆς ἀστέρα. καὶ Ὅμηρος [η 80] 'εὐρυάγυιαν Ἀθήνην': — NB[1]

1126 ὦ ψάμαθοι: ὦ αἰγιαλοὶ τῆς θαλάσσης τῆς λευκῆς, ἔνθα ἐγυμνάζετο: — NAB[1]

1127 ὦ δρυμὸς ὄρειος: ὑπερβατόν· ὅθι μετὰ κυνῶν ἐπέβης

---

1 δὲ om. A 2 διαδεχομένη σὺν scripsi διαδεχομένησ τοῖσ A δεχομένη σὺν N διαδεχοίμην καὶ σὺν B 3 δύναται NB κεῖται A κεῖσθαι om. A τὸ μεταβαλλομένη B ἀντὶ τοῦ NB ὅ ἐστι A 4 πάλιν εἶναι NB δὲ A κατὰ scripsi καὶ NAB 6 lemma ex NAB 6—8 πρόθεσις — βίον] ὅτι οὐ πλεονεκτεῖν θέλω ἀλλὰ σὺν ἄλλοισ εὐτυχεῖν A 9 lemma ex NAB 10 in fine add. οὐ δυνάμενοσ φησὶν ἀνενέγκαι τῇ προνοίᾳ τῶν θεῶν τὰ πράγματα διὰ τὸν ἱππόλυτον ὃσ ἀδίκωσ ἐτιμωρεῖτο A 11 ἄδολον scripsi ἄδηλον NAB ἐν — ἄνω om. spatio uacuo relicto A ἐν del. Wil 12 προνοίᾳ A 13 γὰρ add. post τουτέστι A post ἔχω B 16 lemma ex NAB ἐπεὶ B τῆς om. AB 17 καὶ — ἑξῆς om. A post ἀστέρα add. δὲ B 21 τῆσ θαλάσσησ λευκῆσ N τῆσ λευκῆσ θαλάσσησ B[1] cf. Eust. p. 468, 42 ψάμαθοι πολιήτιδος ἀκτῆς ἤγουν λευκῆς κατὰ τοὺς παλαιούς 23 lemma ex NAB initio add. ὅθι κυνῶν μέτα ἐπέβασ ὠκυπόδων μετὰ θεᾶσ τῆσ ἀρτέμιδοσ τοὺσ θῆρασ φονεύων A

ὠκυπόδων, θεᾶς θῆρας ἐναίρων, ὅ ἐστι· τοὺς ὑποτεταγμένους τῇ Ἀρτέμιδι: — NAB

1129 θεᾶς μέτα: οἱ μὲν ὑπερβατόν, μετὰ κυνῶν· οἱ δὲ μετὰ τῆς θεᾶς. Ἀρτέμιδος τοὺς θῆρας φονεύων· ἱεροὶ γὰρ αὐτῆς οὗτοι: — NAB[1]

1130 Δίκτυνναν ἀμφὶ σεμνάν: Δίκτυννα ἐκλήθη ἡ Ἄρτεμις διὰ τοιαύτην αἰτίαν. Βριτόμαρτις νύμφη ἐγένετο συγκυνηγέτις τῇ Ἀρτέμιδι. ταύτης ἠράσθη Μίνως καὶ κατεδίωξεν αὐτὴν μῆνας ἐννέα· καὶ μὴ ὑποφέρουσα ἔτι, ἔρριψεν ἑαυτὴν ἀπὸ τοῦ ὄρους εἰς θάλασσαν καὶ ἐσώθη ἐν τοῖς δικτύοις, καὶ τούτου χάριν ἐκλήθη ἡ Ἄρτεμις Δίκτυννα: — NAB

ἄλλως: οἱ μὲν Δίκτυνναν αὐτήν φασι τὴν Ἄρτεμιν, οἱ δὲ Ἑκάτην, οἱ δέ τινα ἑτέραν, Δίκτυνναν * * παρεπομένην τῇ Ἀρτέμιδι. ⟨Ἄρτεμις⟩ Δίκτυννα τούτῳ τῷ ὀνόματι καλεῖται παρόσον διὰ μεθόδων δικτυηρῶν * * οἱ ἐπακτῆρες καὶ κυνηγοὶ τοὺς θῆρας αἱροῦσι, δίκτυον δὲ οἱ ἁλιεῖς οὕτως ἐκάλεσαν τὸ ἀμφίβληστρον διὰ τὸ ὑπὲρ τῆς * * μολιβδαίνης τοὺς ἰχθῦς μὴ ἐᾶν ἀναπλέειν, ἀλλὰ παρακατέχειν καὶ ἐναποκλείειν ἔνδον. ἰστέον δὲ ὅτι τὸ ὄνομα τῆς Δικτύννης μᾶλλον τῇ Ἑκάτῃ προσάπτεσθαι δεῖ ὡς πᾶσι μὲν παρεπομένῃ θεοῖς, μάλιστα δὲ τῇ Ἀρτέμιδι· δῆλον δὲ ἐκ τοῦ καὶ αὐτὴν Ἑκάτην ὀνομάζεσθαι: — A

1132 Ἐνέτη πόλις Ἠπείρου ἔνθα γίνονται καλοὶ ἡμίονοι καὶ πῶλοι: — B[1]

---

1 ἀναίρων NA   post ἐναίρων add. τοὺσ ὑπὸ [περὶ B] τὴν ἄρτεμιν AB   3—5 scholio quod antecedit adi. A om. οἱ μὲν — οἱ δὲ   3 οἱ μὲν — οἱ δὲ om. B[1]   6 lemma ex N   6—11 cf. schol. us. 146   7 ταῦτα τὰ αἴτια A   βριτόμαρτυσ A βριτόμαντισ B   ἐγίνετο A   8 αὐτῆσ A   μῆνας scripsi cl. Call. in Dian. 193: ἡμέρασ NA ἐπὶ ἡμέρασ B   καὶ om. N   9 τὴν θάλασσαν N   10 ἡ om. N   12 φησι A   13 spatium III litterarum uacuum rel. A, suppleuerim ὄνομα   13. 14 Ἄρτεμις addidi   15 spatium fere IIII litterarum uacuum rel. A   16 spatium fere III litterarum uacuum rel. A, coniecerim ὑπὲρ τῆς δικομένης μολιβδαίνης cl. et. m. p. 275, 22 Or. p. 46, 17   19 προσάπτεσθαι scripsi προσάπτεται ὡσ A   21 ἡμίονεσ B[1] cf. Eust. p. 361, 10 ἦν . . κατὰ τὸν ἀναγραφέα τῶν ἐθνικῶν καὶ ἔθνος παρὰ Τριβαλλοῖς Ἐνετοί Strab. 12 p. 553 [= p. 543] ὁ Ἀπολλόδωρος παρατίθησι τὸ τοῦ Ζηνοδότου ὅτι γράφει [cf. Aristonic. ad B 852] 'ἐξ Ἐνετῆς ὅθεν ἡμιόνων γένος ἀγροτεράων'. ταύτην δέ φησιν Ἑκαταῖον τὸν Μιλήσιον δέχεσθαι τὴν Ἀμισόν schol. Ap. Rhod. 2, 358 ἀπὸ Ἐνέτης πόλεως Παφλαγόνων

πώλων Ἐνετᾶν: Παφλαγονικῶν. Ἐνετοὶ γὰρ ἔθνος Παφλαγονίας. εἰ δέ τις εἴποι, ἐκ ποίας πόλεως ὠνομασμένοι, ἴστω ὅτι πολλοὶ βάρβαροι οὐκ ἐκ πόλεως οὐδὲ ἐκ χώρας, ἀλλ' ἐξ ἔθνους ὀνομάζονται, ὡς Νομάδες, Βλέμυες. ἢ δὲ ἐπί ἀντὶ τοῦ εἰς, οὐκέτι εἰς συζυγίαν Ἐνετῶν πώλων βήσῃ, ὡς τό [Ε 745] 'ἐς δ' ὄχεα φλόγεα ποσὶ βήσετο': — NAB

1133 τὸν ἀμφὶ Λίμνας: Λίμνη τόπος Τροιζῆνος ['Αττικῆς], ἔνθα Λιμνᾶτις Ἄρτεμις καλεῖται. περὶ τὸ πεδίον τῆς Λίμνης τὸ τρεχόμενον οὐκέτι τοὺς γυμναστικοὺς ἵππους κατέχων τῷ ποδὶ καὶ γυμνάζων: — NAB

1134 ποδὶ γυμνάδας ἵππους: τοὺς γυμναστικοὺς ἵππους οἱ ἱππαζόμενοι ἀντιβαίνοντες τῷ ποδὶ ἀνακρούουσι τοῖς χαλινοῖς: — NB[1]

1135 μοῦσα δ' ἄυπνος: ἡ δὲ ἄυπνος καὶ διηνεκὴς ᾠδὴ τῶν ὑπὸ τῇ ἄντυγι χορδῶν λήξει. τὸν ζυγὸν δὲ τῆς κιθάρας ἄντυγα καλεῖ. ἢ τὸν πῆχυν ὡς κιθαρίζοντος αὐτοῦ: — NB

1137 κόρας: πρὸς τὸ Λατοῦς: — NB[1]

ἀστέφανοι δὲ κόρας: αἱ δὲ ἀναπαῦλαι τῆς θυγατρὸς Λητοῦς, ὅ ἐστι τῆς Ἀρτέμιδος, αἱ κατὰ τὴν βαθεῖαν ὕλην ἀστεφάνωτοι ἔσονται: — NB

ἄλλως: αἱ δὲ ἀναπαύσεις τῶν κορῶν τῶν συγχορευουσῶν περὶ τὸ

---

1 lemma ex NAB cf. schol. us. 231 2—4 cf. quae ad scholion quod antecedit adnotaui 2 οἱ πολλοὶ N 3 πόλεων B ἐξ om. A 4 post Νομάδες add. καὶ A δὲ om. N 5. 6 Ἐνετῶν — βήσετο om. A 7—10 scholio quod antecedit adi. A 7 lemma ex N cf. schol. 228 ἀττι (κ supra) A, deleui 8 λιμαρτισ A λίμνητισ N λίμνητισ B παρὰ NA 9 οὐκέτι om. AB 11. 12 γυμναστικοὺς — ἱππαζόμενοι] ἱππαζομένουσ B[1] 12 ἀντιβαίνοντεσ γὰρ B[1] ἀντιλαμβάνοντεσ N τοὺσ χαλινοὺσ B[1] 13 lemma ex NB 13. 14 ἡ — λήξει] τουτέστιν ὑπὸ τῆι κιθάραι παύσεται ἐν τῶι οἴκωι τοῦ σοῦ πατρὸσ ἄϋπνοσ ἢ ἄπαυστοσ B 15. 16 Eust. p. 599, 20 περὶ δὲ ἄντυγος σημείωσαι ὡς οὐ μόνον ἐπὶ ἅρματος ἡ λέξις ἀλλὰ καὶ ἐπὶ ζυγοῦ κιθάρας κατὰ τοὺς παλαιοὺς ἢ πήχεως, καθ' ὃ σημαινόμενον 'ἄντυγα χορδῶν' Εὐριπίδης φησὶν ἐν Ἱππολύτῳ 15 in fine add. ἡ δὲ ἄυπνοσ φησὶν ᾠδὴ τῶν χορδῶν τῶν ὑπὸ τῆι ἄντυγι λήξει B 17 lemma ex N 18 ἀστεφανω (ττ supra) N ἀστέφανοι B 19 in fine add. λείπει γὰρ τὸ ἔσονται B 20 δὲ om. B χορῶν A

τῆς Λητοῦς ἱερὸν ἀστέφανοι ἔσονται, τουτέστι λυπηθήσονται ἐπὶ σοὶ αἱ παρθένοι: — NAB

1140 φυγᾷ σᾷ: διὰ τὴν σὴν φυγὴν οὐκέτι ἁμιλληθήσονται αἱ παρθένοι ὑπὲρ τοῦ γάμου, τίς σοι δοθήσεται γυνή: — NB

ἄλλως: φυγάδος σοῦ ὄντος ἡ φιλονικία τῶν παρθένων τῶν ἐπιδοξαζομένων τῷ σῷ γάμῳ ἀπώλετο: — NB

1141 ἅμιλλα κόραις: φιλονικία ἐναντίωσις ἕνεκεν τῶν λέκτρων: — N

1142 διοίσω: ἐν τοῖς δακρύοις διάξω καὶ ζήσω: — NA$B^1$

1143 πότμον ἄποτμον: θάνατον κακοθάνατον: — NA$B^1$

1145 ἔτεκες ἀνόνητα: ἐπειδὴ οὐκ ἀπέλαυσεν αὐτοῦ: — NA$B^1$

1146 μηνίω: ὀργίζομαι σχετλιάζω: — NA$B^1$

1147 ἰὼ ἰὼ συζύγιαι Χάριτες: αἱ συνεζευγμέναι Χάριτες τῷ Ἱππολύτῳ. αἱ συζευγνῦσαι, ὅ ἐστι γαμήλιοι. ἀντὶ τοῦ· ὦ Χάριτες ἔφοροι τῆς συζυγίας: — NAB

1149 οὐδὲν ἄτης: οὐδεμιᾶς βλάβης: — N$B^1$

1157 Θησεῦ, μερίμνης ἄξιον φέρω: οἱ ἀρχαῖοι καὶ ἐξ ὀνόματος τοὺς δεσπότας ἐκάλουν: — NAB

σοὶ καὶ πολίταις: πολίτας φησὶ τοῦ Θησέως Ἀθηναίους καὶ Τροιζηνίους. τούτων γὰρ ἀμφοτέρων πολίτης ἐστίν, ἐκ μὲν πατρὸς Ἀθηναίων, ἐκ δὲ μητρὸς Τροιζηνίων: — NAB

1159 ναίουσι καὶ γῆς τέρμονας: περὶ τὰ τέλη τῆς Τροιζῆνος. τέρμονας Τροιζῆνος τοὺς ὅρους φησίν: — NB

---

1 σοὶ om. N 2 in fine add. τινὲσ δὲ τὸ ἀστέφανοι κατ' ἐπίτασίν φασιν ἀντὶ τοῦ πολυστέφανοι ἔσονται τὸ α λέγοντεσ ἐπιτατικόν B 3 lemma ex NB σὴν om. B 5 φιλονεικία NB 9 lemma ex N ἐν τοῖς δακρύοις om. N καὶ ζήσω A βίον δυστυχῆ $B^1$ 10 scholio quod antecedit adi. A 11 scholio quod antecedit adi. A 12 scholio quod antecedit adi. A σχετλιάζω NA χαλεπαίνω $B^1$ in fine add. τοῖσ θεοῖσ A$B^1$ cf. Hesych. Suid. μηνίω ὀργίζομαι 13 lemma ex N 13. 14 αἱ — Ἱππολύτῳ om. A 14 ἀντὶ τοῦ om. N 16 in fine add. ὄντα αἴτιον $B^1$ 17. 18 scholio quod sequitur adi. A add. γὰρ post οἱ 17 lemma ex B καὶ om. A 19—21 scholio quod antecedit adi. B add. δὲ post πολίτας 19 lemma ex NA πολίτας om. N 20 πολιτῶν N 22 lemma ex NB 23 post τέρμονας add. γὰρ B

1161 διссὰς κατείληφε: τὰς δύο πόλεις, Τροιζῆνα καὶ Ἀθήνας: — NB

1162 ὡς εἰπεῖν ἔπος: ὡς ἐν συντόμῳ εἰπεῖν: — NA[g]B[1]

1163 δέδορκε: ἀντὶ τοῦ· μέλλει ἀποθνήσκειν: — NB[1]

1164 πρὸς τοῦ: μή τις ἐχθρὸς ἦν αὐτῷ; μὴ ἄρα γυναῖκά τινος ἔφθειρεν ὡς καὶ τὴν ἐμήν, κἀκεῖνος φονεύει αὐτόν: — NAB

1168 παιδὸς ἠράσω πέρι: ἡ περί ἀντὶ τῆς κατά, κατὰ τοῦ σοῦ παιδός: — NB

1169 ὡς ἄρ' ἦσθ' ἐμός: ὦ Πόσειδον, ὄντως ἔμαθον ὅτι ἐμὸς εἶ πατήρ: — NAB

1172 ἔπαισεν αὐτὸν ῥόπτρον: ἡ ῥομφαία, ὅ ἐστιν εἶδος ξίφους, καὶ ἡ πάγη καὶ τὸ ἐπίσπαστρον: — NB

ἄλλως: πλῆγμα. κυρίως δὲ [ῥόπτρον τὸ τῆς δίκης] ῥόπαλον: — NB

ῥόπτρον: ἡ πάγη. ἀπὸ τοῦ ῥαπίζειν: — B

1173 ἡμεῖς μὲν ἀκτῆς: ἡμεῖς μὲν ἐν τῷ αἰγιαλῷ τῷ δεχομένῳ τὰ κύματα ἐφιλοκαλοῦμεν τοὺς ἵππους, κλαίοντες ἐπὶ τῇ φήμῃ τῆς ἐξορίας τοῦ Ἱππολύτου: — NAB

1174 ψήκτραισιν ἵππων: ἀπὸ τοῦ καταψήχειν ὠνομάσθη ψήκτρα: — NB

1176 ὡς οὐκέτ' ἐν γῇ: ὅτι ὁ Ἱππόλυτος φεύγει τὴν ἰδίαν γῆν καὶ πόλιν: — NAB

---

1 scholio quod antecedit adi. B initio add. ἀστυγείτονασ δὲ πόλεισ   πόλεισ N φησὶ B   5 lemma ex NB   μὴ — αὐτῷ om. A   μὴ — ἦν om. B   post αὐτῷ add. δηλονότι B   6 κἀκεῖνος — αὐτόν] καὶ διὰ τοῦτο ἐφονεύθη A   7 lemma ex N   κατὰ om. N   9. 10 scholio quod antecedit adi. B   9 lemma ex N   11 lemma ex N   11. 12 Eust. p. 381,22 [= p. 501,19 cf. p. 1429,2] ῥόπτρον ... δίκης ἔπαισέ τινα, ἤγουν θεόθεν τιμωρία ὡς ἀπὸ τοῦ ῥόπτρου, ὅπερ ἐστὶ κατὰ τοὺς παλαιοὺς πλῆγμα ἢ ῥόπαλον. ἢ καὶ ἄλλως· πάγη, ῥομφαία, εἶδος ξίφους, ἢ ἐπίσπαστρον cf. Phot. Suid. lex. Bachm. p. 359,23 et. Gud. p. 493,55 ῥόπτρον ῥόπαλον ἢ παγὶς ἢ τιμωρία. Hesych. ῥόπτρον ῥόπαλον. ἢ τὸ ἐπικαταπῖπτον τῆς παγίδος καὶ συλλαμβάνον [cf. et. m. p. 715,44 schol. Aristoph. Ach. 678 Suid. s. u. σκανδάληθρα]. καὶ τὸ ἐπίσπαστρον τῆς θύρας   11 ἡ om. N   post ξίφους add. ὡσ N   12 ἐπίπαστον N ἐπίπαστρον B   13 ῥόπτρον — δίκης deleui   τὸ om. N   16 lemma ex NAB   19 lemma ex N   21 lemma ex N   ὅτι om. A   post Ἱ. add. φησὶ A   φεύγει AB φέγη N   τῇ N   21. 22 γῆν καὶ om. A

1178 δακρύων ἔχων μέλος: στεναγμόν. τουτέστι στενάζων. ἀντὶ τοῦ θρηνῶν. οὐ περὶ ἄλλων δακρύων, ἀλλὰ περὶ ὧν καὶ ἡμεῖς: — NA

ἀντὶ τοῦ· τὸν αὐτὸν στενάζων στεναγμόν: — B

1179 μυρία δ' ὀπισθόπους: ἀντὶ τοῦ· πολλὴ προπομπή, πολλὴ ἄθροισις ὄπισθεν ἀκολουθοῦσα τοῦ Ἱππολύτου: — NAB

1182 τί ταῦτ' ἀλύω: δυσφορῶ. λείπει ἡ διά, διά τί ἀδημονῶ καὶ θρηνῶ· οὐκ ἐγχωρεῖ μὴ πεισθῆναί με τοῖς λόγοις τοῦ πατρός μου καὶ ἀναχωρῆσαι ἐκ ταύτης τῆς γῆς: — NAB

1186 ἐξηρτυμένας: ἡτοιμασμένας. ἀντὶ τοῦ· ταχέως, ἅμα τοῖς λόγοις καὶ πρὸ τοῦ πληρῶσαι αὐτὸν τὸν λόγον, παρεστήσαμεν αὐτῷ τὸ ἅρμα: — NAB

1188 μάρπτει δὲ χερσίν: εἰώθασιν οἱ ἁρματηλάται περιάπτειν τὰ λῶρα τῇ ἄντυγι, ὅπως δοκοῖεν οἱ ἵπποι ὑπό τινος ἄγχεσθαι· ὡς ὁ ποιητής [E 262] 'ἐξ ἄντυγος ἡνία τείνας': — NAB

ἄλλως: λαμβάνει τοὺς χαλινοὺς ἐν ταῖς χερσὶ καὶ κρατεῖ ἐκ τοῦ ἅρματος: — NB

1189 αὐταῖσιν ἀρβύλαισιν: ταῖς τοῦ ἅρματος περὶ τὴν ἄντυγα, ἔνθα τὴν στάσιν ἔχει ὁ ἡνίοχος: — NAB

1190 καὶ πρῶτα μὲν θεοῖς: ἀντὶ τοῦ· ηὔξατο τοῖς θεοῖς τὰς χεῖρας ἀνατείνας: — NB

1192 αἴσθοιτο δ' ἡμᾶς: καὶ μάθοι ὁ πατὴρ ὅτι ἀτιμάζει με. ἑνικῷ πληθυντικὸν ἐπήγαγεν, διὸ τὸ $\overline{\chi}$: — NAB

1194 ἐπῆγε κέντρον: ἀντὶ τοῦ· τὴν μάστιγα ἐπὶ τοὺς ἵππους μετήνεγκεν: — NB[1]

---

1 lemma ex N 1. 2 στεναγμόν — ἀντὶ τοῦ] ὁ δ' ἦλθε A 5. 6 scholio quod antecedit adi. B 5 lemma ex NA πολλὴ (prius)] μυρία A 6 ἀκολουθοῦσα ὄπισθεν A 7 lemma ex NA δυσφορῶ om. B λείπει — διά] λέγει δὲ A διὰ τί] διὰ τί δυσφορῶ τί B 10 lemma ex NA ἀντὶ τοῦ om. N 11. 12 αὐτῷ — ἅρμα] αὐτοὺσ τῷ δεσπό^τ N 13 lemma ex NAB 14 τὰ χῶρα N τῷ λώρῳ A ἄγχεσθαι NAB, non mutaui cl. schol. E 262 T ἵνα δοκῶσιν ὑπό τινος ἄγχεσθαι 18 lemma ex NAB [ἀρβύλῃσιν N αὐτοῖσιν ἀρβύλαισιν A] 18. 19 Eust. p. 599,22 κεῖται καὶ ἀρβύλη οὐκ ἐπὶ ὑποδήματος ἐν τῷ 'αὐταῖσιν ἀρβύλῃσιν ἁρμόσας πόδα', αἳ δηλοῦσι τὸ περὶ τὴν ἄντυγα τοῦ ἅρματος μέρος, ἔνθα, φασίν, ἡ τοῦ ἡνιόχου στάσις ἐστί 18 τῶν ἁρμάτων N 20 lemma ex NB 22 lemma ex NAB 23 τὸ ἑνικὸν εἰσ A διὸ τὸ $\overline{\chi}$ om. N

1195 ἐφ' ἅρματος: ἀντὶ τοῦ· παρὰ τῷ ἅρματι, ὡς τὸ [Z 273. 303] ''Ἀθηναίης ἐπὶ γούνασιν': — NAB[1]

1197 κἀπιδαυρίας ὁδόν: ἔνθα ἐτιμᾶτο ὁ Ἀσκληπιός. σεσημείωται δὲ ὅτι οὐ λέγουσι τὴν ἐπ' εὐθείας τοπικῶς: — NB[1]

1200 ἤδη κειμένη: τὸ ἤδη πρὸς τὸ ἔρημον: — NB[1]

† Σαρωνικόν: Σαρωνικὸς κόλπος ἐστὶ πρὸς τῇ Κορίνθῳ ἱερὸς Ἀρτέμιδος, ἐν ᾧ φασὶ τὴν Σκύλλαν ὑπὸ Μίνωος ἑλκυσθῆναι. ὄνομα οὖν ἐστι πελάγους, ὀνομασθὲν ἀπό τινος Σάρωνος κυνηγοῦ· οὗτος διώκων ἔλαφον εἰς τὸ πέλαγος κατέπεσεν καὶ ἐκεῖ ἐπνίγη. ἄλλοι δέ φασιν ὅτι ἐκ τῆς Σκύλλης τῆς θυγατρὸς τοῦ Νίσου τοῦ ἀδελφοῦ τοῦ Αἰγέως καὶ Πάλλαντος. οὗτος γὰρ ᾤκησεν εἰς Μέγαρα, ἐάσας τοὺς ἀδελφοὺς μαχομένους περὶ τῆς βασιλείας. καὶ ἦν εἱμαρτὸν μὴ παραληφθῆναι τὸν τόπον ἐν ᾧ ἦν ὁ Νῖσος, ἕως εἶχε τὸν χρυσοῦν πλόκαμον ἐν τῇ κεφαλῇ αὐτοῦ. ὁ οὖν Μίνως στρατοπεδεύσας κατ' αὐτοῦ οὐκ ἠδυνήθη παραλαβεῖν [ἕως οὗ εἶχε τὸν χρυσοῦν πλόκαμον]. ἡ δὲ θυγάτηρ αὐτοῦ Σκύλλα θεωρήσασα τὸν Μίνωα ἐφίλησεν αὐτὸν καὶ συνετάξατο αὐτῷ προδοῦναι τὴν

---

1 lemma ex NA [ὁ δ' ἅρματοσ N] ἀντὶ τοῦ om. N περὶ NA 1. 2 ὡς—γούνασιν om. N 2 cf. Aristonic. ad Z 273. 303 4 δὲ om. B[1] οὐ om. N ἐπ' εὐθείας τοπικῶς scripsi ἐπευθεικό^τ N ἐπ' εὐθείασ B[1] cf. Phot. s. u. εὐθὺ Λύκειον καὶ Εὐριπίδης οὐκ ὀρθῶς 'τὴν—ὁδόν' schol. E 649 Ammon. p. 62 Moer. p. 195, 27 6 lemma ex N ἱερὸσ B ἱερὸν NA cf. Pausan. 2, 30, 7 ἔλεγον δὲ ὅτι οὗτος [Saro] τῇ Σαρωνίδι τὸ ἱερὸν Ἀρτέμιδι ᾠκοδόμησεν ἐπὶ θαλάσσῃ τελματώδει καὶ ἐπιπολῆς μᾶλλον ὥστε καὶ Φοιβαία λίμνη διὰ τοῦτο ἐκαλεῖτο 7 φησὶ A μίνω A 8. 9 cf. Pausan. l. l. schol. Dionys. perieg. 420 8 οὗτοσ AB ὃσ N 9 εἰσ τὸ πέλαγοσ κατέπεσεν N ἐμάνη [ἔμηνε A] καὶ ἡ ἔλαφοσ διωκομένη ἔρριψεν ἑαυτὴν εἰσ τὸ πέλαγοσ καὶ αὐτὸσ δὲ [δὲ om. A] τῇ μανίᾳ φερόμενοσ ἑαυτὸν ἔρριψεν [ἔρριψεν ἑαυτὸν A] εἰσ τὸ [αὐτὸ add. A] πέλαγοσ AB ἀπεπνίγει B 10 τοῦ νίσου N τῆσ νόσου A νίσου B 11 τάλαντοσ A οὕτω A post ἀδελφοὺς add. αὐτοῦ B 12 ἥμαρτον A 12. 13 τὸν—Νῖσος] τὴν νῆσον A cf. Hygin. 198 *cui responsum fuit tamdiu eum regnaturum quamdiu eum crinem custodisset* Seru. ad Verg. ecl. 6, 74 13 ἕως scripsi ὃσ NB ἐφ' ὅσον A τὸν om. NB χρυσοῦν πλόκαμον cf. Tzetz. in Lycophr. 650 τὴν χρυσῆν τρίχα Prob. in Verg. p. 23, 7 K. *crinem habentis aureum* 14 οὖν NB δὲ A παραβαλεῖν N παρασχεῖν A 14. 15 ἕως—πλόκαμον del. Wil 14. 15 ἕωσ οὗ NB ὅσον A 15 χρυσὸν N om. A θὴρ A 15. 16 θεωρήσασα] Prob. l. l. *pulcrum Minoem e muris prospectauit et adamauit*

πόλιν, εἰ λάβοι αὐτὴν γυναῖκα. ὁ δὲ συνέθετο· καὶ παραγενομένη τέμνει τοῦ τεκόντος τὸν πλόκαμον καὶ τὴν πόλιν προὔδωκε. καὶ μετὰ τὸ παραλαβεῖν τὴν πόλιν ἔλαβεν αὐτὴν ἐπάνω τοῦ πλοίου καὶ ἔδησεν αὐτὴν εἰς τὸ πηδάλιον καὶ ἐν τῇ θαλάσσῃ καθῆκεν καὶ ἔμεινε συρομένη ἐν αὐτῇ καὶ διὰ τοῦτο ἐκλήθη Σαρωνικὸν τὸ πέλαγος. ἐκπεσοῦσα δὲ ἐν τῇ θαλάσσῃ καὶ θηρίον γενομένη τὴν οἰκείαν φύσιν μετέβαλεν οὐδαμῶς: — NAB

1206 ἀκτὰς ἀποβλέψαντες: εἰς δὲ τὰς πέτρας τὰς ὑπὸ τῶν κυμάτων κλυζομένας ⟨ἀποβλέψαντες⟩ ἐθεωρήσαμεν τὸ κῦμα μέχρι τοῦ οὐρανοῦ ἀνερχόμενον, καὶ τοσοῦτον ὑψηλὸν ἦν τὸ κῦμα ὥστε μηκέτι καθορᾶν ἡμᾶς τὸ ὄρος τοῦ Σκείρωνος. ἐκ τοῦ ὕψους τοῦ κύματος οὐκέτι ἑωρῶμεν τὴν Σκειρωνίδα ἀκτήν: — NAB

ἱερόν: ἀντὶ τοῦ μέγα: — NB[1]

1207 γειτνιάζον ἐγγίζον: — A[g]B[1]

1210 κἄπειτ' ἀνοιδῆσάν τε: τὸ κῦμα εἰς ὕψος ἠρμένον. ἰσθμὸν δὲ τὴν στενὴν γῆν τὴν κυκλουμένην ὑπὸ τῶν ὑδάτων: — NAB

διαφέρει δὲ ἰσθμὸς πορθμοῦ. ἰσθμὸς μὲν γάρ ἐστιν ὁ μεταξὺ δύο θαλασσῶν πορεύσιμος τόπος, πορθμὸς δὲ τὸ ἀνάπαλιν: — A

---

1 Prob. l. l. *petens praemium nuptias* λάβει N λάβη A συνέθετο B συνετάξατο NA 1. 2 παραγενομένη — πόλιν om. A 2 προὔδωκε Wil παρέδωκεν N παρέδωκε AB 3 post παραλαβεῖν add. αὐτ' N 4 πηδάλιον scripsi πλοῖον NAB cf. schol. Dionys. per. 420 [ex Parthenii Metamorphosesin] προσδήσας αὐτὴν πηδαλίῳ νεὼς εἴασεν αὐτὴν ἐπισύρεσθαι ὅθεν Σαρωνικὸς οὗτος ὁ πόντος ἐκλήθη Apollod. III 15, 8, 2 τὴν κόρην τῆς πρύμνης ἐκδήσας ὑποβρύχιον ἐποίησε Tzetz. ad Lycophr. 650 ἐν — καὶ om. AB αὐτῇ N τῇ θαλάσσῃ AB 5 ἐκλήθη σαρωμ' πέλαγος N σαρώνιον πέλαγος ἐκλήθη A ἐκλήθη τὸ πέλαγος σαρωνικὸν B 5. 6 ἐκπεσοῦσα — οὐδαμῶς om. A 6 γινομένη B οὐδαμῶς μετέβαλεν B 7 lemma ex AB 7—11 scholio quod sequitur adi. N 7 ἀπὸ A 8 κλυζομένου N ἀποβλέψαντες addidi 9 ἦν ὑψιλὸν N τὸ κῦμα om. B 10 τοῦ ὄρους N post ὕψους add. φησὶ B 11 οὐκέτι — ἀκτήν om. A ἑωρῶμεν N ἑώρων B 12 lemma ex B[1] cf. schol. K 56 Π 407 Apollon. soph. p. 90, 12 Hesych. s. u. ἱερόν. ἱερὸν ἰχθῦν et. m. p. 468, 12. 25 Gud. p. 273, 15. 19 Zon. p. 1094 lex. Bachm. p. 260, 24 13 γειτνιάζον om. A[g] cf. Eust. p. 495, 28 Εὐριπίδης δὲ ἐν τῷ 'κῦμα οὐρανῷ στηρίζον' ὑπερβολικῶς τε ἔφη ... καὶ οὐδ' ἀνελλιπῶς εἰ μή τις τὸ στηρίζον ἀντὶ τοῦ ἐγγίζον εἴπῃ καὶ στηριζόμενον 14 lemma ex NB 15 ἴσθμιον A τῶν om. A 16. 17 cf. et. m. p. 477, 22 Gud. p. 282, 48 Zon. p. 1122 Suid. Phot. s. u. ἰσθμός. πορθμός lex. Bachm. p. 263, 20. 346, 25 Ammon. p. 76 schol. δ 671

καὶ πέριξ ἀφρόν: ἀναφυσηθέν: — N

1212 οὗ τέθριππος ἦν ὄχος: ὅπου τὸ ὄχημα τὸ ἐκ τεσσάρων ἵππων ἐζευγμένον, ⟨τὸ⟩ τοῦ Ἱππολύτου: — NAB

1215 οὗ πᾶσα μὲν χθών: οὕτινος ταύρου βοῶντος πᾶσα ἡ γῆ φωνῆς ἐπληρώθη: — N$B^1$

1216 φρικῶδες: ἰσχυρόν: — N

1217 κρεῖσσον θέαμα: οἷον· ὑπὲρ θέαν ἦν τὸ ἐκτεθὲν ὡς μηδὲ φέρειν τὴν φωνὴν τὰς ἀκοὰς μηδὲ τὴν θέαν τὰ ὄμματα: — N$B^1$

δεργμάτων: ἀποσκοπῆς τῶν ὀφθαλμῶν: — N$B^1$

1219 καὶ δεσπότης μὲν ⟨ἱππικοῖς⟩ ἐν ἤθεσι: μελέταις. συνήθειαν πολλὴν ἔχων ἐν τῷ ἱππεύειν: — NB

ἄλλως: ὁ μὲν Ἱππόλυτος διὰ τὸ μὴ θροηθῆναι τοὺς ἵππους αὐτοῦ ἐπέπεσεν αὐτοῖς καὶ ἔσφιγξε τοὺς χαλινούς: — NB

1220 ἥρπασ' ἡνίας χεροῖν: ἐκράτησεν ἀνέτεινεν: — N$B^1$

1221 ἕλκει δὲ κώπην: τὸ ἑξῆς· ἕλκει δὲ ἱμᾶσιν εἰς τοὔπισθεν ἀρτήσας δέμας ὡς ναύτης κώπην: — NAB

ἄλλως: ὥσπερ δὲ ναύτης ζάλης οὔσης κρατεῖ τὸ πηδάλιον καὶ σῴζει τὴν ναῦν, οὕτω καὶ ὁ Ἱππόλυτος τὰ λῶρα ἐκράτει: — NAB

1222 ἀρτήσας: ἐκκρεμάσας τὸ σῶμα: — N$B^1$

1223 αἱ δ' ἐνδακοῦσαι: αἱ δὲ πῶλοι ἐνδακοῦσαι καὶ κρατήσασαι τοὺς χαλκοῦς χαλινοὺς τοὺς ἐκ πυρὸς γενομένους ἐν ταῖς σιαγόσιν: — NAB

1225 οὐδ' ἱπποδέσμων: καὶ μήτε τοῦ ἡνιόχου φροντίδα ποιούμεναι μήτε τῶν χαλινῶν: — NAB

οὐ φροντίζουσαι τοῦ εὐκατασκευάστου ἅρματος: — N$B^1$

---

2. 3 scholio p. 127, 14. 15 adi. B initio add. καὶ τέθριππος ὄχος et om. ὅπου 2 lemma ex N 3 ζευγνύμενον A τὸ addidi in fine add. δηλονότι B 5 φωνῆ N 7 initio add. ἰσχυρότερον τῆς θέας $B^1$ ἐκτεθὲν Wil ἐκταθὲν $B^1$ ἐκφανὲς N 8 μηδὲ $B^1$ καὶ N τὰ om. N 9 cf. Hesych. δεργμάτων ὄψεων ὀμμάτων 10 lemma ex N [ἱππικοῖς addidi, καὶ δεσπότης μὲν: ἤθεσι B] μελέταις N τῆς μελέτης καὶ τῆς ἐμπειρίας B 12 initio add. καὶ B 14 ἐκράτησεν ego ἀνεκράτησεν N ἀνέκρουσεν $B^1$ 15 lemma ex NAB post ἱμᾶσιν add. κώπην δὲ τὴν μάστιγα νῦν λέγει ἕλκει δὲ AB post τοὔπισθεν add. ἱμᾶσιν AB 16 in fine add. ἕλκων εἰς τοὔπισθεν AB 18 διασώζει A 19 ἐγκρεμάσας N τὸ σῶμα scripsi τὸ δῶμα N om. $B^1$ 20 lemma ex NA ἐνδακοῦσαι καὶ κρατήσασαι Wil δακοῦσαι καὶ ἐγκρατήσασαι NAB 21 in fine add. καὶ διάπυροι γενόμεναι ἔτρεχον AB 22. 23 scholio quod antecedit adi. A 22 lemma ex NB

κεὶ μὲν εἰς τὰ μαλθακά: καὶ εἰ μὲν εἰς τὰ ἁπαλὰ καὶ ἰσόπεδα τὸν δρόμον ἐποίει, ἐφαίνετο ὁ ταῦρος ἔμπροσθεν τῶν ἵππων καὶ ἐθρόει αὐτούς· εἰ δὲ εἰς τὰ ὄρη ἀπέφερον αὐτὸν οἱ ἵπποι, ὄπισθεν περιεπάτει ὁ ταῦρος: — NAB

1231 σιγῇ πελάζων: προσπελάζων ὁ ταῦρος τῇ περιφερείᾳ συνηκολούθει: — NAB

1232 εἰς τοῦθ': ἕως, μέχρι τούτου: — N

κἀνεχαίτισεν: ἕως οὗ ἔρριψεν αὐτόν: — NA^{g}B^{g}

1233 ἁψῖδα τὸν τροχὸν ἐκάλεσεν: — NB¹

1234 σύριγγες: αἱ χοινικίδες, αἱ πλῆμναι: — N

1235 ἐνήλατα: τὰ ἐμβαλλόμενα ταῖς χοινικίσιν: — NAB¹

ἐνήλατα: οἱ πασσαλίσκοι οἱ πρὸς τῷ ἄξονι, τὰ καλούμενα ἁμαξηδόνια. αἱ χνόαι ἢ τὰ ἐμβαλλόμενα [πρὸς] τῷ ἄξονι, ὥστε μὴ ἐξιέναι τὸν τροχόν: — NAB

ἄλλως: τὰ μικρὰ ξύλα τὰ ὡσανεὶ ἧλοι πεπηγμένα ἐν τῷ ἄξονι: — A

1239 θραύων δὲ σάρκας: ἀντὶ τοῦ θραυόμενος. συντριβόμενος τὴν κεφαλὴν ἐν ταῖς πέτραις: — NAB

1240 στῆτ' ὦ φάτναισι: ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετέβη: — NAB¹

1242 σῶσαι: σώζειν βοηθεῖν: — NB¹

1247 ἵπποι δ' ἔκρυφθεν: οἷον· οἱ δὲ ἵπποι καὶ τὸ σημεῖον τοῦ ταύρου οὐδαμοῦ ἐφάνησαν: — NAB

---

1 lemma ex NAB 2 ἐπόνει A ἐποιεῖτο B 3 ἐπέφερον NA 4 ταῦροσ NB ἵπποσ A 5. 6 scholio quod antecedit adi. B initio add. καὶ et om. ὁ ταῦρος 5 lemma ex N 8 οὗ om. A^{g}B^{g} 10 πλῆγμαι N Eust. p. 598, 35 προσενθυμητέον . . καὶ ἃ εἶπον οἱ παλαιοὶ παρ' Εὐριπίδῃ ἐν τῷ 'σύριγγες τροχῶν' καὶ 'ἐνήλατα' ὡς χρήσιμα πρὸς εἴδησιν καὶ αὐτά. φασὶ γὰρ ὅτι σύριγγες χοινικίδες πλῆμναι. cf. Suid. s. u. σῦριγξ schol. Soph. El. 721 11 lemma ex N ἐμβαλλόμενα A συμβαλλόμενα NB¹ pergit Eust. l. l. ἐνήλατα δὲ τὰ ταῖς χοινικίσιν ἐμβαλλόμενα. ἢ πασσαλίσκοι κωλύοντες ἐξιέναι τὸν τροχόν, τὰ καλούμενα, φασίν, ἁμαξηδόνια 12—14 scholio quod antecedit adi. A 12 lemma ex NB 13 αἱ χνόαι om. A πρὸς deleui 17 lemma ex NAB post θραυόμενος add. ἤτοι B 18 post συντριβόμενος add. κατακλώμενοσ B 19. 20 scholio quod antecedit adi. A 22 lemma ex NAB οἷον om. A 23 οὐδαμοῦ A οὐδαμῶσ NB in fine add. ἀλλ' ἀφανῆ ἐγένοντο ἀφ' ἡμῶν B

1248 λεπαίας οὐ κάτοιδ' ὅπου χθονός: κατὰ τὸ ἐξέχον καὶ ὑψηλὸν μέρος τῆς ὀρείας γῆς. τῆς ὀρεινῆς, παρὰ τὸ λελεπίσθαι: — NAB

1250 οὐ δυνήσομαί ποτε: οὐδαμῶς ἔχω πιστεῦσαι ὅτι κακὸς ἐφάνη ὁ ἐμὸς δεσπότης: — NAB

1252 οὐδ' εἰ γυναικῶν: οὐδὲ ἐὰν καὶ τὸ γένος τῶν γυναικῶν ὅλον ἀποθάνῃ: — NAB

1253 καὶ τὴν ἐν Ἴδῃ: ἄδηλον, ποίαν Ἴδην. ἀντὶ τοῦ· οὐδὲ ἐὰν πληρώσῃς γραμμάτων πάντα τὰ ξύλα τῆς Ἴδης. Ἴδη δὲ ὄρος σύνδενδρον ἐν Τροίᾳ: — NAB

1256 οὐδ' ἔστι μοίρας: τοῦ δέοντος καὶ μεμοιραμένου καὶ ἀναγκαίου οὐκ ἔστιν ἀπαλλαγή. τὸ δὲ χρεὼν μετοχή ἐστιν, ἐπιρρηματικὴν σύνταξιν ἔχουσα: — NAB

1257 μίσει μὲν ἀνδρός: τραγῳδεῖ Θησεύς· ἐπειδή, φησί, μισῶ αὐτόν, ἐχάρην· ἀλλὰ πάλιν τοὺς θεοὺς αἰσχυνόμενος λυποῦμαι: — NAB

1260 ἐπάχθομαι: λυποῦμαι: — N

1261 πῶς οὖν· κομίζειν ἢ τί χρή: ἀπὸ κοινοῦ τὸ χρή. ὁ δὲ νοῦς· πῶς οὖν κομίζειν χρὴ τὸν ἄθλιον ἢ τί χρὴ δράσαντας ἡμᾶς σῇ χαρίζεσθαι φρενί: — NAB

1263 σκόπει: — NB[g]

ἐμοῖς δέ: χρώμενος δὲ τοῖς ἐμοῖς βουλεύμασιν οὐδέποτε σκληρὸς γενήσῃ εἰς τὸν σὸν υἱόν: — NB

1268 σὺ τὰν θεῶν ἄκαμπτον: τὴν ἀμετάβλητον ἀκαταγώνιστον μὴ καμπτομένην περιάγεις: — NA

---

1—3 scholio quod antecedit adi. B initio add. λεπαίασ δὲ ἤτοι  1 lemma ex N  ἔξοχον A  2 post γῆς add. ἤτοι B  τὸ om. A  cf. Eust. p. 488, 20 λεπαία χθὼν τραγικῶς ἡ ὀρεινή  4 lemma ex N  οὐδαμῶσ ἔχω πιστεῦσαι N οὐδαμῶσ A οὐ δυνήσομαι ποτὲ πιστεῦσαι B  6. 7 scholio quod antecedit adi. AB  ὅλον τῶν γυναικῶν B  7 ἀπέθανεν A  8 lemma ex NA  post Ἴδην add. φησίν N  9 πληρώσειε NB  ante γραμμάτων add. φησίν N  Ἴδη δὲ] ὅ ἐστιν B  10 τῆι τροίαι B cf. Eust. p. 633, 34—36. 832, 60  11 lemma ex NAB  καὶ μεμοιραμένου NB τοῦ μεμοιρασμένου τοῦ δικαίου A  12 μετοχή ἐστιν NB μὲν ὁ χορὸσ A  13 σύντασιν ἔχει A  14 lemma ex NAB  15 αἰσχύνομαι λυπούμενοσ N in fine add. διότι ἐξ ἐμοῦ ὑπάρχει γεννηθεῖσ B  18 lemma ex N  22 lemma ex N  24 lemma ex N  τὴν ἀκαταγώνιστον A

ἄλλως: σύ, φησί, τὴν ἀνυπόταχτον τῶν θεῶν καὶ ἀνθρώπων φρένα περιάγεις καὶ ὑποτάσσεις, ὦ Ἀφροδίτη, σὺν τῷ Ἔρωτι: — NAB

1270 ἀμφιβαλών: περισκεπάσας. σκέπει γὰρ τῶν ἐρώντων τὴν θέαν, ἵνα καὶ τὰ ἄμορφα ἐράσμια ὁρῶμεν: — NB

1272 εὐάχητον: ἀποτελοῦντα μέγαν ἦχον: — NB[1]

1274 ᾧ μαινομένᾳ: ᾧτινι σὺν τῇ μαινομένῃ καρδίᾳ ἐφορμήσει πτηνὸς ὤν, θέλγει τοῦτον καὶ ἀπατᾷ: — NA[g]

1276 χρυσοφαής: ὁ Ἔρως ὁ χρυσοφαής, τουτέστιν· ὁ λαμπρὸς ὤν: — NAB

ἄλλως: οὐ προσηνὴς ὡς χρυσός, ἀλλὰ τὸ εἶδος χρυσοφαής: — NAB

1277 φύσιν ὀρεσκόων: φύσιν ἔχων θηρός, ἀντὶ τοῦ ἄγριος ὢν τοῖς ποθοῦσιν. καὶ τῶν ἐν θαλάσσῃ θηρίων φύσιν ἔχων καὶ τῶν ἐν τῇ γῇ. ὁ δὲ νοῦς τοιοῦτος· ᾧ ἂν ἐφορμήσῃ ἢ τῶν ὀρείων ἢ τῶν πελαγίων ἢ τῶν ἐν γῇ, ἣν ὁ ἥλιος καταλάμπει: — NAB

1279 τὰν ἅλιος: ταῖς αὐγαῖς ὁ ἥλιος θεωρεῖ: — NB[1]

1280 ἄνδρας τε: ἀντὶ τοῦ ἀνθρώπους κατ' ἐξοχὴν εἶπεν: — NB

1288 ψευδέσι μύθοις: εἰργάσω ἀφανῶς καὶ ἀνεξελέγκτως πεισθεὶς τοῖς ψευδέσι λόγοις τῆς σῆς γυναικὸς καὶ τοῦτο ποιήσας φανερὰν ἔσχες βλάβην: — NAB

1290 πῶς οὐχ ὑπὸ γῆς: τὸ πῶς οὐκ ἀπὸ κοινοῦ, ἵν' ᾖ οὕτως· πῶς οὐ πτηνὸς ἄνω μετελθὼν τὸν βίον πήματος ἔξω πόδα τόνδ' ἀνέχεις: — NAB

1292 μεταβὰς βίοτον: μεταβιβάσας, μεταβαλών, μεταλλάξας τὴν ζωὴν καὶ ἀλλοιωθεὶς εἰς ὄρνεον: — NAB

1293 ἀνέχεις: ἀναφέρεις: — NB[g]

---

1. 2 ἄλλως — περιάγεις om. N 1 ἀνυπόστατον A ἀνυπόταχτον ἤτοι ἀμετάβλητον καὶ ἀκαταγώνιστον καὶ μὴ καμπτομένην B 1. 2 καὶ ἀνθρώπων φρένα A φρένα καὶ τῶν ἀνθρώπων B 4. 5 scholio quod antecedit adi. B initio add. ἀμφιβαλὼν δὲ ἀντὶ τοῦ 8 θέλγει — ἀπατᾷ om. A[g] 9 lemma ex NAB ὁ ante Ἔρως om. A 11 ὡσ N ὁ AB 12 lemma ex NAB ἔχων om. A 14. 15 ὁ δὲ νοῦς — γῇ om. N 14 νοῦσ δὲ B 17 lemma ex NB ἀνθρώπους scripsi ἀνδρῶν N ἀνδρῶν ἄνδρασ B ἀνθρώπων Matthiae 18 lemma ex NA 20 ἔσχε A 21 lemma ex NAB [πῶσ δ' A] οὐχ om. N οὗ, B 22 τόνδ' om. A 23 ἂν ἔχησ N ἀναφέραι A 24. 25 scholio quod antecedit adi. B initio add. μεταβὰσ δὲ 24 lemma ex NA 25 καὶ ἀλλοιωθεὶσ NB τὸ ἀλλοιωθὲν A

1294 ὡς ἐν ἀγαθοῖς: τοῦτό φησιν· εἰς ἀγαθοὺς ἄνδρας οὐκέτι μετρηθήσεταί σου ὁ βίος: — NAB

1298 ἀλλ' εἰς τόδ' ἦλθον: ὁ ἀλλά ἀντὶ τοῦ γάρ. ἀντὶ τοῦ· φανερώσω τὴν σωφροσύνην τοῦ σοῦ παιδός: — NA[s]B

1300 καὶ σῆς γυναικὸς οἶστρον: ἢ τάχα οὐκ οἶστρον, ἀλλὰ τρόπον τινὰ τὴν ἐγκράτειαν καὶ σωφροσύνην: — NAB

γράφεται ψεῦστιν, ἤγουν τὴν ψευδολόγον: — B[1]

1301 γενναιότητα: γενναιότητα λέγει τὸ σπουδάσαι κρύψαι τὸν ἔρωτα: — NAB

1303 δηχθεῖσα κέντροις: συσχεθεῖσα τοῖς πόνοις τῆς Ἀφροδίτης, τῆς ἐχθίστης ἡμῖν τῶν θεῶν, ὁπόσαι εἰσὶν ἐν τῇ παρθενίᾳ, ἠράσθη τοῦ σοῦ υἱοῦ: — NAB

1304 γνώμῃ δὲ νικᾶν: τῷ λογισμῷ τοῦ μὴ θέλειν συγκαθεύδειν τῷ Ἱππολύτῳ διὰ τὸ μὴ προδοῦναι τὴν εὐνὴν τοῦ ἀνδρός: — NB

1306 ἣ σῷ δι' ὅρκων: ἥτις τροφὸς τῷ σῷ υἱῷ τὸν ἔρωτα ἐσήμανεν: — NA[s]B

1313 ἀλλ' ἔχ' ἥσυχος: ἀλλ' ἡσύχαζε, ὡς ἂν οἰμώζῃς πλέον τὸ μετὰ ταῦτα ἀκούσας: — NAB

1316 ὧν τὴν μίαν παρεῖλες: παρέπεμψας, ἀπώλεσας, ἀφεῖλες. ὧν ἐξεῖλες τὴν μίαν εὐχὴν, ἀπὸ τῶν τριῶν ὧν ἔλαβες ἀπὸ τοῦ πατρός, καὶ ἀπώλεσας τὸν υἱόν: — NAB

1329 οὐδεὶς ἀπαντᾶν: ἀντὶ τοῦ ἐμποδίζειν καὶ κωλύειν. οὐδείς, φησί, βούλεται τῇ προθυμίᾳ τοῦ θέλοντος θεοῦ παρεμποδίζειν: — N

1331 ἐπεὶ σάφ' ἴσθι: ἐπεὶ προεῖπεν παρὰ θεοῖς εἶναι νόμον τὸ μὴ ἀντιπράττειν ἀλλήλοις, φησὶν ὅτι, εἰ μὴ νόμος ἐκώλυεν, ἔσωσα ἂν αὐτὸν εὐσεβῆ τυγχάνοντα, μὴ εὐλαβουμένη τὸν Δία. ἐν τίνι γὰρ ἤμελλον αὐτὸν εὐλαβεῖσθαι μηδὲ νόμον λύουσα, ἀλλὰ καὶ εὐσεβῆ ἄνδρα

---

1 lemma ex NA   2 σοι A   3 lemma ex NB   5. 6 scholio quod antecedit adi. B initio add. καὶ τῆσ σῆσ γυναικὸσ τὸν οἶστρον   5 lemma ex N   6 τὴν σωφροσύνην B   8 scholio 5. 6 adi. AB ins. δὲ post γενναιότητα A γὰρ B   10 lemma ex NA   11 ἐχθίστησ B ἐχθήστησ N μισητῆσ A   ὁπόσουσ A   13. 14 scholio quod antecedit adi. B initio add. τὸ δὲ γνώμηι νικᾶν τὴν κύπριν πειρωμένηι ἀντὶ τοῦ   13 τοῦ B τὸ N   15 lemma ex NB   17 lemma ex NAB   οἰμώζησ A οἰμώζῃ N οἰμώξηι B τὸ NA τὰ B   19 lemma ex NB   20 ἐξεῖχεσ A   ὧν om. A   24 lemma ex NB   25 μόνοσ B   ἂν om. N   26 γὰρ om. N   26. 27 ἔμελλεν B

σῴζουσα; ὁ γὰρ ἀγαθὰ καὶ ἔννομα διαπραττόμενος ἐξουσίαν οὐ δέδοικε. καὶ γάρ, εἰ μὴ νόμος με εἶργε, μὴ κωλυομένη ὑπὸ Διὸς λοιπὸν ἀδεῶς ἐβοήθουν ⟨ἂν⟩ αὐτῷ: — NB

1338 τάδ' ἔρρωγεν κακά: συνερράγησαν συνέπεσον. συμβέβηκεν: — NAB

1346 θεόθεν καταληπτόν: κατέλαβε τὸν οἶκον: — N

1348 δύστηνος ἐγώ: ἐπειδὴ χρησμὸν ἔλαβε παρὰ τοῦ Ἀπόλλωνος ὁ Θησεὺς ὅτι εἰς ὃ ἂν εὔξηται τῷ Ποσειδῶνι, τρὶς τελειοῦται αὐτῷ. χρησμοῖς δὲ τοῖς αἰτήμασι, ταῖς κατάραις. εἰσὶ δὲ αἱ εὐχαὶ Θησέως πρὸς Ποσειδῶνα τρεῖς· πρῶτον ἀνελθεῖν ἐξ Ἅιδου, δεύτερον ἐκ Λαβυρίνθου, τρίτον Ἱππολύτου θάνατον: — NAB

1352 σφάκελος: ὁ μετὰ ὀδύνης σπασμός, κατὰ συγγένειαν τοῦ π εἰς φ: — NA[g]B[1]

1353 σχές, ἀπειρηκός: ἐπίσχες, ὡς ἂν μου τὸ σῶμα πεπονηκὸς καὶ ἤδη τῷ σπαραγμῷ ἀπεγνωσμένον διαναπαύσω. ἐβαστάζετο γὰρ ὑπὸ τῶν θεραπόντων: — N

1355 στυγνὸν ὄχημα: μεμισημένον. ἀντὶ τοῦ· ὦ ἵπποι μεμισημένοι, ὑπὸ τῆς ἐμῆς ἀνατραφέντες χειρός: — N

ὦ στυγνὸν ὄχημα: ἀντὶ τοῦ· ὦ τοῦ μισητοῦ ἱππασμοῦ: — N

1360 τίς ἐφέστηκεν: γράφεται ἐνδέξια χωρὶς τοῦ ι, ὡς τὸ [π 365] 'ἐνδέξια φῶτα ἕκαστον': — NB[1]

1361 σύντονα δ' ἕλκετε: ἀντὶ τοῦ συντόνως, ἤγουν ἁρμοδίως καὶ προσεχόντως καὶ συμφώνως, μὴ ὁ μὲν ἄνω, ὁ δὲ κάτω, ἀλλ' ἐξ ἴσου βαστάζετε. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν μουσικῶν τόνων: — NAB

1362 κατάρατον: ἀραῖς ἀπολλύμενον: — NB[1]

1366 γράφεται κατὰ γᾶς: — A[g]

1373 Παιάν: σωτὴρ καὶ ἰατρὸς προσέλθοι ὁ θάνατος: — NB[1]

1375 τῆς ἀμφοτέρωθεν κοπτούσης. γράφεται καὶ διστόμου: — B[1]

---

1 ὁ N καὶ B  1. 2 δέδωκεν N  2 μὴ (alterum) om. B  Διός Wil τινοσ NB  3 ἂν addidi  4. 5 scholio quod antecedit adi. B initio add. ἔρρωγε δὲ ἀντὶ τοῦ  4 lemma ex N  4. 5 ἢ συμβεβήκασιν A συμβεβήκασι B  7 lemma ex NB  8 εὔξη A  τρὶς ego τὸ τρίτον N τρίτον B om. A  τελειοῦται om. A  9 κατάραισ NB κατὰ κόραισ A  αἱ om. A  10 πρὸσ NB ὡσ A  τρεῖς om. A  15 ἤβη N  σπαρασμῷ N  22 lemma ex NB  σὺν τὸν N συντόμωσ A  24 δὲ om. B  25 ἀραῖσ N τὸν κατάραισ B[i]

λόγχας ἔραμαι: ἀντὶ τοῦ ἐπιθυμῶ. λείπει τὸ ὥστε, ὥστε διαμοιρᾶσαι, διατεμεῖν: — N

1378 ὦ πατρός: τινὲς τὸ ὦ σχετλιαστικὸν προφέρονται στίζοντες εἰς αὐτό, ἵν' ᾖ ἡ δύστηνος ἀρὰ τοῦ ἐμοῦ πατρὸς ἐπ' εὐθείας ὡς συναπτόμενον τοῖς ἑξῆς. τινὲς δὲ εἰς τὸ ἀρά τελείαν παρέχουσιν, ἵν' ᾖ καθ' ἑαυτὸ τὸ κῶλον καὶ ὁ τὲ σύνδεσμος ὁ ἑξῆς περιττός: — NAB

1380 προγεννητόρων: τὸ τῶν προγόνων κακὸν εἰς ἐμὲ ὁρίζεται καὶ φέρεται καὶ ἐπέρχεται εἰς τιμωρίαν: — NAB

ἄλλως: ἀπὸ τοῦ ὅρου ἐκείνων εἰς ἐμὲ ἔρχεται τὸ τῶν προγόνων μύσος, ἀναφέρει δὲ καὶ ἐπὶ τὸν τῶν Παλλαντιδῶν φόνον: — NAB

1381 μέλλει: βραδύνει: — N

1383 τί ποτε τὸν οὐδέν: λείπει ἡ διά, ἵν' ᾖ· διὰ τί. τὸ δὲ ποτὲ παρέλκει: — NB

τὸν οὐδέν: ἀπὸ κοινοῦ τὸ ἐπ' ἐμέ: — NB[1]

1390 τὸ δ' εὐγενές σε: ὅτι μὴ ἠθέλησας χρᾶναι τοῦ πατρὸς τὴν εὐνήν: — NB[1]

1391 ὦ θεῖον εὐωδίας πνεῦμα: — NB[1]

1397 οἱ 'Αττικοὶ κυναγὸν τὸν κυνηγὸν λέγουσι: — N

1401 ἐννοῶ τὴν θεάν, τίς μ' ἀπώλεσεν: — B

1402 τιμῆς ἐμέμφθης: ὅτι ἐμὲ ἐτίμας, ἐμέμφθης παρ' αὐτῆς. ἢ ὅτι οὐδὲ ὅλως ἐτίμας αὐτήν: — NAB

ἢ οὕτως· ἐμίσησέ σε σωφρονοῦντα διότι ἐμέμφθη ὑπὸ σοῦ καὶ οὐκ ἠξιώθη τιμῆς: — NAB

ἄλλως: ἐμέμφθης, φησί, τιμῆς χάριν τῆς ἐμῆς, ἀπεχθὴς δέ σοι ἡ 'Αφροδίτη ἐγένετο: — A

1413 τί δ'· ἔκτανες: τί μέμφῃ τὰς κατάρας; ἐφόνευσας γὰρ ἄν με καὶ χωρὶς αὐτῶν, οὕτως ἦσθα ὠργισμένος: — NAB

---

3 lemma ex N  4 εἰσ τὸ A  ᾖ ἡ] ἢ A  ἐπ' om. NB  ὡς ego καὶ NAB del. Wil  5 τοῖσ NA τὸ B  τινὲς δὲ scripsi τὰ δὲ NB τινὲσ A  7 lemma ex NAB  τὸ τῶν προγόνων A τῶν προγόνων τὸ B τῶν προγόνων N  9 ὅρουσ ἐκείνου A  τὸ om. N  10 τὸν om. A  12. 13 scholio 9. 10 adi. B initio add. εἰσ δὲ τὸ τί ποτε  12 post τί add. ἐπ' ἐμὲ τὸν οὐδὲν ὄντ' ἐπαίτιον κακῶν B  14 τὸ N ὁ B  15 ἠθέλησε N  20 lemma ex NA [ἐμέμφθη A, sed ἐμέμφθησ in uersu]  22 ἢ οὕτως scripsi ἢ ὅτι A ἄλλωσ ὅτι NB  ἐμίσει B  22. 23 καὶ — τιμῆς om. N  26 lemma ex NAB  κατάρασ NB κόρασ A  γὰρ] ὦ N  27 ἦστα A

ἄλλως: καὶ ἄνευ τῆς κατάρας ἀπώλεσας ἄν με ἐκ τῆς ὀργῆς. τοῦ λογισμοῦ: — NAB

1414 δόξης γάρ: τῆς ὀρθῆς δοκήσεως τοῦ δικαίου, τῆς ἀληθείας ἠπατημένοι: — NA[g]B

1415 εἴθ' ἦν ἀραῖον: εἴθε ἦν καταρᾶσθαι ἄνθρωπον θεῶν, ἵνα ἀμύνηται τὸν Ποσειδῶνα. ὑπὸ καταρῶν τοῖς θεοῖς: — NAB

1421 ὃς ἂν μάλιστα: ἐγὼ γὰρ ἐκ τῆς ἐμῆς χειρὸς σὺν τοῖς ἀφύκτοις βέλεσι τιμωρήσομαι ἄλλον, ὅστις ἂν τύχῃ φίλτατος αὐτῆς, τῆς Ἀφροδίτης, ἀπὸ τῶν ἀνθρώπων. εἰς τὸν Ἄδωνιν δὲ αἰνίττεται, ὥς τινες, λῆρος δὲ τὸ τοιοῦτον. οὐ γὰρ τόξοις Ἀρτέμιδος ἀπώλετο Ἄδωνις, ἀλλ' ὑπ' Ἄρεως. ἄδηλον οὖν τίνα φησί: — NAB

1424 ἐν πόλει Τροιζηνίᾳ: ἐν Τροιζῆνι γὰρ ἠρίον Ἱππολύτου ἐν ᾧ ἀποκείρονται αἱ μελλόνυμφοι: — AB

1427 διὰ τοῦ μέλλοντος χρόνου ἀπολαύουσαι πένθη: — B

1437 ἐμοὶ γὰρ οὐ θέμις: καὶ ἐν τῇ Ἀλκήστιδι [22. 23] ὁ Ἀπόλλων 'ἐγὼ δέ, μὴ μίασμά μ' ἐν δόμοις κίχῃ, λείπω μελάθρων τῶνδε φιλτάτην στέγην': — NB

1441 μακράν: τὴν πολυχρόνιον καὶ παλαιάν: — NB[i]

1442 χρῄζούσης: βουλομένης σου καὶ κελευούσης: — NB[i]

1445 κατόρθωσον: ὀρθὸν κατάκλινον, ὅπερ εἰώθασι ποιεῖν ἐπὶ τῶν ἀποθνῃσκόντων: — NA[g]B

1448 γράφεται φρένα: — B[i]

1462 κοινὸν τόδ' ἄχος: κοινὸν τοῦτο τὸ πάθος πᾶσι τοῖς πολίταις κατέλαβεν ἀπροσδοκήτως. τοῦτο δὲ ὁ χορὸς ἐπιλέγει Ἱππολύτου ἀποθανόντος: — NAB

---

1 καὶ AB κἂν N distinxit Rei 3 lemma ex N ante τῆς add. καὶ B 5 lemma ex NA θεῶν ego θεὸν A θεῷ NB 6 ὑπὸ καταρῶν corruptum ὑπὸ — θεοῖς om. A καταρᾶν N 7 lemma ex N γὰρ om. N σὺν scripsi ἐν NAB 8 ἄλλον AB μᾶλλον N 9 δὲ om. A 10 post τινες add. φασιν A ὁ ἄδωνισ A 11 ἀπ' ἄρεοσ A τι A 10 lemma ex A τροιζηνίῳ A γὰρ ἠρίον A ἱερὸν B 13 ἐν om. B 14 πένθη scripsi ἐν ἤθει B 15 lemma ex N τῇ om. N 17 φιλτάτων στέγειν B 19 σου καὶ κελευούσησ B[i] βουλευούσησ N 20 lemma ex N 23 lemma ex NA post κοινὸν add. φησὶ B 24 ἀπροσδόκητον N 24. 25 τοῦτο — ἀποθανόντος initio coll. B om. δὲ 24 λέγει N

1464 πίτυλος: ὁρμὴ φορὰ πλῆθος πλημμύρα. οἱ γὰρ ἀναξίως πάσχοντες θρῆνον ἐμποιοῦσιν: — NAB

1465 τῶν γὰρ μεγάλων: αἱ γὰρ ἀξιοπενθεῖς φῆμαι τῶν λαμπρῶν μᾶλλον ἐπικρατοῦσι: — NB

1466 μᾶλλον κατέχουσιν: ἀντὶ τοῦ μάλιστα, συγκριτικὸν ἀντὶ τοῦ ὑπερθετικοῦ: — NB

τινὲς καὶ τούτους τῷ τέλει προσάπτουσι· [Ἱππόλυτος] ὦ μέγα σεμνὴ Νίκη, τὸν ἐμὸν βίοτον κατέχοις καὶ μὴ λήγοις στεφανοῦσα: — A man. recentiss.

---

1 lemma ex NAB φορὰ NB φησι A πλῆθος om. B 3. 4 scholio quod antecedit adi. B 5. 6 scholio quod antecedit adi. B initio add. τὸ μᾶλλον γὰρ

# ΥΠΟΘΕΣΙΣ ΜΗΔΕΙΑΣ

Ἰάσων εἰς Κόρινθον ἐλθὼν ἐπαγόμενος καὶ Μήδειαν ἐγγυᾶται καὶ τὴν τοῦ Κρέοντος τοῦ Κορινθίων βασιλέως θυγατέρα Γλαύκην πρὸς γάμον. μέλλουσα δὲ ἡ Μήδεια φυγαδεύεσθαι ὑπὸ Κρέοντος ἐκ τῆς Κορίνθου, παραιτησαμένη εἰς μίαν ἡμέραν μεῖναι καὶ τυχοῦσα, μισθὸν τῆς χάριτος δῶρα διὰ τῶν παίδων πέμπει τῇ Γλαύκῃ ἐσθῆτα καὶ χρυσοῦν στέφανον. οἷς ἐκείνη χρησαμένη διαφθείρεται· καὶ ὁ Κρέων δὲ περιπλακεὶς τῇ θυγατρὶ ἀπόλλυται. Μήδεια δὲ τοὺς ἑαυτῆς παῖδας ἀποκτείνασα, ἐπὶ ἅρματος δρακόντων πτερωτῶν, ὃ παρ' Ἡλίου ἔλαβεν, ἔποχος γενομένη ἀποδιδράσκει εἰς Ἀθήνας κἀκεῖσε Αἰγεῖ τῷ Πανδίονος γαμεῖται. Φερεκύδης [frg. 74] δὲ καὶ Σιμωνίδης [frg. 204] φασὶν ὡς ἡ Μήδεια ἀνεψήσασα τὸν Ἰάσονα νέον ποιήσειε. περὶ δὲ τοῦ πατρὸς αὐτοῦ Αἴσονος ὁ τοὺς Νόστους ποιήσας φησὶν οὕτως [frg. 6]·

αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα
γῆρας ἀποξύσασ' εἰδυίῃσι πραπίδεσσι
φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησιν.

---

3 τοῦ (prius) om. BD    4 τοῦ ante ἐκ add. A    5 εἰς Nauck ὡσ D πρὸσ AB
6 καὶ ἐσθῆτα D    7 διαχρησαμένη AD    8 ἀπώλετο AD    αὐτῆσ A
10 — p. 138,2 schol. Ar. Equ. 1321 . . ἡ Μήδεια λέγεται, ὡς μὲν Αἰσχύλος ἱστορεῖ, τὰς τροφοὺς τοῦ Διονύσου ἀφεψήσασα ἀνανεάσαι ποιῆσαι μετὰ τῶν ἀνδρῶν αὐτῶν· ὡς δ' ὁ τοὺς Νόστους ποιήσας, καὶ τὸν Αἴσονα, λέγων οὕτως· 'αὐτίκα δ' Αἴσονα θῆκε φίλον κόρον ἡβώοντα γῆρας ἀποξύσασ' εἰδυίῃσι πραπίδεσσι φάρμακα πόλλ' ἕψουσ' ἐπὶ χρυσείοισι λέβησι'. Φερεκύδης δὲ καὶ Σιμωνίδης τὸν Ἰάσονα
11 φασὶν om. A    11. 12 ἑψήσασα D    14 αὐτίκα] ὅτου D    φιλόκορον A    ἡβόωντα AD ἡβώιωντα B    15 ἀποξύσασα Elmsley
ἰδυίῃσι B    16 χρυσίῃσι A χρυσέοισι BD

Αἰσχύλος δ' ἐν ταῖς Διονύσου τροφοῖς [frg. 50] ἱστορεῖ ὅτι καὶ τὰς Διονύσου τροφοὺς μετὰ τῶν ἀνδρῶν αὐτῶν ἀνεψήσασα ἐνεοποίησε. Στάφυλος [frg. 5] δέ φησι τὸν Ἰάσονα τρόπον τινὰ ὑπὸ τῆς Μηδείας ἀναιρεθῆναι. ἐγκελεύσασθαι γὰρ αὐτὴν οὕτως ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς αὐτὸν κατακοιμηθῆναι μελλούσης τῆς νεὼς διαλύεσθαι ὑπὸ τοῦ χρόνου. ἐπιπεσούσης γοῦν τῆς πρύμνης τῷ Ἰάσονι τελευτῆσαι αὐτόν: — ABD [= Laur. 31, 15]

τὸ δρᾶμα δοκεῖ ὑποβαλέσθαι παρὰ Νεόφρονος διασκευάσας, ὡς Δικαίαρχος * * τοῦ τῆς Ἑλλάδος βίου [frg. 10] καὶ Ἀριστοτέλης ἐν ὑπομνήμασιν [frg. 635]. μέμφονται δὲ αὐτῷ τὸ μὴ πεφυλαχέναι τὴν ὑπόκρισιν τὴν Μήδειαν, ἀλλὰ προπεσεῖν εἰς δάκρυα, ὅτε ἐπεβούλευσεν Ἰάσονι καὶ τῇ γυναικί. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν καὶ ἡ ἐπεξεργασία 'μηδ' ἐν νάπαισι [3]' καὶ τὰ ἑξῆς· ὅπερ ἀγνοήσας Τιμαχίδας τῷ ὑστέρῳ πρώτῳ φησὶ κεχρῆσθαι, ὡς Ὅμηρος [ε 264]· 'εἵματα δ' ἀμφιέσασα θυώδεα καὶ λούσασα': — AD Pal. 287

Ἀριστοφάνους: Μήδεια διὰ τὴν πρὸς Ἰάσονα ἔχθραν τῷ ἐκεῖνον γεγαμηκέναι τὴν Κρέοντος θυγατέρα ἀπέκτεινε μὲν ταύτην καὶ Κρέοντα καὶ τοὺς ἰδίους υἱούς, ἐχωρίσθη δὲ Ἰάσονος Αἰγεῖ συνοικήσουσα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

---

1 τροφαῖσ A 3—7 schol. us. 1387 3 φησι om. A τὸν Ἰάσονα om. D ὑπὸ τῆσ μηδείασ ante τὸν Ἰ. coll. A 4 ἐκκελεύσασθαι ABD αὐτὴ D 6 ἐμπεσούσησ A γὰρ A 8—15 inter Μηδείας (p. 139, 2) et ἐδιδάχθη coll. Pal. 287 8. 9 cf. Diog. L. 2, 134 Suid. s. u. Νεόφρων 8—15 παρὰ—λούσασα om. A 8 παρὰ νεώφρονοσ (o superscr.) D παναιόφρονοσ Pal. 287 8—10 ὡς—ὑπομνήμασιν om. Pal. 287 9 * * τοῦ τῆς scripsi ἐν τῷ περὶ Kirchhoff τοῦ τε D [ὁ τὸν τῆς Ἑλλάδος βίον] *ita ut uerba uncis inclusa tanquam recens additamentum deleantur, Dicaearchus autem grammaticus ille cuius mentio fit in Arg. Soph. Ai. Oed. R. et Eur. Rhes.* Nauck, non bene 10 τὸ in τῷ corr. D om. Pal. 287 πεφυλαχέναι Nauck πεφυλακέναι D πεφυκέναι Pal. 287 11 τὴν Μήδειαν Bock τῇ μηδείᾳ D Pal. 287 προσπεσεῖν D Pal. 287 em. Kirchhoff 12—15 schol. ug. 1 14 τιμαχίασ Pal. 287 φησὶ πρώτω D κεχρῆσθαι om. Pal. 287 17 ἀριστοφάνουσ γραμματικοῦ ὑπόθεσισ BD om. Pal. 287 18 ante τὴν ins. γλαύκην Pal. 287 ταύτην καὶ Κρέοντα ego κρέοντα, superscripto γλαύκην B γλαύκην κρέοντα D γλαύκην καὶ κρέοντα Pal. 287 19 συνοικήσασα BD Pal. 287 corr. Lascaris

ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Κορίνθῳ· ὁ δὲ χορὸς συνέστηκεν ἐκ γυναικῶν πολιτίδων, προλογίζει δὲ τροφὸς Μηδείας.

ἐδιδάχθη ἐπὶ Πυθοδώρου ἄρχοντος ὀλυμπιάδος π̅ζ̅ ἔτει α̅. πρῶτος Εὐφορίων, δεύτερος Σοφοκλῆς, τρίτος Εὐριπίδης Μηδείᾳ Φιλοκτήτῃ Δίκτυι Θερισταῖς σατύροις. οὐ σῴζεται: — BD Pal. 287

---

1. 2 post 3—5 coll. D    3—5 om. B    3 ἐδιδάχθη δὲ D    πυθιοδώρου D Pal. 287 em. Brunck    ὀλυμπιάδι D    ἔτει α Matthiae ι̅δ̅ ε̅ι̅ D om. Pal. 287    4 φιλοκτήτησ D Pal. 287    5 δίκτι D δίκτυσ Pal. 287 θερισταὶ σάτυροσ D Pal. 287

# ΣΧΟΛΙΑ ΕΙΣ ΜΗΔΕΙΑΝ

1 τὸ ὤφελε τινὲς ἐπιρρηματικῶς δέχονται, ὡς τὸ [Call. epigr. 17, 1] ὤφελε μηδ' ἐγένοντο θοαὶ νέες', ἵν' ᾖ παράλληλον τὸ σχῆμα τῆς γραὸς συνεχέστερον ἀπευχομένης τῇ ἀφίξει τῆς Ἀργοῦς. ὁ δὲ ποιητὴς ῥῆμα αὐτὸ οἶδεν· 'οὐκ ὄφελον Τρώεσσι κοτεσσαμένη [Σ 367]'· 'μὴ ὄφελες λίσσεσθαι ἀμύμονα [I 698]'. ἐπαινεῖται δὲ ἡ εἰσβολὴ διὰ τὸ περιπαθῶς ἄγαν ἔχειν καὶ ταῖς ἐκβολαῖς εὖ κεχρῆσθαι: — B

ἄλλως: ἐπαινεῖται ἡ εἰσβολὴ διὰ τὸ παθητικῶς ἄγαν ἔχειν, εὖ δὲ καὶ [τὸ] ταῖς ἐκβολαῖς κεχρῆσθαι. πολὺ τὸ τοιοῦτον γένος παρ' Ὁμήρῳ. ὁ δὲ Τιμαχίδας τὸν τρόπον [τῆς ποιήσεως] ἀγνοήσας ποιητικὸν ὄντα τῷ ὑστέρῳ πρώτῳ φησὶ κεχρῆσθαι, ὡς Ὅμηρος [ε 264]· 'εἵματα δ' ἀμφιέσασα θυώδεα καὶ λούσασα'. πρότερον γάρ φησι φῦναι τὰ δένδρα, εἶθ' οὕτως κατασκευασθῆναι τὴν Ἀργώ. ἢ ἀπὸ Ἄργου ⟨τοῦ⟩ ναυ-

---

2 μὴ B  νῆεσ B  5 κοτεσσάμενοσ B  6 ὠμύμ° B  7 ὑπερβολαῖσ B  9 τὸ del. Matthiae  10 Τιμαχίδας Elmsley τίμαρχοσ B  τῆς ποιήσεως del. Dindorf  13 τοῦ add. Arsenius  13 — p. 141,4 et. m. p. 136,31 Ἀργώ . . . εἴρηται ὅτι Ἄργος αὐτὴν κατεσκεύασεν. ἢ ὅτι ἐν Ἄργει τῇ πόλει κατεσκευάσθη, ὡς Ἡγήσανδρος ⟨ὁ⟩ ἱστορικός. ἢ ὅτι ταχεῖα ἦν· ἀργὸν γὰρ καὶ τὸ ταχύ· ἔνθεν καὶ λήθαργος, ὁ τῇ λήθῃ ταχύς· πρώτην δ' αὐτὴν ναυπηγηθῆναί φασιν. Tzetz. ad Lycophr. p. 856 Ἀργὼ ἐκλήθη ἡ τοῦ Ἰάσονος ναῦς ἢ ὅτι κατὰ Ἀπολλώνιον Ἄργος ὁ Ἀρέστορος, ἢ Ἀλέκτορος, υἱὸς αὐτὴν ἐναυπήγησεν ἢ ὅτι ἐν Ἄργει ἐναυπηγήθη ὥς φησιν Ἡγήσανδρος ὁ Σαλαμίνιος. schol. Apoll. Rh. I 4 ὁ μὲν Ἀπολλώνιος καλεῖ τὴν Ἀργὼ ἀπὸ Ἄργου τοῦ κατασκευάσαντος, Φερεκύδης δὲ ἀπὸ Ἄργου τοῦ Φρίξου υἱοῦ. ταύτην δὲ λέγουσι πρώτην ναῦν γεγενῆσθαι. ἄλλοι δὲ λέγουσι ⟨ὅτι⟩ Δαναὸς διωκόμενος ὑπὸ Αἰγύπτου πρῶτος κατεσκεύασεν, ὅθεν καὶ Δαναῒς ἐκλήθη. Diod. IV 41, 3 τὴν δὲ ναῦν Ἀργὼ προσαγορευθῆναι κατὰ μέν τινας τῶν μυθογράφων ἀπὸ τοῦ τὸ σκάφος ἀρχιτεκτονήσαντος Ἄργου καὶ συμπλεύσαντος

πηγήσαντος, οἱ δὲ διότι ἐταχυδρόμει· ἀργὸν γὰρ τὸ ταχύ· ἐντεῦθεν καὶ λήθαργος, ὁ τῇ λήθῃ ταχύς. καὶ πρώτην γε αὐτὴν ναυπηγηθῆναί φασιν, ἄλλοι δὲ τὴν ὑπὸ Δαναοῦ γεγενημένην. ἔστι δὲ ὑπέρθεσις ὁ τρόπος. τὰ γὰρ δεύτερα τῇ τάξει, πρῶτα ὑπέθετο: — B

εἴθ' ὤφελε: περιφραστικῶς ἡ Ἀργώ· οὐκ ὤφειλεν ἡ Ἀργὼ παρελθοῦσα τὰς Συμπληγάδας εἰς Σκυθίαν ἐλθεῖν. τὸ δὲ εἴθε ἐπίρρημα εὐκτικόν· 'εἴθ' ὣς ἡβώοιμι [H 157]'· ἀεὶ δὲ προτάσσεται τῆς συντάξεως· τὸ δὲ ὤφελε ῥῆμα ᾧ ἀπαρέμφατον ἕπεται· 'ὡς ὄφελεν θάνατός μοι ἁδεῖν κακός [Γ 173]'. τὸ δὲ διαπτάσθαι τροπικῶς ὡς ἐπὶ ὀρνέου. ἔδει δὲ εἰπεῖν διαπλεῦσαι: — AB

2 Κόλχων ἐς Αἶαν: πόλις ἐν Σκυθίᾳ οὕτω καλουμένη. ἐν Κόλχοις. ὀνοματικῶς: — B

Συμπληγάδας: τὰς περὶ τὸ στόμα τοῦ Πόντου λέγει, αἳ δι' ἀπάτην τῆς ὄψεως δοκοῦσιν ὧδε κἀκεῖσε φέρεσθαι: — AB

ἄλλως: ταύτας ὁ Σιμωνίδης [frg. 22] Συνορμάδας φησίν. εἰσὶ δὲ πέτραι ἐπὶ τῷ στόματι τοῦ Πόντου στεναὶ τὸ διάστημα, δι' ὧν ἔξεισιν ἡ θάλασσα ἀπὸ τοῦ Πόντου εἰς τὸν Ἑλλήσποντον. Ἐρατοσθένης δ' ἐν τῷ τρίτῳ τῶν Γεωγραφουμένων φησὶ περὶ αὐτῶν· 'καλοῦσι δὲ Συμπληγάδας οὕτως. καθ' ὃν καιρὸν ἄν τις πρὸς τὰ δεξιὰ ἐκκλίνῃ, σφόδρα φαντάζεται τὰς πέτρας συναγομένας, ὅταν δὲ κατὰ μέσον, ὁρᾷ διισταμένας καὶ ἔμπαλιν εἰς τὰ ἀριστερὰ διαλλάξας ὁρᾷ συντρεχούσας'. τούτου δὲ πολλάκις γενομένου Συμπληγάδας αὐτάς φησι κεκλῆσθαι διὰ τὴν συνδρομὴν ⟨καὶ⟩ διάστασιν τῆς φαντασίας. οἱ δὲ νεώτεροι τὰς παρ' Ὁμήρῳ Πλαγκτὰς ὑπενόησαν εἶναι: — A

τὰς Συμπληγάδας ὁ Σιμωνίδης Συνορμάδας φησίν. Ἐρατοσθένης δὲ ἐν γ̄ Γεωγραφουμένων φησὶ τὸν πλοῦν στενὸν εἶναι καὶ σκολιόν, δι' οὗ φαντάζεσθαι τοὺς πλέοντας τὴν ἀπόκλεισιν τῶν πετρῶν: — B

---

ἕνεκα τοῦ θεραπεύειν ἀεὶ τὰ πονοῦντα μέρη τῆς νεώς, ὡς δ' ἔνιοι λέγουσιν ἀπὸ τῆς περὶ τὸ τάχος ὑπερβολῆς ὡς ἂν τῶν ἀρχαίων ἀργὸν τὸ ταχὺ προσαγορευόντων Hyg. astr. II 37 Seru. ad Verg. ecl. IV 34  2 πρώτην Rei πρῶτον B  2. 3 φησιν B  5 lemma ex A  ὤφελε A  ἡ Ἀργὼ om. A  6 σκύθην A  8 ᾧ ego ὡσ AB  9 κακῶσ A  10 ἔδει — διαπλεῦσαι om. A  12 ὀνομαστικῶσ B  13. 14 scholio quod antecedit adi. B initio add. κυανέασ δὲ  13 λέγει om. A  14 ἐνταῦθα κἀκεῖ B  15—27 Tzetz. ad Lyc. 1285 p. 909  15 συναρβώδασ A  ἔστι A  17 ἑλίσποντον A  18 αὐτοῦ A  23 καὶ add. Cobet  25—27 scholio 13. 14 adi. B add. δὲ post τὰς  26 ἐγγεωγραφουμένων B

4 τμηθεῖσα πεύκῃ: συνεκδοχή, ἀπὸ μέρους τὸ πᾶν. ἀπὸ κοινοῦ δὲ τὸ ὤφελε· ⟨ὤφελε⟩ μὴ ἐρετμῶσαι ἡ Ἀργὼ τὰς τῶν ἀρίστων χεῖρας: — AB

κώπαις καθοπλίσαι τὰς χεῖρας τῶν ἀρίστων ἀνδρῶν: — AB[1]

5 οἵτινες ἐπὶ τὸ πάγχρυσον δέρας ἀνῆλθον τοῦ ἀγαγεῖν αὐτὸ τῷ Πελίᾳ: — B[1]

δέρας: τὸ δέρμα. τοῦτο οἱ μὲν ὁλόχρυσον εἶναί φασιν, οἱ δὲ πορφυροῦν. καὶ Σιμωνίδης ἐν τῷ εἰς Ποσειδῶνα ὕμνῳ [frg. 21] ἀπὸ τῶν ἐν τῇ θαλάττῃ πορφυρῶν κεχρῶσθαι αὐτὸ λέγει: — B

9 οὐδ' ἂν κτανεῖν πείσασα: πολυάϊκός τις λόγος φέρεται τῶν φιλοσόφων, ὃν καὶ Παρμενίσκος ἐκτίθησιν, ὡς ἄρα πέντε τάλαντα λαβὼν παρὰ Κορινθίων Εὐριπίδης μεταγάγοι τὴν σφαγὴν τῶν παίδων ἐπὶ τὴν Μήδειαν. ἀποσφαγῆναι γὰρ τοὺς παῖδας Μηδείας ὑπὸ Κορινθίων παροξυνθέντων ἐπὶ τῷ βασιλεύειν αὐτὴν θέλειν διὰ τὸ τὴν Κόρινθον πατρῴαν αὐτῆς λῆξιν εἶναι· ὃ μετήγαγεν ἐπὶ Μήδειαν. περὶ δὲ τῆς εἰς Κόρινθον μετοικήσεως Ἵππυς [frg. 3] ἐκτίθεται καὶ Ἑλλάνικος [frg. 34]. ὅτι δὲ βεβασίλευκε τῆς Κορίνθου ἡ Μήδεια, Εὔμηλος [frg. 3] ἱστορεῖ καὶ Σιμωνίδης [frg. 48]· ὅτι δὲ καὶ ἀθάνατος ἦν ἡ Μήδεια, Μουσαῖος ἐν τῷ περὶ Ἰσθμίων [FHG IV p. 518ᵃ] ἱστορεῖ, ἅμα καὶ περὶ τῶν τῆς Ἀκραίας Ἥρας ἑορτῶν ἐκτιθείς: — B

† οὐδ' ἂν κτανεῖν: ὅτι ἡ Κόρινθος πατρῷον ἦν αὐτῆς κτῆμα τῷ λόγῳ τούτῳ. Ἀλωεὺς καὶ Αἰήτης ὁ τῆς Μηδείας πατὴρ παῖδες Ἡλίου καὶ Ἀντιόπης γεγόνασι. τούτοις ὁ Ἥλιος διένειμε τὴν χώραν, καὶ ἔλαβεν ὁ μὲν Ἀλωεὺς τὴν ἐν Ἀρκαδίᾳ, τὴν δὲ Κόρινθον ὁ Αἰήτης. οὗτος οὖν

---

1—3 scholio p. 141, 5—10 adi. A om. συνεκδοχὴ — πᾶν 2 ὤφειλεν B ὤφελε (alterum) add. Dindorf τῶν ἀρίστων om. A 4 scholio quod praecedit adi. A initio add. ἀντὶ τοῦ καθοπλίσαι ταῖσ κώπαισ A τῶν — ἀνδρῶν om. A 7—9 schol. Apoll. Rh. IV 177 . . πολλοὶ δὲ χρυσοῦν τὸ δέρας εἰρήκασιν, οἷς Ἀπολλώνιος ἠκολούθησεν. ὁ δὲ Σιμωνίδης ποτὲ μὲν λευκὸν ποτὲ δὲ πορφυροῦν . . 1147 . . περὶ δὲ τοῦ δέρους ὅτι ἦν χρυσοῦν οἱ πλεῖστοι ἱστοροῦσιν. Ἀκουσίλαος δὲ ἐν τῷ περὶ Γενεαλογιῶν πορφυρευθῆναί φησιν ὑπὸ τῆς θαλάσσης. cf. Cataster. p. 124 Rob. 10—14 Aelian. VH 5, 21 15 αὐτῆς ego αὐτῶν B ὃ ego ὃν B 16 ἱππεὺσ B em. Vossius 17. 18 Paus. II 3, 10 21 — p. 143, 8 in fine scholiorum Hippolyti coll. B initio add. ἰστέον 21 αὐτῆσ κτῆμα A κτῆμα μηδείασ B 21. 22 τούτω τῶ λόγω A 22 πατὴρ τῆσ μηδείασ B 24 μὲν om. A τὴν ἀρκαδίαν B ὁ om. B

μὴ ἀρεσθεὶς τῇ ἀρχῇ Βουνῷ μέν τινι Ἑρμοῦ παιδὶ παρέδωκε τὴν πόλιν εἰπὼν φυλάσσειν αὐτὴν τοῖς ἐσομένοις ἐξ αὐτοῦ, αὐτὸς δὲ εἰς Κολχίδα ἀφικόμενος τῆς Σκυθίας ᾤκησε βασιλεύων. διδάσκει δὲ τοῦτο καὶ Εὔμηλος ποιητὴς ἱστορικὸς λέγων [frg. 2]· 'ἀλλ' ὅτε δ' Αἰήτης καὶ Ἀλωεὺς ἐξεγένοντο Ἠελίου τε καὶ Ἀντιόπης, τότε δ' ἄνδιχα χώρην δάσσατο παισὶν ἑοῖς Ὑπερίονος ἀγλαὸς υἱός' καὶ τὰ ἑξῆς. Βουνὸς δὲ Ἑρμοῦ καὶ νύμφης υἱὸς γέγονεν. ταῦτα δὲ ἀπὸ τοῦ ἀνεπιγράφου ὑπομνήματος τοῦ εἰς Πίνδαρον [ol. 13, 74] ἔγραψα: — AB

Πελιάδας κόρας: τὰς Πελίου θυγατέρας ἔπεισεν ἡ Μήδεια τὸν πατέρα σφάξαι καὶ ἑψῆσαι ὡς ἐσόμενον νεώτερον, ἑψήσασα πρότερον κριὸν καὶ ποιήσασα ἄρνα διὰ τῶν φαρμάκων: — AB

11 ἁνδάνουσα μέν: ἁνδάνουσα ἀντὶ τοῦ ἁνδανούσῃ. τὸ δὲ πολιτῶν ἀντὶ δοτικῆς, τοῖς πολίταις. ἤρεσκε δὲ τοῖς Κορινθίοις, ἐπεὶ λιμώττοντας αὐτοὺς ἐπῳδαῖς τισιν ἰάσατο, καὶ αὐτὴ δὲ ἠρέσκετο τῇ Κορίνθῳ, ἐπεὶ λέγονται καὶ οἱ Κορίνθιοι φαρμακικοὶ εἶναι. τὰ δὲ ὅμοια τοῖς ὁμοίοις φίλα εἶναι καὶ χαίρειν ἀλλήλοις ἴσμεν: — AB

τῇ ἀπὸ τῆς Θετταλίας φυγῇ. ἀρεσκομένη τῷ πρὸς τοὺς Κορινθίους πεφευγέναι. πολιτῶν γὰρ λέγει τῶν Κορινθίων: — B[1]

13 συμφέρουσα ἀντὶ τοῦ συμπράττουσα, ἀπὸ τοῦ συμπεριφέρεσθαι: — A

15 μὴ διχογνωμῇ. ὅταν γυνὴ εὔνοιαν φυλάττῃ τῷ ἀνδρί: — B[1]

16 ἐχθρὰ πάντα: τὰ εἰς φιλίαν ἄγοντα. τὰ προσφιλῆ δὲ δυστυχεῖ. οὐχ ὑγιαίνει τὰ ἀναγκαῖα καὶ ἡ προτέρα διάθεσις: — A

τὰ εἰς φιλίαν ἄγοντα. ἢ τὰ πρὸ τούτου προσφιλῆ: — B[1]

19 αἰσυμνᾷ χθονός: αἰσυμνᾷ ἡγεῖται καὶ ἄρχει. ἰδίως

---

1 παραδέδωκε B 3 βασιλεὺσ A 3—6 διδάσκει—ἑξῆς om. A 6. 7 Βουνὸς—γέγονεν om. B 7. 8 ταῦτα—ἔγραψα om. A 8 ἔγραψα ego ἔγραψεν B 9 lemma ex A τὰς—θυγατέρας] τὰσ πελιάδασ κόρασ A 12—16 scholio quod praecedit adi. B initio add. τὸ δὲ 12 post ἁνδάνουσα add. ὀρθὴ ἀντὶ δοτικῆσ B 12. 13 τὸ—πολίταις om. B 13 ἐπειδὴ B 14—16 καὶ αὐτὴ—ἴσμεν om. A[1] 15 φαρμακικοὶ ego φαρμακοὶ B 19. 20 scholio 12—16 add. A add. δὲ post συμφέρουσα 25 lemma ex A 25—p. 144, 3 et. m. p. 39, 12 αἰσυμνῆται: οἱ βραβευταί· Ὅμηρος [θ 258]· οἱ τὸ αἴσιον ἀπονέμοντες, τοῖς ἀγωνιζομένοις, αἰσιονεμῆται. λέγουσι δὲ καὶ τοὺς κριτὰς ἄρχοντας τῶν ἀγώνων. αἰσυμνήτης: βασιλεὺς ἐπιστάτης ἄρχων ἢ τύραννος ἢ πάρεδρος. ἰδίως δέ φησιν Ἀριστοτέλης ὑπὸ Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. καὶ αἰσυμνᾷ χθονός ἀντὶ τοῦ ἡγεῖται ἄρχει. Εὐριπίδης Μηδείᾳ. Hesych. αἰσυμνᾷ βασιλεύει ἄρχει· ὃς αἰσυμνᾷ βασιλεύει 25 αἰσυμνᾶν [αἰσυμνῶν A[1]] ἐστὶ τὸ ἡγεῖσθαι καὶ ἄρχειν A[1]B

δέ φησιν Ἀριστοτέλης [frg. 524] ὑπὸ Κυμαίων αἰσυμνήτην τὸν ἄρχοντα λέγεσθαι. Ὅμηρος [θ 258]· 'αἰσυμνῆται δὲ κριτοὶ ἐννέα'. ⟨λέγουσι δὲ καὶ⟩ τοὺς ⟨κριτὰς⟩ ἄρχοντας τῶν ἀγώνων: — AA¹B

αἰσυμνήτης βασιλεὺς ἐπιστάτης ἄρχων· οἱ δέ, τύραννος βραβευτὴς πάρεδρος: — B¹

ὅτι δὲ οἱ μὲν Ἱππότου, οἱ δὲ Κρέοντός φασι παῖδα γαμῆσαι τὸν Ἰάσονα, προείπομεν. περὶ δὲ τῆς Κρέοντος θυγατρὸς οὐχ ὁμοφωνοῦσι [τῷ Εὐριπίδῃ] οἱ συγγραφεῖς. Κλειτόδημος [frg. 10] μὲν γὰρ Κρέουσάν φησι καλεῖσθαι, γήμασθαι δὲ Ξούθῳ· Ἀναξικράτης [frg. 2] δὲ Γλαύκην: — B

Μήδειαν ὑπὸ Ἀκάστου ἐκπεσοῦσαν σὺν Ἰάσονι Ἱππότης ὑπεδέξατο Κρέοντος τοῦ Λυκαίθου. ὁ Λύκαιθος γάρ, ἐπεὶ Βελλεροφόντης ᾤχετο, ἦρξεν ἔτη κζ̄, ἔπειτα Κρέων λε̄, εἶτα Ἱππότης. ἐπεὶ δὲ Ἰάσων ἔγημε τὴν Ἱππότου θυγατέρα, τότε δὴ κτείνασα τοὺς παῖδας ἑαυτῆς ἀπαλλάσσεται πρὸς Αἰγέα. ὅτι δὲ καὶ ἐβασίλευσε Κορίνθου, ἱστοροῦσιν Εὔμηλος [frg. 3] καὶ Σιμωνίδης, λέγων οὕτως [frg. 48]· 'οὐδὲ κάτ' [εἰς Κόρινθον] οὐ Μαγνησίαν ναῖεν· ἀλόχῳ δὲ Κολχίδι συνάστεος θράνου Λεχαίου τ' ἄνασσε': — B

24 ἐνδοῦσα ταῖς λύπαις: — B¹

25 γράφεται καὶ συντείνουσα: — B¹

τὸν πάντα συντήκουσα: ἀνενδότως κλαίουσα. ἀντὶ τοῦ· συντηκομένη δὲ τὸν πάντα χρόνον, οἷον· συνεχῶς κλαίουσα καὶ ἄνεσιν οὐ λαμβάνουσα: — AB

27 οὔτ' ὄμμ' ἐπαίρουσα: ἀντὶ τοῦ· σύννους καὶ σκυθρωπὴ οὖσα οὐκ ἀκούει: — AB¹

29 κλύδων: ἡ πολλὴ τοῦ ὕδατος χύσις: — A^g B¹

---

1. 2 cf. arg. Soph. OT    1 δέ φησιν om. A¹    ὑποκειμένων A
2. 3 Ὅμηρος — ἀγώνων om. A    2 ἐννέα] θ̄ B θεὶσ A    2. 3 λέγουσι δὲ καὶ et κριτὰς addidi    3 in fine add. ὅτι οἱ μὲν ἱππότου A
4. 5 cf. schol. Ω 347 θ 258 Apollon. soph. p. 18,3 et. m. p. 39,24 Gud. p. 22, 26. 38 Zon. p. 72 lex. Bachm. p. 48,22 [= Suid. s. u. αἰσυμνῆται] Hesych. s. u. αἰσυμνῆται Suid. s. u. αἰσυμνητήρ    6—10 scholio p. 143,25—3 adi. B
6. 7 προείπομεν] locus iam non extat    6 cf. Diodor. 4, 55, 5    7. 8 τῷ Εὐριπίδῃ deleui    15 οὐδὲ κάτ' B nondum emendatum    15. 16 εἰς Κόρινθον huc non quadrare uidit Wil    16 οὐ ex οὐδὲ corr. prima m. B    ἀλόχῳ ego ἀλόχου B    συνάστεοσ θράνου B temptaui ξὺν ἄστεος κραναοῦ
20 lemma ex A    κλαίουσα A δακρύει B    21 δὲ om. B    καὶ om. B
22 λαμβάνει B    23 οὖσα — ἀκούει om. B¹    24 cf. Hesych. s. u.

29 ἀκούει: ἀντὶ τοῦ· οὐκ ἀκούει ὡς οὐδὲ ταῦτα. τὸ δὲ δέρην ἐὰν μετὰ τοῦ ῑ, ὀξυτόνως δειρήν· εἰ δὲ χωρὶς τοῦ ῑ, βαρυτόνως δέρην: — B

30 ἐὰν μὴ πολλάκις: — $B^1$

33 ὅς σφε: τὸ χ̄ ὅτι κακῶς τῷ σφε ἐχρήσατο· ἔδει γὰρ εἰπεῖν αὐτήν: — $B^1$

ἀτιμάσας ἔχει: Ἀττικῶς, ἀντὶ τοῦ ἠτίμασε. τὸ γὰρ ἔχει ἐκ περισσοῦ. Σοφοκλῆς [frg. 806] 'παῖδας γάρ, οὓς ἔφυσ', ἀναλώσας ἔχει' καὶ πάλιν [frg. 807] 'εὐφημίαν μὲν πρῶτα κηρύξας ἔχω': — B

35 οἷον πατρῴας: οἷον ἀγαθὸν τὸ μὴ λείπεσθαι τῆς πατρίδος. καὶ Ὅμηρος [ι 34] 'ὡς οὐδὲν γλύκιον ἧς πατρίδος': — AB

38 βαρουμένη καὶ λυπουμένη: — $B^1$

39 ἐγὼ οἶδα οἵα ἐστὶ τὸν νοῦν, εὐλαβοῦμαί τε αὐτήν: — $B^1$

40 μὴ θηκτὸν ὤσῃ: ἐπὶ τῶν παίδων ἀκουστέον. καὶ γάρ φησι στυγεῖ δὲ παῖδας οὐδ' ὁρῶσ' εὐφραίνεται. δύναται δὲ καὶ ἐπὶ αὐτῆς ἀκούεσθαι: — AB

οὐ τοῦ αὐτῆς ἥπατος, ἀλλὰ τῶν παίδων. προεῖπε γὰρ στυγεῖ δὲ παῖδας. ἔθος δέ ἐστιν αὐτῷ προλέγειν τὰ μέλλοντα. ὁμοία δὲ ἡ ἀμφιβολία παρ' Ὁμήρῳ [Σ 34]· δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρῳ': — AB

41 εἰς τοὺς ἑαυτῆς δόμους εἰσβᾶσα: — $A^F B^1$

42 τύραννον: τὸν Κρέοντά φησι. τὸ δὲ ἑξῆς· ἢ καὶ τύραννον τόν τε γήμαντα κτάνῃ· δεινὴ γάρ. συμφοράν δὲ λάβῃ οἱονεί· μείζονι κακῷ περιπέσῃ πρὸς τῷ ἤδη μεμισῆσθαι ὑπὸ Ἰάσονος: — B

θηλυκῶς, τὴν Γλαύκην: — $A^F$

43 μείζω συμφοράν: αὐτὴ ἑαυτὴν φονεύσῃ: — A

---

2. 3 cf. et. m. p. 262,53 7—9 cf. schol. Or. 451 10 lemma ex A init. add. λείπει τὸ ἀγαθὸν B 10. 11 τὸ — καὶ om. B 11 γλυκὺ ἧ A in fine add. οὐδὲ τὸ̂ B 14 lemma ex B μή τι βουλεύσῃ κακόν A . τοὺσ παῖδασ A 15. 16 οὐδ' — ἀκούεσθαι om. A 16 in fine add. ὁ δὲ εὐριπίδησ τὰ μέλλοντα ἀναφωνεῖ ὁμοία δὲ ἡ ἀμφιβολία καὶ παρ' ὁμήρωι δείδιε γὰρ μὴ λαιμὸν ἀποτμήξειε σιδήρωι B 17 οὐ — παίδων A καὶ τὸ διὰ τοῦ ἥπατοσ δὲ τῶν παίδων λέγει B εἶπε B 18 ἐστιν αὐτῶι B αὐτὰ A τὰ μέλλοντα λέγειν A ὡσ εἴρηται προλέγειν τὰ μέλλοντα B 18—20 ὁμοία — σιδήρῳ om. B 18 ὁμοία] ὅμηροσ A 19 δέδιε A 26 αὐτὴν ἑαυτὴν φονεῦσαι A

ἄλλως: τῆς νῦν παρούσης δυστυχίας, ἀντὶ ⟨τοῦ⟩· καὶ τοὺς παῖδας φονεύσῃ [κἂν τὸν τύραννον]. νῦν γὰρ [κἂν] ἀδίκως μισεῖται ὑπὸ Ἰάσονος: — A

46 τῶν γυμνασίων τῶν δρόμων, βαρυτόνως: — B[1]

ἐκ τρόχων: βαρυτόνως, ὡς νόμων. Ἀριστοφάνης [frg. 637] ‘βαδίζει μοι τὸ μειράκιον ἐξ ἀποτρόχων’. ὡς ἀπὸ γυμνασίας οὖν ἐλθόντας τοὺς παῖδας. [51] θρεομένη δὲ ἤγουν συννοουμένη, ὁμιλοῦσα. εἴρηται δὲ ἀπὸ τοῦ θροῦ. Ὅμηρος [Δ 437] ‘οὐ γὰρ πάντων ἦεν ὁμὸς θρόος οὐδ’ ἴα γῆρυς’. ἢ διαλεγομένη, παρὰ τὸν θροῦν: — B

48 ἡ γὰρ τῶν νέων διάνοια πονεῖν ἢ λυπεῖσθαι οὐ φιλεῖ. οἱ γὰρ νέοι ἔξω πάσης φροντίδος καὶ ἀνίας εἰσί: — AB[1]

49 ἀντὶ τοῦ παλαιὰ θεράπαινα: — B[1]

52 πῶς σοῦ μόνη: διὰ τί μόνη σου ἡ Μήδεια ἀπολείπεσθαι θέλει: — AB[1]

53 ὀπαδὲ πρέσβυ: ὦ πρέσβυ ὀπαδὲ τῶν Ἰάσονος τέκνων. τοῖς χρηστοῖς δούλοις συμφορὰς φέρει καὶ ὀδύνας τὰ τῶν δεσποτῶν κακῶς πίπτοντα, ἢ συμβαίνοντα: — A

54 τοῖς χρηστοῖς δούλοις τὰ τῶν δεσποτῶν κακῶς πίπτοντα συμφορὰν φέρει καὶ ὀδύνας. κακῶς ἐπιπίπτοντα, εἰς κακὸν ἀποβαίνοντα τὰ τῶν δεσποτῶν: — B

ὁ στίχος καὶ ἐν Βάκχαις [1028] κεῖται: — B[1]

· 56 ἐγὼ γὰρ εἰς τοῦτ’ ἐκβέβηκα: οὕτω, φησί, πέπληγμαι τὴν ψυχὴν ὑπὸ τῶν κακῶν τῶν κατὰ τὴν Μήδειαν, ὡς ἀφιέναι εἰκῇ λόγους εἴς τε τὴν γῆν καὶ τὸν ἀέρα, ἀποδυρομένη τὰς ἐκείνης τύχας. οὐρανὸν γὰρ λέγει νῦν τὸν ἀέρα. οἱ δὲ στενοχωρούμενοι ὑπὸ τῶν κακῶν τῷ

---

1 ἄλλως scripsi ἀλλὰ A  παρούσης — τοῦ Wil ἀντιπαρούσης δυστυχίας A  2 φονεύσει A  κἂν — τύραννον eieci  κἂν deleui  μισῆται A  4—7 et. m. p. 769, 52 [cf. Zon. p. 1771] τρόχος . . βαρυτόνως ἐπὶ τοῦ δρόμου· Εὐριπίδης Μηδείᾳ· ‘ἀλλ’ οἵδε παῖδες ἐκ τρόχων πεπαυμένοι στείχουσιν’· ἀντὶ τοῦ γυμνασίων δρόμων. ἢ ἐκ τῶν κατατρεχομένων τόπων· τρόχος γὰρ παροξυτόνως κατὰ τὸ παθητικὸν ὁ τρεχόμενος. Phot. = lex. Bachm. p. 390, 30 τρόχον δρόμον· Εὐριπίδης Μηδείᾳ ‘ἀλλ’ — πεπαυμένοι’. Hesych. τρόχων δρόμων καὶ τὰ ὅμοια cf. Ammon. p. 137 Eust. p. 1517, 60  9 ὁμῶσ B  12 ἀνίας Wil κακίασ AB[1]  14. 15 καταλείπεσθαι θέλει ἡ μήδεια B[1]  17 φέρεται A  23 — p. 147, 2 scholio p. 147, 9. 10 adi. B ins. δὲ post οὕτω  23 πέπληγα B  24 κατὰ μήδειαν B  εἰκῇ om. B  26 τῶν om. B

οὐρανῷ ἢ τῷ ἡλίῳ ἢ ἄλλῳ τῳ θεῷ ἀφηγοῦνται τὰ καθ' ἑαυτοὺς πράγματα: — AB

57 ὥσθ' ἵμερός μ': καλῶς ὁ Εὐριπίδης μεμίμηται τοὺς ἐν μεγάλαις δυστυχίαις ἐξεταζομένους καὶ μηδενὶ τῶν ἀνθρώπων θαρροῦντας ἀπαγγεῖλαι τὰ δυστυχήματα ἢ διὰ φόβον δεσποτῶν ἢ διά τινα χρείαν συμφέρουσαν τοῖς πράγμασιν. οὗτοι γὰρ σιωπᾶν τὰς συμφορὰς μὴ δυνάμενοι καὶ λέγειν ἀνθρώποις φοβούμενοι, οὐρανῷ ἢ ἡλίῳ ἢ γῇ ἢ θεοῖς ἄλλοις διηγοῦνται: — AB

58 λέξαι μολούσῃ: τὸ σχῆμα σολοικοφανὲς διὰ τὴν ἐναλλαγὴν τῆς πτώσεως. μολούσῃ γὰρ ἀντὶ τοῦ μολοῦσα: — AB

60 ζηλῶ σε: ἠθικῶς, ὡσεὶ εἶπεν· μακάριος εἶ τοιαύτην διάνοιαν ἔχων: — B

ἄλλως: θαυμάζω σε πῶς οὐκ ἔγνωκας· αὖθις γὰρ ἀρχὴν εἴληφε τὸ κακὸν καὶ οὐδὲ εἰς μεσότητα προῆλθε· τοσοῦτον ἀπέχει τοῦ πεπαῦσθαι τὸ κακόν. ἐν ἤθει δὲ εἴρηται, οἷον· μακάριος εἶ τοιαύτην ἔχων διάνοιαν· τὸ γὰρ κακὸν οὐ μόνον οὐ λήγει, ἀλλ' οὐδὲ μεσάζει, οἷον ἀκμάζει. τὸ δὲ μεσοῖ τρίτης συζυγίας: — B

61 λείπει ἡ εἰς, εἰς δεσπότας: — B[1]

63 ἀντὶ τοῦ· ὦ γεραιά, ὡς τὸ [ε 422] 'κλυτὸς Ἀμφιτρίτη': — B[1]

64 λείπει ἡ διά: — B[1]

67 ἤκουσά του λέγοντος: ἤκουσα, φησί, τινὸς λέγοντος τῶν ὠτακουστῶν προσποιουμένη μὴ ἀκούειν: — AB

πεσσούς δέ, ἐπεὶ ἀπὸ τῶν ἐν τοῖς τόποις ὠνόμαζον τοὺς τόπους· πεσσοὺς γὰρ νῦν τοὺς τόπους τῶν κυβευτῶν, ὡς ὄψον καὶ μύρα ἔνθα ταῦτα συνήθως ἐστίν. ὅπου, φησίν, εἰθισμένοι εἰσὶ πεσσεύειν, προσελθὼν ἤκουσα, ἀντὶ τοῦ προσελθοῦσα. καὶ τὸ οὐ δοκῶν, ἀντὶ τοῦ οὐ δοκοῦσα: — B

69 καθέζονται: — B[1]

Πειρήνη, κρήνη ἐν Κορίνθῳ, ἣν Ἀσωπὸς εὗρεν Ὠκεανοῦ παῖς χαριζόμενος Σισύφῳ τῷ Κορινθίῳ σπανίζοντι ὕδατος, ὅτι αὐτῷ Αἰγίνης τῆς θυγατρὸς τὴν ὑπὸ Διὸς ἐμήνυσεν ἁρπαγήν: — AB

1 ἄλλῳ τῳ θεῷ scripsi ἄλλω τῶν θεῶν A τινι ἄλλωι θεῶι B ἀφηγοῦνται scripsi ὑφηγοῦνται B ὑφηγεῖται A καθ' ἑαυτοὺς om. A 3 lemma ex A καλῶς — Εὐριπίδης om. B μεμίμηται B ὑφηγεῖται ἢ προσμέμνηται A 4. 5 θαρροῦντας ἀπαγγεῖλαι B ἐθέλοντας εἰπεῖν A 7 ἢ γῇ om. A 8 ἄλλοις om. A 10 μολούσῃ — μολοῦσα om. B 21 lemma ex A 21. 22 τῶν ὠτακουστῶν om. A 22 προσποιούμενος A 28—30 cf. Paus. II 5, 1 28 παῖς om. A 29 κορίνθω A 28. 29 αὐτῷ — θυγατρὸς om. A

75 ἔχθραν: — B[1]

76 λείπεται: ἡττᾶται ἐλαττοῦται: — B[1]

77 κοὐκ ἔστ' ἐκεῖνος: Ὅμηρος ἐπὶ τῆς γυναικὸς ἔλαβεν [ο 21] 'κείνου βούλεται οἶκον ὀφέλλειν, ὅς κεν ὀπυίοι'. ἔξωθεν δὲ τὸ ἔτι· καὶ οὐκ ἔστιν ἐκεῖνος ἔτι φίλος τοῖσδε δώμασιν: — B

78 παλαιὸν κακὸν τὸ διὰ τὸν Πελίου θάνατον ἐκβεβλῆσθαι Θετταλίας ὑπὸ Ἀκάστου τοῦ παιδὸς Πελίου ἢ τὸ καταλειφθῆναι αὐτὴν ὑπὸ Ἰάσονος, ὃ καὶ μᾶλλον· νέον δὲ τὸ ἐκβληθῆναι τῆς Κορίνθου. τὸ δὲ ἐξηντληκέναι ἀντὶ τοῦ πεπαῦσθαι· ἡ μεταφορὰ ἀπὸ τῶν ἐν τοῖς πλοίοις ἀντλούντων: — B

τὸ ἑξῆς· εἰ πρὸς παλαιῷ: — B[1]

81 τὸ ἑξῆς· ἀτὰρ σύγ' ἡσύχαζε: — B[1]

84 ἀτὰρ κακὸς ὤν: ἀρκεῖ αὐτῷ τοῦτο πρὸς τιμωρίαν. ἁλίσκεται δέ, φωρᾶται ἐλέγχεται: — A

εὑρίσκεται κακὸς ὢν πρὸς τοὺς φίλους. ἕως τούτου δὲ ἡ πρεσβῦτις, τὰ ἑξῆς ὁ πρεσβύτης: — B[1]

οὕτως ἀναγνωστέον τίς δ' οὐχὶ θνητῶν καὶ στικτέον, εἶτα ἀπὸ ἄλλης ἀρχῆς ἄρτι γινώσκεις τόδε. διὸ καὶ μετὰ τοῦ σ̄ γραπτέον, οἷον· τίς οὐκ ἔστι κακὸς εἰς φίλους, εἶτα τὸ ἄρτι γινώσκεις τόδε, οἷον· ἄρτι ἔγνωκας ὅτι ἑαυτοὺς μᾶλλον φιλοῦσιν ἢ τοὺς πέλας; οἱ δὲ ὑποκριταὶ [τοῦτο] ἀγνοήσαντες τὸ τῆς ἀντιδιαστολῆς μετατιθέασιν εἰς τὸ τίς δ' οὐχὶ θνητῶν τοῦτο γινώσκει σαφῶς. τῇ δὲ διανοίᾳ ταύτῃ καὶ ἐν Κρεσφόντῃ κέχρηται οὕτως [frg. 452]· 'ἐκεῖνο γὰρ πέπονθα ὅπερ πάντες βροτοί· φιλῶν μάλιστ' ἐμαυτὸν οὐκ αἰσχύνομαι': — B

τίς δ' οὐχὶ θνητῶν: τίς τῶν ἀνθρώπων, φησί, οὐχὶ μᾶλλον ἑαυτὸν βούλεται εὐπραγεῖν τῶν φίλων; οὐ μόνος οὖν ὁ Ἰάσων τοῦτο πεποίηκε. τίς, φησί, τῶν ἀνθρώπων οὐκ ἐστὶ κακὸς περὶ φίλους; εἶτα τὸ ἄρτι γινώσκεις, ἄρτι ἔγνωκας: — A

ἄλλως: ἢ τίς οὐ κακὸς περὶ φίλους πρὸς τὸ ἑαυτοῦ συμφέρον. καὶ ἐν Κρεσφόντῃ· 'φιλῶν μάλισθ' ἑαυτὸν οὐκ αἰσχύνομαι'. οὕτω δὲ ἀναγνωστέον· τίς δ' οὐχὶ θνητῶν καὶ στικτέον, εἶτα ἀπ' ἄλλης ἀρχῆς ἄρτι γινώσκεις τόδε: — A

87 οἱ μὲν δικαίως: ⟨ὅτι⟩ περισσῶς ὁ στίχος πρόσκειται, ἐπεξερ-

4 ὀφέλλειν οἶκον B  21 τοῦτο deleui  23 κρεοφόντη B  30 κρεωφον A (τ suprascr.) φῶων A  32 γινώσκει A  33 lemma ex A  ὅτι add. Rei  περισσῶς Wil περισσὸς B om. A  πρόκειται A πρόσκειται ὁ τὴν B

γασίαν περιέχων καὶ ὅτι προκειμένου ἑνικοῦ τοῦ τίς ἐπήνεγκε τὸ οἱ μέν. καὶ ὁ πρότερος δὲ σεσημείωται, ὅτι παροιμιώδης. ὁ δὲ νοῦς· πᾶς ἑαυτὸν τοῦ πέλας μᾶλλον φιλεῖ * *: — AB

αἰσχροκερδία⟨ς⟩: — B[1]

89 ἴτ'· εὖ γὰρ ἔσται: τὸ ἑξῆς· ἴτε δωμάτων εἴσω, τέκνα. τὸ δὲ εὖ γὰρ ἔσται εὐχομένη λέγει, τουτέστιν· ἐπὶ καλῷ δὲ ἀποβαίη εἰσελθεῖν ὑμᾶς: — B

90 χωρίσασα τῆς μητρὸς αὐτοὺς ἀπόκρυφον: — B[1]

92 ἀγριουμένην καὶ διὰ τοῦ βλέμματος τὸ ὀργίλον ἐπιδεικνῦσαν. οἷον· ὡς ταῦρον, θυμικὸν καὶ φοβερὸν ὁρῶσαν, ἄστοργον καὶ οὐχὶ μητρικόν: — B[1]

93 δρασείουσαν: ἀντὶ τοῦ δράσουσαν· ἔστι δὲ Ἀττικόν. καὶ Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ [585] 'ὦ δέσποτ' Αἴας, τί ποτε δρασείειν δοκεῖς'. κατασκῆψαι δέ, ἀντὶ τοῦ βλάψαι, ἀπὸ τοῦ κεραυνοῦ τοῦ σκηπτοῦ, οἷον κεραυνῶσαι: — B

96 τάδε λέγει ἡ Μήδεια ἔσω οὖσα, οὐδέπω ἐκκεκυκλημένη: — B[1]

97 ἰώ μοί μοι: ἀσύμφωνα ταῦτά ἐστι τοῖς ὑπὸ τῆς πρεσβύτιδος εἰρημένοις ὅτι ἄφωνος κάθηται. καὶ ἐν αὐτῷ δὲ τῷ προλόγῳ τὸ μαχόμενόν ἐστι· Μήδεια δ' ἡ δύστηνος ἠτιμασμένη βοᾷ μὲν ὅρκους [20] καὶ τὸ ἑξῆς, εἶτα μετ' ὀλίγον [24] κεῖται δ' ἄσιτος σῶμ' ὑφεῖσ' ἀλγηδόνι, οὔτ' ὄμμ' ἐπαίρουσ' οὔτ' ἀπαλλάσσουσα γῆς πρόσωπον. ταῦτα λέγει ἔνδοθεν καὶ οὐκ ἐν φανερῷ, ἡ δὲ φωνὴ μόνη ἐξάκουστος γίνεται: — AB

ἀντὶ τοῦ· ποίῳ τρόπῳ ἐμαυτὴν ἀνέλω: — B[1]

98 τοῦτο ἐκεῖνό ἐστιν, ὃ ἔλεγον: — B[1]

105 πρὸς τοὺς παῖδας: — B[1]

106 δῆλον γάρ ἐστιν ἀπὸ τῆς ἀρχῆς τῆς οἰμωγῆς ὅτι ἀνάψει. ἢ οὕτως· τοῦτο γὰρ τὸ ἐξ ἀρχῆς ἐξαιρόμενον νέφος τῆς οἰμωγῆς δῆλον ὅτι ⟨μέλλει κεραυνοῦ⟩ δίκην ἐγκατασκῆψαι τινὶ καὶ μέγα τι κακὸν κατεργάσα-

---

2. 3 ὁ δὲ νοῦς — φιλεῖ om. B 3 lacunam indicaui 7 ἡμᾶς B 13. 14 δρασείεις φρενί Sophoclis codices 16 ἐκκεκυκλημένη scripsi ἐκκεκλημένη B[1] 17 lemma ex AB 18 λεγομένοις A λέγεται καθῆσθαι B καὶ ἐν B ἐὰν A 18. 19 τὸ μαχόμενόν ἐστι om. A 19 ἠτιμωμένη A 20 εἶτα — ὀλίγον om. B 21 ἀλγηδόνος A 21. 22 οὔτ' ὄμμ' — πρόσωπον] καὶ ἑξῆς A 22 post ταῦτα add. δὲ B φωνὴ μόνον A φωνῆι μόνηι B 29 ὅτι μέλλει scripsi κεραυνοῦ add. Wil τὸ B

σθαι. ἐὰν δὲ γράφηται ἀνάξει, οἷον· ἐπιπολὺ ἀνάξει τὰ τῆς ὀργῆς, οἷον ἄνω ἄξει, εἰς ὕψος ἀνατενεῖ, ὅ ἐστιν αὐξήσει τὸν θυμόν, ἐξ οὗ πάλιν δῆλον, ὡς αὐξανομένη ἐπὶ πολὺ ἡ ὀργὴ πάντως δεινόν τι ἐργάσεται: — B

δῆλον δ' ἀρχῆς: δῆλον ὅτι τὸ ἐξ ἀρχῆς ἐπαιρόμενον πλῆθος τοῦ θρήνου [ὡς] ἀνάψει τι καὶ καύσει: — A

ἄλλως: ἀπ' ἀρχῆς δὲ τὸ νέφος τῆς οἰμωγῆς ἐξαιρόμενον δῆλόν ἐστιν ὅτι ταχέως εἰς μεῖζον κακὸν ἀνάξει καὶ αὐξηθήσεται: — A

107 τὸ σύστημα τῆς οἰμωγῆς ἀνάγεσθαι καὶ αὔξεσθαι μέλλει: — B¹

110 λυπηθεῖσα: — B¹

112 ὦ κατάρατοι παῖδες: ἑωρακυῖα τοὺς παῖδας εἰσιόντας ἅμα τῷ παιδαγωγῷ ἀναβοᾷ· ὦ παῖδες ⟨μητρὸς⟩ στυγερὰ δρώσης ὄλοισθε σὺν τῷ πατρί· τοῦτο γάρ ἐστι τὸ ἑξῆς τοῦ λόγου: — A

114 φθειρέσθω: — B¹

115 κατὰ τὴν ὑπόθεσιν εἰσῆλθον οἱ παῖδες, ἡ δὲ πρεσβῦτις οὖσα ἔξωθεν ἐπιστενάζει: — B¹

ἔξωθεν ἡ τροφὸς ταῦτα καθ' ἑαυτήν φησι: — B¹

117 τί τούσδ' ἔχθεις: τί τούσδε μισεῖς οὐκ ὄντας αἰτίους; λέγει δὲ τοὺς παῖδας, Μέρμερον καὶ Φέρητα: — AB¹

119 τυράννων λήματα: φρονήματα, τῆς ψυχῆς παραστήματα. τὸ δὲ πως παρέλκει. πέφυκε γὰρ ἀεὶ ἡ ἐξουσία ἐπαίρειν τῶν ἀνθρώπων τὸν λογισμόν: — AB¹

120 ὀλίγ' ἀρχόμενοι: ἀντὶ τοῦ· ἐξ ὀλίγου καὶ βραχέος ἀρχόμενοι τοῦ θυμοῦ καὶ ἐπὶ πολὺ τοῦτον κρατοῦντες. τὸ γὰρ πολλὰ ἀντὶ τοῦ ἐπὶ πολύ. ἔχομεν δὲ καὶ τὴν ἔννοιαν παρ' Ὁμήρῳ [A 81]· 'εἴπερ γάρ τε χόλον γε καὶ αὐτῆμαρ καταπέψῃ' καὶ [B 196]· 'θυμὸς δὲ μέγας ἐστὶ διοτρεφέων βασιλήων'. δύναται δὲ τὸ ὀλίγ' ἀρχόμενοι ἀντὶ τοῦ· οὐδ' ὅλως ἀρχόμενοι, ἀλλ' ἐκ τοῦ ἐναντίου αὐτοὶ πολλῶν κρατοῦντες. πέφυκε δ' ⟨ἡ⟩ ἐξουσία ἐπαίρειν ἀεὶ τοῖς ἀνθρώποις τὸν λογισμόν: — B

ἀρχόμενοι, πολλά: οἱ τύραννοι ἀεὶ εἰωθότες ἀνύειν, ἐὰν λυπηθῶσιν, οὐ παύονται εἰ μὴ ἀνύουσι δι' ὃ λυποῦνται: — A

---

2 ἀνατενεῖ Dindorf ἀνατείνει B 3 πάντων B 5 ὡς del. Wil
11 μητρὸς addidi δρώσης scripsi δρῶσα A 15 ἔξωθεν scripsi ἔσωθεν B¹
17 ἔχεισ in lemmate A τούτους B¹ 18 Apollod. 1, 9, 28, 2 Paus. 2, 3, 6. 9 Hyg. 25. 239 φέρητον B¹ 19 τὰ τῆσ ψυχῆσ παραστήματα A παραστήματα τῆσ ψυχῆσ B¹ 20 παρέλκεται A ἐπαίρουσα A 26 τὸ om. B
28 ἡ addidi 29 πολλῶν A 30 ἀνύουσι Wil ἀνύσουσι A

122 τὸ γὰρ εἰθίσθαι: ὁ γὰρ ἀντὶ τοῦ δέ· τὸ δὲ ζῆν ἐπ' ἴσοις, ἀντὶ τοῦ μετὰ ἰσότητος καὶ μὴ ἐν τυραννίδι, κρεῖσσον. ἔδει, φησί, πάντας ἀνθρώπους μηδένα μηδενὸς ὑπερέχειν [τῆς συμμετρίας] καὶ μὴ πλειόνων ἐπιθυμεῖν· τοῦτο μέγιστον ἀνθρώποις καὶ λυσιτελέστατον. τὸ γὰρ λῷστα ἀντὶ τοῦ λῷστον, ὅ ἐστι βέλτιστον, πληθυντικὸν ἀντὶ ἑνικοῦ. τὸ χρῆσθαι οὖν τῇ συμμετρίᾳ εἰς ὅλον τὸν χρόνον βέλτιον. κἀγὼ οὖν, φησί, τῆς μεγάλης καὶ ὑπερβαλλούσης εὐτυχίας τὴν συμμετρίαν προκρίνω. ἐν ταύτῃ γὰρ [τὸ δὲ εἰ μὴ μεγάλως ἀντὶ τοῦ· εἰ μὴ μεγάλῃ καὶ ὑπερβαλλούσῃ εὐτυχίᾳ] τὸ ἀσφαλέστερον: — B

124 ἀντὶ τοῦ μετρίως καὶ ἀσφαλῶς, ὡς τῆς συμμετρίας τὸ ἀσφαλὲς τῆς παραμονῆς ἐχούσης, τῆς δὲ ὑπερβολῆς μεγάλας καὶ τὰς ἐκπτώσεις ἐχούσης, ὡς ἐπάγει. ἀμφότερα δὲ λέγεται, καὶ ὀχυρῶς καὶ ἐχυρῶς: — B

αἱρετὸν μέν, φησί, τὸ εὐδαιμονεῖν· εἰ δὲ μὴ ἐνδέχεται ἀεὶ καὶ μέχρι γήρως εὐτυχεῖν, κρεῖσσον τὸ ζῆν ἐπ' ἴσοις, ὅ ἐστιν ἐν μεσότητι τῇ ἴσον ἀπεχούσῃ εὐτυχίας καὶ ἀτυχίας. ὁ τοιοῦτος γὰρ βίος κρείσσων, ὡς μόνιμος: — B

125 αὐτὸ γάρ, φησί, καθ' ἑαυτὸ τὸ τῆς συμμετρίας ὄνομα καὶ τῇ προφορᾷ μόνῃ νικᾷ καὶ εὐφημότερόν ἐστι. λέγει δὲ καὶ ὁ σοφός 'πάντων μέτρον ἄριστον', ἐπὶ δ' ὑπερβολῆς 'μηδὲν ἄγαν': — B

127 τὰ δ' ὑπερβάλλοντα: αἱ δ' ὑπερβολαί, φησίν, ἀσθενεῖς καὶ οὐ βέβαιοι τοῖς ἀνθρώποις, τῇ ἀρχαίᾳ μεταβολῇ οὐδ', εἰ γεγόνασι τὴν ἀρχήν, νομιζόμεναι. ὁ γὰρ τὴν συμμετρίαν ἔχων, εἰ καὶ ⟨ἐκ⟩πέσοι ταύτης τρόπον τινά, οὐδεμίαν δοκεῖ πεπονθέναι παραλλαγήν. ἔπειτα τῷ μὲν ὑπερβολὴν ἔχοντι φθόνος παρακολουθεῖ, τοῖς δ' οὐχί. διὸ ἐπὶ πολὺ παραμένει ἡ συμμετρία. τὸ δὲ ὅταν ὀργισθῇ εἰδικώτερον εἴρηκεν· ἔδει γὰρ μᾶλλον εἰπεῖν ὅταν χολωθῇ: — B

131 χορὸς γυναικῶν ἐκ Κορίνθου: — B[i]

133 οὐδέπω ἤπιος: ἔοικε, φησίν, ἡ Μήδεια μηδέπω πεπραΰνθαι: — A[g]B

134 ἐπ' ἀμφιπύλου: ἀμφίπυλον λέγεται τὸ ἔχον δύο πύλας καὶ εἰσόδους, μίαν μὲν τὴν αὐθεντικήν, ἑτέραν δέ, ἣν Ὅμηρος [χ 126. 132.

---

2 κρεῖσσον pro lemmate alterius scholii pos. B 3 τῆς συμμετρίας deleui, post ἐπιθυμεῖν coll. Wil 6 post βέλτιον clausulae signum minus [:] B 8. 9 τὸ δὲ — εὐτυχίᾳ eieci 12 ἐχυρῶς Dindorf ἰσχυρῶς B 15 ἴσον Wil ἴσιν B 16 ὡς Wil εἰ B 18 post μόνῃ iterum ins. τὸ τῆς συμμετρίας ὄνομα B 18. 19 πάντων Rei πᾶν B 21 ἀρχαίᾳ] ἄρδην ego 22 ἐκπέσοι scripsi πέσοι B 28 μηδέποτε A[g]B 30 lemma ex A λέγει B

333] λέγει ὀρσοθύρην. ἐγὼ οὖν, φησίν, ἐπὶ τοῦ ἀμφιπύλου οὖσα, τουτέστιν ἐπὶ τοῦ πυλῶνος, ἤκουσα φωνῆς ἔσω τοῦ μελάθρου. ἢ οὕτως· ἀμφίπυλον ὁ περὶ τὰς θύρας τόπος: — AB

138 τὸ οἴκημα, λέγει, τετέλεσται ἐμοὶ φίλον, οἷον ὑπάρχει: — B

139 οὐκ εἰσὶ δόμοι: ἀντὶ τοῦ· ἀνατέτραπται ὁ οἶκος καὶ ἠφάνισται. ἀπὸ δὲ ἀρσενικοῦ εἰς οὐδέτερον μεταβαίνει. φροῦδα γὰρ τάδε τὰ οἰκήματα λέγει: — AB

144 οἷον· κεραυνωθείην, κεραυνοβοληθείην· φλόγα γὰρ οὐρανίαν τὸν κεραυνὸν λέγει: — B

148 τὸ ἄϊες ὁ Δίδυμος ὡς πρὸς τὰς τοῦ χοροῦ φησι λέγεσθαι· ἠκούσατε; καὶ οὐ πρὸς τὸν Δία. ἐν ἤθει οὖν τὸ ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς. τοῦτο δὲ Ἀπολλόδωρος τῆς Μηδείας φησίν, ἀπὸ δὲ τοῦ ἰαχὰν τοῦ χοροῦ, ἵν' ἔχῃ λόγον τὸ κἀπιβοᾶται Θέμιν εὐκταίαν Ζῆνά τε, τοὺς δ' ὑποκριτὰς συγχέειν: — B

151 τὸ μέγεθος θαυμάζει τοῦ ἔρωτος. τίς ἄρα, φησίν, οὗτος ὁ ἔρως, ὁ τῆς ἀκορέστου ταύτης κοίτης, ὃς σπεύσει ⟨σοι⟩ θάνατον ἐπιπέμψαι; ἄπληστον δὲ λέγει τὴν κοίτην, ἐπεὶ δέον καταφρονητικῶς φέρειν καὶ μισεῖν τὸν Ἰάσονα ἑτέρᾳ συνελθόντα, ἡ δὲ καὶ οὕτως κνίζεται, ὅτι μὴ σύνεστιν αὐτῷ. τὸ δὲ σπεύσει θανάτου τελευτάν, ἀντὶ τοῦ· ἐπείξει καὶ ἐμβαλεῖ σοι θάνατον: — B

τί σοι πότε: διὰ τί ποτε, ὦ ματαία, ὁ ἔρως τῆς ἀκορέστου κοίτης σπεύδει σοι θανάτου τελευτὴν ἐμβαλεῖν: — A

154 μηδὲν τόδε λίσσου: μὴ λίσσου, φησίν, ὦ Μήδεια, τὸ θανεῖν. εἰ δὲ ὁ σὸς ἀνὴρ ἠθέτησε τοὺς ὅρκους, ἐκείνῳ γενέσθαι λίσσου τόδε, δηλονότι τὸ κεραυνωθῆναι καὶ ἀποθανεῖν: — AB

157 κείνῳ τόδε: τουτέστιν· ἐκείνῳ τόδε τὸ ἁμάρτημα μὴ λογίζου καὶ δι' ἐλπίδος ἔχε τοὺς θεοὺς ἀπαιτήσειν αὐτὸν τιμωρίαν: — AB

σύ, φησί, μὴ χαλέπαινε μηδὲ θυμοῦ. συνδικήσει δέ, ἀντὶ τοῦ σὺν τῷ δικαίῳ ἐπεξελεύσεται: — B

---

2 εἰσ πυλῶνασ A 2. 3 ἢ — τόπος om. B 3 ἀμφίπυλον ὁ scripsi ἀμφίπυλοσ A 5 lemma ex A καὶ om. B 6 μετέστη B 6. 7 τάδε τὰ B τὰ πάντα A 16 σοι add. Wil 23 lemma ex AB 24 τοὺς ὅρκους om. A 24. 25 λίσσου τοῦτο γενέσθαι A 25 ἀποθανεῖν καὶ κεραυνωθῆναι A 26 lemma ex A 26 — p. 153, 2 cf. Eust. p. 633, 44 διὸ καὶ τὸ κείνῳ τόδε μὴ χαράσσου (δ over σσ) ἀντὶ τοῦ μὴ ἐπίγραφε ἑρμηνεύουσιν οἱ παλαιοί 28 lemma μὴ λίαν τάχου ο add. B

ἤγουν τῷ Ἰάσονι. ἤγουν τὸ ἁμάρτημα μὴ ὀργίζου, μὴ ἐπιγράφου: — $A^g$

162 κατάρατον: τὸν κατευχῶν ἄξιον, τὸν χαλεπώτατον: — $B^1$

166 ἀπῳκίσθην: — $B^1$

167 Τιμαχίδας ἐπὶ τὰ πρόχειρα πᾶσιν ἐνεχθεὶς τὸν Ἄψυρτόν φησι λέγειν αὐτήν, τοῦ Εὐριπίδου μήτε ἐνταῦθα μήτε ἐν τῷ Αἰγεῖ δηλώσαντος ὀνομαστὶ τὸν Ἄψυρτον. ὁ δὲ Φερεκύδης [frg. 73] διὰ τοῦ ξ ὀνομάζει αὐτόν. Δικαιογένης δὲ ἐν τῇ Μηδείᾳ [FTG p. 775] Μεταπόντιον αὐτὸν ὀνομάζει. ἀνῃρῆσθαι δὲ αὐτὸν οἱ μὲν ὑπὸ Μηδείας, οἱ δὲ ὑπὸ τῶν Ἀργοναυτῶν. Λέων δὲ ὁ ῥήτωρ [FHG II p. 331,5] οὐ σφαγῆναι, ἀλλὰ διαφθαρῆναι αὐτὸν φαρμάκοις: — B

Ἄψυρτον λέγει τὸν ἐπιδιώξαντα αὐτὴν κατὰ πρόσταξιν τοῦ Αἰήτου. πέπεικε γὰρ αὐτὸν ἐλθεῖν εἴς τινα νῆσον ὑποβαλοῦσα τῷ Ἰάσονι δόλῳ τινὶ τοῦτον ἀνελεῖν: — $B^1$

169 Θέμιν εὐκταίαν: τῶν διαβεβοημένων ἐστὶ ζητημάτων καὶ τοῦτο, πῶς ἡ μὲν Μήδεια τὴν Θέμιν καὶ τὴν Ἄρτεμιν ἐπιβοᾶται, ἡ δὲ πρεσβῦτις ἀντὶ τῆς Ἀρτέμιδος τὸν Δία φησὶν αὐτὴν ἐπιμαρτύρασθαι. Ἀπολλόδωρος μὲν οὖν φησιν ὁ Ταρσεὺς τῆς ἀμφιβολίας αἰτίους εἶναι τοὺς ὑποκριτάς, συγχέοντας τὰ χορικὰ τοῖς ὑπὸ τῆς Μηδείας λεγομένοις. δεῖν δὲ τὴν διαστολὴν γεγονέναι μὲν ἐκ τοῦ τὴν Μήδειαν ἅπαντα ταῦτα λέγειν αἶ αἶ διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη ἕως τοῦ ἄιες ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς, τὰ δὲ ἑξῆς τῷ χορῷ προσάψαι. οὕτως γὰρ ἐχούσης τῆς διαστολῆς, [ὡς] αὐτῆς φησάσης τῆς Μηδείας διαρρήδην προσκαλεῖσθαι τὸν Δία, τὰ ἑξῆς τὸν χορὸν λέγειν ἰαχὰν οἵαν ἁ δύστανος μέλπει νύμφα· εἰ δὲ μή, γελοῖον δοκεῖν τῆς Μηδείας καταρασαμένης ἑαυτῇ τὸν χορὸν λέγειν ἄιες, ὦ Ζεῦ καὶ γᾶ καὶ φῶς. λελύσθαι οὖν τὴν ἀπορίαν * * εἰκότως τὴν πρεσβῦτιν ἔνδοθεν κατηκοῦσθαι τῆς Μηδείας καὶ λέγειν κλύεθ', οἷα λέγει. ὁ δὲ Δίδυμός φησιν ὅτι διὰ τοῦ λέγειν διά μου κεφαλῆς φλὸξ οὐρανία βαίη ἐπικαλεῖται τὸν Δία. τίς γὰρ εἶχεν αὐτῇ ἐπιπέμψαι τὸν κεραυνόν, εἰ μὴ ὁ Ζεύς; εἰ δὲ ἡ πρεσβῦτις μὴ

---

8—11 cf. schol. Apoll. Arg. 4, 223. 228 12—14 cf. Apoll. Arg. 4, 411 sq. 15 lemma ex AB ζημάτων B 16 αὐτὸ A ἐπιβοᾶται scripsi ἀντιβοᾶται A βοᾶται B 17 ἀντιμαρτύρεσθαι A 18 — p. 154, 2 Ἀπολλόδωρος — Θέμιν om. A 20 δεῖν scripsi δεῖ B μὲν ἐκ τοῦ B μὴ ἐκ τοῦ ⟨ἄιες, ἀλλ' ὥστε⟩ ego ⟨οὕτως⟩· τὴν μὲν Μήδειαν — λέγειν ἐκ τοῦ Wil 23 ὡς del. Wil φησάσης scripsi φησὶ B 25 δοκεῖν scripsi δοκεῖ εἶναι B 27 lacunam indicaui, suppl. ἄλλοι δὲ Wil et simile quid Rei, sed plura desunt 30 δὲ Dindorf καὶ B

πάντων ὧν ἡ Μήδεια ἐπεκαλέσατο ἐμνήσθη, οὐ παράδοξον· ἠρκέσθη γὰρ τοῖς σεμνοτάτοις. οἱ δὲ λείπειν φασὶ τὸ ὄμνυμι Ζῆνα καὶ Θέμιν: — AB

171 λείπει τὸ κακῷ, ἔν τινι μικρῷ κακῷ· ἀλλὰ δηλονότι μέγα καταπραξαμένη κακὸν παύσεται τῆς ὀργῆς: — $B^1$

173 πῶς ⟨ἂν⟩ φησί, συντυχοῦσα αὐτῇ διαλεχθείην, καὶ πῶς ⟨ἂν⟩ τῶν παρ' ἐμοῦ ῥηθησομένων λόγων τὴν φωνὴν δέξαιτο. ὀμφὴν γὰρ νῦν τὴν φωνὴν λέγει ἢ τὴν ὁμιλίαν καὶ οὐχὶ τὴν κληδόνα: — B

174 αὐδηθησομένων: — $B^1$

178 τὸ ἔπαρμα καὶ ἡ ὁρμὴ τῆς διανοίας, τὸ εἰς τοὺς φίλους σπουδαίαν εἶναι μὴ ἀπέστω μου. ἢ οὕτως· ἡ ἐμοὶ παροῦσα προθυμία μὴ ἐκτὸς τῶν φίλων ἀπέστω: — $B^1$

183 αὐτὴν λέγει [κακόν τι ποιῆσαι] ἢ τοὺς παῖδας: — $B^1$

184 ἀλλ' εἰ φοβερὸν καὶ δυσχερὲς πεῖσαι τὴν ἐμὴν δέσποιναν θυμουμένην ἐνταῦθα προελθεῖν, ὅμως ἐγὼ τήνδε σοὶ τὴν χάριν καταθήσω καὶ εἰσελθοῦσα καλέσω αὐτὴν ὑπὲρ τοῦ μὴ μοχθεῖν καὶ ἀδημονεῖν σε ἑστῶσαν καὶ προσδεχομένην: — B

186 ὑπὲρ τοῦ μόχθου οὗ περὶ ἡμᾶς ἔχεις. τὸ δὲ χάριν κατὰ κοινοῦ: — $B^1$

187 καίτοι τοκάδος: λείπει τὸ ἔχουσα. καίτοι, φησίν, ἡ δέσποινα δεινὸν ὁρᾷ τοῖς τολμῶσιν αὐτῇ πλησιάζειν ἔχουσα λεαίνης τετοκυίας τὸ βλέμμα, καὶ ὅμως, οὕτως ἐχούσης αὐτῆς θυμοῦ, εἰς σὴν χάριν εἰσελεύσομαι· τοῦτο γὰρ ἀπὸ κοινοῦ: — AB

188 ἀποταυροῦται: ταυρηδὸν σχηματίζεται τῷ προσώπῳ, ὡς βλέμμα μὲν ἔχειν λεαίνης, σχηματίζεσθαι δὲ τῷ προσώπῳ ὁμοίως ταύρῳ θυμουμένῳ: — AB

οὕτως, φησίν, ἀποβλέπει εἰς ἡμᾶς ὀργίλως, ὡς λέαινα ὀργισθεῖσα ὑπὲρ τῶν τέκνων αὐτῆς: — $AB^1$

190 ἀνοήτους ἀπαιδεύτους. τοὺς πρόσθε, τοὺς ἀρχαίους: — $B^1$

192 θυσίαις. διὸ καὶ σεσημείωται: — $B^1$

193 εἰλαπίναις: ἑορταῖς. παρὰ δείπνοις δέ, τὰ παροίνια φησιν: — $B^1$

---

5 ἂν (bis) addidi 9 τὴν ὁρμὴν $B^1$ 12 κακόν — ποιῆσαι eieci 14 προελθεῖν Matthiae προσελθεῖν B 19 lemma ex AB λείπει — ἔχουσα om. A 19. 20 ἡ — ὁρᾷ] ὡς δεινὸν ὁρᾷ ἡ δέσποινα A 21. 22 καὶ — κοινοῦ om. A 23—25 scholio quod praecedit adi. B initio add. ἀποταυροῦται δὲ ἀντὶ τοῦ 24 τὸ πρόσωπον B 26. 27 scholio quod praecedit adi. A 30 τὰ παροίνια Wil τὴν παροινίαν $B^1$

197 ἐξ ὧν, λυπῶν, αἱ δειναὶ συμφοραὶ πταίειν καὶ ἀποτυγχάνειν ποιοῦσι τοὺς οἴκους: — B$^1$

199 κέρδος ἀκεῖσθαι: τὴν λύπην θεραπεύειν δι' ᾠδῶν κέρδος ἐστί. καίτοι τὸ ἀκεῖσθαι καὶ θεραπεύειν τὰς λύπας τῶν ἀνθρώπων κέρδος ἐστὶ καὶ ὠφέλεια. τίς δὲ χρεία ἐν συμποσίοις στρέφειν ὕμνους, ὅπου καὶ χωρὶς τῶν ὕμνων αὐτὴ ἡ παρουσία τῶν συμποτῶν τέρψιν ἔχει: — AB

201 τίς γὰρ ἐκεῖ χρεία μουσικῆς αὐτῶν τῶν ἀπὸ θοίνης τερπόντων: — τείνουσι δὲ βοήν, ἀντὶ τοῦ ᾄδουσι μετὰ τόνου. ἡ γὰρ εὐωχία ἱκανή ἐστιν εἰς τὸ τέρψαι τοὺς ἀνθρώπους: — B$^1$

205 ἀντὶ τοῦ· λιγυρῶς, ὀξέως, τὰ ἄχεα, φησίν, ἡ μογερὰ Μήδεια βοᾷ: — B$^1$

208 τὴν πάρεδρον τῷ Διὶ δικαιοσύνην. ὁρκίαν δὲ αὐτὴν εἶπεν ὡς τῶν ὅρκων ἔφορον καὶ συνθηκῶν πρύτανιν. τὴν θεὸν ἐπικαλεῖται ὡς ἑξῆς ἐπάγει, ὥστε καὶ ἄνω διὰ τῆς Θέμιδος τὸν Δία ἐπικαλεῖσθαι: — A

ταῦτα τοῖς ἀξιοῦσιν ὑπὸ τῆς Μηδείας διὰ τῆς Θέμιδος προσειλῆφθαι τὸν Δία συμπράττει. οἱ γοῦν προυπομνηματισάμενοι γράφουσιν οὕτως· 'δύναται τὸ λέγειν Ζηνὸς ὁρκίαν Θέμιν βοηθῆσαι τοῖς προεκκειμένοις ὅτι διὰ τῆς Θέμιδος τὸν Δία ἐπεκαλεῖτο, διὰ τὸ εἶναι Διὸς τὴν Θέμιν'. λέγει οὖν ὅτι τοῖς ταύτης ὅρκοις πιστεύσασα ἔπραξεν ἃ ἔπραξεν. ἥτις, Θέμις, αὐτήν, τὴν Μήδειαν, διαβῆναι πεποίηκεν εἰς τὴν Ἑλλάδα τὴν ἀντίπορον τῆς Σκυθίας. ἀντίπορον δὲ τὴν ἐναντίαν κατὰ τὸν πόρον, ἢ κατὰ τὸν τόπον. ἡ μὲν γὰρ ἐν τοῖς δυτικοῖς κεῖται, ἡ Ἑλλάς, ἡ δὲ Σκυθία ἐν τοῖς ἀνατολικοῖς. πῶς δὲ ἡ Θέμις δια-

---

3 lemma ex A στυγίους δὲ βροτῶν B  3. 4 τὴν — ἐστί om. A  3 ᾠδῶν scripsi ᾠδικῶν B  4 καίτοι om. A  ἀκεῖσθαι καὶ om. A  5 τρέφειν A  6 χωρὶς — ὕμνων om. A  post αὐτὴ add. καὶ A  11 μογερᾶι μήδει B$^1$  13 lemmate ἄλλως praescripto scholio p. 153, 15—17 adi. A de laciniis quae in B extant cf. 20. 21 p. 156, 8  13 ὡς] ἢ A  14 εὔφορον A  ante τὴν add. ἢ A  15 διὰ] ἐπὶ A  16—24 scholio 13—15 adi. A post ταῦτα add. δὲ  16 διὰ om. A  17 συμπράττειν AB  προσυπομνηματισάμενοι B  18. 19 προεκκειμένοις scripsi προκειμένοισ AB  19 διὰ B δὴ A  20 λέγει οὖν om. A  post ὅτι ins. τῆι παρέδρωι τῶι διὶ δικαιοσύνηι ἤγουν B  21 ante ἥτις add. ὁρκίαν δὲ αὐτὴν εἶπεν ὡς τῶν ὅρκων ἔφορον καὶ συνθηκῶν πρύτανιν B  21—23 αὐτὴν — τόπον] ἐπόρευσεν αὐτὴν νυκτερινὴν εἰσ τὴν ἑλλάδα τὴν ἐναντίαν κατὰ τὸν πόρον τῆσ σκυθίασ A  22 post Ἑλλάδα add. διὰ B  23. 24 ἐν — Ἑλλάς] ἑλλὰσ ἐν τοῖσ δυτικοῖσ κεῖται A  24 ταῖσ ἀνατολαῖσ B  24 — p. 156, 2 πῶς — Ἰάσονι om. A

βῆναι ἐποίησε τὴν Μήδειαν; ὅτι τοῖς ὅρκοις πεισθεῖσα ἠκολούθησεν Ἰάσονι: — AB δι' ἅλα δὲ νύχιον ἐφ' ἁλμυρὰν πόντου, ἀντὶ τοῦ δι' ἁλὸς ἁλμυρᾶς, περιττευούσης τῆς ἐπί προθέσεως. ἢ τὸ ἁλμυράν πρὸς τὸ ἑξῆς συναπτέον. τουτέστι· διεβίβασεν αὐτὴν εἰς τὴν Ἑλλάδα δι' ἁλὸς ἐπὶ τὴν ἁλμυρὰν τοῦ πόντου κληῖδα. λέγει δὲ τὸ στενὸν [ὅθεν καὶ κλεῖδα τὸ στενὸν ἐκεῖνο ὠνόμασε] παρὰ τὸ ὥσπερ κλεῖδα εἶναι τοῦ προκειμένου Πόντου. ἀπὸ γὰρ τοῦ στενοῦ ἐπὶ τὸν Πόντον ἐξίασι. νύχιον δὲ αὐτήν φησι διὰ ⟨τὸ⟩ νυκτὸς πεφευγέναι: — B

211 διὰ τὸ νυκτὸς πεφευγέναι, ὡς Ἀπολλώνιος [4, 1 sq.]: — B[i]

212 δυσχερῆ πρὸς τὸ περᾶσαι: — B[i]

214 Κορίνθιαι γυναῖκες: χρὴ νοεῖν ὅτι κατὰ τὸ σιωπώμενον εἰσελθοῦσα ἡ γραῦς παρεκάλεσε τὴν Μήδειαν ἐξελθεῖν πρὸς τὰς ἀπὸ τοῦ χοροῦ. αὕτη οὖν ἐξελθοῦσά φησιν· ἐξῆλθον πρὸς ὑμᾶς, ὦ γυναῖκες, ἵνα μή μοι τι μέμψησθε ὡς δι' ὑπερηφανίαν μὴ προελθούσῃ: — AB

ἄλλως: ὦ Κορίνθιαι γυναῖκες, ἐξῆλθον ἐκ τῶν δόμων, ἵνα μὴ μέμψησθέ μοι, καίτοι ἐπίσταμαι πολλοὺς τῶν ἀνθρώπων σεμνοὺς γεγῶτας, τοὺς μὲν ὀμμάτων ἄπο, τοὺς δ' ἐν θυραίοις, οἷον· ὑπερηφάνους νομιζομένους τοὺς μὲν ἀπὸ τοῦ χωρίζεσθαι καὶ ἄποθεν τῶν ὀμμάτων εἶναι, τοὺς δὲ διὰ τὸ προέρχεσθαι, καὶ συνεχῶς ἐπιφαίνεσθαι· ἐξ οὗ τὸ ἁπανταχόθεν ἐπίφθονον καὶ εὐδιάβολον τῶν ἀνθρώπων συνάγει, ὅτι εἰς μηδὲν ἀρέσκονται. εἶτα πάλιν κατὰ τούτων ἐπιφέρει ὅτι καὶ οἱ ἀφ' ἡσύχου ποδὸς καὶ ἐν ἐρημίᾳ τὰ ἑαυτῶν πράττοντες δύσκλειαν κτῶνται καὶ ἀργίαν, οἷον· καὶ οὗτοι διαβάλλονται ὑπὲρ τούτου. οὕτως ὁ Εἰρηναῖος. δίκη γὰρ οὐκ ἔνεστ' ἐν ὀφθαλμοῖς βροτῶν: φησὶν ὅτι διὰ τοῦτο προῆλθον πρὸς ὑμᾶς, καίτοι ἐπισταμένη ὅτι καὶ τὸ ἐπιφοιτᾶν ἐπικίνδυνόν ἐστιν, ὅμως δ' οὖν, ἵνα [μὴ] δι' ἔργων καὶ ἀπ' αὐτῆς τῆς διανοίας γνωρίσητέ με ἥτις εἰμί. οὐ γάρ, φησίν, ἐν ὀφθαλμοῖς ἀνδρῶν καὶ ἐν τῇ ὄψει μόνῃ περί τινος δίκη καὶ κρίσις ἐστίν, ἤτοι τὸ δίκαιον οὐκ ἀπὸ μόνης τῆς ὄψεως εὑρίσκεται. τὸ δὲ κατάλλη-

---

6 ὅθεν — ὠνόμασε del. Wil 8 post δὲ ins. λέγει τὴν θεὸν ὡσ ἑξῆσ ἐπάγει ὥστε καὶ ἄνω διὰ τῆσ θέμιδοσ τὸν δία ἐπικαλεῖσθαι ἡ θέμις δὲ B τὸ addidi 9 πεφευγέναι ὡς Ἀπολλώνιος Wil et Rei πρὸσ ἀπόλλωνα B[i] 11 lemma ex AB ὅτι om. A 12. 13 πρὸσ τὸν χορόν A 13 ἡμᾶσ A 14 μοί τι B ποτε A προσελθούση A 16 με B 24 signum lemmatis addidi ἔνεστιν ἐν B 25 προῆλθον scripsi προσῆλθον B 26 μὴ del. Wil 27 ἀπ' Wil ἐπ' B 29 ἤτοι Wil ἢ ὅτι B

λον οὕτως μᾶλλον σαφὲς γίνεται· ὅτι ἡ δίκη οὐκ ἔστιν ἐν ὀφθαλμοῖς βροτῶν. οὐδὲ δίκαιος οὗτος ὃς πρὶν τὸ σπλάγχνον σαφῶς ἐκμαθεῖν τοῦ πέλας, στυγεῖ ἀπὸ τῆς ὄψεώς τινα οὐδὲν ἠδικημένος ὑπ' αὐτοῦ. οὕτως Εἰρηναῖος: — εἰς δὲ τὸ μή μοι τι μέμφησθε προσληπτέον ἔξωθεν τὸ ὅπως. αἰτίαν γάρ φησι τοῦ ἐξεληλυθέναι, ὅπως μὴ ὑπὸ αἰτίαν πέσῃ: — B

216 σεμνοὺς γεγῶτας: πολλοὶ γάρ, φησί, τῶν ἀνθρώπων διὰ τὸ κεχωρίσθαι καὶ μὴ ὁμιλεῖν τισιν ἀλαζόνες καὶ ὑπερήφανοι ἔδοξαν εἶναι. οἱ δὲ ἐκ τῶν ἐναντίων συνεχῶς φαινόμενοι καὶ ἐπιπολάζοντες ὀχληροὶ καὶ ἐπαχθεῖς ἔδοξαν εἶναι. ἔνιοι δ' αὐτῶν ἡσύχιον βίον ἑλόμενοι καὶ προιόντες μὲν οὐδενὶ δὲ πελάζοντες εὐτελεῖς ἐνομίσθησαν καὶ νωθροί· ῥᾳθυμίαν γὰρ τὴν νωθρότητα λέγει. καὶ νῦν δὲ τὸ σεμνὸν ἀντὶ τοῦ ὑπερήφανον ὡς καὶ ἐν Ἱππολύτῳ [92] 'μισεῖ τὸ σεμνὸν καὶ τὸ μὴ πᾶσιν φίλον'. γεγῶτας δέ, δοκοῦντας εἶναι: — B

ἄλλως: ὀμμάτων ἄπο: ἀντὶ τοῦ· κεχωρισμένους καὶ πόρρωθεν ὄντας. ἢ νοουμένους ἀπὸ τῆς τῶν ὀφθαλμῶν καταστάσεως. τοῦτο δὲ οὐκ οἰκεῖον τοῖς ἐπιφερομένοις: — B

μὴ ὁρωμένους: — B[3]

217 οἱ δ' ἀφ' ἡσύχου: οἷον ἡσύχιον βίον ἐπανῃρημένοι. ἀντὶ τοῦ· φαινόμενοι, μηδὲν δὲ πράττοντες, ἀλλ' ἡσυχίαν ἄγοντες. ἄλλοι δὲ ἐπὶ ἡσυχίας ἰδιοπραγμονοῦντες ὑπόνοιαν ἔσχον δυσκολίας καὶ ἀργίας. ῥᾳθυμίαν γὰρ τὴν ἀργίαν: — B

οἱ ἡσύχιον βίον ἐπανῃρημένοι δυσκλεεῖς μὲν ἐνομίσθησαν, πρᾷοι δὲ τὴν ψυχήν. τοὺς ἐν θυραίοις δέ φησι [ἀντὶ] τοὺς ἐν τοῖς οἴκοις τῶν ἑτέρων συνεχῶς φαινομένους, παρὰ τὸ Ἰσοκρατικὸν [1, 20] 'τὰς ἐντεύξεις μὴ ποιοῦ πυκνάς': — B[1]

219 δίκη γὰρ οὐκ ἔνεστιν: διὰ τοῦτο δὲ συμβαίνει τὸ ἄλλοτε ἄλλως τοὺς ἀνθρώπους τὰ ἀλλήλων δοξάζειν, διὰ τὸ μὴ δύνασθαι ἐξ ὄψεως δοκιμάζειν ἑκάστου τὸν τρόπον· ὅπερ πάσχουσιν οἱ πολλοί, οἳ πρὶν τὸν τρόπον σαφῶς κατανοῆσαι, ἁπλῶς ἐκ τῆς τῶν ὀφθαλμῶν προσβολῆς μισοῦσι τὸν δεῖνα οὐδὲν ἠδικημένοι πρὸς αὐτοῦ: — B

222 χρὴ δὲ ξένον μέν: προσήκει δὲ πάντα ξένον πρὸς τὰ τῆς πόλεως νόμιμα χωρεῖν καὶ ἁρμόζειν ἑαυτὸν τοῖς ἤθεσι τῶν πο-

1 οὕτως scripsi ὅτι B 5 ὅπως (prius)] ὅπου B 11 προιόντες scripsi παρόντες B 24 ἀντὶ deleui 26 ποιοῦ πυκνάς Pseudoisocrates ποιουμένους B[1] 32 lemma ex A 33 χωρεῖν A χαίρειν B

λιτῶν. ὅθεν κἀγὼ πρόσειμι πρὸς ὑμᾶς τὸ πρέπον τοῖς ἐπὶ ξένης πράττουσα: — AB

226 τὴν ἐν τῷ βίῳ ἡδονήν, περιφραστικῶς αὐτὸ τὸ ζῆν: — B

228 τοῦτο ἐν ἤθει ἀναπεφώνηται: — B

ἐν ᾧ ἦν μοι πάντα, κάκιστος ἀνδρῶν ἐκβέβηκεν. οἱ δ' ὑποκριταὶ οὐ συμπεριφερόμενοι τῷ τρόπῳ λέγουσι γινώσκειν καλῶς: — B

232 χρημάτων λέγει τῶν εἰς τὴν φέρνην. τοῦτο δὲ ὁ Εὐριπίδης ἀπὸ τῆς καθ' αὑτὸν συνηθείας λέγει. οἱ δὲ ἥρωες οὐχ οὕτως ἐποίουν τοὺς γάμους, ἀλλ' ἐκ τῶν ἐναντίων αὐτοὶ ἐδίδοσαν, καθάπερ καὶ αὐτὸς ἐν ἄλλοις παρίστησι. καὶ Ὅμηρος [Λ 244]· 'πρῶθ' ἑκατὸν βοῦς δῶκεν, ἔπειτα δὲ χίλι' ὑπέστη': — B

233 ἀναχρονισμός· οἱ γὰρ ἥρωες τὸ ἐναντίον παρεῖχον: — B

234 κακοῦ γὰρ τοῦτ': κακὸν μὲν τὸ χρημάτων ὑπερβολῇ πρίασθαι, ἀλγεινότερον δὲ κακὸν τὸ καὶ δεσπότην ἄντικρυς λαμβάνειν: — AB

235 ἢ κακὸν λαβεῖν: ὅτι κἂν κακὸς ᾖ, στέργειν δεῖ. ἀκλεὲς γὰρ γυναικὶ ἀπολιπεῖν τὸν οἰκεῖον ἄνδρα: — AB

238 εἰς καινὰ δ' ἤθη: τοῦτο πρῶτόν ἐστι τῇ τάξει τῶν πραγμάτων [τοῦ] κατὰ τὸν νόμον τοῦ γάμου. πρότερον γάρ ἐστι τὸ τὴν παρθένον ἀπιέναι πρὸς τὸν νυμφίον, εἶθ' οὕτως πειρᾶσθαι τούτου εἴτε δεξιοῦ ἢ κακοῦ. καινὰ δ' ἤθη λέγει καὶ νόμους τοὺς παρὰ τῷ ἀνδρί. νόμους δὲ λέγει τοὺς τῆς οἰκίας κανόνας καὶ τύπους: — AB

τὰ ἤθη καὶ τοὺς νόμους τῶν ἀνδρῶν: — B

242 μὴ βίαν ἡγούμενος μηδὲ ἀνάγκην τὴν συμβίωσιν: — B

244 ὅταν τι τῶν κατ' οἰκίαν λυπῇ, προελθών που παρεμυθήσατο: — B

247 τὴν τοῦ ἀνδρός: — B[i]

249 οἱ ἄνδρες: — B[i]

---

1 πρόσειμι B  1. 2 ξένοις πράττουσιν A  10 cf. Hipp. 625  13 lemma ex A  14 post δεσπότην add. αὐτὸν A  16 ἢ κακὸν λάβῃ A οὐ γὰρ εὐκλ (ε supra) B  16. 17 ἀκλεὲς — ἄνδρα] οὐ γὰρ εὐκλεὲς γυναῖκα καταλιπεῖν τὸν οἰκεῖον ἄνδρα ἀλλ' ἀκλεές B  17 ἀπολιπεῖν scripsi ἀντιλυπεῖν A  18 lemma ex A  18. 19 τῶν πραγμάτων ego τοῦ πράγματος AB  19 τοῦ del. Dindorf  τὸν om. B  19. 20 παρθενίαν A  20 ante ἀπιέναι ins. τῶν πραγμάτων A παρα τῶν πραγμάτων B  21 ἤθει B ἤδη A  περὶ A

252 οὐχὶ περὶ σοῦ, φησί, ταῦτα ⟨ἂν⟩ λεχθείη· οὐ γὰρ ὁμοίως ἔχεις ἐμοὶ τύχης: — B

256 **βαρβάρου λελησμένη**: ἀντὶ τοῦ λεληϊσμένη· συνήλιπται γάρ· καὶ ὥσπερ αἰχμαλωτισθεῖσα. δεινοπαθοῦσα τοῦτό φησιν ὡς προσδοκήσασα μὲν σύνοικον ἕξειν τὸν Ἰάσονα, δεινότερα δὲ αἰχμαλώτου πάσχουσα: — $AB^1$

258 **μεθορμίσασθαι**: λείπει τὸ ὥστε, ὥστε μεθορμίσασθαι. τὸ δὲ ἑξῆς· οὐ μητέρα, οὐκ ἀδελφόν, οὐ συγγενῆ ἔχουσα πρὸς τὸ καταφυγοῦσαν πρός τινα τούτων ἀπαλλαχθῆναι τῆς συμφορᾶς. ἡ μεταφορὰ ἀπὸ τῶν μεθορμιζόντων εἰς τοὺς εὐδιεινοτέρους τόπους: — AB

263 ἀντὶ τοῦ δειλοτάτη. ἀπὸ κοινοῦ τὸ **τίσασθαι**: — $B^1$

264 **κακὴ δ' ἐς ἀλκήν**: ἀντὶ τοῦ ἀσθενής. ὁ δὲ λόγος· πᾶσα μὲν γυνὴ δειλοτάτη ἐστὶν ἐν τοῖς ἄλλοις ἅπασι καὶ ἀσθενής, οὐδὲ ὅσον γυμνὸν ἰδεῖν ξίφος καρτεροῦσα· ὅταν δὲ εἰς κοίτην ἀδικηθῇ, τολμηροτάτη γίνεται: — AB

Παρμενίσκος γράφει κατὰ λέξιν οὕτως· 'ταῖς δὲ Κορινθίαις οὐ βουλομέναις ὑπὸ βαρβάρου καὶ φαρμακίδος γυναικὸς ἄρχεσθαι αὐτῇ τε ἐπιβουλεῦσαι καὶ τὰ τέκνα αὐτῆς ἀνελεῖν, ἑπτὰ μὲν ἄρσενα, ἑπτὰ δὲ θήλεα. [Εὐριπίδης δὲ δυσὶ μόνοις φησὶν αὐτὴν κεχρῆσθαι.] ταῦτα δὲ διωκόμενα καταφυγεῖν εἰς τὸ τῆς Ἀκραίας Ἥρας ἱερὸν καὶ ἐπὶ τὸ ἱερὸν καθίσαι. Κορινθίους δὲ αὐτῶν οὐδὲ οὕτως ἀπέχεσθαι, ἀλλ' ἐπὶ τοῦ βωμοῦ πάντα ταῦτα ἀποσφάξαι. λοιμοῦ δὲ γενομένου εἰς τὴν πόλιν πολλὰ σώματα ὑπὸ τῆς νόσου διαφθείρεσθαι. μαντευομένοις δὲ αὐτοῖς χρησμῳδῆσαι τὸν θεὸν ἱλάσκεσθαι τὸ τῶν Μηδείας τέκνων ἄγος. ὅθεν Κορινθίοις μέχρι τῶν καιρῶν τῶν καθ' ἡμᾶς καθ' ἕκαστον ἐνιαυτὸν ἑπτὰ κούρους καὶ ἑπτὰ κούρας τῶν ἐπισημοτάτων ἀνδρῶν ἐναπενιαυτίζειν ἐν τῷ τῆς θεᾶς τεμένει καὶ μετὰ θυσιῶν ἱλάσκεσθαι τὴν ἐκείνων μῆνιν

---

1 ἂν addidi 3 συνήλιπται Dindorf συνείληπται $AB^1$ 4 ante τοῦτο add. δὲ A φησιν scripsi ἔφη $AB^1$ 5 δεινώτερα $B^1$ δεινότερον A 7 lemma ex B λείπει — μεθορμίσασθαι om. A ὡς ὥστε B 8 οὐ (alterum) A οὐχὶ B σχοῦσαν A 8. 9 ἀντιφυγοῦσαν A 9 ἀπαλλαχθῆναι scripsi μεταβληθῆναι B ἀντιβληθῆναι A 10 εὐδινωτέρους τρόπους A 12 lemma ex AB ὁ δὲ λόγος om. A 13 ἐν om. A 13. 14 ὅσον — ἰδεῖν] εἰς τὸ ὁρᾶν γυμνὸν A 14 ἀδικηθῆι B ἄλλην ὁ ταύτης πόσις εἰσέλθῃ A 16 sine lemmate uel signo B cf. schol. 10 Aelian. VH 5,21 initium Parmenisci uerborum mutilatum, post βουλομέναις add. εἶναι Wil 19 Εὐριπίδης — κεχρῆσθαι recens adiecta 22 εἰς τὴν πόλιν Parmeniscus non scripsit

καὶ τὴν δι' ἐκείνους γενομένην τῆς θεᾶς ὀργήν'. Δίδυμος δὲ ἐναντιοῦται τούτῳ καὶ παρατίθεται τὰ Κρεωφύλου ἔχοντα οὕτως· 'τὴν γὰρ Μήδειαν λέγεται διατρίβουσαν ἐν Κορίνθῳ τὸν ἄρχοντα τότε τῆς πόλεως Κρέοντα ἀποκτεῖναι φαρμάκοις. δείσασαν δὲ τοὺς φίλους καὶ τοὺς συγγενεῖς αὐτοῦ φυγεῖν εἰς Ἀθήνας, τοὺς δὲ υἱούς, ἐπεὶ νεώτεροι ὄντες οὐκ ἠδύναντο ἀκολουθεῖν, ἐπὶ τὸν βωμὸν τῆς Ἀκραίας Ἥρας καθίσαι νομίσασαν τὸν πατέρα αὐτῶν φροντιεῖν τῆς σωτηρίας αὐτῶν. τοὺς δὲ Κρέοντος οἰκείους ἀποκτείναντας αὐτοὺς διαδοῦναι λόγον ὅτι ἡ Μήδεια οὐ μόνον τὸν Κρέοντα, ἀλλὰ καὶ τοὺς ἑαυτῆς παῖδας ἀπέκτεινε'. γεγονέναι δὲ παραπλήσιον μυθεύεται καὶ περὶ τὸν Ἄδωνιν: — B

269 οὐ θαυμάσω σε ἐπὶ τῷ πενθεῖν τὰς τύχας· δικαίως γὰρ πενθεῖς: — B[1]

276 τῶν τελευταίων τόπων. ἡ δὲ εὐθεῖα τούτου τὰ τέρμονα: — B[1]

278 ἐχθροὶ γὰρ ἐξιᾶσι: οἱ ἐχθροὶ οὐριοδρομοῦσι καθ' ἡμῶν καὶ ὥρμηνται πάντα τρόπον ἐφ' ἡμᾶς, ἀπὸ μεταφορᾶς τῶν οὐριοδρομούντων καὶ χαλώντων πρὸς τὸ πνεῦμα ⟨τὰ⟩ τοῦ ἀρτέμονος: — B

οἷον πᾶσαν μηχανήν: — B[1]

279 εὐεπιβούλευτος καὶ ῥᾳδία πρὸς τὸ διαφυγεῖν ἄτην: — B[1]

281 ἀντὶ τοῦ ἀπείργεις. ἐξεδέξαντο δὲ καὶ κατὰ ἀναστροφήν, ἀπὸ γῆς στέλλεις: — B[1]

282 δέδοικά σ', οὐδέν: τὸ ἑξῆς· δέδοικα σε μή μοι τι δράσῃς. παραμπέχειν, ἀντὶ τοῦ περικαλύπτειν. ὁ δὲ νοῦς· εὐσχημόνως οὐ δεῖ τοὺς λόγους λέγειν καὶ περιστέλλειν καὶ περικαλύπτειν, ἀλλ' ἐκ τοῦ ἐναντίου ἐμφαίνειν καὶ ἄντικρυς λέγειν ὅτι δέδοικά σε. ἡ δὲ μεταφορὰ ἀπὸ τῆς ἀμπεχόνης: — A

τὸ ἑξῆς· δέδοικα μή μοί τι δράσῃς παῖδα. παραμπέχειν δὲ. [φυλάσσεσθαι ἤτοι] φυλάσσειν περιστέλλειν ἀποκρύπτειν. καὶ τὸ μαλθακισθέντα δὲ. ἀντὶ τοῦ ἀμελῶς προσενεχθέντα. ἢ μαλθακισθέντα τοῖς σοῖς λόγοις: — B

---

2 κρεοφύλου B  2—9 Apollod. bibl. 1, 9, 28, 3 λέγεται δὲ καὶ ὅτι φεύγουσα τοὺς παῖδας ἔτι νηπίους ὄντας κατέλιπεν ἱκέτας καθίσασα ἐπὶ τὸν βωμὸν τῆς Ἥρας τῆς Ἀκραίας, Κορίνθιοι δὲ αὐτοὺς ἀναστήσαντες κατετραυμάτισαν  6 καθίσαι Matthiae καθιεῖν B  10 ἀδελφόν siue Ἄψωρον Wil  11 τὰς] γὰρ B[1]  16 τὰ addidi  18 ἄτην scripsi αὐτὴν B[1]  19 ἀπείργεις scripsi ἐπείγεις B[1] Hesych. ἀποστέλλεις ἀπείργεις κωλύεις. Εὐριπίδης Μηδείᾳ  27 φυλάσσεσθαι ἤτοι del. Wil pro falsa lectione uocabuli φυλάσσειν

283 ἀμήχανον ἀθεράπευτον: — B[i]

285 ἔμπειρος φαρμακὶς καὶ μάγος: — B[i]

289 κακοποιῆσαι: — B[i]

293 ἔβλαψε δόξα: ἀντὶ τοῦ· ἡ δόξα μου βλάπτει με. σὺ γὰρ νομίζων με σοφὴν ἀπελαύνεις με δεδοικώς με: — B

ἡ ὑπόνοια τῆς σοφίας: — B[i]

295 συνετοὺς ἄγαν. ὑπερβαλλόντως: — B[i]

296 ἧς ἔχουσιν ἀργίας: τὸ ἧς ἔχουσιν ἀργίας εἶπεν οὐχ ὡς τῷ ὄντι ἀργῶν ὄντων τῶν σοφῶν· προφανὲς γὰρ ὅτι μέγιστος πόνος περὶ τὴν φιλοσοφίαν καὶ σπουδή· Ἡσίοδος [opp. 289]· 'τῆς δ' ἀρετῆς ἱδρῶτα θεοὶ προπάροιθεν'· ἀλλ' ὡς πολλῶν δοξαζόντων οὐκ ὀρθῶς ἀργοὺς εἶναι τοὺς σοφούς. οἱ σοφοὶ οὖν, φησί, πρὸς τῷ δόξαν ἀργίας ἔχειν καὶ φθονοῦνται ὑπὸ τῶν ἄλλων ἀνθρώπων· ὅθεν, φησί, καλῶς ἔχειν κρίνω μὴ χρῆναι εἰς ἄκρον παιδεύσεως ἥκειν τινά, ἵνα καὶ τούτων ἐκτὸς ᾖ. τοῦτο δὲ οὐ δογματίζων ὁ ποιητὴς λέγει, ἀλλ' ἁρμοζόμενος πρὸς τὸ ὑφεστηκὸς ἦθος, ἐπεὶ δοκεῖ ἡ Μήδεια σοφίας ἔχουσα δόξαν βλάπτεσθαι: — AB

297 εὑρίσκουσιν, ἀπὸ τοῦ ἄλφα στοιχείου: — B[i]

298 τοῖς ἀπαιδεύτοις, τοῖς ἀνοήτοις: — B[i]

παράδοξα: — B[s]

299 ἄχρηστος εὐτελὴς ἀνωφελής: — B[i]

300 ὁ σοφός, φησί, καθ' ἑκάτερον ἀδικεῖται· ὑπὸ μὲν γὰρ τῶν ἀπαιδεύτων οὐ σοφὸς εἶναι νομίζεται, τοῖς δὲ ἐλλογίμοις λυπηρὸς εἶναι καταφαίνεται ὅταν κρείττων τούτων νομισθῇ. τὸ δὲ δοκούντων οὐκ ἐπὶ ἀμφιβόλου κεῖται, ἀλλ' ἐπὶ τῶν τῷ ὄντι ὑπαρχόντων. ἢ δοκούντων [ἢ] πρὸς διαβολὴν τῶν φθονούντων ἐλλογίμων, εἰ καὶ τῇ ἀληθείᾳ ἐλλόγιμοί εἰσι, διὰ τὸ νοσεῖν τὸν φθόνον, ὅς οὐ πρὸς σοφοῦ: — AB

τῶν δοκούντων, φησίν, εἰδέναι τι κρείσσων νομισθεὶς ἐπαχθὴς

5 σοφὴν Barnes φησὶν B 7 συνετὸς B[i] 8 lemma ex AB ἧσ B δὲ A 10 περὶ τὴν φιλοσοφίαν B τῇ φιλοσοφίᾳ ἐστὶ A 10. 11 Ἡσίοδος — προπάροιθεν om. A 11 πρ[α] B 12 οὖν φησὶ om. A 13 καὶ om. A 14 χρῆν A 14. 15 ἵνα — ᾖ om. A 15 ἐκτὸς ego ἐντὸσ B 18 cf. et. m. p. 72, 50 Gud. p. 39, 39 22 κρείσσων νομισθεὶσ lemma in A signum ad us. 299 relatum in B ἕτερον A 23 εἶναι om. A 24 ἀποφαίνεται A τούτων κρείττων A 25 ἀμφιβόλωι B 25—27 ἀλλ' — σοφοῦ om. A 26 ἢ deleui διαβολὴν Rei et Wil εἰσβολὴν B

ἔσῃ. ὥστε συμβαίνει καὶ παρὰ τοῖς ἀπαιδεύτοις ἐπαχθῆ εἶναι διὰ τὸ μὴ προσίεσθαι αὐτούς, καὶ παρὰ τοῖς συνετοῖς ὁμοίως ἕνεκα τοῦ διαφέρειν δοκεῖν αὐτῶν ἐπίφθονον καὶ λυπηρὸν γίνεσθαι: — B

302 ἐγὼ δὲ αὐτή: — B[1]

303 ἐπίφθονος μὲν, ζηλωτὴ τοῖς εἰδόσι, φθονουμένη· ἡσυχαία δὲ, ἀνόητος, ἄχρηστος· τὸ δὲ θατέρου τρόπου ἢ πρὸς τὸ ἡσυχαία, ἵν' ᾖ συνετή, ἢ πρὸς τὸ τοῖς μὲν εἰμ' ἐπίφθονος, ὅ ἐστιν· ἐπίμεμπτος παρὰ τοῖς ἀπαιδεύτοις. ἢ τὸ θατέρου τρόπου ἀντὶ τοῦ ἐξηλλαγμένης [τῆς] πολιτείας, ὅ ἐστι φαρμακίς· τοιοῦτοι γὰρ οἱ σοφοὶ παρὰ τοῖς ἀπαιδεύτοις καὶ ἀμαθέσι νομίζονται: — AB

304 ἀντὶ τοῦ μωρά: —

τοῦ ἑτέρου, ὀργίλου. ἤγουν τῆς φαρμακείας: — B[1]

305 ἐναντία εἰμὶ τοῖς ἀπαιδεύτοις καὶ οὐδ' ἄγαν σοφή: — BB[1]

318 τοσῷδε δ' ἧσσον: τοσούτῳ δὲ, φησίν, ὅσῳ γλυκεῖα μὲν εἶ τῷ λόγῳ ἄλλα δὲ φρονεῖς, τοσούτῳ μᾶλλον ἀπιστότερος τυγχάνω ἢ πρὶν τῶν λόγων σου τούτων ἀκοῦσαι: — B

319 γυνὴ γὰρ ὀξύθυμος: πᾶσα γάρ, φησίν, ὀξύθυμος γυνή, ὁμοίως δὲ καὶ ἀνήρ, εὐμαρέστερον ἂν φυλαχθείη ἢ ὁ κρύπτων τὴν ὀργήν. τοὺς γὰρ φανερῶς ὀργιζομένους εὐμαρὲς προορώμενον φυλάττεσθαι, τοὺς δὲ ἐν ἀφανεῖ κρύπτοντας τὴν μῆνιν οὐχ οἷόν τε διὰ τὸ ἀπρόοπτον. καὶ σὲ οὖν, φησί, σιωπηλὴν οὖσαν οὐκ εὐμαρὲς φυλάξασθαι: — B

320 ῥᾴων φυλάσσειν: ἀντὶ τοῦ φυλαχθῆναι καὶ τηρηθῆναι, ἐνεργητικὸν ἀντὶ παθητικοῦ. τοῦτο δὲ ἔθος ὡς ἐπὶ τὸ πλεῖστον τοῖς Ἀττικοῖς. λέγεται δὲ καὶ σιωπηρός: — B

ἄλλως: ῥᾴων ἐστὶ φυλάττεσθαι, φησίν, ὀξύθυμος ἀνήρ, ὡσαύτως δὲ καὶ γυνή· φανεροὶ γάρ εἰσι καὶ πάντα ἐκχέουσιν ὀργιζόμενοι, ὁ δὲ σιωπηλὸς δυσπαραίτητός ἐστιν ἐν ἑαυτῷ κρύπτων καὶ καιροφυλακῶν τὴν ὀργήν: — B

322 κέχριται: — B[g]

324 μὴ πρός σε: μέμφονται τῷ Εὐριπίδῃ ὅτι πεποίηκε τὴν

---

1 ἐπαχθῆσ B   5 φωνουμένη A   ἡσυχία A   8 παρὰ τοῖς om. A
8—10 ἢ—νομίζονται om. A   9 τῆς om. Arsenius   12 φαρμα[x] B[1]
13 post εἰμὶ ins. δὲ B[1]   19 εὐμαρὲς προορώμενον Wil et ego εὐμαρῶσ προορῶμεν B

Μήδειαν ἐξ ὧν λέγει, φανερὰν γινομένην τῷ Κρέοντι ὡς ὑπούλως ἔχει πρὸς τὴν νύμφην: — B

327 ὁ ἤ ἀντὶ τοῦ ἀλλά: — $B^i$

328 λίαν. ἰσχυρῶς: — $B^g$

331 ἐπεὶ καθόλου ἡ Μήδεια τὸν ἔρωτα κακὸν ἀπεφήνατο, ἐπήγαγεν ὁ Κρέων τοῦτο ἀναιρῶν καί φησιν ὅτι ὁ ἔρως οὐκ ἀεὶ κακὸς, ἀλλ' ὡς ἂν ἄγηται ὑπὸ τῆς τύχης. πολλοὶ γὰρ ἐρασθέντες ἔτυχον. βλασφημεῖ δὲ τὸν ἔρωτα ἡ Μήδεια, ἐπεὶ καὶ ἐρασθεῖσα τοῦ Ἰάσονος ἐψεύσθη τῆς ἐλπίδος· οὗτος δέ φησι· μὴ καταμέμφου τοὺς ἔρωτας· ἔσθ' ὅτε γὰρ ἀγαθόν τι ποιοῦσιν, ἔσθ' ὅτε δὲ κακὸν, ὡς ἂν ἡ τύχη παραγένηται: — B

ὅπως ἂν ἄγηται ὑπὸ τῆς τύχης καὶ παραστῇ ἡ τύχη πρὸς τὸ ἐρᾶν: — $B^i$

333 ἄπιθι: — $B^g$

334 πονοῦμεν ἡμεῖς: ἐπεὶ εἶπεν ὁ Κρέων καί μ' ἀπάλλαξον πόνων, φησί· ποίων πόνων; ἐγὼ γάρ εἰμι ⟨ἡ⟩ ἐν πόνοις οὖσα καὶ οὐκ ὀφείλω ἄλλους πόνους ἀναδέχεσθαι ἐφ' οἷς ἔχω: — B

ἄλλως: οὐκ ἐν σπάνει κακῶν ἐσμεν· σὺ γὰρ οὐ πονεῖς καὶ ἐν κακοῖς τυγχάνεις. [ἐπεὶ δὲ εἶπεν ὁ Κρέων καί μ' ἀπάλλαξον πόνων φησί· ποίων πόνων; ἐγὼ γάρ εἰμι ἡ ἐν πόνοις οὖσα καὶ οὐκ ὀφείλω ἄλλους ἀναδέχεσθαι πόνους ἐφ' οἷς ἔχω] ὥστε μηδὲ ἀπέλαυνέ με τῶν Κορινθίων καὶ τοῦτόν μοι προστίθει τὸν πόνον ἐφ' οἷς ἔχω. ἱκανοὺς γὰρ ἔχω πόνους τῆς τε πατρίδος ἐστερημένη καὶ νῦν τὸν ἄνδρα ἀπολέσασα διὰ τὴν σὴν θυγατέρα. [ὥστε] τὸ πονοῦμεν ἡμεῖς διασταλτικῶς εἶπεν, οἷον· ἐγὼ πονῶ τοιαῦτα δεινὰ πεπονθυῖα, σὺ δὲ οὔ, μηδὲν χαλεπὸν ὑποστάς: — B

337 ἐνόχλησιν: — $B^g$

342 παισίν τ' ἀφορμήν: ἣν ἡμεῖς προβολὴν καλοῦμεν εἰς τὸ ζῆν, οἱ Ἀττικοὶ ἀφορμὴν λέγουσιν: — B

γράφεται παισίν τε φορβήν: — $B^i$

345 εἰκός ἐστιν εὔνοιάν ⟨σ'⟩ ἔχειν: οὐδὲν δὲ, φησὶν, ἀπεικὸς πατέρα σε ὄντα εὔνοιαν καὶ στοργὴν ἔχειν, ἣν ἂν πρέπῃ πατρὶ πρὸς

---

1 φανερὰν γινομένην A man. recentiss. om. B  5. 6 ἐπήγαγεν ego ἐπεισήγαγεν B  7 ταῖς τύχαις B  11 παραγένηται Wil παραγένοιτο B  16 ἡ addidi  17 ὀφείλω scripsi ὀφείλουσα B  19—21 ἐπεὶ — ἔχω pro dittographia eieci  21 μηδὲ scripsi μήτε B  21. 22 τῆς Κορίνθου ego  24 ὥστε deleui

παῖδας. ὅθεν οἴκτειρόν με εἰδὼς αὐτὸς πείρᾳ τὴν πρὸς τὰ φίλτατα διάθεσιν: — B

348 λῆμα: φρόνημα: — B[1]

τυραννικόν: ὑπερήφανον: — B[1]

349 αἰδούμενος δέ: τουτέστιν· εἴξας τισὶ πολλὰ ἐζημιώθην. αἰσθόμενος δὲ ἑαυτοῦ καταθελγομένου καὶ καταγοητευομένου τοῖς λόγοις αὐτῆς ταῦτά φησιν: — B[1]

351 τοῦ μεῖναι μίαν ἡμέραν: — B[1]

356 οὐ γάρ τι δράσεις: Δίδυμος μετὰ τοῦτον φέρει τὸ σιγῇ δόμους εἰσβᾶσ', ἵν' ἔστρωται λέχος καὶ μέμφεται τοῖς ὑποκριταῖς ὡς ἀκαίρως αὐτὸν τάσσουσιν: — B

359 πρόξενοι γὰρ καλοῦνται οἱ ὑποδεχόμενοί τινα: — B[1]

364 κακῶς πέπρακται: ἀντὶ τοῦ· οὕτω φανερῶς καὶ ἐναργῶς δυστυχοῦμεν καὶ ἐν κακοῖς ἐσμεν ὡς μηδένα δύνασθαι ἀντιλέγειν ὅτι οὐχ οὕτως ἔχομεν δυστυχίας: — B

365 ἀλλ' οὔτι ταύτῃ: ἀλλ' οὐχὶ κατὰ τοῦτο τὸ μέρος, φησί, κακῶς ἔχει τὸ καθ' ἡμᾶς, καθὸ πεισθεὶς ἡμῖν ἀπῆλθε Κρέων. τὸ ταύτῃ οὖν ἀντὶ τοῦ· κατὰ ταύτην τὴν ὁδὸν καὶ τοῦτον τὸν τρόπον ταῦτα καλῶς πέπρακται. ἢ τὸ ταὐτά ὀξυτόνως, τουτέστιν· ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς ἀπῆλθεν, οὐ ταὐτὰ τὰ πράγματα, ἀλλὰ καλλίονα. ἀμφότερα δὲ εἰς ταὐτὸ ἀναστρέφουσιν: — B

ἄλλως: τὸ ταυτα πῇ μὲν περισπᾶται, πῇ δὲ ὀξύνεται, ὅ ἐστιν· ἀλλὰ κατὰ τοῦτο τὸ μέρος, καθὸ πεισθεὶς Κρέων ἀπῆλθε, οὐ ταὐτά τὰ πράγματά ἐστιν, ἀλλὰ βελτίονα: — B

371 ἀνοίας: — B[g]

375 πόσιν τ' ἐμόν: πῶς ἐπαγγειλαμένη τὸν Ἰάσονα ἀνελεῖν οὐκ ἀνεῖλεν; ἢ τάχα ἐπεὶ ἐλθὼν ὁ ἄγγελος μετὰ θάνατον Γλαύκης καὶ Κρέοντος ἐθορύβησεν αὐτὴν λέγων χρῆναι τάχιστα φεύγειν· ἔνθα [1122] καί φησι Μήδεια, φεῦγε, ὅθεν οὐκ ἔσχε σχολὴν τοῦτο ἐργάσασθαι. εὐθὺς οὖν καὶ ὁ Ἰάσων παραγίνεται πρὸς αὐτήν: — B

380 ὧδε καλῶς κεῖται. Δίδυμος σημειοῦται ὅτι κακῶς οἱ ὑποκριταὶ τάσσουσιν: — ἐπὶ τῶν δύο τὸ σιγῇ δόμους εἰσβᾶσα· καύσω ἢ σφάξω αὐτούς: — B

---

1 αὐτὸς ego αὐτῆι B 19 ταῦτα B 23 ταῦτα B 31 sine signo uel lemmate in B

πρὸς τὸ ἐπελθεῖν αὐτοῖς κοιμωμένοις: — B

384 ἡ μηχανῇ σοφαί ἐσμεν. ἐν ποίᾳ; ἐν τῇ τῶν φαρμάκων. κράτιστον, φησί, φαρμάκοις αὐτοὺς κτανεῖν κατὰ τὴν ὁδὸν ἐν ᾗ σοφαὶ πεφύκαμεν μάλιστα, δηλαδὴ τῇ τῶν φαρμάκων: — B

385 σοφοῦ ἐστι τὸ τὰ ἀντιπίπτοντα λύειν: — B

388 ῥύσεται: φυλάξει ἢ σώσει με: — B

389 οὐκ ἔστι: ἢ προπετῶς πρᾶξαί τι οὐκ ἔστιν ἢ οὐκ ἔστι μοι φίλος οὐδεὶς ὁ μέλλων με ὑποδέχεσθαι καὶ κρύπτειν: — B

390 πύργος ἀσφαλής: ἀντὶ τοῦ ὀχύρωμα σωτηρίας. καταχρηστικῶς δὲ τὴν σωτηρίαν πύργον ὠνόμασε παρὰ τὸ τοὺς ὑποδεδραμηκότας ὑπὸ πύργον ἐν πολέμῳ σῴζεσθαι: — B

ἄλλως: ἐὰν μὲν εὕρω ἐχυρὰν καταφυγήν, σιωπῇ μετέρχομαι φαρμάκοις τὸν φόνον· ἐὰν δὲ ἐλαύνῃ με ἡ ἐξορία, τότε ξίφος λαβοῦσα κτενῶ σφε φανερῶς, εἰ καὶ ἐμοὶ πρόκειται συναπολέσθαι αὐτοῖς: — B

392 ἀμήχανος: ὅ ἐστι· μὴ παρέχουσα μηχανὴν πρὸς τὸ καταγοητεῦσαι τοὺς ἐχθρούς: — B

ἀβοήθητος: — $B^{g}$

394 πρὸς τὸ ἰσχυρὸν τῆς τόλμης ἔρχομαι, οἷον τολμῶ: — $B^{i}$

397 ὅταν μὲν ᾖ τριῶν ἡμερῶν, Σελήνη ὀνομάζεται, ὅταν δὲ ἕξ, Ἄρτεμις, ὅταν δὲ δεκαπέντε, Ἑκάτη: — A

τῆς πατρίδος ἢ τῆς οἰκίας τῆς ἐμῆς: — $B^{i}$

398 τὸ ἑξῆς· οὐ γὰρ χαίρων τις αὐτῶν: — $B^{i}$

400 ἡ ἐπιγαμβρία: — $B^{i}$

401 ἀλλ' ἄγε δή, μηδὲν κρύπτε. ταῦτα δὲ πρὸς ἑαυτὴν παρακελεύεται: — $B^{i}$

405 τοῖς Κορινθίοις, ἀπὸ Σισύφου προπάτορος. λέγει δὲ τῷ Κρέοντι καὶ τῇ τούτου θυγατρὶ Γλαύκῃ: — $B^{i}$

τοῖς περὶ Ἰάσονα καὶ Γλαύκην: — $B^{i}$

407 ἐπίστασαι δὲ μηχανάς μέν τινας, δι' ὧν αὐτοὺς φονεύσεις· εἰ δὲ καὶ μὴ ᾔδεις, ἔχεις αὐτὸ τὸ ἔμφυτον ταῖς γυναιξὶν εὑρεσίκακον: — B

ἄλλως: γυναῖκές ἐσμεν. ἀντὶ τοῦ· εἰς μὲν τὰ ἀγαθὰ ἄποροι καὶ οὐχ ἱκαναὶ ἐξευρεῖν [τὸ αἴτιον], εἰς δὲ τὰ κακὰ εὔποροι καὶ ἱκαναὶ καὶ ἐξευρητικαί: — B

---

12 ἐὰν Wil εἰ B    13 φόνον scripsi πόνον B    19 μὲν ᾖ scripsi ἕνι A
30 ἔχεις Wil εἴχεσ B    32 τὸ αἴτιον deleui, latet τοῦ Αἰήτου [406]

408 ἀγαθὰ μὴ δυνάμεναι βουλεύσασθαι, κακῶν δὲ πάντων ἐργάστριαι: — B[1]

410 ἄνω ποταμῶν: θέλει εἰπεῖν ὅτι ἀντέστραπται ἡ φύσις· οὐκέτι γὰρ δόλιαί εἰσιν αἱ γυναῖκες, ἀλλ' οἱ ἄνδρες. παροιμία ἐπὶ τῶν εἰς τὸ ἐναντίον καὶ παρὰ τὸ προσῆκον μεταβαλλομένων πραγμάτων, οἷον· ἀντέστραπται τὰ πράγματα, ὥστε δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. λέγει δὲ ταῦτα διὰ τὸν Ἰάσονα. ἀντεστράφη, φησίν, ἡ τάξις, καὶ ἄνδρες μὲν δόλιοι καὶ ἄπιστοι γεγόνασι, γυναῖκες δὲ αἱ πρῴην διαβαλλόμεναι ἔνδοξοι καὶ πισταί: — AB

ἄλλως: βεβαιῶ, φησίν, ὅτι τῶν ποταμῶν αἱ πηγαὶ ἄνω χωροῦσιν: — A

412 ἀνδράσι μὲν δόλιαι βουλαί: ἀντὶ τοῦ· καὶ τῶν ὅρκων καταφρονοῦσιν οἱ ἄνδρες. ταῦτα δὲ διὰ τὸν Ἰάσονα λέγει, διὰ τὸ παραβῆναι τὰς συνθήκας τὰς πρὸς τὴν Μήδειαν. εἰς δὲ τὸ τὴν ἐμὴν βιοτὴν ἔχειν εὔκλειαν μεταβάλλουσιν αἱ φῆμαι, οἷον· ἀντιστρέφουσιν ὥστε τὴν ἐμὴν βιοτὴν ἔχειν εὔκλειαν. τὸ δὲ ἐμὴν κατὰ κοινοῦ εἴρηκεν, οὐ δι' ἑαυτὴν μόνην: — AB[1]

ἄλλως: λείπει τὸ εἰσί. θέλει δὲ εἰπεῖν ὅτι ἀντέστραπται ἡ φύσις· οὐκέτι γὰρ αἱ γυναῖκες δόλιαί εἰσιν: — A

415 τὸ δὲ ἑξῆς· τὰν δ' ἐμὰν βιοτάν. ὁ δὲ νοῦς· ὁ λόγος ἀντιστρέφεται, ὅτι ἄπιστοι μὲν οἱ ἄνδρες, πισταὶ δὲ αἱ γυναῖκες, καὶ ἐροῦσι πάντες τὸν ἡμέτερον βίον, τουτέστι τὴν γυναικείαν φύσιν, εὐκλεεστέραν εἶναι: — B

τὰν δ' ἐμὰν εὔκλειαν: ἐκ τῶν κατὰ τὴν Μήδειαν ἀδικημάτων ἐπελεύσονται τιμαὶ τῷ γυναικείῳ γένει, τῶν μὲν ἀνδρῶν ἀδίκων ἀποδειχθέντων, τῶν δὲ γυναικῶν ἔμπαλιν δικαίων. οὐκέτι γὰρ ῥηθήσεται τὸ οὐ δεῖ πιστεύειν γυναικί. καθόλου οὖν λέγει ὅτι ἀντέστραπται

---

1. 2 ἐργάστριαι scripsi ἐργαστήρια B[1]  3 lemma ex A  3. 4 θέλει — ἄνδρες om. A  4. 5 cf. [Zen.] 2,56 Hesych. Suid. s. u.  4 post παροιμία ins. δὲ τοῦτο B  5 τὰ ἐναντία A  8 φησὶν B δὲ A  σύνταξισ A  9 ἔνδοξοι post δὲ coll. A  10 καὶ πισταί om. A  11 βεβαιῶ ego βεβαίως A βεβαιωτικῶς Rei βεβαίως seruat sed ὅτι del. Wil  13 ante hoc lemma alterum habet ἀνδράσι μὲν δόλιαι A  16. 17 μεταβάλλουσι δὲ αἱ φῆμαι εἰσ τὸ τὴν — εὔκλειαν A  17 εὔκλειαν ἔχειν B[1]  17. 18 τὸ — μόνην om. B[1]  19 ἀπέστραπται A  21 ὁ δὲ νοῦς scripsi οὐδὲν ὡσ B  21. 22 ἀντιστρέφεται scripsi ἀναστρέφεται B  28 λέγει Wil λέγεται B  ἀνέστραπται B

τὰ πράγματα διὰ τὸ δολίους μὲν καὶ ἐπιψόγους φαίνεσθαι τοὺς ἄνδρας, τὰς δὲ γυναῖκας εὐγνώμονας καὶ δικαίας. ταῦτα δὲ λέγει διὰ τὸν Ἰάσονα: — B

422 τὰν ἐμὰν ὑμνεῦσαι ἀπιστοσύναν: ὅτι ἐπὶ κακοῦ τὸ ὑμνεῦσαι. Μοῦσαι δὲ παλαιγενέων, λοιπὸν δέ, φησίν, αἱ Μοῦσαι, αἱ τοὺς παλαιγενεῖς ἄνδρας τοὺς σοφοὺς παρορμήσασαι διασῦραι τὸ γυναικεῖον ἔθνος, λήξουσι τῶν ἀοιδῶν τῶν καθ' ἡμῶν, ἐν αἷς ὡς ἄπιστοι διαβεβλήμεθα. τουτέστιν· οὐκέτι τοῖς ποιηταῖς ἐμπνεύσουσι τὸ καθ' ἡμῶν τι λέγειν. ἢ Μοῦσαι παλαιγενέων, τὰ ποιήματα τῶν πάλαι σοφῶν ποιητῶν, τουτέστι· τὰ δὲ εἰρημένα τοῖς πάλαι σοφοῖς καθ' ἡμῶν καὶ ἐν οἷς ποιήμασι διαβεβλήμεθα ὡς ἄπιστοι, ταῦτα σχολάσει καὶ λῆρος εἶναι νομισθήσεται, ἵν' ᾖ τὸ λήξουσιν ἀντὶ τοῦ παύσονται καὶ ἀφανισθήσονται: — B

424 οὐ γὰρ ἐν ἁμετέρᾳ γνώμᾳ: οὐ καθ' ἡμετέραν, φησί, γνώμην οὐδὲ ὡς ἡμῖν, ταῖς γυναιξὶν, ἀρέσκει, ἐδωρήσατο τοῖς ἀνδράσιν ἐξ ἀρχῆς ὁ Ἀπόλλων τὸ δύνασθαι λέγειν. ἔδει γὰρ καὶ τῇ γυναικείᾳ φύσει τοῦτο δεδωρῆσθαι, καὶ τάχα ἂν πολλαὶ ποιήτριαι γενόμεναι ἑαυτὰς μὲν ὑμνήσαμεν, τοὺς ἄνδρας δὲ ἐψέγομεν. ἢ τὸ ἐν ἡμετέρᾳ γνώμῃ ἀντὶ τοῦ· τῇ γυναικείᾳ φύσει οὐ δέδωκεν ὁ Ἀπόλλων, ἤτοι ἡμῖν ταῖς γυναιξίν, τὸ δύνασθαι λέγειν. τὸ αὐτὸ δὲ δηλοῦται: — B

ἄλλως: οὐ γὰρ ἐν ἡμετέρᾳ γνώμῃ τὴν τῆς λύρας θέσπιν ἀοιδὴν ἐδωρήσατο ὁ Ἀπόλλων, οἷον· οὐ δυναταί ἐσμεν ἡμεῖς αἱ γυναῖκες ποιήματα γράφειν. ἐπεὶ τάχα ἂν αἱ γυναῖκες ἀντεκωμῳδουν τοὺς ἄνδρας, τὴν δὲ ἑαυτῶν φύσιν ἐπῄνουν, κατὰ τὸν τοῦ λέοντος μῦθον [Aesop. 63]. λέων γὰρ ἰδὼν λέοντα ὑπὸ ἀνδρὸς ἀγχόμενον ἐν γραφῇ, εἶπεν· καὶ ἡμεῖς εἰ ᾔδειμεν γράφειν ἢ πλάσσειν, ἔμπαλιν ἂν οἱ ἄνθρωποι ἐτίθεντο ἀγχόμενοι ὑπὸ τῶν λεόντων: — B

παρὰ τὸν τοῦ λέοντος μῦθον. θείαν καὶ θαυμαστήν. περιφραστικῶς τὴν ἀοιδήν, παρόσον ἴσως κἂν ἐν λύρᾳ ἐλέγετο μέλη ὄντα: — B[1]

426 ἐπεὶ ἀντάχησαν: ταῦτα εἰς τὰ Ἡσιόδου καὶ Ὁμήρου [opp. 375] 'ὃς δὲ γυναικὶ πέποιθε' καὶ [λ 456] 'ἐπεὶ οὐκέτι πιστὰ γυναιξί'. συμβήσεται δὲ ⟨ἐν⟩ τῷ μετὰ ταῦτα πολλῷ χρόνῳ τάς τε

4. 5 cf. Tim. lex. Plat. s. u. ὑμνοῦσι 5 παλαιγενέων scripsi παλαιγενεῖσ B
29 κἂν Wil καὶ B[1] 32 γυναικί, non γυναιξὶ B 33 ἐν addidi

γυναῖκας κατειπεῖν τῶν ἀνδρῶν καὶ τοὺς ἄνδρας κατὰ τῶν γυναικῶν. καὶ οὐκέτι μόναι γυναῖκες βλασφημηθήσονται. ἢ οὕτως· οἱ ὕμνοι τῶν μελῶν ἀντήχησαν ἂν πρὸς τοὺς ἄνδρας, ἀντεκωμῴδησάν τε καὶ ἀντιδιέβαλον ἄν, εἰ ὁ Ἀπόλλων ἐδωρήσατο ταῖς γυναιξὶ τὸ ⟨δύνασθαι⟩ λέγειν: — B

430 τὴν ἡμῶν μοῖραν καὶ τῶν ἀνδρῶν. μοῖραν δέ, τὴν μερίδα: — ἀντὶ τοῦ· συμβαίνει κατ' ἀλλήλων εἰπεῖν ἄνδρας καὶ γυναῖκας ⟨ἐν⟩ τῷ χρόνῳ: — B

432 ὑπὸ τοῦ ἔρωτος: — $B^g$

433 ἀντὶ τοῦ· διαστείλασα καὶ διεξελθοῦσα τὰς Συμπληγάδας. ἤτοι διαπλεύσασα καὶ διελθοῦσα, παρόσον δύο τινῶν ὑποκειμένων ὁ διὰ μέσου γινόμενος ἑκάτερον ὁρίζει. καὶ Ἡρόδοτος 'δείξειεν δεξιὰ μὲν ὁρίζων'. ἀεὶ γὰρ ὁ μέσος τινῶν γινόμενος διορίζει τὸν μὲν ἔνθεν, τὸν δὲ ἔνθεν: — B

439 ἀπόλωλε: — $B^g$

παρὰ τὰ Ἡσιόδου [opp. 198] 'λευκοῖσιν φαρέεσσι καλυψαμένα Αἰδὼς καὶ Νέμεσις: — B

441 λείπει τὸ πάρεισιν: — $B^g$

444 ἡ Γλαύκη: — $B^g$

445 ἐπῆλθε τῷ ἀνδρί. οἴκου γὰρ σύστασις ὁ ἀνήρ: — $B^i$

447 σκληρὰν τὴν σὴν ὀργήν: — $B^i$

ἄμαχον: — $B^g$

449 ἀνεμπαθῶς εὐχερῶς: — $B^g$

ἀντὶ τοῦ κρατούντων· κρατεῖ γὰρ γυναικὸς ὁ ἀνὴρ καὶ κατὰ τοῦτο κρείττων ἐστὶν ὑποτεταγμένην ἔχων τὴν γυναῖκα. κρειττόνων οὖν, ἀντὶ τοῦ κρείττονος· πληθυντικὸν ἀντὶ ἑνικοῦ, ἐπὶ αὐτοῦ τοῦ Ἰάσονος: — $B^i$

451 κἀμοὶ μέν, φησίν, οὐδὲν μέλει περὶ ὧν ἂν λέγῃς κατ' ἐμοῦ· ὑπὲρ ὧν δὲ κατὰ τοῦ βασιλέως τετόλμηκας εἰπεῖν, ἀγάπα φυγῇ ζημιουμένη καὶ μὴ μείζονι κακῷ περιπίπτουσα. οἷον· ἐπικερδὲς ἡγοῦ τὸ φυγῇ ζημιοῦσθαι μόνον καὶ μὴ μείζονι περιπεσεῖν αἰκίᾳ διὰ τὰ εἰς τοὺς τυράννους εἰρημένα σοι δύσφημα: — B

453 λείπει ἡ διά: — $B^i$

459 ὅμως δέ, καίπερ σοῦ βλασφημησάσης με καὶ κακῶς διαθεμένης

---

4 δύνασθαι add. Wil  8 ἐν addidi  12 non inueni, ipsa uerba corrupta  16 καλυψαμένη B  29 φυγὴν B

τὰ κατὰ σὲ καὶ μελλούσης ἐκβάλλεσθαι τῆς πόλεως, οὐχ ὑπερηφανῶ, ἀλλ' ἦλθον πρὸς σέ, οὐ παντελῶς ἀπεγνωκὼς τὴν πρὸς σὲ φιλίαν: — B

οὐκ ἀπαρνούμενος τοὺς φίλους: — B[i]

461 πένης: — B[e]

462 τινός: — B[e]

ἐπάγεται ἐπισύρεται: — B[i]

465 ὦ παγκάκιστε: τοῦτο γὰρ εἰπεῖν ἔχω σοι γλώσσῃ μέγιστον κακὸν διὰ τὴν ἀσθένειαν τὴν ἐμήν· γυνὴ γάρ εἰμι καὶ ἀσθενής, μὴ δυναμένη χερσὶν ἐπιτιμωρήσασθαι. διὸ τῇ διὰ τοῦ στόματος κατηγορίᾳ κολάζω σε. ἡ εἰς ἀντὶ τῆς διά, δι' ἀνανδρίαν. τοῦτο δέ φησιν ὡς μὴ δυνηθέντος αὐτοῦ χωρὶς αὐτῆς ἀνύσαι τὸν ἆθλον. οὗτος γάρ, ὁ Ἰάσων, ἀποσταλεὶς παρὰ τοῦ ⟨Πελίου⟩ ἀνείλετο τὸ χρυσοῦν δέρας ἀπὸ τῶν Κόλχων διὰ φαρμάκων τινῶν τῆς Μηδείας, ἐρασθείσης αὐτοῦ: — B

466 ἤτοι ὡς θυμουμένη ἄνανδρον αὐτὸν ἀποκαλεῖ· τῶν γὰρ λοιδορουμένων οἰκεῖον καὶ τὰ μὴ προσόντα πολλάκις προφέρειν. ὀνειδίζει δὲ αὐτῷ ἀσθένειαν ὡς μὴ δυνηθέντι ἄνευ αὐτῆς ἀνύσαι τοὺς ἄθλους: — B

469 οὐ θράσος ἐστὶ κακῶς φίλους δράσαντα ἐναντίον βλέπειν ἀλλὰ μᾶλλον ἀναίδεια. τινὲς δὲ ἐπιλαμβάνονται Εὐριπίδου, ὡς κακῶς εἰρηκότος· τὸ γὰρ θράσος ἔδει μᾶλλον εἰπεῖν θάρσος. διαφέρει γὰρ ὡς ἀρετὴ κακίας· τὸ μὲν γὰρ ἐπὶ κακοῦ καὶ ῥιψοκινδύνου τάσσεται, τὸ δὲ ἐπὶ ἀγαθοῦ. ὅθεν οἱ παλαιοὶ αὐτὸ διώρισαν οὕτως, ὅτι θάρσος μὲν τὸ τῆς ψυχῆς παράστημα μετὰ λογισμοῦ, θράσος δὲ ἡ ἀλόγιστος ὁρμή: — B

473 τὸ ἑξῆς· λέξασα κακῶς σε κουφισθήσομαι τὴν ψυχὴν καὶ σὺ ἐπακούων λυπηθήσῃ· 'οἶδε γάρ', φησί τις σοφός, 'καὶ νεφέλη τὸν ὄμβρον ἀποβαλοῦσα κουφίζεσθαι καὶ ψυχὴ τὰ ἑαυτῆς ἐξηγουμένη κακὰ ἐλαφρύνεσθαι': — B[i]

475 ἐκ τῶν δὲ πρώτων: ἀπὸ τῶν πρώτων δὲ εὐεργεσιῶν προκατάρξομαι νυνί. πρῶται δὲ εὐεργεσίαι αἱ ἐπὶ Σκυθίᾳ, ὅτε ὁ Ἰάσων παρὰ τοῦ Αἰήτου ἐκτελέσαι τοῦτον τὸν ἆθλον κελευσθείς, τὸ σιδηραῖς ζεύγλαις τοὺς πυριπνόους ζεῦξαι βόας καὶ σπεῖραι τοὺς δρακοντείους ὀδόντας, δι' αὐτῆς τοῦτο ἐξετέλεσεν: — B

476 ἔσωσά σ' ὡς ἴσασιν: πλεονάζει ὁ στίχος τῷ σ̄. ὅθεν καὶ

---

12 Πελίου om. B 13 post Μηδείας add. ὡς B 15 προσφέρειν B 18—23 et. Gud. p. 255, 27 Herodian. de impr. dict. p. 318, 9 Nauck 23 ὁρμή Wil τόλμη B 33 τὸ B

Πλάτων ἐν ταῖς 'Εορταῖς φησιν [frg. 30]· 'ἔσωσας ἐκ τῶν σῖγμα τῶν Εὐριπίδου'. καὶ Εὔβουλος ἐν Διονυσίῳ [frg. 26]· 'Εὐριπίδου δ' "ἔσωσά σ', ὡς ἴσασι⟨ν Ἑλλήνων ὅ⟩σοι" καὶ "παρθένε εἰ σ⟨ώσαιμι σ'⟩ ἕξεις μοι χάριν" καὶ τοῖς ἐμοῖσιν ἐγγελῶσι πήμασι τὰ σῖγμα συλλέξαντες, ὡς αὐτοὶ σοφοί': — B

482 ἀνέτειλά σοι: — $B^g$

484 Θεσσαλικήν. Ἰωλκὸς δὲ πατρὶς Ἰάσονος: — $B^i$

Ἰωλκὸς ὄνομα χώρας. εἶπε δὲ Πηλιῶτιν πρὸς ἀντιδιαστολὴν τῆς ἑτέρας Ἰω⟨λκοῦ⟩ τῆς κατὰ τὴν Λάμψακον: — A man. recentiss.

485 ἀντὶ τοῦ· ἔρωτι μᾶλλον τῷ πρὸς σὲ νικωμένη ἢ μετὰ λογισμοῦ τι πράττουσα: — B

487 πάντα δ' ἐξεῖλον: ἀντὶ τοῦ ἐπόρθησα. ἐὰν δὲ φόβον γράφηται, ἐξεῖλον ἀντὶ τοῦ διέφθειρα καὶ ἠφάνισα: — B

γράφεται δόμον: — $B^i$

494 νόμιμα: — $B^g$

496 παρακαλῶν δηλονότι: — $B^i$

497 παρεκλήθημεν καταχρωσθέντες καὶ σχεθέντες. οἱ γὰρ ἱκετεύοντες τῶν γονάτων ἐφάπτονται: — $B^i$

500 γράφεται δοκοῦσα μή τι πρός: — $B^i$

ἀντὶ τοῦ· οὐδὲν προσδοκῶσα παρὰ σοῦ πράξειν καλῶς. ταῦτα δὲ ἐν ἤθει προενεκτέον· φέρε, φησίν, ὡς φίλῳ σοι διαλεχθῶ, καίτοι προσδοκῶσα τί πράξειν καλόν; καὶ διαλεγομένη ὡς οὐδὲν ὠφελήσοντί με, ὅμως ἐρωτήσω. οὕτω γὰρ ἂν πικροτέρως ἐλεγχθείης οὐδὲν ἔχων πρὸς ἔπος ἀποκρίνασθαι. διαστῆσαι δὲ δεῖ κατὰ ἀνάγνωσιν τὸ τί. ἐκ δὲ τῆς ὑποκρίσεως ἐμφαίνειν τὸ οὐδέν [τι]. παθητικὴν δὲ ὑπόκρισιν δηλοῖ τὸ τί· καίτοι γε τί δοκοῦσα πράξειν παρὰ σοῦ: — B

504 τὰς τοῦ Πελίου θυγατέρας: — $B^i$

506 τοῖς συγγενέσι, τῷ πατρὶ καὶ τῇ μητρί: — $B^i$

514 κλέος δόξα ἔπαινος: — $B^i$

---

1 σῖγμα τῶν Porson σιγμάτων B  2 δ' deleuerim, Εὐριπίδου ad ea refero quae praecedebant, quorum sensus fuisse uidetur 'aduersarii afferent Euripidea illa'  3 ἴσασί σοι B suppleui  παρθένε — σ'] παρνεύεισ B Euripidis Andromedae fragmentum [129] agnouit Markland  4 ἐγγελῶσι Porson ἀγγελοῦσι B  4 πήμασι] δράμασι Wil Dionysium ipsum loqui ratus, παίγμασι ego  21 προσενεκτέον B  22 ὡς Wil καὶ B  25 ἐμφαίνειν scripsi ἐμφαίνει B  τι deleui

515 καὶ ἐμὲ ἀλᾶσθαι ἥτις ἔσωσά σε: — B[i]

516 ἀδόκιμος φαῦλος: — B[i]

517 σημεῖα γάρ ἐστι τοῦ καλοῦ καὶ τοῦ κακοῦ χρυσοῦ: — B[i]

518 ὁ χρυσὸς δοκιμάζεται πυρὶ καὶ λίθῳ, τοῖς δὲ ἀνθρώποις οὐδὲν σημεῖον ἐνυπάρχει, ὅθεν ἐπιγνωσθῆναι δύνανται: — B[i]

διαγνῶναι: — B[g]

520 δεινή τις ὀργή: ἡ διστιχία τοῦ χοροῦ ἐστι. κατὰ δὲ τούτους ⟨τοὺς χρόνους⟩ ἤδη τὰ τῶν χορῶν ἠμαύρωτο. τὰ μὲν γὰρ ἀρχαῖα ⟨δράματα⟩ διὰ τῶν χορῶν ἐπετελεῖτο. ὅθεν καὶ Εὔπολίς φησι [frg. 363]· 'τί χορὸς οὗτος κλαίειν εἴπωμεν πυρανι * * ἵν' ᾖ κατ' αὐτὰ ἰαμβεῖα δύο: — B

522 ἀντὶ τοῦ· ⟨οὐκ⟩ ἀσθενῆ πρὸς τὸ λέγειν, ἀλλ' ἐκ τῶν ἐναντίων ῥήτορα καὶ δεινὸν εἰπεῖν: — B[i]

523 συνετόν: — B[g]

κυβερνήτην: — B[g]

524 περιφραστικῶς εἶπεν ἀντὶ τοῦ παντὶ ἀρμένῳ. ὑπεκδραμεῖν δέ. ἤγουν δεῖ με ὑπεκδραμεῖν τὴν σὴν γλωσσαλγίαν, καθάπερ κυβερνήτης τοῖς κρασπέδοις τοῦ λαίφους χρώμενος ἐκφεύγει: — B

κράσπεδα καταχρηστικῶς τὰ ἄνω τέλη τοῦ ἀρμένου: — ἄκροις οὖν κρασπέδοις, τοῖς ἀνωτάτω μέρεσι: — B[i]

526 ἀντὶ τοῦ αὔξεις καὶ μεγαλύνεις. χάριν δέ, λέγει τὸ προσεσωκέναι αὐτὸν πανταχοῦ: — B[i]

527 Κύπριν νομίζω: ἐγὼ νομίζω, φησίν, ὑπὸ τῆς Ἀφροδίτης σεσῶσθαι, ἣν μόνην φησὶ μᾶλλον ἀνθρώπων καὶ θεῶν ἰσχύειν πλέον· τοῦτο γὰρ λείπει. μόνην φησὶ τὴν Ἀφροδίτην σεσωκέναι αὐτὸν καὶ οὐδένα ἀνθρώπων οὐδὲ θεῶν. τοῦτο δὲ ψεῦδος· φαίνεται γὰρ τὴν Ἥραν προστάτιν ἐσχηκὼς ἐξ ἀρχῆς διόλου καὶ ὑπὸ ταύτης παρορμηθεὶς εἰς τὸν ἆθλον, ὑφ' ἧς εἰκὸς αὐτὸν σεσῶσθαι ἵνα τὸν Πελίαν φονεύσῃ ἐχθρὸν ὄντα τῆς Ἥρας. ἔτι δὲ καὶ ἡ Ἀθηνᾶ κινδυνεύουσαν τὴν ναῦν προσραγῆναι ταῖς πέτραις ἀνεσώσατο: — B

---

7 διστιχία Elmsley δυστυχία B 8 ἠμαύρωτο GHermann ἠμαύρωτε B 10 πυρανι B α ex ω corr. m. I lacunam indicaui καθ' αὐτὰ Wil 10. 11 ἰαμβία δύοι B 11 in fine add. κρασπέδοισ B 17 με] μὲν B 19 κρήσπεδα B[i] 27 ἀρχῆς διόλου Rei et Wil αὐτῆσ ὅλον B 29 ἔτι Laur. 31,10 ἔστι B ἡ post Ἀθηνᾶ add. B om. Laur. 31,10

ναυκληρίας δὲ, ἤγουν ἀποδημίας καὶ πλοῦ: — B[1]

530 λόγος διελθεῖν: ἀντὶ τοῦ παρελθεῖν καὶ εἰπεῖν. ἐπίφθονος δὲ, ὑπὸ φθόνου κατεχόμενος ὁ λόγος οὗτος, λέγω δὲ ⟨τὸ⟩ τὸν ἔρωτα σεσωκέναι με. ἐρασθεῖσα γὰρ αὐτοῦ ἡ Μήδεια ἔσωσεν αὐτόν. δύναται δὲ καὶ οὕτως νοηθῆναι· ἀλλ' ἐπίφθονος ὁ λόγος ῥηθῆναι, τουτέστι κινεῖ μοι φθόνον ὁ λόγος. ἀλαζονεύσομαι, φησὶν, ὑπὲρ ἐμαυτοῦ ὅτι ὁ ἔρως ὃν ἠράσθης μου σέσωκέν με: — B

ἄλλως: ἐμοὶ λόγος, φησὶ, λεπτὸς μὲν, ἐπίφθονος δὲ, τουτέστι· φθονηθησόμενος μὲν, δυνάμενος δὲ διαδῦναι παντὸς τοῦ ἰσχνοῦ. ἐὰν γάρ τις ἀκριβῶς ἐξετάζῃ, ὁ ἔρως σε ἠνάγκασε τόξοις ἀφύκτοις τοὐμὸν ἐκσῶσαι δέμας. οἷον· οὐκ εἰς χάριν τὴν ἐμὴν, ἀλλὰ κατὰ ἀνάγκην ταῦτα ἔπραξας καὶ τῶν ἀφύκτων πόνων ἐξέσωσας τὸ ἐμὸν σῶμα. ἢ οὕτως· καὶ σὺ μὲν, φησὶ, συνορᾷς, ἅτε δὴ λεπτὸν καὶ ὀξὺν ἔχουσα τὸν νοῦν, ὅτι ἡ Ἀφροδίτη με ἔσωσεν, ἀλλ' ὑπὸ φθόνου ὁ λόγος σοι οὐ προφέρεται, ὅς ἐστιν ἀληθὴς, τὸ σὲ διὰ τὸν ἔρωτά με σεσωκέναι: — B

532 ἀλλ' οὐκ ἀκριβῶς: οἷον· οὐκ ἀκριβολογοῦμαι περὶ τούτου, ἀλλὰ δίδωμί σοι τῷ λόγῳ ὠφεληκέναι. κἀγὼ μὲν ὁμολογῶ ὅτι ἔνθα με ὠφέλησας, καλῶς ἔχει: — B

533 ὅπῃ γὰρ οὖν ὤνησας, οὐ κακῶς ἔχει: ἔνθα γὰρ, φησὶν, ὠφέλησας, οὐ κακῶς ἔχει. ἢ οὕτως· οὐκ ὠφέλησας· ὅθεν μεθίημι τὰς ἀποδείξεις τοῦ μηδὲν ὠφελῆσθαι παρὰ σοῦ, τοῦ πράγματος [οὐ] καλῶς ἔχοντος: — B

538 νόμοις τε χρῆσθαι: ἐπιλαμβάνονται τοῦ ἐπιχειρήματος· ἔδει γὰρ αὐτὸν ταῦτα λέγοντα μηδὲν ποιεῖν ἄδικον. πρὸς γὰρ τὸν λέγοντα ὅτι νόμοις ἐπίστασαι χρῆσθαι, εἴποι ἄν τις εἰκότως· ἀλλὰ σὺ οὐκ ἐπίστασαι νόμοις χρῆσθαι, ἀλλὰ καὶ τοὺς ὅρκους παραβέβηκας καὶ τὰς δεξιὰς καὶ τὰ τέκνα καὶ τὴν γυναῖκα προδέδωκας, ὅπως τὴν τοῦ τυράννου θυγατέρα λάβῃς, τοῦτο δὲ ἕνεκα φιλοδοξίας. καὶ γὰρ ὅτε ἔλεγεν· ἥκω, ὅπως σοι ἐπαρκέσω, καταμωκώμενος ἔλεγεν. ἥκιστα οὖν ἔδει νῦν τὰ τῶν νόμων παραλαμβάνειν μέλλοντα πρόσωπον τοιοῦτον εἰσάγειν παραβεβηκὸς τοὺς νόμους. ἢ οὕτως· μὴ βίᾳ πράττειν, ἀλλὰ νόμοις χρῆσθαι μὴ πρὸς χάριν κειμένοις, ἀλλ' ἴσοις καὶ δικαίοις, τουτέστι· μὴ τὸ κεχαρισμένον τοῖς δυνατοῖς ἔχουσιν, ἀλλὰ τὸ πᾶσι: — B

3 οὗτος Barnes οὕτως B    τὸ addidi    21 οὕτως scripsi ὅτι B    22 οὐ del. Wil    32 παραβεβηκὼς B

ἄλλως: τὸ χάριν γράφεται θράσει. ἐπιλαμβάνονται δὲ τοῦ χωρίου τούτου· εἴποι γὰρ ⟨ἄν⟩ τις· ἀλλὰ σὺ οὐκ ἐπίστασαι νόμοις χρῆσθαι ὅρκους καὶ δεξιὰς παραβαίνων: — B

περιπετὴς ὁ λόγος κατὰ ῥήτορας· περιπίπτει γὰρ αὐτῷ ὁ λέγων: — B[i]

540 ἐν τῇ Σκυθίᾳ, ἐν τῇ Κολχίδι λέγει: — B[i]

543 μήτ' Ὀρφέως: οὔτε τοῦ πλούτου, φησίν, οὐδὲν ὄφελος οὔτε τῆς θειοτάτης σοφίας, εἰ μὴ καὶ διαβόητοι εἶεν καὶ ἐπισημότατοι οἱ ταῦτα κεκτημένοι. ὅτι πρὸς τὴν εὐδοξίαν ἅπαντα δεῖ πράττειν καὶ μήτε τὸν πλουτοῦντα κρύπτειν τὸν πλοῦτον μήτε τοὺς ἐλλογίμους τὴν ἀρετήν: — B

546 σύγκρισιν φιλονεικίαν: — B[i]

552 πολλὰς ἐφέλκων: πολλὰ γὰρ ἐφέλκεται κακὰ ⟨ἡ⟩ φυγὴ σὺν αὐτῇ. ἀμηχάνους δέ, διὰ τὸ ἐκβεβλῆσθαι τῆς πατρίδος: — B

554 διὰ τὸν τοῦ Πελίου φόνον εἰς Κόρινθον ἀφίκετο: — B[i]

555 οὐχ ᾧ τρόπῳ σὺ λυπουμένη νομίζεις ὅτι τὸ μὲν σὸν μισῶν λέχος, ἐκείνης δὲ ἐρῶν ἔγημα αὐτήν: — B

557 οὐ σπουδάζων πλείονα τέκνα ποιῆσαι: — B[i]

564 ἀντὶ τοῦ· εἰς τὴν αὐτὴν αὐτοῖς τύχην προάξαιμι, ἐξ ἴσης τιμήσαιμι: — B[g]

συνάψας: — B[g]

565 ἅπαξ ἐχούσῃ τὰ ἐξ ἐμοῦ τίς σοι χρεία ἄλλων τέκνων: — B[i]

566 καὶ ἐμοί, φησί, λυσιτελεῖ τὸ διὰ τῶν μελλόντων ἐκ ταύτης ἔσεσθαί μοι παίδων ὠφελῆσαι τοὺς ἐκ σοῦ· κοινωνοὶ γὰρ ἔσονται τῆς βασιλείας: — B[i]

568 βεβουλεῦσθαί με κακῶς οὐδ' ἂν σὺ φαίης: — B[i]

569 ὥστ' ὀρθουμένης: ἀντὶ τοῦ· ὑγιοῦς οὔσης, ὀρθῶς προχωρούσης. ἢ ὀρθῆς καὶ ἀμεταβλήτου οὔσης. ὑμεῖς συγκαθευδούσαι τοῖς ἀνδράσιν εὐδαιμονίαν ἔχειν νομίζετε: — B

573 καὶ ἐν Ἱππολύτῳ [619] κεῖται οὗτος ὁ νοῦς: — B[i]

579 ἦ πολλὰ πολλοῖς: ὄντως δή, φησίν, ἐγὼ κατὰ πολλὰ πολλῶν διαφέρω ἀνθρώπων καὶ ἀνόμοιός εἰμι, ἐπεὶ οὐχ, ὥσπερ ἂν ἕτεροι, τοὺς ἀδίκους καὶ δεινοὺς ἐν τῷ λέγειν ἀποδέχομαι, ἀλλ' ἡγοῦμαι τοσούτῳ μᾶλλον ζημίαν μείζονα ἕξειν ὅσῳ περ τὸ δίκαιον καὶ τὸ ἀληθὲς πειρῶνται διακρούεσθαι: — B

2 ἂν addidi 9 εὐδοξίαν scripsi δοξίαν B

ἀνόμοιος ἐχθρά: — B¹

582 γλώσσῃ γὰρ αὐχῶν: διὰ γὰρ τῆς γλώττης τὰ ἄδικα αὐχῶν περικρύπτειν, πανουργεῖν τολμᾷ: — B

αὐχῶν: κομπάζων θαρρῶν σεμνυνόμενος τὰ ἄδικα καλῶς περικαλύψειν: — B¹

584 μή νυν εἰς ἔμ' εὐσχήμων γένῃ: ἀντὶ τοῦ· συσχηματίζων τοὺς λόγους πρὸς τὸ συναρπάζειν ἐμέ. τουτέστι· κόσμιος ἐν τῷ λέγειν. τὸ δὲ μή νυν κατὰ Ἀττικοὺς ἀναπέμπεται: — B

585 οἷον· εἷς λόγος σε τιμωρεῖται καὶ ἑνὶ λόγῳ ἁλίσκῃ. γράφεται καὶ ἓν γὰρ ἐκτενεῖ σ' ἔπος, ἀντὶ τοῦ· καταβαλεῖ σε, ἀπὸ μεταφορᾶς τῶν πιπτόντων καὶ ἐκτεινομένων εἰς τὸ ἔδαφος ἀθλητῶν ὑπὸ τῶν ἀντιπάλων: — B¹

591 οὐ τοῦτό σ' εἶχεν: ἀντὶ τοῦ· οὐ ταύτην ἔχων τὴν διάνοιαν ἔγημας οὐδὲ ἵνα τοῖς ἐμοῖς παισὶ τὸ ἀνενδεὲς τῶν τροφῶν παράσχῃς καὶ τῆς ἐν τῇ πόλει οἰκήσεως τὸ ἀσφαλές, ἀλλ' αἰσχυνόμενος ἐπὶ τῷ βάρβαρον ἔχειν γυναῖκα. τοῦτο δὲ ἀποδέδωκε πρὸς ἐκεῖνο, ἔνθα φησὶν ὁ Ἰάσων [559] ἀλλ' ὡς, τὸ μὲν μέγιστον, οἰκοῖμεν καλῶς καὶ τὰ ἑξῆς: — B

τὸ συνάψαι τοῖς ἐμοῖς τέκνοις τὰ σὰ καὶ τὸ ἐπαρκεῖν αὐτοῖς, ἀλλὰ τὸ βάρβαρόν σε ἔχειν γυναῖκα αἰσχύνην παρέσχεν: — B¹

592 οὐκ εὔδοξον: οἷον· ἀδοξίαν ἡγοῦ τὸ μέχρι γήρως βαρβάρῳ συνοικῆσαι καὶ ἐσπούδασας Ἑλληνικοῖς γάμοις τὴν προτέραν ἁμαρτίαν καλύψαι. τουτέστιν· ἡ ἐμὴ μέχρι γήρως συμβίωσις ἀδοξίαν σοι προσετρίβετο. οἷον· αἰσχύνην ἡγήσω διὰ τέλους ἀνὴρ βαρβάρου γυναικὸς καλεῖσθαι: — B

596 ἀδελφούς: — B¹

597 ἀσφάλισμα τῶν οἴκων: — B¹

598 λυπρὸς εὐδαίμων: ἀντὶ τοῦ λυπηρός, κατὰ ἔλλειψιν τοῦ η· ὡς καὶ τὸ δοῦλος δύηλος ὤν, παρὰ τὴν δύην, ὃ σημαίνει τὴν ταλαιπωρίαν: — B

λυπηρός, κατ' ἔλλειψιν τοῦ η. μηδὲ εἴην εὐτυχὴς ἐν τῷ λυπεῖν με ἄλλον τινά: — B¹

599 μηδ' ὄλβος ὅστις: οὐκ ἄν, φησίν, εὐξαίμην τοιαύτην μοι

---

7 κόσμιος ἐν τῷ scripsi κοσμίως τὸ B 19 ἐπαρκεῖν scripsi διαρκεῖν B¹ 20 βαρβάρου B¹ παρέσχες B¹ 28—30 cf. et. m. p. 284,49 Gud. p. 151,11

εὐδαιμονίαν γενέσθαι, δι' ἧς ἂν ἕτεροι λυπηθεῖεν, καθάπερ καὶ ὁ σὸς νῦν ὄλβος τὴν ἐμὴν λυπεῖ φρένα. οἷον· οὐ βούλομαι εὐδαιμονίζεσθαι λυπουμένη κατὰ ψυχήν. τοῦτο δὲ εἶπεν πρὸς τὸν Ἰάσονος λόγον ἀντιτεινομένη, παρόσον αὐτὸς ἔλεγεν ἐπὶ τῷ συμφέροντι αὐτῆς τε καὶ τῶν παίδων εἰς τὸν γάμον προεληλυθέναι τὸν τῆς Γλαύκης: — B

600 οἶσθ' ὡς μετεύξῃ: τοῦτο κατὰ ἐρώτησιν. οἶσθα, φησίν, ὥς σε ἔδει μετεύξασθαι, ἵνα δόξῃς τὴν εὐχὴν φρονίμως ποιεῖσθαι; νῦν γὰρ εὐήθη λόγον εἴρηκας· μήτε τὰ χρηστά σοι λυπηρὰ φαίνεσθαι, μήτε τὴν εὐτυχίαν δυστυχίαν νομίζεσθαι: — B

ἄλλως: οἶσθ' ὡς μετεύξῃ καὶ τοῦτο ποιήσασα σοφωτέρα φαίνῃ; ⟨τοῦτο δὲ εἰς τὸ⟩ μή μοι γένοιτο λυπρὸς εὐδαίμων βίος. μέμφεται οὖν αὐτῆς τὴν εὐχὴν καί, εἰ θέλεις, φησί, σοφωτέρα φανῆναι, μετάθου τὴν προτέραν εὐχὴν καὶ εὖξαι μηδέ ποτε τὸ χρηστὸν λυπηρόν σοι φαίνεσθαι: — B

603 χλεύαζε. ἀποστροφὴ δέ, ἀντὶ τοῦ ἀποφυγὴ ἀνάπαυσις: — B[1]

606 γαμοῦσα καὶ προδοῦσα: σεσημείωται τὸ γαμοῦσα. θέλει δὲ εἰπεῖν· ἆρα τοιοῦτον ἔργον ποιοῦσα ⟨οἷον σύ⟩. οὐ γὰρ ἐφ' ἑαυτῆς λέγει, ἐπεὶ εἶπεν ἂν γαμουμένη, ἀλλὰ τὸν Ἰάσονος λόγον ἐφ' ἑαυτῆς μετέστρεψεν. γαμεῖ μὲν γὰρ ὁ ἀνήρ, γαμεῖται δὲ ἡ γυνή: — B

608 ἐπικατηραμένη τοῖς σοῖς οἴκοις: — B[1]

609 ὡς οὐ κρινοῦμαι: ἀντὶ τοῦ· ἀποκρινοῦμαι περὶ τῶν τοιούτων οὐδὲν πρὸς σέ. ἀντὶ τοῦ· οὐκ ἀκριβολογήσομαί σοι περὶ ἑκάστου σαφῶς. πολλὰ μὲν ἔχω δίκαια λέγειν πρὸς σέ, μεθίημι δὲ τούτων τὰ πολλά: — B

611 δαπάνην, χρημάτων εὐπορίαν: — B[1]

613 σύμβολα: οἱ ἐπιξενούμενοί τισιν ἀστράγαλον κατατέμνοντες θάτερον μὲν αὐτοὶ κατεῖχον μέρος, θάτερον δὲ κατελίμπανον τοῖς ὑποδεξαμένοις, ἵνα, εἰ δέοι πάλιν αὐτοὺς ἢ τοὺς ἐκείνων ἐπιξενοῦσθαι πρὸς ἀλλήλους, ἐπαγόμενοι τὸ ἡμιαστραγάλιον ἀνανεοῖντο τὴν ξενίαν. Εὔβουλος Ξούθῳ [frg. 70]· 'τί ποτ' ἐστὶν ἅπαντα διαπεπρισμένα ἡμίσε' ἀκριβῶς ὡσπερεὶ τὰ σύμβολα'. οὕτως Ἑλλάδιος: — B

---

8 μήτε scripsi ὥστε B 9 μήτε Wil μηδὲ B νομίζεσθε B 11 τοῦτο — τὸ addidi 18 οἷον σύ addidi 21 ἐπικαταρωμένη Wil 31 ἔσθ' ἀπαξάπαντα Cobet ἡμίσε' Meineke ἡμίσεως B 32 ὡσπερεὶ Meineke περ εἰς B ἔ[δ]λλα B

ἢ γράμματα, ἐπιστόλια: — B[1]

618 κακοῦ γὰρ ἀνδρός: παροιμία ἐστίν· 'ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα'. μέμνηται Σοφοκλῆς ἐν Αἴαντι μαστιγοφόρῳ [665]: — B

622 λυπηθήσῃ: — B[1]

623 νεωστὶ γεγαμημένης: — B[1]

624 πορθῇ τῷ ἔρωτι. ἐξώπιος δέ. ἀντὶ τοῦ ἀφεστηκὼς αὐτῆς, ἔξω τῶν ὀφθαλμῶν τῆς κόρης ὤν: — B

626 ὥστε μεταμεληθῆναί σε ἐπὶ τῷ γάμῳ: — B

627 τοῦτο ὁ χορὸς λέγει περὶ τῆς Μηδείας ὡς ἐρώσης τοῦ Ἰάσονος, εὐχόμενος μὴ τοιοῦτον σχεῖν ἔρωτα. ἐκ γὰρ τῶν τοιούτων ἐρώτων ταραχαὶ τοῖς ἀνθρώποις συμβαίνουσι: — B

629 σωφροσύνην: — B[g]

632 τὸ ἑξῆς· μηδέποτε, ὦ δέσποινα, ἐκ τῶν χρυσέων τόξων ἐπ' ἐμοὶ ἐφείης ἄφυκτον οἰστὸν ἱμέρῳ χρίσασα. μὴ ποιήσῃς τοιοῦτον ἔρωτα ἐμπεσεῖν εἰς ἐμέ, ὦ Ἀφροδίτη, οἷον καὶ εἰς Μήδειαν: — B

635 φιλοίη δέ με ἡ σωφροσύνη: — B

637 μηδέ ποτ' ἀμφιλόγους: μηδὲ εἰς νείκη μηδὲ εἰς ὀργὰς καὶ ἐμφιλονείκους λόγους καὶ ὀργῆς κινητικούς: — B

638 νείκη θυμόν: τὰ νείκη κατ' εὐθεῖαν πληθυντικὴν εἴρηται. τουτέστι τὰς μάχας, ἢ τὰς φιλονεικίας, ἀκορέστους: — B

639 ταράξασα: — B[g]

640 προσαγάγοι: — B[g]

ἀπτολέμους: ἐπὶ τῷ εἶναι ἀπολέμους. σεβίζουσα δέ, προκρίνασα προτιμῶσα: — AB

ἄλλως: κρίνοι τὰ λέκτρα τῶν γυναικῶν. ἢ οὕτως· σεβίζουσα τὰς ἀπολέμους εὐνάς, ὅ ἐστι παρασκευάζουσα ἀπολέμους, ἤγουν ἀφιλονείκους. οἷον· τιμάτω δὲ ἡ Ἀφροδίτη τὰς εὐνὰς τὰς ἀπολέμους καὶ μὴ ἐάτω αὐτὰς στασιάζειν. [ἢ] ὀξύφρονα τὴν Ἀφροδίτην φησίν, ἐπεὶ ὀξεῖς οἱ ἔρωτες αὐτῆς καὶ ὑπόπτεροι: — B

ὀξύφρων: ὀξυτάτους ἔρωτας πέμπουσα εἰς τὴν διάνοιαν τῶν ἀνθρώπων: — A

ἄλλως: ὀξείας καὶ μεγάλας ἐπιθυμίας ἔχουσα: — A

---

10 δια suprascripto περι B  21 ἢ ego καὶ B del. Wil  24 lemma ex B  ἐπὶ Wil ἐν B  ἀπολέμους A ἀπόλεμος B  24. 25 σεβίζουσα — προτιμῶσα] προκρίνασαν A  26 οὕτως scripsi ὅτι B  29 ἢ del. Wil

645 ἀντὶ τοῦ· ἐν ἀμηχανίᾳ ζῶσα τὸν δυσπέρατον αἰῶνα, ἤτοι δυσαπάλλακτον: — B[1]

649 τῶν μόχθων τῶν ἐν ἀνθρώποις οὐδεὶς ἄλλος μείζων ἢ τὸ στέρεσθαι τῆς πατρίδος. μόχθων δὲ λέγει τῶν συμφορῶν. Ὅμηρος ἐκ τοῦ ἐναντίου [ι 34]· 'ὡς οὐδὲν γλύκιον ἧς πατρίδος οὐδὲ τοκήων': — B

ἄλλως: τοῦτο δὲ, τὸ στέρεσθαι τῆς πατρίδος, ὅτι πάνδεινόν ἐστιν, αὐταῖς ὄψεσιν ὁρῶμεν ἐπὶ τῆς Μηδείας καὶ οὐκ ἐξ ἀκοῆς [τοῦτο] μανθάνομεν: — B

660 μὴ ἀπὸ πάσης καρδίας καὶ καθαροῦ λογισμοῦ, τουτέστιν ἀνυπούλως. τὸ ἑξῆς· ἀχάριστος ὢν ἐκεῖνος ὄλοιτο ὅστις μὴ τιμᾷ τοὺς φίλους ἐκ ψυχῆς: — B[1]

665 σοφοῦ Πανδίονος: εὐεπίφορός ἐστιν ὁ Εὐριπίδης εἰς τὸ λέγειν σοφὸς καὶ σοφὴ πρὸς μηδὲν χρήσιμον παραλαμβάνων τὸ ὄνομα. κατὰ τί γὰρ σοφὸς ὁ Πανδίων λέγεται; οὐ γὰρ δὴ ὠνόμασται τοιοῦτον αὐτοῦ ἔργον, ἀλλ' οὐδὲ πανουργίας ἐχόμενον, ὥστε διὰ τοῦτο λέγεσθαι αὐτὸν σοφόν· ἀλλ' ὥσπερ παραπληρώματι χρῆται τῇ λέξει: — B

666 Αἰγεῦ πόθεν γῆς: λέγουσι τὸν Αἰγέα εἰς Τροιζῆνα ἐληλυθέναι διὰ τὸ δεδοικέναι πεζῇ ποιεῖσθαι τὴν πορείαν, Σίνιδος κατ' ἐκείνους τοὺς χώρους ἐπιπολάζοντος. Νεόφρων δὲ εἰς Κόρινθον τὸν Αἰγέα φησὶ παραγενέσθαι πρὸς Μήδειαν ἕνεκα τοῦ σαφηνισθῆναι αὐτῷ τὸν χρησμὸν ὑπ' αὐτῆς [τῆς Μηδείας], γράφων οὕτω [frg. 1]·

'καὶ γάρ τιν' αὐτὸς ἤλυθον λύσιν μαθεῖν
σοῦ· Πυθίαν γὰρ ὄσσαν, ἣν ἔχρησέ μοι
Φοίβου πρόμαντις, συμβαλεῖν ἀμηχανῶ·
σοὶ δ' εἰς λόγους μολὼν ἂν ἤλπιζον μαθεῖν': — B

668 τὸ μέσον τῆς γῆς καὶ τῆς οἰκουμένης. τὸ μαντικόν. ἐστάλης δὲ, ἐπεδήμησας. [666] ἐνδημεῖς: — B

670 δεῦρ' ἀεί: ἀντὶ τοῦ· μέχρι νῦν ἄπαις ὑπάρχεις; τὸ δὲ ἀεί ἀντὶ τοῦ ἕως τοῦ νῦν. σεσημείωται δὲ ἐπεὶ τὸ δεῦρο χρονικὸν εἶπεν. ἢ οὕτως· ἀντὶ τοῦ· ἕως τοῦ χρόνου τούτου ἄπαις τυγχάνεις; τὸ

---

1 δυσπέραστον B[1] 6 τὸ Laur. 31,10 αὐτὸ B 7 τοῦτο del. Wil 19 χώρους Wil χρόνους B 21 τῆς Μηδείας del. Nauck 23 Πυθίαν Valckenaer πρὶν θείαν B 24. 25 ἀμηχανῶ· σοὶ δ' Valckenaer ἀμηχάνως οἶδ' B 25 μολὼν Valckenaer μολεῖν B ἂν Dindorf γ' ἂν Porson γὰρ B 28—p. 178,2 cf. lex. Bachm. p. 33,25. 191,24 Suid. s. u. ἀεί. δεῦρ' ἀεί. δεῦρο Hesych. s. u. ἀεί

γὰρ ἀεί Εὐριπίδης τάσσει ἀντὶ τοῦ ἕως τοῦ νῦν. δεῦρο δὲ ἐπὶ χρόνου, καὶ σεσημείωται: — B

671 ἐπιβουλῇ: — $B^{i}$

673 οὐκ ἐσμὲν εὐνῆς: πρώτην ἔσχε Μελίτην τὴν Ὅπλητος, δευτέραν Χαλκιόπην τὴν Χαλκώδοντος, τρίτην τὴν Μήδειαν: — B

675 ἀντὶ τοῦ· σοφὰ ὑπερβαίνοντα καὶ ἄνδρας εἰς τὸ γνῶναι, τὸ δὲ θέμις κατὰ ἐρώτησιν. περισσῶς δὲ ὁ μέν: — $B^{i}$

677 ἐπεί τοι καὶ σοφῆς δεῖται φρενός: σοφωτέρας διανοίας χρείαν ἔχει τὰ δὴ λεγόμενα ῥήματα: — B

679 ⟨ὁ⟩ χρησμὸς ὁ δοθεὶς τῷ Αἰγεῖ οὗτός ἐστιν· 'ἀσκοῦ τὸν προὔχοντα ποδάονα, φέρτατε λαῶν, μὴ λύσῃς, πρὶν γουνὸν Ἀθηνάων ἀφικέσθαι'. ἀσκοῦ οὖν τῆς γαστρός· πόδα δὲ τὸ μόριον, παρόσον ὡς ὁ ποδεὼν τοῦ ἀσκοῦ προέχει. λέγει οὖν ὅτι ἔχρησέ μοι μὴ συνελθεῖν ἑτέρᾳ, πρὶν ἐπιβῆναι τῆς πατρίδος. τοῦτο γὰρ αἰνίττεται, ὅπερ αὐτὸς οὐ συνίησιν. ἀσκὸν τοίνυν λέγει τὸν περὶ τὴν γαστέρα τόπον. Ἀρχίλοχος [frg. 72] 'καὶ πεσεῖν δρήστην ἐπ' ἀσκὸν κἀπὶ γαστρὶ γαστέρα προσβαλεῖν μηρούς τε μηροῖς', δρήστην λέγων, οἷα δράσοντά τι. ποδεῶνα δὲ εἰώθασι λέγειν τὸ τοῦ ἀνδρὸς αἰδοῖον: — B

681 ἕως ⟨ἂν⟩ ἐν τῇ πατρίδι γένωμαι. ἐξέχοντα δὲ μάλιστα ἐν σώματι τέσσαρα, κεφαλὴ χεῖρες αἰδοῖον πόδες: — $B^{i}$

682 στέλλεις: — $B^{s}$

683 πόλις Πελοποννήσου πλησίον Ἀθηνῶν: — $B^{i}$

686 τρίβων: εἰς τὰ τοιαῦτα περιτετριμμένος, ἐν τριβῇ ὢν τοῦ τοιαῦτα λέγειν, τουτέστι τοὺς χρησμούς: — B

687 δορυξένων: οἱ κατὰ τὸν πόλεμον πρὸς ἀλλήλους φιλίαν πεποιηκότες, ὡς Γλαῦκος καὶ Διομήδης: — B

691 ὁ Ἰάσων ὁ φίλος σου κάκιστος τυγχάνει: — $B^{i}$

λύπας: — $B^{s}$

---

1 νῦν. δεῦρο scripsi δεῦρο νῦν B 4. 5 Athen. 13 p. 556f Apollod. III 15, 6, 1 9 δὴ scripsi ἤδη B 10—12 Plut. Thes. 3 Apollod. III 6, 15, 2 Tzetz. ad Lycophr. p. 648 10 ὁ addidi 11 ποδάονα ueteres Tzetzae edd. ποδεῶνα B πόδα siue πόδα ὂν siue πόδα ὦ Tzetzae codices πόδα μέγα Plutarchus et Apollodorus φέρτατε Plutarchus Apollodorus Tzetzes φίλτατε B λύσῃς Plutarchus Apollodorus Tzetzes λῦσαι B 11. 12 ἐς ἄκρον Ἀθηναίων ἀφίκηαι Apollodorus Tzetzes δῆμον Ἀθηνέων εἰσαφικέσθαι Plutarchus 11 Ἀθηνάων Wil ἀθηναίων B 17 προσβαλεῖν Matthiae et Elmsley προσβάλλειν B δράσοντά scripsi δράσαντά B 23 παρατετριμμένοσ B

692 λείπει ἄτοπον: — $B^i$

693 τί χρῆμα δράσας: σεσημείωται ὁ στίχος, ὅτι καὶ ἐν Πελιάσιν [frg. 602] ἐστίν, ὧν ἀρχὴ [frg. 601] 'Μήδεια πρὸς μὲν δώμασιν τυραννικοῖς': — B

ὁποῖον πρᾶγμα δράσας: — $B^i$

695 ἀπιστῶν τοῦτο λέγει: — $B^i$

698 ἐρασθεὶς δηλονότι: — $B^i$

699 ἴτω: ἀντὶ τοῦ ἐρρέτω: — $B^i$

700 γάμον συγγένειαν: — $B^i$

701 διέρχου: — $B^i$

703 συγγνώμην εἶχες λυπουμένη· δικαίως γὰρ λυπῇ. τὸ δὲ ἦν ἀντὶ τοῦ ἐστί, χρόνος ἀντὶ χρόνου: — $B^i$

708 καρτερεῖν: ἀντὶ τοῦ κρατεῖν καὶ ἀντέχειν. καὶ τὸν ἐγκρατῆ λέγουσι καρτερόν. Ἀρχίλοχος [frg. 26] 'ὁ δ' Ἀσίης τε καρτερὸς μηλοτρόφου'. φησὶν οὖν ὅτι τῷ λόγῳ μὲν προσποιεῖται, τῷ δὲ ἔργῳ οὐ θέλει κρατεῖν καὶ ἀντέχειν: — B

γράφεται καρδίᾳ δὲ βούλεται: — $B^i$

712 ἀβοήθητον: — $B^i$

719 ἀπὸ κοινοῦ τὸ ἕκατι: — $B^i$

721 γενέσεις: — $B^i$

722 εἰς τοῦτο γὰρ δὴ φροῦδος: κατὰ γὰρ τοῦτο τὸ μέρος ⟨τὸ⟩ τῆς παιδοποιΐας ἔρημός εἰμι. ἢ τὸ φροῦδον ἀντὶ τοῦ πρόθυμον [καὶ ἀσαφήνιστον] οὕτως· εἰς τὸ παῖδας ποιῆσαι πάνυ ἐσπούδακα καὶ πρόθυμός εἰμι. ἔστι δὲ κυρίως ὁ προωδευκώς: — B

724 προίστασθαι ξένης οὔσης. ἴσως ἵνα μὴ λυπήσῃ τὸν Ἰάσονα ἢ ἐπειδὴ ἀπήει πρὸς Πιτθέα: — $B^i$

728 τὸ μὴ ὑπερβιβαστέον, τουτέστιν· οὐ μή σε μεθῶ τινι: — $B^i$

730 ἀναίτιος: ἀντὶ τοῦ ἀνέγκλητος ἄμεμπτος. οὐδὲ γὰρ βούλομαι, φησί, παρὰ τῶν περὶ τὸν Κρέοντα αἰτιαθῆναι, ὡς αὐτός σε ἀπαγαγών: — AB

731 ὅρκος: — $B^g$

3 ἄρχει B δώμασι B 14 ἀσίῃι τε B Ἀσίης sine τε schol. ο 534 14. 15 μηλοτρόφος B μηλοτρόφου schol. ο 534 17 καρδία $B^i$ 21 τὸ addidi 22. 23 καὶ ἀσαφήνιστον ad diuersam interpretationem spectat cf. gl. in A ἀφανής 28 lemma ex AB οὐδὲ γὰρ B οὐδὲν A 29 περὶ τὸν om. A 29. 30 ἀγαγών A

733 οὐ πιστεύεις: — B[g]

τὸ ἐναντίον: — B[i]

734 Πελίου δ' ἐχθρός: κατὰ κοινοῦ τὸ ἐχθρός. ὁ δὲ νοῦς· σοὶ μὲν θαρρῶ καὶ πεπίστευκα, ἀλλὰ φοβοῦμαι μὴ ἄρα ὁ τοῦ Πελίου δόμος καὶ ὁ Κρέων ἐχθροί μου ὄντες βιάσωνταί σε καὶ παρὰ προαίρεσιν προέσθαι με ἑαυτοῖς· ὅθεν ὅρκῳ σε [τοῦτο] βούλομαι πιστώσασθαι ὡς οὐκ ἄν με προῇ: — AB

735 τούτοις δ' ὁρκίοισι: ἐγκατειλημμένος ἐμπεπλεγμένος. ἀντὶ τοῦ μετὰ βίας ἄγουσιν. τὸ δὲ ἑξῆς· τούτοις ἄγουσιν οὐ μεθεῖο ἄν: — AB

τούτοις δ' ὁρκίοισι μὲν ζυγείς: ὁ νοῦς· τούτοις δέ, τοῖς ἐχθροῖς, ἄγουσί με καὶ βιαζομένοις οὐκ ἂν ἐκδοίης. ὅρκοις προκατειλημμένος. διὸ βούλομαί σε ὀμνύναι. ἐὰν γὰρ ὀμόσῃς μοι, τοῖς περὶ τὸν Κρέοντα βουλομένοις με ἄγειν ἀπὸ τῆς Ἀττικῆς οὐκ ἂν μεθεῖο. οἷον· ἐξαιτουμένοις οὐκ ἂν δοίης· μὴ ὀμόσας δὲ φίλος γένοιο ἂν αὐτοῖς. διὰ δὲ τοῦ ἐπικηρυκεύματα θέλει εἰπεῖν [ἀντὶ τοῦ] ἐπικηρυκεύμασιν. λείπει ἡ διά, ἵν' ᾖ ὁ πᾶς λόγος· πέποιθα μὲν ἐφ' οἷς λέγεις μοι, ὁ δὲ τοῦ Πελίου δόμος καὶ ὁ τοῦ Κρέοντος ἐχθροί μοι εἰσίν. τούτοις οὖν βουλομένοις ἐξαιτεῖσθαί με οὐκ ἂν ἐκδοίης, ὀμόσας. εἰ δὲ διὰ λόγων μόνων σύνθοιο, ἴσως ἂν ἐκείνων γένοιο φίλος καὶ διὰ τὰ ἐπικηρυκεύματα, ὅ ἐστι τὰς πρεσβείας, ἐξαιτουμένοις με ἐκδοίης ἂν αὐτοῖς: — AB

736 οὐκ ἐκδοίης: — B[g]

3 lemma ex AB 4. 5 οἱ τῶ πελία διαφέροντες A 5 μοι A 6 ἑαυτοῖς scripsi ἐν αὐτοῖς AB ὅρκῳ Wil ὁρκῶ AB τοῦτο del. Wil βούλομαι Wil βουλομένη AB 7 πρόηι B προδοίησ A 8 lemma ex B ἐμπεπληγμένος B 9 post ἄγουσιν paruum spatium rel., signo lacunae in mg. posito A τούτοις om. A 9. 10 μεθεῖσαν AB 11—22 scholio quod praecedit adi. AB lemmate omisso et δὲ post ὁ addito A lemmatis uerbis ita corruptis τούτοις δὲ ὅρκοις ἐνιζ [quod et litteram ζ et compendium terminationis a κ incipientis significare potest] B 11 δὲ B δὴ A 12 ὅρκω A 13 γὰρ om. A μοι om. A 14 μεθεὶς A 15 ἂν αὐτοῖς scripsi ἂν A αὐτοῖς B 16 τοῦ B τοῦτο A ἐπικηρυκεύματα scripsi ἐπικηρυκεύματος AB θέλει] ἔδει Wil ἀντὶ τοῦ del. Wil 17 λείπει δὲ B πᾶς ὁ λόγος B 18 μου εἰσί B 19 οὖν om. A ἐπιδοίη ὁ ὀμόσας A 21 ὅ — πρεσβείας om. A

737 λόγοις δὲ συμβάς: εἰ δέ, φησίν, ἔλθοις εἰς σύμβασιν [τῶν ἐμῶν] λόγων καὶ συνθήκας ἐνωμότους ποιήσαιο πρὸς ἐμέ, εὖ οἶδα ὅτι μοι φίλος γένοιο ἂν καὶ ἐπίκουρος ἀσφαλὴς καὶ οὐκ ἂν τὴν πρὸς ἐκείνους φιλίαν προκρίναις. ἐπικηρυκεύματα γάρ ἐστι τὰ διὰ τῶν κηρύκων γινόμενα πρὸς φιλίαν. κεῖται οὖν ἡ λέξις ἐπὶ τῆς φιλίας. τῇ δὲ εὐθείᾳ ἀντὶ δοτικῆς κέχρηται. ἔδει γὰρ εἰπεῖν· καὶ τοῖς ἐπικηρυκεύμασιν οὐκ ἂν πίθοιο. Δίδυμος δέ φησιν ἐλλείπειν τὴν διά, ἵν᾽ ᾖ· καὶ διὰ τὰ ἐπικηρυκεύματα: — AB

738 βοηθός: — $B^{g}$

λείπει τὸ ἐμοί: — $B^{g}$

741 προβουλίαν σύνεσιν πρόγνωσιν: — $A^{g}B^{i}$

743 ἐμοί τε γάρ: καὶ ἐμοί, φησίν, ἀσφαλές ἐστι πρὸς τὸ μηδεμίαν μέμψιν ἔχειν παρ᾽ αὐτῶν τὸ τὴν σκῆψιν ταύτην προβάλλεσθαι, τὸ φθάσας ὀμωμοκέναι μὴ προδοῦναί σε, καὶ τὸ σεσῶσθαί σε βεβαιότερον ἔσται τὴν σκῆψιν ταύτην προΐσχοντί μοι. σκῆψιν οὖν λέγει τὸ ὀμωμοκέναι αὐτῇ. τὸ δὲ ἐξηγοῦ θεούς ἀντὶ τοῦ· ὀνόμαζε τοὺς θεοὺς οὓς βούλει με ὀμόσαι: — AB

752 γράφεται Ἡλίου θ᾽ ἁγνὸν σέβας: — $B^{i}$

758 ἀντὶ τοῦ· ὧν βούλομαι: — $B^{i}$

759 ταῦτα ἔνιοι τῷ χορῷ, ἔνιοι τῇ Μηδείᾳ προσνέμουσιν: — $B^{i}$

ἀλλά σ᾽ ὁ Μαίας πομπαῖος: ὁ χορὸς ἐπεύχεται Αἰγεῖ ἐπὶ τῇ ἐπαγγελίᾳ. πομπαῖον δὲ τὸν Ἑρμῆν λέγει, ἐπεὶ παραπόμπιμος ὁ θεὸς καὶ εἰρηνικός, οἱ δὲ ὁδεύοντες μάλιστα εἰρήνης δέονται: — AB

761 πράξειας: καὶ πράξειας ταῦτα ὧν ἔχων ἐπιθυμίαν σπουδάζεις: — $AB^{i}$

762 εὐγενής: — $A^{g}B^{g}$

763 ἐνομίσθης: — $A^{g}B^{i}$

764 ὦ Ζεῦ: τοῦτο μόνον ἡ Μήδεια αὐτὴ καθ᾽ ἑαυτὴν ἀναφωνεῖ τῇ Δικαιοσύνῃ καὶ τοῖς λοιποῖς θεοῖς ὡς εὐχαριστοῦσα, τὰ δὲ λοιπὰ πρὸς τὸν χορόν: — B

1 lemma ex AB φησὶν om. B ἔλθῃσ B τὴν σύμβασιν B 1. 2 τῶν ἐμῶν deleui 3 ἂν καὶ scripsi καὶ B ἀντὶ τοῦ A 6 post τοῖς add. ἐκείνων A 7 πείθοιο A 12 lemma ex B πρὸσ τῷ A 13 προβαλλέσθαι A προβαλέσθαι B 16 αὐτῆσ B 16. 17 τὸ δὲ — ὀμόσαι om. A 18 ad us. 752 rettulit Wil us. 746 adscripta in B 21 lemma ex B 22 πομπαῖον — Ἑρμῆν] ἑρμῆν δὲ A

765 ἐχθρῶν. φίλαι: φίλας λέγει τὰς ἀπὸ τοῦ χοροῦ· πρὸς αὐτὰς γὰρ νῦν διαλέγεται. εἰς ὁδὸν δὲ, ἀντὶ τοῦ· εἰς τὴν τῆς νίκης ἀρχὴν ἐληλύθαμεν: — AB

768 ᾗ μάλιστ' ἐκάμνομεν: καθ' ὃ μέρος ἐδυστύχουν. οὐκ ἔχουσα πρὸς ὃν καταφύγω, νῦν καθάπερ λιμένι, τούτῳ προσώρμισα: — AB

769 σωτηρία: — $B^1$

770 ἐκ τοῦδ' ἀναψόμεσθα: παυσόμεθα τῶν ταρασσόντων κακῶν. ὅταν γὰρ ἀπόγεια δεθῇ, παύονται τῶν καμάτων οἱ ναῦται: — AB

προσδήσομεν: — $B^1$

771 εἰς Ἀθήνας: — $B^1$

773 δέχου δὲ μὴ πρὸς ἡδονήν: μὴ νομίσῃς, φησὶν, ἡδέα καὶ προσηνῆ εἶναι τὰ μέλλοντά σοι ῥηθήσεσθαι. ἔστι γὰρ ἀηδῆ μὲν εἰς ἀκοήν, ἀναγκαῖα δὲ ὅμως· ὡσεὶ ἔλεγεν· οὐκ ὤφειλον μὲν ὑμῖν τοιαῦτα ἀπαγγέλλειν οὐδ' οὕτω πράξειν κακῶς· ὅμως δὲ ἐπειδὴ εἰς τοῦτο τύχης ἤλθομεν, ἀκούσατε τὰ βεβουλευμένα μοι, καίπερ ἀηδῆ ὄντα: — AB

778 ἀντὶ τοῦ· κατὰ τοὺς γάμους τῶν τυράννων: — $B^1$

780 παῖδας δὲ μεῖναι: αἰτήσομαι δὲ, φησὶν, αὐτὸν τοὺς παῖδας ἐᾶσαι ἐνταῦθα μεῖναι καὶ αὐτοὺς, φησὶ, συγκατακτενῶ. ἀλλ' ἵνα πρότερον διακονήσωσί μοι πρὸς τὸν τῆς Γλαύκης θάνατον: — AB

785 γράφεται δῆθεν μὴ φεύγειν χθόνα, ἵν' ᾖ ἀντὶ τοῦ· ὡς δὴ παραιτησομένους τὴν φυγήν. τιθέασι γὰρ τὸ δῆθεν ἀντὶ τοῦ ὡς δή: — AB

790 ἐνταῦθα μέντοι: μέχρι μὲν τούτου ἀποτερματίζω σοι καὶ ἵστημι τὸν λόγον σιωπῶσα: — AB

791 καὶ νῦν προλέγει ὡς εἴωθεν: — $B^1$

793 τῆς σφαγῆς δηλονότι: — $B^1$

796 ἀντὶ τοῦ δράσασα: — $B^1$

798 ἴτω: γινέσθω προχωρείτω τὰ δόξαντα. τί μοι γὰρ ὄφελος ζῆν: — A

---

1 lemma ex A post λέγει add. νῦν A 2. 3 εἰς ὁδόν — ἐληλύθαμεν om. A 4 lemma ex B 5 καθάπερ — τούτῳ om. B προσώρμισμαι A 7 lemma ex A 8 καμάτων Elmsley κυμάτων AB 11 lemma ex A 12 σοι om. A ἀηδῆ A ἡδέα B 13 post ἀκοήν add. ἐλθεῖν B 14 δὲ om. B 15 μοι om. B 17 lemma ex A 19 τῆς om. A 20 γρ B τὸ γὰρ A ἀντὶ τοῦ om. A 23 lemma ex AB 23. 24 καὶ ἵστημι om. A 24 σιωπῶσα om. A

γινέσθω προχωρείτω. γράφεται δὲ καὶ οὔτε μοι πατήρ: — B[i]

799 γράφεται ἀπαλλαγή: — B[s]

804 λείπει ἡ ἀπό, οὔτε ἀπὸ τῆς νεοζύγου, ἤτοι νεογάμου: — B[i]

807 ἀντὶ τοῦ εὐτελῆ ἁπλῆν δειλὴν ἐπιεικῆ. ἡσυχαίαν δὲ ἐνταῦθα ἀντὶ τοῦ ἡσύχιον καὶ ἀνόητον. ἀλλὰ τοῦ ἑτέρου τρόπου, τουτέστι θρασεῖαν: — B[i]

811 ἐπείπερ ἡμῖν τόνδ' ἐκοίνωσας: τὸ ἑξῆς· ἐπείπερ ἡμῖν τόνδ' ἐκοινώνησας λόγον, δρᾶν σ' ἀπεννέπω τάδε. ἀπεννέπω δὲ καὶ σὲ ὠφελοῦσα καὶ τοῖς νόμοις βοηθοῦσα: — B

814 τουτέστι· συγγινώσκω σοι ἐφ' οἷς παραινεῖς: — B[i]

819 γινέσθω τὰ δόξαντα. πρὸς τὴν θεράπαινάν φησιν: — B[i]

823 εἴπερ φρονεῖς εὖ δεσπόταις: δέσποιναν ἑαυτὴν λέγει οὐχ ὡς θεραπαινῶν οὐσῶν τῶν ἀπὸ τοῦ χοροῦ, ὅπου κατ' ἀρχὴν τοῦ λόγου φίλας αὐτὰς ὀνομάζει, ἀλλὰ τὸ δεσπόταις ἀντὶ τοῦ τοῖς ἄρχουσι καὶ τοῖς κρατοῦσιν· τὸ δὲ πληθυντικὸν ἀντὶ ἑνικοῦ· θέλει γὰρ εἰπεῖν ἐμοὶ τῇ κρατούσῃ. καὶ γὰρ βασιλέως θυγάτηρ ἐστὶ καὶ γυνὴ βασιλέως, τοῦ Ἰάσονος, καὶ σῴζει τὸ εὐγενὲς φρόνημα. μηδαμῶς δὲ θαυμάσωμεν, εἰ Κορίνθιαι οὖσαι δέον τῷ τοῦ Κρέοντος μέρει προσθέσθαι ταύτῃ αἱροῦνται συγκρύπτειν. ἐλεύθεραι γὰρ οὖσαι τὸ παριστάμενον αὐταῖς δίκαιον προτιμῶσιν. ἔπειτα καὶ ἀεὶ ὁ χορὸς ἐν προσώπῳ τοῦ ποιητοῦ εἰσάγεται τῷ δικαίῳ προστιθέμενος: — AB

παρόσον ⟨γυνὴ⟩ γυναικὶ πέφυκεν ἐπίκουρος καὶ μάλιστα εἰς εὐνὴν ἀδικουμένῃ: — B[i]

824 Ἐρεχθεῖδαι: μακαρίζει νῦν τοὺς Ἀθηναίους ὡς εὐδαίμονας καὶ σοφίας πάσης ἐπιστήμονας ἱερούς τε καὶ μύστας, ὅτι μέλλει τὰ κατὰ τὴν Μήδειαν ἐπάγειν μιάσματα. τῇ γὰρ παραθέσει βούλεται αὐτὴν ἀποτρέψαι τοῦ κατὰ τῶν παίδων φόνου. οὕτως γὰρ ἐν τοῖς ἑξῆς ἐπάγει ὅτι οὐκ εἰκὸς τοὺς οὕτως ἱεροὺς καὶ σοφοὺς ἄνδρας σὲ μιαιφόνον γενομένην ὑποδέξεσθαι: — AB

Ἐρεχθεῖδαι τὸ παλαιόν: ἱκανὸν ἐγκώμιον ὁ χορὸς καταβάλλεται τοὺς Ἀθηναίους δικαίους καὶ θεοσεβεῖς ἀποκαλῶν, ἀποτρέπων τῆς

12 lemma ex AB   15 κρατοῦσι B   17 μηδαμῶσ δὲ A μὴ τοίνυν B
18 δέον om. A   προθέσθαι B οὐ προσεκείνοισ [i. e. προσέκειντο] ἀλλὰ A
ταύτῃ Wil ταύτην AB   18. 19 συγκρύπτειν ᾑροῦντο A   22 γυνὴ addidi
24 lemma ex B ἱερασ χώρασ in A   26 τὴν om. A   27 ἀποτρέψασθαι B
28 ἀνθρώπουσ A   29 ὑποδέξασθαι AB   30 lemma ex AB

πράξεως τὴν Μήδειαν, ὡς οὐκ ἂν οἱ τοιοῦτοι τὴν τοιαῦτα δράσασαν δέξαιντο: — AB

825 καὶ θεῶν παῖδες: ἢ ὡς ἀπὸ τοῦ Ἡφαίστου καταγόμενοι. ὁ γὰρ Ἐρεχθεὺς ἐξ Ἡφαίστου [ἀπὸ γὰρ τοῦ ἐρίου ἐν ᾧ ἡ Ἀθηνᾶ τὸ σπέρμα τοῦ Ἡφαίστου σπογγίσασα ἔρριψε]. λέγεται γὰρ ὡς Ἀθηνᾶς ἠράσθη Ἥφαιστος καὶ ἐδίωκεν αὐτὴν φεύγουσαν καὶ μυσαττομένην αὐτόν. μὴ συγχωρηθεὶς οὖν συγγενέσθαι αὐτῇ ἀπεσπέρμηνε περὶ τὸν μηρὸν αὐτῆς. ἐκείνη δὲ μυσαχθεῖσα τὸ γεγονὸς ἐρίῳ σπογγίσασα τὸν θορὸν εἰς τὴν γῆν ἔρριψε καὶ ἐξ ἐκείνου ἀνέδωκεν ἡ γῆ τὸν Ἐρεχθέα: — A

826 χώρας ἀπορθήτου: ἡ σύνταξις· ἀπὸ ἀπορθήτου χώρας. ἀπόρθητον δὲ αὐτὴν εἶπεν, διὰ τὰς θρυλουμένας πολλὰς νίκας αὐτῶν. αὐτοὶ γὰρ ἀπόρθητοι καὶ ἀήττητοι διετέλεσαν. τὸ δὲ φερβόμενοι σοφίαν, ἀντὶ τοῦ προσλαμβάνοντες καὶ παιδευόμενοι πᾶσαν σοφίαν. οὕτω δὲ εἶπεν ὡς ἀναγκαίας αὐτοῖς οὔσης τῆς παιδεύσεως, καθάπερ ἄλλοις τροφῆς: — AB

καρπούμενοι: — B[i]

830 παρόσον οἱ σοφίας ἐντὸς καθαρώτερον τοῖς τῆς ψυχῆς ὀφθαλμοῖς τὰ θεῖα φαντάζονται, μονονουχὶ καὶ θεοῖς αὐτοῖς ὁμιλεῖν πιστευόμενοι. ἢ ὡς τοῦ παρ' αὐτοῖς ἀέρος φύσιν ἔχοντος τρέφειν ἀεὶ σοφοὺς ἄνδρας. τουτέστιν· ἀεὶ βιοτεύουσι λαμπροτάτῃ παιδεύσει, ἁπλῶς καὶ εὐμαρῶς ταύτην μεταχειριζόμενοι ἅτε δὴ τοῦ παρ' αὐτοῖς ἀέρος εἰς τοῦτο πεφυκότος, ἵνα τὸ μὲν βαίνοντες ἀντὶ τοῦ βιοτεύοντες, τὸ δὲ αἰθέρος ἀντὶ τοῦ ἀέρος ἐκδεξώμεθα: — AB

ἔνθα ποθ' ἁγνάς: ὅπου λέγεται ὑπὸ τῶν Μουσῶν τὴν ἐν μουσικῇ ἁρμονίαν φυτευθῆναι. ὅπου αἱ δυνάμεις τῶν ἐννέα Μουσῶν: — BA[g]

834 ξανθὰν Ἁρμονίαν: ἔνιοι λέγουσι τὸν Εὐριπίδην τὰς Μούσας

---

2 δέξωνται A 3—9 cf. Apollod. III 14,6 schol. B 547 Hyg. 166 Seru. Georg. 3,113 et. m. p. 371,32 cataster. 13 Hygin. astr. 2,13 schol. Germ. p. 73 4. 5 ἀπὸ — ἔρριψε del. Wil 8 διασπογγίσασα A 10 lemma ex B 10—15 scholio p. 183,23—28 adi. A add. δὲ post ἡ 10 post σύνταξις add. οὕτως A 13 προλαμβάνοντες A 14 αὐτῆς A 15 ἄλλης A 17 lemma ἔνθα ποθ' ἁγνάς A 17—23 scholio quod sequitur adi. B 19 τοῦ παρ' αὐτοῖς B παρὰ τὴν A φύσιν B πίστιν A τρέφειν Wil φέρειν AB ἀεὶ δὲ A 25 γεγενῆσθαι B 25. 26 ὅπου — Μουσῶν om. B 27 — p. 185,9 scholio 17—23 adi. B add. δὲ post ἔνιοι

λέγειν Ἁρμονίας θυγατέρας, ἀγνοήσαντες. οὐ γὰρ τοῦτο λέγει, ἀλλ' ὅτι αἱ Μοῦσαι πρῶτον ἐπὶ τῆς Ἀττικῆς ἐλθοῦσαι τὴν ἁρμονίαν ᾖδον καὶ τὴν μελῳδίαν. διὰ γὰρ τοῦ φυτεῦσαι τοῦτο παρίστησι νῦν. περὶ δὲ τοῦ τὰς Μούσας ἐν τῇ Ἀττικῇ ἱδρῦσθαι ἀρκεῖ τὰ Παλαιφάτου. ὁ δὲ λόγος· ἔνθα, φησὶν, ἐν ταῖς Ἀθήναις, λέγονται αἱ Μοῦσαι γεννῆσαι καὶ καταστήσασθαι πάσης σοφίας τὴν ἁρμονίαν. λέγει δὲ τὴν παίδευσιν, παρὰ τὸ ἁρμόζεσθαι καὶ ἑνοῦσθαι τῇ ψυχῇ ταύτην. ἢ ὅτι συγκεχυμέναις ταῖς ψυχαῖς αὐτὴ ὑπεισελθοῦσα [εἰς] ἁρμονίαν καὶ εὐστάθειαν εἰσάγει σωφρονεῖν παρέχουσα: — AB

αὗται τὴν ἁρμονίαν ἐφύτευσαν: — B[i]

ξανθήν: τὴν εὐανθῆ: — B[i]

835 τοῦ καλλινάου: νῦν τοῦ ἐν Ἀττικῇ μνημονεύει. ἔστι γὰρ καὶ ἕτερος ὁμώνυμος ἐν Βοιωτίᾳ. εἰσὶ δὲ καὶ ἕτεροι, καθά φησι Πολέμων ἐν τῷ Περὶ ποταμῶν, γράφων οὕτως [frg. 81]· '[ἐν] Ἀθήνησί τε Κηφισὸς καὶ ἐν Σικυῶνι καὶ ἐν Ἄργει * *: — AB

837 ἀνιμωμένην ἐπὶ τὴν χώραν καταπνεῦσαι: — B[i]

ἀπὸ κοινοῦ τὸ κλῄζουσι, τουτέστι· λέγουσι δὲ τὴν Ἀφροδίτην ἀεὶ καὶ διηνεκῶς ἐνταῦθα [ποιεῖν] περιτιθεμένην τοῖς ἑαυτῆς πλοκάμοις πολύν τινα κόσμον καὶ οὕτως δὴ ἐρασμίαν ἑαυτὴν παρασκευάσασαν ἐξαποστέλλειν τοὺς ἐπὶ πᾶσαν σοφίαν ὁδηγοὺς ἔρωτας. ἐμφαίνει δὲ διὰ τούτων, ὡς ἐρωτικῶς ἔχοντες πρὸς πᾶσαν σοφίαν οἱ Ἀθηναῖοι εἰκότως τὸν κατὰ πάντων ἔχουσι τῆς παιδεύσεως στέφανον. ὡσεὶ ἔλεγεν· ἀεὶ δὲ ἐρωτικῶς ἔχοντες πρὸς πᾶσαν σοφίαν οὗτοι περιτίθενται τὸν πολυανθῆ τῆς παιδεύσεως στέφανον. μόνοι πιστευόμενοι πάντας νικᾶν τῇ παιδεύσει: — AB

840 ἀεὶ δ' ἐπιβαλλομέναν: ἀεὶ δὲ λέγουσι τὴν Ἀφροδίτην

---

3 τοῦ B το A    3. 4 cf. Suid. s. u. Παλαίφατος schol. Rhes. 347 K 435    4 ἱδρύσασθαι A    ἀρκεῖ ⟨παραφέρειν⟩?    5. 6 γεννῆσαι καὶ om. A    7 ἁρμόσασθαι A    7. 8 συγκεχυμέναις ταῖς ψυχαῖς Wil συγκεχυμένας τῇ ψυχῇ A συγκεχυμένας τὰς ψυχὰς B    8 ὑπεισελθούσας A ἐπεισελθοῦσα B    εἰς del. Wil    12 lemma ex AB    13 δὲ om. A    13. 14 καθὰ — οὕτως om. A    14 ἐν deleui    15 lacunam indicauit Preller cl. Strab. 9 p. 424    17 lemma in A τὰν κύπριν κλῄζουσιν    ἀπὸ A κατὰ B    18 ποιεῖν deleui οἰκεῖν Wil    περιτιθεμένην scripsi περιτιθέναι μὲν AB    22 ἔχει A    τῆς om. A    οἷον ὡσεὶ B    23 ἐρωτικῶς scripsi ἔρωτα A ἔρωτας B    οἱ ἀθηναῖοι οὗτοι A    24. 25 μόνοι — παιδεύσει om. A    26 lemma ex A    26 — p. 186, 2 scholio quod antecedit adi. B

στεφανοῦσαν τούτους εὐώδει ῥόδων πλόκῳ πέμπειν αὐτοὺς τῇ σοφίᾳ παρέδρους: — AB

843 παρέδρους: ἀντὶ τοῦ συνοίκους. παρόσον οὐκ ἐκτός εἰσιν ἔρωτος οἱ περὶ σοφίαν καὶ πᾶσαν ἀρετὴν διακείμενοι: — AB

846 πῶς οὖν ἱερῶν: πῶς οὖν τὴν τεκνολέτειραν ὑποδέξεται ἡ πόλις τῶν ἱερῶν ποταμῶν ⟨ἢ⟩ ἡ χώρα τῶν φίλων, τουτέστι τῶν ἡδέων καὶ ἀγαθῶν: — A

ἄλλως: ἡ μεταξὺ τῶν ἱερῶν κειμένη ποταμῶν. τῷ προτέρῳ δὲ διαζευκτικῷ συνδέσμῳ, τῷ ἤ, τὸ ἡ ἄρθρον ἔξωθεν προσθετέον, τουτέστιν· ἢ ἡ πόλις ἢ ἡ χώρα. ὁ δὲ νοῦς· πῶς ἂν οὖν σε δέξαιτο ἡ πόλις αὕτη, ἡ ἱεροὺς ἔχουσα ποταμοὺς καὶ καθαροὺς παντὸς μολύσματος, ἢ ἡ τῶν κατ' αὐτὴν ἀνδρῶν προσφιλεστάτων ἡμῖν χώρα, παιδοκτόνον γενομένην καὶ ἀνοσίαν τῷ κατὰ τῶν φιλτάτων φόνῳ: — AB

847 ἢ φίλων: ἀντὶ τοῦ προσφιλεστάτων καὶ φιλοξενωτάτων. οὐκ εἰκῇ δὲ τοῦτο, ἀλλ' ἵνα αἰνίξηται πρὸς ἀποτροπὴν τὴν ὑπερβάλλουσαν ἀνοσιότητα τοῦ φόνου, ὅτι, καίπερ φιλόξενοι πεφυκότες, πρὸς σὲ τοιαύτην γενομένην ἀξενώτατοι γενήσονται: — AB

848 πόμπιμος: ἡ τὴν ἐκπεμφθεῖσαν ὑποδεχομένη, οὐκ αὐτὴ πόμπιμος οὖσα: — B

850 σὲ τὴν ⟨μετ'⟩ ἄλλων εὐσεβῶν [σὲ] ἀσεβῆ οὖσαν: — B[1]

851 σκέψαι τεκέων πλαγάν: τὴν πληγήν, φησί, τὴν τῶν τέκνων καὶ τὸν φόνον μὴ προπετῶς δράσῃς, ἀλλὰ πρότερον μεθ' ἡμῶν ἢ ἄλλων τινῶν σκέψαι εἰ τοῦτο χρή σε δρᾶσαι: — AB

856 πόθεν θράσος: ἀντὶ τοῦ· τίνι λογισμῷ χρησαμένη.

---

1 τούτοισ A εὐώδη A ῥοδέων AB πλόκον A πέμπει A 3. 4 scholio quod praecedit adi. A add. παρέδρουσ δὲ praeter hoc scholion habet separatim παρέδρουσ δὲ ἀντὶ τοῦ συνοίκουσ B 3 ἐστὶν ex εἰσὶν corr. A 4 ὁ A post σοφίαν add. μάλιστα A διακείμενοσ A coniecerim ἐρωτικῶς διακείμενοι 6 ἢ addidi 8 ἡ B ὁ A ποταμῶν κειμένη A 9 ἔξωθεν προσθετέον B om. A 10 ἂν om. A 11 ἡ post αὕτη om. A 12 προσφιλεστάτη B ἡμῶν A χώρα A πόλισ B 14 lemma ex AB 16 τὴν τοιαύτην A 20 σὲ τὴν μετ' ἄλλων scripsi ὁ τὴν ἄλλωσ B[1] σε deleui 21—23 bis scriptum in A 21 lemma ex A φησὶ om. A[1] ante τῶν add. ἐκ A 23 εἰ Barnes ἢ A[1] εἰσ AB χρή σε δρᾶσαι A[1] χρή σε δράναι A δρᾶσαι σε χρή B 24 lemma ex AB

τουτέστι· τίς σε τῶν πάντων πείσει τοσοῦτον θράσος ἐνθεῖναι τῇ σαυτῆς ψυχῇ ἢ τῇ δεξιᾷ ὁπλιζομένῃ κατὰ τῶν φιλτάτων παίδων: — AB

τὸ ἑξῆς οὕτως· πόθεν θράσος λήψῃ φρενὸς καρδίᾳ ἢ χειρί, κατὰ τῶν τέκνων σου δεινὰν προσάγουσα τόλμαν. λείπει γὰρ ἡ κατά. τὸ δὲ ἢ καρδίᾳ ἢ χειρὶ ἀντὶ τοῦ ἢ ἐννοίᾳ ἢ πράξει: — A

858 ἀντὶ τοῦ· κατὰ τὴν σαυτῆς καρδίαν καὶ τὸν λογισμόν. προσλήψῃ σχήσεις: — B

861 τέκνοις ἄδακρυν μοῖραν: μοῖραν τὸν καιρόν. καὶ Ἀριστοφάνης 'ὃν ὄλβιαι Μοῖραι ξυνάγουσιν' ἐν Βατράχοις [452]: — A

862 λείπει ἡ εἰς. οὐ καρτερήσεις: — B[s]

864 τέγξαι χεῖρα φόνου: τὸ ἑξῆς· φόνου χεῖρα φονίαν. εὖ οἶδα, φησί, ὅτι οὐ καρτερήσεις τὴν ἐργάτιν τοῦ φόνου χεῖρα μολῦναι τῷ αἵματι τῶν παίδων γονυπετούντων σε: — AB

866 ἥκω κελευσθείς: ἥκω, φησίν, ὑπὸ σοῦ κελευσθεὶς καὶ μεταπεμφθείς. καίτοι γὰρ οἶδα δυσμενῆ σε, ὅμως τούτου οὐκ ἂν ἁμάρτοις, τοῦ ἐμὲ ἐλθεῖν. ἰδού, φησί, καίπερ δυσμενῶς ἔχουσα πρὸς ἐμέ, τυγχάνεις τῆς ἐμῆς παρουσίας καὶ κελευσάσῃ σοι οὐκ ἠπείθησα: — AB

867 τοῦ ἐμὲ παρεῖναι: — B[1]

869 Ἰᾶσον, αἰτοῦμαί σε: αἰτοῦμαι, φησίν, ἃς πεποίημαι πρὸς σὲ μετ' ὀργῆς ὕβρεις, ῥᾳδίως φέρειν καὶ μὴ μνησικακεῖν, ὑπομιμνησκόμενον τῆς προτέρας ἡμῶν συνηθείας καὶ ὧν ἐπράξαμεν εἰς ἀλλήλους εὐεργεσιῶν: — AB

871 εἰκός σ' ἐπεὶ νῷν: ἐπεὶ ἡμῖν τοῖς δυσὶν ὑπείργασται, ἀντὶ τοῦ πέπρακται, πολλὰ προσφιλῆ: — AB[1]

872 ἐγὼ δ' ἐμαυτῇ διὰ λόγων: ἐγὼ ἐμαυτῇ διὰ λόγων ἐπετίμησα. ὑποκρίνεται δὲ νῦν καὶ μετὰ εἰρωνείας ταῦτα λέγει: — AB

879 τί κακοπαθεῖν βούλομαι: — B[1]

---

1 πείσει om. A θράσοσ τοσοῦτον A 2 in fine add. παρεσκεύασεν B 4 προσάγουσα scripsi προσάγουσαν A post κατά habet τὸ δὲ πόθεν ἀντὶ τοῦ τίνι λογισμῷ χρησαμένη τουτέστιν τίσ σε τῶν πάντων πείσει τοσοῦτον θράσος ἐνθεῖναι τῇ σεαυτῆσ ψυχῇ ἢ τῇ δεξιᾷ ὁπλιζομένῃ κατὰ τῶν φιλτάτων A 9 ἐν] ἔνθα A 11 lemma [φ̊ ] ex B οὐ δυνάσῃ παίδων A φόνου χεῖρα φόνου φονίαν A 12 τῆι ἐργάσει B 13 τῷ om. B σε om. A 14 lemma ex AB 15 καίτοι scripsi καὶ AB κεὶ Wil 17 κελευούσηι B σοι om. B 19 lemma ex A 20. 21 ὑπομνησκόμενον A 21 πρὸς B 23. 24 ἀντὶ τοῦ B[1] ὅ ἐστι A 24 πολλὰ προσφιλῆ om. A 25 lemma ex A διὰ λόγων om. A

880 οὐκ εἰσὶ μέν μοι παῖδες: ταῦτα, φησί, πρὸς ἐμαυτὴν διείλεγμαι, ὦ Ἴασον, ὅτι παῖδας ἔχω τοὺς ἐκ σοῦ καὶ οὐ δεῖ με λυπεῖσθαι τῷ νυνὶ γάμῳ, εἶθ' ὅτι καὶ φυγάδες ἐσμὲν ἐκβεβλημένοι τῆς Θετταλίας καὶ διὰ τοῦτό με δεήσει τὴν ἐνταῦθα διατριβὴν ἀσπάζεσθαι, ἔρημον οὖσαν φίλων: — AB

886 συμμετέχειν κοινωνεῖν: — B[i]

887 ἀντὶ τοῦ· συμπεραίνειν σοι γεγαμηκότι καὶ ὑπηρετῆσαί σοι. ἑξῆς δὲ αὐτὰ σαφηνίζει λέγουσα καὶ παρεστάναι λέγει: — B[i]

891 ἀντιφιλονεικεῖν: — B[g]

892 παριέμεσθα: παυόμεθα παραπεμπόμεθα, οἷον· παραιτοῦμαι συγχωρῶ: — B

896 μεταβλήθητε: — B[g]

899 λάβεσθε χειρός: τοῦτο ἠρέμα καὶ καθ' ἑαυτήν, ὡς ἐννοοῦσα τὴν ἀπήνειαν τοῦ φόνου κατὰ τῶν παίδων. φεῦ μοι, φησί, τῶν κακῶν, ὡς ἀλγῶ τὴν ψυχήν, ἐννοοῦσα τὸ κεκρυμμένον ἐν τῇ ἐμῇ ψυχῇ κακόν· λέγει δὲ τὸν τῶν παίδων φόνον. ἀπὸ δὲ τούτου φαίνεται τὸ μὴ κατὰ προαίρεσιν αὐτὴν ὁρμᾶν ἐπὶ τὸν φόνον, ὅπου γε περιαλγεῖ τὴν ψυχὴν τῷ πάθει, ἀλλὰ διὰ τὸ προτεθυμῆσθαι ἀμύνασθαι τὸν Ἰάσονα. δύναται δὲ καὶ εἰς ἐπήκοον τοῦ Ἰάσονος λεγόμενον πρὸς τοῦτον οὕτως· ἀγωνιῶ καὶ πάνυ τετάραγμαι ἐκεῖνο ἐνθυμουμένη τῶν κεκρυμμένων καὶ ἀδήλων ἀνθρώποις πραγμάτων, εἰ ζήσονται οὗτοι σὺν ἡμῖν πολὺν χρόνον· ὡς ἕτερον μὲν αὐτὴν νοεῖν, ὅπερ ἔμελλε δρᾶν, ἑτέρως δὲ ἐκδέχεσθαι τὸν Ἰάσονα, ὅτι ἄρα ἄδηλα τὰ κατὰ ἀνθρώπους καὶ κεκρυμμένα: — AB

900 ὡς ἐννοοῦμαι: οὐκ ἀναγκαῖον ἦν ταῦτα λέγειν· φαντασίαν γὰρ παρέχει τῷ Ἰάσονι ὡς κακοτεχνοῦσα. ἀλλ' ἕνεκα τῶν κοινῶν κατ' ἀνθρώπους κακῶν τὰ τοιαῦτα παρεγχωρεῖ λέγειν: — AB

901 ἆρ' ὦ τέκν': καὶ τοῦτο κατὰ διπλῆν ἔννοιαν, ἥν τε ὁ Ἰάσων ὑπολαμβάνει οὐχ ὑγιῶς καὶ ἣν αὐτὴ κρύπτει ἀληθεύουσα: — AB

---

1 lemma ex AB    2 ἔχων A    3 καὶ φυγάδεσ B κατὰ φυγάδ' A ἐκβεβλημένησ A    7 ὑπηρετῆσαι ego ὑπηρετεῖσθαι B[i]    13 lemma ex AB    13. 14 τοῦτο — κακῶν] cf. quae adnotaui p. 190, 22    13 καὶ om. A    14 ante τὴν ἀπήνειαν add. τῶν παίδων A    18 προτεθεῖσθαι A    19 οὕτως ego ὅτι AB    23 ἄρ' ἄδηλά εἰσι A    καὶ om. B    24 lemma ex AB    25. 26 κοινῶν κατ' ἀνθρώπους κακῶν Wil κοινῶν ἀνθρώπων A κακῶν ἀνθρώπων B    26 παρεγχειρεῖ A    27 lemma ex AB    τε Dindorf γε AB    28 ἀληθεύουσα B om. A

903 ὡς ἀρτίδακρυς: ἀντὶ τοῦ ἑτοιμόδακρυς. ἢ προσφάτως δακρύουσα. χρὴ δὲ νοεῖν ὅτι ἐδάκρυσε μὲν ἀλγοῦσα τὴν ψυχήν, ὅτι πρὸς τοῦτο τῆς τύχης κατήντησε καὶ νῦν ἀναγκάζεται ταῦτα δρᾶν· ὁ δὲ Ἰάσων ᾤετο αὐτὴν δακρύειν οἰκτείρουσαν τοὺς παῖδας ἐπὶ τῷ στέρεσθαι τοῦ πατρός: — AB

904 χρόνῳ δὲ νεῖκος: διὰ πολλοῦ, φησί, χρόνου τῆς πρὸς τὸν πατέρα ὑμῶν φιλονεικίας ἀποστᾶσα καὶ νῦν διαλλασσομένη πλήρης γέγονα δακρύων: — AB

905 ἁπαλήν: — B[g]

906 ὑγρόν. ⟨γράφεται⟩ θερμόν: — B[g]

909 εἰκὸς γὰρ ὀργάς: πέφυκε γάρ, φησί, τὸ θῆλυ γένος χαλεπῶς ἔχειν τῷ ἀνδρὶ ἐμπορευομένῳ δευτέρους γάμους, οἷον ἄλλοις χρωμένῳ γάμοις παρὰ τοὺς ὑπάρχοντας: — AB

910 γάμους παρεμπολῶντος: πιθανῶς κέχρηται τῇ τροπικῇ λέξει, ἐμφαίνων ἑαυτὸν κέρδους ἕνεκα καὶ τοῦ τοὺς ἐκ Μηδείας παῖδας ὠφελῆσαι τοῦτον ὥσπερ πραγματευσάμενον ἑαυτῷ τὸν γάμον. τὸ γὰρ παρεμπολᾶν ἐπὶ τοῦ κερδαίνειν τίθεται. οἷον ἄλλοις γάμοις χρωμένου παρὰ τοὺς ὑπάρχοντας: — AB

ἄλλως: προσκτωμένου πορίζοντος. ἀντὶ τοῦ ἐμπολῶντι, γενικὴ ἀντὶ δοτικῆς. ἢ τὸ πόσει ἀντὶ τοῦ πόσιος, δοτικὴ ἀντὶ γενικῆς. παρεμπολῶντος δὲ ἀντὶ τοῦ ὠνουμένου. τουτέστιν· ἄλλοις γάμοις χρωμένου. τοῦ ἀνδρός. ἰδίως δὲ εἴρηκε πόσει ἀντὶ τοῦ πόσιος. οἱ δὲ ὑποκριταὶ ἀγνοήσαντες γράφουσιν ἀντὶ τοῦ πόσει ἐμοῦ, ὅπερ οὐ δεῖ: — AB

---

1 lemma ex AB ἑτοιμόδακρυς ἢ om. B 2. 3 ἐδάκρυσε — δρᾶν] ἐδάκρυσεν ὑπομνησθεῖσα τῆς πράξεως A 4 ᾤιετο B ὡς τὸ A οἰκτείρασαν A τὰ παιδία B 4. 5 στέρεσθαι τοῦ πατρός A τοῦ πατρὸς ἐστερῆσθαι B 5 in fine habet ἐδάκρυσε δὲ ἀλγοῦσα τὴν ψυχὴν ὅτι πρὸς τοῦτο τῆς τύχης κατήντησε καὶ νῦν ἀναγκάζεται ταῦτα δρᾶν A 6 lemma ex AB 8 secuntur ἄλλως ὁ χορὸς φησὶ τῆς πρὸς τὸν — γέγονα δακρύων A 10 Hesych. χλωρόν ὑγρόν γράφεται add. Wil 11 lemma ex A 11—13 πέφυκε — ὑπάρχοντας post ὠνουμένου [21] sine lemmate ins. B 11. 12 χαλεπὴν A δυσμενῶς B 12 ἐμπορευομένω δευτέρους γάμους A ἕτερον ὥσπερ εἰπεῖν ἐμπορευομένωι καὶ περιποιουμένωι γάμον ἑαυτῶι B 14 lemma ex AB 15 ἐκφαίνων B τοῦ om. A 16 ὠφελήσειν B ὥσπερ ego ὡς AB τὸν om. A 17 τίθεσθαι A 18. 19 χρωμένου B ἐμπορευομένῳ A 19—24 scholio quod praecedit adi. B om. ἄλλως — δοτικῆς 19 προσκτωμένοις A 20 τὸ B τῶ A 21. 22 τουτέστιν — ἀνδρός] horum loco habet schol. 11—13 B u. s. 22 δὲ A οὖν B πόσεως B

911 μεταβέβληται: — B$^g$

912 ἀλλὰ τῷ χρόνῳ: ἀλλὰ νῦν ὥσπερ ἐκ μετανοίας τὸ κάλλιστον αὐτῇ βουλεύῃ: — AB

ἔγνως δὲ τὴν νικῶσαν: τὸ ἑξῆς· ἔγνως δὲ τῷ χρόνῳ τὴν νικῶσαν βουλήν. ὁ ἀλλά ἀντὶ τοῦ καί, τουτέστιν· τὴν νικῶσαν βουλὴν καὶ τῷ χρόνῳ ἔγνως. λέγει δὲ τὸ πεπαῦσθαι αὐτὴν τῆς πρὸς αὐτὸν ὀργῆς: — AB

τὴν κρατοῦσαν τὴν συμφέρουσαν: — B$^i$

917 τὰ πρῶτ' ἔσεσθαι: ἀντὶ τοῦ· τὰ πρωτεῖα ἀπενέγκασθαι καὶ βασιλεύσειν κατὰ τὴν Κορινθίαν ἅμα τοῖς ἐκ Γλαύκης τικτομένοις ὑμῖν ἀδελφοῖς. τὸ δὲ ἔτι κατ' ἐπίτασιν, οἷον· ἔτι μᾶλλον ὑμᾶς διαπρέψειν συναπτομένους βασιλικῷ γένει ἢ ὅσης ὑμῖν ἀξίας μετῆν ἐξ ἐμοῦ μόνου: — AB

920 τὸ τέλειον τῆς ἡλικίας: — B$^i$

921 κρείττους: — B$^g$

922 αὕτη, τί χλωροῖς: πάλιν εἰς τὴν αὐτὴν ἔννοιαν ταῦτα. ἔδει δὲ αὐτὴν μηδὲ κλαίουσαν εἰσάγεσθαι· οὐ γὰρ οἰκεῖον τῷ προσώπῳ [τοῦτο]· ὠμὸν γὰρ εἰσῆκται τοῦτο. ἀλλ' ἐκφέρεται τῇ ὀχλικῇ φαντασίᾳ ποιήσας κλαίουσαν καὶ συμπάσχουσαν. ἀπιθάνως γὰρ τὴν τοιαύτην διαχειριζομένην τὰ τέκνα εἰσάγει. ἄμεινον δὲ Ὅμηρος [τ 211]· 'ὀφθαλμοὶ δ' ὡσεὶ κέρα ἕστασαν': — AB

925 οὐδὲν τέκνων: δι' οὐδέν, φησί, δακρύω ἕτερον ἢ ἐννοουμένη πῶς ἕξουσι τύχης οἱ παῖδες ἐμοῦ ἀναχωρησάσης: — AB

927 δράσω τάδε: ἀντὶ τοῦ· παύσομαι τῶν δακρύων καὶ θαρσήσω σοι: — AB$^i$

2 lemma ex B 2. 3 initio scholii quod sequitur habet B, sub finem post ὀργῆς A 2 ἀλλὰ νῦν ὥσπερ B ὥσπερ δὲ A 4 lemma ex A τὸ δὲ ἑξῆσ ἔγνωσ δὲ τῶι χρόνωι τὴν B ἔγνωσ spat. τὴν A sed in fine post αὐτῇ βουλεύει (u. ad 2. 3) habet τὸ ἐξέγνωσ δὲ τῶ χρόνῳ: — 5 post ὁ add. δὲ B 5. 6 τὴν — βουλὴν καὶ τῷ χρόνῳ ἔγνως ego καὶ τὴν — βουλὴν τῶ χρόνω ἔγνωσ A καὶ τὴν — βουλὴν ἔγνωσ τῶι χρόνωι B 6 αὐτὴν B αὐτὸν A 9 lemma ex AB ἀντὶ τοῦ om. B 10 βασιλεύειν A κατὰ τὴν κορινθίαν A κορίνθου B 11 ἡμῖν A ἔτι (alterum) A ἔπι B 11. 12 διαθρέψειν A 12 με τῆσ A 16 lemma ex A 18 τοῦτο B τούτω A deleui 22 lemma ex A initio iterum habet τοῦτο ἠρέμα καθ' ἑαυτὴν — φησὶ τῶν κακῶν (p. 188,13) A post οὐδὲν add. γὰρ A 22. 23 ἢ ἐννοουμένη A ἐννοουμένη δὲ B 23 οἱ παῖδεσ ἕξουσι τύχησ A ἀναχωρησάσησ ἐμοῦ B 24 πεπαύσομαι B$^i$ 24. 25 θαρρήσω B$^i$

928 τὸ ἑξῆς· γυνὴ δὲ θῆλυ ἔφυ καὶ ἐπὶ δακρύοις ἔφυ, ὅ ἐστι ἐπὶ τῷ δακρύειν καὶ ὀλοφύρασθαι: — A

928 γυνὴ δὲ θῆλυ: ἀντὶ τοῦ· ἀσθενὲς τὸ γυναικεῖον γένος πέφυκε πρὸς τὰς καταλαμβανούσας συμφορὰς καὶ ἕτοιμον εἰς δάκρυα: — AB

930 ἔτικτον αὐτούς: σύγγνωθί μοι, φησί, δακρυούσῃ· ἔτικτον γὰρ αὐτούς. νῦν δὲ ὅτε ἐθάρσουν τοὺς παῖδας τὸ ἀσφαλὲς ἕξειν τοῦ ζῆν εἰς τοῦτο παρελθόντας ἡλικίας καὶ τῆς ἐν βρέφεσιν ἐπισφαλοῦς ἀνατροφῆς ἀπαλλαγέντας καὶ λοιπὸν ἐσεμνυνόμην παῖδας ἐγγὺς ἡβῶντας ἔχειν, τότε δι' ἕτερον ἀγωνιῶ εἰ τὸ ἀσφαλὲς αὐτοῖς τῆς σωτηρίας ὑπάρξει ὑπὸ μητρυιὰν γενομένοις. τοῦτο γὰρ ἐμφαίνει: — AB

931 εἰσῆλθέ μ' οἶκτος: ἐν γὰρ τῇ βραχείᾳ ἡλικίᾳ ἐν πλείονι ἐπισφαλείᾳ ζωῆς εἰσιν οἱ ἄνθρωποι: — AB

ἀγωνιῶ, φησίν, εἰ ζήσονται: — B

935 κἀμοὶ τάδ' ἐστὶ λῷστα: ἀντὶ τοῦ· καλῶς ἔχειν κρίνω μετὰ γνώμης ὑμῶν, σοῦ τε καὶ τοῦ Κρέοντος καὶ τῆς τούτου θυγατρός, οἰκεῖν τὴν Κόρινθον. ἢ οὕτως· κἀμοὶ αὐτῇ συναρέσκει: — B

942 σὺ δ' ἀλλὰ σήν: τὸ ἑξῆς· ἀλλὰ σὺ τὴν γυναῖκα κέλευσον αἰτήσασθαι τοῦτο παρὰ τοῦ πατρός, τὸ τοὺς παῖδας μὴ ἀπελαθῆναι τῆς Κορίνθου: — AB

944 προσδοκῶ. τὸ δὲ σφέ ἀντὶ τοῦ αὐτήν: — B[1]

945 εἴπερ γυναικῶν: ἀντὶ τοῦ τῶν φιλάνδρων, οἷον· εἴπερ φίλανδρός ἐστι, πάντα σοι πεισθήσεται ἡ Γλαύκη: — AB

947 ἃ καλλιστεύεται: ἅπερ προτιμᾶται καὶ κάλλιστα νομίζεται τῶν νῦν δώρων παρὰ τοῖς ἀνθρώποις. τὸ δὲ πολύ πρὸς τὸ καλλιστεύεται. ἢ πολύ ἀντὶ τοῦ πάνυ: — AB

950 παῖδας φέροντας: ἀλλ' ὅσον οὐδέπω, φησί, δεήσει τῶν θεραπόντων τινὰ ἅμα τοῖς παιδίοις ἀποκομίζειν τὰ δῶρα τῇ Γλαύκῃ: — B

955 πατρὸς πατήρ: ἤτοι ἀντὶ τοῦ γονεῦσιν, ἢ τοῖς ἑαυτοῦ μὲν ἐκγόνοις, τουτέστι παισίν, ⟨ἐμαυτῆς δὲ γονεῦσιν⟩, ἵνα τοῦτο λείπῃ: — AB

1. 2 scholio quod praecedit adi. A add. δὲ post τὸ  3 lemma ex AB post ἀσθενὲς add. φησὶ B  3. 4 πέφυκε γένοσ B  5 lemma ex AB 6 ἔχειν B  7 post τοῦτο add. γὰρ A  8 ἐγγὺς om. B  9 εἰ ex εἰσ corr. B εἰσ A  10 γινομένοισ B  11 lemma ex AB  12 ἐπισφαλείᾳ ego δειλίᾳ A ἀδείαι B  17 lemma ex AB  τὸ ἑξῆς om. A  σὺ om. B 21 lemma ex AB  τῶν om. B  22 σοι] aut haec a Medea dicta esse scholiasta putauit aut μοι scribendum est  ἡ Γλαύκη om. B  23 lemma ex AB  28 lemma ex B παῖδασ φέροντασ lemma in A  ἤτοι ἀντὶ τοῦ B ἢ τοῖσ αὐτοῦ A  29 ἐγγόνοισ B  ἐμαυτῆς δὲ γονεῦσιν addidi

956 φερνάς: φερνὴ ἡ προίξ. λάβετε, φησί, τὴν ἐμὴν φερνήν, ἣν εἰσηνεγκάμην τῷ πατρὶ ὑμῶν, καὶ ἀποκομίζετε τῇ νύμφῃ: — AB

958 φέροντες· οὗτοι δῶρα: τοῦτο διπλῆν ἔχει τὴν ἔννοιαν, μίαν μέν, ἣν ὁ Ἰάσων ἐκδέχεται, ὅτι οὐκ ἀπόβλητα αὐτῇ τὰ δῶρα, ἀλλὰ θαυμαστά· ἑτέραν δέ, ἣν αὐτὴ κρύπτει, ἀντὶ τοῦ· οὐ γελάσει τὸ δῶρον ὡς ἀσθενές· ἀναιρήσει γὰρ αὐτήν: — AB

962 εἴπερ γάρ ἡμᾶς: εἴπερ, φησί, τῷ ὄντι πᾶσα γυνὴ ἡμᾶς τοὺς ἄνδρας ἀξιοῖ τινὸς λόγου [κρίνειν], προτιμήσει καὶ χρημάτων τὸ πείθεσθαι τῷ ἀνδρί. ἢ ἰδίᾳ νοητέον καὶ ἐπὶ τῆς Γλαύκης, εἴπερ με τῷ ὄντι στέργει ἡ γυνή, καὶ ἄνευ τοῦ λαβεῖν τὰ δῶρα πεισθήσεται: — AB

966 κείνης ὁ δαίμων: ἀντὶ τοῦ ἡ εὐδαιμονία, τουτέστιν· ἐκείνῃ καιρὸς εὐδαιμονεῖν, ἡμῖν δὲ ταῦτα οὐκ ᾤκείωται ὡς δυστυχοῦσιν: — AB

967 νέα τυραννεῖ: ἀντὶ τοῦ· ἡ Γλαύκη, φησί, νέα οὖσα τὴν ἡλικίαν ἄρχει καὶ κρατεῖ. αἰνιγματωδῶς δὲ τοῦτο, ὡς τοῦ Ἰάσονος διὰ τὸ νέον τῆς ἡλικίας προτετιμηκότος τὴν Γλαύκην: — AB

968 ψυχῆς ἂν ἀλλαξαίμεθ᾽: ἀντὶ τοῦ· ἑλοίμην ἂν καὶ ἀποθανεῖν ὑπὲρ τοῦ μὴ τοὺς παῖδάς μου ἀπελαθῆναι. καὶ τοῦτο δὲ κατ᾽ εἰρωνείαν: — AB

972 κόσμον διδόντες: καὶ τοῦτο ἀπιθάνως. τὸ παρεγγυᾶσθαι τοῖς παισὶν ἐντελλομένην ἐκείνῃ αὐτῇ διδόναι, ὑπόληψιν ἔχουσαν φαρμακίδος: — AB

τοῦδε γὰρ μάλιστα: ἕνεκεν τοῦδε, τοῦ μὴ φεύγειν ὑμᾶς, δεῖ αὐτὴν λαβεῖν τὰ δῶρα: — A

976 νῦν ἐλπίδες: ἐκ τοῦ ἀπελθεῖν τὰ δῶρα πείθεται ὁ χορὸς ὅτι μέγα κακὸν γενήσεται ἐξ οὗ ἀναγκασθήσεται ἡ Μήδεια πάντως φονεῦσαι τὰ τέκνα: — A

παίδων ζωᾶς: ἀντὶ τοῦ· οὐκέτι μοι ἐλπίδες τοῦ ζήσεσθαι τοὺς παῖδας: — AB

---

1 lemma ex A  post φερνὴ add. τισ ἐστιν B  φερνὰν A  2 εἰσηνέγκαμεν A  3 lemma ex A  7 lemma ex A  8 λόγου τινὸσ B κρίνειν delevi  11 lemma ex AB  12 ἡμῖν — δυστυχοῦσιν om. B  13 lemma ex AB  14 αἰνιγματωδῶσ A ἐπιπληκτικῶσ B  διὰ om. A  16 lemma ex AB  17 μου ἀπελασθῆναι A ἀπελαθῆναι μου B  19 lemma ex AB  ἀπιθάνως ego πιθανῶσ AB  20 ἔχουσα AB  27. 28 scholio quod praecedit adi. A om. ἀντὶ τοῦ  27 post μοι add. εἰσὶν A  27. 28 ζήσεσθαι τὰ τέκνα A σώιζεσθαι τοὺσ παῖδασ B

980 θήσει τὸν Ἀΐδα κόσμον: θάνατον, φησί, μᾶλλον περιθήσεται ἢ κόσμον: — AB

982 αὐγά: τὸ ἑξῆς· χάρις ἀμβρόσιός τε αὐγὰ πέπλων πείσει περιθέσθαι χροῒ χρυσότευκτον στέφανον: — AB

ἀμβρόσιος: ἀντὶ τοῦ ἀμβροσία θεία. αὐγὴ δέ, ἡ λαμπηδών, [τοῦ χρυσέου στεφάνου καὶ] τῶν πέπλων πείσει αὐτὴν ταῖς ἰδίαις χερσὶ λαβοῦσαν περιθέσθαι ταῦτα, ἵνα ⟨ἐν⟩ τῇ τοῦ παντὸς σώματος διακοσμήσει καὶ ἡ κεφαλὴ πρὸς ἀξίαν κοσμῆται: — A

985 νερτέροις ἤδη: ἀντὶ τοῦ· παρὰ τοῖς νερτέροις καὶ τοῖς κατοιχομένοις αὐτὴν κοσμήσει ταῦτα τὰ δῶρα. νυμφοκοσμῆσαι δέ ἐστι τὸ τὴν νύμφην κοσμῆσαι. νυμφοκοσμήσει οὖν ἀντὶ τοῦ νυμφευθήσεται: — AB

986 τὸν ἄφυκτον ὄλεθρόν φησιν: — B[1]

990 σὺ δ', ὦ τάλαν: τοῦτο πρὸς τὸν Ἰάσονα ἀποτείνει. κηδεμὼν δὲ παρὰ τὸ κῆδος, ἀντὶ τοῦ γαμβρέ. σὺ δέ, φησίν, ὦ ἐπ' ὀλέθρῳ γενόμενε νυμφίε τῆς Γλαύκης καὶ ἐπιγαμβρίαν οὐκ εὐτυχῆ ταύτην πρὸς τοὺς βασιλεῖς ἐσχηκώς, ὄλεθρον τοῖς αὐτοῦ παισὶ καὶ τῇ νύμφῃ κατασκευάζεις, οὐ συνεὶς τὸ ἐπ' ὀλέθρῳ μηχάνημα. βιοτᾷ δὲ παισίν, ἀντὶ τοῦ τῇ ζωῇ τῶν παίδων: — AB

ἀντὶ τοῦ· ὦ ἐπὶ κακῷ σου νυμφευσάμενε: — B[1]

991 οὐ γινώσκων τῇ τῶν παίδων βιοτῇ ὄλεθρον προσάγεις: — B[1]

995 μοίρας ὅσον παροίχῃ: μοίρας ἀντὶ τοῦ πρέποντος. καὶ τοῦτο δὲ πρὸς Ἰάσονα ἀποτείνει. τινὲς δὲ πρὸς τὴν Μήδειαν· ἵνα φονεύσῃς τὰ παιδία σοῦ. τὸ δὲ παροίχῃ, παρελθεῖν πεποίηκας, ὦ Ἰᾶσον, πολὺ μέρος τῆς θανατηφόρου μοίρας τῇ Γλαύκῃ ὡς ἐγγὺς εἶναι τὸν θάνατον αὐτῆς, ἀντὶ τοῦ· τὸν καιρὸν τοῦ θανάτου τῇ Γλαύκῃ συν-

---

1 lemma ex A 3 αὐγά — πέπλων ego αὐτὴ χερσὶν λαβοῦσα: αὐτὰ χάρισ ἀμβρόσιόσ τε αὐγὰ πέπλων A αὐτὰ πέπλων: τὸ ἑξῆσ αὐτὰ χάρισ ἀμβρόσιοσ πέπλων B 5—8 scholio quod antecedit adi. A add. δὲ post ἀμβρόσιος 5 αὐγὴ ego αὐτὴ A 5. 6 τοῦ — καὶ eieci 7 ἐν addidi 8 κοσμῆται ego κεκόσμηται A 9 lemma ex A 14 lemma ex AB 18 βιοτὰν A βιοτᾶν B 22 lemma ex A 22 — p. 194,3 scholio quoniam in pagina anteriore positum est, superscriptum est in B τοῦ ἐκεῖθεν μετώπου [i. e. alterius paginae] 22 μοίρασ ἀντὶ A τοῦτέστι B 23 Ἰάσονα B αὐτὸν A τινὲς ego τί AB ante ἵνα suppleri potest, neque tamen debet, ὅσον μοίρας παροίχῃ 24 τέκνα B 25 πολυμερῶσ A 26 ἀντὶ τοῦ ego ἀφ' οὗ AB

ἤγαγες καὶ πλησίον εἶναι πεποίηκας, συγχωρήσας ὑπ' ἀγνοίας ἀποκομισθῆναι τὰ δῶρα. μοίρας δὲ τῆς θανατηφόρου φησίν. τὸ δὲ ὅσον ἀντὶ τοῦ πολύ: — AB

ἄλλως: ὦ ταλαίπωρε Ἰᾶσον, ὅσον ἐκπέπτωκας τῆς εὐμοιρίας. ἢ οὕτως· ὅσον τοῦ καθήκοντος ἐξέδραμες ὡς μὴ συνιέναι ὅτι ἐπὶ φόνον τὰ τέκνα σου ἄγεις: — A

996 μεταστένομαι δέ: ἡ μετά ἀντὶ τῆς ἐπί καὶ τὸ σόν ἀντὶ τοῦ σοί, τουτέστι· στένω δὲ καὶ ἐπὶ σοὶ καὶ ἄλγος ἔχω. ἢ οὕτως· μεθίσταμαι δὲ καὶ ἐπὶ τὸ σὸν ἄλγος καὶ στένω τὴν σὴν τύχην, ἐφ' ᾗ τὴν ψυχὴν ἀλγεῖς. λέγει δὲ τὸ διημαρτηκέναι αὐτὴν τοῦ Ἰάσονος: — AB

1002 δέσποιν', ἀφεῖνται παῖδες: ὁ παιδαγωγὸς ἀγαγὼν τοὺς παῖδας διαλεχθέντας τῇ Γλαύκῃ λέγει· συγκεχώρηται τοῖς παισί σου ἐνταῦθα μεῖναι καὶ μὴ ἀπελαθῆναι: — AB$^{i}$

1005 συνταραχθεῖσα: — B$^{g}$

1008 οὐ σύμφωνα: — B$^{g}$

1009 μῶν τιν' ἀγγέλλων: ἡ μὲν Μήδεια ἐννοουμένη τὸν δι' αὐτῆς ἐσόμενον τοῖς παισὶν αὐτῆς θάνατον ἐστύγναζεν, ὁ δὲ παιδαγωγὸς νομίζων αὐτὴν ἐφ' οἷς ἀπήγγειλε λυπεῖσθαί φησιν· ἆρ' οὖν μὴ οὐ χρηστά σοι ἀπήγγειλα, ἀλλὰ ἐσφάλην, νομίσας εὐαγγελίσασθαι πρὸς σὲ ταῦτα: — AB

συμφοράν: — B$^{k}$

1010 ὑπολήψεως: — B$^{g}$

1012 κατηφὲς ποιεῖς καὶ καταστυγνάζεις: — B$^{i}$

1013 πολλή μ' ἀνάγκη: διπλῆ πάλιν ἡ ἔννοια, ὡς μὲν πρὸς τὸν

2 τῆς θανατηφόρου B τὰς θανατηφόρους μοίρας A 5 ἐξέδραμε A 7 lemma ex A 7. 8 τὸ σὸν ἀντὶ τοῦ σοί A τοσόν μοι B 8. 9 ἢ οὕτως om. B 9 τὸν A 10 αὐτὴν om. B τῶν A 12 lemma ex A 12. 13 ὁ — λέγει] ἀντὶ τοῦ B$^{i}$ 14 in fine habet ὁ παιδαγωγὸς δέ ἐστιν ἐνεγκὼν τοὺς παῖδας ἤδη διαλεχθέντας πρὸς τὴν γλαύκην B$^{i}$ 17 lemma ex AB ἐννοοῦσα B 17. 18 δι' — ἐστύγναζεν] ὅσον οὐδέπω μέλλοντα δι' αὐτὴν ἔσεσθαι φόνον τοῖς παισὶν εἱστήκει κατεστυγνασμένη B 18 θάνατον ego θάνατον φόνον A 19 ἐνόμιζεν B φησὶ post οὖν coll. B 20 ἀλλὰ A καὶ B 20. 21 πρὸς σὲ ταῦτα B προσέτα (ττ suprascr.) A 24 καταστενάζεις B$^{i}$ 25 lemma ex B διπλῆ — ἔννοια om. B ὡς B ἡ A

πρέσβυν ὅτι χωρὶς τῶν τέκνων φεύξεται καὶ καταλείψει αὐτά. ὡς δὲ πρὸς τὴν ἀλήθειαν ὅτι φονεύσει αὐτά: — AB

πολλή μ' ἀνάγκη: λείπει τὸ ὀδύρεσθαι· ἀνάγκη, φησί, πολλή μοι ὀδύρεσθαι ἐπὶ τοῖς παροῦσι κακοῖς. ὑπό τε γὰρ τῆς ἐμῆς ἀνοίας καὶ τοῦ παρὰ τῶν θεῶν χόλου τὰ κατ' ἐμὲ κακῶς διάκειται. ταῦτα δὲ λέγει προπέτειαν ἑαυτῆς καταγινώσκουσα. κατεμέμψατο ἑαυτῇ ἐπὶ τῇ τῶν δώρων ἀποστολῇ. εἰ γὰρ ἔμελλεν ἀποθανεῖν ἡ Γλαύκη, ἀνάγκη ἦν φονεῦσαι τὴν Μήδειαν τὰ ἑαυτῆς τέκνα, ἵνα μὴ ὑπὸ ἄλλων τοῦτο γένηται· ὅπερ αὐτὴ ἐλυπεῖτο μετανοοῦσα, αὐτὸς δὲ ᾤετο αὐτὴν ὀδύρεσθαι, ὅτι φυγὰς ἔμελλε γίνεσθαι: — AB

1015 θάρσει· κρατεῖς: ἔτι θαρσεῖν ὀφείλεις. καὶ γὰρ εἰ φεύγειν μέλλεις, ἀλλ' οὖν τῇ τῶν παίδων ὑποστάσει καὶ ζωῇ πάλιν συμβιώσῃ. τὸ γὰρ ἔτι τὸ μέλλον δηλοῖ. τὸ δὲ κρατεῖς ἀντὶ τοῦ νενίκηκας: — AB

1016 ἄλλους κατάξω: τὸν ἐσόμενον τῶν παίδων φόνον πάλιν προοδύρεται, ἀσήμως δέ, ὑπὲρ τοῦ μὴ συνιέναι τὸν παιδαγωγόν. τὸ μὲν οὖν ἄλλους ἀντὶ τοῦ τούτους, τὸ δὲ κατάξω ἀντὶ τοῦ εἰς Ἅιδου πέμψω: — AB

1017 οὔτοι μόνη σύ: ἡ μὲν ἔλεγεν ὅτι πρὶν εὐτυχῆσαι ὑπ' αὐτῶν, ἀλλοτρίους μου γενομένους τοὺς παῖδας πέμψω εἰς Ἅιδην· ὁ

---

1 πρεσβύτην B χωρὶς — καὶ om. B 2 τὴν om. B 3 lemma ex A 3—9 scholio quod praecedit adi. B add. δὲ post λείπει 3 λείπει B διὰ A 3. 4 πολλὴ — ἐπὶ om. B 4 post κακοῖς add. κλαίειν B γὰρ om. A 5 τῶν om. B 6 κατεμέμψατο ἑαυτῇ ego καὶ ἐμέμψατο ἑαυ^τ A om. B 7. 8 εἰ γὰρ — τέκνα] ἀνάγκη γὰρ εἰ ἔμελλεν ἡ γλαύκη ἀπόλλυσθαι καὶ αὐτῆς τὰ τέκνα ὑπ' αὐτῆς ἀναιρεῖσθαι B 8 ἄλλου B 9 ὅπερ — μετανοοῦσα] αὔτη μὲν οὖν ἐπὶ τούτῳ μετανοεῖ B

11 lemma ex AB καὶ γὰρ εἰ καὶ B 11. 12 φεύγειν μέλλεις B φυ^γ A 12 ἀλλ' οὖν om. B 12. 13 πάλιν συμβιώσῃ A ὅμως ἰσχὺν ἔχει τὰ κατὰ σὲ καὶ εὔελπις εἶ τούτοις πρὸς τὸ μέλλον συμβιῶναι B 13 τὸ μέλλον δηλοῖ A καὶ ἐπὶ τοῦ μέλλοντος κεῖται B δὲ A οὖν B 13. 14 νενικηκὼς A νενίκηκας καὶ εὐτύχηκας B 14 in fine add. τὸ ὅσον ἐπὶ τοῖς τέκνοις καὶ εὔελπις εἶ πρὸς τὸ μέλλον B 15 lemma ex AB 17 δὲ om. A ἀντὶ τοῦ om. A 17. 18 πέμψω εἰς τὸν ἅιδην B 19 lemma ex B εὐτυχήσω A 20 μοῦ B μὲν A τοὺς παῖδας om. A τὸν ἅιδην B

δὲ πρέσβυς τὸ κατάξω νοεῖ ὅτι πέμψω πρὸς τὸν Ἰάσονα ἠλλοτριωμένους μου τοὺς παῖδας: — AB

1018 κούφως φέρειν χρή: πάλιν οὐδὲν ἧττον μὴ συνεὶς τὸ εἰρημένον οἴεται αὐτὴν ὀδύρεσθαι τὴν ἑαυτῆς ἐξορίαν: — AB[i]

1021 ὦ τέκνα τέκνα, σφῷν μὲν ἔστι: τοῦ σφῷν τὸ πλῆρες σφῶιν, τουτέστιν ὑμῶν τῶν δύο. τὴν μὲν πόλιν, φησίν, τήνδε ὑμεῖς οἰκήσετε, ὦ τέκνα, καὶ τὸν οἶκον τοῦτον δι' αἰῶνος. λέγει δὲ ἀσήμως τὸν Ἅιδην, καὶ πάντα δὲ τὰ ἑξῆς αἰνιγματωδῶς ὁμιλεῖ ὑπὲρ τοῦ μὴ αἰσθέσθαι τὸν παιδαγωγόν. τὸ δὲ ἐν ᾧ πρὸς τὸ οἰκήσετε συναπτέον, τουτέστιν· ἐν ᾧ, τῷ Ἅιδῃ, οἰκήσετε ἀπολιπόντες ἐμέ: — AB

1027 εὐνὰς ἀγῆλαι: Φρύνιχος ἀγῆλαι ἀντὶ τοῦ εὔξασθαι. καὶ παρὰ Ἀριστοφάνει [Pac. 399]· 'διὰ παντός, ὦ δέσποιν', ἀγαλοῦμεν ἡμεῖς ἀεί'. καὶ Ἕρμιππος Ἀρτοπώλισι [frg. 8]· 'φέρε νῦν ἀγήλω τοὺς θεοὺς ἰοῦσ' ἐγώ'. δηλοῖ καὶ τὸ τιμῆσαι. 'ἄγειν γὰρ τὸ τιμᾶν φασιν· 'ἐν πρώτοις ἄγω'. καὶ [Soph. OR 775] 'ἠγόμην δ' ἀνὴρ ἀστῶν μέγιστος τῶν ἐκεῖ': — AB

ἀγῆλαι ἀντὶ τοῦ παρασκευάσαι καὶ συναγαγεῖν. ἀνασχεθεῖν δὲ ἀνατεῖναι. αὐθαδείας δὲ ἀπονοίας αὐταρεσκείας: — AB[i]

1029 ματαίως: — B[g]

1030 κατετάκην ἐφθάρην κατεπονήθην κατεσπαράχθην: — AB[i]

1034 κρύψειν ἐνταφιάσειν: — A[g]B[g]

1035 μακαρίαν με οὖσαν παρὰ τοῖς ἀνθρώποις: — A[g]B[i]

1039 ἐς ἄλλο σχῆμ': ἄλλου βίου λέγει τοῦ κατὰ τὸν Ἅιδην, ὡς κἀν τοῖς κατοιχομένοις οὔσης τινὸς ἑτέρας πολιτείας: — AB

1043 γυναῖκες, ὄμμα φαιδρόν: πρὸς τὰς τοῦ χοροῦ λέγει·

---

1 παιδαγωγὸς B ἐννοεῖ B ὅτι πέμψω A ἀντὶ τοῦ ἀποπέμψω B 1. 2 τοὺς ἀλλοτριωμένους μου παῖδας A 2 in fine add. ἵν' ᾖι τὸ ἄλλους ἀντὶ τοῦ ἀλλοτρίους B 5 lemma ex AB 10 ᾧ om. B 11 lemma ex AB 11—16 cf. lex. Bachm. p. 11, 18 sq. Suid. s. u. ἀγῆλαι et. m. p. 9, 52 12 δέσποτ' Aristophanes πότνια lex. Bachm. Suid. 13 ἀρτοπώλαι A 14 οἴους ἐγώ lex. Bachm. Suid. ἰοῦσ' ἔσω B εἴσω ἰοῦσ' A τιμῆσαι A φ[α] B φησὶν A 14—16 ἐν—ἐκεῖ om. B 15 ἄγω Dindorf ἐγὼ A μέγιστοι A 17 scholio quod praecedit adi. A add. ἢ ἀνασχεθεῖν ego ἀνασχέσθαι B[i] 17. 18 ἀνασχεθεῖν—αὐταρεσκείας om. A 20 κατεσπαράχθην om. B[i] 23 lemma ex A 24 κἀν B καὶ A τινὸς om. A 25 lemma ex A

ἀπορῶ τί δεῖ ποιεῖν. θέλει δὲ εἰπεῖν ὅτι τὸν φόνον οὐκέτι μου ἡ ψυχὴ τολμᾷ. ἀλλὰ λύομαι ταῖς τῶν ὀφθαλμῶν χάρισιν, ἀτενιζόντων εἰς ἐμὲ τῶν φιλτάτων: — AB

1044 οὐκ ἂν δυναίμην: λείπει τὸ σφάξαι τὰ τέκνα. καὶ ἐρρέτω, φησίν, ὁ ἐπὶ τὸ σφάξαι με τὰ τέκνα κρατήσας λογισμός: — AB

1046 τί δεῖ με πατέρα τῶνδε: ἀφίσταμαι, φησί, τοῦ φόνου τῶν παίδων. οὐ γὰρ ἵνα τὸν πατέρα τούτων λυπήσω τῷ φόνῳ αὐτῶν, ὀφείλω ἐμαυτῇ διπλασιοῦν τὰ κακά. λέγει δὲ τὴν λύπην τὴν ἐπὶ τοῖς παισίν. ἢ οὕτως· σαφῶς εὐηθές ἐστιν ἐργαζομένην με τὸν θάνατον τοῖς φιλτάτοις ἐπὶ τῷ τὸν πατέρα λυπῆσαι, αὐτὴν διπλασίαν λύπην κτήσασθαι διὰ τῆς τούτων τελευτῆς. δοκοῦσι γὰρ αἱ μητέρες συμπαθέστεραι εἶναι ταῖς τῶν παίδων συμφοραῖς. θαυμάσαι δέ ἐστι τὸν ὑπερβάλλοντα θυμόν, ὃν ἔχει κατὰ τοῦ Ἰάσονος ἡ Μήδεια, ὅτι καίπερ προσδοκῶσα μειζόνως λυπηθήσεσθαι, ὅμως ὑπὲρ τοῦ λυπῆσαι τὸν Ἰάσονα αἱρεῖται τούτους φονεύειν: — AB

1048 χαιρέτω βουλεύματα: ἔτι ἐν μετανοίᾳ ἐστίν· οὐκ ἂν ἐγὼ φονεύσαιμι, φησίν, ἀλλὰ μεθείσθω μοι ὁ κρατήσας με τοῦ φόνου λογισμός. γράφεται δὲ καὶ παύσομαι βουλευμάτων: — AB

1049 καίτοι τί πάσχω: ἐνταῦθα ὥσπερ ἀναζωπυροῦσα τὸν κατὰ Ἰάσονος θυμὸν λαμβάνεται ἑαυτῆς καὶ φησί· τί δὴ πέπονθα εἰς οἶκτον ἐμπεσοῦσα τῶν παίδων. οὐ γὰρ ἐμὸν καταισχύνειν ἐμαυτὴν ἀφεῖσαν ἀτιμώρητον τὸν πάντων ἐμοὶ πολεμιώτατον Ἰάσονα, ἐξὸν φονεύουσαν τούτους λυπῆσαι τοῦτον. ἐχθρούς οὖν λέγει ἀντὶ τοῦ ἐχθρόν, τὸν Ἰάσονα. τοιοῦτον δὲ καὶ τὸ παρ' Ὁμήρῳ [Λ 407]· 'ἀλλὰ τίη μοι ταῦτα φίλος': — AB

1052 τὸ καὶ προέσθαι μαλθακούς: τὸ ἐνδοῦναι τῇ φρενί μου μαλθακοὺς λόγους: — A

1053 ὅτῳ δὲ μὴ θέμις παρεῖναι: ᾧτινι δὲ οὐκ εὐσεβές, φησίν, φαίνεται τὸ παρεῖναι τῷ φόνῳ τούτῳ καὶ δέχεσθαι τοιαύτας θυσίας,

---

1 ἀπορῶ — ποιεῖν om. B 4 lemma ex A 5 τὸ A τῶι B 6 lemma ex A φόνῳ A θανάτωι B 9—11 ἢ οὕτως — τελευτῆς om. A 11. 12 περιπαθέστεραι B 12 ante ταῖς add. ἐν B 16 lemma ex A 17 φησὶν om. B μεθείσθω μοι B χαιρέτω A με om. B 18 γράφεται — βουλευμάτων om. A 19 lemma ex A 19. 20 τῶι κατὰ τοῦ ἰάσονος θυμῶι B 22—25 ἐξὸν — φίλος om. A 28 lemma ex A φησιν οὐκ εὐσεβὲς B 29 τὸ om. B

οὗτος ἀπίτω. τοῦτο δὲ εἶπεν ὡς ὄντων τινῶν θεῶν χαιρόντων ἀνδροφονίαις, οἷον Ἐρινύων, Ἄρεως καί τινων ἑτέρων. Ὅμηρος [E 31. 455]· 'Ἆρες Ἄρες βροτολοιγὲ μιαιφόνε'. τῷ δὲ αὐτῷ μελήσει συναπτέον τὸ μὴ παρεῖναι: — AB

1055 χεῖρα δ' οὐ διαφθερῶ: πάλιν ἐνταῦθα λύεται πρὸς οἶκτον. ἔστι γὰρ μίμησις μητρὸς οὐ προαιρέσει ἀνάγκῃ δὲ τοῦ τοὺς ἐχθροὺς ἀμύνασθαι τολμώσης φόνον κατὰ τῶν φιλτάτων. οὐκ ἂν οὖν, φησίν, ἐγὼ μολύναιμι τῷ τῶν ἐξ ἐμοῦ παίδων αἵματι τὴν ἐμαυτῆς χεῖρα: — AB

1058 ἀντὶ τοῦ ἐν Ἀθήναις: — B[1]

1059 μὰ τοὺς παρ' Ἅιδη νερτέρους: τοὺς καταχθονίους θεοὺς ἀλάστορας. ἀλάστορας δέ, οὓς οὐκ ἔστι λαθεῖν. ἐπειδὴ δὲ συνεχῶς ὁρᾷ ἑαυτὴν νικωμένην τῷ πρὸς τοὺς παῖδας οἴκτῳ, ὅρκῳ φρικωδεστάτῳ κατακλείει ἑαυτὴν πρὸς τὸ μηδὲν ἕτερον ἢ τὸν φόνον ἐξ ἅπαντος δρᾶσαι. καὶ οὐκ ἄν, φησίν, ἐγὼ καταλείψαιμι τοὺς ἐμοὺς παῖδας ὑπὸ τῶν ἐμῶν ἐχθρῶν καθυβρίζεσθαι· λέγει δὲ ὑπὸ τῶν πρὸς γένους τῇ Γλαύκῃ. καθυβρίσαι δὲ λέγει τὸ μετὰ αἰκίας τινὰ ἀνελεῖν: — AB

1062 πάντως σφ' ἀνάγκη: κἂν ἐγώ, φησί, μὴ φονεύσω τούτους, ἀλλ' οἱ ἐχθροὶ πάντως ἀναιρήσουσιν. εἰ δὲ ἅπαξ χρὴ τούτους ἀποθανεῖν, κάλλιον ὑφ' ἡμῶν ἀναιρεῖσθαι, ἵνα μὴ δοκοῖεν οἱ ἐχθροὶ τιμωρίαν ταύτην λαμβάνειν παρ' ἡμῶν. οἶδε δὲ τὸ εἱμαρμένον τοῖς παισίν, ὡς καὶ τὴν Ἰάσονος μοῖραν, ἐν οἷς φησιν [1387] Ἀργοῦς κάρα σὸν λειψάνῳ πεπληγμένος: — AB

1064 ἀντὶ τοῦ κέκριται εἵμαρται. ⟨γράφεται⟩ πέπρωται: — B[1]

1065 καὶ δὴ 'πὶ κρατὶ στέφανος: ταῦτα ἐκ τοῦ χρόνου ἀναλο-

---

1 τινῶν om. A  1. 2 ἀνδροφονίαι B  2 οἷον om. A  τινων om. A  2—4 Ὅμηρος — παρεῖναι om. A  5—8 scholio quod praecedit adi. A, sed praeter hoc scholion habet αὐτῳ μελήσει: πάλιν ἐνταῦθα λύεται πρὸσ οἶκτον ἔστι γὰρ μίμησισ μρ̄ὸ· οὐ προαιρέσει ἀλλὰ διὰ τὸ τοὺσ ἐχθροὺσ ἀμύνασθαι τολμῶσαν οὐκ ἂν οὖν ἐγὼ φησὶ μολύναιμι φησὶν ἐμαυτὴν τῷ φόνῳ: —  5 lemma ex B  6 τοῦ ego τῷ A τῶι B  7 κατὰ B ἀντὶ A  10 lemma ex A  θεοὺς om. A  11 ἀλάστορας — λαθεῖν om. A  11. 12 ἐπειδὴ — οἴκτῳ] διὰ οἶκτον οὖν τὸν πρὸσ τοὺσ παῖδασ A  13 ἑαυτὴν κατακλείει A  13—16 πρὸς — Γλαύκῃ om. A  16 αἰκίας ex αἰτίασ corr. B βίασ A  τινὰ ego τινὸσ AB  18 lemma ex AB  καὶ A  φονεύω B  19 πάντεσ ἀναιρήσωσιν A  τούτοισ A  20 ἡμῖν A  21 παρ' A ἐξ B  21—23 οἶδε — πεπληγμένος om. B  24 γράφεται addidi  25 lemma ex A

γιζομένη πρὸς ἑαυτὴν λέγει. καὶ δή, φησίν, ἡ μὲν Γλαύκη, ὡς εἰκός, ἐπὶ τῆς κεφαλῆς ἔχει τὸν στέφανον καὶ λοιπὸν ἐγγύς ἐστι τοῦ θανάτου. ἀλλ' εἶμι, μὴ μέλλωμεν ἥκειν ἐπὶ τὴν δυστυχεστάτην ὁδὸν τοῦ φόνου: — AB

1068 τὴν ἐπὶ τὸν Ἅιδην λέγει. τὸ δὲ ἔτι ἀντὶ τοῦ πολὺ μᾶλλον: — AB[1]

1073 εὐδαιμονοῖτον μέν, ἀλλ' ἐκεῖ. λέγει δὲ εἰς Ἅιδην: — B[1]

τὰ δ' ἐνθάδε: τὰ ἐν τοῖς ζῶσι. τουτέστιν· ὁ πατὴρ αἴτιος τοῦ μὴ ζήσεσθαι ὑμᾶς: — AB

1074 ἡ περίπτυξις. ἢ ἡ πρώτη θέα. ἐν τῷ περιπτύσσεσθαι καὶ καταφιλεῖν ταῦτα λέγει: — AB

1081 πολλάκις ἤδη: ἀποτρέπων ὁ χορὸς τὴν Μήδειαν τῆς τῶν παίδων ἀναιρέσεως διεξέρχεται τοὺς τῆς παιδοποιίας πόνους: — A

1081 πολλάκις ἤδη: πολλάκις, φησί, κατ' ἐμαυτὴν ἐλογισάμην καὶ δι' ἀκριβεστέρων λογισμῶν προσῆλθον αὐτὴ πρὸς ἐμαυτὴν ἁμιλλωμένη καὶ ζητοῦσα εἰ δυνατὸν καὶ τῇ γυναικείᾳ φύσει ἐρευνᾶν τὰ τοῦ βίου πράγματα καὶ εἰδέναι τί μὲν καλὸν τοῖς ἀνθρώποις, τί δὲ οὔ. καὶ λογισαμένη εὗρον ὅτι μέτεστι μὲν ταῖς γυναιξὶ σοφίας καὶ τῆς τῶν ἀνθρωπίνων πραγμάτων καταλήψεως, οὐ πάσαις δέ, ἀλλ' ὀλίγαις. ὧν οὖσα μία καὶ αὐτὴ τυγχάνω καὶ λογίζομαι τῶν ἀνθρώπων τοὺς ἀπείρους παιδοποιίας πολλῷ προφέρειν καὶ ὑπερβάλλειν εὐτυχίᾳ τοὺς γεννήσαντας. ὅσοι μὲν γὰρ τῶν κατὰ παιδοποιίαν μόχθων ἐκτός εἰσιν, εἴτε καλὸν εἴτε λυπηρὸν οἱ παῖδες, οὐκ ἴσασιν· οἱ δ' ἔχοντες ἀνάγκῃ τῆς περὶ τοὺς παῖδας ἐπιμελείας κατατρυχόμενοι διατελοῦσιν, πρῶτον μὲν ὅπως ἀγάγωσι τοὺς παῖδας κοσμίως, σπουδάζοντες, δεύτερον δὲ καὶ πόθεν τούτοις χρημάτων πόρον καταλείψειαν. τρίτον ἐπὶ τούτοις οὐκ εἰδότες πότερον χρηστοῖς οὖσι τοῖς παισὶν ἢ πονηροῖς τὸν τρόπον μοχθοῦσι τὸν

1 ἐμαυτὴν λέγω B 3 μέλλομεν A δυσχερεστάτην B 4. 5 scholio quod praecedit adi. A ἀντὶ τοῦ B[1] ἐπὶ A 7 lemma ex AB 8 ἡμᾶσ A 9. 10 scholio quod praecedit adi. B pro ἡ περίπτυξις posito προσβολὴ δὲ περίπτυξισ 9 ἡ (alterum) A ἀντὶ τοῦ B 9. 10 πεπτύσσεσθαι A περιπτύσσεσθαι δὲ B 10 ταῦτα λέγει om. A 12 πόνους ego φόνουσ A 13 lemma ex B 13—20 scholio quod praecedit adi. A 14 προῆλθον B αὐτῆι πρὸσ αὐτὴν B 16 ἀνθρώποισ καλὸν B 17 μέτεστη B 19 τυγχάνω B φημὶ A 20 προσφέρειν A 21 — p. 200, 9 ὅσοι — ἀντικρούοντασ pro separato scholio habet A lemmate addito εἴθ' ἡδὺ βροτοῖσ 21 τὴν παιδοποιίαν B 22 ἀνάγκῃ ego ἀνάγκην AB 26 τὸν τρόπον ego τοῦτον τὸν τρόπον A τοῦτον δὲ τὸν τρόπον B

χρόνον ἅπαντα. οὐ γὰρ εὐμαρὲς συνιέναι τρόπον ἀνθρώπου, ὅπου γε τοὺς νομιζομένους εἶναι χρηστοὺς πονηροὺς πολλάκις ἐξαίφνης εὑρίσκομεν. ἓν δὲ πάντων τῶν κακῶν τελευταιότατον βούλομαι πᾶσιν ἀνθρώποις ἐξειπεῖν· δῶμεν γὰρ ὅτι καὶ βίον αὐτάρκη τοῖς παισὶ κέκτηνται καὶ εἰς ἀκμὴν ἡλικίας προῆλθον οἱ παῖδες καλοί τε κἀγαθοὶ τὸν τρόπον ἐκβεβήκασιν· εἰ [δὲ] δὴ τούτων οὕτως ἐχόντων φθάσας ὁ δαίμων, πρὶν ὄνασθαι τῶν ἀγαθῶν, τούτους ἁρπάσειε, πῶς ἔτι λυσιτελεῖ πρὸς τοῖς ἄλλοις τῶν ἀνθρώπων κακοῖς παῖδας εὔξασθαι τοῖς θεοῖς παρασχεῖν λύπην ἄντικρυς ὄντας: — AB

1082 σοφῶν καὶ συνετῶν: — B[i]

1085 πλεονάζει ὁ ἀλλά. ἢ ἀντὶ τοῦ δή: — B[i]

ἀλλὰ γὰρ ἔστι: πλεονάζει ὁ ἀλλά· ἔστι γὰρ μοῦσα καὶ ἡμῖν. μέχρι δὲ τοῦ οὐκ ἀπόμουσον τὸ γυναικῶν ἐν μεσοσυλλαβίᾳ ἐστὶν ὁ λόγος: — A

μοῦσα καὶ ἡμῖν: ἀντὶ τοῦ φρόνησις παίδευσις πρὸς τὸ δύνασθαι διακρίνειν τὰ ἀνθρώπινα. καὶ ἡμῖν οὖν, φησί, μοῦσα προσομιλεῖ σοφίαν χαριζομένη πρὸς τὸ ⟨καὶ⟩ ἡμᾶς ἀποφαίνεσθαί τι περὶ τῶν ἀνθρωπίνων: — AB

1089 ἀπαίδευτον: — B[g]

1092 ἀντὶ τοῦ ὑπερβάλλειν ὑπερφέρειν: — B[i]

1093 τῶν γεννησάντων τῶν φυτευσάντων: — B[i]

1094 οἱ μέν τ' ἄτεκνοι δι' ἀπειροσύναν πολλῶν μόχθων ἀπέχονται οὐχὶ τυχόντες εἴθ' ἡδὺ βροτοῖς εἴτ' ἀνιαρὸν παῖδες: — A

1097 μακράν εἰσι μὴ πειρασθέντες: — B[i]

1098 οἷσι δὲ τέκνων: τούτους, φησίν, ὁρῶ τῇ περὶ τοὺς παῖδας ἐπιμελείᾳ συνεχεῖ καταπονουμένους: — AB

1099 μελέτῃ: ἤγουν τῇ καθημερινῇ ἐπιμελείᾳ: — AB

φροντίδι: — B[i]

---

2 εἶναι B γῆσ A 3 ἓν B εὑ A 3 τελευταῖον B 4 βία A 4—9 cf. p. 201,2—5 et quae ad p. 201,13 adnotata sunt 6 δὲ del. Wil 7 ἁρπάσει B 8 τοὺσ θεοὺσ B 9 λύπην B λύσιν A ἀντικρούοντασ A 15—18 scholio quod praecedit adi. A initio add. μοῦσα δὲ 15 φρόνησις om. A δύνασθαι B κρίνασθαι A 16. 17 σοφίασ A 17 καὶ addidi 17. 18 ἀνθρωπίνων ego ἀνθρώπων AB 23 οὐχὶ] οὐχ' οἱ A εἴσθ' A εἴστ' A 25 lemma ex A 27 lemma ex AB ἤγουν ego οὖν A τουτέστι B

1102 τὰ χρήματα τὴν οὐσίαν: — $B^i$

1103 μετὰ ταῦτα δέ: — $B^i$

1105 ἓν δὲ τὸ πάντων: δῶμεν γὰρ ὅτι καὶ τὸν βίον αὐτάρκη κέκτηνται καὶ εἰς ἀκμὴν ἡλικίας προῆλθον· εἰ οὖν φθάσας ὁ δαίμων, πρὶν ὄνασθαι τῶν ἀγαθῶν, τούτους ἁρπάσειε, πῶς ἔτι λυσιτελεῖ παῖδας εὔχεσθαι γεννᾶν τοῖς θεοῖς: — A

ἀντὶ τοῦ μεῖζον κακόν: — $B^i$

1107 ἀρκοῦσαν οὐσίαν: — $B^g$

1109 ἀντὶ τοῦ· εἰ κυρήσειεν καὶ τύχοι: — $B^i$

1110 τὸ δαίμων τῷ θανάτῳ συναπτέον. δαίμονα γὰρ τὸν θάνατον ὠνόμασεν. φροῦδος δέ, ἐπεὶ ἄδηλος ἀνθρώποις ὁ θάνατος: — B

1111 προπέμπων ἀποκομίζων: — $B^i$

1112 πῶς οὖν λύει πρὸς τοῖς ἄλλοις: ἡ οὖν συλλαβὴ νῦν σύνδεσμός ἐστι παραπληρωματικὸς ἀντὶ τοῦ δή: — $AB^i$

1114 παιδοποιίας: — $B^g$

1115 προστιθέναι: — $B^i$

1116 τὴν τύχην ἀντὶ τοῦ τὴν ἀπόβασιν τοῦ πράγματος: — $B^i$

1119 πνεύματ' ἠρεθισμένον: παρωξυμμένον. οἱ γὰρ πνευματιῶντες ὀξέως καὶ συνεχῶς ἀναπνέουσιν: — $AB^i$

τὸ ἆσθμα αὐτοῦ τεταραγμένον: — $B^i$

1122 μήτε ναΐαν: καταχρηστικῶς τὴν ναῦν ἀπήνην ὠνόμασεν· ἀπήνη γὰρ κυρίως ἡ ἅμαξα. ὄχον δὲ λέγει τὸ ὄχημα. ὁ δὲ νοῦς· εἴτε διὰ νεὼς εἴτε δι' ὀχήματος εἴθ' ὁπωσοῦν φεῦγε: — AB

1124 τί δ' ἄξιόν μοι: ὑφ' ἓν ἀναγνωστέον. τινὲς δὲ εἰς τὸ τι δέ στίζουσι, τὸ δὲ λοιπὸν κατ' ἐρώτησιν: — A

1129 τί φής, φρονεῖς μέν: πῶς, φησίν, εἶπας τοῦτο; ὅτι μὲν γὰρ κατὰ φύσιν φρονεῖς καὶ οὐκ ἐξέστηκας, δῆλον· θαυμάζω δὲ πῶς οὐκ ἀγωνιᾷς ἀκούσασα τὸν βασιλικὸν οἶκον διεφθάρθαι ὑπὸ τῶν σῶν

---

4 εἰ ego ἐὰν A  10 τὸ] τῷ B  13 νῦν om. A  14 δή A πῶς δή B  in fine add. πρὸς τοῖς ἄλλοις τῶν ἀνθρώπων κακοῖς παῖδας εὔξασθαι τοὺς θεοὺς παρασχεῖν λύπην χαλεπὴν ἀντικρούοντας A τουτέστι πως λυσιτελεῖ εὔξασθαι τοῖς θεοῖς παῖδας παρασχεῖν λύπην χαλεπὴν ἀντικρούοντας: — $B^i$
17 τὴν τύχην ante ἀντὶ coll. Wil post πράγματος $B^i$  18 lemma ex A
18. 19 πνεύματι ὄντες A  21 lemma ex A  ante τὴν add. νῦν B
22 λέγει B κυρίως λέγεται A  23 εἴθ' ὁπωσοῦν om. A  26 lemma ex A  εἶπες A  28 σῶν om. A

φαρμάκων. ἢ κατ' ἐρώτησιν προενεκτέον τὸν λόγον· πῶς εἶπας τοῦτο: οὐχὶ μαίνεσθαί σε καὶ παραφρονεῖν ἄν τις νομίσειεν οὐκ ἀγωνιῶσαν ἐπὶ τούτῳ; ἵνα ὁ μὲν παρέλκῃ: — AB

1132 ἔχω τι κἀγώ: κἀγώ, φησίν, ἔχω πρὸς τὰς ἐπενεχθείσας μοι μέμψεις παρὰ σοῦ πρόφασιν εὔλογον ἀντεισάγειν, δι' ἣν εὐλόγως δοκῶ μοι χαίρειν ἐφ' οἷς ἀπήγγειλας· ἀλλὰ τέως μὴ σπεῦδε ἐπιχειρεῖν. αἰνίττεται δὲ τὸ καὶ αὐτὴν πρότερον ἀδικεῖσθαι ὑπὸ Ἰάσονος: — AB

1136 ἐπεὶ τέκνων σῶν: ὡς εἴδομεν, φησί, τοὺς σοὺς παῖδας τὰ δῶρα προσφέροντας, ἐχάρημεν ἡμεῖς οἱ θεράποντες, οἵτινες ἐλυπήθημεν πρὸ τούτου ἐννοοῦντες τὴν σὴν σκαιὰν τύχην, λέγει δὲ τὸ ἀπεζεῦχθαι τοῦ Ἰάσονος. ὡς οὖν, φησίν, εἴδομεν τὰ δῶρα κομιζόμενα παρὰ σοῦ, εὐφράνθημεν ἐλπίσαντες ὑμᾶς πεπαῦσθαι τῆς ἔχθρας, ἐπεὶ καὶ πολὺς ἦν ὁ λόγος κατὰ τὴν οἰκίαν διαλελύσθαι ὑμᾶς καὶ τὴν προτέραν φιλονεικίαν εἰς φιλίαν μεταβεβληκέναι: — AB

1138 οἵτινες ἐλυπούμεθα ⟨διὰ⟩ τὴν σὴν ἀπόζευξιν: — B[i]

1140 τὴν φιλονεικίαν διαλύσασθαι: — B[i]

1143 στέγας γυναικῶν: τοὺς οἴκους, ἔνθα αἱ γυναῖκες διέτριβον αἱ ταλασιουργοῦσαι, μεθ' ὧν ἦν καὶ ἡ Γλαύκη ἐπισκοποῦσα τὴν ἐργασίαν. κἀγὼ οὖν, φησίν, ὑπὸ πολλῆς χαρᾶς συνεισῆλθον τοῖς σοῖς τέκνοις. λείπει δὲ ἡ εἰς, ἵν' ᾖ· εἰς στέγας: — AB

1144 τιμῶμεν: — B[g]

1145 συζυγίαν: — B[g]

1146 πρόθυμον εἶχ' ὀφθαλμόν: ἀντὶ τοῦ· προθύμως καὶ ἥδιστα ἑώρα τὸν Ἰάσονα. ὡς δὲ εἶδε τοὺς παῖδας, ἀπεστράφη [τὸν Ἰάσονα], τὸ μητρυιᾶς μῖσος εἰς τοὺς προγόνους νοσήσασα: — AB

ἱλαρόν: — B[g]

1149 ἀηδισθεῖσα: — B[i]

1150 ὀργὰς ἀφῄρει: ἀντὶ τοῦ· μὴ ὀργίζεσθαι τοῖς παισὶ παρῄνει αὐτῇ μηδὲ βδελύττεσθαι τούτους: — AB

1151 οὐ μὴ δυσμενής: αἱ δύο ἀρνήσεις ἀντὶ μιᾶς κεῖνται,

1 προσακτέον AB  2 ante οὐχὶ add. πῶσ B  4 lemma ex A  7 τὸ καὶ ego καὶ A τὸ B  τοῦ ἰάσονοσ B  8 lemma ex A  9. 10 ἐλυπούμεθα B  13 ὁ om. B  15 διὰ addidi  17 lemma ex AB  18 αἱ om. A  ὧν B ἡμῶν A  ἡ γλαύκη A γλαύκηι B  23 lemma ex A  24 τοὺσ παῖδασ A τούτουσ παρόντασ B  τὸν Ἰάσονα deleui  25 μήτρασ A  28 lemma ex A  29 αὐτῇ om. A  τοῦτον A  30 lemma ex A

τουτέστι· μὴ δυσμενὴς ἔσο τοῖς φίλοις, ἀλλὰ παῦσαι τοῦ θυμοῦ καὶ ἐπίστρεψον πρὸς αὐτοὺς τὰς ὄψεις: — AB

1153 ἀντὶ τοῦ ἐγώ: — B$^{g}$

1154 παρὰ τοῦ πατρὸς αἰτήσῃ: — B$^{i}$

1156 ἡ δ' ὡς ⟨ἐσ⟩εῖδε: ἀντὶ τοῦ· οὐκ ἠνέσχετο ἐν τῇ αὐτῇ καταστάσει μεῖναι, ἀλλὰ μετεβλήθη τῆς ἀγριότητος καὶ τοῦ θυμοῦ: — AB

1157 ἀλλ' ᾔνεσ' ἀνδρί: ἀλλὰ συγκατετίθετο πάντα τῷ ἀνδρί: — AB$^{i}$

1158 μακρὰν ἀπεῖναι: οὕτως δὲ περιχαρὴς γέγονε τὸν κόσμον ἰδοῦσα καὶ ἕρμαιον ἡγήσατο τὸ δῶρον, ὡς μὴ ἀναμεῖναι τὴν ἀπουσίαν τοῦ Ἰάσονος, ἀλλ', ἔτι πλησίον ὄντος τοῦ πατρὸς καὶ τῶν παίδων, εὐθὺς λαβοῦσα περιέθετο τὸν κόσμον. ἴσμεν δὲ ὅτι αἱ γυναῖκες οὐκ ἐπὶ παρουσίᾳ τῶν ἀνδρῶν κοσμοῦνται. αὕτη οὖν, φησίν, ὑπερησθεῖσα τῷ δώρῳ οὐ παρῃτήσατο καὶ παρόντος τοῦ Ἰάσονος περιθέσθαι τὸν κόσμον: — AB

1161 ῥυθμίζει συντίθησι καλλωπίζεται: — B$^{i}$

1162 ἄψυχον εἰκώ: ἄψυχον εἰκόνα φησὶ τὴν ἐν τῷ κατόπτρῳ φαινομένην μορφήν. σώματος δὲ λέγει τῆς τῷ ὄντι ὄψεως. τὸ δὲ ἑξῆς· πρὸς τὴν ἄψυχον εἰκὼ τοῦ σώματος γελῶσα, τουτέστι χαίρουσα ἐπὶ τῇ ὑποπιπτούσῃ ἐν τῷ κατόπτρῳ εὐμορφίᾳ: — AB

ἄψυχον εἰκώ: γράφεται προσβλέπουσα σώματος: — B

1164 ἁπαλὸν ἢ ἐπηρμένον: — B$^{i}$

1166 ἀντὶ τοῦ· ὀρθῷ τένοντι: — B$^{i}$

1168 πλαγία: — B$^{g}$

1169 μόλις φθάνει μὴ χαμαὶ πεσεῖν: — B$^{i}$

1171 νομίσασα: — B$^{g}$

1172 ἢ Πανὸς ὀργάς: τοὺς ἐξαίφνης καταπίπτοντες ᾤοντο τὸ παλαιὸν οἱ ἄνθρωποι ὑπὸ Πανὸς μάλιστα καὶ Ἑκάτης πεπλῆχθαι τὸν νοῦν. ὁ δὲ νοῦς· καί τις τῶν θεραπαινῶν γεραιὰ πρότερον ἑωρακυῖα κατὰ τὸ στόμα προϊόντα τὸν ἀφρὸν ἐκστρέφουσάν τε τοὺς ὀφθαλμοὺς καὶ νεκρούμενον τὸ λοιπὸν σῶμα, νομίσασα θεοῦ τινος εἶναι χόλον τὸ τοιοῦτον,

---

2 εἰσ A 5 lemma ex A [ἡ δ' ὡσ εἶδε] 6 ἀλλ' ἐμετεβλήθη A 7 συγκατέθετο B$^{i}$ 9 lemma ex AB τὸ om. B 12 ἐπὶ Laur. 31,10 ἔτι AB 14 περιέθετο A 16—19 scholio quod sequitur adi. B 18 γελῶσαν A χαίρουσαν A 19 in fine add. ἄψυχον οὖν εἰκῶ τὴν εἰσ τὸ ἔσοπτρον φαινομένην B 26 lemma ex AB ᾤοντο B οἷον A 28 τὸ om. B 30 τὸ λοιπὸν ego τέ λοιπὸν τὸ A λοιπὸν τὸ B τὸ om. B

ηὔξατο σωθῆναι αὐτήν· εἶτα ὡς εὐχομένης ἐπέτεινε τὸ κακόν, θρῆνον ἠφίει ὡς λοιπὸν ἀπολλυμένης αὐτῆς: — AB

ἄλλως: τὰ πανικὰ δείματα. τὴν τῶν αἰφνιδίων φόβων καὶ ταραχῶν αἰτίαν τῷ Πανὶ ἀνατιθέασιν: — AB

1173 ἀνωλόλυξε: ηὔξατο. Ὅμηρος [Z 301]· ‘ὀλολυγῇ πᾶσαι χεῖρας’: — A

ἀνωλόλυξε δέ, ἀντὶ τοῦ ηὔξατο, μετ' εὐχῆς ἐβόησε. πρίν γ' ὁρᾷ, ἀντὶ τοῦ· ἕως ἐθεάσατο, καὶ τὰ ἑξῆς: — B

1175 οὐκ ἐνυπάρχον: — $B^1$

1176 ἀντίμολπον: ἀντίφθογγον, ἐναντίον τῇ εὐχῇ. οὐ γὰρ ταὐτὸν μολπὴ καὶ θρῆνος: — AB

1177 εὐθὺς δ' ἡ μὲν εἰς πατρός: ἡ μὲν τῶν θεραπαινῶν πρὸς τὸν πατέρα ὥρμησε τῆς Γλαύκης ἀπαγγελοῦσα τὸ γεγενημένον· ἡ δὲ πρὸς τὸν Ἰάσονα: — AB

1180 ἀντὶ τοῦ· θορύβου πλήρης ἦν ὁ οἶκος: — $B^1$

1181 ἤδη δ' ἀνέλκων: ὡς ἐκ παραδείγματος ἔλαβε τὴν ἔννοιαν, δηλῶσαι βουλόμενος τὴν ὀξύτητα τοῦ κακοῦ· οὕτως δὲ ταχέως ἐπενέμετο αὐτὴν τὸ πῦρ καὶ οὕτως ὀξέως τῶν ὀστῶν αὐτῆς ἀνθήπτετο, ὡς ἂν ὀξύτατος ἵππος ἀνακουφίζων ἑαυτοῦ τὸν πόδα, τουτέστι μεγάλοις καὶ ταχέσι πηδήμασι χρώμενος, [ἵνα] πρὸς τὸ τέλος ἀφίκοιτο τοῦ δρόμου, τουτέστι τὸν καμπτῆρα. τοῦ γὰρ σώματος τὸ τέλος τὰ ὀστᾶ εἰσιν, ὡς τοῦ δρόμου ὁ καμπτήρ: — AB

ἄλλως: ἤδη δὲ ὡς ταχὺς βαδιστὴς τὸ ὑπέρμετρον ἑαυτοῦ κῶλον ἀνέλκων τῶν τερμόνων τοῦ δρόμου ἀνθήπτετο, τουτέστιν· ἤδη ἡ ταχεῖα νόσος ὀξὺ καὶ ὑπέρμετρον βαίνουσα τῶν μυελῶν αὐτῆς ἀνθήπτετο.
ὁ δὲ νοῦς· ἤδη δὲ τὸ πῦρ τῶν ὀστῶν ἀνθήπτετο, ὡς ⟨ἂν⟩ ταχὺς βαδιστής, ἵππος, ταχέως ἀφίκοιτο εἰς τὸν καμπτῆρα. τέλος δὲ τοῦ σώματος τὰ ὀστᾶ: — AB

ἄλλως: ταχὺς βαδιστής: τὸ διάστημα λέγει τὸ γενόμενον αὐτῇ

3 lemma ex A ante τὴν add. ἤτοι B 5 ὀλολυγὴν A 10 lemma ex AB 10. 11 οὐ — θρῆνος] ἤγουν θρῆνον A 12 lemma ex A 13 ἀπαγγέλλουσα A γεγενημένον A συμβὰν B 16 lemma ex A ὡς om. B 17. 18 ἐπενέμετο Wil ἐνέμετο AB 18 ὀξέως B ταχέως A ὀστέων A 20 ἵνα deleui 21 τῷ καμπτῆρι A 23 lemma ex A 26 ἂν addidi 27 ἀφίκοιτο ego ἀφίκηται AB τοῦ om. B 29 lemma ex A

ἐξ οὗ ἄναυδος ἦν μέχρις οὗ ἐφθέγξατο. ὅσην γὰρ δύναται ῥοπὴν καιροῦ ἔχειν ταχὺς δρομεὺς ἀπὸ βαλβῖδος ἀφεθεὶς μέχρι καμπτῆρος, τοσοῦτον καὶ αὕτη ἄναυδος ἦν: — AB

κῶλον ἔκπλεθρον: πλέθρον ἐστὶ μέτρον γῆς· κῶλον οὖν ἔκπλεθρον μέγα πήδημα ὡς ὑπερβαίνειν πλέθρον: — AB

1182 δρομεὺς ἵππος: — B[i]

1186 ὁ στέφανος θαυμαστὴν ῥύσιν τοῦ φθαρτικοῦ πυρὸς ἠφίει: — B[i]

1192 ἀσφαλῶς: — B[i]

1193 τὰς συμπλοκάς, τὰς συνδέσεις: — B[i]

1196 πλὴν τῷ τεκόντι: λείπει τὸ πᾶσι, τουτέστιν· πᾶσιν ἄλλοις σφόδρα δυσεπίγνωστος ἰδεῖν, πλὴν τῷ τεκόντι. μόνος γὰρ οὗτος ἐπεγίνωσκε τὴν Γλαύκην· μόνος γὰρ ὁ τεκὼν ὀξύτερον κατενόει τὴν κόρην. 'τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὅμως· εὐθὺς δ' ἀπήμων ⟨κραδία⟩ κᾶδος ἐπ' ἀλλότριον' Πίνδαρος [Nem. 1, 53]: — AB

πάνυ δυσεπίγνωστος καὶ δυσκαταμάθητος. ἠγνόει γὰρ ὁ πατὴρ τὸ συμβάν: — B[i]

1201 γναθμοῖς ἀδήλοις: αἱ δὲ σάρκες, φησί, τῶν γνάθων κατέρρεον ὑπὸ τῶν ἀδηλοποιῶν φαρμάκων. δοτικὴ δὲ ἀντὶ τῆς γενικῆς. γράφεται ⟨ἀδήλων⟩: — AB

† τοῦ Τζέτζου: ἐν τοῖς σιαγόσι καὶ τοῖς στόμασι· τινῶν; τῶν φαρμάκων. τὸ σχόλιον δὲ φλυαρεῖ· ὡσανεὶ γὰρ τὰ φάρμακα ὀδόντας εἶχον: — A[g]

1203 τύχην γὰρ εἴχομεν: ἀντὶ τοῦ· ἡ δυστυχία τῆς Γλαύκης καὶ τὸ περὶ ταύτην πάθος ἐπαίδευεν ἡμᾶς καὶ ἀπέτρεπεν: — AB

1204 συμφορᾶς ἀγνωσίᾳ: ἀγνοῶν ἐκ φαρμακείας εἶναι τὸ πάθος καὶ τὴν εὐμετάδοτον αὐτοῦ φύσιν: — AB

1207 καταφιλεῖ προσφωνῶν: — B[i]

1209 τίς τὸν γέροντα τύμβον: τὸν πλησίον θανάτου ὄντα,

---

1 ῥοπὴν Wil τροπὴν AB  2 καμπτῆρος ego καμπτοῦ AB  4. 5 scholio p. 204, 16—22 adi. B add. δὲ post πλέθρον  5 ὡς — πλέθρον] καὶ ὑπερβαῖνον πλέθρου μέτρον B  10 lemma ex AB  λείπει B διά A  11 διάγνωστοσ A  12 μόνος — τεκών] ἐπείπερ B  13 πᾶν θ' ὅμως AB  κραδία om. AB  κᾶδος Pindarus κάλλοσ AB  ἀμφ' Pindarus  17 lemma ex AB  γναθμῶν B  19 ἀδήλων add. Wil et ego  23 lemma ex AB  τὴν δυστυχίαν A  24 ἐπαίδευσεν B  25 lemma ex A initio add. ἤτοι B  ante εἶναι add. γῆσ A  28 lemma ex A

ὠμογέροντα. τύμβους καλοῦσι τοὺς γέροντας παρόσον εἰσὶ πλησίον τοῦ θανάτου καὶ τοῦ τάφου: — AB

ἀπεστερημένον σου: — B[i]

1212 γράφεται πόδα ἢ γόνυ: — B[i]

1213 προσείχεθ' ὥστε κισσός: προσεκεκόλλητο, περιεπλέκετο τοῖς πέπλοις αὐτῆς, ὥσπερ ὁ κισσὸς περιπλέκεται τοῖς περὶ αὐτὸν τυγχάνουσιν ἔρνεσιν: — AB

1216 ἡ δ' ἀντελάζετ': ἡ δὲ ἀντελαμβάνετο ὡς δὴ προσδοκῶσα ἀπαλλαγῆναι τοῦ κακοῦ: — AB

εἰ δὲ πρὸς βίαν ἄγοι: ὅτε δέ, φησίν, ἐβούλετο αὐτὸς ἑαυτὸν ἀναστῆσαι βίᾳ, ὁμοῦ καὶ τὰς σάρκας ἀπέσπα: — AB

1218 χρόνῳ δ' ἀπέστη: ἡμίφλεκτος δὲ ἀπέστη καὶ ὕστερον ὑπὸ ὀδύνης ἀπέθανεν: — AB[i]

1219 ἐπικρατέστερος: — B[s]

1221 ποθεινὴ δακρύοισι: οἷον· συμφορὰ ὄντες ποθεινὴ πρὸς δάκρυα καὶ θρῆνον κεῖνται. ἀντὶ τοῦ ἀξιοδάκρυτος συμφορά. οὓς ἄν τις ἰδὼν ποθήσειε δακρῦσαι. ἐλεεινοὺς ὄντας τῷ θεάματι: — AB

1222 καί μοι τὸ μὲν σὸν ἐκποδών: τὸ σόν ἀντὶ τοῦ σύ. ⟨σὺ⟩ αὐτή, φησί, ὑφ' οὗ ἤκουσας ἀρτίως λόγου, ἐκποδὼν γενοῦ καὶ φύγε· πειραθήσῃ γὰρ αὐτὴ τιμωρίας. τὸ οὖν λόγου ἀντὶ τοῦ· ὑπὸ τοῦ λόγου καὶ ὧν σοι ἀπήγγειλα, φρούδη γίνου. ζημίας δὲ ἀποστροφήν τὴν ἀντανάκλασιν τῆς συμφορᾶς ἧς δέδρακας, καταληψομένην σε. ὁ δὲ πᾶς νοῦς οὕτως· καὶ σὺ μὲν αὐτὴ ὑπὸ τοῦ ἐμοῦ λόγου πεισθεῖσα φεῦγε. εἰ γὰρ μὴ φύγοις, τῇ πείρᾳ γνώσῃ ἐπαναστρεφομένην εἰς σὲ τὴν ζημίαν καὶ συμφοράν: — AB

ἄλλως: τὸ κατὰ σὲ ἔξω ἔστω τοῦ λόγου, ὅ ἐστι· τὸ κατὰ σὲ οὐκ ἐξεργάσομαι τῷ λόγῳ· αὐτὴ γὰρ γνώσῃ τὰ λοιπὰ ἐκ τῆς εἰς σὲ ἀνακυκλουμένης ζημίας: — AB

---

1 ὠμογέροντα initio coll. B post τύμβους add. δὲ B πλησίον εἰσὶ B 5 lemma ex AB 6 ὥσπερ B καὶ γὰρ A 8 lemma ex B 10 lemma ex AB δὲ om. B[i] 15 lemma ex A [δακρύουσι] 16 ἄξιος δακρύων καὶ συμφορᾶς A 17 θέματι A 18 lemma ex A σύ B σοῦ A 19 σὺ addidi αὐτὴν A ὑφ' ego ἀφ' AB 20 ὑπὲρ A ὧν B ὑπὲρ ὧν A 24 φύγοις Wil φύγης AB 25 τὴν συμφοράν B 26 lemma ex A ἔξω ἔστω λόγου A ἔξω τοῦ λόγου μοι ἔστω B 26. 27 ἀκολουθούσης A

1223 γνώσῃ γὰρ αὐτή: γράφεται γλώσσῃ, οἷον· τῇ ἑαυτῆς γλώσσῃ καὶ φλυαρίᾳ ὄψει καταληψομένην σε τιμωρίαν: — AB

1224 τὰ θνητὰ δ' οὐ νῦν πρῶτον: τοῦτο εἶπεν, ἐπεὶ τινὲς τῶν σοφῶν μεγάλα δύνασθαι τοὺς ἀνθρώπους ἔφησαν καὶ λογισμῷ δευτέρους εἶναι θεῶν. Ὅμηρος μὲν γὰρ [B 169. 407 K 137] Ὀδυσσέα καλεῖ 'Διὶ μῆτιν ἀτάλαντον', Πίνδαρος δὲ φησὶν οὕτως [Nem. 6, 5]· 'ἀλλά τι προσφέρομεν ἔμπαν φυὰν ἢ μέγαν νόον ἀθανάτοις'. εἰ οὖν, φησίν, ἔδοξέ τισι μεγάλα περὶ τῶν ἀνθρώπων ὑπονοεῖν, ἀλλ' οὖν ἐγὼ σκιὰν ἡγοῦμαι: — AB

οὐθέν: — $B^{6}$

1227 τιμωρίαν: — $B^{1}$

1228 θνητῶν γὰρ οὐδείς ἐστιν: εὐδαίμονά φησι τὸν ἄχρι τέλους ἀπείρατον κακῶν: — AB

1229 ἐπιγενομένου: — $B^{1}$

1236 ὃ προεῖπε περὶ τῶν παίδων: — $B^{1}$

1238 καὶ μὴ σχολὴν ἄγουσαν: διατριβὴν βραδύτητα. πάλιν δὲ τῷ συνήθει σχήματι ἐχρήσατο, καὶ ἔστιν ἀντὶ τοῦ ἀγούσῃ: — AB

1245 ἕρπε πρὸς βαλβῖδα: βαλβὶς κυρίως ἡ τῶν δρομέων ἄφεσις. ἄγε δὴ οὖν, ὦ Μήδεια, πρὸς ἄφεσιν ὅρμα καὶ ἀρχὴν δυστυχοῦς βίου· λέγει δὲ τῶν τέκνων τὸν φόνον: — AB

1251 ἰὼ Γᾶ τε καὶ παμφαής: ἰδὼν ὁ χορὸς ὅτι πάντως ἔδοξε τῇ Μηδείᾳ φονεῦσαι τὰ τέκνα καὶ ὅτι δυσχερὲς ἦν αὐτῷ τὸ κωλῦσαι τὸ

---

1 lemma ex A post γράφεται add. καὶ B οἷον A ἵν' ᾖι B 2 post ὄψει add. B ὅσον οὐδέπω in fine add. εἰ μὴ συντόμωσ φύγηισ B 3 lemma ex A 4 μεγάλω A ἔφησαν A ὑπέθεντο B 5. 6 μὲν — Διὶ] δυσῆι θεοῖσ A 6 ἀτάλαντα A 6. 7 Πίνδαρος — ἀθανάτοις om. A 7 ἔμπαν φυάν] ἐπαμφυὰν B ἢ μέγαν νόον ἤτοι φύσιν Pindarus θνητοῖσ B 7—9 εἰ — ἡγοῦμαι] ἐγὼ οὖν φησὶ καὶ εἴ τισιν ἔδοξε τῶν σοφῶν ἐπᾶραι τὸ ἀνθρώπινον γένοσ οὐ παραιτήσομαι σκιὰν ἀποφαίνειν τὰ κατὰ τοὺς ἀνθρώπουσ πράγματα: — B 8 μεγάλω A 12 lemma ex A 13 ἄπειρον A 16 lemma ex A 16. 17 πάλιν — καὶ om. A 17 εἰσαγούσῃ A 18 lemma ex A cf. et. Vat. Flor. s. u. βαλβίς [= et. m. 186, 14] schol. Ar. Equ. 1159 Suid. 19 οὖν om. B ὦ — βίου ego ὥρμα ὦ μήδεια πρὸσ δυστυχῆ βίον A ὦ μήδεια πρὸσ ἄφεσιν ὅρμα καὶ ἀρχὴν δυστυχοῦσ βίου καὶ πράξεωσ ἀτόπου 20 τοῦ φόνου τῶν τέκνων B 21 lemma ex A ἰδὼν A ὡσ οἶδεν B 22 post τέκνα add. καὶ ὥρμησε πρὸσ τὴν πρᾶξιν B ante τὸ (alterum) add. τοῦτο B

ἐγχείρημα, ἐπικαλεῖται τοὺς θεοὺς παρακλητικοῖς λόγοις εἰς τὸ κωλῦσαι αὐτήν. καὶ Ἥλιον μὲν ἐπικαλεῖται ὡς πρόγονον Μηδείας καὶ ὅτι [λ 109 μ 323] ‘πάντ’ ἐφορᾷ καὶ πάντ’ ἐπακούει’, τὴν δὲ Γῆν ὡς μέλλουσαν δέχεσθαι τῆς μιαιφονίας τὸ αἷμα: — AB

1252 κατίδετε τὰν οὐλομέναν: κατοικτείρατε καὶ ἐλεήσατε ἀποβλέψαντες καὶ προνοήσασθε, δι’ οὗ τρόπου κωλυθῇ τοῦ φόνου τῶν παίδων: — AB

1256 γονᾶς ἔβλαστε: ἀντὶ τοῦ· ἐβλάστησαν ἔφυσαν. ἐπεὶ ἡ Μήδεια ἔκγονος Ἡλίου, οὗτοι δὲ ἐκ Μηδείας: — AB

τὸ γένος. ἐπεὶ οὖν φόβος ἐστὶ τὸ θεῖον αἷμα ὑπὸ ἀνθρώπων πεσεῖν, καὶ σὺ αὐτῇ Ἥλιε τιμώρησαι: — AB

1259 ἔξελ’ οἴκων φονίαν: τὸ ἑξῆς· ὑπέξελε τῶν οἴκων τὴν φονίαν Ἐρινὺν ⟨ὑπὸ⟩ τῶν ἀλαστόρων: — AB

1260 τάλαιναν τ’ Ἐρινύν: αὐτὴν φησὶ τὴν δαίμονα, οὐ τὴν Μήδειαν. ὑπείληπται γὰρ τῶν τοιούτων κακῶν αἰτία εἶναι ἡ Ἐρινύς. τάλαιναν δέ, τὴν τάλανας ποιοῦσαν: — AB

1261 μάταν μόχθος: μάτην, φησίν, ὑπὸ δαιμόνων πονηρῶν ἀπόλλυται τὰ τέκνα μηδὲν ἐπταικότα. μόχθος δὲ τέκνων ὁ μοχθηρὸς βίος. περιφραστικῶς τὰ ⟨τέκνα παρόσον δεῖ δι’ αὐτὰ⟩ κακοπαθεῖν: — AB

1264 πετρῶν ἀξενωτάτων: περιφραστικῶς τὴν Προποντίδα. παρόσον οἱ προσβάλλοντες τῷ τόπῳ κακῶς διατίθενται: — AB

1265 τί δὴ τεθύμωσαι τὴν ψυχήν: — B$^{i}$

1266 προσπελάζει. τοῖς τέκνοις: — B$^{i}$

1269 λείπει τὸ ἔστι: — B$^{i}$

---

1 post ἐγχείρημα add. θεοῦ δὲ μόνου τοῦτο B 2 post αὐτήν add. τῆσ τοιαύτησ τόλμησ B ἥλιοσ A 4 ταῖσ μιαιφονίαισ B 5 lemma ex A 6 κωλυθῇ A δυνατὸν αὐτὴν ἐπισχεθῆναι B 8 lemma ex AB ἀντὶ — ἔφυσαν om. A 9 post Μήδεια add. μὲν B 10. 11 scholio quod praecedit adi. A initio add. αἷμα δὲ lemma in B est αἵματι 10 ἀντὶ τοῦ γένει B 11 αὐτῇ Wil αὐτὴν AB 12 lemma ex A 13 ὑπὸ addidi 14—16 scholio quod praecedit adi. B initio add. τάλαιναν δὲ ἐρινῦν 14 αὐτὴν B οὐ τὴν A 15 ἡ om. A 16 τάλανας ego τάλαινασ A ταλαίνασ B 17 lemma ex AB 18 ἐπταικότα A πεποιηκότα B 19 post βίος add. τῶ τέκνων B 19. 20 τέκνα — κακοπαθεῖν ego περιφραστικῶσ τὰ κακὰ πάθη A λέγει δὲ περιφραστικῶσ τὰ κακὰ πάθη καὶ μοχθηρὰ τέκνα B περιφραστικῶσ τὰ τέκνα πάθει μοχθηρά Laur. 31,10 21 lemma ex AB 22 προσβαλόντεσ A οὐ κακῶσ A 23 θυμοῦσαι B$^{i}$

1269 αὐτοφόνταις συνῳδά: τοῖς αὐτοχειρίοις σύμφωνα τούτοις καὶ ἄξια παρὰ τῶν θεῶν ἐστι προσπίπτοντα κακά. ὁ δὲ νοῦς· χαλεποὶ οἱ φόνοι τοῖς αὐτοχειρίοις, τουτέστι· χαλεπὸν μίασμα ὁ τῶν ὁμογενῶν φόνος τῷ τετολμηκότι. τὸ ἑξῆς· ξυνῳδὰ θεόθεν ἐπὶ δόμοις πίτνοντα ἄχη. χαλεπὰ γὰρ βροτοῖς ὁμογενῆ μιάσματα ἐπὶ γαῖαν αὐτοφόνταις: — AB

1273 ἀκούεις βοάν: τοῦτο πρὸς ἀλλήλας αἱ ἀπὸ τοῦ χοροῦ φασι κατ' ἐρώτησιν· τὸ δὲ ὦ κακοτυχὲς γύναι ἰδίως πρὸς τὴν Μήδειαν ἀναπεφώνηται. τὸ δὲ παρέλθω δόμους πάλιν πρὸς ἀλλήλας κατ' ἐρώτησιν· τὸ δὲ ἀρῆξαι φόνον δοκεῖ μοι τέκνοις κατὰ ἀπόφασιν: — AB

1278 τοῦ ἀφύκτου θανάτου. τῶν δικτύων: — B[1]

1279 πετρίνη ἢ σιδηρᾶ: — B[1]

1280 ἅτις τέκνων ὧν ἔτεκες: ἥτις τὸν ἄροτον τῶν τέκνων, ὧν ἔτεκες, αὐτόχειρι θανάτῳ κτενεῖς: — AB

1281 τὴν γονὴν καὶ τὸ σπέρμα: — AB[1]

1284 Ἰνὼ μανεῖσαν: Ἰνὼ κατὰ χόλον τῆς Ἥρας μανεῖσα ἔρριψεν ἑαυτὴν εἰς τὴν θάλασσαν ἅμα τῷ υἱῷ αὐτῆς Μελικέρτῃ. ἐμίσει γὰρ πάντας τοὺς Θηβαίους ἡ Ἥρα, ὅτι παρ' αὐτοῖς ἐτέχθη ὁ Διόνυσος. καὶ αὐτὸς δὲ ὁ Διόνυσος ἐξέμηνε τὰς τούτων γυναῖκας, μὴ προσιεμένων αὐτὸν ὕστερον τῶν Θηβαίων, ἴσως δὲ καὶ τοῦτο τῆς Ἥρας ἐργασαμένης. οἱ μὲν οὖν ἱστοροῦσι τῷ παιδὶ συγκατενεχθῆναι τὴν Ἰνὼ εἰς τὴν θάλασσαν· Εὐριπίδης δέ φησιν αὐτὴν αὐτόχειρα τῶν δύο παίδων γενομένην, Λεάρχου καὶ Μελικέρτου, αὐτὴν ὕστερον εἰς τὴν θάλασσαν ῥῖψαι. φασὶ

---

1 lemma ex A [συνοιδα] ὑποχειρίοισ A αὐτοχείροις Wil hic et infra σύμφωνα τούτοις ego τούτοισ σύμφωνα AB 2 ἄξια — κακά] τοῦ τολμήματοσ κακὰ παρὰ τῶν θεῶν ἐστι προσπίπτοντα θέλει δὲ εἰπεῖν ὅτι ἀξίωσ τούτουσ οἱ θεοὶ κολάζουσιν B 3 post μίασμα add. καὶ δυσέκνιπτον B 3. 4 ὁ φόνοσ ὁ κατὰ τῶν ὁμογενῶν B 4 τῷ τετολμήκοτι A τοῖσ τολμῶσιν αὐτὸν γράφεται δὲ καὶ συνῳδᾶ ὅ ἐστι B τὸ δὲ ἑξῆσ A 5 πίπτοντα A 7 lemma ex AB 8 κατ' ego πρὸσ B πρὸσ τὴν A 10 ἀρήξειν B 14 lemma ex A 16 scholio quod praecedit adi. A initio add. ἄροτον δὲ τὴν γονὴν καὶ om. B[1] post σπέρμα add. καὶ τὴν καταβολὴν τῶν παίδων φησίν B[1] 17 lemma ex AB 18 τὴν om. B 19 καὶ πάντασ A ἀθηναίουσ A διότι B 22 ἱστόρησαν A τὴν (alterum) om. B 23 αὐτὴν om. B γενομένων A 24 τὴν om. B 24 — p. 210, 9 cf. arg. Pind. Isthm. schol. Ap. Arg. 3, 1240 Apollod. 3, 4, 3, 6 Hygin. 2. 273 Paus. 1, 44, 8

δὲ ἐκβρασθέντας εἰς Κόρινθον αὐτοὺς ἀναληφθῆναι ⟨καὶ⟩ προστάξει τοῦ Σισύφου [ὡς καὶ] ἀγῶνα Ἴσθμιον ἐπὶ Μελικέρτῃ κατὰ χρησμὸν τεθῆναι τοῦτον ἑωρακότος: — AB

ἄλλως: κατὰ χόλον τῆς Ἥρας Ἀθάμας κατετόξευσε Λέαρχον, τὸν ἐξ Ἰνοῦς γενόμενον αὐτῷ παῖδα. καὶ αὐτὴ δὲ ἡ Ἰνὼ μανεῖσα ὑπὸ τῆς Ἥρας (ὤργιστο γὰρ αὐτῇ, ὅτι ἐτεθηλάκει τὸν Διόνυσον) τὸν ἕτερον ἑαυτῆς παῖδα ἐξαρπάσασα Μελικέρτην, ἥλατο σὺν αὐτῷ εἰς τὴν θάλασσαν. Εὐριπίδης δέ φησιν αὐτὴν αὐτόχειρα γενομένην Λεάρχου καὶ Μελικέρτου, ὕστερον εἰς τὴν θάλασσαν ἁλέσθαι: — AB

1290 τί δή ποτ' οὖν: τοῦ χεῖρα ἐπιβαλεῖν τοῖς τέκνοις τί χεῖρον ἂν γένοιτο: — $AB^1$

καὶ μέχρι παιδοκτονίας χωρησάσῃ: — $AB^1$

1292 ὅσα δὴ βροτοῖς: ὅσα τοῖς ἀνδράσι κακὰ εἰργάσω: — $AB^1$

1295 ἀντὶ τοῦ πέφευγεν: — $B^1$

1296 δεῖ γάρ νιν: δεῖ αὐτὴν ἢ καταταρταρωθῆναι ἢ ἀναπτῆναι. εἰ ἄρα πέποιθε μὴ δώσειν δίκην: — AB

1300 ἀντὶ τοῦ· φεύξεσθαι ἀτιμώρητος: — B

1301 οὐχ οὕτως ἔχει: — B

1305 μητρῷον ἐκπράσσοντες: δίκην ἀπαιτοῦντες αὐτοὺς ὑπὲρ οὗ εἰργάσατο φόνου ἡ τούτων μήτηρ: — AB

ἐκδικοῦντες: — $B^1$

1309 τὸ ἑξῆς· παῖδες σέθεν τεθνᾶσι μητρῴᾳ χειρί: — B

1314 ῥήξατε τοὺς μοχλούς, λύσατε τὴν ἁρμονίαν τῶν θυρῶν: — B

---

1 αὐτοὺς εἰς κόρινθον ἐκβρασθέντας ἰνὼ καὶ μελικέρτην B  καὶ addidi  2 ὡς καὶ deleui  κατὰ χρησμὸν τεθῆναι ego κατὰ χρησμὸν θεῖναι B θεῖναι χρησμόν A  3 τοῦτον ego τοῦτο AB  cf. schol. Ap. Arg. Ἴσθμια τὰ ... τελούμενα ... Μελικέρτῃ κατὰ κέλευσιν ... Σισύφου .. ὅτε προσβρασθὲν τὸ τοῦ Μελικέρτου σῶμα ἰδὼν τῇ Κορίνθῳ ἐπέγνω ἀδελφιδοῦν ὄντα καὶ Ἀθάμαντος τοῦ Αἰόλου υἱόν ..  4 lemma ex A  4—7 cf. Apollod. 3, 4, 3, 5  7 ἐξαρπάσασα Wil ἐπισφάξασα AB  ἥλλατο A ἥλλατο B  9 ἀλλεσθαι AB  10 τοῖς om. $B^1$  10. 11 χεῖρον γένοιτο A γένοιτ' ἂν δεινότερον $B^1$  12 schol. 13 adi. $AB^1$  καὶ om. $B^1$  χωρησάσῃ ego χωρήσασα $AB^1$  15 lemma ex AB  post δεῖ add. γὰρ B  ταρταρωθῆναι A  ἀναστῆναι A  16 εἰ μὴ ἄρα AB  in fine add. τῶν τολμηθέντων B  17 φεύξεται B  18 scholio quod praecedit adi. B  19 lemma ex A  init. add. τὸν τῆς μητρὸς φόνον εἰσπράσσοντες αὐτοὺς ἀντὶ τοῦ B  αὐτοὺς om. B  20 εἰργάσαντο A  ἡ — μήτηρ om. A  23 ῥήξατε ego ῥήψατε B

1316 τὴν δὲ τίσομαι φόνῳ: λείπει ὁ καί, καὶ τὸ ἴδω ἀπὸ κοινοῦ. καὶ τήνδε τίσομαι, φησίν. διπλοῦν δὲ κακόν ἢ τὸν θάνατόν φησι τῶν δύο τέκνων ἢ ⟨καὶ⟩ τὴν Μήδειαν: — AB

1317 ἄνω ἐπὶ ὕψους ἑστῶσα ταῦτα λέγει: — AB

1320 ἀντὶ τοῦ· οὐ δυνήσῃ κατασχεῖν ἡμᾶς οὐδὲ καταλαβεῖν. ἔχομεν γὰρ ὄχημα πρὸς ἀποφυγὴν τῶν πολεμίων. ἐπὶ ὕψους γὰρ παραφαίνεται ἡ Μήδεια, ὀχουμένη δρακοντίνοις ἅρμασι καὶ βαστάζουσα τοὺς παῖδας: — B

1333 ἀντὶ τοῦ Ἐρινύν: — B

ἐπήγαγον: — B[1]

1334 κτανοῦσα γὰρ δὴ σὸν κάσιν: παρὰ τὴν ἑστίαν γὰρ ἀνεῖλε τὸν Ἄψυρτον. ἢ ἐπὶ τῷ βωμῷ τῆς Ἀρτέμιδος, ὡς [καὶ] Ἀπολλώνιός [4, 452 sq.] φησιν, ἢ ἐπ' οἴκου ἐν τῇ πατρίδι, ὡς Καλλίμαχος [frg. 411]: — AB

1337 δεικτικῶς ἀντὶ τοῦ ἐμοί· ἑαυτὸν γὰρ δείκνυσι: — B

1339 οὐκ ἔστιν ἥτις τοῦτ': διασύρει τὸ βάρβαρον γένος. οὐκ ἄν, φησί, τοῦτό τις τῶν Ἑλληνίδων γυναικῶν ἔδρασεν: — AB

1342 τῆς Τυρσηνίδος: τῆς Σικελικῆς· Τυρσηνὸν γὰρ πέλαγος Σικελίας: — AB

ἐκ τούτων φανερός ἐστιν Εὐριπίδης τὴν τοῦ Ὀδυσσέως πλάνην περὶ τὴν Ἰταλίαν καὶ Σικελίαν ὑπειληφὼς γεγονέναι: — AB

1346 ὅτι δοκεῖ τὸν στίχον τοῦτον εἰπὼν Εὐριπίδης ἐκβεβλῆσθαι· διὸ κεχίασται: — B

1351 μακρὰ[ν] ἂν ἐξέτεινα: μακρὰ ἂν ἐξέτεινα ῥήματα ἐναντία τοῖς σοῖς λόγοις: — AB[1]

1357 ἀντὶ τοῦ ἄνευ αἰτίας. ἢ γράφεται καὶ ἀνατί, ἤτοι ἀτιμωρητὶ καὶ ἄνευ ἄτης: — B[1]

1361 συγκοινωνεῖς μοι τῆς ἀτυχίας: — B[1]

---

1 lemma ex A 2 inde a καὶ τήνδε τίσομαι nouum scholion incipit B διπλοῦν δὲ κακόν om. A 3 θάνατόν — τέκνων] διπλοῦν θάνατον τῶν τέκνων A καὶ add. Wil 4 ἐπὶ τοῦ πύργου B 11 lemma ex A παρὰ — γὰρ] παρὰ γὰρ τὴν ἑστίαν καὶ τὸν βωμὸν B 12. 13 ἢ — φησὶν om. A 13 ἐπ' οἴκου ego ἔποικον AB del. Wil ἐν om. A 13. 14 ὡς Καλλίμαχος om. A 16 lemma ex A [τοῦθ' ἥτισ] 17 ἑλλήνων A 18 lemma ex A σικελίασ A τυρσηνὶσ A 19 τῆσ σικελίασ A 20. 21 scholio quod praecedit adi. A add. δὲ post τούτων 25 τοῖσ σοῖσ A τούτοισ τοῖσ B 28 μοι τῆς ἀτυχίας Wil μοῦ τῆι ἀτυχίαι B[1]

1362 ἀντὶ τοῦ· λυσιτελεῖ δέ μοι τὸ ἄλγος, ἕως σὺ μὴ ἐγγελᾷς: — $B^i$

1364 τῇ κακίᾳ, ἤτοι τῇ λαγνείᾳ καὶ ἀκρασίᾳ, τοῦ πατρὸς ἀπολώλατε: — $B^i$

1366 νεωστὶ γεγονότες. ἢ οἱ νεωστὶ δαμασθέντες: — $B^i$

1369 ἥτις γε σώφρων: ναί, φησίν, ἐκείνῃ ἥτις σώφρων: — AB

1371 οἵδ' εἰσίν, ὤμοι: μεταξὺ ἀναπεφώνηκεν εἰς ὑπόμνησιν τῶν τέκνων ἐλθών: — $AB^i$

1374 βάξιν νῦν εἴρηκε τὴν ὁμιλίαν: — $B^i$

1375 χωρισμοί: — $B^i$

1377 συγχώρησον: — $B^i$

1379 Ἀκραίας θεοῦ: τῆς ἐν τῇ ἀκροπόλει τιμωμένης. ὡς φαρμακὶς δὲ καὶ λαθεῖν ἠδύνατο πράττουσα: — A

Ἀκραῖα πένθιμος ἑορτὴ παρὰ Κορινθίοις. Ἀκραία δὲ εἴρηται παρὰ τὸ ἐν ἀκροπόλει ἱδρῦσθαι: — AB

ἄλλως: ἔνθα καὶ ἡ αἲξ εὗρε τὴν μάχαιραν, ἀφ' ἧς ἡ παροιμία: — A

1381 ἐκεῖ γὰρ ἐβασίλευεν ὁ Σίσυφος: — A

τύμβους ἀνασπῶν: ἀσεβὲς γὰρ τὸ ἀνορύττειν τάφους: — A

τῇ Κορίνθῳ λέγει· Σίσυφος γὰρ προπάτωρ Κορινθίων: — $B^i$

1382 σεμνὴν ἑορτήν: ἐγώ, φησίν, περιποιήσω αὐτοῖς πάνδημον ἑορτὴν ἐν ᾗ πανηγυρίσουσιν οἱ Κορίνθιοι. θύουσι δὲ αὐτοῖς καὶ Ἀργεῖοι κατὰ χρησμόν: — AB

καὶ τέλη προσάψομεν: λιμωξάντων Κορινθίων ἔχρησεν ὁ θεὸς τιμῆσαι τοὺς τῆς Μηδείας παῖδας. ἐγὼ οὖν, φησί, περιποιήσω αὐτοῖς πάνδημον ἑορτήν: — A

1385 Αἰγεῖ συνοικήσουσα: λέγεται μετὰ τὸ ἐκβεβλῆσθαι τῆς Κορίνθου σὺν τῷ Αἰγεῖ εἰς Ἀθήνας οἰκῆσαι: — $AB^i$

---

6 lemma ex A ἐκείνῃ ego ἐκείνη AB in fine add. γυνὴ οὐδὲν ἠδικῆσθαι νομίζει τοῦ ἀνδρὸς ἐφ' ἕτερον λέχος τραπέντος: — B 7 ἀναπεφώνηκεν om. $B^i$ 7. 8 ἐλθὼν τῶν τέκνων $B^i$ 8 in fine add. ἰάσων ὠδύρατο καί φησιν ὤμοι: — $B^i$ 14. 15 scholio quod praecedit adi. A add. δὲ post Ἀκραῖα 15 ἐν ἀκροπόλει om. A ἱδρῦσθαι Arsenius εἰρῆσθαι AB 16 cf. Zen. 1,27 [$L^2$ 36] Hesych. Phot. Suid. 18 scholio 16. 17 adi. A 21 lemma ex A initio add. τέλη λέγει τὰ μυστήρια καὶ τὰς τελετὰς B ἐγὼ δὲ B 22 οἱ κορίνθιοι A πάντες οἱ δημόται θυσίας ἐπιτελοῦντες αὐτοῖς B 22. 23 θύουσι — χρησμόν om. A 24 cf. schol. Pind. Ol. 13,74

1386 κακὸς κακῶς: τὸ ἀκροστόλιον γὰρ τῆς Ἀργοῦς ἀνέθηκεν Ἰάσων τῇ Ἥρᾳ. ποτὲ δὲ εἰσιόντος αὐτοῦ εἰς τὸ ἱερόν, πεσὸν ἀνεῖλεν αὐτόν. λειψάνῳ οὖν φησὶ μέρει τινὶ τῆς Ἀργοῦς: — A

ἄλλως: ἱστορεῖται Ἰάσων τέλει τοιούτῳ χρήσασθαι. κοιμώμενον γὰρ αὐτὸν ὑπὸ τὴν Ἀργὼ κατασαπεῖσαν ὑπὸ πολλοῦ χρόνου, μέρος τι ταύτης ἐκπεσὸν κατὰ τῆς κεφαλῆς ἔκρουσεν: — AB

ἄλλως: οἱ μὲν λέγουσι κατὰ Μηδείας [χόλον ἢ] κέλευσιν ὑπὸ τῇ πρύμνῃ τῆς Ἀργοῦς καταδαρθέντα τὸν Ἰάσονα τελευτῆσαι. ἐμπεσόντος αὐτῷ ξύλου. Νεόφρων δὲ ξενικώτερον ἀγχόνῃ φησὶ τελευτῆσαι· τὴν γὰρ Μήδειαν παράγει πρὸς αὐτὸν εἰποῦσαν [frg. 3]·

'τέλος φθερεῖς γὰρ αὐτὸν αἰσχίστῳ μόρῳ,
δέρῃ βροχωτὸν ἀγχόνην ἐπισπάσας.
τοία σε μοῖρα σῶν κακῶν ἔργων μένει,
δίδαξις ἄλλοις μυρίας ἐφ' ἡμέρας
θεῶν ὕπερθε μήποτ' αἴρεσθαι βροτούς': — B

1392 ἀπατήσαντος τὴν ξένην: — B[i]
1393 μιαρά: — B[i]
1403 τοῦ σώματος: — B[i]
1404 μάτην εἶπας τοῦτο: — B
1405 γράφεται ἰὼ Ζεῦ, τάδ' ἀκούεις: — B
1408 καθὸ ἐνδέχεται: — B
1409 ἐπιφθέγγομαι: — B
1410 ἀναβοῶν τοὺς θεοὺς καὶ ἐπικαλούμενος: — B
1413 μὴ γεννήσας: — B
1415 ταῦτα ὡς ἀπὸ τοῦ χοροῦ ἐστι λεγόμενα: — B

πρὸς διάφορα ἀντίγραφα Διονυσίου ὁλοσχερὲς καί τινα τῶν Διδύμου: — B

---

1 ἀργοστόλιον A corr. Dindorf 4 lemma ex A ἱστόρηται ὁ ἰάσων A χρῆσθαι A 6 in fine add. ἀργοῦσ οὖν λειψάνωι εἶπεν ἀντὶ τοῦ μέρει τινὶ τῆσ ἀργοῦσ B 7—9 cf. arg. p. 138, 3—7 7 χόλον ἢ deleui 8 καταδραθέντα B 9 αὐτῆι B 11 φθερεῖς Elmsley φέρεισ post μόρῳ colloc. B αἰσχίστῳ Elmsley ἐχθίστω B 12 δέρῃ init. uers. coll. Nauck, in fine habet B ἀγχόνην GHermann ἀγχόνησ B 14 δίδαξις ἄλλοις Elmsley διδάξεισ τ' ἄλλουσ B μυρίας ἐφ' ἡμέρας Wil μυρίουσ ἐφημέρουσ B 15 αἴρεσθαι Barnes αἱρεῖσθαι B βροτούς] βροτοῖσ B

# ΥΠΟΘΕΣΙΣ ΑΛΚΗΣΤΙΔΟΣ

Ἀπόλλων ᾐτήσατο παρὰ τῶν Μοιρῶν ὅπως ὁ Ἄδμητος, τελευτᾶν μέλλων, παράσχῃ τὸν ὑπὲρ ἑαυτοῦ ἑκόντα τεθνηξόμενον, ἵνα ἴσον τῷ προτέρῳ χρόνον ζήσῃ. καὶ δὴ Ἄλκηστις ἡ γυνὴ τοῦ Ἀδμήτου ἐπέδωκεν ἑαυτήν, οὐδετέρου τῶν γονέων θελήσαντος ὑπὲρ τοῦ παιδὸς ἀποθανεῖν. μετ' οὐ πολὺ δὲ ταύτης τῆς συμφορᾶς γενομένης Ἡρακλῆς παραγενόμενος καὶ μαθὼν παρά τινος θεράποντος τὰ περὶ τὴν Ἄλκηστιν ἐπορεύθη ἐπὶ τὸν τάφον καὶ τὸν Θάνατον ἀποστῆναι ποιήσας, ἐσθῆτι καλύπτει τὴν γυναῖκα· τὸν δὲ Ἄδμητον ἠξίου λαβόντα αὐτὴν τηρεῖν· εἰληφέναι γὰρ αὐτὴν πάλης ἆθλον ἔλεγε. μὴ βουλομένου δὲ ἐκείνου, ἔδειξεν ἣν ἐπένθει: — AB

Ἄλκηστις, ἡ Πελίου θυγάτηρ, ὑπομείνασα ὑπὲρ τοῦ ἰδίου ἀνδρὸς τελευτῆσαι, Ἡρακλέους ἐπιδημήσαντος ἐν τῇ Θετταλίᾳ διασῴζεται, βιασαμένου τοὺς χθονίους θεοὺς καὶ ἀφελομένου τὴν γυναῖκα. παρ' οὐδετέρῳ κεῖται ἡ μυθοποιία.

τὸ δρᾶμα ἐποιήθη ιζ. ἐδιδάχθη ἐπὶ Γλαυκίνου ἄρχοντος ὀλ⟨υμπιάδος $\overline{\text{πε}}$ ἔτει $\overline{\beta}$⟩. πρῶτος ἦν Σοφοκλῆς, δεύτερος Εὐριπίδης Κρήσσαις

---

2—15 extat schol. Plat. conu. p. 179 b 2—11 superscriptum est δικαιάρχου in Laur. 32,2 ubi argumentum additum est m. recentiore 3 τεθνηξόμενον A schol. Plat. ἀποθανεῖν B 4 χρόνῳ B 6. 7 Ἡρακλῆς παραγενόμενος om. A 7 post Ἄλκηστιν add. ἐντυχὼν ὁ ἡρακλῆσ A 8 τὸν (alterum) om. A ἀποστῆσαι B 11 ἐπέλθῃι B 13 post Ἡρακλέους add. δὲ B 14. 15 παρ'— μυθοποιία om. B 16 — p. 215,2 om. B 16. 17 ὀλυμπιάδος — $\overline{\beta}$ Dindorf τὸ $\overline{\lambda}$ A 17 πρῶτος — δεύτερος Dindorf πρῶτον — δεύτερον A

Ἀλκμέωνι τῷ διὰ Ψωφῖδος Τηλέφῳ Ἀλκήστιδι. εἰσιδ * ἐχορήγει. τὸ δὲ δρᾶμα κωμικωτέραν ἔχει τὴν καταστροφήν.

ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φεραῖς, μιᾷ πόλει τῆς Θετταλίας· ὁ δὲ χορὸς συνέστηκεν ἔκ τινων πρεσβυτῶν ἐντοπίων, οἳ [καὶ] παραγίνονται συμπαθήσοντες ταῖς Ἀλκήστιδος συμφοραῖς. προλογίζει δὲ Ἀπόλλων: — AB

τὸ δὲ δρᾶμά ἐστι σατυρικώτερον ὅτι εἰς χαρὰν καὶ ἡδονὴν καταστρέφει [παρὰ τοῖς τραγικοῖς] ⟨καὶ⟩ ἐκβάλλεται ὡς ἀνοίκεια τῆς τραγικῆς ποιήσεως ὅ τε Ὀρέστης καὶ ἡ Ἄλκηστις, ὡς ἐκ συμφορᾶς μὲν ἀρχόμενα, εἰς εὐδαιμονίαν ⟨δὲ⟩ καὶ χαρὰν λήξαντα, ⟨ἅ⟩ ἐστι μᾶλλον κωμῳδίας ἐχόμενα. ⟨πολλὰ δὲ τοιαῦτα παρὰ τοῖς τραγικοῖς⟩: — A

---

1 ἀλκμαίονι A  διὰ Ψωφῖδος Dindorf διαψωφίλω A  εἰσιδ * ἐχορήγει huc collocaui, post Ἀπόλλων [l. 6] habet εἰσιδ᾽ ἐχορηγοὶ A  2 καταστροφὴν ex κατασκευὴν corr. A  3 μὲν om. A  4 συνέστηκε δὲ ὁ χορὸς A  5 καὶ deleui  τῆς — συμφορᾶς A  6 δὲ ἀπόλλων B ὁ ἥλιος A  8 παρὰ τοῖς τραγικοῖς hic deleui  καὶ addidi  ἀνοικείας A  10 δὲ om. A  ἃ om. A add. GHermann  11 πολλὰ — τραγικοῖς addidi cl. schol. Or. 1691

# ΣΧΟΛΙΑ ΕΙΣ ΑΛΚΗΣΤΙΝ

1 ἐξιὼν ἐκ τοῦ οἴκου τοῦ Ἀδμήτου προλογίζει ὁ Ἀπόλλων ῥητορικῶς: — A

ὦ δώματ' Ἀδμήτει': ἡ διὰ στόματος καὶ δημώδης ἱστορία περὶ τῆς Ἀπόλλωνος θητείας παρ' Ἀδμήτῳ αὕτη ἐστίν, ᾗ κέχρηται νῦν Εὐριπίδης· οὕτως δέ φησι καὶ Ἡσίοδος [frg. 112] καὶ Ἀσκληπιάδης ἐν Τραγῳδουμένοις [frg. 16]. Φερεκύδης [frg. 76] δὲ οὔ φησι τοὺς Κύκλωπας ὑπὸ Ἀπόλλωνος ἀνῃρῆσθαι, ἀλλὰ τοὺς υἱοὺς αὐτῶν, γράφων οὕτως· 'παρ' αὐτόν', τὸν Ἄδμητον, 'ἔρχεται Ἀπόλλων θητεύσων ἐνιαυτόν, Διὸς κελεύσαντος, ὅτι κτείνει τοὺς Βρόντεω καὶ Στερόπεω καὶ Ἄργεω παῖδας. κτείνει δὲ αὐτοὺς Ἀπόλλων Διὶ μεμφθείς, ὅτι κτείνει Ζεὺς Ἀσκληπιὸν τὸν παῖδα αὐτοῦ κεραυνῷ ἐν Πυθῶνι. ἀνίστη γὰρ ἰώμενος τοὺς τεθνεῶτας'. Ἀναξανδρίδης δὲ ὁ Δελφός [frg. 5 FHG III p. 107] φησι θητεῦσαι αὐτόν, διότι τὸν ἐν Πυθοῖ δράκοντα ἀνεῖλεν. Ῥιανὸς [p. 180 Mein.] δέ φησιν ὅτι ἑκὼν ἐδούλευσεν αὐτῷ ἐρῶν τοῦ Ἀδμήτου. καὶ περὶ μὲν τῆς Ἀπόλλωνος θητείας ταῦτα. Ἀπολλόδωρος δέ φησι κεραυνωθῆναι τὸν Ἀσκληπιὸν ἐπὶ τῷ τὸν Ἱππόλυτον ἀναστῆσαι, Ἀμελησαγόρας [frg. 2] δὲ ὅτι Γλαῦκον, Πανύασσις [frg. 19] ⟨δὲ⟩ ὅτι Τυνδάρεων, οἱ δὲ Ὀρφικοὶ ὅτι Ὑμέναιον, Στησίχορος [frg. 16] δὲ ἐπὶ

---

4 lemma ex A 4—p. 217, 5 Philod. de piet. p. 52 Sext. Emp. adu. math. 1, 260 sq. Apollod. 3, 10, 3, 10 schol. Pind. Pyth. 3, 96 5 νῦν B ὁ A 7 οὔ B οὕτωσ A 8 αὐτοῦ B 9 ἀπόλλων B ἥλιοσ A 9. 10 εἰσ ἐνιαυτὸν A 10 τοὺς Cobet τοῦ AB Στερόπεω Barnes ἀστερόπεω B ἀστεροπαίου A 12 κεραυνῷ om. A 13 δελφόσ B ἀδελφὸσ A 14 αὐτὸν θητεῦσαι A 15 δι' ἔρωτα B 17 κερωνωθῆναι A τῶι B τὸ A 17. 18 ἀμελιαγόρασ B 18 πανυάσσησ A πανύασισ B δὲ addidi 19 δὲ (alterum) om. B

Καπανεῖ καὶ Λυκούργῳ, Φερεκύδης δὲ ἐν τῇ ῆ τῶν Ἱστοριῶν [frg. 8] ⟨διὰ τὸ⟩ τοὺς ἐν Δελφοῖς [φησι] θνήσκοντας αὐτὸν ἀναβιώσκειν, Φύλαρχος [frg. 17] δὲ διὰ τοὺς Φινείδας, Τελέσαρχος [frg. 1] δὲ δι' Ὠρίωνα, Πολύαρχος δὲ ὁ Κυρηναῖος [FHG IV p. 479] διὰ τὸ τὰς Προίτου θυγατέρας αὐτὸν ἰάσασθαι [κεραυνωθῆναί φησιν]: — AB

2 θῆσσαν: θητικὴν δίαιταν: — B

αἰνέσαι: εὐαρεστῆσαι καταδέξασθαι: — B

5 οὗ δὴ χολωθείς: ἀνθ' οὗ, τοῦ Ἀσκληπιοῦ: — B

τέκτονας: τὸν Στερόπην τε καὶ Ἄργην: — B

7 εἰς ἐκδικίαν τῶν Κυκλώπων: — B

8 ἐβουφόρβουν ξένῳ: ἔνεμον· ἀπὸ τοῦ διαφέροντος ζῴου, τοῦ βοός. Ὅμηρος [Λ 244] 'πρῶθ' ἑκατὸν βοῦς δῶκε'. παρὸ καὶ ἀλφεσιβοίας τὰς γυναῖκας ἔλεγον [Σ 593] ἐκ τοῦ καλλιστεύοντος ζῴου καὶ Βουκολικὰ ἐπιγέγραπται τὰ Θεοκρίτου καὶ τὴν Ἀρκαδίαν βούνομον προσαγορεύουσι, καίτοι οὐ μόνον αὐτὴν βόες κατενέμοντο. οὕτω δὲ διεῖχε τὸ ζῷον ὥστε καὶ τὸ ἱπποφορβεῖν βουκολεῖν ἔλεγον· 'τοῦ τρισχίλιαι ἵπποι ἕλος κάτα βουκολέοντο' [Υ 221]: — AB

9 ἐς τόδ' ἡμέρας: μέχρι τέλους ταύτης τῆς ἡμέρας. μέχρι τοῦ δεῦρο: — B

10 προσυπακουστέον τὸ λάτρις ἢ τὸ θής: — B

12 Μοίρας δολώσας: Αἰσχύλος Εὐμενίσι [713. 714. 719. 720]·

τοιαῦτ' ἔδρασας καὶ Φέρητος ἐν δόμοις,
⟨Μοίρας⟩ ἔπεισας ἀφθίτους θεῖναι βροτούς.
σύ τοι παλαιὰς διανομὰς καταφθίσας
οἴνῳ παρηπάτησας ἀρχαίας θεάς: — A

οἴνῳ γὰρ ταύτας, φασί, τῶν λογισμῶν ἀπαγαγὼν ἐξῃτήσατο Ἄδμητον, οὕτω μέντοι ὥστε ἀντιδοῦναι ἑαυτοῦ ἕτερον τῷ Ἅιδῃ: — Laur. 31,15. 32,2

16 μήτηρ Ἀδμήτου Κλυμένη: — A[g]B[1]

---

1 καμπανεῖ B   δὲ om. B   τῶν ἱστοριῶν A ἱστορία B   2 διὰ τὸ addidi   δελφοῦσ B   φησι deleui   2. 3 Φύλαρχος — Φινείδας om. A   3 Φινείδας Hemsterhuis φηνίδασ B   4 Πολύανθος Sext. Emp.   χαρηναῖοσ B   τὸ om. A   Προίτου Hemsterhuis κροίσου AB   5 κεραυνωθῆναί φησιν deleui   9 τὴν B   ἄργον B   10 scholio quod praecedit adi. B   11 lemma ex A   post ἔνεμον add. δὲ A   12—17 Ὅμηρος — βουκολέοντο om. B   12 ἔδωκε A   15. 16 οὕτω — ζῷον ego οὕτω δὲ διέφερε τὸ ζῷον Cobet οὐδὲ διείχετο ζώων A   23 Μοίρας om. A spatio uacuo rel. εἶναι A   24 σύ τοι] οὕτω A   καταφθίνασ A

20 ἐγγὺς τοῦ ἀποθανεῖν οὖσα: — $A^gB^i$

22 ἐγὼ δὲ μὴ μίασμα: τὸ ἑξῆς· ἐγὼ δὲ λείπω μὴ μίασμά με καταλάβῃ. δοκοῦσι μιαίνεσθαι οἱ θεοὶ ὅταν παρῶσι νεκρῷ: — A

24 σωματοποιεῖ αὐτόν: — $A^gB^i$

26 συμμέτρως: εὐκαίρως μετρήσας τὴν ἡμέραν ἐν ᾗ πέπρωται αὐτὴν ἀποθανεῖν. οἷον· κατὰ τὸν οἰκεῖον ὅρον, κατὰ τὸ δέον: — AB

28 ὁ Θάνατος ὁρᾷ τὸν Ἀπόλλωνα πρὸ θυρῶν καὶ δέδοικε μὴ αὐτὴν ῥύσηται τοῦ θανάτου, ὥσπερ τὸν Ἄδμητον: — AB

29 ἡ πρός ἀντὶ τῆς παρά: — $B^i$

31 ἀποσπῶν ἀφορίζων: — $B^i$

32 οὐκ ἤρκεσέ σοι: οὐκ ἤρκεσέν σοι τὰς Μοίρας τῇ δολίῳ τέχνῃ ἀπατήσαντα τὸν μόρον Ἀδμήτου διακωλῦσαι: — AB

34 τέχνῃ: μεθύσας γὰρ αὐτὰς ᾔτησε παρ' αὐτῶν ἀντὶ Ἀδμήτου ἄλλον ἀποθανεῖν: — A

ἐπὶ τῇ Ἀλκήστιδι: — $A^gB^i$

36 ἥτις, Πελίου παῖς: — $A^gB^i$

38 νῦν οὐκ ἀδικῶ σε· θάρρησον, φησί: — $A^gB^i$

39 εἰ μετὰ τοῦ δικαίου, φησί, φθέγγῃ, τίς ἡ αἰτία τῶν τόξων: — $A^gB$

44 τὸν Ἄδμητον: — $B^g$

45 εἰ οὐκ ἀφείλου αὐτόν, πῶς οὐ τέθνηκεν: — $A^gB^i$

49 εἰς τοῦτό με δύνῃ πεῖσαι, τὸ φονεύειν ὃν πέπρωται: — $A^gB^i$

50 τοῖς μέλλουσι θάνατον: τοῖς γεγηρακόσι. τούτους γὰρ λέγει ⟨τῷ⟩ μέλλουσι. βραδύνουσιν γὰρ ἐν τῇ ζωῇ: — AB

ἄλλως: οὐ χρὴ κτείνειν ὃν πέπρωται, ἀλλὰ μᾶλλον πρὸς ἔλεον ῥέπειν καὶ μόνοις ⟨τοῖς⟩ γέρουσι θάνατον ἐπάγειν: — AB

ἄλλως: οὐχὶ ⟨εἰς⟩ τοῦτό σε θέλω πεῖσαι, τὸ κτείνειν, ὃν ἂν χρῇ (τοῦτο γὰρ ὡμολόγηται), ἀλλ' εἰς τὸ τοὺς γεγηρακότας ἀναιρεῖν: — AB

---

4 ἑαυτόν $B^i$ 5 lemma ex A ante τὴν add. ταύτησ B ἐπέπρωτο B 6 οἷον—δέον] τουτέστι πρὸσ αὐτὸν τὸν ὅρον καὶ τὸ μέτρον ἦλθεν B 7 ἥλιον A πρὸ θυρῶν om. A 10 in fine add. ἀπαντήσαντι τῇ τέχνῃ $B^i$ 11 lemma ex A 12 κωλῦσαι B 17 ἀδικῶ—φησί $A^g$ ἀδίκωσ $B^i$ 22 μὴ δύνῃ πεῖσαι $B^i$ με πείσεισ $A^g$ εἰσ τὸ $A^g$ ὃν ἂν $B^i$ 23 lemma ex A τούτους ego τούτοισ AB 24 τῷ addidi τῇ ζωῇ ego τοῖσ ζῶσιν AB ᾧ ζῶσιν Wil in fine add. μέλλοντες B 25 lemma ex A initio add. εἰ B 26 τοῖς add. Wil 27 lemma ex A εἰς addidi πεῖσαι A ποιῆσαι B

ἄλλως: οὐχὶ ἐγώ σε λέγω φονεύειν δεῖν ὃν πέπρωται, ἀλλὰ τοῖς γεγηρακόσι θάνατον ἐμβάλλειν: — AB

53 οὐκ ἔστι· τιμαῖς: ὅταν γὰρ τιμὰς λάβωσιν οἱ νεκροί, ὁ Θάνατος ἥδεται. Ὅμηρος [Π 457. 675]· 'τύμβῳ τε στήλῃ τε· τὸ γὰρ γέρας ἐστὶ θανόντων': — AB

54 οὔ τοι πλέον γ': ἐάν τε νῦν αὐτὴν λάβῃς, ἐάν τε γεγηρακυῖαν, ἔχοις ⟨ἄν⟩ τι πλέον ἢ μίαν ψυχὴν λαβεῖν: — AB

55 νέων φθινόντων: ὁ Θάνατός φησιν ἐπὶ νέων τελευτώντων * *, καθὸ ἐν τούτοις αὐτοῦ δείκνυται ἡ ἰσχὺς καὶ ἡ δύναμις, οὐ τῆς φύσεως διὰ γῆρας τούτους καταβαλούσης, ἀλλὰ αὐτοῦ καταπαλαίσαντος τὴν νεότητα. ἢ καθὸ δείκνυται καθαρὸς καὶ ἀδωροδόκητος ταῖς Μοίραις ὑπηρέτης, ὑπερορῶν δωρεὰς καὶ θυσίας προσφερομένας ὑπὲρ αὐτῶν· 'μόνος θεῶν γὰρ Θάνατος οὐ δώρων ἐρᾷ [Aeschyl. frg. 161]'. ἢ καθὸ μέγας ὁ θρῆνος καὶ πολλὰ τὰ δάκρυα καὶ ἀξιοπενθὲς τὸ πάθος καὶ μήκιστος ὁ χρόνος, μὴ μαλάσσων τὴν συμφοράν. ὁ δὲ Ἀπόλλων, καίτοι νοήσας τὸ λεχθὲν, παραλογίζεται τὸν Θάνατον φάσκων ὅτι κἂν γραῦς ὄληται ἡ Ἄλκηστις, ἀξίως ταφήσεται, τὸ μεῖζον γέρας λέγων ἐπὶ πολυτελοῦς ταφῆς· ὅθεν ὁ Θάνατός φησι· νόμον σὺ προβάλλῃ τὸ πλουσίως θάπτεσθαι τοὺς ἔχοντας καὶ τοῦτο νομίζεις γέρας ἐμόν, ἐγὼ δὲ γέρας φημὶ τὸ ἐπὶ νέοις νεανιεύεσθαι: — AB

56 ἡ Ἄλκηστις δηλονότι: — A[g]B[1]

κἂν γραῦς ὄληται: εἰ τιμή σοι γίνεται ἀποθανεῖν τινας δι' ὧν εἰς αὐτοὺς [τινὲς] τιμὰς ποιοῦσι, ⟨τοῦτο⟩ καὶ γραυσὶ γίνεται· μᾶλλον ⟨οὖν⟩ γραῦς φόνευσον. οἷον· ἐὰν γηράσῃ ἡ Ἄλκηστις, τότε φόνευσον αὐτήν· καὶ γὰρ τότε σοι τιμὴ ἔσται: — A

57 πρὸς τῶν ἐχόντων, Φοῖβε: ὁ μὲν Ἀπόλλων λέγει ἐπὶ τῆς

---

1 σε λέγω B λέγω σοι A  δεῖν ὃν] δεινὸν AB  2 ἐμβαλεῖν A  3 lemma ex A  4 καὶ ὅμηρος B  τύμβος A  6 lemma ex A  λάβοις B  7 ἔχοις τι Laur. 31, 15 ἔχῃς τί B οὐδὲν A  λαβεῖν B λάβῃς A  8 lemma ex A  9 lacunam indicaui, suppleas μείζονα τιμὴν λαβεῖν  αὐ ($\tau$ superscr.) accentu circumflexo addito A αὐτοῖς B  ἡ δύναμις A δυνατὸς ἐνδείκνυται B  10 καταβαλλούσης A  αὐτοῦ Matthiae τοῦ AB  11 καθαρῶς B  ἀδωροδοκήτως B  11. 12 ταῖς μοίραις ὑπηρετεῖται B  12 προερομένας A  13 θεῶν γὰρ θεῶν A γὰρ θεῶν B  15 ὁ (prius) om. A  16 προλογίζεται A  18 σὺ προβάλῃ A σοὶ παραβάλλῃι B  τὸ A τοῦ B  20 νέοις A νέαι B  νεανιεύεσθαι corruptum πρεσβεύεσθαι Wil  23 τινὲς deleui  τοῦτο addidi  24 οὖν addidi  26 lemma ex A  ἥλιος A

Ἀλκήστιδος ὅτι ἐὰν γενομένη γραῦς ἀποθάνῃ, πλουσίως θάπτεται· ὁ δὲ καθόλου ἔλαβε καὶ φησί· τὸν νόμον τίθης, ὦ Ἄπολλον, ὑπὲρ τῶν πλουσίων λέγων· ἀγοράσουσι γὰρ οἱ πλούσιοι γέροντας εἰς θάνατον· διὸ Ἀπόλλων αὐτόν φησιν πανούργως εἰρηκέναι: — AB

ἀντὶ τῆς ὑπέρ ἡ πρός: — B$^1$

58 γράφεται πέφυκας: — A$^g$

γράφεται λέληθας ὤν: — B$^g$

59 ὄνοιντ' ἄν: μέμφοιντο ἂν τὴν ἐμὴν δύναμιν οἱ ἐν γήρᾳ τελευτῶντες διὰ τὸ αὐτοὺς ἀγοράζειν τὴν ζωήν, τουτέστιν· οὐ γενήσομαι τίμιος. οἱ γὰρ νέοι τελευτῶντες μᾶλλον ἐμοὶ τιμὴν προσνέμουσιν: — A

ἄλλως: παρὰ τῶν πολυχρονίων ἀγοράσειαν ἂν οἱ πλούσιοι τὸν ἐκείνων χρόνον ὥστε αὐτοὺς βραδέως ἀποθανεῖν. ἀγοράσειαν ἂν γηραιοὺς οἷς πάρεστι τὸ θανεῖν, ἐὰν τοῦτο συγχωρήσω: — A

65 τὸ ἑξῆς· τοῖος ἀνὴρ τοῦ Εὐρυσθέως μεταπέμψαντος τὸ ὄχημα [ἐκ] Θρῄκης ἐκ τόπων: — B

70 κοὔθ' ἡ παρ' ἡμῶν: καὶ οὔτε ἡμεῖς ἕξομέν σοι χάριν ἀλλὰ καὶ ἃ βουλόμεθα πράξομεν: — AB$^1$

74 ὡς κατάρξομαι ξίφει: κατάρξομαι ἀντὶ τοῦ ἀπάρξομαι: — A

ἀπαρχὴν τῶν τριχῶν λάβω, ὡς ἔθους ὄντος τὸν Θάνατον τοῦ μέλλοντος ἀποθνῄσκειν τὴν κόμην τέμνειν ξίφει· ὃν οὐκέτι δυνατὸν ἦν ζῆν: — AB

75 ἱερὸς γὰρ οὗτος: οὗτος γὰρ ὁ ἄνθρωπος ἀφιερωμένος ἐστὶ τοῖς καταχθονίοις δαίμοσιν, οὗ ἂν τὸ ξίφος μου τὴν τρίχα τέμῃ: — AB

76 ὅτου τόδ' ἔγχος: ἐκεῖνος, φησίν, οὐκέτι ἐκφεύγει τὸν θάνατον οὗ τὸ ἔγχος κόψῃ τὴν τρίχα. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν θυομένων προβάτων, ἐπειδὴ πρῶτον τοὺς μαλλοὺς κόπτουσιν: — A

77 ἐκ γερόντων Φεραίων ὁ χορός. διαιρεῖται δὲ εἰς δύο ἡμιχόρια: — A$^g$B$^1$

83 ἐμοὶ πᾶσί τ' ἀρίστη: καὶ ἐμοὶ καὶ πᾶσι δόξασα γυνὴ ἀρίστη εἰς τὸν αὐτῆς ἄνδρα γεγενῆσθαι: — A

88 γόον ὡς πεπραγμένων: ὡς τοιούτων συντετελεσμένων ἢ γεγονότων κατὰ τὴν Ἄλκηστιν: — AB$^1$

3 λέγων B λέγει A  ἀγοράσωσι A  4 φησὶν αὐτὸν B  8 μέμφοιντο Cobet μέμψοιντο A  11 παρὰ Cobet ὑπὸ A  15 ἐκ delevi  16 ἕξομεν Wil ἔχομεν AB  17 ἃ A ὃ B$^1$  19. 20 scholio quod praecedit adi. A  20 ὃν A οἷον B  21 lemma ex A  ἀφιερωμένος A τῶν κατὰ χθονὸς θεῶν ἀνιερωμένος B  22 ἂν ego δὴ AB  τέμνει B  28 γυνὴ Wil αὐτὴ A  30 γόων in lemmate A  συντελεσμένων A  ἢ B$^1$ ὡς A

91 μετακύμιος ἄτας: βοηθὸς παυστικός. ἡ γὰρ μεταφορὰ ἀπὸ τῆς γαλήνης τῆς γινομένης μετὰ τὰ κύματα τῆς θαλάσσης: — A

ἄλλως: γαληνός, εὐδιεινός, μετὰ τὸ κῦμα κατάστασιν παρέχων: — AB

ἄλλως: εἴθε, φησίν, ὦ Παιάν, μεταξὺ τοῦ κύματος τῆς ἄτης ταύτης φανείης: — AB

ἄλλως: ὥσπερ λέγομεν μεταίχμιον τὸ μεταξὺ δύο στρατευμάτων, οὕτως μετακύμιον τὸ μεταξὺ δύο κυμάτων: — AB

93 ἀλλ' εἰ ἦν, φησίν, ἀποθανοῦσα, οὐκ ἂν ἐσιώπων ἐν τοῖς οἴκοις: — A$^{g}$B

94 οὐ δὴ πρὸ τῶν οἴκων ἔλαθεν ἡμᾶς προκομισθεῖσα: — AB

95 πόθεν οἶδας ὅτι οὐκ ἐξηνέχθη; οὐ γὰρ ἐγὼ αὐχῶ, ἤτοι θαρρῶ: — A$^{g}$B

96 πῶς ἂν ἔρημον τάφον: οὐκ ἄν, φησίν, ἔρημον τὸν τάφον καὶ ἥσυχον Ἄδμητος ἐποίησεν ὥστε μηδένα γνῶναι: — AB

ἄλλως: πῶς χωρὶς ὄχλου τὴν ἐκφορὰν ⟨ἂν⟩ ἐποιήσατο Ἄδμητος, ἀγαθῆς γυναικὸς ἐκφορὰν ποιούμενος: — AB

98 πυλῶν πάροιθε δ': ὁπότε τις ἀποθάνοι, πρὸ τῶν πυλῶν

---

2 μετὰ Wil ἐπὶ A 3 lemma ex A γαληνὸσ om. B εὐδινόσ AB μετάστασιν A 5 ἄλλως ego ἀλλ' AB φανείησ ante μεταξὺ coll. B ante τῆς add. καὶ A 7 lemma ex A 7. 8 cf. Hesych. s. u. μετακύμιον 7 ante δύο στρ. add. τῆσ μάχησ διάστημα B 8 τῶν δύο κυμάτων B 11 οὐ δὴ ego οὐδὲ A οὐ γὰρ B πρὸσ τὸν οἶκον B 12. 13 scholio 11 adi. B 12 ἤτοι A$^{g}$ καὶ B 14 lemma ex A 15 καὶ — ἐποίησεν ego ἄδμητοσ καὶ ἥσυχον ἐποίησεν A αὐτῆσ ὁ ἄδμητοσ ἐποίησεν μεθ' ἡσυχίασ B 16 lemma ex A ἂν addidi ὁ ἄδμητοσ B 17 ποιούμενοσ ἐκφοράν B 18 — p. 222,6 Hesych. ἀρδάνια αἱ τῶν κεραμίων γάστραι ἐν αἷς τὰ βοσκήματα ἐπότιζον, ἃ Δωριεῖς κύμβαλα καλοῦσι. ταῦτα δὲ πρὸ τῆς αὐλείου θύρας ἐτίθεσαν ὕδατοσ πλήρη, ἵνα, ὁπότε τις τελευτήσειεν, οἱ ⟨ἐξιόντες⟩ πρὸς ἀφαγνισμὸν περιρραίνωνται. πηγαῖον τὸ ὄστρακον ὃ καὶ ἀρδάνιον ὁμοίως λέγεται. cf. πηγαῖον ὕδωρ lex. Bachm. p. 140,10 [= Suid.] ἀρδάνιον κεράμιον γάστρα ὅθεν τὰ θρέμματα πίνουσι. καὶ εἴρηται παρὰ τὸ ἄρδειν. ἐτίθετο δὲ καὶ πρὸ τῆς θύρας τῶν τετελευτηκότων τοῖς [εἰσιοῦσι καὶ] ἐξιοῦσιν, ἵνα περιρραίνωνται. ἐχρῶντο δὲ καὶ αἱ γυναῖκες τῷ ἀρδανίῳ αἱ τὴν κρόκην τρίβουσαι ἐπ' αὐτοῦ Eust. p. 707,32 ἦρδε . . ὃ ἐστιν ἐπότιζεν, ἀφ' οὗ ἀρδάνιον παρὰ Αἰλίῳ Διονυσίῳ τὸ ἀπὸ τοῦ πυθμένος τοῦ κεραμείου ἕως τῆς γαστρὸς ἐν ᾧ ἄρδουσι θρέμματα. Παυσανίας δέ φησιν ὅτι ἀρδάνια κεράμων γάστραι ἀπὸ τοῦ ἄρδειν τὰ βοσκήματα. προετίθεντο δέ, φησί, τῶν θυρῶν Poll. 8,65 schol. Ar. Eccl. 1033

γάστρας πληροῦντες ὕδατος ἐτίθεσαν καὶ κλάδους δάφνης, ἵνα οἱ ἐξιόντες περιρραίνοιντο. ἐκάλουν δὲ τὰ τοιαῦτα ὄστρακα Δωριεῖς μὲν κύμβαλα, Ἀθηναῖοι δὲ ἀρδάνια. ⟨ἐν⟩ ἑνὶ ⟨δὲ⟩ σημείῳ τε χρῶνται τοῦ συμβεβηκότος καὶ τοῖς ἐξιοῦσιν ἀφαγνισμὸν εὔλογον πορίζουσιν, ἵνα οἱ παραγενόμενοι τῶν ἐπιτηδείων ἢ διακονήσεως ἢ παραμυθήσεως ἕνεκα περιρραινόμενοι καθαρθῶσι καὶ πρὸς τοὺς ἑαυτῶν ἐπανίωσι μηδενὸς ἐμποδίζοντος: — A

99 πηγαῖον: παροξυτόνως τὴν πηγαῖον χερνίβα, τὴν ὕδατος πηγαίου πεπληρωμένην λεκάνην: — AB

101 οὔτις ἐπὶ προθύροις: οὐδεὶς δὲ ἐν τοῖς προθύροις ἄνθρωπος τετμημένος ἐστὶ τὴν τρίχα. ἢ θρὶξ πρὸ τῶν θυρῶν οὐκ ἔστι τετμημένη: — AB

103 πένθει πιτνεῖ: συμβαίνει εἴθισται, τὸ ἀποκείρεσθαι. ἐπὶ γὰρ πένθει τὸ παλαιὸν ἀπέκειρον τὰς τρίχας: — A

νεολαία: ἡ νέα. κυρίως δὲ ὁ ἐκ τῶν νέων ὄχλος· νῦν δὲ τὴν ἀκμάζουσαν καὶ εὔτονον χεῖρα σημαίνει. λέγει δὲ ὅτι οὐδὲ κτύπος ἐστὶ χειρῶν γυναικῶν· νέων δὲ, διὰ τὸ μᾶλλον αὐτῶν ἐξακούεσθαι καὶ ἰσχύειν τὸν κτύπον: — AB

108 καθήψω τῶν φρενῶν: — B[1]

109 διακναιομένων: τῶν ἀγαθῶν φθειρομένων δεῖ πενθεῖν. κνῆστις γὰρ ἡ μάχαιρα: — AB[1]

112 ἀλλ' οὐδὲ ναυκληρίαν: οὐδ' ⟨ἂν⟩ εἰ πλεύσαιμεν ἵνα μαντείαν λάβοιμεν, δυναίμεθ' αὐτῇ βοηθεῖν: — AB

ἄλλως: οὐδὲ ἔστιν ὅποι τις γῆς πέμψας πλοῦν παραλύσειε τῆς δυστήνου Ἀλκήστιδος τὴν ψυχήν. πλησιάζει γὰρ ὁ θάνατος καὶ καιρὸν οὐκ ἔχομεν διακονεῖν τῇ προθυμίᾳ: — AB

---

1 γάστρας ego τὰσ στράτασ A ὄστρακα Cobet  3 ἐν et δὲ add. Wil τε Wil δὲ A  4 ἐξιοῦσιν ego εἰσιοῦσιν A  ἀφαγνισμὸν Cobet ἀφανισμὸν A  εὔλογον corruptum  6 καθαρθῶσι Wil et ego καθαίρουσι A καθαροὶ ὦσι Cobet  7 lemma ex A  7. 8 cf. Athen. 9 p. 409 a schol. Arist. Pac. 956  8 λεκάνην om. B  9 lemma ex A  10 ἐστὶ om. B  14 lemma ex A  ἡ om. B  15 οὐδὲ] οὔτε B οὕτωσ A  16 γυναικῶν χειρῶν A  19 δεῖ A χρὴ B  21 lemma ex A  ἂν add. Wil  22 δυναίμεθ' Wil ἢ δυνάμεθα A ἐδυνάμεθα B  23 lemma ex A  ὅποι τις γῆς Wil iuuenes Americani ego τῆσ γῆσ ὅποι A ὅπωσ τῆσ γῆσ B  24. 25 πλησιάζει — προθυμίᾳ om. B hoc loco, sed habet pro scholio separato  25 διακονεῖν ego διακονοῦντα AB

ἄλλως: ἀλλ' οὐδὲ πλοῦν [ὃν] ἄν τις στείλας ἢ ἐπὶ τῆς Αἴας, πόλεως Κολχίδος, ἢ ἐπὶ τῆς Λυκίας ἢ ἐπὶ τῆς Ἀμμωνιάδος, τῆς Λιβύης, ἔνθα ἱερὸν τοῦ Διός, δυνήσεται τὸν θάνατον ἀπαλλάξαι τῆς ψυχῆς αὐτῆς: — A

115 ἄνυδρος γὰρ ἡ Ἀμμωνιακή: — A$^{g}$B$^{i}$

117 παραλύσαι ψυχήν: παραλύσειεν αὐτὴν τῆς δυστήνου ψυχῆς, ἀντὶ τοῦ θανάτου. ἡ γενικὴ ἐστιν ἀντὶ αἰτιατικῆς, ἵν' ᾖ· τῆς δυστήνου τὴν ψυχὴν σώσειε καὶ παύσειε τῶν κακῶν: — AB

119 πλησιάζει γάρ, καταλαμβάνει: — B$^{i}$

122 μόνος δ' ἄν, εἰ φῶς: τουτέστιν· εἰ ἔζη ὁ υἱὸς τοῦ Ἀπόλλωνος, ὁ Ἀσκληπιός, εἶχεν ἂν καταλιπεῖν τοῦ Ἅιδου τὰς πύλας ἡ Ἄλκηστις, ἀντὶ τοῦ· εἶχεν αὐτὴν ἂν ζωοποιῆσαι: — A

132 ἃ ἔδει ποιεῖν, τετέλεσται τῷ Ἀδμήτῳ· τί δέ; τὸ εὔξασθαι ⟨καὶ⟩ τὸ θῦσαι τοῖς θεοῖς: — B

136 ὅλος λέγει ὁ χορὸς ταῦτα: — B$^{i}$

139 τὸ μὲν πενθεῖν καὶ πρὸ τοῦ πάθους συγγνώμης ἄξιον· λυπεῖται γάρ: — B$^{i}$

141 καὶ ζῶσαν: ψυχορραγεῖ γάρ: — B$^{i}$

143 προπεπτωκυῖα προνενευκυῖα εἰς θάνατον: — B$^{i}$

148 ἐπὶ τοῖς εἱμαρμένοις τὰ προσήκοντα ὁ ἀνὴρ ποιεῖ. ἢ ἐπ' αὐτῇ τῇ Ἀλκήστιδι: — B

163 ὡς πρὸς τὴν Ἑστίαν λέγουσαν αὐτὴν ⟨παρεισάγει⟩. μετέβη δὲ ἐκ τοῦ ἐξηγητικοῦ ἐπὶ τὸ μιμητικόν: — B

165 ὀρφανοτροφῆσαι ἐπιτροπεῦσαι. καὶ ὀρφανιστὰς τοὺς ἐπιτρόπους λέγουσιν: — B

172 ἀπὸ πτόρθων λαμβάνουσα φόβην μυρσίνης, ὅ ἐστι τὰ φύλλα τῆς μυρσίνης: — B

173 οὐδὲ τὸ ἐπιὸν τοῦ φόβου τοῦ θανάτου μετέστησε τὴν εὐειδῆ φύσιν τοῦ χρώματος, ἀντὶ τοῦ· οὐδὲ ὠχρίασεν: — B

177 τὰ τῆς παρθενίας κορεῖα, ὅ ἐστιν· ἔνθα κόρη οὖσα ἔλυσα τὴν παρθενίαν: — B

τὸ ἑξῆς· ὦ λέκτρον, χαῖρε: — B

---

2 ἀμμωνιάδας A  6 lemma ex A  7 ἢ ego ἡ AB  8 σώσει AB παύσεις A  12 ἂν ego ἄνω A ἀναζωοποιῆσαι Wil  13 recte distinxit Wil  14 καὶ addidi  16. 17 λυπεῖται γάρ mutila  18 ζωᾶ B ψυχορραγεῖ ego ἐψυχορράγει B$^{i}$  22 παρεισάγει addidi

182 ἐμοῦ μὲν οὐ σωφρονεστέρα, εὐτυχὴς δ' ἴσως: — B

184 τῷ πλήθει τῶν δακρύων: — B

186 ἔξωθεν τοῦ [προνωπίου] θαλάμου: — B

195 προσηγόρευσεν: — $B^1$

ἀντὶ τοῦ· προσηγορεύθη: — $B^1$

197 καὶ εἰ μὲν συνέβη αὐτὸν ἀποθανεῖν, μία ⟨ἂν⟩ ἦν ἡ λύπη, τὸ θανεῖν [καὶ αὐτόν]· νῦν δὲ ἐκφυγὼν τὸν θάνατον, ἀνεπίληστα ἔχει τὰ κακά: — B

204 τὴν ἰσχὺν τῆς χειρὸς παραλελυμένη: — $B^1$

210 παρίστανται μὲν γὰρ πάντες ὡς ὑπήκοοι, οὐκ εὐμενεῖς δέ: — $B^1$

213 τίς ἂν πόρος τῶν κακῶν ἡμῖν γένοιτο ἢ πῶς ἢ ποῦ: — $B^1$

215 ἔξεισί τις ἀγγέλλων αὐτὴν ⟨ζῆν⟩ ἢ θανοῦσαν ὀδύρωμαι: — $B^1$

222 πόριζε: ἀπὸ κοινοῦ τὸ μηχανάν: — $B^1$

καὶ πρώην γὰρ τούτου, τοῦ θανάτου, εὗρες μηχανὴν δι' ἧς τὸν Ἄδμητον ἔσωσας: — B

228 ἃ πέπονθας, ἄξια καὶ σφαγῆς ἐστιν: — B

229 καὶ μεῖζον τοῦ βρόχῳ ἀποθανεῖν τινα. βρόχῳ δὲ οὐρανίῳ ἀντὶ τοῦ μετεώρῳ: — $B^1$

233 οὐκ εὖ· κατὰ γὰρ τὴν ὑπόθεσιν ὡς ἔσω πραττόμενα δεῖ ταῦτα θεωρεῖσθαι: — $B^1$

237 παρὰ τὸν καταχθόνιον Ἅιδην: — $B^1$

239 ἐκ τῶν παλαιῶν τεκμαιρόμενος καὶ τὰ νῦν ⟨βλέπων⟩: — $B^1$

245 ἀντιστρόφως εἴρηκεν, ἀντὶ τοῦ· οὐράνιαί τε νεφέλαι [διὰ] δίνης δρομαίου, τῆς ἀεικινήτου περιφορᾶς: — B

247 τοῦτό φησιν ἀποδεικνύων ὡς τῶν εἰς θεοὺς ἁμαρτανόντων ἐκκοπτομένων: — B

249 μαρτυρεῖ καὶ Δοῦρις ἐν τῇ ις τῶν Μακεδονικῶν [frg. 28] ὅτι ἐν Ἰωλκῷ ἐνυμφεύθη. Ἰωλκοῦ γὰρ Πελίας ἐβασίλευσεν: — B

---

1 εὐτυχῆ B 2 πάθει B corr. m. rec. 3 προνωπίου deleui 6 ἂν addidi 7 καὶ αὐτὸν deleui ἀνεπίληστα Heath ἀνεπίληπτα B 13 ζῆν addidi σεσῶσθαι add. Matthiae ὀδύρωμαι Matthiae ὀδύρομαι $B^1$ 14 πόριζε — μηχανάν ego ἀπὸ κοινοῦ τὸ πόριζε $B^1$ 23 βλέπων addidi 24 διὰ deleui 28. 29 scholio p. 225,1 adi. B initio add. ὡσ et signo clausulae ante ὅτι posito 28 Μακεδονικῶν Anglus quidam λακεδαιμονικῶν B

252 εἰκῇ φασι δεδόσθαι τὰ περὶ τῆς ἐν τῷ Ἀχέροντι πορθμείας: — B

254 καλεῖ με, φησίν, ὁ Χάρων ταῦτα λέγων· τί μέλλεις; ἐπείγου· σὺ κατέχεις: — B[i]

256 ταῦτα ἠπειγμένως ἔχων ταχύνει: — B[i]

257 ἀποδημίαν: — B[i]

ἐπειδὴ περὶ πλοίου ὁ λόγος: — B

258 ὦ ἀθλία Ἄλκηστι: — B

259 ἄγει με νεκύων ἐς αὐλὰν πτερωτὸς Ἀίδης: — B

264 προβαίνεις εἰς ὁδὸν τοῖς φίλοις οἰκτράν, ἐκ δὲ τῶν φίλων ἐμοὶ μάλιστα οἰκτράν: — B

265 παῖδες Ἀδμήτου Εὔμηλος καὶ Περιμήλη: — B

266 ὡς κατεχομένη ὑπὸ τοῦ Χάρωνος λέγει: — B[i]

267 ὦ πόσι, οὐκέτι ἀντέχω· ὁ γὰρ Ἀίδης πλησίον: — B

272 ὁρῴητε. γένοιτο, φησί, χαίροντας ὑμᾶς τόδε φάος ὁρᾶν: — B

276 μὴ προδῷς με πρὸς τῶν παίδων, οὓς μέλλεις ὀρφανοὺς καταλιπεῖν, ἐὰν ἀποθάνῃς: — B

280 Ἄδμητε, λέξαι σοι θέλω: — B

285 ἀλλ' ἐξόν μοι σοῦ ἀποθανόντος ἄνδρα ἔχειν μέγιστον τῶν Θεσσαλῶν, οὐκ ἠθέλησα: — B

291 ἀντὶ τοῦ ἥκοντος· ὅ ἐστιν· καιροῦ αὐτοῖς ἥκοντος εἰς τὸ ἀποθανεῖν ἀπογεγηρακόσιν: — B

294 ἀποθανόντος σοῦ οὐδὲ φυτεύειν ἠδύναντο ἕτερα τέκνα: — B

γράφεται φιτύσειν: — B[i]

297 ἐπετρόπευες, τῆς κατὰ τὴν [ὡς] ὀρφανίαν τροφῆς προέστης: — B

304 ἀνάγαγε ἀπόδειξον: — B[i]

306 κακὴ παρ' ἐμέ: — B[i]

309 τὸ καθόλου: — B[i]

311 καὶ περὶ μὲν τοῦ ἄρσενος οὐδὲν ἔχω πλέον λέγειν· ἱκανὸς γάρ ἐστι παῖς ἄρσην ἑαυτῷ βοηθεῖν· παρρησίαν γὰρ ἄγει πρὸς τὸν πατέρα. σὺ δέ, θήλεια, πῶς παρθενεύσῃ ἄρα: — B

315 φήμην ψόγον: — B[g]

319 ὅπου, ἐν τῷ τοκετῷ: — B[i]

1 φησι B  δεδόσθαι a Lehrsio [Arist. p. 18] explicatum esse monuit Wil
10 προβαίνει B  16 προδῷς Wil προδώσῃς B  19 ἐξόν ego ἐξόντος B
23 σοι B  φυτεύσειν B  30 παῖς Wil πᾶς B

320 οὐκ εἰς τὴν αὔριον τοῦ μηνὸς τούτου οὐδὲ εἰς τὴν μεταύριον: — B

321 τὸ ἀποθανεῖν: — B[1]

322 ἐν τοῖς νεκροῖς: — B[1]

324 γυναῖκ' ἀρίστην: ἐμέ: — B

325 δηλονότι ἀρίστης· ὡς εἴ τις λέγοι· ἀστεῖος ὁ ἀνὴρ καὶ ἡ γυνή, ἀστεία δηλονότι: — B

326 ὑπὲρ τούτου: — B[1]

οὐχ ἅζομαι: οὐκ εὐλαβοῦμαι, οὐκ ἀπέχομαι. καὶ Ὅμηρος [E 830]· 'μηδ' ἅζεο θοῦρον Ἄρηα'. ὁ δὲ νοῦς οὕτως· θάρσει, ὅτι ποιήσει πάντα ὁ ἀνὴρ καὶ οὐ γαμήσει ἑτέραν· οὐκ εὐλαβοῦμαι γὰρ ἐγγυῆσαι αὐτόν: — B

330 οὐδεμία ἄλλη γυνὴ ἐρεῖ μοι, ὦ πόσι· οὐ γὰρ λήψομαι: — B

332 τινὲς πάνυ, τινὲς δὲ ὁμοίως: — B[1]

334 διὰ τί γαμῶ ὁπότε παῖδας ἔχω;  ἕως τοῦ παίδων δεῖ στίζειν, εἶτα ἀφ' ἑτέρας ἀρχῆς τὰ ἑξῆς. δηλοῖ δὲ ὅτι οὐ προσδέομαι ἑτέρων παίδων: — B

336 οἴσω δὲ πένθος: οὐ μέχρι [ὅλου τοῦ] ἐνιαυτοῦ πενθήσω σε, ἀλλὰ μέχρι ὅλου τοῦ αἰῶνός μου: — B

338 μισῶν τὴν μητέρα.  αἰωνίως καὶ αὐτὴν μισῶν ὡς καὶ τὸ πένθος αἰώνιον ἔχω: — B

340 σὺ δ' ἀντιδοῦσα: δοῦσα ὑπὲρ τῆς ἐμῆς ψυχῆς τὴν σὴν ψυχήν: — B

343 παύσω δὲ κώμους: ἀντὶ τοῦ· οὐκέτι κωμάσω σοι: — B

345 οὐ γάρ ποτ' οὔτ' ἂν βαρβίτου: εἶδος ὀργάνου μουσικοῦ ὁ βάρβιτος, βαρυτέρας ἔχοντος τὰς χορδάς. καὶ ἔστιν οἱονεὶ βαρύμιτός τις ὤν: — B

346 οὔτ' ἂν φρέν' ἐξαίροιμι: οὐ πείσαιμ' ἂν τὴν ἐμὴν φρένα λακεῖν πρὸς Λίβυν αὐλόν· ὅ ἐστιν ⟨ᾄδειν πρὸς αὐλόν⟩. οἱ γὰρ ἀρχαῖοι καὶ πρὸς αὐλὸν ᾖδον: — B

---

1. 2 μετὰ αὔριον B  6. 7 scholio 5 adi. B  6 ἀρίστης ego et Wil ἀρίστην B  9 οὐ χάζομαι B  13 λήψομαι Wil λήσσομαι B  18 ὅλου τοῦ del. Matthiae  22 ὑπὲρ ego οὖν B  25–27 cf. et. m. p. 188, 18 Gud. p. 104, 31 Poll. 4, 59  28 πείσαιμ' ἂν ego πείσει με B πείσαιμι Matthiae  29 ᾄδειν πρὸς αὐλὸν addidi ψοφῆσαι add. Wil cl. Hesych. λακεῖν ψοφῆσαι

πρὸς Λίβυν λακεῖν: Λίβυν τὸν αὐλόν φησιν· ἐκ γὰρ τῶν ἐν Λιβύῃ λωτίνων λεγομένων καλάμων ὁ αὐλὸς γίνεται. ἢ ὅτι ἐπὶ Τρίτωνι, τῷ ποταμῷ τῆς Λιβύης, εὑρέθη: — B

357 εἰ δὲ εἶχον τὸ μέλος τοῦ Ὀρφέως πρὸς τὸ σὲ λαβεῖν κηλήσαντα τὴν Κόρην ἢ τὸν Πλούτωνα, καὶ τοῦτο ἂν ἐποίησα: — B

εἰ δ' Ὀρφέως μοι γλῶσσα: Ὀρφέως γυνὴ Εὐριδίκη, ἧς ἀποθανούσης ὑπὸ ὄφεως κατελθὼν καὶ τῇ μουσικῇ θέλξας τὸν Πλούτωνα καὶ τὴν Κόρην, αὐτὴν ἀνήγαγεν ἐξ Ἅιδου: — B

365 ἐντελοῦμαι γὰρ ἐν τοῖς αὐτοῖς σοροῖς σὺν σοὶ ἐμὲ θάψαι: — B

369 τὸ ταύτης πένθος συνοίσω. ἀξία γὰρ αὕτη τοῦ πενθεῖσθαι: — B

372 ἀντὶ τοῦ μὴ γαμήσειν: — $B^{i}$

375 πρὸς τὸ μὴ εἰσαγαγεῖν ἄλλην τινά: — $B^{i}$

379 νέα οὖσα δηλονότι: — $B^{i}$

381 ὁ χρόνος θεραπεύσει σε: — $B^{i}$

385 ὑπὸ τοῦ θανάτου: — B

387 οὕτω ⟨ταχέως⟩ ἀποθανοῦμαι ὥστε μηκέτι με οὖσαν νόμιζε: — B

389 οὐχ ἑκοῦσα προλείπω αὐτούς: — B

391 ὡς αὐτῆς καταπεσούσης τὸ ἀπωλόμην: — B

404 ταύτην καλεῖς τὴν οὔτε κλύουσαν οὔτε ὁρῶσαν: — B

ὑμεῖς καὶ ἐγώ· πρὸς τὸν Εὔμηλον καὶ τὴν ἀδελφὴν αὐτοῦ: — B

406 νέος καὶ ἔρημος λείπομαι φίλης μητρός: — B

407 ἀπὸ μεταφορᾶς τῶν μόνων στελλομένων πλοίων. μονόστολος οὖν ἀντὶ τοῦ ἔρημος: — B

409 ὡσεὶ ἔλεγε· συνόμαιμε συναδελφὲ, τοσαῦτα ἔτλης ὅσα ἐγώ: — B

412 εἰς γάμον ἐπὶ ἀνωφελείᾳ συνῆλθες: — $B^{i}$

414 πρὸ τοῦ δέοντος καιροῦ: — $B^{i}$

416 ἀνάγκη γὰρ ἀποθανεῖν· ὡς τοῦ Ἀδμήτου ὑπό τε τοῦ πάθους τῆς γυναικὸς καὶ τοῦ θρήνου τῶν παίδων συγχυθέντος πρὸς αὐτὸν ⟨τοῦτο λέγει⟩: — B

420 οὐκ ἐξαίφνης μοι αὕτη ἡ συμφορὰ ἐπῆλθεν, ἀλλὰ προειδότι: — B

---

2 ἐπὶ ego ἐν B 7 ὑπὸ ego ἀπὸ B 18 ταχέως add. Rei et Wil
24 μονοστελλομένων B 31. 32 τοῦτο λέγει addidi

423 ποιήσομαι ἐκφορὰν τοῦ νεκροῦ· [παραμείνατε] διὸ παραμεῖναι ὀφείλετε: — B

424 θρῆνον ἐφ' ᾧ οὐ σπένδουσιν ὥσπερ ἐν τοῖς παιᾶσιν: — B

426 κοινωνεῖν: — Bg

427 κελεύω αὐτοὺς μετέχειν τοῦ πένθους τῷ κεκάρθαι καὶ μελανειμονεῖν: — B

428 ἀζύγους. κέλητας: — Bg

438 τὸν οἶκον τοῦ Ἅιδου: — B[1]

439 γινωσκέτω ὁ Ἅιδης καὶ ὁ Χάρων, ὃς ἐπὶ τῇ κώπῃ καὶ τῷ πηδαλίῳ ἵζει, ἀρίστην γυναῖκα πορθμεύσας εἰς τὴν Ἀχερουσίαν λίμνην: — B

447 χέλυν: τὴν λύραν. ἀπὸ γὰρ χελώνης ὀρεινῆς ἡ λύρα ἐστίν. εἰσὶ δὲ καὶ ἔνυδροι· διὸ ὀρείαν εἶπεν: — B

τουτέστι· μετὰ λύρας ⟨καὶ ἄνευ λύρας⟩. καὶ παρὰ Σοφοκλεῖ ἐν Αἴαντι Λοκρῷ [frg. 15] 'καὶ πεζὰ καὶ φορμικτά'. καὶ πεζαὶ δέ τινες ἑταῖραι λέγονται, αἳ χωρὶς ὀργάνου εἰς τὰ συμπόσια φοιτῶσιν: — B

ἑπτάτονος χέλυς λέγεται ἡ ἑπτάχορδος: — B

449 περικυκλοῦται· κυκλοειδὴς γὰρ ὁ χρόνος. καὶ Ὅμηρος [Θ 404. 418] 'περιτελλομένους ἐνιαυτούς': — B

450 μετεωριζομένης πλησιφαοῦς τῆς σελήνης, ἐν πανσελήνῳ τῆς ἑορτῆς ἀγομένης: — B

καὶ ἄλλως: εὐφυῶς τὴν πλησιφαῆ διὰ τὸ ἀειρομένας παννύχου ἐδήλωσεν. ὅτε γὰρ πανσέληνόν ἐστι, δι' ὅλης νυκτὸς φέγγει: — B

458 ποταμὸς καθ' Ἅιδου ὁ Κωκυτός: — B[1]

459 ἀντὶ τοῦ· διὰ τῆς κώπης ἀνενεγκεῖν σε: — B[1]

463 εἴη σοι ἡ ἐπικειμένη σποδὸς ἀνώδυνος: — B

464 εἰ θελήσειε γαμῆσαι: — B[1]

473 συμβίου σὺν ἐμοὶ οἰκῆσαι μελλούσης: — B[1]

474 ἡ τοιαύτη γαμετή: — B[1]

476 ἐπεὶ εἰς κώμας ἦσαν διῃρημένοι, ὅ ἐστιν εἰς φυλάς: — B

---

1 παραμείνατε deleui 3 scholiasta ἄσπονδον legisse uidetur 10 ἵξει B 13 καὶ ἄνευ λύρας addidi 15 ἑταῖραι Heath ἕτεραι B cf. Hesych. s. u. πεζῷ γόῳ Hesych. Phot. s. u. πεζὰς μόσχους Phot. s. u. πεζῇ et. m. p. 658, 36 17 περικυκλοῦται Heath περικυκλοῦνται B 18 περιτελλομένου ἐνιαυτοῦ B 21 τὸ Matthiae τὰς B 21. 22 παννύχου ego παννύχους B παννύχου σελάνας Matthiae 23 καθόδου B[1] 24 ἀνενεγκεῖν ego ἀνήνεγκάν B 25 ἀρώδυνος B 26 θελήσειε ego θελήσει B[1] 28 ἡ Wil ἢ B[1]

479 εἰπὲ τίς σε χρεία πέμπει προσβῆναι Φεραῖον ἄστυ, πόλιν Θεσσαλῶν: — B

481 ὑπηρετῶ: — B[c]

482 διὰ τί πλανᾶσαι: — B[i]

483 τέθριππον. ἀντὶ τοῦ τετράορον, ὅταν ὦσιν τέσσαρες ἵπποι ἐξευγμένοι. καὶ συνωρὶς δὲ, ὅταν ἕτερος ἑτέρῳ συνεζευγμένος ᾖ. ἀπὸ τούτου καὶ συνάορος ἡ γυνὴ λέγεται. ἡ συνηρτημένη καὶ συνεζευγμένη: — B

488 ἢ κρατήσεις ἢ κρατηθήσῃ. οὐ γὰρ χωρὶς αἵματος προβήσεταί σοι ὁ ἀγών: — B

490 εἰ συμβῇ σοι κρατῆσαι τοῦ δεσπότου τῶν ἵππων, τί πλέον πράξεις καὶ ὠφεληθήσῃ, ὅπου γε οἱ ἵπποι ἀδάμαστοί εἰσιν: — B

494 μαγειρεύουσιν. ἄρταμος γὰρ λέγεται ὁ μάγειρος: — B

495 βορὰν λεόντων, οὐχ ἵππων λέγεις: — B[i]

497 ὁ θρέψας τοὺς ἵππους τίνος ἐστὶν πατρὸς παῖς: — B[i]

498 ἀπὸ τῶν ὅπλων τοὺς ὁπλίτας φησίν: — B

πέλτη ἀσπίς ἐστιν ἴτυν μὴ ἔχουσα: — B

500 ὁ δαίμων οὐδέποτέ μοι εὐοδεῖ, ἀλλὰ πρὸς τὸ ἄναντες καὶ δύσκολον ὁδοιπορεῖ. τὰ γὰρ ὑψηλὰ δυσχερῆ ἐστιν: — B

509 Περσέως Ἠλεκτρύων, οὗ Ἀλκμήνη, ἧς Ἡρακλῆς: — B

511 θέλω μὲν χαίρειν, ἀλλὰ διὰ τὸ συμβὰν οὐ δυνάμεθα χαίρειν: — B

φίλον, βουλόμενόν με χαίρειν: — B

521 ζῇ μὲν γάρ, φησί, τῷ δὲ προσδοκᾶν αὐτὴν ἀποθανεῖν οὐ ζῇ: — B

526 ἕως οὐ συμβῇ, ὑπέρθου τὰ δάκρυα: — B

528 κεχώρισται, φησί, τὸ εἶναι τοῦ μηκέτ' εἶναι καὶ τοῦ ζῆν τὸ τεθνάναι: — B[i]

529 σὺ λέγεις τὸ μήπω γενόμενον οὐκ ὀφείλειν ὡς ὂν λογίσασθαι· ἐγὼ δὲ τὸ ἐσόμενον ὡς ὂν λογίζομαι: — B

---

5 cf. Phot. lex. Bachm. p. 385,26 Suid. Hesych. schol. ν 81 Eust. p. 1734,5. 573,27 9 κρατηθήσῃ ego κρατήσει B 12 ὠφεληθήσῃ Wil ὠφελήσεις B 13 cf. Hesych. s. u. ἄρταμος lex. Bachm. p. 146,13 et. m. p. 149,55 Zon. p. 292 16 ὁπλίτας Rei et Wil πολίτας B 17 Hesych. Phot. Suid. lex. Seg. p. 297,9 et. m. p. 660,25 cf. schol. Rhes. 311 21. 22 scholio 20 adi. B 23 scholio 21. 22 adi. B 26 ὑπέρθου Barnes ὑπὲρ οὗ B 29. 30 huc rettulit Wil

530 τί ⟨δῆτα⟩ κλαίεις: ἐπειδὴ ἀορίστως εἶπεν ὁ Ἄδμητος θάπτειν τιν' ἐν τῇδ' ἡμέρᾳ ⟨μέλλω⟩ νεκρόν. [εἶτα] ἐπήγαγεν ὁ Ἡρακλῆς· μή τι ἡ Ἄλκηστις ἀπέθανεν; ⟨εἶτα⟩ φησιν ὁ Ἄδμητος ὅτι λυποῦμαι καὶ δι' ἐκείνην, μέλλουσαν τελευτᾶν. εἶτα ὁ Ἡρακλῆς· μὴ πρόκλαιε τὴν γυναῖκα, τίς δὴ ὄντως ὁ ἀποθανών; εἶτα ὁ Ἄδμητός φησιν ὅτι γυνή τις ⟨ἡ⟩ τεθνηκυῖα, περὶ ἧς ἔλεγον· θάπτειν τινὰ μέλλω νεκρόν: — B

531 γυνή τις τέθνηκε· περὶ γυναικὸς δὲ καὶ ἀρτίως ἐμνημόνευσεν θάπτειν τινὰ ἐν τῇδ' ἡμέρᾳ μέλλω νεκρόν: — B

543 εἰς οὓς εἰσιέναι σε δεῖ: — B[i]

548 παρακεῖσθαι: — B

552 ξένους ὑποδέχεσθαι: — B[g]

554 οὐκ ⟨ἂν⟩ ἐπῄνεσάς με: — B[i]

560 τὴν ἄνυδρον. ἢ πολυπόθητον· ἡ γὰρ δίψα εἶδος ἐπιθυμίας: — B

568 θαυμάζων τοῦ ἀνδρὸς τὸ φιλόξενον ταῦτα λέγει: — B

575 τῶν πλαγίων καὶ ἀνακεκλιμένων ὀρῶν: — B

577 ποιμενικὰς ᾠδὰς δι' ὧν ἦγεν τὰ βοσκήματα εἰς τὸ ἀλλήλοις μίγνυσθαι: — B

578 τῇ τῶν μελέων ἡδονῇ: — B

588 τοιγάρ, ὦ Ἄδμητε, διὰ τὸν Ἀπόλλωνα, ἔχεις ἑστίαν πολυθρέμμονα: — B

590 Θεσσαλίας λίμνη πλησίον Φερῶν. λέγεται δὲ καὶ Νεσσωνίς: — B

592 ὅρον τίθεται: — B[i]

τὸ ἑξῆς· κνεφαῖον αἰθέρα: — B

καὶ ἄλλως: κνεφαίαν τὴν δύσιν ὅπου ὁ Ἥλιος κατὰ κνέφας ἵστησι τοὺς ἵππους καὶ καταλύει: — B

595 κρατεῖ δὲ καὶ ἐπὶ τὴν Αἰγαίωνα ἀκτὴν τὴν πόντιον καὶ ἀλίμενον: — B

598 διύγρῳ διὰ τὰ δάκρυα: — B

---

2 τινὸς B μέλλω om. B εἶτα hic deleui et ante φησιν (3) addidi 5 ὄντως ego ὅμως B 6 ἡ addidi 13 ἂν addidi μοι B[i] 14 Hesych. s. u. δέψιος Suid. s. u. πολυδίψιος et. m. p. 681,10 Strab. 8 p. 370 Athen. 10 p. 433e schol. Δ 171 Eust. p. 461,2. 133,40. 1701,32 πολυπαθῆ B 19 scholio 17. 18 adi. B dist. Rei 22. 23 Νεσσωνίς Berkel μεσωνίσ B 27 in fine add. τὴν αἰγαῖον ἀκτὴν τὴν πόντιον καὶ ἀλίμενον B

600 τὸν νεωστὶ ἐν τοῖς θανοῦσι γενόμενον. τὸν νεκρὸν τῆς φιλίας ἀλόχου, τὸν ἀρτιθανῆ: — B

602 πᾶν τὸ τῆς σοφίας ἔργον ἐν τοῖς ἀγαθοῖς ἐστι: — B

617 ἀντὶ τοῦ δύσκολον: — B[g]

628 ἀντὶ τοῦ λυσιτελεῖν: — B[i]

629 οὔτ' ἐκάλεσά σε ἐλθεῖν ἐνταῦθα οὔτε τὴν σὴν παρουσίαν ὡς φίλου ἀρνοῦμαι: — B

640 ὁποῖος εἶ, ἔδειξας ἐλεγχθείς: — B[i]

641 ἐμαυτὸν ἀρνοῦμαι σὸν εἶναι παῖδα: — B

642 ἀντὶ τοῦ περὶ πάντων, ὡς τὸ [Α 287] 'ἀλλ' ὅδ' ἀνὴρ ἐθέλει περὶ πάντων ἔμμεναι': — B

643 γέρων ὤν: — B[i]

648 τὸ ἀποθανεῖν ὑπὲρ υἱοῦ: — B

651 ἀπὸ τοῦ ζῆμι καὶ ὁ παρακείμενος ἔζην: — B[i]

652 στερηθείς: — B[g]

653 διὰ τί οὖν ἐφιλοψύχησας, καίτοι ἀπολαύσας: — B

655 οἱ γὰρ διάδοχον μὴ καταλιπόντες λυποῦνται μάλιστα: — B
ἀντὶ τοῦ ἤμην: — B[i]

658 οὐ μὴν ἐρεῖς γε ὡς θανεῖν με προύδωκας ἀτιμάζοντα τὸ σὸν γῆρας. τὸ γὰρ ἀτιμάζων ἀντὶ τοῦ ἀτιμάζοντα: — B

662 ἀντὶ τοῦ· οὐ φυτεύσεις· γέρων γὰρ εἶ. ὥστε, εἰ ἀπέθανον ἐγώ, ἄπαις σὺ ἔμελλες εἶναι: — B

καὶ ἄλλως: οὐκ ἂν ἀναβάλλοιο σπείρων παῖδας, ἀντὶ τοῦ· σπεῦσαι ὀφείλεις ταχέως σπεῖραι παῖδας γηροβοσκούς· ἐγὼ γὰρ οὐκέτ' εἰμὶ ὁ σός. ὃ καὶ ἄμεινον: — B

666 τέθνηκα γὰρ δὴ τοὐπί σ': ὅσον τὸ κατὰ σέ, τέθνηκα: — B

675 τίνα αὐχεῖς κακοῖς ἐλαύνειν; πότερον Λυδὸν ἢ Φρύγα ἀργυρώνητον σέθεν: — B

679 φορτικοὺς λόγους: — B[i]

680 οὐκ ἄπει βαλὼν ἡμῖν τὰς ὕβρεις, ἀλλὰ καὶ ἀκούσῃ: — B

3 πᾶν τὸ Barnes πάντη B 6 οὔτ' Dindorf οὐκ B 7 φίλου Rei et Wil φιλῶν B malim φίλον τι ἀρνοῦμαι falso repetitum ex 9, conieci ἀσπάζομαι αἱροῦμαι Rei 9 σὸσ εἶναι παῖσ B 10 πάντασ B 17 scholio 16 adi. B 20 ἀτιμᾶζον B 24 γηρωσκοὺσ B 30 ἀκούσῃ Wil ἀκούεισ B ἀκούσεις Heath

683 οὐ παρείληφα νόμον παρὰ τοῦ πατρὸς ὥστε ἀντὶ τῶν παίδων ἀποθνήσκειν: — B

693 πρὸς τὸ εἰρημένον ὑπὸ Ἀδμήτου ἀντίθεσις [649] βραχὺς δέ σοι πάντως ὁ λοιπὸς ἦν βιώσιμος χρόνος: — B

696 ἀτολμίαν: — $B^i$

699 πανούργως: — $A^gB^g$

700 εἰ τὴν παροῦσαν: εἰ ἃς λήψῃ γυναῖκας, πείσεις ὑπὲρ σοῦ ἀποθνήσκειν: — AB

708 λέγ' ὡς ἐμοῦ: λέγε ὡς καὶ ἐμοῦ κακῶς λέξαντος, δι' ὧν οὐκ ἠθέλησας ὑπὲρ ἐμοῦ ἀποθανεῖν: — AB

710 σοῦ δᾶν: σοῦ δὴ ἄν, καὶ ἐν συναλοιφῇ σοῦ δᾶν. ἐκτατέον οὖν τὸν ἄν. ὁ δὲ νοῦς· οὐ νῦν ἁμαρτάνω, ἀλλ' εἰ ὑπὲρ σοῦ ἀπέθνησκον: — AB

711 σὺ πρέσβυς, ἐγὼ νέος: — $A^gB$

712 καὶ σὺ μίαν ἔχων ψυχὴν οὐκ ὀφείλεις ὑπὲρ δύο ζῆν: — $A^gB$

713 καὶ μὴν Διός γε μείζον': καὶ ζήσειας μείζονα παρὰ ⟨τὸν⟩ τοῦ Διὸς χρόνον. ὁ γὰρ μὴν καὶ ἂν παρέλκει. ἤ· ἔζησας τοσοῦτον χρόνον ὅσον ἔχει ὁ Ζεύς: — A

716 ἀλλ' οὐ σὺ νεκρόν γ': σύ, φησίν, οὐκ ἦρας τοῦ ζῆν ἑτέραν ἀντὶ σοῦ ἀποστείλας: — A

717 δι' ὧν ἕτερος ἀπέθανεν ὑπὲρ ἐμοῦ, σοῦ μὴ θελήσαντος: — A

718 οὐ δυνήσῃ τοῦτο λέγειν ὅτι ὑπὲρ ἡμῶν ἀπέθανεν: — $A^gB$

719 εἴθ' ἀνδρὸς ἔλθοις: εἴθε χρείαν μου ἔσχες ἵνα σοι ὑπηρετήσω: — A

ἐμοῦ, δεικτικῶς: — $A^gB$

720 γυναῖκας δηλονότι: — $A^gB$

721 τὸ ἑτέρους ὑπὲρ ἐμοῦ ἀποθανεῖν: — $A^gB$

722 τοῦ Ἡλίου φησί: — $A^gB^i$

724 οὐκ ἀποθανοῦμαι ὑπὲρ σοῦ ἵνα σύ με νεκρὸν κομίζων γελάσῃς: — $A^gB$

---

3 ὑπὲρ B 7 lemma ex A εἰσ B πείθεισ A 9 lemma ex A λέγε om. B καὶ om. B λέξαντος ego ἐλέγξαντοσ B ἐλέγξοντοσ A 10 ὑπ' B 11 lemma ex A 11—13 ἐκτατέον — ἀπέθνησκον om. B 12 ἄν] ἄνου A 16 τὸν addidi 17 παρέλκει ἤ ego παρέλκη A 21 lemma ἄλλως A

726 κακῶς ἀκούειν: κἂν κακῶς με εἴπῃς ἀποθανόντα, οὐ φροντίζω ἀναίσθητος ὤν: — AB

728 τήνδ' ἐφεῦρες ἄφρονα: τὴν Ἄλκηστιν ἄφρονα εὗρες, διὰ τὸ τεθνηκέναι: — A

731 γαμβροῖς: — $A^{g}B^{g}$

733 ἀντὶ τοῦ· ὑπὲρ τοῦ αἵματος: — $B^{i}$

734 ἔρροις νῦν αὐτός: φθείρου. εἶτα ἐξ ἑτέρας ἀρχῆς· καὶ αὐτὸς καὶ ἡ ξυνοικοῦσά σοι γηράσκετε ἄπαιδες, ὡς ἐστὲ ἄξιοι. καὶ ταῦτα ἐμοῦ ζῶντος. τινὲς δὲ ἔρρων γράφουσι σὺν τῷ ν̄, ἵνα ᾖ μετοχὴ ἀντὶ ῥήματος τοῦ ἔρρε: — A

ἡ γαμετή σου, ἡ μήτηρ Ἀδμήτου: — $B^{i}$

735 ἐγὼ γὰρ οὐκέτι εἰμὶ παῖς ὑμῶν: — $B^{i}$

737 εἰ δ' ἀπειπεῖν χρῆν με: εἰ δὲ δέον καὶ διὰ κηρύκων τὸν σὸν οἶκον ἀπειπεῖν με, καὶ τοῦτο ποιήσω: — AB

τουτέστιν ἀπαγορεῦσαι ὑπὸ κηρύκων. ἀπηγόρευον οἶον· ὅδε οὐ βούλεται τοῦδε εἶναι πατήρ: — A

741 καρτερικὴ τῆς τόλμης χάριν: — $B^{i}$

746 τῇ Περσεφόνῃ: — $B^{i}$

747 πολλοὺς μὲν ἤδη: ⟨ὁ⟩ θεράπων ὁ πρὸς ὑπηρεσίαν τοῦ Ἡρακλέους ἔξεισι δυσφορῶν ἐφ' οἷς ὁ Ἡρακλῆς πένθους προκειμένου οὐκ ᾐσχύνετο οὕτως ἀναιδῶς ἐσθίων καὶ στεφανῶν τὴν κεφαλήν: — AB

752 ὑπερβῆναι: — B

753 οὐκ εὐτάκτως: — $B^{i}$

754 ᾤετο γὰρ ὁ θεράπων ἐγνωκέναι αὐτὸν τὸν θάνατον τῆς Ἀλκήστιδος: — $A^{g}B$

755 αὐτὸς ἡμῖν ἐκέλευσε φέρειν τὰ ὄψα. τοῦτο δὲ ἀναιδοῦς ξένου: — B

756 ποτῆρα δ': ⟨τὸ χ̄⟩ ὅτι ἀρσενικῶς εἴρηται: — A

---

1 lemma ex A  κἂν B καὶ A  1. 2 post φροντίζω add. τεθνηκὼσ B  13 lemma ex A  δὲ δέον ego δέον A δέον δὲ B  14 ἀπειπεῖν με A ἀποκηρῦξαι B  15. 16 scholio 13. 14 adi. A  15 οἶον· ὅδε ego οἶοσ δὲ A  16 τοῦδε ego τοῦ A  19 lemma ex A  ὁ addidi  19. 20 τοῦ ἡρακλέουσ A τῶ ἡρακλεῖ δοθεὶσ B  20 δυσφορῶν om. B  ἐφ' ᾧι B  21 οὐκ ᾐσχύνετο ego καὶ οὐκ ἠισχύνετο B οὐ κατησχύνετο A  ἐσθίων καὶ στεφάνω τὴν κεφαλὴν B καὶ στεφανῶν καὶ ἐσθίων A  22 schol. 19—21 adi. B  24 αὐτὸν om. B  26 αὐτὸς ego οὕτω B  28 τὸ χ̄ addidi

ἄλλως: τὸν ποτῆρα ⟨ἀρσενικῶς⟩· διὸ τὸ χ. λέγεται δὲ [καὶ ποτήριον] ἀρσενικῶς οὐδαμοῦ, ὑποκοριστικῶς δὲ ⟨ποτήριον⟩. ἐξηγήσατο δὲ τί ἐστι κισσύβιον, εἰπὼν ποτῆρα κίσσινον: — AB

757 τῆς ἀμπέλου: — A^g B

ὁ γὰρ μέλας οἶνος ἰσχυρότερός ἐστιν: — A^g B

760 ἄμουσος ὁ Ἡρακλῆς: — A^g B^g

762 οὐδὲν φροντίζων: — B^i

764 βρέχοντες: — B^i

766 κλέπτην: — A^g B^g

768 οὐδ' ἐξέτεινα χεῖρ': σεσημείωται ὅτι καὶ Αἰσχύλος ὡς γινόμενον τοῦτο συνίστησιν ἐν ταῖς Χοηφόροις, τὸ ἐκτείνειν τὰς χεῖρας. λέγει δὲ Ὀρέστης [frg. 3] 'οὐ γὰρ παρὼν ᾤμωξα σόν, πάτερ, μόρον οὐδ' ἐξέτεινα χεῖρα ἐπ' ἐκφορᾷ νεκροῦ': — A

ἄλλως: οὐκ ἐξέτεινα, φησί, τὴν χεῖρα ἐν τῷ θρηνεῖν διὰ τὸ ἀσχοληθῆναι. ἔθος γὰρ ἦν ἐκτεῖναι τὰς χεῖρας ὅταν ἐκφορὰ νεκροῦ γίνηται: — A

770 [καὶ] ὡς μήτηρ: — B^i

773 ἀλαζονείας μεστὸν, ἀλαζονικόν: — AB

τί σεμνόν: στυγνὸν σκυθρωπόν. οἱ γὰρ φροντίζουσι, σκυθρωπάζουσιν: — A

πεφροντικός: φροντίδων μεστὸν, πολυμέριμνον τὸ βλέμμα καί τὸ πρόσωπον ἔχεις: — A

778 σπουδὴν ἔχων: σπουδάζων εἰς ἀλλότριον πένθος· ἐνόμιζε γὰρ ὅτι ξένη ἦν ἡ ἀποθανοῦσα: — AB

779 καὶ σοφώτερος γένῃ: οὐκ εὐλόγως τὸν Ἡρακλέα εἰσήγαγε φιλοσοφοῦντα ἐν μέθῃ ὃν ἔδει καὶ ἄλλου φιλοσοφοῦντος διαπαίζειν: — AB

781 διὰ τὸ εἶναί σε δοῦλον οὐκ οἶδας: — A^g B^i

786 οὔτε διὰ διδαχῆς οὔτε διὰ τέχνης ἔστι μαθεῖν τὸ ἀποβαῖνον: — A^g B

789 τὰ ἐπιόντα: — A^g B^i

---

1 lemma ex A  ἀρσενικῶς addidi  τῶ $\bar{\chi}$ A om. B  δὲ om. B  1. 2 καὶ ποτήριον del. Wil  2 ἀρσενικῶς οὐδαμῶς A om. B, οὐδαμοῦ ego  ὑποκοριστικὸν A  ποτήριον add. Wil et ego  2. 3 cf. Athen. 11 p. 477d  3 κισύμβιον A  ποτῆρα om. A  5 scholio 4 adi. B  12 παρὼν ᾤμωξα] παρώμωξα A  17 καὶ deleui  18 ἀλαζονικόν om. B  23 lemma ex A  24 ὅτι A ἔτι B  25 lemma ex A  οὐ λόγω B

795 πίομαι πίῃ, ὡς πλέομαι πλέῃ: — $A^g$B

ὑπερβαλὼν τύχας: γράφεται πύλας, ἵν' ᾖ· ὑπερβὰς τὰς πύλας· εἰ δὲ τύχας, καταφρονήσας: — $AB^1$

798 μεθορμιεῖ σε: μεταστήσει σε εἰς ἕτερα ἡ συνεχὴς περιφορὰ καὶ ὁρμὴ τοῦ ποτηρίου. οὐκέτι γὰρ δακρύσεις ἐὰν πίῃς: — AB

800 ὡς τοῖς γε σεμνοῖς: τοῖς καταστύγνοις οὐκ ἔστι βίος ὁ βίος, ἀλλὰ λύπη: — A

801 ὡς ἐμοὶ καταφαίνεται κρίνοντι: — AB

803 νῦν δὲ πράσσομεν: προσυπακουστέον τὸ τοιαῦτα· οὐ νῦν δὲ πράσσομεν τοιαῦτα: — AB

808 οὐδεὶς ⟨τῶν ἐνταῦθα⟩ τέθνηκεν εἰ μὴ ὁ σός με δεσπότης ἐψεύσατο: — B

810 κατ' ἐρώτησιν· οὐ δέον εὐπαθεῖν ὑπὲρ ξένου νεκροῦ: — $A^g$B

811 οὐκ ἦν ξένη, ἀλλὰ πάνυ οἰκεία: — $A^g$B

815 ⟨οὐκ ἂν⟩ ἐλυπούμην εἰ μὴ λύπη τις ἦν: — $A^g$B

816 ἀπατηθεὶς δηλονότι: — B

817 οὐκ ἐν δέοντι ἦλθες καιρῷ: — B

820 ἆρα, φησίν, ἀφανὴς ἐγένετό τις τῶν παίδων ἢ ὁ γέρων πατὴρ ἀπέθανεν; ταῦτα δὲ τὰ τρία ⟨ἰαμβεῖα⟩ ἔν τισιν οὐκ ἔγκειται: — $A^g$

824 ὦ ἄθλιε Ἄδμητε: — $A^g$B

826 τοῦ Ἀδμήτου ἰδὼν τὸ ὄμμα δακρῦον: — $A^g$B

829 βιασθεὶς δὲ καὶ ἀναγκασθεὶς ὑπ' ἐκείνου: — $A^g$B

831 ἀτυχοῦντος: — $A^g$B

832 ἀλλὰ σοῦ τὸ μὴ φράσαι: συντέτμηκε τὴν ἑρμηνείαν. βούλεται γὰρ εἰπεῖν· ἀλλὰ σοῦ τὸ ἁμάρτημα τὸ μὴ εἰπεῖν τὸ ἀληθές: — AB

834 ἐπὶ τοῦ θάπτοντος, τοῦ Ἀδμήτου, τὸ νιν: — B

835 ὀρθὴν παρ' οἶμον: πόλις Θεσσαλίας πλησίον Φερῶν.

---

2 lemma ex A  γράφεται πύλας om. A  ἀποβὰς $B^1$  3 τὰς τύχας A  4 lemma ex A  εἰς ἕτερα A τοῦ κλαίειν B  φορὰ B  5 καὶ ὁρμὴ om. B  οὐκέτι — πίῃς om. B  δακρύσῃς A  8 scholio 6. 7 adi. A  9 lemma ex A  11 τῶν ἐνταῦθα addidi ex $A^g$ ubi extant οὐδεὶς τῶν ἐνταῦθα ἀπέθανεν εἰ μὴ ἐπλάνησέ με ὁ ἄδμητος  13 κατ' — δέον om. B  15 οὐκ — ἐλυπούμην ego ἐλυπούμην $A^g$ om. B  λύπη] οἰκεία Wil  16 ἀπατηθεὶς ego ἀπειθεὶς B  19 ἰαμβεῖα add. Kirchhoff  25 lemma ex A  25. 26 συντέτμηκε — εἰπεῖν om. B

λέγει δέ· ὀρθὴν βαδίζων τὴν ὁδόν. οἷον παρὰ τὴν ὁδόν, ὅπου ἐπὶ τὴν Λάρισσαν φέρει, ἐκτὸς τοῦ προαστείου: — A

838 Τιρυνθία: Τίρυνς πόλις Ἄργους. ἡ γὰρ Ἀλκμήνη ἀπὸ Τίρυνθός ἐστιν: — A

843 εἰδωλοποιεῖται μελαίνας πτέρυγας ἔχων ὁ Θάνατος: — $A^{g}B$

844 εὑρήσειν δοκῶ πίνοντα: προσδοκῶ αὐτὸν εὑρεῖν πλησίον τοῦ τύμβου πίνοντα ἐκ τῶν προσφαγμάτων: — AB

846 λοχήσας αὐτόν: γράφεται λοχαίας. λοχᾶν γὰρ αὐτὸν θέλει ὁ Ἡρακλῆς κρυφθείς: — A

847 καὶ περιβαλὼν αὐτῷ κύκλον: — $A^{g}B$

849 κατὰ πλευρὰν μογοῦντα: — $A^{g}B$

850 ἐὰν δὲ μὴ εὕρω αὐτὸν πλησίον τοῦ τάφου πίνοντα τὸ αἷμα: — $A^{g}B$

851 [καὶ] νῦν τὴν ῥύσιν τοῦ αἵματος. τὸν πέλανον δὲ ἐπὶ τῆς θυσίας φασίν: — $A^{g}B$

852 εἰς τοὺς δόμους τῆς Κόρης καὶ τοῦ βασιλέως τῶν κάτω Πλούτωνος: — $A^{g}B$

857 ἔκρυπτε: τὸ πένθος ἔκρυπτε: — $A^{g}B^{i}$

859 τοιγὰρ οὐκ ἐρεῖ κακόν: αὐτὸς ὁ Ἄδμητος εὐγενὴς ὢν οὐ λέξει εὐεργετῆσαι κακὸν καὶ εὐτελῆ ἄνδρα, τουτέστιν ἐμέ. ἀντισάζω γὰρ αὐτῷ τὰς χάριτας τῆς ξενοδοχίας: — A

ἀλλ' οὐκ ἂν εἴποι με ἀγνώμονα ξένον: — $B^{i}$

861 εἴσοδοι: — $A^{g}B^{g}$

ἔρχεται ὁ Ἄδμητος ἀπὸ τοῦ τύμβου καὶ οὐ τολμᾷ εἰσιέναι: — $A^{g}B^{i}$

863 εἰς τίνα τόπον. ἢ ἐν τίνι τόπῳ: — $A^{g}B^{i}$

866 μακαρίζω: — $A^{g}B^{i}$

869 ἀπὸ κοινοῦ τὸ χαίρω: — $A^{g}B^{i}$

870 τοῖον ὁμηρόν μ' ἀποσυλήσας: τοιοῦτον ἐνέχυρον ὑπὲρ ἐμοῦ, ἵνα κἀγὼ ἀποθάνω. λυπούμενος γὰρ δι' αὐτὴν ἀπόλλυμαι: — A

---

1 ὀρθὴν — τὴν ὁδὸν habet B   παρὰ τὴν ego πᾶσαν A   3 Τίρυνς] τίρυνθοσ A   τίρυνθόν A   6 lemma ex A   7 ἐκ om. B   8 λοχίασ A   14 cf. schol. Or. 220   νῦν ego καὶ νῦν $A^{g}$ om. B   15 θυσίας Matthiae οὐσίασ $A^{g}B$   φησὶ $A^{g}B$   16. 17 scholio 12. 13 adi. B   16 τῶν κάτω iuuenes Americani πάντων $A^{g}B$   20 ἀντισάζω] ἀντεισάξω A   28 — p. 237, 2 cf. Hesych. Suid. lex. Bachm. p. 317, 14 Phot. Zonar. p. 1448   29 λυτρούμενος Wil me non probante

ἄλλως: ὅμηρον: ἐνέχυρον. τοῦ δὲ ζῆν φησιν ὅμηρον αὐτῷ γεγονέναι τὴν Ἄλκηστιν· ἀντὶ γὰρ αὐτοῦ δέδοται τῷ Ἅιδῃ: — $AB^1$

878 ἔμνησας ὅ μου: τούτου με ὑπέμνησας τοῦ ἑλκώσαντος καὶ λυπήσαντος τὴν ψυχήν· λέγει δὲ τῆς γυναικός: — AB

879 ἁμαρτεῖν: τὸ ἀποτυχεῖν. ἡ μεταφορὰ ἀπὸ τοῦ ἁμαρτάνειν τοῦ σκοποῦ: — AB

881 εὐχῆς σημαντικόν, ὄφελον: — B

887 ἐξὸν εἶναι καὶ ἀγάμους καὶ ἀτέκνους: — $A^gB^1$

888 σοί, ὦ Ἄδμητε, δυσκαταγώνιστος ἀτυχία ἦλθεν: — $A^gB^1$

891 ἃ μὲν πέπονθας, βαρέα ἐστίν, ὅμως δὲ φέρε: — $A^gB^1$

897 τί μ' ἐκώλυσας: διὰ τί με ἐκώλυσας ῥῖψαι ἐμαυτὸν ⟨ἐν⟩ τῷ τάφῳ τῆς γυναικός; πρὸς τὸν χορόν φησιν· ἦν γὰρ ὁ χορὸς μετ' αὐτοῦ· δύναται γὰρ ὁ χορὸς ἐξίστασθαι τῆς σκηνῆς, ὡς καὶ ἐν Αἴαντι μαστιγοφόρῳ: — A

900 τὴν ἐμὴν ψυχὴν καὶ τὴν ἐκείνης: — $A^gB$

902 τὴν Ἄορνόν φησι: — $B^1$

διαβάσας ἔδει εἰπεῖν. πρὸς τὸ σημαινόμενον οὖν ἀπήντησεν: — B

903 ἐμοί τις ἦν ἐν γένει: παραμυθεῖται αὐτὸν ὁ χορός· ἐμοί τις ἦν ἐν γένει ᾧ νεανίας ἀπέθανεν ἄξιος τοῦ θρηνεῖσθαι διὰ τὸ μονογενὴς εἶναι, ἀλλ' ὅμως ἐκαρτέρει: — A

907 παντελῶς ὢν ἄτεκνος: — $A^gB$

ἅλις ἄτεκνος ὤν: ἰδίως τὸ ἅλις τέταχεν ἐπὶ τοῦ μετρίως· μετρίως ἔφερε τὸ κακόν, καίπερ ἄτεκνος ὤν: — AB

909 ἤδη προπετὴς ὤν: ἤδη προνενευκὼς ἐπὶ τὰς πολιὰς χαίτας καὶ πρόσω τοῦ βίου ὤν, ὅ ἐστιν ἤδη προβεβηκὼς τῇ ἡλικίᾳ: — $AB^1$

ἄλλως: τινὲς εἰς τὸ χαίτας στίζουσιν· τὸ δὲ προπετὴς πρεσβύτερος. τῷ ὄντι γὰρ οἱ γέροντες προπετεῖς εἰσιν, ἐπὶ πρόσωπον φερόμενοι: — A

914 τὸ διάφορον τῆς νῦν τύχης καὶ τῆς πάλαι: — $A^gB$

---

1 φασιν $B^1$ αὐτῷ ego αὐτοῦ $AB^1$ 3 lemma ex A τοῦτό B 3. 4 τοῦ — ψυχήν] ὅ μου τὰς φρένας ἐλύπησεν B 4 λέγει — γυναικός om. B 5 lemma ex A 10 δὲ φέρε $A^g$ φέρεται B 11 ἐν addidi 15 τῆς ἐκείνης $A^gB$ 17 διαβὰν in διαβὰς corr. m. 1 B in διαβάσας m. rec. ἀπήντησεν ego ἀπηντήσαμεν B 19 ἦν Wil τῶν A 21 ἄτεκνος ἄτεκνος ὢν B 22 lemma ex A initio habent ἀλλ' AB i. e. ἄλλως μετρίως om. B 24. 25 τὰς — καὶ om. A 25 πρόσω τοῦ $B^1$ πρόσωπερ A post βίου add. καὶ ἐπὶ πολιᾶς χαίτης A τὴν ἡλικίαν A 29 παλαιᾶς B

915 τότε μὲν πεύκαις: ὑπὸ λαμπάδων ἀπὸ Πηλίου τμηθεισῶν. τότε μέν, φησί, μετὰ γαμικῶν ᾀσμάτων καὶ σὺν λαμπάσι ταῖς ἀπὸ Πηλίου ὄρους τεμνομέναις εἰς τὸν οἶκον ἐπορευόμην τὴν χεῖρα τῆς γαμετῆς κατέχων: — A

917 γράφεται πιστῆς: — $A^g$

918 πολυβόητος: — $A^gB^i$

εἵπετο κῶμος: συνηκολούθει καὶ παιανισμὸς καὶ ἐμακάριζον ἡμᾶς ὡς ἐσμὲν εὐγενεῖς: — A

920 ὄντες ἀπ' ἀμφοτέρων τῶν γονέων εὐπατρίδαι: — $A^gB$

922 νῦν δ' ὑμεναίων: νῦν δὲ ἀντὶ γαμικῶν ᾀσμάτων θρῆνος ἀντικείμενος: — A

923 ἀντίπαλος ἀπὸ κοινοῦ: — B

926 παρ' εὐτυχῆ σοι: παρὰ τὸν εὐτυχῆ σοι πότμον τοῦτο τὸ ἄλγος ἦλθεν, ἀντὶ τοῦ· εὐτυχοῦντί σοι τοῦτο συμβέβηκεν: — AB

930 ἔθανε δάμαρ: λέγεις, φησίν, ὅτι ἀπέθανεν ἡ γυνὴ καὶ κατέλιπε τὴν ἐμὴν φιλίαν· διὸ ἀλγῶ. καὶ τί ξένον; πολλοὶ τὰς γυναῖκας ἀπώλεσαν: — A

935 διὰ τὸ τεθνηκέναι: — $A^gB$

939 τὸ εἱμαρμένον ὑπερβάς: — $A^gB^i$

942 τίν' ἂν προσειπών: ὑπὸ τίνος προσαγορευθείς· ὡς ἔθους ὄντος προσαγορεύειν τὸν εἰσιόντα: — A

946 ὅταν [γὰρ] ἐσίδω κενούς, δηλονότι: — B

ἀπὸ κοινοῦ τὸ εὖτ' ἂν εἰσίδω: — $A^gB$

947 τοῖς ἐμοῖς γούνασι: — $A^gB$

948 οἱ οἰκέται: — $A^gB^i$

951 οἱ ἔχοντες σύμβιον ἐν ἀσφαλείᾳ σῳζομένην: — $A^gB^i$

957 δι' ὧν ὕβρισεν αὐτοῦ τὸν πατέρα: — $A^gB$

962 ἐγὼ καὶ διὰ μούσας: ὁ ποιητὴς διὰ τοῦ προσώπου τοῦ χοροῦ βούλεται δεῖξαι ὅσον μετέσχε παιδεύσεως: — AB

963 καὶ μετάρσιος ἦξα: καὶ περὶ μετεώρων ἐφρόντισα, οἷον ἠστρολόγησα καὶ ὁρμὴν ἐπὶ τοῦτο ἔσχον: — AB

---

1 ὑπὸ ego ἀπὸ A 2 γαμικῶν iuuenes Americani γυναικῶν A 7 παιανισμὸς ego παρ' ὁρισμός A 13 lemma ex A 22 γάρ del. Wil κενὰς B 23 scholio 22 adi. B ἐσίδω B 24 scholio 23 adi. B 26 σύμβιον ego βίον $A^gB$ σῳζομένην ego σωζόμενον $A^g$ σωζόμενοι $B^i$ 28 lemma ex A 29 ὅσω B παιδεύσεων B 30. 31 scholio 28. 29 adi. B 31 τούτω B

965 ἐπικρατέστερον δυνατώτερον. καὶ Ὅμηρος [Α 80]· 'κρείσσων γὰρ βασιλεύς': — B

968 Ὀρφεία κατέγραψε: καὶ ποιητὴς καὶ μάντις ἦν ὁ Ὀρφεύς. Φιλόχορος ἐν ᾱ Περὶ μαντικῆς [frg. 191] ἐκτίθησιν αὐτοῦ ποιήματα ἔχοντα οὕτως· 'οὔτοι ἀριστερός εἰμι θεοπροπίας ἀποειπεῖν, ἀλλά μοι ἐν στήθεσσιν ἀληθεύουσι μένοιναί'. ὁ δὲ φυσικὸς Ἡρακλείδης εἶναι ὄντως φησὶ σανίδας τινὰς Ὀρφέως, γράφων οὕτως· 'τὸ δὲ τοῦ Διονύσου κατεσκεύασται [ἐπὶ] τῆς Θράκης ἐπὶ τοῦ καλουμένου Αἵμου, ὅπου δή τινας ἐν σανίσιν ἀναγραφὰς εἶναί φασιν ⟨Ὀρφέως⟩': — AB

ἄλλως: πρῶτος Ὀρφεὺς μυστήρια θεῶν παραδέδωκεν· ὅθεν καὶ θρησκεία τὸ μυστήριον καλεῖται, ἀπὸ τοῦ Θρακὸς Ὀρφέως: — AB

970 οὐδ' ὅσα Φοῖβος: ἀναγνοὺς δὲ καὶ τὰ τοῦ Φοίβου ἰατρικὰ οὐδὲν Ἀνάγκης μεῖζον εὗρον: — A

972 ἀντιτεμών: εὑρών· μεταφορικῶς ἀπὸ τῶν τὰς ῥίζας εὑρισκόντων καὶ τεμνόντων: — AB

976 ἐκ τοῦ περὶ αὐτῆς εἰς τὸ πρὸς αὐτήν: — A$^g$B$^i$

977 ἢ τὸ πρὶν ἦλθες, δηλονότι: — B$^i$

978 καὶ γὰρ Ζεὺς ὅ, τι νεύσῃ: τοῦτο ἀναγκαστικώτατα πράττει. οἷον καὶ ὁ Ὁμηρικὸς Ζεὺς ὑπόκειται τῷ τῆς Ἀνάγκης ζυγῷ, ἀφ' οὗ ⟨ἂν⟩ ἐπινεύσῃ τινί· 'οὐ γὰρ ἐμὸν παλινάγρετον οὐδ' ἀπατηλὸν οὐδ' ἀτελεύτητον ὅ, τι κεν κεφαλῇ κατανεύσω' [Α 526]: — AB

980 ἰσχύεις οὖν μεγάλα: — A

Χάλυβες ἔθνος τοῦ Πόντου, ἔνθα σιδηρᾶ μέταλλά ἐστιν: — A$^g$B

982 τοῦ σκληροῦ σου φρονήματος: — A$^g$B

984 καὶ σοῦ οὖν περιγέγονεν ἡ Ἀνάγκη, ὦ Ἄδμητε, ἐν ἀφύκτοις δεσμοῖς: — A$^g$B$^i$

989 σκότιοι: οἱ μὴ γνήσιοι ὄντες τῶν θεῶν παῖδες ἀποθνήσκουσιν, οἱ μὴ ὄντες ἐξ ἀμφοτέρων θεῶν: — A

---

3 lemma ex A   4 αὐτῷ A   5—8 ἀποειπεῖν — φασιν om. B signo lacunae in mg. addito, sed habet ἅστινας κατέγραψε σανίδας: —   6 μενοιναί Wil μέλαιναι A   8 ἐπὶ del. Wil   9 Ὀρφέως add. Wil   10 lemma ex A   θεῶν B εἶναι A   10. 11 cf. Suid. s. u. θρησκεύει et. m. p. 455,10 Gud. p. 264,51 Or. p. 73,25   12 lemma ex A   13 εὑρὼν A ὡρῶν B   14. 15 τεμνόντων καὶ εὑρισκόντων B   17 ἦλθες ego ἦλθον B$^i$   18 lemma ex A   19 ὁ Ὁμηρικὸς Dindorf ὅμηρος AB   20 ἂν ἐπινεύσῃ ego ἐπινεύσει AB   22 scholio quod praecedit adi. A

ἄλλως: σκότιοι λέγονται οἱ λαθραῖοι παῖδες καὶ ἐξ ἀδᾳδουχήτων γάμων γενόμενοι. Ὅμηρος [Z 24]· ‘σκότιον δέ ἑ γείνατο μήτηρ’. τούτους δὲ Ῥόδιοι ματροξένους καλοῦσιν. Κρῆτες δὲ τοὺς ἀνήβους σκοτίους λέγουσιν: — AB

994 νῦν ἐν τοῖς οἴκοις: — A^g B^i

995 μηδὲ νεκρῶν: μὴ νομιζέσθω ὁ τάφος τῆς σῆς γυναικὸς ὡς τῶν ἀποθανόντων νεκρῶν, ἀλλ' ἐξ ἴσου τοῖς θεοῖς τιμάσθω: — A

τὸ ἐπιχεόμενον τοῖς νεκροῖς· ἀπὸ δὲ τούτου τὸν τάφον φησίν. ὡς οὐ κληθήσεται τάφος, ἀλλὰ θεοῦ τινος ναός: — AB

999 ὁδοιπόρων: — B^g

1000 ἐκ πλαγίου τοῦ τάφου πορευόμενος: — A^g B

1002 ὑπὲρ τοῦ ἀνδρὸς ἀπέθανεν: — A^g B^i

1009 Ἄδμητε: ὦ Ἄδμητε, οὐ χρὴ τὸν φίλον πρὸς τοὺς φίλους ἀποκρύπτειν τὰς μέμψεις: — AB

1011 ἐγγὺς παρεστώς: ἐγγὺς παρεστὼς τῶν σῶν κακῶν ἄξιον ἐμαυτὸν ἐνόμιζον ἀριθμεῖσθαι τῶν σῶν φίλων: — AB

1023 πράξας δ' ὃ μὴ τύχοιμι: ἐὰν δὲ συμβῇ μοι ἀποθανεῖν (ὅπερ μὴ γένοιτο), δίδωμί σοι ταύτην δούλην: — AB

πράξας δέ: λείπει κακῶς: — A

ἄλλως: ἐάν, φησίν, ἃ μὴ θέλω, πράξω (καὶ γὰρ ἐλπίζω ἐπανελθεῖν), δίδωμί σοι ταύτην δούλην ἔχειν: — A

παθὼν ὃ μὴ γένοιτο τυχεῖν: — B

1025 σὺν πολλῇ ταλαιπωρίᾳ: — B

1026 ἀγῶνα ⟨γὰρ⟩ πάνδημον: αἰνίττεται τὸν εἰς τὸν Θάνατον ἀγῶνα ὃν νικήσας ἀνήγαγε τὴν Ἄλκηστιν: — AB

---

1 lemma ex A  σκότιοι λέγονται om. B  καὶ om. B  schol. Z 24 T [= Eust. p. 622,41] τὸν ἐξ ἀδᾳδουχήτων γάμων, τὸν νόθον  2 Ὅμηρος — μήτηρ om. A  ἑ] σε B  3 δὲ A καὶ B  μητροξένους A μαστροξένους B cf. Hesych. s. u. ματρόξενοι Poll. 3,21  8 lemma τύμβος σᾶς ἀλόχου in A  9 ὡς A ὃς B  τάφος A τύμβος B  post ἀλλὰ add. καὶ B  11 τὸ πλάγιον A^g  13 lemma ex A  ὦ Ἄδμητε om. B  13. 14 τὸν — μέμψεις Wil τὸν φίλον τοὺς φίλους ἀποκρύπτειν τὰς μέμψεις B τὰς μέμψεις τῶν φίλων κρύπτειν πρὸς τοὺς φίλους A  15 lemma ex A  16 τῶν σῶν φίλων A ὡς φίλον B  17 lemma ex A  με B  19 scholio 17. 18 adi. A lemmate non distincto  20 ἐὰν ego οὐκ ἂν A  22 scholio 17. 18 adi. B  24 lemma ex A  τὸν εἰς τὸν θάνατον A εἰς τὸν τοῦ θάνατον B  25 εἰς ὃν A  νικήσασαν ἤγαγεν B

1029 τὰ μὲν γὰρ κοῦφα: τὰ μὲν γὰρ κοῦφα ἀγωνίσματα οἷον δρόμοι ⟨ἢ⟩ ἡνιοχεῖαι, τὰ περὶ ταχύτητος καὶ κουφότητος. ἀντὶ τοῦ· οἱ κούφως ἀγωνιζόμενοι ἵππους ἐλάμβανον: — A

1030 τοῖσι δ' αὖ τὰ μείζονα: τοῖς δὲ νικῶσι τὰ μείζονα, ἢ πυγμὴν ἢ πάλην, ἀγέλη βοῶν ἐδίδοτο καὶ γυνή: — A

1032 ἀντὶ τοῦ· βοῦς καὶ γυνή: — B[1]

εἶπετ'· ἐντυχόντι δέ: ἐπειδὴ ἔτυχον ἐκεῖσε, τὸ μὲν κερδαίνειν αὐτὴν εὐκλεὲς ἡγησάμην, τὸ δὲ ἐᾶσαι αἰσχρόν: — AB

1033 παρεῖναι: παραπέμψασθαι. ἵημι ἰέναι καὶ κράσει εἶναι: — A

1036 ὅτι ἡ Ἀλκηστίς ἐστιν: — B[1]

1037 οὔτοι σ' ἀτιμάζων: οὐ διὰ τοῦτό σε ἔκρυψα τὸ πένθος ἀτιμάσαι σε βουλόμενος: — AB

1039 ἀλλ' ἄλγος ἄλγει: τοῦτο λύπη πρὸς τῇ λύπῃ ἦν, εἰ πρὸς ἄλλον τινὰ ἀπῄεις ξενισθησόμενος: — A

1041 ἅλις δὲ κλαίειν: ἤρκει τὸ ἐμὲ κλαίειν τὸ ἐμὸν κακόν· τίς χρεία καὶ σὲ παρόντα: — AB

1042 γυναῖκα δ' εἴ πως: εἰ ἔστι δυνατόν, παρακαλῶ σε· τὴν γυναῖκα ταύτην ἄλλον κέλευσον λαβεῖν Θεσσαλῶν, ὅστις οὐ πέπονθεν οἷα ἐγώ: — AB

1049 ποῦ καὶ τρέφοιτ' ἄν: πῶς δύναται μεταξὺ ὄχλου νέα οὖσα τρέφεσθαι: — A

1050 νέα γάρ, ὡς ἐσθῆτι: καὶ γὰρ νέα φαίνεται ὡς ἐκ τῆς ἐσθῆτος· ἦν γὰρ περικεκαλυμμένη: — A

1052 καὶ πῶς ἀκραιφνής: καθαρὰ ἀνδρῶν, οἷον· καὶ πῶς ἂν ἄφθορος ἀνδρῶν εἴη ἐν νέοις στρεφομένη: — AB

1054 ἐγὼ δὲ σοῦ προμηθίαν ἔχω: ἐγὼ δὲ σοῦ πρόνοιαν ἔχω μή ποτε συμβῇ ⟨αὐτῇ⟩ τι παθεῖν ὑπὸ τῶν νέων: — A

1055 ἀλλ' ἐρεῖς· εἰς τὸν τῆς τεθνηκυίας θάλαμον εἴσφερε αὐτήν. καὶ πῶς οὐκ ἄτοπον τοῦτο: — AB

2 ἢ addidi 4 αὐτὰ A 5 πάλιν A 7 lemma ex A κερδαίνεισ B 9 παρίναι A ἵναι A quod nescio an retinendum fuerit 11 lemma ex A πάθοσ B 12 σε om. A 14 ἀπῄεις Dindorf ἀπείησ A 16 addiderim ἀποπέμπειν 17 ἔστι A ἔστιν δὲ B 17. 18 ταύτην τὴν γυναῖκα B 18 κέλευε B 23 περικαλυμένη A 24 καθαρὰ — οἷον om. B καθαρὰν A ἂν om. B 27 αὐτῇ addidi 28 ταύτην B

1057 καὶ τῶν δημοτῶν καὶ τῆς γυναικός· οὐκοῦν διπλῆ μέμψις: — AB

1060 παρ' ἐμοῦ τιμᾶσθαι ἡ Ἄλκηστις ἀξία ἐστιν: — $A^g$B

1066 προσεοικὸς γὰρ ἔχει τὸ αἴθυγμα ἐκείνης τῆς μορφῆς: — B

1067 ἐμήν· θολοῖ δέ: οὐκ ἐᾷ καθαρὰν εἶναι τὴν καρδίαν, ἀναταράττει καὶ ἀναβάλλει: — A

θολοῖ: ταράττει, ἀπὸ τοῦ θολοῦ τῆς σηπίας, ἣ μέλλουσα ἀγρευθῆναι, τοῦτον προΐεται ὑπὲρ τοῦ σκοτίσαι τοὺς ἀγρεύοντας: — AB

1070 οὐκ ἔχοιμ' ἂν εὖ λέγειν: οὐ δύναμαί σοι λέγειν ὅτι εὐτυχὴς εἶ· βάσταξον ⟨δέ⟩: — A

1071 καρτερεῖν θεοῦ δόσιν: τὴν μοῖραν. τινὲς τὴν διδομένην γυναῖκα παρὰ Ἡρακλέους, οὐ καλῶς: — AB

1075 σάφ' οἶδα: κἀγὼ οἶδα ὅτι ἤθελές με εὐεργετεῖν: — AB

1077 μὴ νῦν ὑπέρβαλλ': μὴ νῦν ὑπερβαλλόντως φέρε, ἀλλ' ἐναισίμως: — A

ἀλλὰ καθηκόντως φέρε: — AB

1080 ἃ νῦν ῥᾳδίως παραινεῖς: — $A^g$B

τοῦ θρηνεῖν ἔρως: — $A^g$B

1082 ἀπώλεσέ με: ὑπερβαλλόντως ἀπώλεσέ με. ὑπερβάλλει πάντα λόγον ἡ ἀτυχία: — AB

1084 ἑαυτὸν λέγει δεικτικῶς: — $A^g$B

1086 ὁ χρόνος με θεραπεύσει. εἰ χρόνον λέγεις τὸν μέχρι θανάτου· μέχρι γὰρ θανάτου λυπηθήσομαι: — B

1090 δεικτικῶς, ἐμοί: — $A^g$B

1094 ἴσθι μηδέποτε καλέσων με νυμφίον: — $A^g$B

1096 θάνοιμ' ἐκείνην: ἐὰν γαμήσω προδοὺς ἐκείνην καίπερ οὐκ οὖσαν, ἀποθάνοιμι: — AB

---

1 καὶ τῶν δημοτῶν ego καὶ τῶν δήμων A καὶ τῶν δημοτῶν καὶ τῶν δήμων B οὐκοῦν om. A 7. 8 cf. et. m. p. 453,29 7 lemma ex A καθόλου A 7. 8 ἀγρεύεσθαι B 8 τοῦτο A τὸν ἀγρεύοντα B 10 δὲ add. Wil 11 lemma ex A τινὲς δὲ B post διδομένην add. σοι B 12 οὐ om. A 13 lemma ex A εὐεργετεῖν ego συνεργεῖν AB 14 ὑπέρβαιν' A 15 αἰνεσίμως A 16 scholio 13 adi. AB 17 ἃ $A^g$ ὡς B 19 ὑπερβαλλόντως — με] ὑπεραπώλεσεν B 19. 20 ὑπερβάλλει — ἀτυχία om. B 25 μηδέποτε $A^g$ μὴ B 26. 27 οὐκ οὖσαν A ἀποθανοῦσαν B

1101 διὰ τὴν Ἄλκηστιν αἰνίττεται: — A$^{s}$B

1103 συμμεταλαμβάνεις τῆς νίκης ἐμοὶ νικῶντι: — A$^{s}$B

1104 ἐνόμισεν διὰ τὴν φιλίαν εἰρηκέναι αὐτὸν μετασχεῖν τῆς νίκης: — A$^{s}$B

1105 εἰ χρή· πρῶτα: εἰ χρὴ ἀπιέναι, σκόπει, μὴ μεταβουλεύσῃ πάλιν: — AB

1106 δεῖ, ἀλλὰ μὴ ὀργίζου μοι, ὅ ἐστιν· εἰ μὴ λυπῇ: — A

1107 εἰδὼς ὅτι συμφέρει σοι, κἀγὼ ταύτην τὴν σπουδὴν ἔχω: — A

1108 κράτει, ὃ θέλεις ποίει: — B$^{i}$

1109 ὅτε εὑρήσεις αὐτὴν Ἄλκηστιν: — A$^{s}$B

1111 οὐκ ἂν μεθείην: οὐ[κ ἂν] συγχωρήσω τοῖς δούλοις τὴν γυναῖκα ταύτην: — A

1114 οὐκ ἂν θίγοιμι: ἔξεστιν αὐτῇ εἰσελθεῖν, οὐ μέντοι δι' ἐμοῦ: — A

1118 καὶ δὴ προτείνω: ἧς τὸ κάρα ἀπετμήθη, ἀπὸ τοῦ καράτομος. τὸ ἐντελὲς δὲ Γοργόνι· καὶ δὴ προτείνω τὴν χεῖρα ὡς Γοργόνι ἧς ἡ κεφαλὴ ἀπετμήθη. ταῦτα λέγει ἀπεστραμμένος: — A

1120 περὶ ἑαυτοῦ λέγει: — A$^{s}$B

1125 ἆρα, φησί, μὴ χλευάζομαι ὑπὸ χαρᾶς: — A$^{s}$B

1127 γράφεται τόδ' ἦ: — A$^{s}$

1128 ὥστε φαντάσματα ποιεῖν καὶ μὴ ἀληθῆ: — A$^{s}$B

οὐ ψυχαγωγόν: ψυχαγωγοί τινες γόητες ἐν Θετταλίᾳ οὕτω καλούμενοι, οἵτινες καθαρμοῖς τισι καὶ γοητείαις τὰ εἴδωλα ἐπάγουσί τε καὶ ἐξάγουσιν. οὓς καὶ Λάκωνες μετεπέμψαντο, ἡνίκα τὸ Παυσανίου εἴδωλον ἐξετάραξε τοὺς προσιόντας τῷ ναῷ τῆς Χαλκιοίκου, ὡς ἱστορεῖ Πλούταρχος ἐν ταῖς Ὁμηρικαῖς μελέταις: — AB

1130 οὐδὲν θαῦμα εἰ ἀπιστεῖς· παρ' ἐλπίδα γὰρ γέγονεν: — A$^{s}$B

1140 μάχην συνάψας: ἢ τῷ τῶν νεκρῶν κοιράνῳ· φασὶ γὰρ

---

2 μεταλαμβάνεισ B ἐμοὶ νικῶντι om. B 3. 4 schol. 2 adi. B 5 lemma ex A post ἀπιέναι add. με B 5. 6 μὴ — πάλιν om. B 5 μὴ] ἵνα Wil μεταβουλεύσῃ ego μεταβουληθῆσ A 8 σε A 11 ἂν deleui οὐ μὴ Wil 15. 16 ἧς — καράτομος habet B, post ἀπετμήθη insertis καὶ ἄλλωσ καρατόμωι τῆι καρατομηθείσηι 16 γοργονῆ A 16. 17 γοργόνη A 17 ταῦτα ego οὕτωσ A ἀπεστραμμένος Cobet ἀνεστραμμένωσ A 22 lemma ex A γόητες om. A 24 λεύκωνεσ A λάκωνασ B παυσονίου B 25 ἐξετάρεσθε A χαλκειοίκου AB 28 lemma ex A initio add. τῶ κυρίω A κοιράνω A κυρίω B

καὶ τοὺς νεκροὺς δαίμονας· ἢ ἐκ τῶν [νεκρῶν] δαιμόνων τῷ ταύτης χωρίῳ: — AB

1145 Πλούτωνι καὶ Περσεφόνῃ: — A^g B

1149 τὸν τῶν ἵππων Διομήδους: — A^g B

1153 γράφεται δόμον. γράφεται καὶ ὁδόν: — B^i

1154 τετραρχίᾳ: εἰς τέσσαρας διῄρητο ἡ Θεσσαλία πόλεις αἵτινες ἦσαν ὑποτεταγμέναι Ἀδμήτῳ, ὡς καὶ Ἀριστοτέλης [frg. 497] φησίν· ὅθεν ἐκαλεῖτο τετραρχία. εἰσὶ δὲ αὗται Φεραὶ Βοίβη Γλαφύραι καὶ Ἰωλκός. καὶ Ὅμηρος [B 711]

'οἳ δὲ Φερὰς ἐνέμοντο παραὶ Βοιβηίδα λίμνην,
Βοίβην καὶ Γλαφύρας καὶ ἐυκτιμένην Ἰαωλκόν,
τῶν ἦρχ' Ἀδμήτοιο φίλος πάις'.

ὁμωνύμως δὲ λέγει [καὶ Ὅμηρος καὶ] τὴν λίμνην καὶ τὴν πόλιν: — A

ἄλλως: τῇ εἰς τέσσαρα μέρη διαμεριζομένῃ, εἰς ἀνατολήν, εἰς δύσιν, εἰς ἄρκτον καὶ μεσημβρίαν: — A

---

1 καὶ om. B   ἐκ — δαιμόνων om. B   ἐκ τῶν ego ἐν τῷ A nisi mauis ἐν τοῖς — δαίμοσι   νεκρῶν deleui   3 πλούτωνα B   φερσεφόνην B   6 ἡ ego τι A   7 Ἀριστοτέλης Wil cl. Harp. s. u. τετραρχία, ἀρίσταρχος A   8 τετραρχεία A   βοίβαι A   10 φερνὰσ A   11 ἰωλκὸν A   13 καὶ Ὅμηρος καὶ deleui, excidit argumentatio cur lacus non a Pheris, sed a Boebe nominatus fuerit, cf. Strab. 9 p. 436

# ΥΠΟΘΕΣΙΣ ΑΝΔΡΟΜΑΧΗΣ

Νεοπτόλεμος ἐν τῇ Τροίᾳ γέρας λαβὼν τὴν Ἀνδρομάχην, τὴν Ἕκτορος γυναῖκα, παῖδα ἔτεκεν ἐξ αὐτῆς. ὕστερον δὲ ἐπέγημεν Ἑρμιόνην, τὴν Μενελάου θυγατέρα. δίκας δὲ πρῶτον ᾐτηκὼς τῆς Ἀχιλλέως ἀναιρέσεως τὸν ἐν Δελφοῖς Ἀπόλλωνα, πάλιν ἀπῆλθεν ἐπὶ τὸ χρηστήριον μετανοήσας, ἵνα τὸν θεὸν ἐξιλάσηται. ζηλοτύπως δὲ ἔχουσα πρὸς τὴν Ἀνδρομάχην ἡ βασιλὶς ἐβουλεύετο κατ' αὐτῆς θάνατον μεταπεμψαμένη τὸν Μενέλαον. ἡ δὲ τὸ παιδίον μὲν ὑπεξέθηκεν, αὐτὴ δὲ κατέφυγεν ἐπὶ τὸ ἱερὸν τῆς Θέτιδος. οἱ δὲ περὶ τὸν Μενέλαον καὶ τὸ παιδίον ἀνεῦρον καὶ ἐκείνην ἀπατήσαντες ἤγειραν. καὶ σφάττειν μέλλοντες ἀμφοτέρους, ἐκωλύθησαν Πηλέως ἐπιφανέντος. Μενέλαος μὲν οὖν ἀπῆλθεν εἰς Σπάρτην, Ἑρμιόνη δὲ μετενόησεν, εὐλαβηθεῖσα τὴν παρουσίαν τοῦ Νεοπτολέμου. παραγενόμενος δὲ ὁ Ὀρέστης ταύτην μὲν ἀπήγαγεν πείσας, Νεοπτολέμῳ δὲ ἐπεβούλευσεν. οἳ καὶ φονευθέντα παρῆσαν οἱ φέροντες. Πηλεῖ δὲ μέλλοντι τὸν νεκρὸν θρηνεῖν Θέτις ἐπιφανεῖσα τοῦτον μὲν ἐπέταξεν ἐν Δελφοῖς θάψαι, τὴν δὲ Ἀνδρομάχην εἰς Μολοσσοὺς ἀποστεῖλαι μετὰ τοῦ παιδός, αὐτὸν δὲ ἀθανασίαν προσδέχεσθαι, τυχόντα δὲ αὐτῆς [εἰς] μακάρων νήσους οἰκήσειν: — MNA

---

2 τὴν M τοῦ N τὴν τοῦ A    3 δὲ om. A    3. 4 τὴν ἑρμιόνην NA
4 μενέλεω A    4. 5 τὸν ἀδελφοῖσ ἀπόλλωνα περὶ τῆσ ἀχιλλέωσ ἀναιρέσεωσ N
9 καὶ om. A    10 ἀπαντήσαντεσ A    12 ἐσ N    ἑρμιόνην N
13 ἀπήγαγε A ἀνήγαγεν M ἀνήγαγε N    14 δὲ om. A    οἳ MN οἱ A, corruptum est nec pauca desunt    16 θάψαι ex μένειν corr. A    17 ἀπέστειλεν M ἀπέσταιλε N    18 τυχόντα ego τυχὼν MNA    εἰς deleui
οἰκήσειν ego ᾤκησεν MNA

ἡ μὲν σκηνὴ τοῦ δράματος ὑπόκειται ἐν Φθίᾳ, ὁ δὲ χορὸς συνέστηκεν ἐκ Φθιωτίδων γυναικῶν. προλογίζει Ἀνδρομάχη. τὸ δὲ δρᾶμα τῶν δευτέρων. ὁ πρόλογος σαφῶς καὶ εὐλόγως εἰρημένος· εὖ δὲ καὶ τὰ ἐλεγεῖα τὰ ἐν τῷ θρήνῳ τῆς Ἀνδρομάχης· ἐν τῷ δευτέρῳ μέρει ῥῆσις Ἑρμιόνης τὸ βασιλικὸν ἐμφαίνουσα καὶ ὁ πρὸς Ἀνδρομάχην λόγος οὐ κακῶς ἔχων· εὖ δὲ καὶ ὁ Πηλεὺς ὁ τὴν Ἀνδρομάχην ἀφελόμενος: — NA

1 ὑπόκειται Wil κεῖται N 1. 2 συνέστηκεν add. Laur. 32,2 Pal. 287 3 ὁ om. N εὖ Trendelenburg et Wil ἔστι NA 5 ἐμφαίνουσα Musurus ὑφαίνουσα A ὑφαίνουσαι N

# ΣΧΟΛΙΑ ΕΙΣ ΑΝΔΡΟΜΑΧΗΝ

1 σχῆμα: καλλώπισμα. ἔστι κυρίως τὸ τὴν ποιὰν διάθεσιν ἑκάστου δεικνύον. διὸ καὶ πολλάκις φαμὲν ‘αὕτη ἡ οἰκία σχῆμα οἰκίας οὐκ ἔχει’ καὶ ἐπὶ πόλεως ‘σχῆμα πόλεως ἐν αὐτῇ ὁρᾶται’. ὃ δὲ βούλεται εἰπεῖν, τοιοῦτόν ἐστιν· ὦ Θήβη, δι’ ἣν ἡ Ἀσία χώρα ἐνομίζετο, οἷον· ἡ σὴ εὐδαιμονία σχῆμα ⟨χώρας⟩ περιετίθει τῇ Ἀσίᾳ καὶ τοὐναντίον ἡ σὴ ἅλωσις τὸ καὶ καλεῖσθαι τὴν Ἀσίαν χώραν ἀφῄρηται. σχῆμα γὰρ τῶν χωρῶν ἡ πόλις: — MNO

καὶ ἄλλως· πρόσχημα κάλλος εὐπρέπεια κόσμος ἀξίωμα: — NOA

τὴν ἐν Ἀσίᾳ λέγει Ὑποπλάκιον Θήβην, ἧς Ἠετίων ἐβασίλευσεν. Δικαίαρχός [frg. 11a] φησιν ἐνθάδε ἀπόσπασμά τι τοῦ μετὰ τοῦ Κάδμου στόλου οἰκῆσαι. ἔνιοι δὲ καὶ τὴν Χρύσην καὶ τὴν Λυρνησσὸν ἐν τῷ τῆς Θήβης πεδίῳ τάσσουσιν, ὡς Αἰσχύλος Λυρνησσίδα προσαγορεύσας τὴν Ἀνδρομάχην ἐν τοῖς Φρυξίν, ἔνθα καὶ ξένως ἱστορεῖ Ἀνδραίμονος αὐτὴν λέγων [frg. 267]· ‘‘Ἀνδραίμονος γένεθλον * Λυρνησσίου, ὅθενπερ Ἕκτωρ ἄλοχον ἤγαγεν φίλην’. Φιλέας δὲ καὶ ἐν Θεσσαλίᾳ φησὶν ἐν τῷ Φθιωτικῷ τέλει Θήβας εἶναι. Θεόπομπος δὲ ἐν γ̄ Ἑλληνικῶν

---

2 ἔστι NO δέ ἐστιν M  6 χώρας addidi  9 lemma ex NO  10 τὴν ὑποπλάκιον M  11 ἀπόσπασμά τι τοῦ ego ἀποσπάσματι MN ἀποσπάσαντα O  12 στόλου om. M  cf. schol. Z 397 T  οἰκῶν NO  ἔνιοι Cobet ἐν ᾗ M ἐν ᾗ NO, est Demetrius Scepsius [frg. 37 G.]  τὸν χρύσην MO  13 ὁ αἰσχύλοσ M  14 φριξὶ N  ξενων ἱστοριανδρέμονοσ M ξένων ἱστοριαν ἀνδρέμενοσ O ξένων ἀνδρέμονοσ N  15 ἀνδρέμονοσ MN  16 ἄλογον O ὅλογον N ἤγαγε φίλην M φίλην ἤγαγεν NO  16—p. 248, 2 cf. Steph. Byz. p. 313, 1  16 Φιλέας Cobet φιλιασ M φιλίασ NO  Θεσσαλίᾳ Cobet θαλασσία MO θαλασσίᾳ N  17 πέλει N  γ̄ Ἑλληνικῶν ego γὰρ ἑλληνικοῖσ O τοῖ ἑλληνικοῖσ MN

[FHG IV p. 643] καὶ περὶ τὴν Μυκάλην ἄλλας εἶναί φησι, ταύτας δὲ Μιλησίους ἀλλάξασθαι πρὸς Σαμίους: — MNO

πέντε εἰσὶ Θῆβαι, Ὑποπλάκιοι, Βοιώτιαι, Αἰγύπτιαι καὶ ἐν τῷ Φθιωτικῷ μέρει καὶ περὶ Μυκάλην: — MNO

2 τῶν ἐν φέρνῃ δώρων: — A

τρυφῇ· προικὸς κόσμῳ· ἔστι δὲ παρὰ τὴν χύσιν, οἱονεὶ χύδην πληθύοντα: — MNOA

3 εἰς τὴν βασιλικὴν οἰκίαν: — M[g]

4 νομίμη, γνησίων παίδων τροφός. οἱ γὰρ σκότιοι παῖδες ἐκρίπτονται: — MOA

'γνησίων ἐπὶ σπορᾷ παίδων' [Menandr. frg. 720]: — M[g]

5 ζηλωτός: ἐπίφθονος, εὐδαίμων, μακαρία. τὸ δὲ ἐν τῷ συναπτέον τῷ χρόνῳ, ἵν' ᾖ· ἐν τῷ πρότερον χρόνῳ: — MOA

6 νῦν δ' εἴ τις: * * εἶπεν τὸν δεύτερον στίχον περισσὸν ἐκδεχόμενος τὸ νῦν δὲ εἴ τις ἄλλη ἀντὶ τοῦ ὡς οὐδεμία ἄλλη, δυστυχὴς γυνή. εἰ δέ τις θελήσειεν ἐκδέξασθαι τὸ οὐχ ὑπολαμβάνω, ἵν' ᾖ οὕτως· νῦν δ' οὐχ ὑπολαμβάνω εἰ ἄρα τις γυνὴ ἀθλιωτέρα μού ἐστιν, ⟨οὐκέτι περιττὸς ἔσται⟩: — MOA

7 οἱ ὑποκριταὶ τὸν ἴαμβον προσέθηκαν ὑπονοήσαντες εἶναι τὴν

---

1 Μυκάλην — δὲ om. N spatio uacuo rel. Μυκάλην ἄλλας om. O spatio uacuo rel. ταύτασ δὲ M καὶ ταύτασ O 2 μιλισίουσ M λησσίουσ O πρόσ σαμίουσ O προσ ἀμιουσ M προσαμίουσ N 3 ἔασι N 3. 4 τοῖσ φθιωτικοῖσ μέρεσι NO 4 μηκα (λ supra) N 6 cf. lex. Bachm. p. 416,1 Suid. Hesych. et. m. p. 812,31 προικὸς κόσμῳ] προικὶ κόσμω MA κόσμου προικίον [ex πρικίον corr.] O κόσμου πρικιον N 7 πληθύον (τ supra) N πληθύοντι O 9 νόμιμα O γνησίων — τροφός ego γνησία παιδοτρόφοσ MA γνήσια παιδοτρόφοσ O 9. 10 ἐρίπτονται O 11 Menandrum agnouit Wil 12 μακάριοσ O 13 προτέρω MA 14—18 scholio 12. 13 adi. O 14 init. add. οὕτω γράφων A. lacunam indicauit Dindorf grammatici nomen excidisse cognoscens τὸν δεύτερον στεῖχον O τὸν $\bar{\beta}$ στίχον M τῶν δύο στοι (χ supra) A 15 τὸ νῦν δὲ εἴ τις ego τὸν νοῦν ἥτισ O τὸν νοῦν ὁ νῦν δὲ ἥτισ M τὸν νοῦν νῦν δὲ εἴ τισ A ἀντὶ τοῦ om. A 15. 16 δυστυχῆι M δυστυχεῖ OA 16 θελήσειεν ἔξωθεν δέξασθαι Wil θελήσει ἐκδέξασθαι O θελήσοι ἐκδέξασθαι M ἐκδέξασθαι αὐτὸν θελήσοι A οὐχὶ MO ὑπολαμβάνων A ὑπολαμβάνει O 16. 17 ἵν' — ὑπολαμβάνω om. M 17 οὕτως — τις om. O οὕτωσ νῦν ego ὁ νοῦσ ὁ νοῦσ A 18 οὐκέτι περιττὸς ἔσται addidi

γραφὴν δή τίς, ἵν' ᾖ οὕτως· νῦν δή τίς ἄλλη καὶ ἀντὶ τοῦ συγκριτικοῦ τὸ δυστυχεστάτη: — ΜΟΑ

10 ῥιφέντα πύργων: Λυσανίας κατηγορεῖ Εὐριπίδου κακῶς λέγων αὐτὸν ἐξειληφέναι τὸ παρ' Ὁμήρῳ [Ω 735] λεχθέν (ʻἤ τις Ἀχαιῶν ῥίψει χειρὸς ἑλὼν ἀπὸ πύργου') οὐχ ὡς πάντως γενόμενον, ἀλλ' εἰκαζόμενον ὡσεὶ ἔλεγε κατακαυθήσεσθαι τὸν παῖδα ἤ τι ἄλλο. Ξάνθον δὲ τὸν τὰ Λυδιακὰ γράψαντα * * φασὶν ὅτι * * ὁ Εὐριπίδης Ξάνθῳ προσέχειν περὶ τῶν Τρωικῶν μύθων, τοῖς δὲ χρησιμωτέροις καὶ ἀξιοπιστοτέροις. Στησίχορον [frg. 20] μὲν γὰρ ἱστορεῖν ὅτι τεθνήκοι καὶ τὸν τὴν Πέρσιδα συντεταχότα κυκλικὸν ποιητὴν [frg. 2] ὅτι καὶ ἀπὸ τοῦ τείχους ῥιφθείη· ᾧ ἠκολουθηκέναι Εὐριπίδην. εἰσί γε μὲν οἵ φασιν αὐτὸν καὶ πόλεις οἰκίσαι καὶ βασιλεῦσαι, ὧν τὰς δόξας Λυσίμαχος ἐν τῷ δευτέρῳ

1 δή τίς Kirchhoff ἤτισ ΟΑ om. Μ  οὕτωσ ΜΟ ὁ Α  δήτισ Α δ' ἤτισ Μ δ' εἴτισ Ο  τοῦ om. ΜΟ  1. 2 συγκριτοῦ Ο  2 in fine add. φ^η Μ φησὶν Α ἐστὶ φησὶν Ο  3 Aristonic. ad Ω 735 ὅτι ἐντεῦθεν κινηθέντες οἱ μεθ' Ὅμηρον ποιηταὶ ῥιπτόμενον κατὰ τοῦ τείχους ὑπὸ τῶν Ἑλλήνων εἰσάγουσι τὸν Ἀστυάνακτα schol. T . . στοχάζεται . . οἱ δὲ νεώτεροί φασιν αὐτὸν οἰκιστὴν ὕστερον γεγενῆσθαι Τροίας καὶ ἄλλων πόλεων  4 πᾶν ὁμήρου Ο  τις] τῆσ Α  5 ἑλὼν om. Α  πύργον Μ πύργων ἑνὸσ Α  πάντων Α  γινόμενον Α γενησόμενον Cobet  5. 6 εἰκαζόμενον Ο εἰκαζόμενον ἐστὶν Μ ὡσ εἰκαζόμενον ἔστιν ἀπ' αὐτῆσ Α  6 παῖδα om. spatio uacuo rel. Α  6—9 Ξάνθον — ἀξιοπιστοτέροις om. Α  7 ταλυδικὰ Ο  γράψαντα] γ detritum Μ lacunam agnouit primus Wil, quae Xanthus tradidit, extant apud Strabon. 14 p. 680 [frg. 5] ὁ μὲν γὰρ Ξάνθος ὁ Λυδὸς μετὰ τὰ Τρωικά φησιν ἐλθεῖν τοὺς Φρύγας ἐκ τῆς Εὐρώπης καὶ τῶν ἀριστερῶν τοῦ Πόντου, ἀγαγεῖν δ' αὐτοὺς Σκαμάνδριον ἐκ Βερεκύντων καὶ Ἀσκανίας. praeterea suppl. πρὸς ὃ Wil  φησὶν Ο lacunam indicaui, suppleas οὐκ ἐβούλετο  ὁ εὐριπίδησ Ο εὐριπί^δ Μ ξάνθω Ο . . . θω Μ  8 γνησιμωτέροισ Ο  8. 9 ἀξιοπίστοισ Ο  9 Στησίχορον Cobet στησίχοροσ ΜΟΑ  μέντοι Α  ἱστορεῖν Cobet ἱστορεῖ ΜΟΑ ὅτι detritum in Μ praeter spiritum et accentum  τὸν ΜΑ τὸ Ο  10 τεταχότα Ο  κυκλικὸν om. spatio uacuo rel. Α  ὅτε Ο  τεί . . . . Μ  11 ῥιφείη Α  11—p. 250, 9 ᾧ — Ἀσκάνιον om. Α, quomodo tamen seruata sint ᾧ ἠκολούθησα, uideas p. 250, 12. 13. praeterea habet m. rec. τινὲσ δε φασιν αὐτὸν πόλεισ οἰκῆσαι καὶ βασιλεῦσαι καὶ Στησίχοροσ ἱστορεῖ ὅτι τεθνήκει  11 ἠκολουθηκέναι Εὐριπίδην ego ἠκολούθησεν εὐριπί^δ Ο . . . . . σεν εὐριπί^δ Μ  εἰσὶ Ο εἰ . . Μ  μὲν οἳ detrita Μ  11. 12 αὐτὸν — βασι detrita Μ 12 οἰκῆσαι Ο  ὧν detrita Μ

τῶν Νόστων ἀνέγραψεν· ‛Διονύσιος δὲ ὁ Χαλκιδεὺς τὸν Ἀκάμαντα παρὰ Ἑλένου καὶ Ἀγχίσου φησὶ ⟨διὰ⟩ τὴν πρὸς Λαοδίκην οἰκειότητα Σκαμάνδριον τὸν Ἕκτορος εἰληφότα καὶ Ἀσκάνιον τὸν Αἰνείου ἐπιχειρῆσαι μὲν Ἴλιον καὶ Δάρδανον τειχίζειν. τῶν δὲ Ἀθηναίων αὐτὸ παραιτησαμένων, τηνικαῦτα τῆς ἐπιβολῆς ἀποστάντα τῆς Τρῳάδος Γέργιθα καὶ Περκώτην καὶ Κολωνὰς καὶ Χρύσην καὶ Ὀφρύνιον καὶ Σιδήνην καὶ Ἄστυρα καὶ Σκῆψιν καὶ Πολίχναν καὶ πρὸς τούτοις Δασκύλειον καὶ Ἰλίου κολώνην καὶ Ἀρίσβαν οἰκίσαντα ἀναγορεῦσαι οἰκιστὰς Σκαμάνδριον καὶ Ἀσκάνιον’: — ΜΟΑ

ὑψηλῶν: — $\mathrm{M^{g}A^{g}}$

12 ἐγὼ αὐτή: — $\mathrm{M^{g}}$

ἀντὶ τοῦ· τῶν εὐγενεστάτων γονέων οὖσα δούλη Ἑλλάδ’ εἰσαφικόμην. ἢ εὐγενεστάτους οἴκους φησὶ τοὺς τῶν Αἰακιδῶν: — ΜΟΑ

14 ὅτι ἐν Σκύρῳ ἐτέχθη, ἥτις ἐστὶ νῆσος περὶ τὴν Θεσσαλίαν. Ὅμηρος [Τ 320]· ‛ἠὲ τόν, ὃς Σκύρῳ μοι ἐνὶ τρέφεται φίλος υἱός’: — ΜΟΑ

δορὸς γέρας: Σιμίας ἐν τῇ Γοργόνι Ἀνδρομάχην φησὶ καὶ Αἰνείαν γέρας δοθῆναι Νεοπτολέμῳ λέγων οὕτως·

---

1 τοῦ νόστου O  ἀνέγραψεν ego συγγράπται O συγγράψαι M [αι incerta]  δὲ] γὰρ Wil  χ....δευσ M  Ἀκάμαντα om. M  2 φ.. πρὸσ M  διά addidi  οἰκειοτ... M  2. 3 Σκαμάνδριον—Ἕκτ detrita M  σκαμάνδρειον O  3 καὶ—Αἰνείου detrita M  ἐπιχειρίσαι O  4 δαρδάνι O  τειχίζειν detrita M  αὐτὸ Wil αὐτ.. M αὐτῶν O  5 ἐπιβολῆς Mendelssohn ἐπιβουλῆσ O ἐπιβουλ.. M  ἀποστάντα ego ἀποστήστήσαντα O .......τα M  τῆς detritum M  Γέργιθα Wil γῆσ· στίνα O γ. τίνα M  καὶ περκώτην O . περ..... M  6 καὶ Κολωνὰς καὶ detrita M  Ὀφρύνιον ego φρύγιον MO  καὶ detritum M  Σιδήνην Wil σίδην O detritum M  ἄστυρα M ἄστορα O  7 Σκῆψιν ego στύψιν O στ.ψιν M  καὶ detritum M  Πολίχναν ego βεόλήνον O detritum M  Δασκύλειον ego ἀστύκλειαν O .....ειαν M  ἰλίου κολώνην O ι....... M  8 ἀρισβ.. M  οἰκίσαντα—καὶ detrita M  οἰκήσαντα O  οἰκιστὰς Wil et ego κοριστὰσ O  σκαμάνδρειον O  12. 13 scholio p. 249,3—11 adi. A initio add. ὦ ἡ τῶν ἐλευθερωτάτων  12 τῶν om. OA  ἐλλάδα O ἐλλάδοσ M  13 εὐγενεστάτουσ—Αἰακιδῶν] ἠκολούθησα A clausulae siguo non addito  φασι M  14 τῇ σκύρῳ O  ἥτις] ἡ A  θάλασσαν M φαρσαλίαν A  15 post Ὅμηρος add. φησιν M φησὶν O  ὡσ M ἐνὶ—υἱός om. spatio uacuo rel. A  17—p. 251,2 scholio 14. 15 adi. O  17 σιμμίασ MO  γοργόνηι M  ἀνδρομάχη M  φησὶ om. O

'ἐκ δ' ἕλετ' Ἀνδρομάχην ἠύζωνον παράκοιτιν
Ἕκτορος, ἥντε οἱ αὐτοὶ ἀριστῆες Παναχαιῶν
δῶκαν ἔχειν ἐπίηρον ἀμειβόμενοι γέρας ἀνδρί,
αὐτόν τ' Ἀγχίσαο κλυτὸν γόνον ἱπποδάμοιο
Αἰνείην ἐν νηυσὶν ἐμήσατο ποντοπόροισιν
ἐκ πάντων Δαναῶν ἀγέμεν γέρας ἔξοχον ἄλλων': — MO

16 Θεσσαλίας πόλεις αὗται: — $M^{i}$

17 σύγχορτα ναίω πεδί': πλησιόχωρα, γείτονα, σύνορα. τὰ ὅμορα ὅτι χόρτῳ διέγραφον τὰς πόλεις οἱ ἀρχαῖοι· Ἀλέξανδρος δὲ ἢ ὀσπρίοις ἢ ἀλεύροις. μεταξὺ δὲ τούτων τῶν πόλεων ἐστὶ τὸ Θετίδειον: — MO

ἀντὶ τοῦ· μεταξὺ ὑπάρχοντα: — $M^{g}$

τοῦτο ἀπὸ ἱστορίας εἴληφεν. αὐτόθι γὰρ αὐτῇ συνῴκησεν Πηλεύς·

---

1 ἰυζων [ἰύζων O] παρακοίτην M 2 αὐτοὶ Wil αὐτῶ MO 2—6 Παναχαιῶν — ἄλλων om. O 3 ἀνδρὶ corruptum 4 τ' Tzetzes τῆσ M ὑποδάμοιο M 5 αἰνείαν M ἐμήσατο ego ἐβήσατο M 6 plura dat sed confusa Tzetzes ad Lycophr. 1263 p. 984 Λέσχης .. ὁ τὴν Μικρὰν Ἰλιάδα πεποιηκὼς Ἀνδρομάχην καὶ Αἰνείαν αἰχμαλώτους φησὶ δοθῆναι τῷ Ἀχιλλέως υἱῷ Νεοπτολέμῳ καὶ ἀπαχθῆναι σὺν αὐτῷ εἰς Φαρσαλίαν τὴν Ἀχιλλέως πατρίδα. φησὶ γὰρ οὑτωσί [frg. 18]· 'αὐτὰρ Ἀχιλλῆος μεγαθύμου φαίδιμος υἱὸς Ἑκτορέην ἄλοχον κάταγεν κοίλας ἐπὶ νῆας· παῖδα δ' ἑλὼν ἐκ κόλπου ἐυπλοκάμοιο τιθήνης ῥῖψε ποδὸς τεταγὼν ἀπὸ πύργου· τὸν δὲ πεσόντα ἔλλαβε πορφύρεος θάνατος καὶ μοῖρα κραταιή. ἐκ δ' ἕλετ' Ἀνδρομάχην — ἔξοχον ἄλλων' 9 χόρτοισ O ἀρχαῖοι ego ἄρχοντεσ MO cf. schol. Ω 640 T Δίδυμός φησιν ὅτι χόρτῳ ἀντὶ τειχίων ἐχρῶντο et. m. p. 813, 54 χόρτος αὐλῆς ὁ τῆς αὐλῆς ὅρος· χόρτῳ γὰρ ἀντὶ τειχίων ἐχρῶντο. ἄχρι δὲ τοῦ νῦν ἐν Λυκίᾳ ἀπὸ τοῦ χόρτου περιβάλλουσιν αὐλὰς τοῖς ἐν ἀγροῖς οἰκήμασιν. Ὅμηρος Ἰλιάδος ω schol. Λ 774 ἐν τῷ περιφράγματι τῆς αὐλῆς· χόρτοι δὲ οἱ τριγχοὶ ὡς καὶ Εὐριπίδης ἐν Ἀντιόπῃ [frg. 179] 'σύγχορτα ναίω πεδία ταῖς Ἐλευθεραῖς' καὶ ἐν Ἀνδρομάχῃ ὁμοίως Eust. p. 883, 45 [= p. 1369, 18] αὐλῆς δὲ χόρτον οἱ μὲν τὸν περιορισμόν φασι καὶ τὴν περιοχὴν . . . καί φασιν οἱ ἐτυμολόγοι ὅτι χόρτοι οἱ τροχαλοὶ ἐπεὶ ἀπὸ χόρτου κατεσκευάζοντο. κάλλιον δὲ εἶπον ἕτεροι ὅτι εἰ μὲν χόρτος νοηθείη τὸ κατὰ χρῆσιν ἀρχαίαν κύκλῳ περίφραγμα, λέγεται οὕτω διὰ τὸ μὴ ἑρκίοις ἀλλὰ χόρτοις τὸ παλαιὸν φράττεσθαι τὰς αὐλὰς ἢ φυομένοις ἐπίτηδες ἢ καὶ ξηροῖς τιθεμένοις. Hesych. χόρτος . . ὁ περίβολος τῆς αὐλῆς . . . καὶ τὸν ὅρον τὸν δύο [καὶ cod.] γεῶν ὡς ἐν τῷ 'σύγχορτα ναίω πεδία'.

9—11 cf. Arrian. 3, 2, 1 Iason. ap. Steph. Byz. p. 70, 14 Strab. 17 p. 792 Plut. Al. 26 Curt. 4, 8, 6 Val. Max. 1, 4 ext. Ps. Call. 1, 32 Iul. Val. 1, 26 Amınian. Marc. 22, 16, 7 10 ἐστὶ O ἐπὶ M 13 — p. 252, 2 τοῦτο — Φερεκύδησ habet A man. recent. 13 αὐτόθι CMueller αὖθισ MO συνώκισε O

καὶ ἣν ὑπ' Ἀχιλλέα τὸ Θετίδειον· ὅπερ ἐστὶ πόλις Θεσσαλίας ὥς φησι Φερεκύδης [frg. 16 FHG 4 p. 638a] καὶ Σουίδας [frg. 5b]. Ὁμηρικὴ δὲ ἡ σύνταξις [ρ 264. 268]· 'τὰ δὲ δώματα καλ' Ὀδυσῆος· οὐκ ἄν τίς μιν ἀνὴρ ὑπεροπλίσσαιτο'. καὶ ὁ μὲν ποιητὴς πρὸς τὸ σημαινόμενον ἀπέδωκεν ἀντὶ τοῦ αὐτὸ τὸ οἴκημα, οἱ δὲ νεώτεροι οἰηθέντες τὸν Ὅμηρον κατὰ πληθυντικοῦ τῶν δωμάτων συντάξαι τὴν μιν, καὶ αὐτοὶ οὕτως συνέταξαν· 'τοιγάρ νιν αὐτὰς ἐξέμηνα' [Eur. Bacch. 32. 36] κατὰ πληθυντικοῦ. ἔστιν οὖν ἀπάτη νεωτέρων: — MO

αὐτό, τὸ πεδίον· Ὁμηρικὸς δὲ ⟨ὁ⟩ ζῆλος: — O

22 καὶ ἡ Φαρσαλία πόλις ἐστὶ τῆς Φθιώτιδος μοίρας. μητρόπολις γάρ ἐστιν ἡ Φθία πλειόνων πόλεων. ὡς ἀπὸ μέρους οὖν τὸ πᾶν, ὡς τὸ ἀργυρόπεζα Θέτις καὶ λευκώλενος Ἥρη: — MOA

24 κἀγὼ δόμοις: ἰδίως ἕνα φησὶ παῖδα γενέσθαι τῷ Νεοπτολέμῳ ἄλλων τρεῖς λεγόντων Πύρρον Μολοσσὸν Αἰακίδην καὶ Τρωάδα. Λυσίμαχος δὲ ἐν τῷ δευτέρῳ τῶν Νόστων [frg. 13] φησὶ Πρόξενον * * [frg. 5a] καὶ τὸν Ἀκάνθιον Νικομήδην ἐν τοῖς Μακεδονικοῖς [frg. 1] ἱστορεῖν ἐκ μὲν Ἀνδρομάχης γενέσθαι τοὺς προειρημένους, ἐκ δὲ Λεω-

---

1 ὑπ' add. ex A om. MO cf. Strab. 9 p. 431 κἀκ τοῦ Θετιδείου τεκμαιρόμενοι τῆς ὑπὸ τῷ Ἀχιλλεῖ μέρος εἶναι καὶ τήνδε τὴν χώραν θετίδιον MO ὅπερ O διόπερ M cf. schol. Pind. Nem. 4,81 ἔοικε δὲ ὁ Πίνδαρος μνημονεύειν τοῦ Θετιδείου περὶ οὗ ἐν α Φερεκύδης οὕτω γράφει [frg. 16]· 'ἔπειτα Πηλεὺς ᾤχετο εἰς Φθίαν [καὶ] Θέτιν ἐπὶ τῶν ἵππων τούτων ἄγων καὶ ᾤκει [οἰκεῖ codd.] ἐν Φαρσάλῳ καὶ ἐν Θετιδείῳ ὃ καλεῖται ἀπὸ τῆς Θέτιδος ἡ πόλις 2 σοΐδας M 3 τὸ MO κἀκόδυσσῆοσ M κακόδυσσῆοσ O 4 μιν] νῦν MO ὑπεροπλίσαιτο MO 6 πληθυντικόν M in O praeter acc. circumflexum de terminatione non liquet 6—8 τῶν — πληθυντικοῦ om. M 6 τῶν δωμάτων ego τοῦ δώματοσ O 6. 7 καὶ αὐτοὶ ego ἔτι αὐτὴν O 7 τοιγάρ νιν] τι γάρ μην O ἐξέμηνα Wil ἐξημένα O cf. schol. Pind. Nem. 4,1 ἄμεινον δέ, φησὶν ὁ Δίδυμος, ἐπὶ τῶν πόνων ἀκούειν τὴν νίν· οἱ γὰρ μεθ' Ὅμηρον οὐκ ἀκριβεύουσι τὴν ἀντωνυμίαν, ὡς καὶ Εὐριπίδης 'τοίγαρ νιν αὐτὰς ἐκ δόμων οἴστρησ' ἐγώ' 9 scholio quod praecedit adi. O ὁ addidi 10 καὶ — Φαρσαλία om. A καὶ om. M ἐστὶ πόλισ M πόλισ A τῆς om. A 11 ὡσ δ' O 12 ὡς τὸ — Ἥρη om. A 13 φησὶν ἕνα O 14 τρεῖς Barnes τριῶν MO de Troadis nomine filiarum ex gente regia Epirotarum proprio cf. Plut. Pyrrh. 1 15 δὲ om. O $\bar{\beta}$ M lacunam indicaui, suppleas ἐν τοῖς Ἠπειρωτικοῖς 16 Ἀκάνθιον Cobet ἀκάνθινον MO Νικομήδην CMueller λυκομήδην M λυκομίδην O Μακεδονικοῖς CMueller λακεδαιμονικοῖσ M λακεδαιμονιακοῖσ O 17 δὲ om. O

νάσσης τῆς Κλεοδαίου Ἄργον Πέργαμον Πάνδαρον Δωριέα Γένοον δανάην Εὐρύλοχον. φασὶ δὲ Πύρρῳ μὲν ἐγχειρίσαι τὴν βασιλείαν τὸν πατέρα, Μολοσσῷ δὲ τὴν ἐκ τῆς προσηγορίας τιμὴν προστάξαντα τὴν χώραν Μολοσσίαν ὀνομάζειν * * διὸ τὸν Αἰακίδην ὑπ' αὐτῆς ὑπεκτεθῆναι ⟨τῆς⟩ Ἀνδρομάχης πρὸς τὸ εἴτι διὰ τὴν ἀπαιδίαν Ἑρμιόνης καὶ τὴν ἑαυτῆς ἀσθένειαν γένοιτο [τι] τοῖς τέκνοις δυσχερές, μὴ ὑποχειρίους πάντας ληφθῆναι: — MO

25 συμπελασθεῖσα· ὅθεν καὶ ἡ πάλλαξ: — $M^g$

26 διὰ τὰ πατρίδος κακά: — $M^g$

28 τὴν τοῦ παιδὸς βοήθειαν: — $M^g$

29 ἀφ' οὗ: — $M^g$

30 ἀπωσάμενος, ἀπωθήσας, ὑβρίσας: — $M^g$

τὸ δουλικόν: — $M^g$

31 ὑπ' αὐτῆς, τῆς Ἑρμιόνης, διώκομαι: — $M^g$

32 λέγει γάρ: ὁ μὲν Εὐριπίδης ἄπαιδα ἐκ Νεοπτολέμου φησὶν εἶναι τὴν Ἑρμιόνην, ὁ δὲ Λυσίμαχος ταύτην παρ' αἰνείου οὕτως γράφων [frg. 14]· 'γήμαντα δ' Ἑρμιόνην τὴν Μενελάου καὶ Ἑλένης καὶ μετὰ ταῦτα Λεώνασσαν τὴν Κλεοδαίου τοῦ Ὕλλου * * ἐξ ἐκείνης μὲν γενέσθαι Μολοσσόν, ᾧ ὁμώνυμον τὴν χώραν καὶ τοὺς ἄνδρας Μολοσσοὺς κληθῆναι, ἐκ δὲ τῆς Λεωνάσσης Πάνδαρον Γένοον Δωριέα Πέργαμον Εὐρύλοχον'. ταῦτα μὲν Λυσίμαχος οὕτως· Φιλοκλῆς δὲ ὁ τραγῳδοποιὸς

---

1 κλαιοδάου MO  Γένοον ego ἔραον MO [infra γένυον] cf. Steph. Byz. p. 202, 21 Γενοαῖοι ἔθνος Μολοσσίας ἀπὸ Γενόου ἄρχοντος αὐτῶν· Ῥιανὸς τετάρτῃ Θεσσαλικῶν  δανάην corruptum, conicio Χαῦνον cl. Steph. Byz. p. 689, 20  2 μὲν πύρρω ἐγχειρίσθαι O  3 προτάξαντα MO  cf. schol. Pind. Nem. 7, 56 Seru. ad Aen. 3, 297  4 lacunam indicaui, excidit Euripidis defensio  δι' ᾧι M  ὑπεκτεθῆναι Cobet ἐκτεθῆναι MO  τῆς addidi  5 ἀνδρομάχην M  ἀπιδίαν M  ἑαυτῆς Cobet διαυτῆσ M δι' αὐτῆσ O  6 τι del. Cobet  πάντασ M ταύτασ O  8 πάλλαξ Wil πλάξ $M^g$  9 πάτρια $M^g$  15 ἄπαιδα ἐκ [ἄπαιδα ἀπὸ CMueller] Νεοπτολέμου ego ἀπὸ νεοπτολέμου O ἀπονεοπτολέμω M  16 ταύτην παρ' αἰνείου corrupta et mutila, conicio ταὐτὰ ἱστορεῖ, τὸν δεῖνα παρατίθεται Wil  οὕτως γράφων ego ὃσ γράφει MO  17 γήμασ τάδ' M  μενελεωσ M ut uidetur  καὶ (alterum) om. M  18 κλεώνασσαν M κλεώνασσα O  κλεδαίου M κλαιοδαίου O  lacunam indicaui  ἐκείνου M, de Andromacha dicitur  19 μολοσσὸν ὦ O μολοσ .... M  ἄνδρασ μολοσσοὺσ O ἀνδ ...... M  20 κλεωνάσσησ M κλεονάσσησ O  Γένοον ego cf. 1 γένυον MO  20. 21 εὐρύχωρον MO  21 οὕτως ego ὁ MO  φιλ . κλῆσ M

[frg. 2] καὶ Θέογνις προεκδοθῆναί φασιν ὑπὸ Τυνδάρεω τὴν Ἑρμιόνην τῷ Ὀρέστῃ καὶ ἤδη ἐγκυμονοῦσαν ὑπὸ Μενελάου δοθῆναι Νεοπτολέμῳ καὶ γεννῆσαι Ἀμφικτυόνα· ὕστερον δὲ Διομήδει συνοικῆσαι. Σωσιφάνης δὲ καὶ Ἀσκληπιάδης φασὶν ἐξ αὐτῆς Νεοπτολέμῳ Ἀγχίαλον γενέσθαι, Δεξιὸς δὲ Φθῖον, Ἀλέξανδρος δὲ Πηλέα· Σκληριὰς δὲ ἐκ μὲν Ἀνδρομάχης Μεγαπένθην, ἐκ δὲ Ἑρμιόνης Ἀγέλαον, Μενεσθεὺς δὲ ὁ Ἀθηναῖος ὑπὸ Μήστορος εἰς εἱρκτὴν ἐμβληθῆναι αὐτήν, Μέναιχμος δὲ καὶ Ἀπολλόδωρος ἑαυτὴν διαχρήσασθαι. Πρόξενος δὲ ἐν τῇ πρώτῃ τῶν Ἠπειρωτικῶν Νεοπτολέμου μὲν Πίελόν φησι γεγονέναι, τὸν καὶ Πηλέα· οὐ μὴν ὅτι ἐξ Ἑρμιόνης, παραδεδήλωται: — MO

κεκρυμμένοις: οἱ φαύλως ὑπομνηματισάμενοι ἐγκαλοῦσι τῷ Εὐριπίδῃ φάσκοντες ἐπὶ τραγικοῖς προσώποις κωμῳδίαν αὐτὸν διατεθεῖσθαι. γυναικῶν τε γὰρ ὑπονοίας κατ' ἀλλήλων καὶ ζήλους καὶ λοιδορίας καὶ ἄλλα ὅσα εἰς κωμῳδίαν συντελεῖ, ἐνταῦθα ἀπαξάπαντα τοῦτο τὸ δρᾶμα περιειληφέναι. ἀγνοοῦσιν· ὅσα γὰρ εἰς τραγῳδίαν συντελεῖ, ταῦτα περιέχει ἐν τέλει, τὸν θάνατον τοῦ Νεοπτολέμου καὶ θρῆνον Πηλέως, ἅπερ ἐστὶ τραγικά: — MOA

ἄλλως: λαθραίοις. ἱκανῶς δὲ τὰ πάθη τῶν γυναικῶν καὶ τὰ ἤθη ἐν τοῖς ἑξῆς ἐξείργασται, ὑπονοίας, ζήλους, λοιδορίας κατ' ἀλλήλων: — O

37 τὸ ἐκλέλοιπα μέσου παρακειμένου ἐστί. ὡς οὖν τήκω αὐτὸν

---

1 θεόγνισ O . εο . . . . M  τυνδ . . . . M  2 καὶ ἤδη detrita M . . . . νοῦσαν M  . εο . . . . εμω M  3 γεννῆ . ἀμφι . υόνα M  σωσιφ . . . . M  4 ἀσκληπι . . . . M  φασὶν — αὐτῆς detrita M  5 Δεξιὸς — Φθῖον detrita M  φθίων O  . . . . . δροσ M  Σκληριάς ego σκληρὶσ O . κληρὶσ M  6 ἀγλαόν M  6. 7 μενεσ . . σ δὲ . ἀθη . . . . . . μή . . ροσ εἰσ ειρ M  7 ἐμβληθῆναι detritum M  Μέναιχμος ego μενέμαχοσ O μενέλαοσ M  8. 9 πρω . . . . ἠπειρω . . . M  9 Νεοπτολέμου μὲν detrita M  Πίελον ego πρέλλον O π . λλον M  . . . . νέναι M  9. 10 καὶ — μὴν detrita in M  10 ἐξ ego ἐξησ M ἐξῆσ O  ἑρμι . . . . M  11 οἱ φαύλωσ] οὐ φαύλωσ M οὐ φαύλωσ ὡσ O spatium ὡσ A  ὑπομνηματισάμενοι MO οἱ ὑπὸ μνήματι ὄντεσ A  12 διατελεῖσθαι A  13 γάρ τε A  καταλλήλων post ζήλους coll. A  14 συντείνει A  τὸ om. O  15 περιειληφέναι Cobet ἀπειληφέναι MOA  ἀγνοοῦντεσ A  16 ἐν τέλει post περιέχει collocaui, post Πηλέως MOA  ἐν τέλει OA ἐντέλειαν M  17 τραγῳδία M τραγῳδικὰ O  18 ἱκανὰ O  19 ἐξείργασται ego εἴργασθαι O  21 ἐστὶ παρακειμένου O  21 — p. 255, 1 οὖν — οὓ (primae litterae uocabuli οὕτως) detrita M  21 τήκω ego τέτηκα O

καὶ τέτηκα ὑπ' αὐτοῦ, οὕτως ἐκλέλοιπα ὑπ' αὐτοῦ, ἀντὶ τοῦ κατελείφθην: — MO

40 συνεργεῖ συμπράττει: — $M^{B}$

43 τὸ πλησιάζον τοῖς οἴκοις: — $M^{B}$

44 θάσσω: καθέζομαι διατρίβω παραμένω ἐάν πώς με τοῦ κινδύνου ἐξέληται: — MA

46 ἑρμήνευμα: ὑπόμνησιν ἄγγελον σημεῖον μνημόσυνον τεκμήριον. ταῦτα σημαίνει τὸ ἑρμήνευμα: — MA

τὸ ἐν τῷ Θετιδείῳ ξόανον λέγει ἱερὸν τῆς Θέτιδος· ἐκεῖ γὰρ ᾤκει Πηλεὺς σὺν Θέτιδι. ἑρμήνευμα δὲ λέγει αὐτό, ἐπεὶ ἑρμηνεύει καὶ εἰς ὑπόμνησιν ἄγει τοὺς γάμους τῆς Θέτιδος: — MOA

50 προσωφελῆσαι: ἐκ παραλλήλου τὸ αὐτό· τοῦτο γὰρ ἀκόλουθον ἦν ἐκείνου, καὶ δι' ἑκατέρου δηλοῦται· οὔτε ἐμοὶ πάρα προσωφελῆσαι οὔτε τῷ παιδί. ἡ δὲ ἀνάγκη τοῦ μέτρου τῆς ταυτολογίας αἰτία: — MOA

51 ὁ Νεοπτόλεμος ἐνεκάλει τῷ Ἀπόλλωνι ὑπὲρ τοῦ φόνου τοῦ Ἀχιλλέως, οὗ τιμωρήσασθαι τὸν Ἀπόλλωνα ἐζήτει. ὀργισθέντος οὖν τοῦ θεοῦ παρεγένετο ὁ Νεοπτόλεμος εἰς Δελφοὺς ἐκ δευτέρου ὑπὲρ τῆς τόλμης ταύτης ἐξιλεωσόμενος τὸν θεόν: — M

ἔνθα Λοξίᾳ δίκην δίδωσι μανίας: δίκην κόλασιν τιμωρίαν. λέγει δὲ τὴν ἀπολογίαν. ἣν τιμωρίαν ἀπῄτησεν τὸν Ἀπόλλωνα, ὅ ἐστιν· ἀνθ' ἧς ἀπῄτησε τιμωρίας τὸν θεόν, ἀπολογίαν δίδωσιν: — MOA

ἄλλως: τῆς τόλμης ἣν ἐτόλμησε δίκην ὑπὲρ Ἀχιλλέως αἰτήσας τὸν θεόν: — MOA

53 ἥντινά ποτε δίκην ᾔτησε Φοῖβον ὑπὲρ πατρὸς ὃν ἔκτεινεν Ἀπόλλων, ἵν' ᾖ γενικὴ ἀντὶ αἰτιατικῆς, ὥσπερ καὶ τὸ [Δ 357] 'ὡς γνῶ

---

1 οὕτως — αὐτοῦ om. O 3 συνεργεῖ Wil συνέρχεται $M^{B}$ 5 ἐάν πως ego ὅπως M εἴπως O 8 ταῦτα — ἑρμήνευμα om. A 9—11 scholio 7. 8 adi. A initio add. λέγει δὲ 9 θετιδίω O ξόανον om. M λέγει M φησὶν O om. A ἐπεὶ O ᤍκησε OA 10 λέγεται O 11 τοῦ γάμου M 12 initio add. ἐπ' αὐτοῦ τοῦτο O τοῦτο ego ταὐτὸ MO ταὐτὸν A 12. 13 ἀκόλουθον — καὶ om. A 13 post δηλοῦται add. τοῦτο γὰρ ἀκόλουθον ἦν εἰπεῖν οὕτω A 14. 15 ἡ — αἰτία om. A 17 οὗ ego ὃ M 18 ὑπὲρ ego ὑπὸ M 21 δὲ λέγει MA ἣν O ἢ ὅτι A ἧαν M 22 ἀνθ' ἧς] ὀρθῆς O ἀπολογίας M 24 αἰτήσας ego ᾐτήσατο MOA 27 αἰτιατικὴ ἀντὶ γενικῆς A

χωομένοιο' καὶ τὸ [Δ 100] 'ἀλλ' ἄγ' οἴστευσον Μενελάου κυδαλίμοιο'. γράφεται δὲ οὗ τίνει δίκην, ἵν' ᾖ· ὅπου, ἐν Πυθοῖ, τιμωρίαν δίδωσιν: — ΜΟΑ

ἄλλως: ᾔτησε Φοῖβον: ⟨Φερεκύδης⟩ ὑπὸ Μαχαιρέως φησὶ τὸν Νεοπτόλεμον ἀνῃρῆσθαι· οἱ δὲ ὑπὸ Ὀρέστου ὡς Εὐριπίδης καὶ ὀρθαίας καὶ Ξεναγόρας· οἱ δὲ ὑπὸ Φιλοξενίδα, ὡς Σουίδας· ἄλλοι δὲ ὑπὸ Μενελάου, ⟨ἐπεὶ⟩ ὑποσχόμενος ἐν Ἰλίῳ τὴν Ἑρμιόνην δώσειν αὐτῷ, αὖθις ἐβούλετο ⟨δοῦναι⟩ Ὀρέστῃ: — Ο

ἕνεκα τοῦ πατρός: — M$^{g}$

54 ἐξαιτούμενος: παρακαλῶν ἀξιῶν. τὸ δὲ ἑξῆς· ἀπὼν Δελφῶν κατ' αἶαν εἴ πως τὰ πρόσθε σφάλματ' ἐξαιτούμενος: — ΜΟΝΑ

57 ἄξιον ἐνόμιζον δέσποινάν σε καλεῖν: — M$^{i}$A$^{g}$

58 γράφεται τὸ σόν, ἵν' ᾖ τὸ ἑξῆς· τοὔνομα τὸ σὸν τὸ δεσποτικόν: — ΜΝΟ

60 καινοτέρους λόγους: — M$^{i}$

61 μή τις αἴσθηται δεσποτῶν: — M$^{i}$A$^{g}$

63 ἅ σοι φυλακτέα: ἅτινά σε χρὴ παραφυλάσσεσθαι καὶ προσκοπεῖν. ἢ ἅτινα μὴ ἐκφήνῃς τινὶ μηδὲ λέξῃς ἐμὲ μηνῦσαί σοι ταῦτα: — Α

65 τῇ πρότερον δεσποίνῃ: — M$^{i}$

δεικτικῶς ἑαυτὴν λέγει: — M$^{g}$NOA$^{g}$

70 ὁ Μενέλαος ἤκουσε: — M$^{i}$

72 τὸ πόθεν πέπυσται οὐκ οἶδα: — M$^{i}$A$^{g}$

οὐκ οἶδ', ἐκείνων: ἐκ τούτου δὲ ταῦτα ἐγὼ νενόηκα ὅτι Μενέλαος ἀφανὴς καὶ ἔκδημος τῶν οἴκων ἐπ' αὐτὸν γέγονεν: — Α

73 ἐκ τῶν οἴκων ἀφανὴς ἔκδημος: — M$^{g}$

77 οὕτως δυστυχεῖν κακῶς: — M$^{i}$O

---

1 χώσ μένοιο Α  καὶ τὸ Ο καὶ .... δηλονότι τὸ Μ καὶ Α  1. 2 κυδαλίμοιο γράφε detrita Μ κυλίμοι· ὃ γράφεται Ο  2 οὗ τίνει ΜΟ οὗ τινι Α  ᾖ om. Α  πυθῶ Α  4 ⟨Φερεκύδης⟩ ὑπὸ Μαχαιρέως ego cl. schol. Or. 1655 Pind. Nem. 7, 62 ὑπὲρ μαχαίρασ Ο  5 ἀναιρεῖσθαι Ο  ὀρθαίασ] latet nomen scriptoris  6 Σουίδας ego οὐίδασ Ο  7 ἐπεὶ addidi  8 δοῦναι addidi  10 ἀξι.. τὸ δὲ ..ησ Μ  11 πρόσθεν ΜΝΟ  13 scholio 10. 11 adi. ΝΟ add. δὲ post γράφεται  τ' ἑξῆσ Ν  τοὔνομα τὸ σὸν ego τοῦ ὀνόματοσ· ὃν ΜΝΟ  18 μηνῦσαί ego μηνύσασάν Α  19 ταῦτο Α  21 scholio 13. 14 adi. ΝΟ  22 ἤκουσεν ἡ ἑρμιόνη A$^{g}$  25 ἐπ'] εἰσ Α

λείπει ἡ κατά, ἵν' ᾖ· κατ' οὐδέν: — O

79 οὐδ' ἀμφὶ Πηλέως: οὐδὲ περὶ τοῦ Πηλέως κεκοίνωταί τι ἄρα ἥξοι. ἐν ἐρωτήσει δὲ προενεκτέον τὸν στίχον· οὐδὲ περὶ τοῦ Πηλέως ἀκηκοάς τι ὡς ἐρχομένου: — MOA

80 γέρων ἐκεῖνος: ἀντὶ τοῦ νωθὴς βραδύς, οἷον· τὸ γῆρας αὐτὸν ἐμποδίζει ὥστε ταχέως ἐλθεῖν καὶ βοηθῆσαί σοι: — MOA

ἄλλως: βραδύς, φησίν, ἐκεῖνός ἐστιν ἅτε ὑπὸ τοῦ γήρως ἐμποδιζόμενος ὥστε ἐλθεῖν καὶ βοηθῆσαί σοι. μᾶλλον δὲ ἁρμόζει ὑπὸ τῆς θεραπαίνης τὰ δύο ταῦτα ἰαμβεῖα λέγεσθαι· πυνθάνεται γὰρ τῆς Ἀνδρομάχης εἰ ἦλθεν ἡ φήμη ὡς ἥξοντος τοῦ Πηλέως ὃς δυνήσεται παρὼν αὐτῇ βοηθῆσαι, ἵν' ᾖ τὸ γέρων ἀντὶ τοῦ· ἱκανός ἐστιν ὁ Πηλεὺς ὠφελεῖν σε. ἢ ὁ χρονίζων πρὸς ὠφέλειαν καὶ παρὼν ἀδύνατος: — MOA

81 ἀλλὰ πρὸ πολλοῦ, φησίν, καὶ ἑτέρους ἀπέστειλα, ἵνα χειραγωγούμενος ἔλθῃ: — MA

83 ἀντὶ τοῦ οὐδαμῶς: — M$^g$

85 ἐν οὐ δέοντι γνωμολογεῖ τοσούτων αὐτὴν περιεστώτων κακῶν: — MNOA$^g$

87 λείπει τὸ οὖσι καὶ τὸ βοηθεῖν, ἵν' ᾖ· ἀπαγορεύεις ἐν κακοῖς οὖσι τοῖς φίλοις βοηθεῖν: — MNOA

ἀνανεύεις: — M$^g$

89 τὸ ἑξῆς· εἰμὶ καὶ εἴ τι μέλλω παθεῖν ἄτοπον: — MNOA

οὐ περίβλεπτος: οὐκ ἔνδοξος οὐ περιφανὴς οὐ τίμιος: — MNOA

οὐκ ἐπίσημος. κατ' ἐνίους δὲ γράφεται χωρὶς τοῦ οὐ· καὶ περίβλεπτος, ὥστε ἐν εἰρωνείᾳ τοὐναντίον λέγεσθαι: — MOA

1 scholio p. 256, 27 adi. O    scholiasta pro οὐκ ἂν legit οὐδὲν    2 οὐ MA    κεκοίνωταί τι ego κεκίνηται ὅτι MOA    3 ἥξει A    προσενεκτέον O    6 αὐτῶ O    post ταχέως add. αὐτὸν A    σοι om. A    9 ἰαμβεισ M    10 εἰ MO ἢ A    ἡ φήμη MO ἢ μὴ A    ἤρξαντο M    τοῦ om. O    11 αὐτὴν A    ἵν' ᾖ A ἵνα MO    ἐρων M    ἱκανῶσ M    11. 12 ἀφελεῖν σε A ὠφελεῖν σοι MO    12 ὁ χρονίζων A οὐ χρήζων M οὐ χρήτων O    τὴν ὠφέλειαν OA    13 ἀλλὰ καὶ A    16. 17 ad us. 85 rettulit A$^g$, ad us. 87 MNO, ad us. 93 Wil    16 οὐ δέοντι A$^g$ οὐδενὶ MNO    αὐτὴν περιεστώτων om. MNO    18 λείπει om. M    22 scholio 21 adi. A initio add. τὸ δὲ περίβλεπτοσ ἀντὶ τοῦ    οὐκ om. A    οὐ (prius) om. A    23. 24 scholio 22 adi. OA    23 οὐκ ἐπίσημος om. A    γράφεται δὲ καὶ χωρὶσ τοῦ οὐ κατ' ἐνίουσ A    δὲ γράφεται δὲ M    τοῦ] τῆσ O    24 ἐν εἰρωνείᾳ om. A spatio uacuo rel.

91 ἄπελθε νῦν: — $M^{g}$

93 ἐκπέμπομεν. διαλεγόμεθα. τοὺς θρήνους δηλονότι: — $MNOA^{g}$

94 γενικὴ ἀντὶ αἰτιατικῆς, ἀντὶ τοῦ τὰ παρεστῶτα κακά. δύναται δὲ τὸ τέρψις πληθυντικὴ εἶναι αἰτιατικὴ Ἰωνική, ἵν' ᾖ οὕτως· ἔμφυτον γὰρ ταῖς γυναιξὶν ἐπὶ στόματος ἔχειν τὰς τέρψιας τῶν παρόντων κακῶν: — MNOA

98 στερεὸν χαλεπὸν σκληρόν: — $M^{g}$

τὴν τύχην: — $M^{g}$

συνεζεύχθην: — $M^{g}$

99 τὸ ἑξῆς· εἰς δούλειον ἦμαρ πεσοῦσα ἀναξίως: — $M^{g}NOA^{g}$

100 χρὴ δ' οὔποτ' εἰπεῖν: τούτῳ συνᾴδει τὸ 'τέλος ὅρα μακροῦ βίου': — MNOA

ἄλλως: 'μήποτέ τις ⟨βροτὸν⟩ ἄνδρα πανόλβιον αὐδήσειεν
πρίν ⟨κεν⟩ ἴδῃ πῶς κεῖνος ἔχοι ποτὲ πότμον
ἐπισπών': — MNOA

103 Ἰλίῳ αἰπεινᾷ Πάρις: μονῳδία ἐστὶν ᾠδὴ ἑνὸς προσώπου θρηνοῦντος· ὥστ' οὔτε τὸ [1] Ἀσιάτιδος γῆς σχῆμα μονῳδία ἐστί· τραγῳδεῖ γὰρ καὶ οὐκ ᾄδει· οὔτε τὰ ἐν Θεοφορουμένῃ [FCG III p. 63] ᾀδόμενα· οὐ θρηνεῖ γάρ: — MNOA

ἄλλως: ἐν τῇ Ἰλίῳ τῇ ὑψηλῇ ἠγάγετο εἰς θαλάμους καὶ εὐνὴν νυμφευτικὴν τὴν Ἑλένην ὁ Πάρις, οὐ γάμον, ἐπαγόμενος δηλονότι, ἀλλά τινα βλάβην: — A

τὸ μέτρον ἐξ ἐλεγείων· τοῖς γὰρ ἐλεγείοις οὐ μόνον ἐπὶ θρήνων, ἀλλὰ καὶ ἐπὶ ἄλλων ἐχρῶντο: — $M^{1}N^{g}A$

104 σύγκοιτον: — $M^{1}$

---

2 ἐκπέμπομεν $MA^{g}$ ἐκτενοῦμεν NO 4 τὰ om. MA 5 πληθυντικὸν OA εἶναι αἰτιατικὴ om. M ᾖ om. ON ἔμφυτος A 6 τέρψεις MNO παρεστώτων NO om. M 11 εἰς om. NO ἀναξίως πεσοῦσα $A^{g}$ πεσόντα $M^{g}$ 12. 13 cf. Diogenian. 8,51 12 τοῦτο MNOA post τέλος add. τοῦ NO ὁρᾶν μακρὸν A 14 βροτὸν add. Cobet αὐδήσειε A αὐδήσει O 15 κεν add. Dindorf κεῖνος Cobet ἐκεῖνος MNOA πότμων MN 16 ἐπισπών Wil ἀπήμων MNOA 17 ᾠδὴ] τὸ δὴ A 18 ὥστ' οὔτε τὸ ego ὥστε τὸ MOA ὡς τό τε N 19 τραγῳδεῖ ego τραγῳδία MNOA ᾄδει ego ἔδει MNOA τὰ om. MNO Θεοφορουμένα ἢ MNO de Menandri fabula agi primus agnouit Fritzsche 21 καὶ εὐνὴν ego εὐνὴν καὶ A 24 ἐλεγείας $M^{1}A$

105 πεπορθημένην: — M$^{g}$

106 εἷλέ σ' ὁ χιλιόναυς: τῷ ἀπηρτισμένῳ ἀριθμῷ ἐχρήσατο· εἰσὶν γὰρ αἱ νῆες $\overline{\text{αρπς}}$: — MNOA$^{g}$

πολλὰς νῆας ἔχων: — M$^{1}$

ὁ Ἑλληνικὸς στρατός: — M$^{1}$A$^{g}$

107 καὶ τὸν ἐμὸν μελέας πόσιν: ἀπὸ κοινοῦ τὸ εἷλε, καὶ ἔστι τὸ μὲν ἀντὶ τοῦ ἐπόρθησεν, τὸ δὲ δεύτερον ἀντὶ τοῦ ἀνεῖλεν. εἴρηται δὲ Ὁμηρικῷ ζήλῳ ὡς τὸ [Λ 328] 'ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε δήμου ἀρίστω'. καὶ Πίνδαρος δὲ ἐχρήσατο ἐν τῷ [Ol. 1, 91] 'ἕλε δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον': — MNOA

τὸν περὶ τείχη: παρὰ τὴν ἱστορίαν· τρὶς γὰρ περὶ τὸ τεῖχος ἐδιώχθη ὑπὸ Ἀχιλλέως ὁ Ἕκτωρ [X 208], νεκρὸς δὲ περὶ τὸ Πατρόκλου σῆμα τρὶς ἐσύρη [Ω 16]: — MNOA

παρὰ τὴν ἱστορίαν τοῦτο λέγει. ἐδίωξεν γὰρ αὐτὸν τρὶς περὶ τὸ τεῖχος, περὶ δὲ τὸν τάφον τοῦ Πατρόκλου νεκρὸν ⟨τρὶς⟩ ἔσυρεν ὁ Ἀχιλλεύς: — M

108 εἵλκυσε διφρεύων: πρὸς τῷ δίφρῳ δεσμεύσας: — NOA$^{g}$

110 περιβαλοῦσα ἑαυτῇ τὴν δουλείαν. στολισαμένη: — M$^{1}$NO

111 ἀντὶ τοῦ ὀφθαλμῶν: — MA$^{g}$

114 λείπει τὸ γενομένην, οὖσαν: — M$^{g}$NO

116 τήκομαι κατ' ὀλίγον: — M$^{1}$A

ἀντὶ τοῦ λείβομαι: — M$^{g}$A

ὡς ἀπὸ πέτρας ἐκπηδῶσα σταγών: — M$^{1}$A

[σταγὼν] ὡς λιβὰς πηγὴν ἀπεργαζομένη: — A

ἀπὸ γῆς πιδύουσα, ὅ ἐστι πηδῶσα. τὸ δὲ ἑξῆς· τήκομαι ὡς λιβὰς πιδακόεσσα, ἣν πετρίνην εἶπεν διὰ τὸ ἀπὸ πετρῶν ἀναβλύζειν: — MOA

118 ἐγκαθεζομένη ἱκετεύεις: — M$^{1}$A$^{g}$

---

2. 3 = schol. Or. 352, locis illic adlatis add. schol. Thucyd. 1,10 3 $\overline{\text{αρος}}$ MA$^{g}$ $\overline{\text{αρπ}}$ N αρο (π superscr.) O 7 δεύτερον om. A 8 δίφρον] δῆμόν NO 9 δήμω A 9. 10 καὶ — σύνευνον om. A 9 τῷδ' NO 10 παρθενου M παρθένου ex παρθένον corr. N 11 ἱστορίαν — τεῖχος om. N τρίτον MA 12 ὁ] καὶ A τὸ om. A 13 σῶμα MNO τρίτον MNO ἐσύρει A 14 et 15 περὶ] ἀπὸ M 15 τρὶς om. M 17 lemma ex NO δεσμήσασ NO 20 scholio 18 adi. NO 22 scholio 21 adi. A 23 scholio 22 adi. A ἐκ πέτρασ πηδῶσα A 24 σταγὼν deleui 25 ἐπιδύουσα MA cf. et. m. p. 671,23 [Eust. p. 697,32] 26 πέτρινον A

119 καίπερ Φθιὰς οὖσα ἐγὼ καὶ Ἑλληνὶς πρὸς σὲ τὴν βάρβαρον ἦλθον: — MOA$^g$

121 θεραπείαν τῶν δυσκόλων πόνων εὑρεῖν: — MO

ἄλλως: τεμεῖν: ἀπὸ τῶν ῥιζοτομουμένων ἡ μεταφορά. τεμεῖν οὖν ἀντὶ τοῦ εὑρέσθαι: — MO

122 οἵ σὲ καὶ Ἑρμιόναν: οἵτινες πόνοι περὶ δύο λέκτρων ἔριδι συνέζευξαν Ἑρμιόνην καὶ σὲ τὴν ἐπίκοινον οὖσαν περὶ τὸν παῖδα τοῦ Ἀχιλλέως: — MOA

ἐπίκοινον οὖσαν σὲ τῶν περὶ τὸν Ἀχιλλέως παῖδα λέκτρων διδύμων, ὅ ἐστι· τῶν περὶ τὸν Ἀχιλλέως παῖδα λέκτρων κοινωνὸν σὲ οὖσαν: — MOA

συνέκλῃσαν: συνέβαλον συνέζευξαν: — MO

καὶ ἄλλως: οἵτινες πόνοι σὲ καὶ τὴν Ἑρμιόνην συνέζευξαν ⟨ἔριδι⟩ περὶ δύο λέκτρων, σὲ τὴν ἐπίκοινον ἐοῦσαν περὶ τὸν παῖδα τοῦ Ἀχιλλέως: — MO

κοινωνόν: — OA$^g$

ἀντὶ τοῦ· κοινωνοῦσαν τῇ Ἑρμιόνῃ τῶν περὶ τὸν Ἀχιλλέως παῖδα λέκτρων: — M

124 ἐπίκοινον ἐοῦσαν: περιττὴ ἡ μία ἀμφί, ἐὰν συνάψωμεν * * τὴν στιγμήν· κοινωνὸν οὖσαν περὶ τὸν παῖδα τοῦ Ἀχιλλέως τῶν δύο λέκτρων: — MOA

127 ἐν ἤθει. τοῖς δεσπόταις φιλονεικεῖς καὶ ἀνθίστασαι: — MA

128 ἐγγενέταισι: ἐγγόνοις ἢ πολίταις: — MOA$^g$

σύγκρινε ὅτι σὺ μὲν Τρῳάς, αὕτη δὲ Λακεδαιμονία: — MOA

---

1 καὶ περιφθίας O φθιὰς M  ἐγὼ καὶ M φησὶ O καὶ A$^g$  ἑλληνικη M  1. 2 ἤλθον πρὸς σὲ βάρβαρον οὖσαν OA$^g$  1 εἰς M  2 in fine add. τῷ γένει O τὸ γένος A$^g$  4 τῶν ῥινοτομουμένων M τὴν ῥιζοτομουμένην O  5 ἀντὶ τοῦ M αὐτὰ O  6 οἵτινες πόνοι MA οἵ τινες σὲ πόνοι καὶ ἄλλως οἵ σὲ καὶ ἑρμιόνην οἵ τινες πόνοι O  ἔριδα A  7 συνέζευξεν MO  9—11 scholio 6—8 adi. MO  9 ἐπίκοινον—παῖδα om. O  τὴν M τὸν παῖδα τοῦ ἀχιλλέως A  10 τῶν om. MO  περὶ τὸν] ὑπὸ τοῦ MOA  παιδὶ MOA  13 ἔριδι addidi  16 scholio 13—15 add. O  19—21 scholio 16 adi. O  19 περιττὴ ἡ μία M περιττὴ ἡ O om. A  20 lacunam indicaui  διδύμων A  22 post ἤθει add. τοῦτο τὸ ἀμιλᾶ φησὶ A  φιλονεικεῖν MA  ἀνθίστασθαι MA  23 ἔγγονος M ἔγγονοι O  πολῖται O  24 scholio 23 adi. MO  σύγκρινε ego συγκρίνει MOA  λακεδαιμονίαν M

129 λεῖπε δεξίμηλον: ἄγαλμα λεῖπε τῆς ποντίας θεοῦ [δεξιμήλου]: — MO

130 οἷον· τί ὠφελῇ ἐκτήκουσα σαυτὴν δακρύοις καὶ λύπαις καὶ ἐπαναγκάζουσα τοὺς δεσπότας ἀδικεῖν σε: — MOA

ἄλλως: τὸ καταφυγεῖν σε ἐπὶ τὸν βωμὸν τῆς Θέτιδος βλάβην καὶ δάκρυα καὶ αἰκισμούς σοι προστρίψεται ἐκ τῆς τῶν δεσποτῶν ἀνάγκης, εἰ μὴ γνωσιμαχήσασα ἀναστήσῃ ἀπὸ τοῦ βωμοῦ καὶ ἐπὶ τὸ κολακεύειν τραπήσῃ: — MOA

131 καιρός: ἀντὶ τοῦ ὠφέλεια. ἀτυζομένῃ δὲ αἰκιζομένῃ, ἢ λυπουμένῃ, παρὰ τὴν ἄτην: — MOA

ἀπρεπῶς καὶ ἐπιπόνως: — $MOA^R$

ἀπρεπῶς κατατήκειν: — $M^R$

133 τὸ κρατοῦν: καταλήψεται, ἀντὶ τοῦ· οἱ δεσπόται κατὰ σοῦ ἐλεύσονται· διὸ ὑποχώρει. γράφεται δὲ σὲ πείσει, οἷον· ἂν ἐμοὶ μὴ πείθῃ, πεισάτωσάν σε οἱ δεσπόται, δυσωπήσει σε τὸ ἀπηνὲς τῶν δεσποτῶν: — MOA

134 δούλη οὖσα: — $M^1O$

τί κάμνεις οὐδὲν οὖσα· δούλη γὰρ εἶ: — $M^1OA^R$

136 γνῶθι δ' οὖσα ἐπὶ ξένης ⟨δμωὶς⟩ ἐπ' ἀλλοτρίας πόλεως: ἐπὶ ξένης εἰσὶν οἱ τὴν πατρίδα ἐάσαντες καὶ ἄλλης πόλεως ἐπιβαίνοντες, ἑκατέρων μέντοι τῶν πόλεων ὑπὸ ἑνὸς βασιλευομένων, ὡς οἱ ἐκ Φαρσαλίας εἰς Φθῖαν μεταβαίνοντες· ἄμφω γὰρ αἱ πόλεις ὑπὸ Πηλέα ἦσαν· ἐπ' ἀλλοτρίας δέ εἰσιν οἱ ἄλλων πόλεων ἐπιβαίνοντες ὑπὸ διαφόρων βασιλευομένων, ὡς οἱ ἐκ Φθίας εἰς Λακεδαίμονα ἀπιόντες.

1 post ἄγαλμα add. τᾶσ ποντίασ θεοῦ M τὰσ ποντίου O 1. 2 δεξιμήλου deleui δεξίμηλον δέ ἐστιν * * Wil 3. 4 scholio 1. 2 adi. MO initio add. δεξίμηλον M δεξίμηλον δέ ἐστιν O scholio 9. 10 adi. A 5 βλάβεισ M 7 προστρέψεται O 7 γνῶσ μαχήσασα MO ἀναστήσῃ ἀπὸ ego ἀνάστα ἀπὸ M ἀναστένησ ἐπὶ O ἀποσταίησ A τὸ] τῶ M 8 τραπεῖσ M τραπεὶσ O 9 ὠφέλιμοσ ὠφέλεια OA 10 ἢ om. MA περὶ O αὐτὴν M 11 scholio 9. 10 adi. MO 13 καταλείψεται MO καταλείψει A κατὰ om. A 14 γράφεται δέ O γράψον δέ A γράφεται om. et δέ σε πείσει pro nouo lemmate ponit M οἷον ἂν] οἷον οὖν M οἱονεὶ καὶ OA 15 οὐ O δυσωπήσει] πείσει A 15. 16 τὸ ἀπηνὲς — δεσποτῶν om. A 17 scholio 13—16 adi. O 18 scholio 17 adi. $M^1O$ 19 γνῶθι — ξένησ lemma in MO οὖσ' ἐπὶ ξένησ in A ἐπ' ἀλλοτρίασ πόλεωσ initium scholii MOA 21 τῶν βασιλευομένων M 22 Φαρσαλίας] φθίασ O 23 ante ἄλλων add. ἐπι M ἐπὶ O

ἡ μὲν γὰρ ὑπὸ Πηλέα, ἡ δὲ ὑπὸ Μενέλαον. οἱ οὖν ἐπ' ἀλλοτρίας πόλεως ὄντες πάντως καὶ ⟨ἐπὶ⟩ ξένης, οὐκέτι δὲ οἱ ἐπὶ ξένης ἐπ' ἀλλοτρίας. σὺ οὖν, φησίν, ὦ Ἀνδρομάχη, καὶ ἐπὶ ξένης καὶ ἐπ' ἀλλοτρίας· ἐκ βαρβάρων γὰρ εἰς Ἕλληνας ἦλθες: — MOA

141 οἰκτροτάτα γάρ: λείπει ἡ εἰς, οἷον· οἰκτροτάτη οὖσα ἦλθες εἰς τοὺς ἐμοὺς δόμους. ἐπειδὴ εἶπεν ὦ δυστυχεστάτα παντάλαινα νύμφα, ἐπήγαγεν οἰκτροτάτη γάρ, ἀντὶ τοῦ· εἰκότως γάρ σε δυστυχεστάτην εἶπον, διότι οἰκτρὰ καὶ ἐλέους ἄξια παθοῦσα τῇ Θεσσαλίᾳ ἐπέβης. ἢ οὕτως· οἰκτείρω γάρ σε ἀκριβῶς δεινὰ πάσχουσαν, καὶ ἡ ἄφιξίς σου ἡ ἐνταῦθα ἐμοὶ μὲν λύπης πρόξενος γέγονεν: — MOA

ἐλέους ἐμοὶ ἀξία: — M[i]

εἰς τοὺς ἐμοὺς οἴκους: — M[i]

142 ἐλεῶ σε, φησίν, ⟨ἀλλὰ⟩ φοβουμένη τοὺς δεσπότας ἡσυχάζω καὶ οὐκ ἐπιδείκνυμι τὴν εἰς σὲ συμπάθειαν: — A

ἀντὶ τοῦ· διὰ τὸν φόβον τῶν ἐμῶν δεσποτῶν σιωπῶμεν τὴν πρὸς σὲ συμπάθειαν ἐνδείξασθαι μὴ δυνάμεναι: — M[i]M[g]OA

143 ἡσυχίαν ἄγομεν: τὸ ἑξῆς· ἡσυχίαν ἄγομεν μὴ παῖς τᾶς Διὸς κόρας, ἀντὶ τοῦ· δεδοικυῖα μὴ τὴν εἰς σὲ εὔνοιαν αἴσθηται ἡ Ἑρμιόνη· ἔνδοθέν γε μὲν ἀνιῶμαι περὶ σοῦ: — MOA

† οὕτω δὲ σύντασσε· ἀθλιωτάτη σύ, ὦ Ἰλιὰς γύναι, εἰς τοὺς ἐμοὺς οἴκους, τοὺς Ἑλληνικοὺς δηλονότι, ἔβης· τὸ γὰρ σὸν οἴκτῳ φέρουσα τυγχάνω, δεσποτῶν δὲ ἐμῶν φόβῳ ἡσυχίαν ἄγω μήπως ἡ παῖς * *: — A

145 τῆς Ἑλένης: — M[g]

---

1 ἡ μὲν] ἦν M    οἱ δὲ ἐπι M    μενελάου O    οἱ οὖν Dindorf οἷον MOA    1. 2 ἀλλοτρίων πόλεων M    2 ἐπὶ ξένης ego ξένοι MOA    4 γὰρ om. O    5 post οἷον add. ὡς ἰλιὰς οὖσα ὦ γύναι A    6 ἐμοὺς om. MO    ἐπειδὴ δὲ A    δυστυχεστάτη OA    7 νύμφη OA    οἰκτροτάτη γάρ MO οἰκτροτάτην A    γάρ σε] δὲ A γὰρ O    8 τῇ] ἐν O    9 ἢ οὕτως om. O    οἰκτρὰ παθοῦσαν A    10 ἄφιξις—ἡ] ἀμ O cetera in fine lineae omissa    μὲν Wil μόνη MOA    γέγονας O    13 ἀλλὰ addidi    15 ἀντὶ τοῦ om. M[g]OA    τῷ δὲ φόβῳ A    ἐμῶν om. M[i]    ἡσυχάζομεν M[i]    16 ἐνδείξασθαι ante σιωπῶμεν coll. M[g]    μὴ δυνάμεναι post ἡσυχάζομεν coll. M[i]    δύναμαι O    17—19 scholio 15. 16 adi. A    17 ἀνάγομεν A    τοῦ MA    18 ἡ om. O    19 με A    ἀνιῶμαι — σοῦ om. A spatio uacuo relicto    ἀνιῶμεν O    23 in fine signum lacunae A

146 εὐνοοῦσαν: — $\mathrm{M^g}$

147 κόσμον μὲν ἀμφὶ κρατί: πρὸς τὸν χορὸν ταῦτά φησι προκατασκευάζουσα ὅτι πρεπόντως ἐλευθερίως λαλεῖ καὶ ἐξουσιαστικῶς. ὡς οἴκοθεν τὸν πλοῦτον κομίζουσα: — ΜΑ

κόσμον μὲν τῆς χρυσέας χλιδῆς ἀμφὶ τῷ ἐμῷ κρατί: — $\mathrm{OA^g}$

πολυτελείας: — $\mathrm{M^g}$

τρυφῆς: — $\mathrm{M^gA^g}$

148 τὸν στολισμὸν, τὴν ἐσθῆτα: — $\mathrm{M^gA^g}$

150 οὐκ ἀπαρχὰς, οὐ δωρεὰς, οὐ φερνὰς ἔχουσα. αὐχεῖ δὲ ἐφ' οἷς τὰ τοῦ πατρὸς φορεῖ. ἐπίτηδες δὲ ὁ Εὐριπίδης τοὺς Λάκωνας κωμῳδῶν ὡς ἐχθροὺς τοῖς Ἀθηναίοις Λακωνικῷ προσώπῳ ἀλαζονικὰ ῥήματα προσάπτει: — ΜΟΑ

153 ἔδνα νῦν ἐκάλεσε τὴν προῖκα καὶ τὰ παρὰ τοῦ πατρὸς κειμήλια. Ὅμηρος οὐχ οὕτως, ἀλλὰ ἐπὶ τῶν παρὰ τοῦ νυμφίου προσφερομένων τάσσει τὴν λέξιν [β 53]· 'Ἰκαρίου ὅς καὐτὸς ἐεδνώσαιτο θύγατρα', ἀντὶ τοῦ· ἔδνα λαβὼν ἐκδοίη: — ΜΟΑ

μετὰ παρρησίας λαλεῖν: — Ο

155 οὐδὲ οἰκογενὴς δούλη, ἀλλ' αἰχμάλωτος οὖσα: — $\mathrm{M^iA^g}$

ἐν ἤθει: — $\mathrm{M^iA^g}$

158 ἀκύμων: ἄτοκος. ἡ ὑποδεχομένη σποράν, μὴ γινομένη δ' ἔγκυος: — ΜΑ

159 † δεινὴ γὰρ ἠπειρῶτις: ἡ ἠπειρῶτις ψυχὴ εἴτε Ἀσίας εἴτε Εὐρώπης· τὰς γὰρ ἑκατέρωθι ἠπείρους βάρβαροι οἰκοῦσι, τὰ δὲ παράλια μέρη Ἕλληνες ὡς ἐπὶ τὸ πλεῖστον: — Α

δεινὴ γὰρ εἰς φαρμακείαν ἡ φύσις τῶν τῆς ἑτέρας ἠπείρου γυναικῶν. λέγει δὲ τῆς Ἀσίας: — ΜΟΑ

---

2 lemma ex A lemmate οὐ τῶν ἀχιλλέως ad 149 relatum M φησι om. A 2. 3 προκατασκευάζει A 3 ὅτι ταῦτα M post πρεπόντως clausulae signum ponit nouumque scholion incipit M ἐλευθέρως M 5 τὰς χρυσέας χλιδὰς O 7 cf. us. 1 9 οὐκ ἀπαρχὰς οὐ om. A φρένας M δὲ om. A 10 λάκωνας OA κόλακας M 11 ante ἀλαζονικὰ add. καὶ A 12 προσάπτει ego προσάγει A περιάπτει M περιάπτει O 13 ἐκάλεσα M παρὰ om. MO 14 cf. Lehrs. Aristarch. p. 197 οὐχ — ἀλλὰ] οὐ καλὰ A 15 τάσσεις A καὶ αὐτὸς A ἐδνώσαιτο A ἐδνώσαιτω M ἐδνώσατο O 15. 16 θυγατέρα A 16 ἐκδώσει M ἐκδώσειεν O 17 scholio p. 261,18 adi. O 20 γενομένη A 21 δ' ἔγκυος Dindorf δ' ἐκτός A δεκτός M 25. 26 scholio 22—24 adi. A 25 τῶν om. M

ἀντὶ τοῦ βάρβαρος· τὰς γὰρ ἠπείρους βάρβαροι οἰκοῦσιν: — MOA$^g$

160 φαρμάκων δηλονότι: — M$^1$A$^g$

163 ἦν δ' οὖν βροτῶν: ἀντὶ τοῦ· εἰ δὲ ζήσῃ: — MO

ἄλλως: εἰ δέ τις θεῶν ἢ ἀνθρώπων σῶσαι θελήσει σε, ποιήσει σε καταπτῆξαι καὶ ὑποτάξαι σαυτὴν ἐμοί: — MOA

164 πλουσίων παρρησιαστικῶν ὑπερηφάνων. τοῦτο γὰρ ταῖς ὀλβίαις ἁρμόζει τὸ φρόνημα: — MOA

165 δουλεῦσαι ὑποπεσεῖν. ταπεινωθεῖσαν φοβηθῆναι: — M

166 καταστέλλειν, παρὰ τὸ σάρον, ὡς παρὰ Σώφρονι [frg. 31] 'τὸ σάρον ἄνελε': — MA

167 τευχέων: σημαίνει καὶ τὸ πολεμικὸν ὅπλον, σημαίνει δὲ καὶ τὸ ἀγγεῖον: — A

ἀντὶ τοῦ ῥαίνουσαν· ὡς γὰρ οἱ σπείροντες ῥίπτουσι τὰ σπέρματα ἐν τῇ γῇ, οὕτως καὶ οἱ ῥαίνοντες τὸ ὕδωρ. Ἀχελῷον δὲ πᾶν ποτάμιον ὕδωρ φασὶν ὡς δρῦν πᾶν δένδρον καὶ ἀκρόδρυα πάντας τοὺς καρπούς: — MOA

168 οὐ γὰρ ἔσθ' Ἕκτωρ τάδε, οὐ Πρίαμος: ὁ λόγος· νῦν οὔτε ἐπὶ ἀνδρὶ Ἕκτορι σεμνύνῃ οὔτε ἐπὶ κηδεστῇ Πριάμῳ ὡς βασιλεῖ οὔτε ἐπὶ πλούτῳ, ἀλλὰ δούλη γεγονυῖα τὰ δούλων ὀφείλεις φρονεῖν: — MOA

ἐνταῦθα: — M$^g$

169 ἀντὶ τοῦ· Ἑλληνικὴ πόλις: — M$^g$

170 ἀνοίας: — M$^g$

ἀποφατικῶς ἀναγνωστέον: — M$^g$A$^g$

171 τῷ Νεοπτολέμῳ τῷ τοῦ Ἀχιλλέως παιδί: — M$^g$A$^g$

172 αὐθέντου: ἀντὶ τοῦ αὐτοέντου, τουτέστι φονέως, τοῦ δι' ἑαυτοῦ ἱέντος τὸ ξίφος: — MNOA

---

3 εἰ δὲ ζήσῃ Wil et ego εἰ δὲ ζητήσεις O ἢ ζήτησις M  4 lemma ex MO  θελήσει σε] θέλης M θέλει σε O θελήσει A  6 καὶ ὑπερηφάνων A  8 ταπεινωθῆναι M, correctum ex A$^g$B  9 παρὰ — σάρον om. A  σαρὸν M  ὡς παρὰ A ὥσπερ M  9. 10 τὸ σάρον M σαρῶν A  13 σπείροντες ῥίπτουσι τὰ σπέρματα A ῥίπτοντες τὰ σπέρματα σπείρουσιν MO  14. 15 cf. Didym. ap. Macrob. 5, 18, 9 Hesych. schol. Ω 616 Φ 194 et. m. p. 181, 12 Eust. p. 353, 16. 500, 47. 1231, 12  18 σεμνύνεσθαι δύνῃ malim  19 γενομένη A  25 ἀντὶ τοῦ om. M  ἀντὶ — αὐτοέντου om. A  φονέως τουτέστι A  26 ἰόντος MNO cf. Phryn. Bekk. anecd. p. 15, 9 αὐθέντης ὁ αὐτόχειρ. ὃ σύγκειται παρὰ τὸ εἶναι ὅπερ ἐστὶν ἀφεῖναι καὶ παρὰ τὸ αὐτός, οἷον ὁ ἀφεὶς ξίφος ἢ ἄλλο τι πρὸς τὸ ἀποκτεῖναί τινα. Σοφοκλῆς [OR 107] δὲ λύσας τοὔνομα αὐτοέντης εἶπεν. ἔστι δὲ πολιτικώτερον τὸ αὐθέντης. schol. Tro. 660

174 πάντα Περσικὰ ἔθη: — M$^{g}$A$^{g}$
175 οἱ συγγενεῖς: — M$^{g}$A$^{g}$
176 ἀντὶ τοῦ ἔρχονται: — M$^{g}$
ἐπέχει κωλύει, αὐτοὺς δηλονότι: — M$^{i}$NOA$^{g}$
οὐδεὶς νόμος κωλύει ταῦτα πράττειν: — M$^{i}$NOA$^{g}$
177 ἐν ἡμῖν πρᾶττε: — M$^{g}$
τῶν βαρβάρων τὰ ἔργα: — M$^{g}$A$^{g}$
179 εἰς μίαν δέ· ὁ γὰρ ἀλλά ἀντὶ τοῦ δέ: — M
εὐνῆς τέρψιν, σύγκοιτον δηλονότι: — M$^{g}$
181 ἀντὶ τοῦ γυνή. ἡ τῶν θηλειῶν φρόνησις ἐπίφθονος: — MA
ἄλλως: θηλείας φρενός ἀντὶ τοῦ θήλεια φρήν· φθονερόν τι γένος ἡ γυναικεία φρήν: — MA
ἄλλως: χρῆμα τῆς θηλείας φρενὸς τὸ φθονεῖν: — MA
182 ταῖς ὑπὸ τοῦ αὐτοῦ ἀνδρὸς γεγαμημέναις: — M
184 διὰ τὴν προπέτειαν κακὸν τὸ νέον.
'ἡ νεότης ἀσύφηλος ἀεὶ θνητοῖσι τέτυκται·
εἰ δὲ δίκην βλάπτοι, πουλὺ χερειοτέρη': — MO
186 ἀντὶ τοῦ· ὑποχείριόν σοι εἶναί με: — M$^{i}$A$^{g}$
187 τῆς παρρησίας με διώξεις: — M$^{g}$A$^{g}$
188 ὑπομείνω ὑποστῶ. κατὰ κοινοῦ δὲ τὸ ταρβῶ. ὁ δὲ λόγος· ἐὰν ἐπιτύχω τῷ λέγειν, πάλιν εὐλαβοῦμαι μὴ μείζονα ἐμαυτῇ βλάβην προσβάλω διὰ τὸ ἐξελέγξαι σε: — MOA

189 οἱ μέγα φρονοῦντες βαρέως φέρουσιν ἐπὶ τῷ παρὰ τῶν ἐλασσόνων δικαιοτέρους λόγους ἀκούειν καὶ ἐλέγχεσθαι: — MOA

192 ἀξιοπίστῳ, ἔχοντι ἐν ἑαυτῷ πίστιν. ὁ δὲ νοῦς· τίνι βεβαίῳ λογισμῷ πεισθεῖσα ἐγὼ ἀπωθῶ σε τοῦ γνησίου γάμου: — MOA

5 scholio 4 adi. NO 9 εὐνῆς ego εὐγενῆ M$^{g}$ 10 γυνή om. A in fine add. ἐπίμεμπτος ἐπίψογος φθονερά A 11 θηλείας — θήλεια φρήν om. A 13 ἄλλως ego ἀλλὰ M om. A φρενὸς — φθονεῖν om. M 16 ἀσύφιλος M ἀσύμφελος O τέτακται O 17 δίκην — χερειοτέρη] δίκαιον οὐ δύναται ἔχειν χερειοτέρα O πολὺ M 19 ἐκδιώξῃ uel διώσῃ Wil ἀπώσῃ ego 20. 21 ὑπομείνω — λόγος om. O 20 τὸ δὲ ταρβῶ κατὰ κοινοῦ A 20—22 ὁ — σε om. M 21 ἐὰν δὲ O τοῦ O 22 προσβάλω ego καταβάλω Wil πάλιν περιβάλω A ἐπιβάλω O ἐ$^{λ}$λέγξαι O 23 οἱ μεγαλοφρονοῦντες A οἰκεῖα φρονοῦντες O ὑπὸ A τῷ παρὰ om. A 25 ἀξιοπίστως M ἔχοντες A νοῦς MO λόγος A

193 θαρρήσασα: — $M^g$

ἀποδιώκω ἐκβάλω: — $M^g$

194 ἐρωτηματικῶς μετὰ ὑποκρίσεως. τούτῳ δὲ ὑπακουστέον τὸ οὐ δήπου γε, ἀντὶ τοῦ· οὐ δήπου γε ἡ Λάκαινα πόλις μείων ἐστὶ τῶν Φρυγῶν. ὁ δὲ νοῦς· [ἀντὶ τοῦ] οὔτε κατὰ πόλεως δόξαν οὔτε κατὰ ἡλικίαν οὔτε κατὰ τύχην σοῦ βελτίων οὖσα πῶς σε ἐξωθῆσαι δύναμαι: — MOA

195 τύχῃ θ' ὑπερθεῖ: τῇ εὐδαιμονίᾳ ὑπερβάλλει ἡ Φρυγῶν πόλις τὴν Λάκαιναν· ᾧ πάλιν ὑπακουστέον τὸ οὐ δήπου. ἀκολούθως δὲ ἐπάγει κἄμ' ἐλευθέραν ὁρᾷς, οὐ δήπου αἰχμάλωτον: — MOA

εὐτυχίᾳ ὑπερβαίνει: — $M^g$

196 στερρῷ ἀκμάζοντι: — $M^g$

197 ἐπερειδομένη: — $M^g$

199 πρὸς τί χρήσιμον ἀφορῶσα βούλομαί σε ἐκβάλλειν; ἵνα τέκω παῖδας; καὶ τί με ὠφελήσουσι; δοῦλοι γὰρ ἔσονται καὶ αὐτοί: — MOA

200 προσθήκην κακῶν βάρους. ἐκ μεταφορᾶς τοῦ μικροῦ πλοίου τοῦ ἐφελκομένου τῷ μεγάλῳ: — MOA

201 ἦ τοὺς ἐμούς τις: ἦ ἄρα. διαπορητικὸς δὲ ὁ λόγος· ἦ ἄρα τυράννους ὄντας τοὺς ἐμοὺς παῖδας ⟨ἂν⟩ ἀνέξαιτό τις: — MOA

πιστώσεται καταδέξεται: — $M^i$

203 ὁ πᾶς λόγος ἐν εἰρωνείᾳ ἐστίν· ναί, φησί, βασιλεύσουσιν οἱ ἐμοὶ παῖδες· φιλοῦσι γάρ με οἱ Ἕλληνες καὶ δι' ἐμαυτὴν καὶ διὰ τὸν Ἕκτορα, Ἕκτορα μὲν ὡς εὐεργέτην τιμῶντες, ἐμὲ δὲ ὡς μὴ βάρβαρον καὶ οὐ πολεμίαν περιφανῆ αὐτοῖς γενομένην ἐλεοῦντες: — MOA

ὅθεν εἰκὸς τοὺς Ἕλληνας νῦν με μισεῖν περιφανῆ πολεμίαν αὐτοῖς γενομένην: — MOA

---

3 τοῦτο δι' ὑπακουστέον A 4 οὐδέπουγε M οὐδέ που ἤ γε O οὐδέ ποτε A 5 ὁ δὲ νοῦς om. A 5—7 ἀντὶ—δύναμαι scholio p. 265, 25. 26 adi. A 5 ἀντὶ τοῦ deleui 6 τέχνην A ἀπωθῆσαι M 9 τὴν Λάκαιναν ego τῆς λακαίνης MOA 10 ἐλεύθερον M 14 πρὸς MA ἄρα O τί AO τὸ M ἐκβαλεῖν A 16 ἀποθήκην M βάρους ego βάρος MOA σμικροῦ A 18 ἦ—λόγος om. A 19 εἰ OA ἂν ἀνέξαιτο ego ἀνέξαιτο A καταδέξεται MO 20 πιστώσεται ego πισθήσεται $M^g$ 21—24 scholio 25. 26 adi. A add. δὲ post ὁ 21. 22 ὁ—παῖδες om. M 21 βασιλεύσωσιν A βασιλεύουσιν O 22—24 φιλοῦσι—ἐλεοῦντες scholio 8—10 adi. M 23 post δὲ add. εἰ A 24 οὐ om. A γινομένην A 25. 26 scholio 21—24 adi. O 25 νῦν om. A

204 ἀφανὴς ἄσημος. ἆρα, φησίν, οὐκ οἶσθα τὴν τύχην ὅτι τύραννος ἦν ἐγὼ τῶν Φρυγῶν καὶ μισοῦμαι ὑπὸ τῶν Ἑλλήνων: — MOA

206 ὁ εἰ ἀντὶ τοῦ ἐπεί· ἀλλ' ἐπεὶ μὴ ἁρμοδία τυγχάνεις εἰς τὸ συνοικεῖν ἀνδρί, διὰ τοῦτο μισῇ: — MOA

καταθύμιος ἁρμοδία: — M[B]A[B]

207 τὸ εἰδέναι πῶς δεῖ συνοικεῖν ἀνδρὶ καὶ δι' ὧν εἰς στοργὴν καὶ εὔνοιαν αὐτὸν ἐπάγοιο. οὐ γὰρ τὸ κάλλος αἴτιον τοῦ φιλεῖσθαι, ἀλλ' αἱ ἀρεταί. ἀρετὴ δὲ γυναικὸς ἡ πρὸς τὸν ἄνδρα ὁμόνοια: — MOA

τὸ ἐπιτηδείως συνοικεῖν: — M[B]

209 σὺ δ' ἄν τι λυπηθῇς, ἀπὸ πατρίδος καὶ πλούτου καὶ τύχης ὑβρίζεις τὸν ἄνδρα σου καὶ τὴν μὲν σαυτῆς πατρίδα τὴν Λακεδαίμονα προφέρεις ὡς εὐτύχημα μέγα, τὴν δὲ Σκῦρον ἐκφαυλίζεις: — MOA

211 ἀντὶ τοῦ· πλουτεῖν λέγεις ἐν τοῖς πλοῦτον μὴ ἔχουσιν· ἐπεὶ ἡ Ἑρμιόνη ἔλεξεν ἀνωτέρω [147] τὸν κόσμον καὶ τὴν ἐσθῆτα μὴ ἐκ τοῦ Πηλέως ἔχειν, ἀλλὰ παρὰ τοῦ πατρός. τοῦτο δὲ ἦν ὀνειδίζειν εἰς πενίαν τὸν ἄνδρα: — MA

ἄλλως: ἐν μὴ πλουτοῦντι, τῷ Νεοπτολέμῳ. τοῦτο τείνει πρὸς τὰ ἀνωτέρω ῥηθέντα κόσμον μὲν ἀμφὶ κρατὶ χρυσέας χλιδῆς: — A

214 φρονήματος ἕνεκεν μὴ ἁμιλλᾶσθαι καὶ στασιάζειν πρὸς τὸν ἄνδρα, οἷον· μὴ θέλειν τῷ εὐγενεστέραν εἶναι ἢ πλουσιωτέραν τοῦ ἀνδρός, φρονεῖν μέγα καὶ διὰ τοῦτο παρατετάχθαι τῷ ἀνδρὶ πρὸς ἅμιλλαν: — MOA

215 τὴν χιονιζομένην· δυσχείμερος γὰρ ἡ Θράκη: — M[B]A

216 βάρβαρον ἔθος τὸ ἐπιπαλλακεύεσθαι. ταῦτα δὲ οὐκ ὀρ-

1 ἀφανὴς ἄσημος om. A ἆρα A τὴν τύχην ὅτι ego ὅτι τὴν τύχην MOA 2 ἦν om. A μισούμενος A 3 ὁ MO τὸ A ἐπεὶ (alterum) O ἐπειδὴ MA 6 εἰς στοργὴν B ἱστουργεῖν M τὴν εἰς στοργὴν O εἰς ὀργὴν A 7 ἐπάγοιο Wil ἐπάγοιτο M ἐπαγάγοιτο OA 10 σὺ — λυπηθῇς] ἀντὶ τοῦ λυπηθεῖσα A ὑπὲρ A 11 post σου clausulae signum ponit nouumque schol. inc. A lemmate proposito ἡ λάκαινα μὲν πόλις et pro καὶ scripto ἀντὶ τοῦ 12 προφέρεις Matthiae προσφέρεις MOA εὐτυχεῖ A ἐκφαύλης M ἐκφαυλεῖς O 13 ἀντὶ — λέγεις om. A 14 ἔλεγεν A τὴν om. M 15 παρὰ om. A ὀνειδίζειν εἰς M ὀνειδίσθαι τὴν A 16 τὸν ἄνδρα Wil τοῦ ἀνδρὸς MA 17 Νεοπτολέμῳ ego μενελάῳ A 19. 20 φρονήματος — ἄνδρα om. O 20 θέλεις A τὸ MO ἢ πλουσιωτέραν om. A 24 — p. 268,2 scholio 23 adi. A add. δὲ post βάρβαρον . 24 ἔθνος A ἐπι πολλὰ κεύσεσθαι M ἐπιπαλλακεύσασθαι O ταῦτα MO τὸ A

θῶς· ἔφη γὰρ ἂν ἡ Ἑρμιόνη· ἀλλ' οὐκ ἐν Θρᾳξὶν οἰκοῦμεν βαρβάροις. ἀλλ' ἐν τῇ Ἑλλάδι καὶ τοὺς τῶν Ἑλλήνων νόμους σῴζομεν: — MOA

217 ὅπου πολλαῖς γυναιξὶν εἷς ἀνὴρ κοινωνῶν κατὰ διαδοχὴν δίδωσι τὸ λέχος αὐτοῦ: — MOA

218 ἀπληστίαν: ἀκολασίαν ἀσέλγειαν: — A

219 καὶ πῶς, φησίν, οὐκ ἔμελλες δόξαν λαγνείας ὑπερβαλλούσης ταῖς γυναιξὶ περιτιθέναι; τὸ δὲ προστιθεῖσα εἶπεν, ὅτι πρὸς τῷ δόξαν ἔχειν αὐτὰς λαγνείας, ἔτι καὶ συνεβεβαίωσας ἂν ἔργῳ τὴν δόξαν: — MOA

ἡ πρός ἀντὶ τῆς περί: — M[g]

220 καίτοι χεῖρον': ἐκείνης μελλούσης λέγειν ὅτι [οὐ] δεῖ ἀντιποιεῖσθαι λέχους, προλαβοῦσα τὴν ἀπολογίαν τῆς Ἑρμιόνης φησίν· οἶδα ὅτι χεῖρον τῶν ἀρσένων ὀργῶμεν, ἀλλὰ καρτεροῦμεν: — MOA

καίτοι, φησίν, ἡμεῖς αἱ γυναῖκες καταφερέστεραι οὖσαι πρὸς τὰ ἀφροδίσια τῶν ἀνδρῶν, ὅμως καλῶς περιστέλλομεν αὐτὰ καὶ οὐ φανεραὶ γινόμεθα. ἢ οὕτως· ἰσχυροτέραν νόσον νοσοῦμεν, τὴν πρὸς τοὺς ἄνδρας· ἀλλὰ προϊστάμεθα αὐτῆς καρτεροῦσαι καὶ ἐφ' ἑνὶ μένουσαι. βούλεται δὲ λέγειν ὅτι οὐκ ὀφείλει γυνὴ ἀνδρὸς ἑτέρᾳ γυναικὶ συνομιλοῦντος οὕτως φανερῶς ἀγανακτεῖν ὡς καὶ εἰς μέσον φέρειν αὐτῆς τὸ πάθος, ἀλλὰ μᾶλλον ἰδίᾳ τῷ ἀνδρὶ ἐπιτιμᾶν πειθοῖ τε καὶ κολακείᾳ ἀφιστᾶν αὐτὸν τῆς πρὸς τὰς ἄλλας πτοήσεως. οὕτως γὰρ ἂν πείσειεν τὸν ἄνδρα ἤπερ ἐναντιουμένη: — MOA

221 ἀλλὰ περιστέλλομεν τὴν νόσον καταφερέστεραι οὖσαι καὶ λανθάνομεν τοὺς ἄνδρας: — M[g]OA

222 τὴν σὴν χάριν: λείπει ἡ διά· διὰ τὴν σὴν χάριν καὶ τὸ σοὶ κεχαρισμένον: — OA

---

1 ἡ om. OA θρηξὶν A ἢ βαρβάροισ A 2 ἀλλ' ἐν om. in fine lineae O τῶν om. A 3 ὅπωσ M ὅσ O ὅσω A 6—8 scholio quod antecedit adi. A 7 τῷ Dindorf τὸ MOA 7. 8 δόξαν λαγνείασ ἔχειν αὐτὰσ O δόξαν αὐτὰσ ἔχειν A om. λαγνείας, sed spatio uacuo post ἔχειν rel. 8 συνεβεβαίωσας ἂν ego συνβεβαίωσισ M συνεβεβαίωσαν OA ἔργῳ om. spatio uacuo rel. A 10—12 scholio 3. 4 adi. MOA uerbis καίτοι χειρόνωσ [MO χεῖρον ὡσ A] non pro lemmate distinctis 10 ὅτι Wil ὅτι οὖν οὐ M ὅτι οὐ OA 12 ὀρεγῶμεν M νοσοῦμεν O ἀλλὰ καρτεροῦμεν om. O 13—21 scholio 22. 23 adi. A 13 καίτοι — οὖσαι om. A 14 φανερὰ MO 15 γινόμενα O οὕτωσ A ὅτι MO 16 μὲν οὖσαι A 19 ἐπιτιμῆσ O 20 πτοήσεως Wil πτώσεωσ MOA οὔτε O οὐ A 21 ἤπερ A εἴπερ MO 22 νόσον καὶ A νόσον ταύτην O 22. 23 καὶ — ἄνδρας om. A 24 scholio p. 269, 2—12 adi. O

223 σοὶ καὶ ξυνήρων: συνεβαλλόμην σοι εἰς ἔρωτα: — ΟΑ

224 τοῦτο παρὰ τὴν ἱστορίαν φασὶν εἰρῆσθαι· μὴ γὰρ ἱστορεῖσθαι Ἕκτορι ἐξ ἄλλης γυναικὸς γεγενῆσθαι υἱούς. ἀπερίσκεπτοι δέ εἰσιν οἱ ταῦτα λέγοντες. Ἀναξικράτης γὰρ διὰ τῆς β̄ τῶν Ἀργολικῶν [frg. 1] οὕτως λέγει· 'οἱ δ' ἀμφὶ Αἰνείαν καὶ Σκαμάνδριον τὸν Ἕκτορος υἱὸν καὶ παλαίτερον * * ἦσαν δὲ αὐτῷ οὗτος μὲν νόθος, ὃς αὐτοῦ κατελήφθη καὶ ἀπόλλυται * * οὗτοι δὲ διασῴζονται· Σκαμάνδριος γὰρ ἀφικνεῖται εἰς τὰ ἐν Ἴδῃ, Αἰνείας δὲ ⟨καὶ Ἀσκάνιος ὁ υἱὸς⟩ καὶ Ἀγχίσης ὁ πατὴρ αὐτοῦ, ἀλλὰ καὶ ἄλλοι τινὲς παῖδες αὐτοῦ καὶ Αἰγέστας οἰκεῖος ὢν τῷ Ἀγχίσῃ [καὶ Αἰνείας] εἰς Δάρδανον μετανίστανται'. οὐκ ἀτόπως οὖν νῦν Εὐριπίδης νόθους φησὶν αὐτὸν ἐσχηκέναι παῖδας: — ΜΟΑ

καὶ μαστὸν ἤδη πολλάκις: ὁποία ἦν ἡ Θεανὼ ἡ Ἀντήνορος γυνή. Ὅμηρος [Ε 69]·

'Πηδαῖον δ' ἄρ ἔπεφνε Μέγης, Ἀντήνορος υἱόν,
ὅς ῥα νόθος μὲν ἔην, πύκα δ' ἔτρεφε δῖα Θεανὼ
ἶσα φίλοισι τέκεσσι χαριζομένη πόσεϊ ᾧ': — ΜΟΑ

226 ἐφιλοποιούμην: — Mg

227 ἑωθινῆς. ἢ ⟨τῆς ὑπὸ⟩ τὸν ἀέρα: — Mg

229 μὴ τῷ φιλεῖν τὸν ἄνδρα ζήτει νικᾶν τὴν μητέρα: — MiO

1 scholio p. 268, 24. 25 adi. A lemma ex O initio add. τὸ δὲ ξυνήρων O συνεφερόμην A σοι om. O 2 τουτέστιν M φησὶν O 3 ἕκτορος O γεγεννῆσθαι M υἱὸς A 4—12 Ἀναξικράτης — παῖδας om. A 4 τῶν τῶν O 5 ἀμφὶ Αἰνείαν OJahn ἀμφ ἐνέαο M ἀμφ' ἔναιον O τὸν om. O 6 παλαίτερον ἦσαν δὲ αὐτῷ οὗτος μὲν M παλαιτέραν αὐτῷ οὗτος μὲν O lacunam indicaui, de καὶ παλαίτερον desperans 6 et 9 αὐτοῦ compendio tachygraphico ῑ scriptum M 7 κατελείφθη O lacunam indicaui σκάμανδρος O γὰρ ego δὲ M om. O 8 ἀφικνεῖται ego ἀφίκετε O ἀφίκετο M τὰ ἐν Ἴδῃ ego τανεῖδα MO Αἰνείας — υἱός ego αἰνείου δὲ MO καὶ om. M 9 ἀγχήσης M ἀλλὰ om. M αὐτῶν M 10 Αἰγέστας ego ἀγέστας MO καὶ Αἰνείας del. Wil 10. 11 μετανίστανται ego μεταπίπτονται M καταπίπτονται O 11 νῦν ego πρὸς O et compendio tachygraphico scriptum M φησὶν om. O 13—17 scholio 1 adi. A 15 πήδασον MOA ἔπεφνέμέγ' M υἱὸς OA 16 ῥα om. A 17 τέκεσι M τεκέεσσι O κεχαρισμένη πόσει O ᾧ om. O 18 ἐφιλοτιμούμην Mg correxi ex Ag 19 ἑωθινῆς Wil ἐαρινῆς Mg τῆς ὑπὸ addidi ex Bg 20 initio add. σε O μὴ τῷ φιλεῖν ego μητο φιλεῖν Mi μήτ' ὠφελεῖν O ζήτει Wil ἢ Mi om. O

τῇ περὶ τοὺς ἄνδρας σπουδῇ· λέγοι δὲ ἂν Θησέα καὶ Μενέλαον καὶ Ἀλέξανδρον καὶ Δηίφοβον. ἔσχεν δὲ μετὰ θάνατον ἢ ἐν ὀνείρῳ Ἀχιλλέα, ὡς καὶ Λυκόφρων [143]· ‘τῆς πενταλέκτρου θυάδος Πλευρωνίας’. ἢ κατ’ εἰρωνείαν λέγει, ἀντὶ τοῦ μισανδρίᾳ. κἀκείνη γὰρ δοκοῦσα φιλεῖν τὸν Μενέλαον, ὕστερον αὐτὸν καταλέλοιπεν. ὅρα οὖν καὶ σὺ μὴ νῦν δοκοῦσα φίλτρῳ ζηλοτυπεῖν τὸν ἄνδρα, ἐξαίφνης αὐτὸν καταλείπῃς. παρὰ τὰ πρόσωπα δὲ καὶ τοὺς καιροὺς ταῦτα· πῶς γὰρ οὐκ ἔμελλεν εἰς ὀργὴν καταστῆσαι τὴν Ἑρμιόνην κατὰ τῆς μητρὸς δυσφημοῦσα: — MOA

230 νικῆσαι: — M[g]

232 ὅσον σοὶ εὐκόλως καὶ δυνατῶς φαίνεται καὶ παρίσταται, ἀντὶ τοῦ· ὅσον ἐνδέχεται: — M[g]OA

233 φιλιωθῆναι: — M[g]

234 πιθανολογεῖς, μεγαλορρημονεῖς. ἀντὶ τοῦ· σεμνὴν καὶ ἀξίαν ἐντροπῆς καὶ ἀξιωματικὴν θέλεις σαυτὴν δεικνύναι: — MO

μεγάλα λαλεῖς: — M[g]

236 πρὸς τὸ οὐχί ἐπήγαγεν, τουτέστιν· οὔκουν σώφρων ὑπάρχεις ἐφ’ οἷς νῦν λόγοις λέγεις: — MO

λαγνείαν γὰρ αὐχεῖ περικεκαλυμμένην σώφροσι λόγοις: — M[g]OA

239 δι’ ὧν ἔχεις τὸν ἐμὸν ἄνδρα: — M[1]A

240 οὐ καθέξεις καθ’ ἑαυτὴν τὴν κατ’ ἐμὲ ζηλοτυπίαν καὶ σιωπῇ κρύψεις τὸ πάθος: — M[g]OA

οὐκ αὖ σιωπῇ: εἰ καὶ ἀλγεῖς τὴν ψυχὴν περὶ τῆς σῆς συνουσίας, σιωπᾶν ὀφείλεις, ἵνα μὴ δόξῃς διὰ λαγνείαν χαλεπαίνειν: — MA

241 τὸ μὴ περιορᾶν τὸν ἄνδρα εἰς ἄλλας γυναῖκας ἀποκλίναντα: — MOA

προτετιμημένα περισπούδαστα πρωτεῖα: — MA[g]

---

1—8 scholio p. 269,20 adi. O 1 τοὺς om. A ἂν om. A 2. 3 ἔσχεν — Πλευρωνίας om. A 3 cf. schol. Lycophr. τῆς Ἑλένης· πέντε γὰρ αὐτὴν ἔγημαν· Θησεὺς Μενέλαος Πάρις Δηίφοβος, Ἀχιλλεὺς κατ’ ὄναρ 4 καθειρωνείαν O λέγεται O κἀκεῖ A δοκοῦσι O 5 νῦν om. A 6 καταλείπεις M καταλίπης A 7 ἐμέλλου M 10 καὶ παρίσταται om. A 10. 11 ἀντὶ τοῦ om. M[g] 11 ἐκδέχεται M[g] 14 ἐντρο[π] O ἐντροπὴν M αὐτὴν O 18 scholio 19 adi. A λαγνείαν om. spatio uacuo rel. O περικεκαλυμμένην Wil ἐπικεκαλυμμένην M[g]OA λογισμοῖς A 20 οὐ — καθ’ om. O αὐτὴν O 21 κρύψειε O τὸ πάθος om. M[g] τὸ πόθος O 22 ἀλγεῖ M 24 scholio 18 add. O τοῦ A ὑποκλίνοντα O

242 οἷον μετὰ σεμνότητος καὶ ἐπιεικείας, ὡς πρέπει γυναιξίν, οὐ μετὰ τοσαύτης ἀναισχυντίας, ὡς σύ. οἷον· ὅτε δι' αὐτὸ τὸ καλὸν καὶ τὸ πρέπον * * ἀπείργειν τῶν τοιούτων: — ΜΟΑ

243 Ἑλληνικὸν γὰρ τὸ παντὶ τρόπῳ ἀπείργειν τὸν ἄνδρα τῆς προτέρας κοινωνίας: — ΜΟΑ

245 κακοῦργος: — Μ[g]

247 ναί, φησίν, ὁρῶ τὸ ἄγαλμα οὐκ εἰς ἐμὲ βλέπον, ὡς σὺ φής, ἀλλὰ πολὺ μῖσος ἐμφαῖνον κατὰ τῆς σῆς πατρίδος, ὅτι ἐκεῖ ἀνῃρέθη ὁ Ἀχιλλεύς: — ΜΟΑ

249 ἦ καὶ πρόσω: ἀντὶ τοῦ περαιτέρω καὶ ἐπὶ [τὰ πρόσω] πλέον μοι θέλεις ὀνειδίσαι: — Α

ὄντως γὰρ τῶν πόρρω καὶ ἀνέκαθέν μου κακῶν ψαύσεις καὶ ὑπομνήσεις ὀνειδίζουσά μοι; ἀντὶ τοῦ· καὶ τὰ δυστυχηθέντα τῇ μητρί μου εἰς μέσον ἄγεις: — ΜΟΑ

πλέον: — Μ[g]Α[g]

250 † ἰδοὺ σιωπῶ: τὸ ἰδού ἐπίρρημα ἀπὸ τοῦ ἰδοῦ προστακτικοῦ ῥήματος, τοῦ σημαίνοντος τὸ θέασαι, διενοήθη καὶ προήχθη εἰς χρῆσιν. ἡ δὲ διαφορὰ ἀμφοῖν ὁ τόνος ἐστί. τοῦ γὰρ πρωτοτύπου περισπωμένου, τὸ ἰδού ἐπίρρημα ὀξύνεται πρὸς ἀντιδιαστολήν. τοιοῦτόν ἐστι καὶ τὸ ἰού· καὶ αὐτὸ γὰρ ἀπὸ τοῦ ἰοῦ, ὃ σημαίνει τὸ παραγενοῦ [καὶ ἦλθες] παρήχθη, ἐκεῖνο δὲ ἐκ θέματός ἐστι τοῦ ἵημι. κανονίζονται δὲ ἄμφω οὕτως. εἴδω, ὁ μέλλων εἴσω, ὁ ἀόριστος εἶσα, πάντα ἄχρηστα, ὁ δεύτερος ἴδον, ὁ μέσος ἰδόμην, τὸ δεύτερον ἴδου καὶ τὸ προστακτικὸν αὐτοῦ ἰδοῦ ἰδέσθε ἰδέσθωσαν· ἔστι δὲ καὶ χρῆσις παρ' Εὐριπίδῃ ὡς τὸ [Hec. 808] 'ἰδοῦ με κἀνάθρησον οἷ' ἔχω κακά'. ἐκεῖνο δέ, ἵημι, ὁ μέλλων ἵσω, ὁ δεύτερος ἀόριστος ἵην, ὁ μέσος ἱόμην ἵου καὶ τὸ προστακτικὸν ἰοῦ, ἀντὶ τοῦ ἐλθέ, καὶ ἐντεῦθεν τὸ ἰού τὸ σχετλιαστικόν. ὀξύνονται δὲ κατὰ τὸν κανόνα· πᾶσα δίφθογγος τελικὴ εἰς ῡ λήγουσα καὶ ἐφ' ἑαυτῆς ἔχουσα τὸν τόνον περισπᾶται πλὴν τοῦ ἰδού καὶ ἰού. οὕτως τὸ μὲν ἰδού καὶ ἰού πρὸς ἀντιδιαστολήν, τὸ δὲ οῦ οὐ πρὸς ἀντι-

---

1—3 scholio p. 266, 25. 26 adi. O 3 lacunam indicaui ἀπείργει O τὸν τοιοῦτον MO 4 τῷ MA πάντα ἀπείργειν τρόπῳ O εἴργειν A 7. 8 ναὶ—ἀλλὰ om. O 7 βλέπον om. A 8 πολὺ (μᾶλλον)? 10 τὰ πρόσω del. Wil 12 μου A μὲν MO καὶ om. A 13 καὶ τὰ M κατὰ O τὰ A 14 εἰς—ἄγεις om. A 20 παραγενοῦ ego παρεγένου A καὶ ἦλθες del. Wil 25 οἷ'] εἰ A 27 ἐνταῦθα A 28—30 cf. Herodian. 1 p. 417, 25. 474, 14. 494, 20. 504, 5

διαστολὴν τῆς οὖ ἀντωνυμίας ἢ τοῦ οὗ ἄρθρου ὑποτακτικοῦ (ἤρκει γὰρ πρὸς [τοῦτο] τὴν ἀντιδιαστολὴν τὸ πνεῦμα· ἐκείνων γὰρ δασυνομένων τοῦτο ψιλοῦται), ἀλλὰ διὰ τὸ μηδὲν σημαίνειν καὶ ἀνυπαρξίας εἶναι δηλωτικὸν τὸ οὖ ⟨οὐχ⟩ ὁ τόνος ὁ ἀσθενέστερος ἐπετέθη αὐτῷ, ὁ δυνάμενος καὶ μεταβάλλεσθαι καὶ παντελῶς ἀποτίθεσθαι. μεταβάλλεται μὲν γὰρ εἰς βαρεῖαν ὡς ἐν τῇ συνεπείᾳ, ἀποτίθεται ⟨δὲ⟩ παντελῶς ἐν τοῖς ἐγκλινομένοις, ὡς τὸ ἐγώ εἰμι, ἐγώ φημι· ὀξύνεται δὲ ἀεὶ καὶ οὐδέποτε βαρύνεται τὸ οὖ διὰ τὸ σχῆμα καὶ τὴν ἀνάτασιν τῆς κεφαλῆς τοῦ ἀπαρνουμένου. ὁ μὲν γὰρ κατατιθέμενος καὶ τὸ ναί λέγων διὰ σχήματος τὴν ⟨συγ⟩κατάθεσιν ποιούμενος κλίνει τὴν κεφαλήν, ὁ δὲ ἀπαρνούμενος πρὸς τὸ ὄρθιον σχηματίζει αὐτήν: — A

λαμβάνομαι τὸ στόμα, κλείω κατέχω: — M[g]A[g]

251 γράφεται ἐστάλην: — A[g]

οὐ καταλείψω τὸ τέμενος τῆς θεοῦ, εἰ μή ποτε ἀποθάνω καὶ τὸ λείψανον ληφθῇ ἐντεῦθεν, ἐπεὶ οὐ θέμις ἐν ἱερῷ νεκρὸν σῶμα εἶναι. εἰ δὲ μὴ ἀποθάνω, ἀλλ' ἐν ζῶσι τυγχάνω, οὔποτε τοῦτο λείψω: — MOA

256 προεκδώσω ἐμαυτὴν πρὸ τοῦ ἐλθεῖν τὸν Πύρρον: — M

ἀλλ' οὐδ' ἐγὼ ἐμαυτὴν ⟨ἂν⟩ ἐκδοίην σοι πρὶν ἐλθεῖν τὸν ἄνδρα σου: — MOA

257 πῦρ σοι προσοίσω: ὅτι ἔθος ἦν πῦρ προσφέρειν τοῖς εἰς βωμὸν καταφεύγουσιν: — MNO

τὸ σὸν συμφέρον προνοήσω: — M[g]A[g]

260 ἀντὶ τοῦ αἵμασσε. ὡς χρύσου· ὅτε δὲ περισπᾶται παθητικόν ἐστιν. ⟨ἡμάτουν⟩ ἡμάτους ἡμάτου αἱμάτου [δὲ] ὡς ἐχρύσουν ἐχρύσους ἐχρύσου χρύσου: — MNO

μετέρχεται: — M[g]A[g]

261 ὦ βάρβαρε καὶ ἀναιδεστάτη: — MA

262 τολμᾷς καὶ φέρεις: — MA

2 τοῦτο deleui  4 οὐχ addidi  6 δὲ addidi  10 συγκατάθεσιν ego κατάθεσιν A  14—16 scholio p. 271, 12—14 adi. M  14 οὐ MO οὐκ ἂν A  τοῦ θεοῦ MA  ποτε MO τε A  15 λεῖψαν A  ἱερῷ] νεκρῷ A  νεκρὸν] ἱερὸν O  εἶναι om. MO  16 οὐκ ἄν ποτε τοῦτο λείψω B οὐκ ἂν τοῦτο ποτὲ λείψω [καταλείψω O] MOA  17 προεκδώσω ego προδώσω M  18 scholio 17 adi. M  ἂν addidi  20 ἔθνος N  20. 21 τὸν βωμὸν NO  24 ἡμάτουν add. Dindorf  αἱμάτου ego ἡματουμένην MNO  δὲ deleui  ὥσπερ M  25 χρυσοῦ MNO  27 ἀναιδέστατε M

264 ἄγρευμα, ἀπὸ μεταφορᾶς τῶν ἰχθύων: — M[g]OA[g]

266 ἰσχυρῶς καθιδρυμένη: — M[g]A[g]

267 τετηγμένος. τοῖς γὰρ ἀνδριᾶσι πρὸς ἀσφάλειαν μόλιβδος περιχέεται: — MOA

269 πέποιθα: πέποιθα αὐτῷ: — OA

δεινόν ἀντὶ τοῦ δυνατόν· ὁ δὲ νοῦς· δυνατόν ἐστι τῶν θεῶν τινα τῶν μὲν ἀγρίων θηρίων θεραπείαν καταστῆσαι, τῆς δὲ δεινοτέρας γυναικὸς οὐδεὶς εὑρίσκει θεραπείαν: — MOA

ἄλλως: δεινόν ἐστιν τῶν θεῶν τινα τῶν μὲν ἀγρίων θηρίων θεραπείας καταστῆσαι τοῖς ἀνθρώποις, τῆς δὲ γυναικὸς τῆς δεινῆς μὴ εὑρεῖν θεραπείαν: — MO

271 χείρονα: — M[g]

272 γυναικός: ἀντὶ πληθυντικοῦ τοῦ γυναικῶν· ὁ δὲ νοῦς· τῶν δὲ γυναικῶν οὐδεὶς φάρμακα ἐξεύρηκέ πω, ἅπερ γύναιά ἐστιν ἐχίδνης καὶ πυρὸς περαιτέρω: — MA

274 ὄντως μεγάλων κακῶν ἐγένετο ἀρχή: — M[g]

277 ὁ Ἑρμῆς. μέμνηται τῆς ἱστορίας ἐκείνης ἔνθα περὶ τοῦ μήλου ἦλθον κριθησόμεναι Ἥρα καὶ Ἀθηνᾶ καὶ Ἀφροδίτη παρὰ τῷ Πάριδι. τοιαῦτά ἐστιν καὶ τὰ παρὰ Σοφοκλεῖ ἐν Ποιμέσιν [frg. 469] 'ἴδεν δή ποτε μηλοτρόφῳ ἀγενηλιτήει τὴν τῆς Ἴδης τριολύμπιον ἅρμα'· ἔνιοι δὲ ἐψεῦσθαί φασι τὴν κρίσιν τῶν θεῶν, καθάπερ Ἀντικλείδης· 'τρία γάρ ἐστι

---

1 scholio p. 272,23—25 adi. O initio add. τὸ δέλεαρ δηλονότι  3 ἀνδράσι O  4 περιέχεται MO  5 lemma ex A  αὐτῷ om. O  6—8 scholio 5 adi. OA add. δὲ post δεινόν A  6 δεινὸσ δυνατὸσ M  τινα τῶν θεῶν A  7 μὲν om. O  9 lemma ex MO  13—15 scholio 6—8 adi. A initio add. τὸ δὲ γυναικὸσ  13 τὸ A  13. 14 ὁ — γυναικῶν om. A sed post πω add. τῶν γυναικῶν  15 πρὸσ M  περατέρω A  17 μέμνηται δὲ MA  περὶ om. M  18 καὶ (prius) om. NO  18 — p. 274,2 παρὰ τῷ Πάριδι — καταστάντα om. A  19 τῷ σοφοκλεῖ NO  ἴδ cum compendio per correcturam obscurato quod siue εν siue ον legi potest M ἤδη δε N ἤδη δὲ O  20 δήπογε M δή που γε N δή που γε O  μηλοτρόφω. [i. e. μηλοτρόφῳ cum puncto, non μηλοτρόφωι] M μηλοτρόφω O μηλοτρέφω N  ἀγενηλιτήει M γενήλι deinde spatium III litterarum NO  τριολίμπιον N quae ex antiqua lectione ingeniose coniecit Wil Ἴδης δήποτε μηλοτρόφου ἄγειν νάπῃ Ἑρμῆν τριολύμπιον ἅρμα litteris reuera traditis non satis similia sunt. in ultimis agnoscere mihi uideor ἆγεν κλίτυν', τὴν τῆς Ἴδης, 'τριολύμπιον ἅρμα  21 ἐψεῦσθαι ego διεψεῦσθαι M ἐκθέσθαι O ἐκθέαρ N  καθάπερ γὰρ M  εἶναι Wil

τῶν ἐπιχωρίων γύναια μαχλὰ εἰς τὴν τῆς εὐμορφίας κρίσιν καταστάντα'. Χρύσιππος δὲ ἐν Ἠθικῶν ῑ λογισάμενον τὸν Πάριν τίνος δεῖ μᾶλλον ἀντέχεσθαι, πολεμικῆς ἀσκήσεως ἢ ἐρωτικῆς ἢ βασιλικῆς, νεῦσαι [αὐτὸν] μᾶλλον εἰς τὰ ἐρωτικὰ καὶ οὕτως τὸν τῆς κρίσεως μῦθον συντεθῆναι: — MNOA

278 τὸ κάλλιστον: — $M^g$

279 τὸ ἑξῆς· ἔριδι εὐμορφίας: — $M^g$O

ηὐξημένον: — O

280 ἐπὶ τὰς ἐπαύλεις τοῦ βουκόλου Πάριδος καὶ πρὸς αὐτὸν τὸν μονότροπον νεανίαν βουκόλον καὶ πρὸς τὴν αὐλὴν τὴν οἰκουμένην μέν, ἔρημον δὲ γυναικὸς καὶ παίδων. ἢ τὴν ἐν ἐρημίᾳ οὖσαν: — MOA

281 ποιμένα βουκόλον. ἐπὶ τὰς ποιμενικὰς ἐπαύλεις. βουκόλοι δὲ κοινῶς οἱ νομεῖς ἀπὸ τοῦ ἐπιφανεστέρου ζῴου: — $M^g$

282 τὴν ἔπαυλιν τὴν ἔχουσαν ἐν αὐτῇ οἴκησιν. ἢ ἑστίαν ἔχουσαν ἐν ⟨αὐτῇ⟩, οἰκουμένην. διαφέρει δὲ σταθμὸς καὶ αὐλή· ὁ μὲν γὰρ σταθμὸς οἰκητήριον θρεμμάτων, ἡ δὲ αὐλὴ ἀνδρῶν οἰκητήριον: — OA

285 οὐρείων πιδάκων: παρὰ Ῥοδίῳ ὄντως λουτρὰ δεικνύουσιν ὅπου μυθεύουσι τὰς θεὰς ἀπολούσασθαι. καὶ περὶ τούτων δὲ Ἀντικλείδης ἱστόρησεν: — O

287 ἔβαν δὲ πρὸς τὸν Πριαμίδαν Ἀλέξανδρον ἐπαγγελίαις λόγων βλαπτόντων αὐτὸν καὶ τὴν πόλιν αὐτοῦ ἀπατῶσαι καὶ ἐφελκόμεναι: — MOA

λείπει ἡ πρός: — $M^g$

288 τινὲς γράφουσιν δυσφόρων, ἵν' ῇ· ὑπερβολαῖς λόγων δυσ-

1 γύναια μαχλὰ τὰ Wil γύναια μαχλὰ ego γυναμαχῆ τὰ O γυνομᾶ (χ supra) τὰ circumflexo add. N γύναια τὰ M 2—5 Χρύσιππος — συντεθῆναι om. M 2 ἠθικῶ ῑ A ἠθικοῖσ NO λογισάμενοσ AO λογησάμενοσ N δεῖ A δὴ NO 3 πολεμικοῖσ N βασιλικῆς Cobet βασιλείασ NOA νεῦσαι A καὶ NO 4 αὐτὸν deleui τῆσ NO περὶ A 7 schol. 8 adi. O ἔριδι $M^g$ δι' O 11 ἔρημοσ O ἢ τὴν MA ἤτοι O 13 cf. schol. Alc. 8 14—17 scholio 9—11 adi. O 14 τὴν — οἴκησιν habet $M^g$ τὴν (alterum) om. O ἢ om. A 15 ἐν αὐτῇ, οἰκουμένην ego ἐνοικουμένην OA 16 οἰκητήριον in fine scholii coll. A τῶν θρεμμάτων O 18 παρὰ Ῥοδίῳ ὄντως ego τὰ ῥοδίου ὄντοσ O 19 ὅπου μυθεύουσι ego ὅπωσ μυθεύοι O 21 ἔβαν δὲ MA ἤτοι O πριαμίδην O ἐπαγγελίαις Barnes ἐπαγγελίασ MOA λόγον A 22 αὐτοῦ MA αὐτὸν βλάπτουσαι καὶ O

φόρων ἑαυτὰς ὑβρίζουσαι, ὡσεὶ ἔλεγεν· ἐριστικοῖς λόγοις διαμαχόμεναι πρὸς ἀλλήλας καὶ οἷον παραβάλλουσαι τὰ κάλλη ἀλλήλων καὶ συγκρίνουσαι ἐν φιλονεικίᾳ: — MOA

βλαπτικῶν: — M[g]

289 ἀντὶ τοῦ ἐρεθίζουσαι, ὡς ὁ ποιητὴς [Δ 6] 'παραβλήδην ἀγορεύων'. τινὲς δέ· παραλογιζόμεναι ταῖς ἐπαγγελίαις καὶ ἀφαιρούμεναι αὐτὸν τοῦ φρονεῖν: — MA

ἠπάτησεν ἐφειλκύσατο: — M[g]

290 τέρπειν δυναμένοις: — M[g]

291 πόρθησιν καὶ ταραχήν. βίου σύγχυσιν τῇ Τροίᾳ κατασκευάζουσαν: — M

292 λείπει τὸ ἔχουσιν: — M[g]

293 ἀλλ' εἴθ' ὑπὲρ κεφαλᾶς: κατὰ κεφαλῆς, ἀντὶ τοῦ· εἴθε κατεκρήμνισεν αὐτόν: — O

εἴθε ὑπὲρ κεφαλῆς Πάριδος ἔβαλεν θάνατον ἡ τεκοῦσα τὸν Πάριν: — M

ἄλλως: ἀντὶ τοῦ ἀνεῖλεν. κατ' ὄναρ θεασαμένη ἡ Ἑκάβη ὅτι λαμπάδα ἐγέννησεν ἅμα τῷ τεχθῆναι τὸν Ἀλέξανδρον, ἐδυσφόρει καὶ ἤρετο τοὺς μάντεις. οἱ δὲ ἔφασκον χρῆναι τὸ τεχθὲν φονεύειν· ἡ δὲ ἐξέθηκεν αὐτὸ μὴ τολμῶσα φονεῦσαι. καὶ αὐτὸ λαβὼν ποιμὴν ἐν τῇ πήρᾳ τέθεικεν, ὅπως διατρέφοι· διὸ καὶ Πάρις ὠνομάσθη, ὁ ἐν τῇ πήρᾳ τραφείς: — MA

296 ἀντὶ τοῦ· κατέχουσα μαντικὴν δάφνην. τοῦ γὰρ θεοῦ συγγενέσθαι αὐτῇ βουληθέντος, ἔφη μὴ πρότερον ἑαυτὴν ἐκδώσειν εἰς κοινωνίαν, εἰ μὴ λάβοι παρ' αὐτοῦ δῶρον τὴν μαντικήν. τοῦ δὲ θεοῦ

---

1 ὡσ O ἐριστικοῖσ MA ἐρίζουσαι O 2 καὶ οἷον om. O 3 ἐμ MO in fine habet O λείπει spatio quinque linearum et dimidiae uacuo relicto 7 φρονεῖν M θανεῖν A cf. Hesych. παραβαλλόμεναι ἐξαπατῶσαι παρακατατιθέμεναι Phot. Suid. s. u. παραβαλέσθαι, praeterea schol. Δ 6 Porphyr. ibid. Apoll. soph. p. 128,5 Hesych. Phot. Suid. s. u. παραβλήδην lex. Bachm. p. 328,22 et. m. p. 781,12 sq. Palamed. ap. schol. Apoll. 3,107. 4,1563 17 initio add. εἴθε κατεκρήμνισεν αὐτὸν A 18 ἐγέννησεν om. M 19 εἴρετο M 20 αὐτὸ (alterum) ego τοῦτο A τοῦτον M 21 πήρα A θήραι M διαθρέψη A 21. 22 ὁ — τραφείς om. A cf. schol. Γ 325 M 93 et. m. p. 654,35 Apollod. 3,12,5 Hygin. 91 23 μαντικὴν om. O 23. 24 συγγενέσθαι ego σὺν MOA σὺν αὐτῇ βουληθέντοσ συγκοιμηθῆναι B 24 πρότερον μὴ MA ἐκδίδην O 25 λάβη O

χαρισαμένου, ἠρνήσατο τὴν κοινωνίαν. διὸ ἀγανακτήσας ὁ Ἀπόλλων τὴν μὲν μαντικὴν ἅπαξ χαρισάμενος οὐκέτι ἀφείλετο, ἀπιστεῖσθαι δὲ αὐτὴν πεποίηκεν· ὅθεν καὶ περὶ τοῦ Πάριδος προειποῦσα ἠπιστήθη: — MOA

ἠπιστεῖτο ἡ Κασσάνδρα μαντευομένη, ἐπεὶ ἠπάτηκε τὸν Ἀπόλλωνα περὶ γάμων: — O

303 οἰκήσεις τοῦ Νεοπτολέμου. ἐνταῦθα αἰχμαλωτισθεῖσα: — $M^iA^g$

304 ἔπαυσεν ἀπήλλαξεν: — $M^g$

λυπηρούς: — $M^g$

305 περὶ οὓς πόνους ἐπλανῶντο κατὰ τὴν Τροίαν ἐπὶ δέκα ἔτη: — $M^iO$

οὐκ ἂν συνέβη ὁ πόλεμος εἰ ἐφονεύθη ὁ Ἀλέξανδρος: — AO

308 ἔρημοι ἄμοιροι: — $M^g$

309 τὸν Μολοττὸν ἄγων ταῦτα λέγει: — $M^i$

310 ἔξω παρέθου: — $M^g$

311 ἔλεγες ἐκόμπαζες ἐνόμιζες: — $M^i$

ἄγαλμα ξόανον: — $M^g$

312 ἀπὸ κοινοῦ τὸ ηὔχεις: — $M^g$

313 ἐμοῦ τοῦ Μενελάου, δεικτικῶς: — $M^gA^g$

315 φονευθήσεται: — $M^g$

316 σκέψαι: — $M^gA^g$

319 ὦ φήμη, ὦ ὑπόνοια, ὦ δόκησις. δόξαν γὰρ νῦν τὴν ὑπόνοιάν φησι παρόσον ἡ ὑπόνοια πολλοῖς τῶν ἀνθρώπων ὄγκον περιτίθησιν καὶ μεῖζον ἢ εἰσὶν ὑπολαμβάνειν παρασκευάζει περὶ αὐτῶν: — MNOA

320 οὐκ ἐντελέσιν ὑπάρχουσιν: — $M^i$

ὕψωσας: — $M^g$

321 τοὺς μὲν ⟨ἀληθῶς⟩ εὐκλεεῖς μακαρίζω, τοὺς δὲ ψευδῆ ἔχοντας ὑπόνοιαν οὐκ ἀξιῶ εὐδαίμονας καλεῖσθαι, τῆς τύχης τούτοις χαρισαμένης

---

1 ἥλιος MA    2 ἅπαξ χαρισάμενος om. A    οὐκ A    3 αὐτὴν om. A    εἰποῦσα A    προηπιστήθη O    cf. Hyg. 93 Seru. ad Aen. 2, 247    5 μαντευομένη ego μαντευσομένη O    7 praeterea habet $M^i$ ὑπὲρ τοῦ νεοπτολέμου ταῦτα αἰχμαλωτισθεῖσα $M^i$    11 πολέμους $M^i$    11. 12 ἐπὶ — ἔτη om. O    13 scholio 11. 12 adi. O add. δὲ post ἂν    ὁ ἀλέξανδρος ἀπέθανε A    14 ἄμοιροι Wil ἄκυροι $M^g$    24 τῶν M τὸν A om. NO    οἶκον A    περιτίθησι Wil ἐντίθησι MNOA    25 παρασκευάζεις M    26 ἐντελεῖς $M^i$    28 ἀληθῶς addidi    29 τούτοις ego τοῦτο MNO

ἀκρίτως φρονεῖν μέγα ἐπὶ εὐτυχίᾳ, μὴ ἐπὶ εὐδοξίᾳ. ἡ μὲν γὰρ ἀληθὴς εὐδοξία ἐκ πόνου καὶ ἀρετῆς παραγίνεται, ἡ δὲ ψευδὴς ἀπὸ τύχης: — MNO

322 μακαρίζω: — $M^g$

ἀντὶ τοῦ· ἀξίους κρίνω θαυμάζεσθαι: — $M^i$

ἀντὶ τοῦ ἔχοντας: — $M^i$

324 ἐπιλέκτοις ἐκκρίτοις: — $M^i$

325 τὴν Τροίαν ἀφείλου τὸν Πρίαμον. σχῆμα δέ ἐστιν Ἀττικόν: — $M^g$NO

326 ἀντὶ τοῦ· μὴ προκοψάσης εἰς ἡλικίαν. καταισχύνει δὲ αὐτὸν ὅτι ὑπὲρ τηλικαύτης [ὑπὲρ βρέφους] ἀδίκως προΐσταται: — MNOA

παιδικὴν ἡλικίαν ἐχούσης: — $M^i$

327 ἐθυμώθης ἐθρασύνθης ἐπήρθης: — $M^g$

329 οὔτε σὲ τῆς Τροίας ἄξιον νομίζω οὔτε σοῦ τὴν Τροίαν ἀξίαν νομίζω: — MA

ὁ νοῦς· οὔτε ἡ Τροία ὑπὸ σοῦ τοιούτου ὄντος ἀξίως ἑάλω οὔτε σὺ ἀξίως αὐτῆς ἀνεῖλες αὐτήν. τῇ τε γὰρ Τροίᾳ ἄδοξόν ἐστιν καθὸ ὑπὸ σοῦ ἀπώλετο, σύ τε οὐκ ἄξιος ἧς τὴν Τροίαν ἀπολέσαι· ὡς εἴ τις ἐκ τοῦ ἐναντίου λέγοι· τῷ Ἀχιλλεῖ ἔνδοξον ἦν τὸν Ἕκτορα ἀποκτεῖναι ὡς καὶ τῷ Ἕκτορι ὑπὸ Ἀχιλλέως ἀναιρεθῆναι. ὡς εἴ τις εἴποι· ἔπρεπεν τῷ Ἡρακλεῖ τὴν Ἴλιον πορθῆσαι καὶ τῇ Ἰλίῳ ὑπὸ Ἡρακλέους ἁλῶναι: — MA

330 Δίδυμος μέμφεται τούτοις ὡς παρὰ τὰ καθεστῶτα· σεμνότεροι γὰρ οἱ λόγοι ἢ κατὰ βάρβαρον γυναῖκα καὶ δυστυχοῦσαν: — A

ἐκ τῶν δορυφορούντων: — $M^g$

331 τὰ κατὰ τὴν φρένα καὶ τὴν ψυχὴν ὅμοιοί εἰσιν τοῖς ἀνοήτοις· ὡς καὶ νῦν ὁ Μενέλαος, δοκῶν εἶναι φρόνιμος διὰ τὴν τῆς τύχης

---

1 ἀκρίτου NO φρονεῖν μέγα ego ἂν οἶα μέγα M ἂν οὖν μέγα NO 8 τὴν — ἀφείλου om. O 8. 9 σχῆμα — Ἀττικόν om. $M^g$ 10 προκόψασ MA εἰς ego τὴν MNOA καταισχύνη NO 11 ὑπὲρ βρέφους deleui ἀδικίασ A 13 ἐπηρώθησ $M^g$ 14 ἀξίαν om. A 16—22 scholio 23. 24 adi. A 16 ὑπὸ Cobet ἀπὸ MA 17 αὐτῆσ ἀνεῖλεσ αὐτὴν M αὐτὴν ἀνεῖλεσ A ἐν τροία M 19 ἐκ — ἐναντίου om. A λέγει M 20 ὡς — ἀναιρεθῆναι om. M 21 ὑπὸ Ἡρακλέους om. A 23. 24 scholio 14. 15 adi. A 23 τούτοις Cobet τούτουσ A παρὰ τὰ καθεστῶτα ego τὰ παρακαθεστῶτα A 26 τὰ NOA τὴν M post κατὰ add. γὰρ M ὅμοιον ἐστι M ὅμοιοσ εἰσὶν NO 27 τὴν om. N τύχης ego ψυχῆσ MNOA

ὑπεροχὴν, ἐλέγχεται ὡς ἀνόητος. τοὺς γὰρ φρονίμους περιττοὺς ἐκάλουν οἱ παλαιοί: — MNOA

332 εἰ μὴ ἄρα πλούτῳ ὑπερέχουσιν: — M[g]

335 τὸ μίασμα τοῦ φόνου ἀδύνατον αὐτὴν ἐκφυγεῖν· ἐμιάνθη γὰρ ὡς φόνον ποιήσασα. δόξεις δὲ παρὰ πολλοῖς καὶ σὺ τοῦτον τὸν φόνον ἠγωνίσθαι· ἡ γὰρ χρεία τοῦ συνδρᾶσαι τῇ θυγατρὶ ἀναγκάσει σε μὴ ἐκφυγεῖν τὸ μύσος: — MNOA

336 μόλυσμα, ἄγος ὑποστήσῃ: — M[g]

337 φόνον· τὸ συνδρῶν: ὡς γειτνιῶν, οὕτω συνδρῶν καὶ πάντα τὰ τῆς δευτέρας συζυγίας: — NO

338 ὑπεξέλθω ἐκδράμω. λείπει δὲ τὸ ὥστε· ὥστε μὴ θανεῖν: — M[g]

341 ἀντὶ τοῦ ἐκάλει: — M[g]

342 ἐξελεύσεται ὃν αὐτὸν δεῖ τρόπον. ἀντὶ τοῦ· διαπράξεται ἃ δεῖ καὶ ἐλεύσεται εἰς ἃ πρέπον ἐστίν: — MNOA

καὶ ἄλλως: ὁρμήσει πορεύσεται ὡς πρέπει, μετὰ τῆς δεούσης σπουδῆς: — MNOA

343 πράττων: — M[g]

344 πρὸς γάμον διδούς: — M[g]

346 ψεύσεται * * τινὲς οὕτως· ψευδῆ σε νομίσει ὁ ἀκούων καὶ οὐ πεισθήσεται: — MNO

347 τίς ἐθελήσει γυναῖκα λαβεῖν, διὰ ζηλοτυπίαν ἀπερριμμένην; ἀρετὴ γὰρ γυναικὸς μὴ μνησικακεῖν ἀνδρὶ ἔχοντι πρὸς ἄλλην κοινωνίαν καὶ τοιαύτην ἂν εὔξαιντο πολλοὶ γῆμαι· αἰσχύνη δὲ τὸ ζηλοτυπίαν νοσεῖν. ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· εἰ ὀργισθεὶς ὁ Νεοπτόλεμος ἐπὶ τῇ ζηλοτυπίᾳ ταύτῃ ἐκβάλῃ τῶν οἴκων αὐτήν, οὐδεὶς ἐθελήσει αὐτὴν γῆμαι διὰ ζηλοτυπίαν ⟨ἀπ⟩ερριμμένην: — MNOA

---

4 δυνατὸν MA 5 καὶ σὺ τοῦτον [τοῦτο NO] παρὰ πολλοῖς τὸν φόνον ἠγωνίσθαι [ἠγωνίσασθαι O] NOA 6 συνδρᾶν σε MA ἀναγκάζει NOA ante μὴ add. τῷ MA 7 μῖσος MO μίσος N 8 μόλυσ M[g] 9 lemma ex O 13 ὃν αὐτὸν ego ἑαυτὸν ὃν MNOA 14 ἃ δεῖ A ἀδικεῖ MNO εἰς om. M 15 πορεύεται A ὡς πρέπει in fine coll. A 19 lacunam indicaui οὕτως ego οὖν MNO pro ψεύσεται — οὕτως habet B ἀλλὰ ψεύσεται: τὸ σὸν ῥῆμα [quod lacunae infert Wil] καὶ ὡς 21 τί σε θελήσει NO τίς θελήσει A 22 ante ἀνδρὶ add. εἰ A ante πρὸς add. καὶ M 23 ταύτην ἢ τοσαύτην A ἂν om. A γῆμαι om. A αἰσχύνην M 24—26 ὃ — ἀπερριμμένην om. NOA 26 ἐρριμμένην M

350 εἰς πόσας παλλακίδας: — MM[1]NOA[g]

351 τί ἂν βούλοιο; ἆρα πολλοῖς ἀνδράσιν ἐκδοῦναί σου τὴν θυγατέρα ἢ παθεῖν ἃ λέγω; τινὲς δὲ οὕτως· βέλτιόν ἐστιν ἀνέχεσθαι πολλῶν εὐνῶν, ὅ ἐστι· φέρειν τὸν ἄνδρα εἰ καὶ πολλαῖς παλλακίσι χρῷτο, ἢ ταῦτα ὑποστῆναι ἃ ἐγὼ λέγω: — MNOA

352 κινεῖν: — M[g]

354 θέλει εἰπεῖν ὅτι μὴ ἐξομοιοῦ τῇ θυγατρί σου· ἀναιδὲς γὰρ τὸ γυναικεῖον γένος: — MA[g]

356 ἄγονον καθιστῶμεν, ὡς αὐτὴ λέγει, ἐκτιτρώσκειν ποιοῦμεν: — M

357 οὐ γὰρ οἱ βώμιοι πίπτοντες ἑκόντες καὶ οὐκ ἄκοντες ληψόμεθα τὴν τιμωρίαν παρὰ τῆς Θέτιδος; ἐν ἐρωτήσει δὲ ἀναγνωστέον. οὐ δώσομεν, φησί, τὴν δίκην ἐν τοῖς σοῖς γαμβροῖς εἰς τοὺς βωμοὺς αὐτῶν καταφεύγοντες: — MNOA

τῷ βωμῷ προσπίπτοντες, καταφεύγοντες: — M[g]

358 ὑποστησόμεθα. ληψόμεθα: — M[g]

359 τῷ Νεοπτολέμῳ: — M[g]

οἷσιν οὐκ ἐλάσσονα: ἐν οἷς ἀποδειχθήσομαι οὐχ ἧσσον ἢ εἰς ὑμᾶς ἁμαρτάνουσα καὶ τιμωρηθήσομαι ὑπ' ἐκείνων τὸ περὶ ἐκείνους παρανενομημένον: — MNOA

360 γράφεται ἀπαιδίαν: — A[g]

ἀνόητος ἐλεγχομένη: — M[g]

361 οὐ φαρμακεύομεν τὴν σὴν παῖδα: — M[g]

362 ἓν σου δέδοικα: δέδοικα μὴ διὰ τὴν Ἑρμιόνην με ἀπολέσῃς, ὥσπερ διὰ τὴν Ἑλένην τὴν Τροίαν: — MNOA

Δίδυμος μέμφεται πᾶσι τούτοις ὡς παρὰ τὸν καιρὸν καὶ τὰ πρόσωπα: — NOA

---

1 scholio 2—5 adi. M 2—5 scholio p. 278,21—26 adi. A 2 βούλοιο ἆρα] ἔλοιο ἂν A σοι NO 3 οὕτως ego οὖν MNO ὃ A 4 εὐνὴν A παλλακίσι Wil πολλάκις MNOA 4. 5 ἢ ταῦτα MNO εἶτα A 5 λέγω ἐγώ NO 9 praeterea habet M[g] ἐκτιτρώσκειν ποιοῦμεν ἄγονον καθίσταμεν 10 init. add. ἑκόντες NO οὐ γὰρ οἱ ego γράψον οὕτω οὐ A γράφεται οὕτως οἱ NO οἱ M, quod probat Wil οὐκ M οὐδὲ NOA λειψόμεθα O 11 τῆς NOA τοῦ τι M 12 βωμοὺς αὐτῶν] explicatur lectio αὐτοῖς 13 καταφυγόντες A 14 τῷ βωμῷ καταφεύγοντες et προσπίπτοντες separatim habet M[g] 17 ἢ om. A 18 ἡμᾶς MNO τὸ A τὸν MNO περὶ ἐκείνους ego γὰρ παρῆκεν ὡς MNOA 19 παρὰ νενομημένον M παρανεμομημένον N παρανενομησμένον O παρανενομισμένον A 25. 26 scholio 23. 24 adi. NO add. δὲ ante μέμφεται 25 πρὸς τὸν NO παρὰ A

364 ἀντὶ τοῦ· ἀπηνῶς, ὑπὲρ τὴν τύχην: — M[s]

ἄγαν ἔλεξας ὡς γυνὴ πρὸς ἄρσενας: ὡς γυνὴ λόγους ποιουμένη πρὸς ἄρσενας. θρασέως ἔλεξας καί σου ἡ σωφροσύνη τῆς διανοίας ἔξω ἐξέπεσεν· ἀπὸ μεταφορᾶς τῶν τοξευόντων ὑπὲρ τὸν σκοπόν: — A

365 καί σου τὸ σῶφρον: καὶ τῆς φρενός σου τὸ σῶφρον ἐξέπεσε τοῦ προσήκοντος, τουτέστιν· παρὰ τὸν δέοντα λογισμὸν ἐφθέγξω λοιδορησαμένη ἄγαν θρασέως τῷ Μενελάῳ: — MNOA

ἄλλως: ἔξω, φησί, τοῦ σκοποῦ ἔβαλες καὶ παρέδραμες καὶ πλέον ἢ κατὰ γυναῖκα ἐπαρρησιάσω: — NOA

366 καὶ μοναρχίας οὐκ ἀξία: τὸ κρατῆσαι σοῦ, φησίν, οὐκ ἔστιν τῆς ἐμῆς στρατηγίας ἄξιον, οὔσης αἰχμαλώτου, ἀλλ' ἐπειδὴ ὑπὲρ θυγατρὸς κάμνω καὶ τούτου χρείαν ἔχω, μέγα τοῦτο νομίζω: — MNOA

369 τοῦτ' ἔσθ' ἑκάστῳ: δοκεῖ ἐνταῦθα εὐτελίζων τὸ τῆς Τροίας κατόρθωμα ἐναντιοῦσθαι τῷ ἑξῆς· φησὶ γὰρ [540]· ἐπεὶ πλεῖστον ἀναλώσας ψυχῆς μόριον Τροίαν εἷλον καὶ μητέρα σήν. ἔστιν οὖν ὁ νοῦς οὕτως· καλῶς ἐγίνωσκον ὅτι ἑκάστῳ ἀνδρὶ ἡ κατεπείγουσα χρεία τιμιωτέρα νομίζεται τοῦ πορθῆσαι τὴν Τροίαν, οὕτως καὶ νῦν ἐμοὶ πολὺ μεῖζον φαίνεται τὸ βοηθῆσαι τῇ θυγατρί μου μᾶλλον ἢ τὸ πορθῆσαι τὴν Τροίαν. ἀντὶ τοῦ· ἀναγκαιότερον τοῦτο ἡγοῦμαι ἢ ἐκεῖνο. μὴ οὖν διὰ τοῦτο κρῖνε ἐμὲ ἀνάξιον τῆς Τροίας, ὅτι συναγωνίζομαι τῇ θυγατρί μου: — MNOA

ἄλλως: κἀκεῖνοι γὰρ ἐπεθύμουν πορθῆσαι τὴν Τροίαν καὶ τοῦτο αὐτοῖς ἐφάνη μεῖζον· καὶ νῦν ἐμοὶ τὸ προκείμενον πρᾶγμα μεῖζον ἤπερ ἡ Τροία: — MNOA

370 κἀγὼ θυγατρὶ σύμμαχος καθίσταμαι· τὸ γὰρ λέχους στέρεσθαι μέγα κρίνω: — M

λ'
7 τὸν μενε A 8 lemma ex NOA παρέδραμες ego προσέδραμες NOA 9 ἐπαρρησίασας A 10 σοῦ om. N 11 τῆς om. M 11. 12 ἐπειδή περ ὑπὲρ πατρὸς κάμνουσι A 12 χρείαν ἔχω] ἀνέχω M τοῦτο μέγα M 13 lemma ex O 13—21 scholio 22—24 adi. M 13 εὐτελίζειν MNOA 14 τῷ M τὸ NOA ἐπεὶ Wil ἐπὶ MNOA 15 μόριον Wil μοῖραν MNOA ἀνεῖλον N 16 οὕτως om. M ἐγίνωσκεν MO ἐγίνωσκεν ex ἐγινώσκων corr. N ἡ om. A 17 νῦν] ἐν M 18 τὸ (prius)] τοῦ A 19 ἀναγκαιότερον ego ἀναγκαῖον MNO ἀναγκαίων A 20 κρῖνε ἐμὲ ego κρίναί με A μὴ κρίναι με M μὴ κρίνε με N μὴ κρινε με O ἀνάξιον Matthiae ἄξιον MNOA 21 μου om. MA 22 lemma ex NO 22—24 scholio 13—21 adi. A 22 κακεῖνο A ἀνεθύμουν A 24 ἡ om. M

δοκιμάζω ἡγοῦμαι: — $M^g$

372 ὀλίγα: — $M^g$

375 τοὺς ἐμοὺς ἰδίους. τὴν θυγατέρα φησίν: — $M^i$

377 παρὰ τὸ 'κοινὰ τὰ τῶν φίλων': — $M^i$

378 μένων δὲ τοὺς ἀπόντας: ἐπειδὴ εἶπεν ἡ Ἀνδρομάχη ὅτι ἀνάμεινον τὸν Νεοπτόλεμον, λέγει ὅτι ἐξουσίαν ἔχω τῶν [αὐτῶν] δούλων, ὥστε καὶ χωρὶς αὐτοῦ τιμωρεῖσθαι: — MNO

383 ἀνάγκη ἐστὶ τῷ ἑτέρῳ ἀποθανεῖν: — $M^gA^g$

γράφεται δυοῖν [θάτερον] ἀνάγκη θατέρῳ λιπεῖν βίον: — $A^g$

384 κλῆρον ψῆφον: — $M^g$

ἐκλογήν: — $M^g$

385 τὸ ζῆν δηλονότι: — $M^i$

386 καὶ ⟨μὴ⟩ λαχοῦσα: καὶ λαχοῦσα τὸ ζῆν ἀθλία εἰμὶ διὰ τὸ μέλλειν τὸν παῖδά μου φονεύεσθαι καὶ μὴ λαχοῦσα πάλιν δυστυχῶ ὡς μέλλουσα φονεύεσθαι: — A

καὶ μὴ λαχοῦσα: κἄν τε γὰρ ἕλωμαι τὸ ἐμὲ τελευτῆσαι, δεινόν, κἄν τε τὸ ἕτερον, τὸ τὸν παῖδα ἀπολέσθαι, πάνδεινον: — MNOA

καὶ ἐὰν τὸ μὴ ζῆν ἐκλέξωμαι, δυστυχὴς ἔσομαι: — $M^i$NO

391 ἐρωτηματικῶς: — $M^iA^g$

393 ἀντὶ τοῦ· ἀλλὰ τὴν ἀρχὴν ἐάσας πρὸς τὴν ἀναίτιον φέρῃ: — M

ἀλλὰ τὴν ἀρχήν: ἀλλὰ τὴν ἀρχὴν τοῦ πράγματος ἀφεὶς πρὸς τὴν τελευτὴν φέρῃ [πρὸς τὴν] ὑστέραν οὖσαν· τὸ γὰρ τέλος τῆς ἀρχῆς δευτερεύει καὶ ὑστερεῖ: — MNOA

396 τὸ ἄχθος ἐπὶ τῷ ἄχθει τῆς δουλείας τὸ καὶ δοῦλον παῖδα τεκεῖν: — M

397 ἀτὰρ τί ταῦτ' ὀδύρομαι: ἐπεὶ εἶπεν τί δέ με καὶ τεκεῖν ἐχρῆν ὡς ἐπιλαβομένη ἑαυτῆς ἐπήγαγεν ἀτὰρ τί ταῦτ' ὀδύρομαι μικρὰ ὄντα πρὸς σύγκρισιν τῶν παρελθόντων, τῆς τε σφαγῆς Ἕκτορος καὶ τῆς Ἰλίου ἁλώσεως καὶ τοῦ αἰχμάλωτον αὐτὴν ληφθῆναι. τὰ ἐν

5 ἐπεὶ M 6 καὶ λέγει NO αὐτῶν del. Wil 9 θάτερον deleui 16. 17 scholio 5—7 adi. O 16 τὸ] τοῦ M 17 τὸ (alterum) om. A 18 καὶ — ζῆν ego καὶ ἐὰν νίκην $M^i$ κἂν νέαν νίκην NO 20. 21 φέρει M 22 lemma ex A 22. 23 ἀλλὰ — φέρῃ om. MNO 23 τὴν τοῦ πράγματοσ τελευτὴν A πρὸσ τὴν MNO πρὸσ τὴν τελευτὴν A deleui 27 lemma ex OA 28 ὥσπερ λαβομένη ἑαυτὴν NOA

ποσὶν οὖν τὰ περιέχοντα. ὁ δὲ νοῦς οὕτως· περιττὸν ὅλως τὸ θρηνεῖν· βέλτιον γὰρ ἀποθανεῖν ἢ ζῆν τοιαῦτα πεπονθυῖαν: — NOA

ἄλλως: ἀτὰρ τί ταῦτ' ὀδύρομαι: τὰ κατὰ τὴν πατρίδα καὶ τὴν ἐκ πολεμίου παιδοποιίαν τί ὀδύρομαι λόγοις, ἥτις τούτων τὸ δεινὸν αὐταῖς ὄψεσιν προεθεώρησα, σφαγὰς Ἕκτορος, Ἴλιον πυρπολούμενον, τὴν πεῖραν τῆς αἰχμαλωσίας, τὰ δὲ πλησίον ὄντα κακὰ οὐ δακρύω οὐδὲ ἀναζητῶ; λέγει δὲ τὴν ἐπιβουλὴν Μενελάου. ἀρχὴν δὲ ποιεῖται τοῦ θρηνεῖν τῷ τί δῆτ' ἐμοὶ ζῆν ἡδύ: — MNOA

τὰ πλησίον, τὰ νῦν με περιέχοντα κακά. λέγει δὲ τὴν ἐπιβουλὴν Μενελάου: — M

398 οὐκ ἐξικμάζω: οὐκ ἀναζητῶ. ἀπὸ τῶν θλιβόντων ἡ μεταφορά. ἀντὶ τοῦ· οὐκ ἐρευνῶ καὶ ἀκριβολογοῦμαι: — NOA

οὐ δακρύω, παρὰ τὴν ἰκμάδα: — M[g]

399 τὰς διὰ τῶν τροχῶν γινομένας. ἢ ἑλκυσθείσας: — M[g]

401 δούλη γενομένη: — M[g]

403 νυμφευθεῖσα ἦλθον: — M[g]

404 ἀντὶ τοῦ· περιττὸν τὸ θρηνεῖν· βέλτιον γὰρ τὸ ἀποθανεῖν ἢ ζῆν τοιαῦτα πεπονθυῖαν: — MNA

408 οὐ δῆτα τοὐμοῦ γ': οὐχ ἕνεκα τοῦ ἐμοῦ βίου προήσομαι αὐτὸν ἀποθανεῖν: — M[i]OA

ἄλλως: οὐκ ἐάσω αὐτὸν ἀποθανεῖν ἵνα ἀθλία γένωμαι: — M[i]NOA

409 ἐν τῷδε μὲν γὰρ ἐλπίς: νέος ὤν, φησίν, οὗτος ἐλπίδα ἔχει καὶ βασιλεύσειν, εἰ σωθείη τοῦ παρόντος κινδύνου: — MNOA

411 ἥδε χειρία: ὑπὸ χειρί, ὑπ' ἐξουσίᾳ: — M

ἄλλως: ἰδοὺ ἐγὼ πρὸς τὸ φονεύειν ὑποχείριος γίνομαι: — MA

412 κρεμάσαι: — M[g]

πνῖξαι: — M[i]

---

1 οὕτως NO οὐ A  περιττῶσ A  2 βέλτιον NA βλέπον O  3 lemma ex NOA  4 πολέμου NO τοῦ πολέμου A πόλεωσ M  τῶν δεινῶν A  5 προεθεώρησα αὐταῖσ ὄψεσιν M  6 πλησίον νῦν παρόντα A  οὐδὲ A καὶ MNO  7 λέγω NO  8 τῷ ego τὸ MNOA  ἡδὺ om. NO in fine add. καὶ τὰ ἑξῆσ NOA  9 με B μὲν M  18 πεπονθυῖαν om. spatio uacuo rel. N  19 lemma ex O  21 lemma ex M[i]N  ἄλλως — ἀποθανεῖν om. O  οὐ ἡράσω N  ἵνα — γένωμαι om. M[i]  ἵνα μὴ A  23 βασιλεύσειν B βασιλεύσει NO βασιλεύει A βασιλεῦσαι M  24 ὑπὸ χειρί ego ὑποχειρία M  25 ἰδοὺ — φονεύειν] ἐγὼ ἰδοὺ M  ὑποχειρία M γένομαι A

414 στείχω πρὸς Ἅιδην· ἢν δ' ὑπεκδράμῃς: ἐὰν ἐκφύγῃς τὰς χεῖρας τῶν περὶ Μενέλαον καὶ ζήσῃς, μέμνησο τῆς σῆς μητρός: — MNOA

ἄλλως: ἐὰν προκόψῃς εἰς βίον, ὅ ἐστιν· ἐὰν ἀνδρωθῇς: — MNOA

417 περιβάλλων: — M[s]

418 ὑπέμεινα: — M[s]

419 ὅστις δ' αὔτ' ἄπειρος ὢν ψέγει: ὅστις δὲ τὰ ὑπ' ἐμοῦ ῥηθέντα ὑπὲρ τέκνων ψέγει ἄπειρος ὢν τέκνων καὶ μὴ εἰδὼς τὴν ἐπ' αὐτοῖς ἀλγηδόνα (διὸ καὶ δυστυχῆ νομίζων τὴν ἀπαιδίαν εὔχεται τέκνων τυχεῖν, ἀγνοῶν ὅτι εὐδαίμων ἐστίν), ἐν ὅσῳ ἄπαις τυγχάνει, δυστυχεῖ, κατὰ δὲ τὸ ἀπολελύσθαι τῆς τῶν παίδων φροντίδος εὐδαιμονεῖ.
τινὲς δὲ οὕτως ὅτι τὸ ἧσσον ἀντὶ τοῦ οὐδ' ὅλως· ὁ ἄπαις, φησίν, ἀπήλλακται τῆς περὶ τοὺς παῖδας ἀλγηδόνος, δυστυχῶν δὲ δι' ἀπαιδίαν, εἰ δὴ δυστύχημα, ὥς τινες οἴονται, ἄλλως ἐστὶν εὐδαίμων καὶ μακάριος ἄφροντις ὤν. δύναται δὲ καὶ τὸ δυστυχῶν ἀντὶ τοῦ ἀτυχῶν: — MNOA

ἄλλως: ὅστις δὲ τὰ ὑπ' ἐμοῦ ῥηθέντα ὑπὲρ τέκνων ψέγει, λέγων ὡς ἰσόψυχα τοῖς ἀνθρώποις οὐκ εἰσὶ τὰ τέκνα, ὁ τοιοῦτος κατὰ μὲν τὸ εἶναι ἄτεκνος δυστυχεῖ, κατὰ δὲ τὸ ἀπολελύσθαι τῆς τῶν παίδων φροντίδος εὐδαιμονεῖ: — MNOA

421 ἠλέησα: — M[s]

422 ἀλλότριος: — M[s]

τύχῃ: — M[s]

425 περιστρέψαντες περιδήσαντες: — M[s]

428 ᾧ σ' ὑπήγαγον: ᾧ λογισμῷ σε ἔπεισα καὶ ἐδελέασα καὶ ἐξηπάτησα καὶ παρετρεψάμην: — MNOA

---

2 τὰς χεῖρας om. MA τῶν περὶ MNO τὸν A μέμνησο — μητρός] ἐκφυγὼν τὸν μόρον NOA 4 βίον om. A τουτ' ἔστιν N τουτέστι O ἀνδροθῇσ NO 9 δυστυχῆ ex δυστυχεῖ corr. A δυστυχεῖν MNO παίδων A 10 post τυγχάνει add. ὁ τοιοῦτοσ καθὸ μὲν ἄτεκνοσ τυγχάνει NOA 12—15 pro scholio separato habet A 12 τινὲς δὲ] τὰ A ὅτι om. A οὔτε ὅλωσ MO οὔτε ὅλωσ N οὕτωσ ὅλωσ A ὁ om. NO παῖσ A φησὶν om. A 13 δὲ δι' ego διὰ M δ' NOA 14 δὴ Wil δὲ καὶ M δὲ NOA δυστύχημα ὡς Wil et ego δυστυχή (μι supra) οἴονται ὡσ A δυστυχήματα ὡσ M δυστυχήματοσ ὡσ NO ἀλλὰ M 15 ἀφροντιῶν A ἄφετίσ ὢν N ἄφετισ ὢν O καὶ om. NOA 18 ἔστι A τὰ om. NO 25 σε om. NO 25. 26 καὶ ἐξηπάτησα om. NO 26 παρετρεψάμην Wil προετρεψάμην MNOA

434 οὖσα ὑπάρχουσα: — $M^g$

435 ἠπάτησας: — $M^g$

437 ὄντως: — $M^g$

σεσοφισμένα: — $M^i$

439 τὰ θεῖα δ' οὐ θεῖ' οὐδ' ἔχειν: τὰ δὲ θεῖα οὐ θεῖα ἡγῇ οὐδὲ ἔχειν αὐτὰ δίκην, ὅ ἐστιν· ἀναιρεῖς τὰ θεῖα καὶ τὸ παρ' αὐτοῖς δίκαιον: — MNOA

440 ὅταν τόδ' ᾖ, τάδ' οἴσομεν: ὅταν δοκῇ τῷ θεῷ καὶ ἐνστῇ τὸ τιμωρηθῆναι ἡμᾶς ὡς εἰς αὐτὸν ἀσεβοῦντας, ὑπομενοῦμεν τότε· ἐπὶ μέντοι τοῦ παρόντος οὐδεμία ἀναβολὴ τῆς σῆς ἀναιρέσεως: — MNOA

ὑποστησόμεθα: — $M^i$

444 οὔκουν θρασεῖά γ' αὐτόν: θρήνει αὐτόν, φησίν· οὐ γὰρ ἀσφαλὴς αὐτῷ ὑπόκειται ἐλπὶς ζωῆς. αἰνίττεται δὲ ὅτι ἡ Ἑρμιόνη αὐτὸν ἀναιρήσει: — MNOA

ἄλλως: θαρρεῖν ποιοῦσα, θάρρος ἔχουσα τοῦ ζῆν. οἱ γὰρ ζῶντες θαρσύνονται: — MNOA

445 ὦ πᾶσιν ἀνθρώποισιν: ταῦτα ἐπὶ τῷ Ἀνδρομάχης προσχήματί φησιν Εὐριπίδης λοιδορούμενος τοῖς Σπαρτιάταις διὰ τὸν ἐνεστῶτα πόλεμον. καὶ γὰρ δὴ καὶ παρεσπονδήκεσαν πρὸς Ἀθηναίους, καθάπερ οἱ περὶ τὸν Φιλόχορον [frg. 169a] ἀναγράφουσιν. εἰλικρινῶς δὲ τοὺς τοῦ δράματος χρόνους οὐκ ἔστι λαβεῖν· οὐ δεδίδακται γὰρ Ἀθήνησιν. ὁ δὲ Καλλίμαχος [frg. 100d, 26] ἐπιγραφῆναί φησι τῇ τραγῳδίᾳ Δημοκράτην. ἑξῆς δὲ αὐτοὺς εἴς τε τὰ ἄλλα καὶ φιλοχρηματίαν κακῶς λέγει. καὶ Ἀριστοτέλης δὲ τοῦτο ἱστορεῖ ἐν τῇ τῶν Λακώνων

---

5 δὲ om. A   δ' οὐ N   6 τὸ θεῖον A   αὐτοῦ M   9 ὡς om. A   9. 10 ἀσεβοῦντας — ἀναιρέσεως] om. NO   10 οὐ μία ἀντιβαλεῖ A   12 θρήνει αὐτὸν om. MNO   12. 13 οὐ — ζωῆς] οὐ γὰρ θρασεῖα γ' αὐτῶ φησὶν ἤγουν ἀσφαλὴσ ὑπόκειται ἡ ἐλπὶσ τῆσ ζωῆσ A   13 αὐτῶν NO   δὲ om. NO   ἡ ἑρμιόνη MNO εἰ ἑρμῆσ A   14 αὐτὴν O   15 θάρσοσ NO   16 θρασύνονται MN   17 ἐν A   τῆσ ἀνδρομάχησ A   19 καὶ γὰρ δὴ M καὶ γὰρ NO ἦν γε δὴ A   εἰσ A   20 οἱ περὶ τὸν φιλόχωρον M οἱ περὶ τοῦ φιλοχόρου A   ἀναγράφοντεσ M ἀναστρέφουσιν NO   20—23 εἰλικρινῶς — Δημοκράτην om. A   21 δεδίδακται Cobet δέδεικται MNO   23 ἔξω MNO   αὐτοῖσ A   φιλοχρηματίαν Cobet φιλοχρημάτουσ MNOA   23. 24 κακῶς NOA αὐτοὺσ M   24 λακώνιων A

πολιτείᾳ [frg. 544] καὶ τὸ ὑπὸ θεοῦ αὐτοματισθὲν προστίθησιν ἔπος ʻἁ φιλοχρηματία Σπάρταν ὀλεῖ, ἄλλο δέ γ᾽ οὐδέν᾽. φαίνεται δὲ γεγραμμένον τὸ δρᾶμα ἐν ἀρχαῖς τοῦ Πελοποννησιακοῦ πολέμου: — MNOA

448 ἑλικτὰ κοὐδὲν ὑγιές: περικυκλοῦντες ψευδέσι λόγοις τὴν ἀλήθειαν καὶ μὴ κατ᾽ εὐθεῖαν ἃ φρονεῖτε λέγοντες: — MNO

ἑλικτὰ κοὐδὲν ὑγιές: πανοῦργα, οὐχ ἁπλά. ἡ δὲ μεταφορὰ ἀπὸ τῶν παρὰ γεωμέτραις γραμμῶν: — NOA

454 νενόμισται δεδοκίμασται: — $M^g$

455 ἐπορθήθη: — $M^g$

456 ὅς σε πολλάκις δορί: ὅστις σὲ πολλάκις ἀντὶ τοῦ ἐπὶ τῆς παρατάξεως ἑστάναι καὶ πολεμεῖν ναύτην κακὸν ἐποίησεν διωκόμενον. τὸ γὰρ ⟨ναύτην⟩ κακὸν πρὸς τοῦτο εἶπεν, ὅτι φεύγων τὴν ἐν τῷ πεδίῳ μάχην εἰς τὰς ναῦς κατέφυγεν: — MNOA

ἄλλως: εἰς τὰς ναῦς εἰλούμενος καὶ διωκόμενος. ἐκείνων δ᾽ ἂν εἴη τῶν ἐπῶν μεμνημένος [O 653]· ʻεἴσωποὶ δ᾽ ἐγένοντο νεῶν, περὶ δ᾽ ἔσχεθον ἄκραι νῆες, ὅσαι πρῶται εἰρύατο᾽: — NOA

457 ναύτην ἔθηκεν: ἀντὶ τοῦ ἵστασθαι ἐπὶ τῆς χέρσου καὶ μάχεσθαι ναύτην ἔθηκε κακόν, τουτέστιν· εἰς τὰς ναῦς ἀπεδίωξε τρεψάμενος: — A

ναύμαχον: — $M^g$

πεζομάχου καὶ ἐπιγείου: — $M^g$

462 δυστυχήσω: — $M^g$

463 διὰ τοῦτο μὴ καυχῶ: — $M^i$

464 διπλᾶ: — $M^g$

466 οὐδ᾽ ἀμφιμάτορας κόρους: τοὺς ἐκ διαφόρων μητέρων, ἐξ ἑνὸς δὲ πατρός, οὐδὲ τούτους ἐπαινέσω τοὺς κόρους, λέγω δὲ [τὰς] ἔριδας τῶν οἴκων: — MNOA

469 μίαν μοι στεργέτω πόσις γάμοις: καὶ αὐτὸς μίαν μοι

---

1 καὶ om. A τοῦ θεοῦ M post ἔπος ins. schol. 4. 5 NO
2. 3 ἁ — πολέμου om. M 2 ἀφιλοχρηματίας πάρταν τίς ἕλοι A φιλοχρηματίαι σπάρτης [σπάρτ᾽ N] ἄγγελοι NO δέ γ᾽ NO γὰρ A 3 ἀρχῇ A
5 φρονεῖ τελέοντες O λέγοντες om. M 6 lemma ex O περὶ NO
7 γραμμάτων N 10 ἀντὶ τοῦ om. A 12 τὸ] τί MNOA ναύτην addidi 12. 13 ὅτι — κατέφυγεν om. M 14 lemma ex NO
14—16 scholio 10—13 adi. A 15 δ᾽ A δὰν NO τῶν νεῶν NO
16 νῆες — εἰρύατο om. A εἰρύαται N 26 κούρους NO κακούργους A
δὴ A τὰς del. Wil

στεργέτω εὐνὴν, τὴν ἐμὴν, καὶ αὐτὴν ἀκοινώνητον ἄλλου ἀνδρός, ἀντὶ τοῦ ἄμικτον: — MNOA

470 ἀκοινώνητον ἀνδρὸς εὐνάν: ἀντὶ τοῦ· σώφρονα καὶ μὴ ἐπικοινωνοῦσαν ἑτέρῳ ἀνδρὶ ἢ τῷ γήμαντι μόνῳ νομίμως: — MNOA

τὸ ἑξῆς· μίαν εὐνήν: — M[1]

471 παρὰ τὸ Ὁμηρικὸν [B 204] 'οὐκ ἀγαθὸν πολυκοιρανίη': — M[1]NOA

474 πρὸς τὸ φέρειν οὐκ εἰσὶ βελτίονες αἱ διπλαῖ τυραννίδες τῆς μιᾶς: — MNOA

475 ἡ διπλῆ τυραννὶς δηλονότι. ἐκ γὰρ δύο τυράννων κακὸν ἐπὶ κακῷ γίνεται καὶ παρακολουθεῖ: — MNOA

476 καὶ δύο ἐργάταις τέκτοσιν ὕμνων: — M[g]

τεκτόνοιν θ' ὕμνοιν: παρὰ τὸ Ἡσιόδου [opp. 26] 'καὶ πτωχὸς πτωχῷ φθονέει καὶ ἀοιδὸς ἀοιδῷ': — MA

479 ναυτίλους θοαί: καὶ δύο κυβερνῆται ἐν μιᾷ νηὶ διχοστατοῦντες κατὰ τῶν πηδαλίων γίνονται καὶ οὐχ ὑπὲρ τῶν πηδαλίων: — MNOA

480 τινὲς στίζουσιν εἰς τὸ κατὰ πηδαλίων, φάσκοντες λείπειν τῷ λόγῳ τὸ ἐπιβλαβεῖς εἰσιν: — MNOA

δηλονότι τῶν δύο ἢ πλειόνων κυβερνητῶν ἐν τῇ νηί: — NO

481 σοφῶν τε πλῆθος: τὸ πλῆθος κἂν ᾖ σοφὸν, ἀβουλότερόν ἐστι μιᾶς φρενὸς αὐτοδεσπότου. ὁ δὲ νοῦς· ἐὰν, φησὶ, καὶ φαῦλος ᾖ αὐτοκράτωρ σύμβουλος, κρεῖσσον διοικήσει τὰ πράγματα, εἰ μόνος εἴη, ἤπερ ἐὰν πολλοὶ ὦσιν ἔμπειροι καὶ σοφώτεροι· στασιάζουσι γάρ. βούλεται δὲ ὁρίσασθαι ὅτι ἐν παντὶ πράγματι κρεῖσσόν ἐστιν ὑποτάσσεσθαι ἑνὶ ἢ πολλοῖς: — MNOA

482 αὐτοδεσπότου αὐτεξουσίου: — M[g]

---

1 εὐνὴν τὴν εὐνὴν τὴν ἐμὴν NO   2 ἀνάμικτος NO   4 κοινωνοῦσαν M   6 adi. scholio 10. 11 A   παρὰ τὸ om. A   ὅμηρος A   8 προσφέρειν A   ἔστι A   βέλτιον αἱ αἱ A   10. 11 adi. scholio 8. 9 A scholio 6 NO   10 γὰρ om. A   κακὸν] κακῶν NO   11 γίνεσθαι NO   13 τὸ Ἡσιόδου ego τῷ ἡσιόδῳ M τοῦ ἡσιόδου A   16 γίνονται — πηδαλίων om. O   καὶ — πηδαλίων om. A   18. 19 scholio 15. 16 adi. M scholio 13. 14 adi. A pro τινὲς στίζουσιν scriptis στίξας δὲ   18 λείπει M   19 τῷ λόγῳ om. A   20 scholio 15. 16 adi. NO   22 ἐστι om. M   23 ὁ αὐτοκράτωρ A   κρείσσων M κρείσσω A   δηινήσει N   25 ὅτι om. NO

484 ἰσχυρά ἐστιν: — $M^g$NO

485 θέλωσι καιρόν: θέλωσιν αἱ πόλεις, τὰ μέλαθρα. καιρὸν δὲ ἀντὶ τοῦ κέρδος εὐκαιρίαν: — M$M^i$NO

καὶ ἄλλως: ἀπὸ τοῦ ἑνικοῦ μετῆλθεν εἰς τὸ πληθυντικόν. ἀντὶ τοῦ· ὅτε ἐπιτυχίας καὶ εὐκαιρίας λαβέσθαι θέλουσιν: — MNO$A^g$

καλῶς ῥέειν θέλουσι τὰ πράγματα καὶ φέρεσθαι καλῶς: — NO

487 διὰ γὰρ πυρός: ὅ ἐστι· πεπύρωται ὡς πῦρ, θερμῶς. εἶπε γὰρ αὐτῇ [257] πῦρ σοὶ προσοίσω: — M$A^g$

490 ἀνοήτου: — $M^g$

491 ἔτι σε πότνια: πρὸς τὴν Ἑρμιόνην, οἷον· ἴσμεν ὅτι μετανοήσεις, ἐὰν πράξῃς· διὸ βέλτιόν σοι μηδὲν προπετὲς ἐργάσασθαι, ἀλλὰ μᾶλλον φιλανθρώπως διατεθῆναι: — MNOA

492 μετατροπή: μεταμέλεια μετάνοια. ἔτι σε, ὦ δέσποινα, ἐγχωρεῖ μεταβουλεύσασθαι: — NO$A^g$

495 συγκεκροτημένον συνεζευγμένον: — $M^g$

496 κρίσει θανάτου κατεψηφισμένον: — $M^i$$A^g$

499 κοινωνῶν τῆς ἁμαρτίας: — $M^i$$A^g$

502 συγκεκλεισμένη συνεχομένη συνδεδεμένη: — $M^i$

505 μεταφορικῶς ἀπὸ τῶν ὀρνίθων, ἀντὶ τοῦ· ὑπὸ τὴν σὴν μασχάλην: — M$N^g$O$A^g$

506 πέμπομαι θῦμα δάιον ὑμῶν μέλλων φονεύεσθαι: — M$A^g$

κατακεκομμένον σφάγιον: — MA

507 ὦ βασιλεῖς, ὦ ἄρχοντες: — $M^i$

πρὸς τὸν χορόν φησιν: — $M^i$

508 ὦ Νεοπτόλεμε: — $M^i$

ταῦτα ⟨τὸ⟩ παιδισκάριόν φησιν: — M

510 διχῶς δύναται νοεῖσθαι κεῖσο ἤδη καὶ κεῖσε ἤδη: — M$A^g$

515 κατ' ἐρώτησιν ὁ Μενέλαος· τί πάθητε; ἀπέλθετε εἰς Ἅιδου. τὸ δὲ ἴθ' ἀντὶ τοῦ· ἴτε πορεύεσθε: — MNO

518 κρίσις: — $M^g$

---

1 scholio 4. 5 adi. O 2 θέλουσιν αἱ O θέλουσιν ναὶ N 5 θέλει O $\overset{λ}{θε}$ N 6 scholio 1 adi. NO 11 ἐργάζεσθαι A 13 lemma ex NO μεταμέλεια $A^g$ μεταβολή NO 14 συγχωρεῖ N 19 ὑπὸ om. NO 23 scholio 25 adi. $M^i$ 26 τὸ παιδισκάριον ego παιδισκαρίου M 27 κεῖσο ἤδη ego κεῖσο δὴ M$A^g$ κεῖσε ἤδη ego κεῖσ' ἤδη M$A^g$ 28 ὁ — πάθητε om. M πάθητι O 29 τὸ — πορεύεσθε om. M ἴθι O ἴσθι N ἴτε om. O πορεύεσθαι NO

519 ἄνοια, φησί, λείψανον ἐᾶσαι τῶν ἐχθρῶν: — M

527 ἐκτετραμμένον. παρατρεπτικόν: — M$^{g}$A$^{g}$

529 λίσσου γούνασι δεσπότου: εἰποῦσα [459] ὡς ἀθώπευτόν γέ σε γλώσσης ἀφήσω τῆς ἐμῆς αὐτὴ μὲν ἐπιμένει τῷ φρονήματι, τῷ δὲ παιδὶ τὸ παρακαλεῖν ἐπιτρέπει. διὰ τοῦ παιδὸς εἰς ὑπόμνησιν φιλοστοργίας παίδων ἄγει τὸν Μενέλαον, μονονουχὶ βοῶσα ὅτι καὶ σὺ παίδων πατὴρ πέφυκας: — MNOA

530 προσεγγίζων: — M$^{g}$

531 συγχώρησόν μοι: — M$^{g}$A$^{g}$

532 τήκομαι: — M$^{g}$

τοὺς ὀφθαλμούς: — M$^{g}$

533 λισσάδος ὡς πέτρας: λείας ὁμαλῆς. τουτέστιν· ὡς ἀπὸ λείας πέτρας καταστάζομαι τοὺς ὀφθαλμοὺς τοῖς δακρύοις: — MNO

534 λιβὰς ἀνήλιος: ἐγὼ ὡς ἀνήλιος λιβὰς στάζω: — MM$^{i}$NO

ἢ πολυήλιος, ἐν ἡλίῳ οὖσα, ἢ ἥλιον μὴ ὁρῶσα σταγών, ἢ οὐ καταλάμπεται ὑπὸ τοῦ ἡλίου. ἢ ἀνήλιον λιβάδα εἶπε τὴν ἐν σπηλαίῳ· αὕτη γὰρ οὐ καταλάμπεται ὑπὸ τοῦ ἡλίου: — MNOA

535 τῶν κακῶν ποίαν μηχανὴν ἐξεύρω: — M$^{i}$

539 ἀντὶ τοῦ· ὑπάρχω τοῖς ἐμοῖς βοηθός: — M$^{i}$

540 τὸ ἑξῆς· ἐν σοὶ δὲ οὐδὲν ἔχω φίλτρον * *: — M$^{i}$

541 ἀντὶ τοῦ ἐκδαπανηθείς: — M$^{g}$

μέγ' ἀναλώσας ψυχῆς μόριον: τὸ τῶν ἐπιστρατευσάντων Τροίᾳ Ἑλλήνων πλῆθος, ἀντὶ τοῦ· πολλὰς ψυχὰς ἀπολέσας ἐν τῷ Ἰλιακῷ πολέμῳ. θέλει δὲ εἰπεῖν ὅτι πολέμιός μοι ὑπάρχεις, εἴ γε πολλὰ ἔπαθον ἵνα πορθήσω τὴν Τροίαν· οὔκουν οὐδὲ ⟨ἐγὼ⟩ φείσομαι: — MNOA

542 Τροίαν εἷλον: ἐπόρθησαν, ἐπὶ δὲ τῆς Ἀνδρομάχης ἠχμαλώτισαν, ὡς τὸ Ὁμηρικόν [Λ 328] 'ἔνθ' ἑλέτην δίφρον τε καὶ ἀνέρε *: — A

543 μετέχων: — M$^{g}$

Ὅμηρος [Α 410]· 'ἐπαύρωνται βασιλῆος': — M$^{g}$

---

4 δέ σε MA διὰ O om. N 4. 5 σωφρονήματι N 7 ὅτι καὶ A ὅτι O ὃ N om. M 12 ὡς om. NO cf. Suid. λισσάδας πέτρας λείας καὶ ὁμαλάς 15—17 scholio 14 adi. MNO 15 ἢ (prius) om. A ἢ] ἢ MNOA 17 καλάμπεται N λάμπεται O 17 τοῦ om. NA 20 lacunam indicaui 22 τροίαν A om. MNO 23 ἀπολέσας ἐν τῇ ἰλίω ψυχὰς M ἀπώλεσας A 24 θέλει δὲ] θέλουσα A τυγχάνεις NOA 24. 25 εἴ— φείσομαι om. A 25 ἐγὼ addidi 27 ἀνέρα A clausulae signum deest A

548 εἰπὲ πῶς ταῦτα γέγονεν καὶ τί ταῦτα: — M$^{i}$

διὰ τί αἴτιον: — M$^{g}$

στασιάζει: — M$^{g}$

552 ἀλλ' ἀνηβητηρίαν: ἀνακμαστικὴν ἀνανεάζουσιν νεωτερικήν: — MNO

ἄλλως: ἀντὶ τοῦ ἀνηβῶσαν. ἢ τὴν ἀνά πρὸς τὸ λαμβάνειν συναπτέον, ἵν' ᾖ· ἀναλαμβάνειν ἀκμαστικὴν ἰσχύν· ὃ καὶ ἄμεινον: — MNOA

553 ῥώμην ἐπαινῶ: ἐπαινῶ βούλομαι ἀσπάζομαι, τουτέστιν· ἥδιστ' ἂν ἡβησαίμην. Ὅμηρος [I 446]· 'γῆρας ἀποξύσας θήσειν νέον ἡβώοντα': — MNOA

554 πρῶτον μὲν οὖν κατ' οὖρον: κατ' οὔριον ἄνεμον, ὁμοίως οὐρίῳ ἀνέμῳ καὶ πνεύματι: — MNOA

ἄλλως: ὃν τρόπον οὔριος ἄνεμος ἱστίοις, οὕτως κἀγὼ ταύτῃ φανήσομαι, τουτέστι· τοῦ περιέχοντος αὐτὴν χειμῶνος ἀπαλλάξω. ὁ γὰρ οὔριος ἄνεμος ὄπισθεν πνέων εὐκταῖός ἐστι καὶ σωτήριος τοῖς ναυτιλλομένοις ταραχῆς αὐτοὺς ἀπαλλάσσων: — MNOA

555 ἐκ ποίου δικαίου, ποίᾳ δίκῃ καὶ κρίσει: — M$^{g}$

557 ὕπαρνος γάρ τις: μετὰ τοῦ τέκνου, ὡς ὕπαρνον πρόβατον: — M

560 τί νῦν παλιλλογῶ; ἤδη γὰρ ἤκουσας: — M$^{g}$

561 φήμης. σπουδῇ μιᾶς κληδόνος: — M$^{g}$A$^{g}$

562 μετεπεμψάμην μετεστειλάμην: — M$^{i}$

566 ἣν σὺ θαυμαστὴν σέβεις: γράφεται ἄγεις ἀντὶ τοῦ θαυμαστὴν ἡγῇ, τουτέστιν· θαυμάζων διατελεῖς, μακαρίζων ἐπ' αὐτῇ σεαυτόν. ἢ σέβεις τιμᾷς. λείπει δὲ τὸ οὖσαν: — MNOA

---

1 καὶ ego ἢ M$^{i}$ 2 διὰ τί ego εἰπὲ τί Wil λείπει τὸ M$^{i}$ 6 ἀντὶ τοῦ om. N ἡβῶσαν A τὸ] τί NO 7 ὃ — ἄμεινον om. A 9 ἐπαινῶ om. A 10 ἥδιστον O ἥδυστον N ἂν ἡβησαίμην ego ἂν ἡβ .... A ἀνηβήσομαι MNO 10—11 Ὅμηρος — ἡβώοντα om. M sed habet M$^{i}$ 11 ἡβώσοντα N ἡβώωντα M$^{i}$ 12 κατούριον O κατάριον N om. M ante ὁμοίως add. ἀντὶ τοῦ A 14 οὕτως om. M post ταύτῃ scholion claudit nouumque incipit lemmate praeposito ἐμπνεύσομαι τῇδ' M 16. 17 καὶ σωτήριος om. A ναυτίλοισ A 17 αὐτοῖσ A 22 σπουδῆσ M$^{g}$A$^{g}$ μιᾶς κληδόνοσ B μιᾶσ A$^{g}$ κληδόνοσ M$^{g}$ 24 initio add. τιμίαν λείπει δὲ τὸ οὖσαν A γράφεται ἄγεις om. MNO sed habet M$^{i}$ 25 τουτέστιν om. M post διατελεῖς add. τὸ γὰρ A 25. 26 ἐπαιτῆσαι αὐτὸν NO 26 ἢ — οὖσαν om. A

567 οὔτε τῳ δίκῃ: τὸ τῳ, τινὶ, κοινόν ἐστιν τῷ γένει· οὔτε τινὶ δικαιοσύνῃ κρίναντες, ἢ ἐν οὐδεμιᾷ κρίναντες δίκῃ: — MNOA

570 κατ' οὐδὲν ὄντα αἴτιον: — $\mathrm{M^g}$

573 χειρὶ δ' οὐκ ἔξεστί μοι: διὰ τὸ δεδέσθαι: — MNO

ἢ οὐ δυνατόν· δέδεμαι γάρ· ἤτοι ἐπεὶ νόμος ἦν τοῖς βαρβάροις μὴ ἅπτεσθαι τοῦ γενείου τοῦ δεσπότου: — MNOA

577 λύειν: — $\mathrm{M^gA^g}$

582 οὐχ ἱκανόν ἐστι: — $\mathrm{M^g}$

586 τότε σά ἐστι τὰ τοῦ Νεοπτολέμου ὅτε τι καλὸν βούλει ποιεῖν: — NA

587 ὄντως: — $\mathrm{M^g}$

οὔποτ' ἐξ ἐμῆς χερός: τοῦτο γνῶθι ὅτι οὕτως ἐστὶ τὰ τοῦ Νεοπτολέμου ἐμὰ ὡς μὴ δύνασθαί σε τήνδ' ἀπάγειν ἐκ τῆς ἐμῆς χειρός: — MNO

589 ἀντιτυπήσω. λείπει δὲ τὸ ἅπαξ: — $\mathrm{M^g}$

590 σὺ γὰρ μετ' ἀνδρῶν, ὦ κάκιστε: εἰς τὸ μετ' ἀνδρῶν στικτέον· ἐν ἤθει δὲ μετ' ἐκπλήξεως ὁ λόγος καὶ ἔστιν· σὺ γὰρ ἐν ἀνδράσιν ἀριθμῇ; τὸ δὲ ὦ κάκιστε κἀκ κακῶν κατ' ἰδίαν ὑβριστικῶς ἐπιφωνεῖ: — MNOA

593 ἄκληστ' ἄδουλα: ἀνεῳγμένα, μὴ κεκλεισμένα. ἀποδημοῦντος δὲ εἰς Κρήτην Μενελάου δοκεῖ ἡ ἁρπαγὴ Ἑλένης γεγονέναι: — MNOA

ἄδουλα: ἀφύλακτα. πολύδουλα μὲν, ἀφύλακτα δὲ ὅμως: — MNOA

595 οὐδ' ἂν εἰ βούλοιτό τις: καὶ ἐὰν θελήσῃ τις τῶν παρ' ὑμῖν γυναικῶν σωφρονεῖν καὶ φύσεως ᾖ σώφρονος, ἐκτρέπεται εἰς ἀσέλγειαν διὰ τὸ μετ' ἀνδρῶν ἐξιέναι εἰς τὰ γυμνάσια: — MNOA

---

1 initio add. ἐν οὐδεμιᾶ κρίναντεσ δίκη A τὸ Dindorf τὸ γὰρ A οὔτε MNO 2 τινὶ] τὴν A ἢ — δίκῃ om. A δίκην N 5. 6 scholio 4 adi. MNO 5 ἢ om. A ἤτοι om. MNO 8 οὐ δίκαιον $\mathrm{M^g}$ 9 τότε N τοῦτο γνῶ διότι A τοῦ om. A 12 ὅτι om. NO 13 ἀπάγειν Wil ἀγαγεῖν MN ἀγεῖν N ἐμῆς om. N 17 δὲ om. A 18 κἀκ om. NOA 19 ἐπιφονεῖ M ἐπιφανεῖ NO 20 κλειόμενα MNO 21 δὲ MNO μὲν A τῆσ ἑλένησ NO 23 scholio 20—22 adi. NO initio add. τὸ δὲ ἄδουλα πολύδουλα μὲν om. A spatio uacuo rel. μὲν om. N 26 ὑμῶν N 27 τὰ om. NO

598 ἀνεσταλμένοις: — $M^g$

599 δρόμους παλαίστρας: οὐκ ἀρεσκούσας οὐκ ἀνεκτάς: — MNO

σώματος εὐρωστίας ἀντιποιοῦνται Λάκωνες· διὸ τὰς παρθένους γυμνάζουσιν, ἵνα γενναίους παῖδας γεννῶσιν: — MNOA

ἄλλως: τῆς τοῦ σώματος εὐρωστίας ἐπιμελόμενοι Σπαρτιᾶται τὰς παρθένους εἰς γυμνάσια ἔστελλον, ἵνα γενναίους τίκτωσι παῖδας: — A

600 κοινὰς τοῖς ἀνδράσιν: — $M^g$

εἶτα: — $M^g$

603 τὸ $\overline{\chi}$ ὅτι τὸ φίλτρον φίλιον εἶπεν. ἢ λείπει τὸ Δία ἵν' ᾖ· φίλιον Δία: — MNOA

λιποῦσα φίλιον: ἀντὶ τοῦ φίλτρον λιποῦσα φίλιον εἶπεν. ἢ λείπει τὸ Δία, ἵν' ᾖ φίλιον Δία, ὡς ξένιον Δία. θέλει δὲ εἰπεῖν· τὴν πρὸς σὲ διάθεσιν καταλιποῦσα ἐξεβακχεύθη: — MNOA

τὸ σὸν λιποῦσα: ἀντὶ τοῦ φίλτρον. γράφεται τὸν σὸν λιποῦσα φίλιον, ἵν' ᾖ τὸν φίλιον· λείπει οἶκον: — A

ἐξεκώμασε: ἐξεχώρησεν ἐξωρχήσατο ἐξεβακχεύθη. εἰς αἰσχύνην μετετράπη: — MNOA

607 ἐκφαυλίσαντα: — $M^g$

πόλεμον: — $M^g$

609 λείπει τὸ ὥστε: — $M^g$

ἐπούρισας: ἔστησας ἐφώρμισας. ἢ ἐστήριξας, ἀπὸ τῶν ὁρίων: — A

614 αὐθέντην δέ σε: φονέα μιαιφόνον: — $MM^gAA^gNO$

616 ὃς οὐδὲ τρωθείς: σημειωτέον ὅτι τρωθεὶς εἶπεν, οὐ βληθείς· καὶ γὰρ ἐβλήθη ὑπὸ Πανδάρου. διαφέρει δὲ τὸ βληθῆναι τοῦ

---

3. 4 scholio 2 adi. MNO initio add. ἢ  3 λάκωνεσ ex λάκωνασ corr. M  9. 10 scholio 16. 17 adi. NOA initio add. ἢ NO  9 τὸ $\overline{\chi}$ M τὸ A τὰ NO  φίλτρον φίλιον Wil φίλιον φίλον NOA φίλιον M  ἢ MA καὶ NO  τὸ NOA τὸν M  9. 10 ἵν' — Δία om. NA  10 φίλον O  11—13 scholio 9. 10 adi. NOA  11. 12 ἀντὶ — φίλιον Δία om. NO  ἀντὶ — ξένιον Δία om. A  φίλιον] φίλον (bis) M  12 τὸν δία M  ξένον M  13 ἐβακχεύθη MA  14 τὸν σόν] Dindorf τοσόν A  15 τὸν ego τὸ A  16. 17 εἰς αἰσχύνην Laur. 31, 15 μετὰ αἰσχύνησ MNOA  17 μετετράπη ego ἐτράπη MNOA  21 ἐφόρμησασ A  ἐστήριξασ Wil ἔστερξασ A  22 lemma ex A  in fine add. ἀποβλέπω $M^gA^g$ αὐτόεντοσ γὰρ ὁ δι' ἑαυτοῦ ἱέμενοσ καὶ πέμπων τὸ ξίφοσ A cf. schol. us. 172  23 lemma ex A  23 — p. 292, 2 scholio 22 adi. MNO om. σημειωτέον ὅτι MNO add. δὲ post τρωθεὶς O  23. 24 οὐ βληθεὶσ εἶπεν M om. N  24 — p. 292, 2 διαφέρει — Ὀδυσσεύς om. A  24 δὲ] γὰρ O

τρωθῆναι. Ὅμηρος [Λ 659] ‘βέβληται μὲν ὁ Τυδεΐδης, οὔτασται δ’ Ὀδυσσεύς’: — MNOA

καὶ ἄλλως: παρὰ τὴν ἱστορίαν· πρῶτος γὰρ ὑπὸ Πανδάρου τέτρωται. εἰ μὴ ἄρα ὅτι ηὐτέλιζον τὰ τοξεύματα οἱ παλαιοί [διὸ οὐ λαμπρά γε ταῦτα ἐχόντων], οὐδὲ ἐμνήσθη: — MNOA

618 ὅμοι’ ἐκεῖσε: οἱ γὰρ χρώμενοί τισι ταχέως αὐτὰ τρίβουσιν. σὺ οὖν, φησί, μὴ χρησάμενος τοῖς ὅπλοις ὁποῖα ἔλαβες αὐτά, τοιαῦτα καὶ ἐνταῦθα κεκόμικας: — MNOA

621 ἐκφέρουσι γὰρ μητρῷ’ ὀνείδη: ἀντὶ τοῦ· κομίζουσιν τὰ μητρῷα βουλεύματα εἰς τοὺς γάμους: — MNOA

ἄλλως: μιμοῦνται. τὰ γὰρ ἐκ κακῶν μητέρων τέκνα ἀπομάττονταί τι τῶν μητρικῶν ὕβρεων: — A

622 τοῦτο καὶ σκοπεῖτέ μοι: ἀντὶ τοῦ διὰ τοῦτο. διαλέγεται δὲ πρὸς τὸ θέατρον. ὅσοι οὖν μνηστεύεσθε, λογίζεσθε καλῆς γυναικὸς παῖδα λαβεῖν: — MNOA

624 πρὸς τοῖσδε: τῆς κατὰ Ἰφιγένειαν ἱστορίας μέμνηται, ἣν ἐδόκει σφαγιάσαι τῇ Ἀρτέμιδι. σὺ οὖν, φησίν, ὦ Μενέλαε, πεισθῆναι συνεβούλευσας τῷ ἀδελφῷ: — A

625 εὐηθεστάτως ἀνοήτως: — M[g]

626 οὕτως ἔδεισας: οὕτως, φησίν, ηὐλαβήθης μὴ στερηθείης τῆς κακῆς γυναικός. τὸ γὰρ μὴ οὐκ ἔχῃς ἀντὶ τοῦ· μὴ οὐκ ἔχειν σε ταύτην τοῦ λοιποῦ συμβῇ: — MNOA

ἄλλως: τὸ μὴ οὐ πρὸς τὸ ἔχεις. τινὲς ἐρωτηματικῶς, ἀντὶ τοῦ· ὡς μὴ ἔχων [πρὸς] κακὴν γυναῖκα: — MNOA

628 ὑπ’ ἐξουσίαν. ἑτοίμην: — M[g]A[g]

---

2 ὀδυσσεύσ N  cf. Lehrs. Aristarch. p. 51 sq.  3—5 scholio p. 291, 23. 24 adi. A add. δὲ post ἱστορίαν  4. 5 διὸ—ἐχόντων grauiter corrupta, latet ni fallor scholion ad us. 617  5 μπρά—ἐχόντων om. A spatio uacuo relicto  ταῦτα—οὐδὲ om. NO  οὐδὲ M τε A  in fine add. αὐτοῦ NA  6. 7 οἱ—μὴ om. M  6 τάξεωσ A  7. 8 μὴ—κεκόμικας om. NO sed habent scholio 3—5 adiuncta om. μὴ  8 ἐντεῦθεν MNO om. A  10 γαμβροὺσ MNO  13 initio add. τοῦτο NOA  14 δὲ] οὖν A  θάτερον N  λογίζεσθε καλῆς om. O  κακῆσ A  16 ἣν ego ἢ A  20 στερηθείοισ A  21 τὸ γὰρ τὸ A  ἔχῃς—οὐκ om. N  ἔχεισ MOA  μὴ om. A  ἔχων NO  23. 24 scholio 20—22 adi. MNO add. δὲ post τὸ  23 πρὸς τὸ] πρὸσ τί O  τινέσ MNO τὰ γὰρ A  24 πρὸς deleui  κακὸν NA

630 σαίνων. ἢ κολακεύων. κύνα δὲ ἀντὶ τοῦ ἀναιδῆ: — M[1]

προδότιν αἰκάλλων κύνα: ἡττηθεὶς τοῖς ἀφροδισίοις. ἄμεινον ᾠκονόμηται τοῖς περὶ Ἴβυκον [frg. 35]· εἰς γὰρ Ἀφροδίτης ναὸν καταφεύγει ἡ Ἑλένη κἀκεῖθεν διαλέγεται τῷ Μενελάῳ, ὁ δ' ὑπ' ἔρωτος ἀφίησι τὸ ξίφος: — MNO

τὰ παραπλήσια ⟨τούτοις καὶ Ἴβυκος ὁ⟩ Ῥηγῖνος ἐν διθυράμβῳ φησίν: — M

637 τὴν κατάρρυτον καὶ κοίλην: — MgAg

639 φυγάδευσον ἐκκόμιζε ἄπαγε λάμβανέ σου τὴν θυγατέρα: — MA

641 κεκτῆσθαι ἔχειν: — MgAg

642 σμικρᾶς ἀπ' ἀρχῆς: ἐκ μικρᾶς ἀφορμῆς εἰς ἔχθραν μεγάλην προελθεῖν: — MNg

643 διὰ τοῦτο: — Ng

644 ἐξευρίσκειν: — Mg

645 κατ' ἰδίαν τὸ ὡς σοφοί. μετὰ ἐρωτήσεως δὲ καὶ ἤθους προενεκτέον. λείπει δὲ τὸ εἰσίν: — MNOA

646 κατὰ κοινοῦ τὸ ὡς σοφοί: — MA

648 ἐμοὶ δηλονότι: — MNO

650 ὑπὲρ Νείλου ῥοάς: ἀντὶ τοῦ· πόρρω ταύτης τῆς γῆς: — MNA

651 ποταμὸς Κολχίδος: — MMgNAg

---

4 τοῖσ NO τὰ M ἴβυκον M κώκον O om. spatio rel. N 4. 5 καταφεύγει NO καταλέγει M 5 ὁ NO ἢ M 6 ἀφήσει NO 7. 8 scholio 3—6 adi. M

7 τὰ παραπλ (η superscr.) agnoui quamuis ualde detrita, quae secuntur litterae trium uel quattuor uerborum, eas adeo euanuisse ut nihil discerni possit testor. ita suppleui ut hoc scholion breuior repetitio sit eius quod praecedit; talia enim praeter ipsorum scholiorum contextum in margine interiore uel inter lineas adscripta facile a librariis codicum ON poterant omitti. cui opinioni non obstat quod ex uno hoc additamento Ibyci celebre carmen de Helena dithyrambum fuisse discitur. contra dicit Wil se οσ ante ῥιγῖνοσ haud semel in codice legisse et, quod graue est, in scholio anteriore Ibyci dissensum, non consensum notari Ῥηγῖνος ego ῥιγῖνοσ M 11 Hesych. πεπᾶσθαι κεκτῆσθαι 16. 17 scholio 19 adi. MNO 16 δὲ om. NOA 17 προσενεκτέον MNO λείπει—εἰσίν om. O δὲ om. N 18 ἀπὸ A 19 lemmate ἡμῖν δ' ὀνείδη ad us. 649 referunt MO 20 scholio 22 adi. N 22 χαλχιδόνοσ M

κἀμὲ παρακαλεῖν δεί: ὥστε ἐκπέμπειν καὶ ἐκβάλλειν αὐτὴν ἐκ ταύτης τῆς γῆς: — MNA

652 τῆς ἑτέρας ἠπείρου· λέγει δὲ τῆς Ἀσίας: — MA$^g$

πτώματα: — M$^g$

653 δορίπληκτα δόρατι ἀνῃρημένα: — M$^g$

654 τοῦ φόνου μετέχουσαν: — M$^g$

658 καὶ ξυντράπεζον ἀξιοῖς ἔχειν: ὁμοτράπεζον. μηδόλως ὤφελες ταύτῃ συνεσθίειν: — MN$^g$

659 μεμισημένους: — M$^g$

660 ἀντὶ τοῦ· δι' ἃ ἐγώ: — M$^g$

προνοούμενος καὶ σοῦ καὶ ἐμαυτοῦ: — M

ἀγὼ προνοίᾳ: δι' ἅτινα πάντα, λέγω δὲ διὰ τὸ εἶναι ταύτην ἠπειρῶτιν καὶ διὰ τὸ εἶναι κοινωνοῦσαν τοῦ φόνου τοῦ σοῦ παιδός, μέλλων ἐγὼ αὐτὴν φονεύειν ἁρπάζομαι αὐτὴν παρὰ σοῦ ἐκ τῶν ἐμῶν χειρῶν: — A

664 γεννῶνται: — M$^g$

666 νήφω: — M$^g$

668 κἀκεῖνο νῦν ἄθρησον: πάλιν τῷ συνήθει τῆς φράσεως χρῆται σχήματι. ἦν δ' ἂν οὕτως λεγόμενον ἁπλούστερον· εἰ δόντος σοῦ τινι τὴν παῖδα τὴν σήν, ὑπ' ἐκείνου τοιαῦτα ἔπασχες, ἠρέμεις ἄν; καὶ ἔστιν Ἀττικὴ ἡ σύνταξις. ἢ λείπει τὸ ἐτύγχανες: — MNOA

ἴδε: — M$^g$

671 λοιδορεῖς: — M$^g$A$^g$

672 ἴσον ⟨γ'⟩ ἀνήρ τε καὶ γυνὴ σθένει: ταὐτὸ δύναται ἀνήρ τε καὶ γυνὴ πρὸς τὸ ἐγκαλεῖν, γυνὴ ἀδικουμένη πρὸς ἀνδρὸς καὶ ἀνὴρ γυναῖκα μωραίνουσαν ἐν δόμοις ἔχων. πρὸς δὲ τὸ δεύτερον ἀπήντησεν· εἰπὼν γὰρ ἀνήρ τε καὶ γυνή ἐπήγαγεν τὸ γυνὴ ἀδικουμένη πρὸς ἀνδρός· ἀπὸ κοινοῦ γὰρ τὸ γυνή. • ὅλως δὲ ὁ νοῦς τοιοῦτος· αἱ

---

1. 2 scholio p. 293,20 adi. A 1 ἐκβαλεῖν N αὐτὸν M ἐκ om. NA 3 ἑτέρου M 4 Hesych. πέσημα πτῶμα 7. 8 μηδόλως ὤφελες ego ἢ ὅλωσ ὀφείλεις MN$^g$ 9 Hesych. ἐχθίστων μεμισημένων 12 δι' ἅτινα πάντα ego διάτινα ταῦτα A 19 χρῆται σχήματοσ O χρῆται σχήματα N σχή$^{μτ}$ χρῆται A ἂν om. MNO 20 τὴν σὴν om. NOA 24 τοῦτο MA 25 ἢ καὶ M 27. 28 πρὸς — γυνή om. A 28 — p. 295,3 separatim habet A omisso ὅλως δὲ et add. ἐστιν post τοιοῦτος 28 ὅλως ego ὅμωσ M

ζεύξεις τῶν ἀνδρῶν πρὸς τὰς γυναῖκας ἐπὶ ἰσότητι γίνονται, οὐχ ἵνα ὁ μὲν ἀνὴρ ἀδικῇ, ἡ δὲ γυνὴ ἀδικῆται καὶ τὸ ἀνάπαλιν. ἴσον ἐστὶ τὸ γυναῖκα ἀδικεῖσθαι ὑπὸ ἀνδρὸς καὶ ἄνδρα ὑπὸ γυναικός: — ΜΑ

674 ἀκολασταίνουσαν πορνεύουσαν: — $M^{g}$

675 οἷός ⟨τ'⟩ ἐστιν ἀμύνασθαι τὴν γυναῖκα ὁ ἀνήρ· ἡ δὲ γυνὴ διὰ τὴν ἀσθένειαν τοῦ σώματος πρὸς ἄμυναν τοῦ ἀνδρὸς τῇ τῶν γονέων χρῆται προστασίᾳ: — ΜΑ

676 παραμυθία βοήθεια: — ΝΟ

683 ἡ συνήθεια ἡ πεῖρα ἡ μελέτη: — $M^{i}NOA^{g}$

687 οὐδ' ἂν σὲ Φῶκον ἤθελον: ὥσπερ ἐγὼ οὐκ ἐφόνευσα τὴν Ἑλένην, οὕτως οὐδὲ σὺ ὤφελες τὸν Φῶκον ἀνελεῖν. καὶ ὁ τὴν Ἀλκμαιωνίδα πεποιηκώς φησι περὶ τοῦ Φώκου [frg. 1]·

ἔνθα μιν ἀντίθεος Τελαμὼν τροχοειδέι δισκῷ
πλῆξε κάρη, Πηλεὺς δὲ θοῶς ἐνὶ χειρὶ τινάξας
ἀξίνην εὔχαλκον ἐπεπλήγει μέσα νῶτα: — ΜΝΟΑ

ἄλλως: Ζεὺς συνελθὼν Αἰγίνῃ τῇ θυγατρὶ Ἀσωποῦ τοῦ ποταμοῦ γεννᾷ Αἰακόν· Αἰακὸς δὲ λαβὼν γυναῖκα Ἐνδηίδα τὴν Σκίρωνος τεκνοῖ Τελαμῶνα καὶ Πηλέα. εἶτα πάλιν μίγνυται Αἰακὸς Ψαμάθῃ τῇ Νηρέως εἰς φώκην ἠλλαγμένῃ διὰ τὸ μὴ βούλεσθαι συνελθεῖν αὐτῷ καὶ τεκνοῖ ἐκ ταύτης παῖδα τὸν Φῶκον ὃν ὁ Πηλεὺς ἀνεῖλεν ἐπιβουλεύσας διὰ τὸ ἐν τοῖς ἀγῶσι διαφέροντα αὐτὸν εἶναι Πηλέως καὶ Τελαμῶνος: — Α

688 διῆλθον εἶπον: — $M^{g}A^{g}$

689 σοὶ μὲν ἡ γλωσσαλγία μείζων: ἡ φλυαρία, τῆς γλώσσης

---

2 ἀδικεῖ Α ἀδικεῖται ΜΑ ante ἴσον add. οἷον Α 2. 3 ἴσον — γυναικός] praeter haec separatim habet Α ἄλλωσ: ἴσον κακὸν καὶ τὸ ἄνδρα ὑπὸ γυναικὸσ ἀδικεῖσθαι καὶ τὸ γυναῖκα ὑπὸ ἀνδρόσ: — 5—7 scholio p. 294, 24—3 adi. Μ 5 οἷός τ' Wil οἷοσ Μ ἐκείνων μὲν Α ὁ ἀνήρ] ἀνήρ Μ om. Α 6 ἄμυναν Μ τὸ ἀμύνασθαι Α 9 ἡ πεῖρα] ὑπάρχει Ο ὑπὰρ (χ superscr.) Ν 11 ὤφειλεσ Μ ὀφείλεισ Ν τὴν φῶκαν Ν ἐλεῖν ΜΝΟ ὁ om. ΝΟ 11. 12 τὰ ἀκμαιονίδα ΝΟ 12 φησὶν ἢ ΝΟ τοῦ om. Α 13 μιν ego κεν ΜΝΟ καὶ Α ἀντίθεος] θεοσ ex corr. Μ αὐτόθεοσ Α κύκλω δίσκω Α 14 πλῆξαι Μ ἐνὶ — τινάξας ego ἀναχεῖρα τανύσασ ΜΝΟ ἀνὰ χεῖρα πετάσασ Α 15 ἀξ . . . . . κον Μ [contra detrita] ἀξίνη εὐχάλκω Α ἐπεπλήγη Ν μέγα Ο 17 σκήρωνοσ Α cf. Apollod. 3, 12, 6, 6. 8. 11 schol. Pind. Nem. 5, 25 23 ante τῆς add. ἢ Α

ἄλγημα καὶ νόσημα οὖσα. ἢ παρὰ τὸ ἀλγεῖν ποιεῖν καὶ πτήσσειν τοὺς λοιδορουμένους: — MNOA

691 παύσασθον ἤδη. λῷστα γὰρ μακρῷ τάδε: βέλτιστα συμφέροντα καλά ἐστι τὸ παύσασθαι. τὸ ἑξῆς· παύσασθον ἤδη λόγων ματαίων μακρῷ. ὁ δὲ νοῦς· παύσασθε ματαιολογοῦντες ἐν μακρῷ, τουτέστιν· ἐπὶ πολὺ ἀλλήλους ὑβρίζοντες. τοῦτο γάρ ἐστι λῷστον καὶ βέλτιστον, τὸ παύσασθαι: — MNOA

693 ὡς κακῶς νομίζεται: ὁ νόμος οὗτος ὡς κακῶς νενομοθέτηται καθ' Ἑλλάδα. ὅταν γὰρ ὁ στρατὸς νικήσῃ, τότε ὁ στρατηγὸς τὴν δόξαν ἀποφέρεται: — MNOA

694 ὅταν τροπαῖα: τροπαῖα ἡ ἀρχαία Ἀτθὶς προπερισπωμένως: — MNO

696 λαμβάνει: — M[g]

τῆς νίκης: — M[g]

699 σεμνοὶ δ' ἐν ἀρχαῖς: σεμνοπρεπεῖς τίμιοι: — M

700 γράφεται οὐδένες: — M[1]

702 εἰ τόλμα προσγένοιτο: εἰ πόλεμος ἐνσταίη καὶ βουλευτήριον. ἐλεγχθήσονται γὰρ πολὺ δεύτεροι ὄντες οἱ μέγα φυσῶντες στρατηγοὶ καὶ [B 202] οὔτε ἐν πολέμῳ ἐναρίθμιοι οὔτε ἐν βουλῇ: — A

εἰ τόλμα προςγένοιτο: εἰ τόλμα καὶ βούλησις γένοιτο πρὸς ἐξέτασιν καὶ σύγκρισιν, πολλοὶ αὐτῶν εἰσι βελτίονες: — MNOA

ἄλλως: εἰ πόλεμος ἐνσταίη καὶ βουλευτήριον· τόλμα γὰρ ὁ πόλεμος, βούλευσις τὸ βουλευτήριον: — MNOA

τοῦ λέγειν: — M[g]

703 ὡς καὶ σὺ σός τ' ἀδελφὸς ἐξωγκωμένοι: μέγα φρονοῦντες ἐπὶ τῇ Τροίᾳ καὶ τῇ [ἐκεῖ] στρατηγίᾳ ἐκεῖ, ἐν Τροίᾳ, ἐκάθησθε: — MNOA

704 ἕνεκα τῶν ἐν Τροίᾳ γεγενημένων: — MNO

---

1 πτήσσειν ego πλήσσειν MNOA 2 τοὺς om. A 4 καλά om. A ἐστι ego εἰσ MNO 5 μακρῷ ego μακρῶν MNO om. A 6 ἐστι om. NO 6. 7 λῷστον — τὸ om. N 7 βέλτιστον ego βέλτιον MOA 8 ὡς om. NOA 9 κατὰ τὴν A 11. 12 scholio 8—10 adi. NO cf. Herodian. I p. 369,10 13 Hesych. ἄρνυται λαμβάνει ἀντικαταλλάσσεται 17 στῇ A 18 πολλοὶ οἱ A μεγάλα A 21 πολὺ M 22 ἐνστῇ MNO στῆεν A ὁ A om. MNO 23 τὸ A δὲ MNO 26 ἐκεῖ deleui 28 lemmate μόχθοισιν ἄλλων ad us. 705 referunt MO τῶν ἐν τῇ τροία N τῶν ἐκεῖ τῶν ἐν τροία M

706 δείξω δ' ἐγώ σοι: ἐγώ σε ποιήσω αὐτοῖς ἔργοις γνῶναι μὴ τὸν Ἰδαῖον Πάριν ἥσσονα νομίζειν ἐχθρὸν τοῦ Πηλέως εἶναι. τὸ δὲ μὴ ἥσσονα ἀντὶ τοῦ ἴσον· καὶ ὡς ἐκεῖνον ηὐλαβήθης, οὕτως κἀμὲ εὐλαβηθήσῃ· ἴσος γάρ σοι εἰμὶ τῷ Πάριδι ἐχθρός: — MNOA

ἄλλως: παραστήσω δὲ σοὶ ἐγὼ αὐτοῖς ἔργοις μὴ ἐμὲ, τὸν Πηλέα, ἥσσονα ἐχθρὸν νομίζειν τοῦ Ἰδαίου Πάριδος. ἀντίπτωσις γάρ ἐστιν: — A

709 ὁ Μολοττός. ἢ ὁ Νεοπτόλεμος: — $M^{i}$

711 ἡ στερρὸς οὖσα μόσχος: ἀντὶ τοῦ στεῖρα, ὡς [B 742] 'κλυτὸς Ἱπποδάμεια': — MA

713 ἀλλ' εἰ τὸ κείνης δυστυχεῖ: εἰ ἡ Ἑρμιόνη δυστυχεῖ περὶ παιδοποιΐαν, καὶ ἡμᾶς δεῖ ἄπαιδας εἶναι καὶ μὴ ἐξ ἄλλων γυναικῶν ἔχειν τέκνα: — MNOA

715 πρὸς τοὺς οἰκέτας τοὺς κατέχοντας τὴν Ἀνδρομάχην: — $MNOA^{i}$

717 κούφισον αὐτήν: — $M^{g}$

718 λύσω ἐκκομιοῦμαι ἐκμηρύσομαι: — M

719 διέφθειρας: — $M^{g}A^{g}$

721 ἢ ἐφοβήθης μὴ πολεμήσῃ σοι ξίφος λαβοῦσα: — $M^{i}NOA$

τιμωρήσαιτό σε: — $M^{g}$

724 εἰ δ' ἀπῆν δορός: εἰ δὲ μὴ κἂν ἐκ δοκήσεως ἐνομίζεσθε πολεμικοί, οὐδὲν ἂν ἦτε ὅλως: — MNOA

μακρὰν ἦν: — $M^{g}NO$

ὡς τῶν Λακεδαιμονίων πολεμικῶν ὄντων μὲν οὐδαμῶς, ὑπειλημμένων δέ: — MNOA

726 ἀντὶ τοῦ· οὐκ ἐστὲ φρόνιμοι: — $M^{g}NO$

727 ἀνειμένον τι χρῆμα: ἀδέσποτον, ἄνεσιν ἔχον, μετ' ἐξουσίας

---

1 οὐ τοῖσ NO γνῶναι αὐτοῖσ ἔργοισ A 2 τὸν om. A 3 οὕτως om. NOA εὐλαβηθήσῃ καμὲ NOA 4 ἴσωσ M σοι om. NO Πάριδι] παιδὶ N ἐγὼ ἐχθρόσ A 5 δὲ σοι ego σοι δὲ A ἔργοισ αὐτοῖσ A 10 εἰ om. NOA 13 post οἰκέτας add. φησὶ NO 15 Hesych. ἐπάρρων: κουφίζων ὑψῶν 16 ἐκμηρεύσομαι M 18 ἐφονεύθησ N σοι om. NO 21 post πολεμικοί add. σπαρτιάται A 23. 24 scholio 20. 21 adi. M scholio 22 NO 23 ὡσ MNO καὶ A 23. 24 πολεμίων ὄντων μὲν οὐδαμῶσ ὑπειλημμένων δὲ M ὑπειλημμένων πολεμικῶν A ὑπιλυμμένων πολεμίων NO 25 scholio 23. 24 ad. NO ἔσται O 26 ἀδέσποτον A οὐ δέσποτ' N οὐδέποτ' O

φθεγγόμενον. τὸ γὰρ βιάζεσθαι τὸν νόμον ἔχει μεθ' ἑαυτοῦ. ἀδέσποτον τὸν τρόπον: — NOA

727 ἄλλως: τινὲς πρᾷον καὶ ἡσύχιον. δυσφύλακτον δὲ ἀχαλίνωτον, ὀργῆς κρατεῖν μὴ δυνάμενον. ὁ δὲ νοῦς· γαληνὸν τὸ τῶν γερόντων γένος, ὑπὸ ὕβρεως μὴ ταραττόμενον, καί, φερόμενον πρὸς ὀργήν, ἑαυτοῦ κρατεῖν ἀδύνατον: — MNOA

728 ἀπρονόητον, ἀδέσποτον, μὴ φυλαττόμενον ὑπ' ὀργῆς: — MNOA

729 εὐκατάφορος ἕτοιμος πρόχειρος. ἢ εὐχερής: — A

ἄγαν προνωπής: προπετὴς καὶ εἰς τοὔμπροσθεν φερόμενος. τοῦτο δὲ ὑπὸ πολλῆς ὀργῆς συμβαίνει γίνεσθαι: — MNOA

ἄλλως: προνωπὴς ἀναιδής, παρὰ τὸ ἔμπροσθεν εἶναι τῶν ὠπῶν καὶ μὴ αἰδεῖσθαι τὸν προσδιαλεγόμενον. καὶ Ὅμηρος δὲ [προσ]ενώπια καλεῖ τοὺς καταντικρὺ τοίχους τῆς εἰσόδου τῆς οἰκίας: — MNOA

732 τὸ ἑξῆς· νῦν μὲν [γὰρ] ἄπειμι: — M[i]

πολλήν: — M[g]

733 † ἔστι γάρ τις οὐ πρόσω: τινὲς οὕτως· ἔστι γάρ τις οὐ πρόσω, καὶ πόρρωθεν, τῆς Σπάρτης πόλις ἵνα πλεονάζῃ τὸ ἓν τις. ἕτεροι πάλιν οὕτως· ἔστι γάρ τι σοῦ πρόσω Σπάρτης πόλις τις, ἤγουν· ἔστι γὰρ πόλις τις, τῆς Σπάρτης, πρόσω σοῦ, ἤτοι ἀναγκαιοτέρα σοῦ, πρὸς ἣν ἐπείγομαι: — A

734 ἡ πρὸ τοῦ μὲν ἦν φίλη: ἔνιοί φασι ⟨τὸν ποιητὴν⟩ παρὰ τοὺς χρόνους αἰνίττεσθαι τὰ Πελοποννησιακά. οὐκ ἀναγκαῖον δὲ

---

1 βιᾶσθαι A ἔχει Dindorf ἐκεῖ NOA 1. 2 ἀδέσποτον — τρόπον ego τὸ δὲ πέσον τὸν τρόπον NO om. A 3 καὶ om. N δὲ om. M 4 τὸ] τι O 6 ἀδύνατον ego δύναται MNOA 7 ἀδέσποτον Wil ἄθεον τὸ MNO τὰ δέοντα A p. 297, 26—7 ἀνειμένον τι χρῆμα· sequitur 7, tum ἄλλωσ: sequitur 3—6 M ἀνειμένον τι χρῆμα [O, N caret lemmatibus]: προπετέσ [cf. προπετεῖσ M[g] ad 729 referendum] ἄλλωσ: sequitur 7 ἄλλωσ: sequitur p. 297, 26—6 NO νειμένον τι χρῆμα: sequitur 3—6 ἄλλωσ: sequitur p. 297, 26—2 ἄλλωσ: sequitur 7 ἄλλωσ: sequitur 8 A 8 ἢ ego καὶ A 9 καὶ ὁ A 12 δὲ om. NO προσενώπια O προσένώπια M προενώπια παμφανόωντα A πρενώπια N 9—13 cf. schol. Hipp. 374 Alc. 172 Hesych. προνωπής ... οἱ δὲ προπετὴς ἕτοιμος πρόχειρος Zon. p. 1573 προνωπής [προνότησ cod.] ὁ πρόχειροσ 13 cf. schol. Θ 435 A [N 261. δ 42] τοὺς παροδίους τοίχους, τουτέστι τοὺς ἀντικρὺ τῆς εἰσόδου· οὗτοι γὰρ μόνοι φαίνονται τοῖς παριοῦσιν Hesych. s. u. ἐνώπια 14 initio add. πολλὴν γὰρ σχολήν: M[i] γὰρ deleui 21 ἔνιοι δὲ NO τὸν ποιητὴν addidi 22 παρὰ om. NO χοροὺσ NO

κατασυκοφαντεῖν τὸν Εὐριπίδην, ἀλλὰ φάσκειν πλάσματι κεχρῆσθαι: — ΜΝΟΑ

741 σώφρων καθ' ἡμᾶς: τὸ σῶφρον καὶ παρ' ἡμῶν ἀντιλάβῃ, καὶ ἀμειφθήσεται σωφρόνως καὶ πρεπόντως. εἰ δὲ θυμὸν ἐνδείξεται καθ' ἡμῶν, καὶ ἡμᾶς θυμουμένους ἐφεύρῃ: — Α

743 ἀντὶ τοῦ· σύμφωνα οἷς ποιεῖ: — $M^{g}$

745 σκιὰ γὰρ ἀντίστοιχος: ἡ ἀντικειμένη τοῖς σώμασιν. ἡ ὁμοία τινί. ἀντὶ τοῦ ἴση: — ΜΝΟΑ

ἄλλως: ἀντικειμένη τοῖς σώμασιν. ἐπὶ γὰρ τῶν ἐχόντων σκιὰν ἀεὶ ἡ σκιὰ ἀντικρὺ πίπτει τοῦ σώματος ὅπου ἂν καὶ πέσῃ: — Α

ἄλλως: ὥσπερ γὰρ σκιὰ οὐ δύναται ἀδικῆσαί τινα κἂν ἐξεικάζηται τοῖς φοβερωτάτοις τῶν σωμάτων, οὕτως οὐδὲ οἱ σοὶ λόγοι κἂν καταπληκτικοὶ ὦσιν. οἷον· σκιὰν ἡγοῦμαί σε καὶ τὸ μηδέν: — ΜΝΟΑ

καὶ ἄλλως: σκιὰ γὰρ ἀντίστοιχος: τὸ ἑξῆς· ἀδύνατος γὰρ ὢν ὡς σκιὰ ἀντίστοιχος φωνὴν ἔχεις εἰς οὐδὲν ἄλλο πλὴν εἰς τὸ φλυαρεῖν: — ΜΝΟΑ

ἄλλως: ἀντὶ τοῦ ἰσόστοιχος καὶ ἰσοσώματος κατὰ τὴν φαντασίαν: — ΜΝΟΑ

746 δυνατὸς δηλονότι: — $M^{g}$

747 ἡγοῦ: ἐπὶ τοὺς ἡμετέρους οἴκους δηλονότι: — Μ

749 εὐδίους εὐπροσδέκτους: — $M^{g}$

750 λείπει τέκνοις: — $M^{g}$

752 μὴ ἡμῖν: — $M^{g}A^{g}$

753 λοχησάμενοι. ἢ ἐκφοβήσαντες: — $M^{g}A^{g}$

757 οὐ μὴ γυναικῶν δειλόν: περιττεύει ἡ οὐ ἄρνησις.

---

1 πλάσματα ΝΟ 5 ὑμῶν Α ἐφεύρῃ ego, coni. aor. pro futuro ex noto Byzantinorum usu posito ἐφεύροι Α 6 ποιεῖσ $M^{g}$ 7 in lemmate σκιὰ Α σκια Ο σκιᾶ Μ 8 ἡ — ἴση om. Α spatio uacuo rel. ἡ om. Μ ἴση] ἴστι Ν 11—13 scholio 7. 8 adi. ΜΝΟ 11 lemma ex Α γὰρ om. ΝΑ ἡ σκιὰ Ο καὶ ἐξεικάζεται Α 12 φοβερωτάτοις ego φοβεροῖσ ΜΝΟΑ τοῦ σώματοσ Α κἂν om. Α 12. 13 κατάπληκτοί ΝΟ 13 ὦσιν Matthiae εἰσὶν ΜΑ εἰσιν ΝΟ οἷον om. Μ 15. 16 φωνὴν — φλυαρεῖν om. ΝΟ 17. 18 adi. scholio 14—16 Α initio add. τὸ δὲ ἀντίστοιχοσ 17 ἄλλως — καὶ om. ΝΟ 21 Hesych. εὐηνέμους εὐδινοὺς καλοὺς ἀχειμάστους 23 ἡμᾶσ $M^{g}$

ἢ οὕτως· παῦσαι εἰσφέρουσα λόγους δειλίας γέμοντας. τὸ δὲ εἰσοίσεις ἀντὶ τοῦ εἰσκομίσῃς, εἴπῃς. ἀντὶ τοῦ· μὴ παρείσαγε ἡμῖν θηλυδριώδη λόγον: — ΜΝΟΑ

761 στερεοί: — $M^g$

763 νικητήριον: — $M^g$

766 ἢ μὴ γενοίμαν: εἰς τῶν πάλαι βροτῶν αἰνίττεται. ἢ τὸ γενοίμαν ἀντὶ τοῦ γένοιτό τις: — ΝΟ

ἢ μὴ γενοίμαν: ταὐτά φησιν ὁ χορὸς ἀποτεινόμενος εἰς τὰ κατὰ τὴν Ἀνδρομάχην ὅτι, εἰ καὶ ἐδυστύχησεν, ὅμως τοῦ βασιλικοῦ γένους ⟨οὖσα⟩ οὐκ ἠπόρησεν ἐν τῇ δυστυχίᾳ: — ΜΑ

ἄλλως: οἱ μεγάλοι κἂν δυστυχήσωσιν, ἔχουσι τοὺς συμμαχοῦντας, ὡς καὶ νῦν ἡ Ἀνδρομάχη διὰ τοῦ Πηλέως ἐσώθη: — ΜΑ

ὁ χορὸς θαυμάζει τὸν Πηλέα: — $M^g$

769 μετέχων κοινωνὸς κληρονόμος: — $M^g$

771 οὐ σπάνις εὐγενέταις: εἰ γάρ τις εὐγενὴς πάσχει τι δεινόν, οὐ σπάνις αὐτῷ βοηθείας. εἰς πληθυντικὸν δὲ μετέβη ἀπὸ ἑνικοῦ: — ΜΝΟΑ

ἀντὶ τοῦ· ὁ εὐγενὴς κἂν εἰς ταραχὴν ἔλθῃ, ὅμως εὐτυχεῖ βοηθείας: — ΜΝΟΑ

οὐδεμία ἔνδεια οὐδὲ χρεία: — $M^g$

772 φημιζομένων λεγομένων: — $M^g$

ἀντὶ τοῦ ἐπισήμων: — $M^g$

773 λείπει τὸ ἐπακολουθοῦσι: — $M^g$

774 κἂν γέροντες ὦσιν οἱ ἀγαθοί, οὐκ ἀμαυροῦνται ὑπὸ τοῦ χρόνου: — $M^1$ΝΟΑ$A^g$

775 ἀφανίζει: — $M^g$

ἡ τιμή: — $M^g$

777 κρεῖσσον δὲ νίκαν μὴ κακόδοξον: τοῦτο πρὸς τὴν Ἀν-

---

1—3 ἢ—λόγον om. A spatio uacuo rel. et lacunae signo in margine apposito 1. 2 τὸ—τοῦ om. NO clausulae signo post γέμοντας posito N 2 εἰσκομίσεισ MNO εἶπεν NO παρήσαγε O παρήγαγε N 6 τῶν—βροτῶν] τὴν Πηλέως ἀρετὴν? ἢ τί O 10 οὖσα add. Wil οὐκ om. A 11. 12 scholio 8—10 adi. M 11 δυστυχῶσιν A 14 εἴ τισ γὰρ NO τι om. MA 15 τοῦ ἑνικοῦ M γενικοῦ N post hoc scholion in margine λείπει τὰ σχόλια N 17. 18 schol. 14. 15 adi. MA 17 ὅμως om. NO 23 ἀπὸ NO 27—p. 301, 4 scholio 23. 24 adi. A

δρομάχην ὅτι δικαίαν καὶ ἔνδοξον κατὰ τῆς Ἑρμιόνης ἀπηνέγκατο νίκην οὐδὲν αὐτὴν ἀδικήσασα. ἡ μέντοι Ἑρμιόνη, εἰ ἐφόνευσεν αὐτὴν, ὥσπερ προέθετο, κακὴν καὶ ἄδοξον νίκην ⟨ἂν⟩ ἀπεφέρετο, ἥτις δυνάμει καὶ τυραννίδι σφάλλει τὸ δίκαιον, ἀντὶ τοῦ λύει: — MNOA

κρεῖσσον δὲ νίκαν: κρεῖσσον, φησὶ, μετὰ δικαιοσύνης νικᾶν ὡς ἡ Ἀνδρομάχη παρ' ὃ μετὰ φθόνου καὶ δυναστείας, ὡς ἡ Ἑρμιόνη ἐβούλετο: — A

780 ξὺν φθόνῳ σφάλλειν: βέλτιον μὴ ἔχειν νίκην μετὰ κακοδοξίας, ἀντὶ τοῦ· βέλτιον δικαίως ἡττᾶσθαι ἤπερ θαρροῦντα βασκανίᾳ καὶ δυνάμει παραλύειν τὸ δίκαιον. τοῦτο δέ φησι διὰ τὸν Μενέλαον ἀδίκως φιλονεικήσαντα πρὸς Πηλέα καὶ αἱρούμενον κακοδοξεῖν βασκαίνοντα ἄντικρυς τῇ Ἀνδρομάχῃ: — MNO

παραλύειν: — M[g]

781 γίνεται τὸ ἄδικον, τὸ ἄδοξον: — M[g]

ἡδὺ μὲν γὰρ αὐτίκα τοῦτο βροτοῖσιν: ἡδὺ τὸ νικᾶν οἵῳ δήποτε τρόπῳ· καὶ τῷ μὲν χρόνῳ αὐτὸ μαραίνεται, τουτέστιν ἡ ἐπ' αὐτῷ ἡδονή, τὸ δ' ἐξ αὐτοῦ ὄνειδος τοῖς οἴκοις παραμένει: — MA

ἄλλως: ἡ ἐκ τῆς τοιαύτης νίκης ἡδονὴ ἐπ' ὀλίγον χρόνον φθάνουσα αἰώνιον αἰσχύνην καὶ ἀνεξάλειπτον ὄνειδος τοῖς κτησαμένοις αὐτὴν προστρίβεται. οἷον· οὐ δεῖ χαίρειν ἐπὶ τῇ νίκῃ, ἐὰν ἀδίκως γίνηται: — MA

τὸ λύειν τὸ δίκαιον: — M

784 ἐπ' ὀνείδεσι τῶν δόμων. λείπει γὰρ ἡ ἐπί: — M[i]

785 ταύταν ᾔνεσα: ταύτην ᾔνεσα τὴν βιοτὴν καὶ ἐν ταύτῃ θέλω φέρεσθαι, ἐν ᾗ μηδὲν ⟨ἂν⟩ ἔξω τοῦ δικαίου φεροίμην: — MA

ἄλλως: ταύτην ᾔνεσα βιοτὴν, τὴν μὴ ἔξω δηλονότι τοῦ δικαίου· καὶ ταύτην βαδίζω, ἤγουν κατὰ ταύτην ζῆν θέλω: — A

788 μηδὲν δίκας: ἔξω τοῦ δικαίου, παρὰ τὸ δίκαιον. οἷον· κατὰ κράτος δύνασθαι, τουτέστιν ἢ δυναστεύειν ἢ κράτος ἔχειν δυνάσθαι: — M

---

1 ὅτι om. MNO Ἑρμιόνης Matthiae ἀνδρομάχης MNOA ἀπηνέγκαντο M ἐπηνέγκατο NO ἐπήνεγκε A τὴν νίκην A 2 ἀδικήσασα ego ἀδικήσασαν MNOA 3 προέθετο om. NO signo lacunae addito O ἂν addidi ἀπεφέρετο om. NO signo lacunae add., ἐπινοήσασα ἐπεφέρετο A 4 τὸ] τι O 9—12 ἀντὶ—Ἀνδρομάχῃ om. NO 9 θαρροῦντα ego θαρροῦντας M 15 ἡδὺ —νικᾶν om. A 17 παραμένει ego περιμένει MA 19 καὶ om. A 20. 21 γένηται A 22 scholio 15—21 adi. M 25 ἂν add. Matthiae 27 καὶ ταύτην ego ταύτην καὶ A

792 πολέμῳ συγκοινωνῆσαι, πολεμῆσαι: — $M^{1}$

793 ἐπὶ τῆς Ἀργοῦς: — $M^{1}$

794 ἀπὸ κοινοῦ τὸ πείθομαι σέ: — $M^{1}$

τὰς πέτρας τὰς Συμπληγάδας φησίν: — $M^{g}A^{g}$

796 Ἰλιάδα τε πόλιν: οἱ μὲν πλείους Τελαμῶνά φασι συστρατεῦσαι τῷ Ἡρακλεῖ ἐπὶ τὴν Ἴλιον, ὁ δὲ Πίνδαρος καὶ Πηλέα, παρ' οὗ ἔοικε τὴν ἱστορίαν Εὐριπίδης λαβεῖν. λέγει δὲ ὁ Πίνδαρος οὕτως [frg. 172]·

'Πηλέος ἀντιθέου μόχθοις νεότας ἐπέλαμψε
μυρίοις. πρῶτον μὲν Ἀλκμήνας σὺν υἱῷ Τρώιον ἂμ πεδίον
καὶ μετὰ ζωστῆρας Ἀμαζόνος ἦλθε
καὶ τὸν Ἰάσονος εὔδοξον πλόον ἐκτελέσαις
εἷλε Μήδειαν ἐν Κόλχων δόμοις': — MA

797 ἶνις ἀμφέβαλλεν φόνῳ: θνητὸν γὰρ ἀντὶ τῶν ἀθανάτων ἵππων λαβὼν παρὰ τοῦ Λαομέδοντος ἐπόρθησε τὴν Ἴλιον: — A

801 ἀπὸ κοινοῦ τὸ πείθομαί σε, ὦ Πηλεῦ: — $M^{1}$

803 ἀμοιβαῖον, γινόμενον ἐκ διαδοχῆς: — $M^{g}A^{g}$

κατασκευάζεται: — $M^{g}$

805 πατρός τ' ἐρημωθεῖσα: μετανοίᾳ συνειδήσει φροντίδι λύπῃ: — $MA^{g}$

ἄλλως: ἐπιλογισμῷ. ὁ δὲ νοῦς οὕτως· καὶ τῷ λογισμῷ, οἷον ἐνθυμουμένη, ὁποῖον ἐβουλεύσατο ἔργον, φονεῦσαι θελήσασα τὴν Ἀνδρομάχην καὶ τὸν παῖδα: — MA

807 τὸ βουλεύσασα τῷ συννοίᾳ συναπτέον, ἀντὶ τοῦ· τῇ μετανοίᾳ βουλευσαμένη: — MA

811 ἀναρτῆσαι κρεμάσαι: — M

812 οἱ παρ' ἡμῶν ταχθέντες εἰς τὸ φυλάττειν αὐτήν: — MA

813 ἀφαιρούμενοι: — $MA^{g}$

---

1 πολέμῳ—πολεμῆσαι ego πολέμωι πολεμῆσαι καὶ συγκοινωνῆσαι $M^{g}$ 6 τὸ ἴλιον A πηλεὺσ M 7 ὁ om. A οὕτως Cobet οὗ M οὐ A 9 Πηλέος Boeckh πηλ$^{έ}$ M πηλέωσ A μόχοι M μόχθοιν A νεότας Bergk νεώτατ' A νεωτάτοισ M 10 ἀλκμήνησ MA υἱῷ M ὑμῖν A Τρώιον Boeckh τρώων MA 11 ἀμαζόνασ A 12 ἔνδοξον A om. M ἐκτελευτήσασ M 14. 15 cf. schol. Υ 146 21. 22 ἐπιλογισμῷ—ἐνθυμουμένη] λογιζομένη A 24 τὸ συνοία MA 24. 25 ἀντὶ—βουλευσαμένη om. M 27 scholio 28 adi. M

816 ἀγχόνη τὸ σχοινίον, ἀγχονή δὲ ὀξυτόνως αὐτὸ τὸ πρᾶγμα: — MA

817 εἰσελθοῦσαι πορευθεῖσαι: — $M^g$

818 ἀρχαίων συνήθων. παρόσον τῶν συνήθων φίλων καταφρονοῦμεν, τοῖς δὲ ἐκ διαστήματος ἐλθοῦσι φίλοις μᾶλλον πειθόμεθα: — MNOA

819 μᾶλλον πεῖσαι δυνάμενοι: — M

820 ἔοικας, φησίν, ἀληθῆ λέγειν· ἰδοὺ γὰρ βοῆς ἀκούομεν ἔνδον γινομένης ἐφ' οἷς ἡμῖν ἀπήγγειλας: — MNOA

824 τῇ ἐπιθυμίᾳ τῷ ἔρωτι: — M

826 σπάραγμα τῆς κόμης διὰ τῶν χειρῶν θήσομαι καὶ κατάξυσμα διὰ τῶν ὀνύχων: — MA

διακοπτικὰ πολέμια ἐχθρά: — M

827 ἀμύγματα: χαράγματα ξύσματα, παρὰ τὸ ἀμύσσω. Ὅμηρος [E 425]· 'κατεμύξατο χεῖρα ἀραιήν': — MA

828 ὑβρίζεις ἀφανίζεις: — $MA^g$

831 τὸ χρήδεμνόν φησιν: — $M^gA^g$

839 ὦ κατάρατος ἐγὼ κατάρατος ἀνθρώποις: ἡ ἐπανάληψις τὸ πάθος αὔξει τοῦ πένθους: — $MA^g$

843 ἀντίτυπον καιρίαν: — $M^gA^g$

845 μὴ φρονοῦσαν ὡς θάνῃς: παραφρονοῦσαν, μὴ νήφουσαν. προσυπακουστέον τὸ καλῶς ἂν ἔχοι: — MA

ἄλλως: ἀλλὰ καλῶς διαπράξομαι, εἴ σε ἀφείην ὡς θάνῃς, παραφρονοῦσαν: — A

846 οἴμοι πότμου: οἴμοι τῆς τύχης. καὶ δύσποτμος ὁ δυστυχής: — $MA^g$

849 κατὰ πόντον ἢ καθ' ὕλαν: ἵνα θανοῦσα κατὰ πόντον ἢ κατὰ τὴν ὕλην ἐν φροντίδι ὦ τοῖς νεκροῖς, ἀντὶ τοῦ· συναριθμηθείην

---

1 post σχοινίον add. καὶ ἡ πνίξισ A     ὀξυτόνως om. A     cf. schol. Ar. Acharn. 125 Suid. Zon. p. 28 et. m. p. 194, 47 Cramer. AO 2, 348, 28
4 Phot. Suid. lex. Bachm. p. 249, 20 ἠθάδων συνήθων     ἀρχαὶ M     5 μᾶλλον om. MN     8 ἀκούω A     9 γινομένοι N     11 τὰ σπαράγματα M     τῆς om. A     14. 15 scholio 11. 12 adi. A     14 χαράγματα ego σπαράγματα M χάραγμα σπάραγμα A     ξύσμα A     ἀμύσσω M ὀνύσσαν A
15 κατεμάξατο A     χεῖρ' M     21 μὴ νήφουσαν ἀλλὰ παραφρονοῦσαν A
27 ἵνα θανοῦσαν pro lemmate habet, in textu om. A     θανοῦσαν N     28 τὴν om. A

τοῖς νεκροῖς. τοῦτο δὲ ἐπεὶ εἰσὶ πέτραι καὶ εἰς θάλασσαν νεύουσαι καὶ εἰς ὕλην: — MNOA

καὶ ἄλλως: ἐν φροντίδι ὦ· οἱ γὰρ νεκροὶ μέλουσι τοῖς νεκροῖς ὡς οἱ ζῶντες τοῖς ζῶσι: — MNOA

851 ἄμεινον τῆς τροφοῦ * * εἶναι τὸ πρόσωπον: — MN

θεόπεμπτοι: — M[g]

852 ἀντὶ τοῦ· ἢ ταχὺ ἢ βραδύ: — MN

854 ἔλιπες ἔλιπες: λείπει τὸ ναῦν· κατέλιπές με ὥσπερ ναῦν ἐν τῷ αἰγιαλῷ ἐστερημένην πηδαλίου: — MNOA[g]

ἔλιπες ἔλιπες: κατέλιπές με, ὦ πάτερ, ⟨ὥσπερ⟩ μεμονωμένην ναῦν θαλασσίαν (λείπει γὰρ τὸ ναῦν) ἔρημον οὖσαν τῆς ἐναλίας κώπης, ἤτοι ἐστερημένην τοῦ πηδαλίου: — A

859 ὁρμηθῶ. ὁρμήσω: — M[i]

860 ἢ δούλα δούλας γόνασι προσπέσω: ἆρα, φησὶν, ὡς δούλη προσπέσω τοῖς γόνασι τῆς δούλης, λέγει δὲ τῆς Ἀνδρομάχης: — MNOA

862 κυανόπτερος ὄρνις εἴθ' εἴην: εἴθε μετορνιθωθείην ὡς Πρόκνη καὶ Φιλομήλα (ταύτας γὰρ ἴσως αἰνίττεται), ἢ εἰς τὴν Ἀργὼ μεταβληθείην, ἵνα διαδράσω ταχέως ὅποι βούλομαι, ἔξω τῆς Φθιώτιδος γῆς: — MNOA

866 ὦ παῖ, τὸ λίαν οὔτ' ἐκεῖν' ἐπήνεσα: οὔτε ἐκεῖνο τὸ ὑπερβάλλον τῆς ὀργῆς ἐπήνεσα ὅτε τῇ Ἀνδρομάχῃ πολλὰ παρεσκευάζες κακά, οὔτε νῦν σε ἀποδέχομαι ἄγαν φοβουμένην: — MNOA

869 τὴν φιλίαν τὸ φίλτρον: — M[g]

873 τὸ χ̄ ὅτι τὴν φερνὴν ἕδνα φησίν: — NOA

οὐ μέσως: οὐ μετρίως, ἀλλὰ μεγάλως: — MNOA

879 ἀλλόμορφος: — M[g]

---

1. 2 τοῦτο — ὕλην] om. A 1 καὶ om. NO 3 μέλλουσι MNO 5 lacunam indicaui εἶναι om. M 7 scholio 5 adi. MN ταχὺ M βράχιον N 8 τὸ om. NOA[g] 10 ὥσπερ addidi 17 μετορνιθισθείην MO μετορνισθείην N 18 ἡ φιλομῆλα O φιλομῆνα N ταύτας ego αὐτὰς MNOA γὰρ om. A 19 μετεβληθείην N διαδράμω A καὶ διδράσω NO δράσω M ut uidetur ὅπου MNOA φθιάδος MA 20 γῆς om. A 21 ἐκεῖνο οὔτε NO οὔτε M 22 κατεσκεύαζε MNO 23 σε om. MNO ἄγαν om. M in fine add. ὑπὲρ τῆς δούλης A 25 scholio 26 adi. NOA initio add. τὸ δὲ ἕδνοισι NO 25 τὸ χ̄ ego τάχα NO om. A

ἐξ ἄλλου δήμου: — M[g]

880 λείπει ἡ πρό. [γράψον διὰ] πορεύεται πρὸ δωμάτων: — A

882 μέλαθρα: κυρίως τὸ ξύλον τὸ μέσον τῆς στέγης τὸ ὑπότονον καλούμενον παρὰ τὸ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ. τινὲς δὲ ἅπαντα τὸν ὄροφον ἢ τὸν οἶκον: — A

885 ἔρχομαι δὲ πρὸς Διός: ἐκβληθεὶς τοῦ Ἄργους Ὀρέστης ἀπῄει εἰς τὸ ἱερὸν τοῦ Διὸς τὸ ἐν τῇ Δωδώνῃ μαντευσόμενος ποίαν οἰκήσει πόλιν. ἀπιὼν οὖν ἔρχεται εἰς Φθίαν. Δίδυμος δέ φησι ψευδῆ ταῦτα εἶναι καὶ ἄπιστα: — MNOA

886 μαντεῖα Δωδωναῖ': ἐπεὶ ἔστιν ἡ ὁδὸς διὰ τῆς Θεσσαλίας εἰς Δωδώνην: — MA

889 τηλοῦ ὄντα [τὰ] πεδία, ὅ ἐστι μακράν, καὶ κεχωρισμένα: — MN[1]OA

891 λείπει τὸ ὡς: — M[g]

ὦ ναυτίλοισι χείματος: ὦ φανεὶς ἡμῖν τοῖς ναυτιλλομένοις λιμὴν ἐπὶ κλύδωνος. ἢ οὕτως· ὦ Ὀρέστα ὁ φανεὶς ἡμῖν ὡς ὁ λιμὴν τοῖς ναυτίλοις ἐν κλύδωνι: — A

892 λείπει τὸ ἱκετεύω: — M[1]N[1]

893 ἐπισκοπεῖς τύχας: ἐπισκοπεῖς ἐφορᾷς: — M

894 στεμμάτων δ' οὐχ ἥσσονας: ἀντὶ τοῦ· καὶ χωρὶς ἱκετηριῶν οὖσά σε παρακαλῶ. ἐπεὶ ἔθος τοὺς δεομένους ἐλαίας κλάδους καὶ στέμματα ταῖς χερσὶν ἔχοντας δέεσθαι: — MNOA

898 ἥνπερ μόνην γε Τυνδαρίς: Λυσίμαχος [frg. 18] καὶ ἄλλοι τινὲς ἱστοροῦσιν γενέσθαι ἐξ Ἑλένης καὶ Νικόστρατον. ὁ δὲ τὰς Κυπριακὰς ἱστορίας συντάξας Πλεισθένην φησί, μεθ' οὗ εἰς Κύ-

---

2 πρὸσ A γράψον διὰ obscurum 3—5 et. m. p. 576,15 [Gud. p. 385,5 cf. Zon. p. 1347 Eust. p. 249,19. 780,27. 1925,45] κυρίως λέγεται τὸ μέσον τῆς στέγης ξύλον τὸ ὑπότονον καλούμενον, ἀπὸ τοῦ μελαίνεσθαι ὑπὸ τοῦ καπνοῦ .... τινὲς δὲ τὸν ὄροφον ἢ τὸν οἶκον Hesych. μέλαθρα οἰκίαι ὑπέρθυρα. δοκὸς λέγεται ἡ καὶ διάτονος Phot. Suid. lex. Bachm. p. 297,7 μέλαθρα οἶκον 6 lemma ex A 7 ἀπείη A 9 εἶναι om. A 10 ἡ ὁδὸς ego δίοδος MA τῆς om. A 12 τοῦ λοῦ N[1] τὰ deleui μακράν om. A καὶ om. NO 15 ὦ Wil ὁ A 19 ἐπισκοπᾶσ M 20 σὲ post χωρὶς coll. NO 20. 21 ἱκετηρίασ A 21 οὖσα om. MNO τοῖσ δεομένοισ A 21. 22 καὶ στέμματα ταῖς χερσὶν Wil καὶ ταῖσ χερσὶ τὰ στέμματα [O, τῷ στέμματι A τῷ στόματι MN] MNOA 24 ἱστοροῦσι τινὲσ ἐξ ἐλένησ γενέσθαι A ἐξ Ἑλένης] ἐξένησ N νικοστράτεον N νικοστράταιον O 25 συγγράψασ A πλησθένει NO

προν ἀφῖχθαι καὶ τὸν ἐξ αὐτῆς τεχθέντα Ἀλεξάνδρῳ Ἄγανον: — MNOA

900 θεραπευτά: — M[g]

ὦ Φοῖβ' ἀκέστορ: γράφεται καὶ ἀκεστῶν, ἀντὶ τοῦ ἀθεραπεύτων ἀνθρώποις, θεραπευτῶν δὲ μόνοις θεοῖς, τουτέστιν· δοίης τούτων λύσιν ἃ οὐκ ⟨ἂν⟩ ἄνθρωποι θεραπεύσειαν: — MNO

901 τί χρῆμα πρὸς θεῶν: τὸ ἑξῆς· τί χρῆμα κακὸν ἢ παρὰ θεῶν ἢ παρὰ ἀνθρώπων: — MNO

906 εἰς τὸ λέχος: — M[g]A[g]

εὖ μ' ὑπηγάγου: ὑπέμνησας προεκαλέσω ἠρέθισας ὑπῆλθες. σοφῶς με ὑπήγαγες, φησίν, εἰς τὸ ὁμολογῆσαί σοι τὸ αἴτιον τῆς ταραχῆς τῶν οἴκων. ἀκριβῶς τὸ κατ' ἐμὲ ἔγνως πάθος καὶ ἐδελέασας πρὸς τὸ εἰς λόγους σοι ἐλθεῖν καὶ διηγήσασθαι τὰ κατέχοντά με: — MNOA

910 τοιαῦτα ταῦτα: ἠθέλησα ἀμύνασθαι. οὐ συνείθισα ἐμαυτὴν εἰς ταῦτα: — A

911 ἔρραψας: ἐβουλεύσω κατεσκεύασας: — MN

912 καὶ τέκνῳ νοθαγενεῖ: σημειωτέον τὸ ὄνομα. νόθῳ: — MNO

ἀπὸ κοινοῦ τὸ ἔρραψας: — MNOA

921 ὁμόγνιον: συγγενικόν. ἀντὶ τοῦ· πρὸς ὁμογνίου Διός. ἀνεψιοὶ γὰρ Ὀρέστης καὶ Ἑρμιόνη: — MNOA

ἔφορον τοῦ γένους: — N[1]

922 πορρωτάτω τῆς χώρας: — M[g]

924 μονονουχὶ φωνὴν ἀφιέντες: — M[1]NO

927 κτενεῖ μ' ἐπ' αἰσχίστοισιν: ἢ αἰσχρῶς ἢ ἐπ' αἰσχροῖς ἁλοῦσαν: — MNOA[g]

---

1 ἄγανον MA ἀγανόν NO Ἄγανον legitur ap. Tzetz. in Lycophr. 851 p. 838 Ἀγανῷ in Homer. 441 Ἀγαυόν Cobet Ἀγλαόν ego. ceterum cf. schol. Soph. El. 539 δ 11 Apollod. 3,11,1 4 γράφεται δὲ NO 4. 5 ἀθεραπεύτων] θεραπεύτων O 6 ἂν add. Dindorf 7 τὸ ἑξῆς om. M 10 προσεκαλέσω MNO ὑπῆλθες ego ὑπεισῆλθεσ MNOA 11 φασὶν O φησὶν post σοι coll. A 13 διήσασθαι N συνέχοντά MNO 14 οὐ ego ἢ A 18 scholio 17 adi. MNO add. δὲ post κοινοῦ ἐρράψαι NO 19 προσμογνίου M προμιγνίου NO πρὸσ ὁμμογγίου A 20 ἀνεψιὸσ A 21 Suid. ὁμόγνιος: ὁ τὰ τοῦ γένους ἐφορῶν δίκαια . . . 24 αἰσχρῶς ego αἰσχροῖσ MNOA[g] 25 ἀλγοῦσαν NO

929 ἀλλ', ἐρωτήσει τις, πῶς ταῦτα ἡμάρτανες: — MNOA

ἄλλως: λέγοι ἄν τις καὶ ἐρωτήσειεν πῶς ταῦτα ἐξημάρτανες δεδοικυῖα τὸν ἄνδρα, ἵν' ᾖ τὸ ὡς ἀντὶ τοῦ οὕτως: — MNOA

ἄλλως: ὡς ἄν τις εἴποι, πῶς οὖν ταῦτα ἐξημάρτανες, οὕτως δεδοικυῖα τὸν Νεοπτόλεμον: — MNOA

ἄλλως: πῶς οὖν ταῦτα ἐξήμαρτες, ἵν' οὕτως αὐτὸ ἁμαρτίαν καλέσω: — A

930 τὸ χ̄ ὅτι εἰς παροιμίαν μετήχθη ὁ στίχος: — MNOA

931 ἠπάτησαν ἀνεπτέρωσαν, τουτέστιν ἐπῆράν με καὶ ὥσπερ ἐπαφῆκάν με ταύτῃ: — M[g]NOA

935 βλέπουσαν αὐγάς: ἀντὶ τοῦ βλεπούσης, σημαίνει δὲ τὸ ζώσης. ἢ οὕτως· οὐκ ἄν με ζῶσαν ἐκληρονόμει: — MNOA

938 ἐξηνεμώθην μωρίᾳ: ἀνεπτερώθην ἀνεκουφίσθην ὑψώθην ἐπήρθην: — MNOA

τί γάρ μ' ἐχρῆν: τί γὰρ ἐφύλαττον τὸν ἄνδρα μου ἑτέρᾳ μὴ συνελθεῖν γυναικί, ἔχουσα παρ' αὐτοῦ τὰ ἐπιτήδεια: — MNOA

948 ἡ δ' ἀμπλακοῦσα συννοσεῖν αὐτῇ θέλει: ἡ δ' ἁμαρτοῦσα ἀνδρός, ὅ ἐστι διαζευχθεῖσα, συννοσεῖν ἀνανδρίαν αὐτῇ βούλεται καὶ τὰς ἄλλας: — MNOA

συννοσεῖν αὐτῇ θέλει: συμπάσχειν ἑαυτῇ καὶ τὰς ἄλλας βούλεται, ἵνα μὴ μόνη ἀσχημονῇ: — MNOA

949 μαργότητι: ἀπληστίᾳ τοῦ λέχους· οὐ βούλονται μόναι φθείρεσθαι, ἀλλὰ καὶ ἑτέρας εἰς τὸ αὐτὸ ἁμάρτημα ἄγειν: — A

πολλαὶ δὲ μαργότητι: μανίᾳ, πορνείᾳ, ὅ ἐστιν· πορνεύσασα βούλεται πρὸς ἀπολογίαν αὐτῆς πάσας ἀσχημονεῖν: — MNOA

954 εἰς τὸ γυναικεῖον γένος: — M[g]A[k]

---

1 εἰ ἐρωτήσει NO εἰ ἐρωτήσειε A  2. 3 scholio 15. 16 adi. O in mg. superiore habet N  2 λέγοι — ἐρωτήσειεν] τὶσ [τίσ O] ἂν λέξειεν τίσ ἐρωτήσειεν τὶσ [τίσ O] NO εἴ τισ ἐρωτήσειε A  πῶσ οὖν NO  ἡμάρτανεσ M  3 οὕτως] ο̄υ A  4 οὕτως] οὐ A  8 scholio 1 adi. MNOA  ὁ στίχοσ μετήχθη A  in fine add. εἴ τισ ἀντιλέξειεν A  9 ἀντὶ τοῦ ἐπτέρωσαν A τοῦτο A  9. 10 με — ταύτῃ om. M[g]  9 καί με καὶ N με om. A  10 ἐπαφῆκα N  ταύτῃ ego ταύτησ NO om. A  12 ἢ] ὁ λόγοσ A  οὐκ ἄν] ὅταν A  ἐκληρονωσαν N ἐκληρόμησαν O ἐκληρονόμησεν τὰ μὰ λέχη A  13. 14 ὑψώθην ἐκουφίσθην ἐπάρθην ἠπατήθην A  17 ἡ δ' ἁμαρτοῦσα Wil ἐξαμαρτοῦσα MNOA  18 συννοεῖν NO  βούλεται αὐτῇ A  καὶ om. O  20. 21 scholio 17—19 adi. O  20 καὐτῇ N  καὶ om. MNO  20. 21 βούλεται om. NA  24 πορνεύουσα A  25 πᾶσαν O

955 συγγνωστὰ μὲν οὖν σοὶ τάδε: διὰ τὸ ὑπὸ τῆς λύπης νικᾶσθαί σε. ἀλλ' ὅμως τὰς γυναῖκας ἐνδέχεται περιστέλλειν καὶ κρύπτειν τὰ γυναικῶν ἐλασσώματα: — A

957 σοφόν τι χρῆμα: τοῦ δημιουργοῦ, λέγει δὲ τῆς φύσεως. ὁ δὲ νοῦς· σοφόν τι εὕρημα τοῦ κρείττονος τοῦ διδάξαντος τοὺς ἀνθρώπους ἀκούειν καὶ ἐναντίων πάρα, τῶν ἀντιλεγόντων, ἀντὶ τοῦ· δύνασθαι κρίνειν τὰ παρὰ τῶν διχοστατούντων λεγόμενα. κἀγὼ γὰρ εἰδὼς τὴν σύγχυσιν τούτων τῶν οἴκων τὴν ἐκ τῆς διχοστασίας γενομένην ἀνέμενον ἀκοῦσαι τὰ παρὰ σοῦ λεχθησόμενα, εἴτε μενεῖς εἴτε οὐ μενεῖς: — MNOA

ἄλλως: σοφὸς ὁ πρῶτος ἐπινενοηκὼς τρόπον τινὰ δι' οὗ τὰ τῶν ἐχθρῶν γνωρίζεται· δύναται γὰρ ἡ ἐπαγωγὴ τοῦτο δηλοῦν. ἐχθρὸς δὲ ἦν τοῦ Νεοπτολέμου ὁ Ὀρέστης: — MNOA

ἄλλως: τοῖς λεγομένοις παρά τινος, φησίν, οὐ δεῖ ἁπλῶς πιστεύειν πρὶν ἀκούσῃς τι παρ' αὐτοῦ τοῦ δρῶντος ἢ πάσχοντος. ἢ παρὰ τὴν παροιμίαν· 'μηδὲ δίκην δικάσῃς πρὶν ἀμφοῖν μῦθον ἀκούσῃς': — MNOA

ἄλλως: σοφόν τι εὕρημα τοῦ κρείττονος τοῦ διδάξαντος τοὺς ἀνθρώπους λόγους ἀκούειν παρὰ τῶν πέλας: — MNOA

ἄλλως: σοφὸς ἄρα ἦν ὁ διδάξας μακροθυμεῖν καὶ ⟨τὰ⟩ ὑπὸ τῶν διαφερομένων ⟨λεγόμενα⟩ ἀκούειν περὶ ἑκάστου πράγματος: — A

961 ἀντὶ τοῦ· ἔμενον ταῦτα φυλάσσων καὶ ἐπιτηρῶν: — MNO

964 ἦλθον δὲ σὰς μὲν οὐ σέβων ἐπιστολάς: ἀπ' ἐμαυτοῦ ἦλθον ἐνταῦθα προεγνωκὼς ταῦτα, οὐ γράμματά σου δεξάμενος: — MNOA[g]

4 δὲ om. NO  τὸ A  5 τι] τὸ A  τοῦ κρείττονος om. NOA  5. 6 τοὺς ἀνθρώπους] βροτοὺς A  6 καὶ om. NOA  ἐναντίων Wil et ego ἐναντίως MNO ἐναντίους A  ἀντὶ τοῦ] ἂν A  8 τὴν] τῶν M om. O  γενομένων M γινομένην NOA  9 σοῦ] τοῦ O  11 πρώτως A  τρόπος NO  τινὰ om. NOA  12 τοῦτο] τοῦ A  13 ὁ om. N  14 initio add. φησὶν ὅτι NO φασὶν ὅτι A sed postea om. φησὶν NOA  τινων A  15 ἀκούσῃς Wil ἀκούσει MNOA  τι ego τὶς MNO τὶς N  inde ab ἢ παρὰ nouum scholion incipit N  ἢ om. A  16 μὴ τὴν A μὴ NO  δίκην om. NO  ἀκοῦσαι NO ἀκούσεις A  17 εὕρεμα A  19 ἄρα ego ἐὰν A  τὰ ὑπὸ ego ἀπὸ A  20 διαφερομένων Wil διαλεγομένων A  λεγόμενα addidi  21 scholio 17. 18 adi. MNO  φυλάττων NO  παρατηρῶν M

965 εἰ δ' ἐνδιδοίης: εἰ δὲ θαρσήσειάς μοι σαυτήν, ὥσπερ καὶ [εἰς] τὸν λόγον: — MNO

ἄλλως: εἰ δὲ κἂν πράγμασί μοι θαρσήσειας σαυτήν, ὥσπερ κἂν λόγοις θαρρεῖς μοι σαυτήν· εἶπε γὰρ 'πέμψον με ἀπ' οἴκων τῶνδε': — MNOA

ἄλλως: εἰ δὲ κἂν πράγμασι σαυτήν μοι ἐνδοίης, ὡς καὶ ἐν λόγοις ὑπέσχου καὶ δέδωκας· εἶπε γὰρ 'πέμψον μ' ἀπ' οἴκων τῶνδε': — A

967 κακίᾳ: — M[1]

971 ἐπεὶ δ' Ἀχιλλέως δεῦρ' ἐνόστησεν: ἐπεὶ δὲ πορθήσαντι αὐτῷ τὴν Ἴλιον ἐτελείωσε τὴν ὑπόσχεσιν: — M

εἰς τὴν Ἑλλάδα δηλονότι: — M[1]NOA

972 σῷ μὲν συνέγνων πατρί: συγγνώμην ἐδίδων διὰ τὴν χρείαν: — NOA

συνεχώρησα τοῦτο. δι' ἀνάγκην γὰρ αὐτῷ ἔδωκεν ἵνα Τροίαν ἕλῃ: — A

τὸν δ' ἐλισσόμην: ταῦτα, φησίν, ἔλεγον αὐτῷ ὅτι παραχώρησόν μοι τὴν παῖδα, ἐπεὶ οὐκ ἄλλοθεν γυναῖκα προσδοκῶ λαβεῖν ἢ παρὰ συγγενῶν, φυγὰς ὤν: — MNOA

974 τὸν τῆς μανίας δαίμονά φησιν: — M[1]NO

975 γήμαιμ' ἀπ' ἀνδρῶν: ἐκτὸς τοῦ γένους, τουτέστι ξένην: — NOA

ἔκτοθεν ⟨δ'⟩ οὐ ῥᾳδίως: καὶ γὰρ 'ἀνδρὸς κακῶς πράσσοντος ἐκποδὼν φίλοι' [Soph. frg. 667], τὸ δὲ συγγενὲς κατὰ φυσικὴν ἀνάγκην φίλον, ὡς καὶ ἐν Δυσκόλῳ φησὶν ὁ Μένανδρος [frg. 135]· 'οὐκ ἔνεστ' ἴσως φυγεῖν οἰκειότητα, δᾶερ': — MNOA

---

1 θαρρήσεις NO 1. 2 καὶ—λόγον om. N spatio uacuo relicto 2 εἰς M περὶ O del. Wil 3 initio add. ὁ λόγος A κἂν (bis) ego καὶ MNOA πράγματι MNO θαρσήσειάς μοι σαυτὴν A σαυτὴν om. NO 4 λόγους A εἴπερ NO μοι A 6 κἂν ego καὶ A 11 τὴν om. NO 12 lemma ex O ἐδίδου NO 12. 13 διὰ—χρείαν om. A 14. 15 scholio 12. 13 adi. A 14 αὐτῷ ἔδωκεν ego αὐτὸ ἵνα ἧκεν A αὐτὴν ἔδωκεν Wil 16—18 scholio 11 adi. NO scholio p. 310, l. 2 A 16 ὅτι om. MNO 18 συγγενοῦς A 19 τῆς om. M[1] 20 lemma ex O ἐκτός A ἐκ τούτου NO 22—25 scholio p. 310, 7. 8 adi. MNOA ita ut uerba ἔκτοθεν οὐ ῥᾳδίως [ἔκτοθεν δὲ οὐδαμῶς M] pro lemmate non distinguant MNOA 24 φίλον ego δοῦλον MNOA καὶ om. N 24. 25 ἔνεστ' ἴσως A ἐνεστ' ἴσιως N ἔνεστ' Θ ἔνεστί σοι M 25 φυγεῖν] οἰκεῖν A οἰκυότητα N δάει A

ἄλλως: τὸ ἑξῆς· ὡς φίλων μὲν ἂν γήμαιμ' ἀπ' ἀνδρῶν φεύγων ἀπ' οἴκων ἃς ἐγὼ φεύγω φυγάς: — MNOA

976 φεύγων ἀπ' οἴκων: Μυκηναῖος γὰρ ὢν ὁ Ὀρέστης καὶ γαμῶν συγγενῆ καὶ Σπαρτιάτιδα ἐδύνατο, τὴν πατρίδα φεύγων διὰ τὸν νόμον, εἰς τὸν οἶκον τῆς γαμετῆς, ὅ ἐστιν εἰς τὴν Σπάρτην, φεύγειν καὶ μὴ ἐν ξένοις ἀλᾶσθαι: — MNOA

ῥᾷον δέ ἐστι τοῦτο, φησί. φυγὴν γὰρ εὑρεῖν εἰς οἶκον γαμετῆς [ὢν] ῥᾴδιον: — MNOA

985 οἷον· οὐκ ἄν τις εὕροι συγγενοῦς χρησιμώτερον ἐν καιρῷ ἀτυχίας: — MNOA

ἄλλως: ἀντὶ τοῦ· αὔταρκες καὶ ἱκανὸν εἰς ἐπικουρίαν ἐν ταῖς συμφοραῖς. τὸ δὲ δεινόν καὶ ὁ ῥήτωρ ἀντὶ τοῦ ἱκανόν τέταχεν [Olynth. 1, 3] 'δεινὸς πράγμασι χρῆσθαι': — MNOA

986 οὐκ ἔστιν οὐδέν: ἀντὶ τοῦ συγγενοῦς. καὶ ἐν Βάκχαις [1250] 'Βρόμιος ἄναξ ἀπώλεσ' οἰκεῖος γεγώς': — MNO

987 νυμφευμάτων μὲν τῶν ἐμῶν: εἰ [τῶν] πρῴην νυμφευμάτων ⟨τῶν⟩ ἐμῶν σε ἐστέρησεν καὶ τούτῳ δέδωκεν ὁ πατὴρ ὁ ἐμός, ⟨αὐτὸς⟩ τὴν αἰτίαν ἕξει· οὐ γὰρ ἐμὸν τὸ κρίνειν, οἷον· αὐτός σοι ἀπολογήσεται: — MNOA

ἄλλως: εἰ νυμφευμάτων σε τῶν ἐμῶν ὁ πατὴρ πρὶν ἐστέρησεν, ἐκεῖνος μεριμνάτω καὶ ἀπολογείσθω σοι περὶ τούτου: — A

993 θάρσει γέροντος χεῖρα: διὰ τὴν χεῖρα τοῦ γέροντος θάρσει: — NOA[B]

θάρσει γέροντος χεῖρα: παραινεῖ αὐτῇ μὴ δίκην αἰχμαλώτου

---

1. 2 scholio p. 309, 20. 21 adi. A add. δὲ post τὸ 1 τὸ ἑξῆς om. MNO φῦλον NO φίλον A μὲν om. M ἂν om. A γῆμαι μ' NOA 1. 2 φεύγων — φυγάς om. M 3 γὰρ om. M 3. 4 γάμων NOA 4 συγγενῆ καὶ M συγγενὴσ N συγγενῆ A οὐ συγγενὴσ O σπαρτιάδα MNO 6 ἐν om. A ἐν ξένοισ om. M 7. 8 scholio 3—6 adi. MNOA ῥᾷιον δέ ἐστι τοῦτο M ἀλλ' ἀραιότερον A ἀλλὰ ἀραιότερον NO 7 φασι M φυγὴν γὰρ M τὴν φυγὴν A γὰρ φυγὴν NO ἐρεῖν A 8 ὢν del. Wil ῥᾴδιον om. NOA 9. 10 scholio 1. 2 adi. M 11 ἀντὶ τοῦ om. M 12 τέταχασ N 14 lemma ex O 16 εἰ om. NOA τῶν MNO τῶν μὲν A deleui et ante ἐμῶν inserui 17 ἐστέρησασ N τοῦτο NO 18 αὐτὸς addidi τὸ] τι A 22 lemma ex O τοῦ ὀρέστου γέροντοσ NO 24 αὐτὴν NO

φυγεῖν, ἀλλὰ σχολαίτερον, καλῶς τὰ καθ' ἑαυτὴν διοικήσασαν ⟨καὶ⟩ λαβοῦσαν κόσμον ⟨τὸν⟩ ἴδιον ἄλλα τε χρήματα θεραπαίνας ⟨τε⟩ καὶ θεράποντας οἷς ἐθάρρει: — MNOA

995 τοία γὰρ αὐτῷ: ἐμφαίνει ὅτι προδιέθηκε τοὺς Δελφοὺς εἰς τὸν κατὰ τοῦ Νεοπτολέμου φόνον: — MNOA

997 πρὶν σκευασθῆναι αὐτῷ καὶ πάθος τι: — A

998 Πυθία: — M[g]

999 τῶν Δελφῶν: — AM[g]

1002 ὑπὲρ τοῦ πατρός: — M[g]

1006 κακῶς ὀλεῖται: ἀμφότερα, φησίν, αὐτὸν ἀναιρήσει, πρῶτον αὐτὸς ὁ θεὸς εἰς ὃν ἠσέβησεν, εἶτα καὶ αἱ παρ' ἐμοῦ διαβολαί. διαβεβλήκει γὰρ αὐτὸν ὡς ἐπὶ πορθήσει τοῦ ναοῦ ἐληλυθότα: — MNOA

1007 ἐχθρῶν γὰρ ἀνδρῶν μοῖραν: φιλεῖ πως ὁ δαίμων ἀναστρέφειν ἀεὶ τοῖς ἀνθρώποις τὰ πράγματα καὶ τοὺς ἐχθροὺς ποτὲ μέγα φρονοῦντας ὕστερον ταπεινοῦν, ὅπως μηδεὶς μηδενὸς ὑπερφρονοίη. τοῦτο δέ φησι διὰ τὸν Νεοπτόλεμον, ὅτι τότε παρακαλούμενος παραχωρῆσαι τὴν Ἑρμιόνην ὑπερεῖδεν καὶ νῦν αὐτῆς ἀποστερεῖται: — MNOA

ἄλλως: τῶν γὰρ ἐχθρῶν αὐτῷ, φησίν, ὁ θεὸς τὴν μοῖραν, ὅ ἐστι τὴν εὐμοιρίαν, καταστρέφει καὶ μέγα φρονεῖν οὐκ ἐᾷ: — MNOA

ἄλλως: τῶν ἐναντιουμένων γὰρ αὐτῷ ἀνθρώπων τὴν μοῖραν ὁ θεὸς εἰς καταστροφὴν ἄγει: — A

ταῦτα εἰπὼν ἀπῆλθεν ἔχων τὴν Ἑρμιόνην: — O

1009 ἰὼ Φοῖβε: τὸν ὑψηλὸν τόπον πυργώσας καὶ ποιήσας αὐτὸν εὐτειχῆ: — MNO

---

1 σχολαιότερον NO   διοικήσαν O   καὶ addidi   2 κόνμον N   τὸν addidi   τε addidi   4 ἐμφαίνει ὅτι] ἐμφανιστὶ A   Δελφοὺς] δ . . . . A   4. 5 εἰς τὸν om. MNO   5 φόνον om. M   8 scholio 6 adi. A   ἀδελφῶν Mg   10 ναιρήσει M   πρῶτον om. NO   11 αὐτὸς om. A   ante εἶτα repetit πρῶτον M   11. 12 διαβέβληκε NO   12 ὡς om. NO   14 τὰ om. MA   16 φασι M   διὰ A κατὰ MNO   νεοπτολέμου NO om. τὸν   16. 17 παραχωρεῖν M   17 αὐτὸσ NO   18 αὐτῶν A om. NO ante ὁ θεὸς add. ἀνθρώπων NOA   εὐμοιρίαν] μωρίαν NO   22 ἔχων Taurinensis B III 16 (ex Dindorfii silentio) πρὸσ O (sine dubio propter compendium tachygraphicum male intellectum)   23 τόπον M πύργον O πῦργον N   24 εὐτυχῆ M

ἄλλως: ἰὼ Φοῖβε πυργώσας: βουλόμενος παραμυθήσασθαι ὁ χορὸς τὴν Ἑρμιόνην μέλλουσαν συνοικεῖν ἑτέρῳ ἀνδρὶ φησὶν ὅτι καὶ ἄλλαι τοῦτο πεπόνθασιν Ἑλληνίδες ἐξ αἰτίας τῆς κατασκαφῆς τῆς Τροίας. ἄρχεται τοίνυν ἐκ τοῦ πρώτου αἰτίου, ὅ ἐστι τῆς πορθήσεως τῆς Τροίας: — MNOA

ἄλλως: ὁ χορὸς ὥσπερ ἐναντία τὰ πράγματα ὁρῶν θαυμάζει πῶς καὶ ὑπὸ τῶν θεῶν ᾠκοδομήθη ἡ Τροία καὶ ἀτίμως ἑάλω, συμπαθῶν δὲ τῇ Ἀνδρομάχῃ ὀδύρεται τὴν ἅλωσιν τῆς Τροίας: — MNOA

1011 κυανέαις ἵπποισι: μελαίναις. ἐπὶ γὰρ ἵππων μελαινῶν λέγουσι τὸν Ποσειδῶνα ὀχεῖσθαι διὰ τὴν χροιὰν τοῦ πελάγους. οὕτως καὶ Ὅμηρος λέγει μέλανα πόντον καὶ κυανοχαίτην εὐλόγως τὸν Ποσειδῶνα λέγει καὶ θύουσιν αὐτῷ παμμέλανας ταύρους [γ 6] διὰ τὴν αὐτὴν αἰτίαν: — A

1014 τίνος οὕνεχ' ἄτιμον ὀργάναν χέρα: τί οὖν ὀργάναν χέρα, ἀντὶ τοῦ ἐργατικὴν χεῖρα * *: — MNO

ἄλλως: τίνος ἕνεκα τὸ τῆς χειρὸς τῆς ὑμετέρας ἔργον ἀτίμως παραδεδώκατε τῷ Ἄρει: — MNOA

ἄτιμον ἔφη ὅτι τὸν μισθὸν οὐκ ἀπέδωκεν ὁ Λαομέδων τῆς τειχοδομίας αὐτοῖς: — MNOA

ἄλλως: ὀργάναν χέρα: τινὲς τὸ χέρα ἀντὶ τοῦ χειρός καὶ τὸ τεκτοσύνας ἀντὶ τοῦ τεκτοσύνην, ἀντὶ τοῦ· ὅσα διὰ χειρῶν ἐτεκτήνασθε: — MNOA

τὸ ἔργον τὴν κατασκευήν: — M[g]

1016 τῷ πάντα διὰ δόρατος μηχανωμένῳ: — M[g]A

---

2 ὡς μέλλουσαν NOA 4 τοίνυν om. NO 6 ὥσπερ ἐναντία ego ἐναντία ὥσπερ MNO ἐναντία ὡς περὶ A ὁρῶν θαυμάζει] θαυμάζει ὃ θαυμάζει A 7 ἑάψω M συμπαθῶν] λαθὼν A 8 πόρθησιν ἰλίου A 12 λέγει Wil λέγουσι A 14 τί οὖν om. NO ὀργάνων N ὀργανων O 15 lacunam indicaui 16. 17 scholio 18. 19 adi. A initio add. ὁ δὲ λόγος 16 τῆς ὑμετέρας χειρὸς A ἀτίμως om. A 17 παρεδώκατε N 18. 19 scholia 16. 17 adi. M pro ἔφη scriptis δὲ εἶπεν, scholio 20—22 adi. A pro ἔφη scriptis δέ φησι 18 τὸν om. M ὁ om. M 20 τινὲς τὸ χέρα M τινὲς NO τὴν χέρα A χερὸς M χερὰς N 21 τεκτοσύνας M τεκτοσυν superscriptis compendiis et ας et αν A τεκτοσύνας in τεκτοσύναν corr. N τεκτοσύναν O τεκτοσύνην NOA τεκτοσύνης M ὅσω A χειρᾶν N 21. 22 ἐτεκτήνασθε ego τεκτήνασθαι MA τεκτείνασθαι O τεκτόνασθαι N 24 πάντη A

1021 ἔθετ' ἀστεφάνους: κακοστεφάνους. στέφανος γὰρ τοῖς ἐν πολέμῳ νικήσασι τὸ αἷμα: — MNOA[1]

ἄλλως: αἷς οὐ πρόκειται στέφανος ἐν τοῖς γυμνικοῖς ἀγῶσιν: — MNOA[1]

1027 οἴχεται, διεφθάρη, ὁ Ἀγαμέμνων ταῖς Κλυταιμνήστρας χερσὶν αὐτή τε ἡ Κλυταιμνήστρα ἀντὶ τοῦ θανάτου τοῦ Ἀγαμέμνονος φόνον ἀλλαξαμένη πρὸς τοῦ Ὀρέστου ἀπέλαυσε τῆς οἰκείας δηλονότι κακίας: — A

1029 φόνον θανάτῳ πρὸς τέκνων ἀπηύρα: ἀλλ' οὐκ ἀτιμώρητος, φησίν, ἔμεινεν ἡ Κλυταιμνήστρα, ὑπὸ τῶν ἰδίων τέκνων ἀναιρεθεῖσα. ἀντιδοῦσα τὸν ἑαυτῆς θάνατον ὑπὲρ τοῦ φόνου τοῦ Ἀγαμέμνονος: — MNOA

1032 μαντόσυνον: τὸ μαντικόν: — M

λείπει ἤκουσεν. αὐτὸ, τὸ μαντόσυνον κέλευσμα δηλονότι. ἐπίτηδες δὲ παρέλειψε τὸ ἤκουσεν, ἵνα μὴ φανῇ τοιαῦτα πείθων ὁ θεός: — MNOA

αὐτὸ, μαντόσυνον κέλευσμα: — M[g]

1036 ὦ δαῖμον, ὦ Φοῖβε: τὸ ὦ δαῖμον ὁ χορὸς θαυμάζων ἀνεφώνησεν εἰ Ἀπόλλων τοῦτο προσέταξεν: — MNOA

πῶς πείθομαι τοῦτο εἰρῆσθαι παρὰ σοῦ: — MNOA[g]

1038 πολλαὶ δ' ἀν' Ἑλλάνων: ἴδοις ἂν, φησί, κατὰ τὴν Ἑλλάδα συνεχεῖς θρήνους γινομένους περὶ τῶν κατὰ τὴν Ἴλιον ἀπολωλότων. θέλει δὲ εἰπεῖν ὅτι μία πρόφασις ὀλέθρου γέγονεν [αἰτία] Ἕλλησί τε καὶ βαρβάροις: — MNOA

ἀνὰ τὰς ἀγορὰς τῶν Ἑλλήνων: — NO

ἄλλως: βούλεται εἰπεῖν ὅτι οὐ μόνον ἡ Ἴλιος ἀλλὰ καὶ ἡ Ἑλλὰς ἐδυστύχησεν: — MNOA

---

1 init. add. ἀστεφάνους NO στέφανος γὰρ] τὸ N 1. 2 ἐμπολέμοις M ἐν τῷ πολέμῳ N 2 νικῶσι NO 3 γυναιξὶ siue γυναικικοῖς M 7 ἀπήλαυσε A 10 ante ὑπὸ add. καὶ αὐτὴ N ὑπὲρ A 11 ἀντὶ τοῦ δοῦσα MNOA τὸν ἑαυτῆς] ἑαυτὴν A 14—16 scholio 13 adi. M 14 αὐτὸ O ἀ$_{0}^{\tau}$ A αὐτὸς M αὐτὴ N 18 τὸ — δαῖμον om. A 21 lemma ex O αὐτά τ' ἐναλλάξασα M βέβακε δ' ἀτρείδας A ἴδοις ἂν ego εἴδοσαν MOA εἴδωσαν N 22 γενομένους MNA τῶν] τοῖς N τὴν om. MA 23 αἰτία del. Wil 23. 24 βαρβάρους N 25 scholio 21—24 adi. NO 27 lemma ex A βέβακε δ' ἀτρείδας O scholio 21—24 adi. M add. δὲ post βούλεται μόνο N μόνη OA 27 in fine add. καὶ μετέσχε τῶν δυσχερῶν A

1039 δυστάνων τοκέων ἄλοχοι: τοκέων ἀνδρῶν, νυμφίων, τῶν ἤδη πατέρων γενομένων παρὰ ταῖς ἰδίαις γυναιξί. καὶ αὐτοὶ γοῦν ἀπολοφυρόμενοι τὰς οἰκείας οὐ μόνον γαμετάς, ἀλλὰ καὶ παῖδας ἐπόθουν, παρὰ τὸ Ὁμηρικὸν [B 136] 'αἱ δέ που ἡμέτεραί τ' ἄλοχοι καὶ νήπια τέκνα'. ἐὰν δὲ ᾖ ἡ γραφὴ τεκέων, λείπει τὸ ἕνεκεν, ἄλοχοι δὲ ἀντὶ τοῦ γυναῖκες ἁπλῶς: — MNOA

1040 ἐκ δ' ἔλειπον οἴκους: ἀπὸ κοινοῦ τὸ πολλαί: — MNOA[g]

καὶ ἄλλως: ἐκ δ' ἔλειπον οἴκους πολλαὶ καὶ ἄλλους ἐγάμησαν διὰ τὸ τοὺς προτέρους ἄνδρας τεθνηκέναι: — MNOA[g]

1041 οὐ σύ, φησί, μόνη ἐξέπεσες τῆς ἐκ θεῶν εὐτυχίας οὐδὲ μόνοι οἱ συγγενεῖς: — MNO

1042 δύσφρονες: αἱ δυσυπομόνητοι ἐπεγένοντο θλίψεις: — A

τὸ φίλοις ἀντὶ τοῦ· οὐδὲ μόνοις τοῖς φίλοις σου: — NOA

τοῦτο καθ' ἑαυτὸ ἀπολύτως ἀναγνωστέον: — MNOA

1044 μεγάλην, φησί, νόσον καὶ ἡ Ἑλλὰς ὑπέμεινεν, τὴν τῆς Ἑλένης λαγνείαν ἥτις διαβᾶσα ἄχρι τῆς Φρυγίας θρήνους καὶ συμφορὰς ἀπειργάσατο: — MNOA

1048 οὐκ ἀκριβῆ: — M[g]

1049 ὅτι τὰ οἰκήματα ἐκλιποῦσα φρούδη γέγονεν ἡ Ἑρμιόνη: — M[g]A

1053 οὐ πρέπει κρύπτειν τὸ συμβὰν ἡμῖν κακόν· λέγει δὲ τὴν φυγὴν τῆς Ἑρμιόνης: — NOA

1059 τῷ φόβῳ τῷ ὑπὲρ τῆς αἰχμαλώτιδος: — NA[g]

1068 καὶ τἀνθάδ' ὄντα: ἀντὶ τοῦ· Νεοπτολέμῳ ὥστε φυλάξασθαι: — NOA[g]

---

1 τοκέων om. A 2 γινομένων A 4 τ' om. A 5 post τέκνα add. εἴατ' ἐνὶ μεγάροισ ποτιδέγμεναι [ποτιδεύμεναι N] NO ᾗ om. M τεκέων Cobet τευχέων MNOA λείπει A λύεται MNO ἕνεκα OA 5. 6 ἀντὶ τοῦ] αἱ A 6 ἁπλῶς om. NO in fine add. λέγονται A 7 ἔλιπον M 8 ἔλιπον M ἐκ — καὶ om. A[g] ἄλλωσ N 9 ἄνδρας om. MA[g] 10 πρὸσ θεόν NO 13 scholio 12 adi. A om. τὸ — τοῦ τοῖσ σοῖσ φίλοισ A 14 ad οὐ φίλοισι recte relatum in M 15—17 scholio 14 adi. MNOA 15 ὑπέμεινεν ἡ ἑλλὰσ MA om. καὶ τῆς om. NO 17 ἀπηργάσατο O ὑπηργάσατο N 19 ὅτι om. M[g] καταλιποῦσα A γέγονασ A ἡ Ἑρμιόνη om. M[g] 20 οὐ πρέπει φησὶ κρύπτειν A κρύπτειν οὐ πρέπει O οὐ πρέπει N 23 lemma ex O νεοπτολέμου N 23. 24 φυλάτεσθαι O φυλάττειν διὰ [uel δὴ] N 24 in fine add. τῶ νεοπτολέμω O in νεοπτολέμου corr. N

1072 ὡς ἀεί τι ἡ ψυχὴ προσδοκᾷ: — M[g]

1077 οὐδέν εἰμ', ἀπωλόμην: ἐγκαλεῖ Δίδυμος καὶ εὐεπίληπτόν φησι τὸ αὐτὸν ἐν πάθει ὄντα λέγειν οὐδέν εἰμι. φρούδη μὲν αὐδή παρὰ τὸ Ὁμηρικὸν [P 695 δ 704] 'δὴν δέ μιν ἀμφασίη ἐπέων λάβεν'. ἀλλ' ἐκεῖ οὐκ αὐτὸς ὁ πάσχων φησίν, ἀλλ' ἕτερος περὶ αὐτοῦ: — NOA

1078 φροῦδα δ' ἄρθρα μου κάτω: ἀντὶ τοῦ· ἀφανής εἰμι καὶ εἰς Ἅιδου βαδίζω: — A

κάτω: παρὰ τοῖς κατοιχομένοις: — N

1080 χρήζεις, τὸ πραχθέν: τὸ ἑξῆς· ἄκουσον ⟨τὸ⟩ πραχθὲν ἀνορθώσας τὸ σὸν σῶμα, εἴ τι δύνασαι εἰς ἐκδίκησιν αὐτοῦ πρᾶξαι: — NO

1083 μόνου παιδός: τοῦ μονογενοῦς ἐμοῦ παιδὸς ὁ μονογενὴς παῖς πῶς ἀπώλετο λέγε: — A

1086 τὸ ἑξῆς· τρεῖς μὲν φαεννὰς ἡλίου διεξόδους ἐξεπίμπλαμεν θεωροῦντες τὰ ἐν τῷ ἱερῷ: — NOA

1088 εἰς δὲ συστάσεις: ἀθροίσεις. συστάσεις καὶ κύκλους ἐκ παραλλήλου τὰ συνέδριά φησιν: — NOA

1092 ὁρᾶτε τοῦτον, ὅς: ὁρᾶτε τοῦτον καὶ δεύτερον παρόντα ἐφ' οἷς καὶ πάρος, ὅ ἐστιν· ὥσπερ ἦλθε πολέμιος τότε, οὕτω καὶ νῦν: — NOA

1093 χρυσοῦ γέμοντα: ὡς εἰς ἄσυλον γὰρ [βροτῶν] ἱερὸν ἐκεῖ παρετίθεντο τὰ χρήματα ἑαυτῶν πολλοί: — NOA

1097 ἀρχαί τ' ἐπληροῦντο: τὰ ἀρχεῖα, τινὲς δὲ πλεονάζειν φασὶ τὸ δεύτερον τὲ, ἵν' ᾖ· τὰ ἀρχεῖα ἐπληροῦντο εἰς τὸ βουλεύεσθαι: — NOA

ἄλλως: οἱ προέχοντες δὲ ἤρχοντο εἰς τοὺς τόπους καθ' οὓς αἱ βουλαὶ ἐγίνοντο: — A

1098 ἰδίᾳ θ' ὅσοι: καὶ πάλιν ἰδίᾳ καὶ χωρὶς τῶν ἄλλων φρουρὰς ἐτίθεντο καὶ φύλακας οἱ τῶν τοῦ θεοῦ χρημάτων προιστάμενοι: — A

---

1 ἀπιδοκᾶ M[g] 2 lemma ex OA 3 τὸν A 4 τῶ ὁμήρω A ἀμφασίν NO ἀφασίη Paris. 2818 ἐπέων λάβεν] ἐπέλαβεν A 5 ἕτεροι NO παρ' A 7 βαδίζων A 8 in fine add. χρήζῃσ N 9 τὸ addidi 10 πρᾶξαι ego πράξεισ NO 14 τῷ om. N 15 lemma ex OA 16 παραλλήλων N φασίν A 17 lemma ex O ὁρᾶτε τοῦτον om. O 18 παρόσον ἐστὶ O παρόσον ἐστὶν N ὢσ N ἦλθε NO ἔστι A τότε om. A 20 lemma ex O βροτῶν deleui 21 πολλοί om. A 22 lemma ex OA 23 τὲ A τ N τοῦ O τὰ om. A ἀρχεῖα [bis] ego ἀρχαῖα NOA τὸ A τὸν NO 25 εἴσ τε τοὺς A

1100 πόας: — M[g]

ἡμεῖς δὲ μῆλα: ἐν ταῖς πόαις, ἐν ταῖς βοτάναις: — NO

1101 παιδεύματ': τὰ βουλεύματα τούτων οὐ γινώσκοντες: — A

παιδεύματ' οὐδέν: τινές, ἃ πρὸς παίδευσιν ἑαυτῶν καὶ σωφρονισμὸν ἤγομεν τῷ θεῷ. ἢ τὰ θρέμματα: — NOA

1103 σὺν προξένοισι: τοῖς φίλοις. πρόξενοι γάρ εἰσιν οἱ ἐπὶ ξένης φίλοι. ὡς τοῦ Νεοπτολέμου ἀπὸ τῆς πρώτης ἐπιδημίας φίλους ἔχοντος ἐκεῖσε: — NOA

1105 θεῷ κατευξώμεσθα: ὡς ἔθος ἔχοντος τοῦ ἱερέως εὔχεσθαι ὑπὲρ τῶν θυομένων: — NO

1109 κἀνταῦθ' Ὀρέστου: ταῦτα, φησίν, εἰπόντος τοῦ δεσπότου οὐδεὶς ἐπίστευσεν, ἀλλ' ἴσχυσεν ἡ διαβολὴ Ὀρέστου: — NOA

1111 ἥκων ἐπ' αἰσχροῖς: δοὺς τοῖς ἱερεῦσι τὰ ἱερεῖα εἰσῆλθεν εὔξασθαι πρὸ τῶν θυσιῶν: — NOA

1113 εὔξαιτο Φοίβῳ: ἔτυχε παρεῖναι τὸν Νεοπτόλεμον θυσίας ἐπιτελούμενον: — NO

1120 χωρεῖ δὲ πρύμναν: ὅ ἐστιν· εἰς τοὐπίσω ἀνεπόδισεν μὴ δοὺς τὰ νῶτα, ἀλλὰ πρὸς τοὺς ἐναντίους ὁρῶν. τοῦτο δὲ καὶ Θουκυδίδης φησὶ [1, 50] 'πρύμναν ἐκρούοντο', ὅταν μὴ μεταβαλλόμενοι φεύγωσιν, ἀλλ' ἀντίοι ὄντες ἀναχωρήσωσιν: — MNOA

οὐ γὰρ εἰς καιρὸν τυπείς: ἀντὶ τοῦ· οὐκ ἐν καιρίῳ τόπῳ. Ὅμηρος [Δ 185] 'οὐκ ἐν καιρίῳ ὀξὺ πάγη': — MNOA

1121 καὶ παραστάδος κρεμαστὰ τεύχη: παραστάδας λέγει νῦν τοὺς μετὰ τὴν εἴσοδον ἑκατέρωθεν παρισταμένους τοίχους: — MNOA

ἄλλως: ἀπὸ τῶν θυρῶν ἢ τοῦ κρεμαστά. ἐν γὰρ ταῖς εἰσόδοις ἐκρέμαντο: — A

---

4 lemma ex O ἃ om. A 5 ἢ — θρέμματα om. A τὰ O κατὰ N 6 lemma ex O τοῖσ φίλοισ NO φίλοι A φίλοισ habet M[g] πρόξενο N πρόξενον O 7 ξένοισ NO φίλοισ N 8 ἐκεῖσε om. A 10 θυομένων Wil εὐχομένων NO 11 lemma ex O 12 εἴσχυσεν NO 13 lemma ex O δοὺσ NO τοὺσ A τοῖσ ἱερεῦσι τὰ ἱερὰ NO τὰ ἱερὰ τοῖσ ἱεροῖσ A 14 πρὸσ N 17 ὅσ A τοὔπισθεν A ἀνεπήδησεν A ἀνεχώρησεν N 19 ἀνακρούοντεσ MA τ' ἀνακρούοντεσ NO καταβαλλόμενοι N 20 ἀντιόωντεσ A ἀναχωρήσουσιν A 21 ἀντὶ τοῦ om. A 22 in fine add. βέλοσ A 23. 24 scholio p. 317, l. 2 adi. A om. παραστάδας — νῦν et spatio uacuo III litterarum relicto 24 καὶ τοὺσ A ἑκατέρωθεν] ἑκατέρω τε A 25 ἐπὶ τῶν θυρῶν ἐξ ἥλου ego κρεμαστά ego κρεμαστοῦ A

1122 πασσάλων καθαρπάσας: καὶ ἐκ τῶν πασσάλων τῶν τῆς παραστάδος κρεμάμενα ὅπλα ἁρπάσας: — MNOA

1130 καὶ φυλάσσετ' ἐμβολάς: τὰς βολάς. ἢ τὰς ὁρμὰς τῶν βελῶν: — MNO

1132 ἀντὶ τοῦ ἤνυεν: — M[g]

1133 οἰστοί, μεσάγκυλ': εἴδη ἀκοντίων ἐν μέσῳ σπάρτῳ δεδεμένων ἣν κατέχοντες ἠφίεσαν. ἔστιν οὖν ἀντίθετον τῷ ἀμφώβολοι: — MNOA

ἔκλυτοί τ' ἀμφώβολοι: ὁ νοῦς· ἐρρίπτοντο δὲ πρὸ τῶν ποδῶν αὐτοῦ καὶ ⟨ἀμφώβολοι⟩ σφαγεῖς βουπόροι, ὅ ἐστιν· ὀβελίσκοι σφάττειν δυνάμενοι, ἑκατέρωθεν ὀξύτατοι. τὸ δὲ ἔκλυτοι ὡς πρὸς τὰ μεσάγκυλα: — MNOA

ἄλλως: ἔκλυτοι: εἴδη ἀκοντίων τριαινοειδῶν. οὕτω δὲ λέγεται ὡς πρὸς τὰ μεσάγκυλα ἃ δέδεται κατὰ μέσον σπάρτῳ: — MNOA

1134 σφαγῆς: ἀντὶ τοῦ διὰ σφαγῆς, ὥστε ἐμποιῆσαι σφαγήν: — MNOA

1135 πυρρίχας: ὀρχήσεις πολεμικὰς ἐνοπλίους: — MA

1139 τὸ Τρωικὸν πήδημα: ὁποῖον ἐν τῇ Τροίᾳ ἐπήδησεν ὁ Ἀχιλλεύς. οἱ γὰρ συντεταχότες τὰ Τρωικὰ λέγουσιν ὡς τόπος ἐστὶν ἐν Τροίᾳ καλούμενος Ἀχιλλέως πήδημα ὅπερ ἀπὸ τῆς νεὼς ἐπήδησεν. οὕτως δέ, φησί, βίᾳ ἥλατο ὡς καὶ ὕδωρ ἀναδοθῆναι: — MNOA

---

1. 2 τῶν πασσάλων τῶν τῆς παραστάδος Wil et ego τῆσ πασσαλωτώνησ [πασσαλητώνησ N πασσαλοτδνησ O] παραστάδοσ MNO τῆσ κρεμαστάδοσ τῶν πασσάλων A 2 κρεμαστὰ A ἀφαρπάσασ A 3 lemmate βέλεμνα πο (δ) ad us. 1136 relatum M 5 ἤνυσεν M[g] 6 σπάρτων A 7 ἀντίθετον ego ἐπίθετον A ἐπίθετα MNO 7. 8 τῷ ἀμφώβολοι ego τῶν ἀμφωβόλων A τῶν ἀμφοβόλων M τῶν ἀμφοβολῶν N τῶν ἀμφιβόλων O cf. schol. Orest. 1476 9—12 scholio 13. 14 adi. A add. δὲ post ὁ 9. 10 δὲ καὶ MNO om. A 10 ἀμφώβολοι addidi 11 ἔκκλυτοι MNOA τὸ A 13 οὕτω—λέγεται Cobet ὁ δὲ λέγεται A ὃ λε (γ) NO λέγει δὲ ὅτι οὐχ' M 14 πρὸς om. NO μέσην O τὸ μέσον A 15 ἀντὶ τοῦ σφαγαί MNO πρὸσ τὸ ποιῆσαι A ἐμποιεῖσθαι M 16 in fine add. πανταсφαγέεσ NO 19 συντεταχόντεσ N Τρωικὰ] συνικὰ N φασὶν NOA 20 τῇ τροίᾳ A ἀχιλέωσ MNO 21 φησιν A βίᾳ om. A ἥλλατο NOA cf. schol. Lycophr. 246 Pseudoiustin. or. ad Graec. p. 37b

1144 τὸ ἑξῆς· δύσφημος κραυγή: — A

1145 τὸ ἀντήχημα ἐποίει, ὅ ἐστιν· ἐν ταῖς πέτραις ἀντήχησεν: — $M^g$NOA

ἐν γαλήνῃ ἔστη: — $M^g$A

1147 πρὶν δή τις ἀδύτων: ἕως τὶς. κατὰ τὸ σιωπώμενον σεμνῶς τὸν θεὸν ᾐνίξατο: — MNO$A^g$

1151 Μαχαιρέα φασὶν αὐτὸν καλεῖσθαι: — M

1153 τίς οὐ πέτρον: τοῦτο ⟨παρὰ τὸ⟩ Ὁμηρικὸν [X 371] 'οὐδ' ἄρα οἵ τις ἀνουτητί γε παρέστη': — MNO

1160 τῷ τάφῳ τῆς γῆς: — M

1164 ἐμνημόνευσε δ', ὥσπερ ἄνθρωπος κακός, παλαιὰ νείκη: πρὸς αἰτιατικὴν τὸ ἐμνημόνευσεν ὡς [I 527] 'μέμνημαι τόδε ἔργον'. καὶ ὁ Ἡσίοδός φησι [opp. 420]· 'τῆμος ἄρ' ὑλοτομεῖν μεμνημένος ὥριον ἔργον' καὶ πολλαχοῦ εὑρήσεις παρὰ ποιηταῖς συντασσόμενον αἰτιατικῇ τὸ μέμνημαι: — MNOA

1172 εἰς ἓν μοίρας συνέκυρσας: συνῆλθες, τουτέστι· συνεδυστύχησας αὐτῷ: — MNOA

εἰς ἕν: εἰς ταὐτὸ τῆς κακομοιρίας ἔτυχες: — MNOA

ἄλλως: εἰς τὸ αὐτὸ τῆς κακομοιρίας καὶ δυστυχίας συνῆλθες, ἤτοι ἐπ' ἴσης τῷ Νεοπτολέμῳ τῆς κακομοιρίας πεπείρασαι: — A

1176 ὅτι τὴν χώραν πόλιν ὠνόμασεν: — $M^1$NO$A^g$

1180 ἀντὶ τοῦ ἀφορῶν: — $M^g$

βαλὼν τέρψομαι: ἀντὶ τοῦ· ὁρῶν τερφθήσομαι: — NO

1182 γράφεται ἥπαφε: — $A^g$

1184 οὗτός τ' ἂν ὡς ἐκ τῶνδ' ἐτιμᾶτ' ἄν, γέρον: μειζόνως ἂν ἐδοξάσθη ὡς ἐκ τοιούτων ἀνδρῶν ἀνῃρημένος ἐν παρατάξει σύ τε εὐτυχέστερον ἀπήλλαξας κερδαίνων τὴν εὔκλειαν τοῦ ἐκγόνου: — MNOA

---

2 τὸ — ἐστιν om. $M^g$A   ἐν om. $M^g$   in fine add. ἡ κλαγγή A   3 scholio 2 adi. A   5 ηὔξατο O   6 cf. schol. Orest. 1655   8 παρὰ τὸ addidi   ὅμηρος NO   9 οἵ—παρέστη om. N spatio uacuo rel.   12 initio add. ὅτι A   $\overset{\text{τκ}}{\text{προαιτιᾶ}}$ A   μέμνηται NOA   13—15 καὶ—μέμνημαι om. NOA   16. 17 συνεδυστύχησεν M συνδυστύχησεν NO   17 αὐτῷ om. M   18 scholio 16. 17 adi. MNO uerbis εἰς ἓν non pro lemmate distinctis   εἰς om. MNO   21 cf. e. g. Apollod. ap. Strab. 8 p. 356 Harpocr. p. 109, 1 schol. Aristoph. Pac. 251   23 ὁρῶν βαλὼν NO   25 μεῖζον A μείζονος N ut uidetur   26 ἐν τῶν A   ἐν om. A   σύ τε] ὥστε NO   27 κερδάνων N   τὴν — ἐκγόνου om. N   ἐγγόνου A

1188 ὦ παῖ: ὦ ἐμὸν τέκνον, μὴ ὤφελε τὸ δυσώνυμον γένος τῶν σῶν λεχέων, ὅ ἐστι τῆς Ἑρμιόνης, εἰς τέκνα καὶ δόμους ἀμφιβαλέσθαι Ἀίδαν ἐπὶ σοί, τουτέστιν παιδοποιίας χάριν ἀποκτεῖναί σε: — MNOA

τὸ ὑπερβατὸν οὕτως· ὦ τέκνον ἐμόν, μήποτε ὤφελε τὸ δυσώνυμον γένος Ἑρμιόνης ἀμφιβαλέσθαι κατὰ σοῦ Ἀίδην ἕνεκα λεχέων σου: — MNOA

ὁ πᾶς λόγος· μὴ ὤφελε τῶν σῶν γάμων χάριν τὸ δυστυχές μου ⟨γένος⟩ ἐπ' ἐλπίδι παιδοποιίας καὶ οἴκου καταστάσεως ἐνέγκασθαι καὶ ζεῦξαί σοι τὴν Ἑρμιόνην κατὰ σοῦ, ἀντὶ τοῦ ἐπὶ τῷ σῷ κακῷ, οἷον· εἴθε μὴ ἔγημας τὴν Ἑρμιόνην. ὁ γὰρ ταύτης γάμος αἴτιός σοι θανάτου γεγένηται. ἢ οὕτως ἐν ὑπερβατῷ· ὦ τέκνον ἐμόν, μήποτε ὤφελε τὸ δυσώνυμον γένος Ἑρμιόνης Ἀίδαν ἀμφιβαλέσθαι ἐπὶ σοὶ καὶ ἐπὶ τοὺς δόμους τῶν σῶν λεχέων καὶ ἐπὶ τὰ σὰ τέκνα, ὅ ἐστιν· εἴθε μή σοι ἐγαμήθη ἵνα δόμου σε καὶ τέκνων καὶ λεχέων ἀφέληται καὶ διὰ τοῦ θανάτου στερήσῃ: — MNOA

ἄλλως: εἴθε, φησί, τὸ ἐμὸν γένος μήποτε τῶν λεχέων τῆς Ἑρμιόνης ὤφελεν ἐπιδικάσασθαι ὡς τέκνα ἐξ αὐτῆς καὶ γένος δυσώνυμον εἰς τοὺς δόμους καταλιπεῖν, οἷον· μήποτέ σοι ὤφελεν γεγαμῆσθαι ἡ Ἑρμιόνη: — MNOA

1192 Ἀίδαν ἐπὶ σοὶ τέκνον: αὐτὴν τὴν Ἑρμιόνην. ἢ τὴν Ἑρμιόνην τὴν ἐπὶ σοὶ Ἀίδην γενομένην, ἐπειδὴ δι' αὐτὴν ἐπεβουλεύθη ὑπὸ Ὀρέστου: — MNA

---

1 ὤφελεσ A  2 τῶ τῆσ A  τέκνων NO  3 σοῦ A  4. 5 scholio 2. 3 adi. MA scholio 16—19 adi. NO et M ubi bis extant add. δὲ post τὸ $M^1$NO  4 ὦ—ἐμὸν om. $M^1$  ἐμὸν] ἐὰν NO  ὤφει$^{λ}$ M ὤφειλεσ $M^1$ ὤφελεσ A  5 γένος om. O  αἴδα O αἴδαν N  σου om. MA  in fine add. ἐπεὶ δι' αὐτὴν ἐπεβουλεύθη ὑπὸ ὀρέστου $M^1$  7—15 scholio 4. 5 adi. MA add. δὲ post ὁ  7 ὁ] ὅτι NO  πᾶσ ὁ O  ὤφελεσ A  γάμων M δόμων A λεχέων NO  τὸ] τί O  μου] μὴ A  8 γένοσ om. MNOA  9 ζεῦξαί] οὐκ ἔζευξαί O οὐκ ἐζεύξαί N  κατὰ ego καὶ MNOA  ἀντὶ τοῦ M ἀντὶ A ἄν τισ NO  ἐπὶ Wil ἐν MNOA  11 ὤφελεσ M ὤφειλε NOA  14 δόμου ego δόμουσ MNOA  σε Wil τε MNO om. A  τέκνα A  καὶ (tertium) om. NO  15 στερήσει A  17 ὤφειλεν OA  ἐπιδικᾶσθαι MN  18 καταλειπεῖν N καταλυπεῖν O  ὤφειλε MOA  δυσώνυμοσ ἡ A δυσώνυμοσ om. ἡ NO  19 in fine add. ἣ καὶ τὸν θάνατόν σοι προσεξένισεν A  20. 21 ἢ—Ἑρμιόνην om. M  21 σοὶ αἴδαν N αἴδη A  ἐπεὶ M  αὐτῆσ N  ἐπιβουλευθεὶσ A  22 τοῦ ὀρέστου N  in fine add. ἀνηρέθη ὁ νεοπτόλεμοσ A

1194 μηδ' ἐπὶ τοξοσύνᾳ φονίῳ: μηδὲ ὤφελεν ὁ Νεοπτόλεμος ἐπὶ τῇ φονίῳ τοξοσύνῃ τοῦ Ἀπόλλωνος πατρὸς αἷμα εἰς θεὸν ἀνάψαι ἄνθρωπος ὤν, ὅ ἐστιν· ὦ Νεοπτόλεμε ἐκ Διὸς κατάγων τὸ γένος, μὴ ὤφελες ἀναθεῖναι τὴν αἰτίαν τοῦ φόνου τοῦ σοῦ πατρὸς τῷ Ἀπόλλωνι ἵνα τὸ αἷμα καὶ ἐπὶ τοῦ γένους καὶ ἐπὶ τοῦ φόνου ἀκούηται: — MNOA

ἄλλως: μηδὲ ἐπὶ τῇ τοξείᾳ τοῦ Φοίβου τῇ φονικῇ τοῦ σοῦ πατρὸς Ἀχιλλέως. ὤφελ' ἀπὸ κοινοῦ: — A

1201 διάδοχα τάλας ἐγώ: κατὰ διαδοχὴν ὁ τάλας δακρύω. μετὰ γὰρ Ἀχιλλέα δακρύει Νεοπτόλεμον: — A

1210 ἐμῷ κάρα: οὕτως ἡ γραφή· οὐ γὰρ προσγραπτέον τὸ ῑ. ἔστι γὰρ ἐξ ἀποκοπῆς τοῦ κάρηνον, ὅπερ κατὰ πᾶσαν πτῶσιν ἀποκόπτεται, τὸ κάρηνον τὸ κάρα, τοῦ καρήνου τοῦ κάρα, τῷ καρήνῳ τῷ κάρα, τὸ κάρηνον τὸ κάρα, ὦ κάρηνον ὦ κάρα: — MNOA

1211 ὦ πόλις διπλῶν τέκνων μ' ἐστέρησεν: τὴν Ἴλιον οἰωνιζόμενος ἀνακαλεῖ, ἐπεὶ προιστάμενος αὐτῆς Ἀπόλλων Ἀχιλλέα καὶ Νεοπτόλεμον ἀνεῖλεν: — MNOA

1219 ἀμπτάμενα: τὸ ἑξῆς τοῦ νοῦ οὕτως· ἀμπτάμενα πάντα ἐπάρματι μετεώρῳ πόρρω φροῦδα κεῖται: — MNOA

κόμπῳ μεταρσίῳ: ἐπάρματι μετεώρῳ: — MNOA$^{g}$

ἄλλως: ἀνυψωθέντα τὰ περὶ ἐμὲ πρώην ἐν μεταρσίῳ δόξῃ, φροῦδα νῦν πάντα κεῖται: — A

φροῦδα πάντα κεῖται: λείπει τὸ ἐν τῷ παρελθόντι χρόνῳ. θέλει δὲ εἰπεῖν ὅτι τὰ μὲν τῆς εὐτυχίας παρῆλθεν, τὰ δὲ παρόντα βαρύνει: — MNOA

1228 καὶ Ὅμηρος [Π 365] 'αἰθέρος ἐκ δίης': — M

1229 διοδεύων: — M$^{g}$A$^{g}$

2 φονία N ἀνάξαι MNO 3 τὸ om. NO τὸ γένος om. MA ὤφειλεν M 4 ἀναθεῖναι post πατρὸς coll. A 5 τοῦ — ἐπὶ abscissa in M ἐπὶ om. A ἀκούεται NOA abscissum in M 7 ὤφελεσ A 8 δακρύει] δακρύειν A 10 προγραπτέον O προσγεγραμμένον A 12 τῷ — κάρα om. M κάρα] κάρω A 13 ὦ κάρηνον om. N 17. 18 scholio 22—24 adi. A 17 τοῦ νοῦ om. A οὕτωσ A ὅτι MNO πάντα M ἅπαντα τάδε NOA 18 ἐπάρματι Wil et Dindorf ἐφ' ἅρματι MNOA πόρρω om. A post φροῦδα add. ἤγουν ἀφανῆ καὶ πρόοδα A 19 scholio 17. 18 adi. MNO uerbis κόμπῳ μεταρσίῳ pro lemmate non distinctis ἐπ' ἅρματι A$^{g}$ ἐφ' ἅρματι M ἐφάρματι NO 20 δόξα A 22 λείπει τὸ om. A τὸ N τὰ MO χρόνω ex καιρῷ corr. O

1240 θάψον πορεύσας: ὅτι μὲν ἐν Δελφοῖς ὁ Νεοπτόλεμος τέθαπται, καὶ Φερεκύδης [frg. 98a] ἱστορεῖ· ὅτι δὲ νεκρὸς ἐλθὼν εἰς Φθίαν πάλιν εἰς Δελφοὺς ἐπέμφθη, διέψευσται: — MNOA

1242 φόνον βίαιον: ἵνα ὄνειδος τοῖς Δελφοῖς ἀπαγγέλλῃ ὁ τάφος τὸν φόνον τὸν βίαιον: — MNOA

1245 Ἑλένῳ συναλλαχθεῖσαν: ἀντὶ τοῦ· πρὸς γάμον συναφθεῖσαν. ἐν τῇ Τροίᾳ γὰρ αὐτομολήσας Ἕλενος πρὸς τὸν Νεοπτόλεμον συναπῆλθεν αὐτῷ εἰς τὴν Ἑλλάδα: — MNOA

εὐναίοις γάμοις: τοῖς νομίμοις. ἀπηνέχθη δὲ εἰς Ἑλλάδα Ἕλενος μετὰ τὴν Ἰλίου πόρθησιν: — MNOA

ἴσως ὡς μάντεως φανέντος * *: — MNOA

1247 ἀπὸ κοινοῦ τὸ Μολοσσίαν γῆν χρὴ κατοικῆσαι: — MNO

1248 Μολοσσίαν: ἔστι δὲ ἡ Μολοσσία χώρα ⟨τῆς Ἠπείρου⟩: — M[1]

1254 θεὰ γεγῶσα: ἐν τοῖς πολλοῖς τῶν ἀντιγράφων οὐ φέρεται ὁ ἴαμβος οὗτος: — MNOA[g]

1259 ξηρὸν ἐκ πόντου πόδα: προνοίας θείας ἐστὶ σημεῖον τὸ διὰ θαλάσσης ὁδεύοντα μὴ τέγγειν τοὺς πόδας: — MNOA

1262 Λευκὴν κατ' ἀκτὴν ἐντός: Λευκὴν νῆσον, ἐν ᾗ διέτριβεν ὁ Ἀχιλλεύς, μεταξὺ τοῦ Εὐξείνου πόντου· ὅθεν καὶ οἱ Ἀχίλλειοι δρόμοι. περὶ ὧν ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις [435] εἴρηται: — MNOA

1265 ἐλθὼν παλαιᾶς χοιράδος: χοιρὰς πᾶσα πέτρα ἐξέχουσα καὶ περικλυζομένη θαλάσσῃ. πέτραν οὖν φασί τινα σπήλαιον ἔχουσαν

---

1 lemma ex A φόνον βίαιον M ὅτι] ὁ A μὲν οὖν M ὁ om. A 2 δὲ om. A 3 δελφῶν A 4 lemma ex OA ἄλλως M ἀπαγγέλῃ τοῖς δελφοῖς M 5 τὸν βίαιον φόνον A βίον NO 7 εἰς A 8 συναπῆρεν NOA αὐτῆι M πρὸς M 11 scholio 6—8 adi. M scholio 9. 10 NOA add. δὲ MA in fine add. μὴ θανεῖν A cf. Seru. ad Aen. 2, 166. 3, 297 12 per lemmata διαπερᾶν μολοσσίαν [M] uel ἄλλον δι' ἄλλου [O] siue per signum [N] ad 1248 relatum MNO χρὴ om. NO 14. 15 τῆς Ἠπείρου in fine coll. Wil, ante ἔστι M[1] 16. 17 scholio 12 adi. NO sed in mg. habet εἰς τὸ θεὰ γεγῶσα O 16 ἐμπολλοῖς M οὐ φέρεται abscissa M οὐ] οὕτω A[g] 17 οὗτος om. A[g] 18 ἐστι θείας MNO σημεῖον — ὁδεύοντα] μεῖον — ὁ abscissa M 21 ὁ om. NO εὐξένου OA 23 χοιρὰς om. A 24 φησὶ N τινα] τὴν A post ἔχουσαν add. καὶ περικλυζομένη θαλάσσῃ A

ἐν ᾧ εἰώθει διατρίβειν ἐκ θαλάσσης ἀνιοῦσα ἡ Θέτις. Σηπιὰς δὲ τόπος περὶ τὸ σπήλαιον ὅπου τὴν Θέτιν ἥρπασεν ὁ Πηλεὺς εἰς σηπίαν μεταβληθεῖσαν: — MNOA

ἄλλως: τόπος ὅπου τὴν ἀρχὴν ὁ Πηλεὺς τὴν Θέτιν ἥρπασεν εἰς σηπίαν μεταβληθεῖσαν: — A

1268 τὸν ἀποκομιστήν σου, τὸν ἀποκομιοῦντά σε εἰς τὸν βυθὸν ἐπὶ τῷ συνοικεῖν μοι: — MNO

1273 ὦ δέσποινα: — M[g]

ὦ πότνι' ὦ γενναῖα: τὸ ἑξῆς· ὦ πότνια, Νηρέως γένεθλον, χαῖρε· ὥστε τὸ ὦ γενναῖα συγκοιμήματα κατὰ ἀναφώνησιν ἰδίαν ἐξενήνεκται, ὅ ἐστιν· ὦ εὐγενῆ συγκοιμήματα: — MNOA

1282 μηδ' εἰ ζαπλούτους οἴσεται φερνὰς δόμοις: τὰ λέκτρα δηλονότι. οἱ ἐξ εὐγενῶν γαμοῦντες οὔποτ' ἂν πράξειαν ἐκ θεῶν κακῶς: — MNO

1284 πολλαὶ μορφαὶ τῶν δαιμονίων: ταῦτα εἴωθεν ὁ ποιητὴς λέγειν διὰ τὰ ἐν τοῖς δράμασιν ἐκ παραδόξου συμβαίνοντα, ὡς καὶ ἐνταῦθα παράδοξον τὸ Ἑρμιόνην γαμηθῆναι Ὀρέστῃ καὶ εἰς Μολοσσοὺς ἀπελθεῖν Ἀνδρομάχην μέλλουσαν ἀποθανεῖν καὶ Νεοπτόλεμον πρότερον μὲν μὴ ἀποθανεῖν δίκας αἰτοῦντα τὸν θεόν, νῦν δὲ θυσίας ἐπιτελοῦντα ἐπὶ μετανοίᾳ ἐξιλεούμενόν τε τὸν θεὸν ἐπιβουλευθῆναι: — MNOA

---

1 ᾧ Abresch ἡ MNOA  διατρίβει O  τῆς θαλάσσης O  cf. schol. Apoll. Arg. 1, 582 = et. m. p. 711, 20  6 τὸν — σου om. M  τὸν ἀποκομιοῦντά σε ego τοὺς ἀποκομιοῦντάς σε M σύντασε NO  7 ἐπὶ ego ἐν MNO σοι O  9 γένεθλα NO  10 ὥστε ego εἶτα MNOA  τὸ ego τὰ NO ταῦτα A om. M  11 ὃ M καὶ NOA  ὦ om. M  γενναιὴ A  12. 13 τὰ — δηλονότι om. NO  13 οὔποτ' — κακῶς om. NO  19 δὲ] καὶ O  20 in fine add. καὶ φονεῦσαι ἐπὶ ἀγαθὰς ὁδοὺς ὡς καὶ αὐτὸς ἔφη ἥκοντα A

# ΥΠΟΘΕΣΙΣ ΡΗΣΟΥ

Ἕκτωρ τοῖς Ἕλλησιν ἐπικοιτῶν ἀκούσας αὐτοὺς δι' ὅλης ⟨νυκτὸς⟩ πυρὰ καίειν εὐλαβήθη μὴ φύγωσιν. ἐξοπλίζειν δὲ διεγνωκὼς τὰς δυνάμεις μετενόησεν, Αἰνείου συμβουλεύσαντος ἡσυχάζειν, κατάσκοπον δὲ πέμψαντα δι' ἐκείνου τὴν ἀλήθειαν ἱστορῆσαι. Δόλωνος δὲ πρὸς τὴν χρείαν ὑπακούσαντος ἐκπέμπεσθαι * * τόπον εἰς τὴν παρεμβολὴν ἀφώρισεν αὐτῷ. ἐπιφανέντες δὲ οἱ περὶ τὸν Ὀδυσσέα, Δόλωνα μὲν ἀνῃρηκότες, ἐπὶ δὲ τὴν Ἕκτορος κατηντηκότες σκηνὴν πάλιν ὑπέστρεφον, οὐχ εὑρόντες τὸν στρατηγόν. οὓς Ἀθηνᾶ ἐπιφανεῖσα κατέσχεν καὶ τὸν μὲν Ἕκτορα ἐκέλευσε μὴ ζητεῖν, Ῥῆσον δὲ ἀναιρεῖν ἐπέταξεν· τὸν γὰρ ἐκ τούτου κίνδυνον μείζονα ἔσεσθαι τοῖς Ἕλλησιν, ἐὰν βιώσῃ. τούτοις δὲ ἐπιφανεὶς Ἀλέξανδρος ἐπίστασθαί ⟨φησι⟩ πολεμίων παρουσίαν, ἐξαπατηθεὶς δὲ ὑπὸ Ἀθηνᾶς ὡς δῆθεν ὑπὸ Ἀφροδίτης ἄπρακτος ὑπέστρεψεν. οἱ δὲ περὶ Διομήδην φονεύσαντες Ῥῆσον ἐχωρίσθησαν. καὶ ἡ συμφορὰ τῶν ἀνῃρημένων καθ' ὅλον ἦλθε τὸ στράτευμα. παραγενομένου δὲ Ἕκτορος ἵνα αὐτὸς πυνθάνηται τῶν πεπραγμένων, τετρωμένος ὁ τοῦ Ῥήσου ἐπιμελητὴς δι' αὐτοῦ φησιν Ἕκτορος τὸν φόνον γεγενῆσθαι. τοῦ δὲ Ἕκτορος

---

1 Argumentorum ordinem codicis A secutus sum, p. 325, 4—10. p. 323, 1 — p. 324, 6. p. 325, 11. 12. p. 324, 7—p. 325, 3 H p. 325, 4—12. p. 324, 7—p. 325, 3 C 2 δι' ὅλης νυκτὸς ego δι ελλησ H om. A δεῖλης Nauck πυρὰ Nauck πυρὰν H πῦρ A 5. 6 Δόλωνος — ὑπακούσαντος ego δόλωνα — ὑπακούσαντα AH 6 lacunam indicauit Morstadt τόπον om. H 8 κατηντηκότες σκηνὴν H κοίτην spatium IX litterarum uacuum rel. A ὑπέστρεφον ego ἀπέστρεφον AH 9 κατέσχεν ἐπιφανεῖσα H 11 post τούτου spatium III litterarum uacuum rel. A ἔσεσθαι μείζονα H τούτων A 12 ἐπίστασθαί φησι Wil ἐπίστασθαι H ἐπι spatium VI litterarum uacuum rel. A πολεμίων Kirchhoff πολέμου AH πολεμίου Nauck ἐξηπατηθεὶς H 14 ἀνεχώρησαν Nauck 16 πυνθάνηται ego περιγίνηται A περιγένηται H 17 φησιν Kirchhoff φασιν H om. A spatio uacuo relicto τὸν om. A

ἀπολογουμένου, τὴν ἀλήθειαν αὐτοῖς ἐμήνυσεν ἡ τοῦ Ῥήσου μήτηρ ἡ ⟨Τερψιχόρη⟩ Μοῦσα νεκρὸν κομίζουσα τὸ σῶμα. κατοδυρομένη δὲ καὶ τὸν ἐπιπλακέντα αὐτῇ Στρυμόνα διὰ τὸ τοῦ παιδὸς πένθος καὶ τὸν ἐξ ἐκείνου γεγενημένον Ῥῆσον, οὐδ' Ἀχιλλεῖ φησιν ἀδάκρυτον ἔσεσθαι τὴν στρατείαν, τῷ κοινῷ τῶν ἐπιφανῶν θανάτῳ τὴν ἰδίαν παραμυθουμένη λύπην: — ΑΗ

τοῦτο τὸ δρᾶμα ἔνιοι νόθον ὑπενόησαν, Εὐριπίδου δὲ μὴ εἶναι· τὸν γὰρ Σοφόκλειον μᾶλλον ὑποφαίνειν χαρακτῆρα. ἐν μέντοι ταῖς Διδασκαλίαις ὡς γνήσιον ἀναγέγραπται. καὶ ἡ περὶ τὰ μετάρσια δὲ ἐν αὐτῷ πολυπραγμοσύνη τὸν Εὐριπίδην ὁμολογεῖ. πρόλογοι δὲ διττοὶ φέρονται. ὁ γοῦν Δικαίαρχος ἐκτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου γράφει κατὰ λέξιν οὕτως· * * 'νῦν εὐσέληνον φέγγος ἡ διφρήλατος' καὶ ⟨τ. ἑ.⟩ καὶ ἐν ἐνίοις δὲ τῶν ἀντιγράφων ἕτερός τις φέρεται πρόλογος, πεζὸς πάνυ καὶ οὐ πρέπων Εὐριπίδῃ· καὶ τάχα ἄν τινες τῶν ὑποκριτῶν διεσκευακότες εἶεν αὐτόν. ἔχει δὲ οὕτως·

ὦ τοῦ μεγίστου Ζηνὸς ἄλκιμον τέκος,
Παλλάς, τί δρῶμεν; οὐκ ἐχρῆν ἡμᾶς ἔτι
μέλλειν Ἀχαιῶν ὠφελεῖν στρατεύματι.
νῦν γὰρ κακῶς πράσσουσιν ἐν μάχῃ δορός,
λόγχῃ βιαίως Ἕκτορος στροβούμενοι.
ἐμοὶ γὰρ οὐδέν ἐστιν ἄλγιον βάρος,
ἐξ οὗ γ' ἔκρινε Κύπριν Ἀλέξανδρος θεὰν
κάλλει προήκειν τῆς ἐμῆς εὐμορφίας

---

2 Τερψιχόρη addidi, spatium V litterarum rel. A sine spatio om. H  κομίζειν A  κἀποδυρομένη A  4 φασὶν AH  4. 5 τὴν στρατείαν om. A  5 τῶν ἐπι om. spatio uacuo rel. A  παραμυθουμένην A  7 εὐριπίδου δὲ μὴ εἶναι A ὡς οὐκ ὂν εὐριπίδου HC  τὸ A  8 μᾶλ om. A spatio uacuo relicto  ὑποφαίνειν Valckenaer ὑποφαίνει AHC  9 μετα spatium σια A  10 post δὲ add. ἐν αὐτῷ A  11 Δικαίαρχος Nauck δικαίαν AC om. H  ἐπιτιθεὶς HC  12 lacunam indicaui, suppleas e. g. τοῦ ἑτέρου προλόγου ἡ ἀρχὴ ἔχει οὕτως  τ. ἑ. add. Wil  13 φαίνεται A  14 ἄν τινες C ἀντὶ H ἂν A  ὑποκρ τῶν A (sic)  16 τέκος om. A spatio uacuo rel.  17 τί δρῶμεν Morstadt παριῶμεν AC παρῶμεν παρῶμεν H  18 στρατεύματα C στράτευμα A  19 μαχῇ C μακρῇ AH  20 βιαίως GHermann βιαίας HC βιαία A  21 οὐκ ἔνεστι A  ἀλγίβαρος H βάρβαρος A  22 ἐξ οὗ γ' C ἐξ ὧτ' H ἐξ ὅτ' A  ἔκρινα C  ἀλεξάνδρου HC ἀλέξαι A  23 προήκειν Valckenaer προσήκειν AHC

καὶ σῆς, Ἀθάνα, φιλτάτης ἐμοὶ θεῶν,
εἰ μὴ κατασκαφεῖσαν ὄψομαι πόλιν
Πριάμου, βίᾳ πρόρριζον ἐκτετριμμένην: — AHC

Ἀριστοφάνους: Ῥῆσος παῖς μὲν ἦν Στρυμόνος τοῦ ποταμοῦ καὶ Τερψιχόρης Μουσῶν μιᾶς, Θρᾳκῶν δὲ ἡγούμενος εἰς Ἴλιον παραγίνεται νυκτὸς στρατευομένων τῶν Τρώων παρὰ ταῖς ναυσὶ τῶν Ἑλλήνων. τοῦτον Ὀδυσσεὺς καὶ Διομήδης κατάσκοποι ὄντες ἀναιροῦσιν, Ἀθηνᾶς αὐτοῖς ὑποθεμένης· μέγαν γὰρ ἔσεσθαι τοῖς Ἕλλησιν κίνδυνον ἐκ τούτου. Τερψιχόρη δὲ ἐπιφανεῖσα τὸ τοῦ παιδὸς σῶμα ἀνείλετο. ὡς ἐν παρόδῳ δὲ διαλαμβάνει καὶ περὶ τοῦ φόνου τοῦ Δόλωνος.

ἡ σκηνὴ τοῦ δράματος ἐν Τροίᾳ. ὁ χορὸς συνέστηκεν ἐκ φυλάκων Τρωικῶν οἳ καὶ προλογίζουσι. περιέχει δὲ τὴν νυκτεγερσίαν: — AHC

1 Ἀθάνα Valckenaer ἀθηνᾶ AHC φίλτατ' HC φῶλατ' A 3 βίᾳ om. A 4 ἀριστοφάνουσ ὑπόθεσισ A ὑπώθεσισ ῥήσου H om C παῖς post μιᾶς coll. A καὶ om. H 6 τῶν (prius) om. AH 7 κατάσκοποι ὄντεσ AH κατάσκοπον ὄντεσ C κατασκοπεύοντες Nauck αὐτοῖς om. C 8 μέγαν γὰρ ἔσεσθαι κίνδυνον A μέγαν δὲ ἔσεσθαι τοῖσ ἕλλησιν κίνδυνον H μέγασ γὰρ ἔμελλεν ἔσεσθαι τοῖσ ἕλλησι κίνδυνοσ C 9. 10 ὡς—Δόλωνος om. AH

# ΣΧΟΛΙΑ ΕΙΣ ΡΗΣΟΝ

1 βᾶθι πρὸς εὐνάς: βᾶθι ἀντὶ τοῦ βῶμεν: —

βᾶθι πρὸς εὐνάς: ὡς πλησίον γενόμενοι τῶν κοιτῶν τοῦτό φασιν: —

2 τίς ὑπασπιστῶν: ὁ ὑπασπιστὴς ἴδιον ὄνομα, ⟨ὁ⟩ σύνεγγυς παρασπίζων τοῦ βασιλέως· ὁ γὰρ τευχοφόρος κοινὸν παντὸς ὁπλίτου: —

5 οἳ τετράμοιρον: ὅτι οἱ ἀρχαῖοι εἰς τρεῖς φυλακὰς νέμουσι τὴν νύκτα. Ὅμηρος [δὲ] 'ἀλλ' ὅτε δὴ τρίχα νυκτὸς ἔην, μετὰ δ' ἄστρα βεβήκει [ξ 483]'. Στησίχορος [frg. 55] δὲ καὶ Σιμωνίδης [frg. 219a] πενταφύλακόν φασιν [ὑποτίθεσθαι τὴν νύκτα]. διαπορήσει δέ τις ὅπως * * οἳ τετράμοιρον νυκτὸς φυλακήν. πρὸς ὃ ῥητέον ὅτι οὐκ ἐν τῷ καθόλου φησὶ τετραφύλακον, ἀλλὰ τὴν ἐν τῷ παρόντι φυλακήν, ὡσανεὶ πρώτην ἢ δευτέραν. ὁ δὲ Κράτης δείκνυσιν ὅτι κατὰ τὸν Εὐριπίδην πενταφύλακον * * ἐκτιθεὶς τὰ ὑπ' αὐτοῦ εἰρημένα [538] τίς ἐκηρύχθη πρώτην φυλακὴν καὶ τὰ ἑξῆς. πρώτους γὰρ τοὺς περὶ Κόροιβόν φησι φυλάττειν, δευτέρους δὲ Παίονας, τρίτους δὲ Κίλικας, οὓς καὶ Μυσούς φησιν, ὁμοεθνεῖς νομίζων. παραγειτνιᾷ γὰρ ὁ Ἀδρα-

GLOSSAE CODICIS A 1 οἱ φύλακες ἐν χοροῦ σχήματι παρακελεύονται ἑαυτοῖς 4 λείπει τὸ παρ' ἡμῶν

NOTAE CODICIS C 2 ὑπασπιστὴς ἰδίως ὁ παρασπίζων τῷ βασιλεῖ, τευχοφόρος δὲ κοινὸν παντὸς ὁπλίτου

---

2 γενομένων A 6 κοινὸν ego κοινὸς A 8 δὲ del. Kampmann 9 Στησίχορος — Σιμωνίδης ego στησί (suprascr. χρ) δὲ ὁ σιμωνίδης A 10 φησὶν A ὑποτίθεσθαι — νύκτα hoc loco deleui 11 lacunam indicauit Cobet 14 lacunam indicaui, scripserim δείκνυσιν καὶ τὸν Εὐριπίδην πενταφύλακον ⟨ὑποτίθεσθαι τὴν νύκτα⟩ ἐκτιθεὶς ego (siue ἐν ᾧ ἐκτίθησι) ἐκτίθησι A 16 κόρυβον φασὶ A 17 φασὶν A 19 ἑαυτοὺς A8 21 κοινὸν ego κοινὸς ἦν C

μυττηνὸς κόλπος τοῖς Μυσοῖς. παρὰ δὲ Μυσῶν αὐτοὺς τοὺς Τρῶας παραλαβεῖν, πέμπτοις δὲ τοῖς Λυκίοις φησὶν ἐπιβάλλειν τὴν φυλακήν, ὥστε οἱ τὴν τετάρτην μοῖραν φρουροῦντες ἐν ἀρχῇ φασιν οἳ τετράμοιρον νυκτὸς φυλακήν. ὁ δὲ Κράτης εὐχερῶς, [δείκνυσι] τοὺς Μυσοὺς τοὺς αὐτοὺς τοῖς Κίλιξι φάσκων εἶναι. κεχωρισμένοι γὰρ ἀλλήλων εἰσίν, ὡς καὶ Ὅμηρός φησι [N 5]· 'Μυσῶν τ' ἀγχεμάχων καὶ ἀγαυῶν Ἱππημολγῶν.' ἡ μὲν γὰρ Κιλικία ἐν τοῖς ἔμπροσθεν μέρεσι τῆς Τροίας κεῖται, ὁ δὲ Ζεὺς ἀπεστραμμένος ὁρᾷ Μυσούς. [οἱ γὰρ τραγικοὶ Κίλικας οὐκ ἴσασι τούτους, ἀλλὰ τοὺς ἐν Ταύρῳ ᾠκηκότας.] πῶς δὲ τῶν δύο ἐθνῶν μία ἦν ἡ φυλακή; ἄμεινον οὖν τὸ νοεῖν ὅτι Παιόνων ὁ Κόροιβος ἦρχεν, οἵτινες τὴν πρώτην φυλακὴν ἔσχον καὶ παραδεδώκασι τὴν δευτέραν τοῖς Κίλιξιν· ἐξ ὧν ⟨δ'⟩ ἐπιφέρουσιν οἱ Τρῶες Μυσοὶ δὲ ἡμᾶς δῆλον ὅτι οἱ Μυσοὶ τὴν τρίτην φυλακὴν εἶχον, μεθ' οὓς οἱ Τρῶες τὴν τετάρτην. διό φασιν οἳ τετράμοιρον νυκτὸς φυλακήν, οἵτινες τοὺς Λυκίους ⟨τὴν⟩ πέμπτην ἐγείρουσιν: —

ἄλλως: τετράμοιρον: τὴν τετάρτην μοῖραν τῶν φυλακῶν οἱ Τρῶες εἶχον. ὁ δὲ πᾶς λόγος τοιοῦτός ἐστι· δεξάσθωσαν παρ' ἡμῶν, φησί, τὴν νέαν καὶ πρόσφατον κληδόνα, οἵτινες φυλάσσοντες τὴν τετάρτην φυλακὴν προκαθήμεθα: —

8 λῦσον βλεφάρων: ἀντὶ τοῦ· διυπνίσθητι. γοργωπὸν δὲ τὴν φοβερὰν καὶ καταπληκτικήν: —

29 ἢ τὸν Εὐρώπας: παρ' Ὅμηρον ἱστορεῖ Εὐρώπης εἶναι τὸν Σαρπηδόνα. ὁ δὲ Ἡσίοδος [frg. 55] Εὐρώπης μέν φησιν αὐτὸν * * ὡς Ἑλλάνικος. εἰσὶ δὲ οἳ Λυκάστου καὶ Ἴδης τῆς Κορύβαντος

GLOSSAE CODICIS A 7 παρὰ τὸ Ὁμηρικόν [K 80] 'ὀρθωθεὶς δ' ἄρ' ἐπ' ἀγκῶνος κεφαλὴν ἐπαείρας' 9 τὰς ἐκ φύλλων ἐστρωμένας

NOTAE CODICIS C 8 γράφεται ὄρθου κεφαλὴν πῆχυν ἐρείσας

---

1 τοῖς Μυσοῖς Vater τοὺσ μυσοὺσ A 2 πέμπων A φησὶν ἐπιβάλλειν Cobet φασὶ παραβάλλειν A 3 φησὶν A 4 οὕτως ὁ Κράτης Wil δείκνυσι del. Wil 7 ἀγαβῶν A 8. 9 οἱ—ᾠκηκότας del. Barthold 9 Κίλικας Vater κιλικίας A 9. 10 δὲ τῶν ego ..τ.. A οὖν τῶν Cobet 12 δ' addidi 14 φασιν Cobet φησιν A 15 τοὺς Λυκίους Cobet τοῖς λυκίοισ A τὴν πέμπτην ego cl. 543 πέμπτους Cobet 19 φυλακ ... A nescio an plura quam ην exciderint 22 Ὅμηρον ἱστορεῖ ego ὁμήρω πρὸσ ὅρεσιν [εσιν compendio suprascripto] A 23. 24 cf. Ariston. ad Z 199 schol. M 292 T Apoll. 3, 1, 1, 3 24 lacunam indicaui 25 παρὰ τὸ Ὁμηρικὸν ego παρ' ὁμήρω A 27 ὤρθου C

γενεαλογοῦσι μετὰ καὶ Μίνωος καὶ Ῥαδαμάνθυος καθάπερ Σωκράτης ἐν τοῖς Ἀργολικοῖς [frg. 3a]. ἔχει δὲ ὁ λόγος τὸ ἕτερον εἶναι Σαρπηδόνα τὸν ἐπὶ τὴν Ἴλιον στρατεύσαντα καὶ ἄλλον τινὰ Θρᾶκα, ἀφ' οὗ Σαρπηδονίαν πέτραν φασὶν ὠνομάσθαι. διττὰς δὲ τὰς Εὐρώπας ἀναγράφουσιν ἔνιοι· μίαν μὲν Ὠκεανίδα ἀφ' ἧς καὶ τὸ ἓν μέρος τῆς οἰκουμένης κληθῆναι, καθάπερ Ἀπίων ἐν τῷ * Περὶ ἐπωνύμων καὶ Ἀριστοκλῆς ἐν τῷ πρώτῳ τῆς Θεογονίας, ἑτέραν δὲ Φοίνικος τοῦ Ἀγήνορος, ὡς καὶ Εὐριπίδης καὶ ἄλλοι ἱστοροῦσιν, ἧς τοὺς περὶ τὸν Μίνω γενέσθαι φασίν. ἔνιοι δὲ [εἰσιν οἳ καὶ] παρὰ τὴν αὐτὴν ὠνομάσθαι τὴν ἤπειρον, καθάπερ καὶ Καλλίμαχος [frg. 558], Ζηνόδοτος δὲ ἐξ αὐτοῦ. εἰσὶ δὲ οἳ καὶ τρίτην ἀναγράψαντες * *, καθάπερ Ἡγήσιππος ἐν τοῖς Παλληνιακοῖς [frg. 6] γράφων οὕτως· 'Κάδμος σὺν τῇ μητρὶ τῆς Εὐρώπης Τηλεφάῃ ἀπῄει περὶ ἀθήνας. καὶ ἐπυνθάνετο Εὐρώπην ἄρχειν ἐν τῇ Θρᾴκῃ καὶ οὕτως ἀφίκετο εἰς τὴν κατ' ἀντιπέραν ἤπειρον. καὶ ἦρχεν ἐν τῇ χώρᾳ ταύτῃ πάντων Εὐρώπη [τοῦ ἀνδρὸς ἀπολειφθεῖσα], οὐχ ἡ Φοίνικος, ἀλλ' ἐπιχωρία τις γυνὴ ⟨τοῦ ἀνδρὸς ἀπολειφθεῖσα⟩, ἀφ' ἧς καὶ ἡ ἤπειρος ἅπασα ἡ πρὸς Βορέαν ἄνεμον Εὐρώπη κέκληται' : —

36 ἀλλ' ἡ Κρονίου Πανός: τὸν ⟨Πᾶ⟩να οἱ μὲν Πηνελόπης

NOTAE CODICIS C 33 τὰ κερουλκά, τὰ ὑπὸ κεράτων δεδεμένα 36 τοὺς αἰφνιδίους φόβους ἀνῆψαν τῷ Πανὶ σφοδροὺς ὄντας καὶ ἐκπληκτικούς. γίνονται δὲ ἐν τοῖς ὄρεσιν, ἐν οἷς πολλῶν φωνῶν φερομένων διὰ τὰς ἐν αὐτοῖς κοιλότητας πτοοῦνται οἱ ἀκροώμενοι μὴ ὁρῶντες τοὺς φωνοῦντας

---

δν'

1. 2 cf. Diod. 4, 60, 3 2 ἔχει δὲ λόγον Wil 4 σαρπη A cf. schol. Ap. Arg. 1, 216 5 ἧς Vater οὗ A 6 τῷ * ego τοῖς A 6. 7 Ἀριστοκλῆς VRose ἀριστοτέλης A 7 τοῦ ego καὶ A 8 ἧς τοὺς Vater καὶ τοῦ A 9 εἰσιν — καὶ eieci 11 post ἀναγράψαντες spatium III litterarum uacuum rel. et signum lacunae in mg. add. A, suppleuerim ἱστοροῦσιν 13 Τηλεφάῃ Dindorf τηλεφάνη A ἀπῄει ego ἐπίει A ἐπῄει Vater περὶ ἀθήνας A ἐπὶ Θήρας ego πρὸς Ἄθω Wil, sed dubitans ἄρχειν ego ἐχ compendio quod superscriptum erat oblitterato A 15 τοῦ ἀνδρὸς ἀπολειφθεῖσα transposui οὐχ ἡ] οὐχὶ A 18 — p. 329, 8 cf. Münzel quaestt. mythogr. p. 10sq. schol. Theocr. 1, 3 τὸν δὲ Πᾶνα οἱ μέν φασιν υἱὸν Πηνελόπης καὶ πάντων τῶν μνηστήρων καὶ διὰ τοῦτο λέγεσθαι καὶ Πᾶνα· Ἐπιμενίδης δὲ ἐν τοῖς ποιήμασιν αὐτοῦ Διὸς καὶ Καλλιστοῦς Πᾶνα καὶ Ἀρκάδα διδύμους· Ἀρίστιππος δὲ ἐν τῷ * Ἀρκαδικῶν [frg. 2] Διὸς

φασὶ * * [Καλλιστοῦς καὶ Διὸς παῖδας γενομένους * * ἀφ' ἧς ὄρος Κυλλήνης] ἄλλοι δὲ Ἀπόλλωνος καὶ Πηνελόπης * * ὡς καὶ Εὐφορίων [frg. 164] * * ὃν ἔθρεψαν νύμφαι· διὸ καὶ νυμφαγενῆ αὐτόν φησι, τραφέντα παρ' ἐκείναις. Ἄραιθος δὲ ὁ Τεγεάτης [frg. 5] Αἰθέρος αὐτὸν καὶ νύμφης Οἰνόης γενεαλογεῖ. ἔνιοι δὲ Ὀρσινόης νύμφης καὶ Ἑρμοῦ. Ἐπιμενίδης [frg. 12] δὲ Καλλιστοῦς καὶ Διὸς παῖδας γεγενῆσθαι Πᾶνα καὶ Ἀρκάδα διδύμους * * Μνασέας [frg. 7] δὲ ξενικώτερον ἀφηγεῖται τὰ περὶ Πᾶνα * * ἢ ὅτι Κρόνου παῖς ἢ ὅτι παλαιός ἐστιν Αἰθέρος γενεαλογούμενος. Κρόνους δὲ καὶ Κρονίους τοὺς πάνυ ἀρχαίους ἔλεγον. ἢ παππωνυμικὸν ὅτι Διός, ὡς τὸν Ἀχιλλέα Αἰακίδην. Αἰσχύλος [frg. 35] δὲ δύο Πᾶνας, τὸν μὲν Διὸς [ὃν καὶ δίδυμον], τὸν δὲ Κρόνου.

[παρὰ δὲ] τὴν αἰφνιδίων φόβων ταραχὴν ἀνῆψαν Πανὶ διὰ τοὺς ἤχους τοὺς ἐν τοῖς ὄρεσι γενομένους, ἔνθα ὁ Πὰν ἅμα ταῖς Νύμφαις συρίζει, ὡς καὶ Ὀδυσσεύς [ζ 122]· 'ὥς τέ με κουράων ἀμφήλυθε θῆλυς ἀυτὴ Νυμφάων, αἳ ἔχουσ' ὀρέων αἰπεινὰ κάρηνα': —

ἄλλως: [περὶ] τῶν Πανικῶν λεγομένων κινημάτων Ἀπολλόδωρος τὴν αἰτίαν ἐκτίθησι ταύτην· 'τὰ ὄρη καὶ αἱ νάπαι καὶ πάντα τὰ ὕπαντρα τῶν ὀρῶν ἐστιν ἠχώδη. ποικίλων ⟨οὖν⟩ καὶ παντοδαπῶν φωνῶν ἐν τοῖς

---

καὶ νύμφης Οἰνηΐδος .. Seru. ad Verg. Georg. 1, 16 *Pana Pindarus* [frg. 100] *ex Apolline et Penelopa in Lycaeo monte editum scribit qui a Lycaone rege Arcadiae Lycaeus mons dictus. alii ex Mercurio et Penelopa natum ⟨Nympharum⟩ comitem feras solitum e cubilibus excitare et ideo capripedem figuratum quo facilius densitatem posset cursu euadere. alii eum ex Aethere et Oenone* ... comm. Lucan. 3, 402 *Pindarus et ceteri dicunt Apollinis et Penelopae filium, alii Mercurii et eiusdem. hunc natum montanis Nymphis a patre nutriendum traditum perhibent, unde hylicus deus factus. Euphorion Vlixis filium manifestat* 1. 2 Καλλιστοῦς—Κυλλήνης pro dittographia lin. 6 eiecit et lacunam indicauit Münzel, suppleas e. g. υἱὸν καὶ πάντων τῶν μνηστήρων ὅθεν καὶ λέγεσθαι Πᾶνα cf. Tzetz. ad Lycophr. p. 777 1 Διὸς Münzel δύο A 2. 3 lacunas indicaui Münzelium secutus, suppleuerim οἱ δὲ Ὀδυσσέως καὶ Πηνελόπης et ὁ δεῖνα [nomen poetae] δὲ Ἑρμοῦ καὶ Πηνελόπης cf. Paus. 8, 30, 3 3 νυμφαγενῆ] γενῆ compendio certo et in uoce μονογενής usitatissimo scriptum φασὶ A 4 Ἄραιθος Robert ἀρῆθος A 7 ἀρκάδω A lacunam indicaui, suppleas e. g. τὴν δὲ Καλλιστὼ θυγατέρα εἶναι Λυκάονος καὶ νύμφης Κυλλήνης, ἀφ' ἧς τὸ ὄρος cl. Apollod. 3, 8, 2, 2 Cataster. 1 schol. Orest. 1646 c. adnot. 7. 8 cf. schol. Theocr. 1, 64 11 cf. schol. Theocr. 4, 63 Ioann. Lyd. de mens. 4, 74 ὃν—δίδυμον eieci 12. 13 cf. schol. Med. 1172 12 παρὰ δὲ deleui φόβον A 16 περὶ deleui 18 οὖν addidi

ὄρεσι γινομένων ὑπό τε κυνηγῶν καὶ ζῴων ἡμέρων τε καὶ ἀγρίων ἦχοι ⟨ἐκμι⟩μητικοὶ γίνονται τούτων. ὅθεν πολλάκις τινὲς τὰ μὲν σώματα τῶν φωνούντων οὐχ ὁρῶντες, αὐτὴν δὲ μόνην τὴν προσπίπτουσαν φωνὴν ⟨ἀκροώμενοι⟩ φασι Πᾶνα σὺν ταῖς Νύμφαις ἐν τοῖς ἄντροις μετ' αὐλῶν καὶ συρίγγων φωνεῖν: —

41 τὸ χ̄ ὅτι συνθέτως ἀναγινώσκεται καὶ ὅτι οὐκ ἔστιν Εὐριπίδειος ὁ στίχος: — mg. int.

43 διιπετῆ δὲ νεῶν: τὰ δὲ ναύσταθμα ὡς διιπετῆ ἐστι τοῖς πυρσοῖς· ὃ δὲ λέγει, τοιοῦτόν ἐστιν· αἱ τῶν νεῶν ἐπαύλεις συνεχεῖς ταῖς λαμπάσιν ὥσπερ ⟨ὁ⟩ ἐκ Διὸς συνεχὴς ὄμβρος: —

55 σαίνει μ' ἔννυχος: εὐθυμεῖν με ποιεῖ ἡ τῶν Ἑλλήνων φρυκτωρία. φρυκτωρία δὲ ἡ λαμπὰς ἢ λαμπαδηφορία καὶ δᾳδουχία: —

68 θυοσκόων: τῶν μάντεων τῶν ἐκ τῶν θυμάτων τὸ μέλλον σκοπούντων: —

84 ἁπλοῦς: τὸ ἑξῆς· ἁπλοῦς μῦθος ἐπ' ἐχθροῖς ὁπλίζειν χέρα: —

105 εἴθ' ἦσθ' ἀνὴρ εὔβουλος: ἔμπαλιν ὁ Σοφοκλῆς [frg. 810] φησιν· 'εἴθ' ἦσθα σώφρων ἔργα τοῖς λόγοις ἴσα': —

109 ἐξήρθης: ἀνεπτερώθης ἠγέρθης. τὸ ἑξῆς· ὅστις πυρὸς

GLOSSAE CODICIS A 40 καθαρῶς 46 νέαν ἐμφαίνοντες γνώμην 48 ὁ διὰ τῶν νεῶν πορευθεὶς στόλος 52 ἀκολούθως καὶ εὐκαίρως ἦλθες, εἰ καὶ φόβον ἀγγέλλεις 53 πλοίῳ 54 ἀποδημεῖν 57 λείπει τὸ ὡς 58 ὁμοῦ ἄρδην 59 δύντες ἐπέσχον 64 ὁρμῇ φορᾷ 69 τὰς συμβουλίας καὶ μαντείας ἐν νυκτὶ ὁ φεύγων μέγα ἰσχύει 73 τρωθείς τὰς εἰς τὰς ναῦς ἀναγούσας σανίδας 74 ἐκ τοῦ λήζω ληφθέντες 75 γεωργεῖν 77 σαφῶς ἀσφαλῶς 79 φοβερὸν, ὃ οὐκ ἄν τις θαρσήσειε 82 ἐν φυγῇ 84 σύντομος 87 τί πρᾶγμα, διὰ τί 92 κατὰ τὴν νύκτα

---

2 ἐκμιμητικοὶ ego .... μητικοὶ A fuit cum primam litteram α esse crederem, certe δὲ non agnoui 4 ἀκροώμενοι addidi ἄντροις Vater ἀγροῖς A
6 εὐριπ^δ A 9 συνεχεῖς ego συνεχῶς A 10 ὁ addidi 11. 12 cf. Hesych. Suid. Zon. p. 1825 lex. Bachm. p. 409, 30 et. m. p. 801, 28 13 cf. Hesych. s. u. θυοσκόος θυοσκόποι Phot. s. u. θυοσκόπος θυοσκόποι Suid. s. u. θυοσκόπος lex. Bachm. p. 258, 24 Apoll. soph. p. 88, 33 et. m. p. 457, 42 Gud. p. 266, 30 Zon. p. 1060 Eust p. 1601, 3. 1905, 22 16 Σοφοκλῆς Cobet σοφὸς A

λαμπτῆρας κλύων ἐξήρθης Ἀχαιοὺς φεύγειν καὶ ἐξῆλθες ἐπὶ τὸ στρατεῦσαι: —

177 ἀποινᾶσθαι θέλεις: ἄποινα λέγεται τὰ λύτρα. Ὅμηρος [Λ 106]· 'ἔλυσεν ἀποίνων'. τίνα οὖν, φησί, τῶν Ἀχαιῶν λύτρα λαβὼν βούλει ἀπολῦσαι: —

185 ἐξ ἀφθίτων γάρ: παρ' Ὁμήρου ἔλαβε τὴν ἱστορίαν. φησὶ γάρ [Ψ 277]· 'ἀθάνατοί τε γάρ εἰσιν': —

210 βάσιν τε χερσί: ἀπίθανον τετραποδίζειν αὐτὸν ὡς τοὺς λύκους· οὐδὲ γὰρ Ὅμηρος [Κ 334] διὰ τοῦτο τὴν λυκῆν αὐτῷ περιτίθησιν: —

219 σωθήσομαί τε: τὸ ἑξῆς· σωθήσομαι καὶ κτανὼν Ὀδυσσέως ἢ Διομήδους κεφαλὴν ἥξω ἄγων: —

239 Ἀχαιὸν Ἄρη: ὅτι θηλυκῶς. Ὅμηρος [Π 149] 'Ξάνθον καὶ Βαλίον' καὶ [Ψ 277] 'Ποσειδάων δὲ πόρ' αὐτούς'. διὸ τὸ χ: —

245 τὸ ἑξῆς τοῦ νοῦ· ὄντως σπανία τῶν ἀγαθῶν γίνεται, ὅταν ὡς ἐν πελάγει τὸ τῆς καταστάσεως δυσήλιον ᾖ καὶ ζοφῶδες καὶ σαλεύῃ πόλις: — mg. int.

GLOSSAE CODICIS A 155 προκινδυνεύσας. ἀπὸ τῶν κύβων ἡ μεταφορά 158 ἐτυμολογεῖται τὸ ὄνομα 165 γελοῖον τὸ οἴεσθαι ὅτι βασιλείαν αἰτήσει 172 σύνθου. λείπει τὸ διδόναι 180 ἀνατίθει 199 ὥστε σε τοῦ δικαίου τῆς ἀμοιβῆς τυχεῖν 200 τὰ δῶρα 202 περιβαλοῦμαι 204 τῆς συνήθους 207 ὡς σφαγή, ὀξυτόνως. Ἡρωδιανός [I p. 309, 29] 217 τῶν κλεπτῶν 223 πρὶν ἡμέραν γενέσθαι 224 ἀπὸ τῶν Τρωικῶν χωρῶν τὰ ὀνόματα καὶ Λύκιε 226 κατὰ κρᾶσιν διία [γὰρ ἡ νὺξ] ἐγένετο δία· ὦ ἀπὸ τοῦ Διὸς κεφαλή 230 σύμπραξον 233 τὰ ναύσταθμα 235 τοὺς βωμούς ἐπὶ τὴν ἑστίαν περὶ Ἴλου φησὶν ὡς Ὅμηρος [Λ 166. 372]· 'Ἴλου παλαιοῦ'. πατρός ἀντὶ τοῦ προγόνου 237 τοῦ Ἕκτορος 242 ἀντὶ τοῦ ὑπέρ 244 ἐκπλήττομαι 247 χειμῶδες καὶ ζοφῶδες κινῆται

NOTAE CODICIS C 177 ἀντὶ τοῦ τιμωρεῖσθαι. ἢ ἀπεμπολεῖν

---

6 τὰσ ἱστορίασ A 9 λυκῆν Dindorf λυκίαν A 13 ποσειδῶνα ἐπόρσε A 15. 16 σαλεύει πόλεισ A 21 περιβαλοῦμαι Wil περιβάλοιμι A ὡς Wil ἡ A 22 Ἡρωδιανός Kampmann ἡρώδης A 24 γὰρ ἡ νὺξ eieci, latet glossa ad ἐννύχιος 26 Ἴλου ego ἰλίου A 27 Ἴλου παλαιοῦ ego τοῦ πάλαι A 29 κινεῖται A 30 ἢ ego καὶ C

250 ἔστι Φρυγῶν τις: ἐπεὶ κωμῳδοῦνται οἱ Φρύγες ὡς δειλοί, φησὶν ὅτι οὐ δεῖ παντελῶς ἀποδοκιμάζειν τοὺς Φρύγας· ἔστι γὰρ ἐν αὐτοῖς θράσος καὶ ἰσχύς, ὡς ἔδειξεν ὁ Δόλων: —

251 ἔνι δὲ θράσος ἐν αἰχμᾷ: τῆς 'ἔσχατος Μυσῶν' παροιμίας μέμνηται Φιλήμων ἐν Σικελικῷ [frg. 77]· 'τὸ δὴ λεγόμενον τοῦτο, Μυσῶν ἔσχατον ἐνόμιζ' ὁρᾶν τὸν υἱὸν ἐκπλέονθ' ὁρῶν' καὶ Μένανδρος [frg. 751]· 'εἰ μὴ γαμεῖς γάρ, ἔσχατον νόμιζέ με [Φρυγῶν] Μυσῶν'. κέχρηται δὲ καὶ νῦν Εὐριπίδης τῇ παροιμίᾳ παρὰ τοὺς χρόνους. Δήμων [frg. 20] γοῦν ἐξηγούμενος [περὶ] αὐτήν φησιν [ὡς] ὕστερον τῶν Τρωικῶν λοιμοῦ καὶ φθορᾶς καρποῦ περιεληλυθυίας ⟨εἰς⟩ τὴν Ἑλλάδα, μαντευομένων περὶ τῶν παρόντων, χρῆσαι τὴν Πυθίαν τηνικαῦτα παῦλαν αὐτοῖς τῶν δεινῶν, ἐπειδάν τινες τῶν ἀπὸ Ἀγαμέμνονος ἑλκόντων τὸ γένος πλεύσαντες εἰς Τροίαν τὰς πόλεις κτίσωσι καὶ τὰς τῶν θεῶν τιμὰς ἀναλάβωσιν ἃς ἠφανίσθαι συνέβαινεν ὑπὸ τοῦ πολέμου. ταύτην τὴν μαντείαν παραδεξάμενον τὸν Ὀρέστην συνέβη λιπεῖν τὸν βίον. μετὰ δὲ Ὀρέστην Τεισαμενὸν λαβεῖν τὴν ἀρχὴν καὶ μετ' ἐκεῖνον Κομήτην. ᾧ χρωμένῳ ποῖ δέοι πλεῖν (κατὰ γὰρ εὐλάβειαν καὶ δὶς καὶ τρὶς περὶ τῶν αὐτῶν ἐπανερέσθαι) ⟨ὑπὸ⟩ τοῦ θεοῦ δοθῆναι χρησμὸν ἐπὶ τὸν ἔσχατον

GLOSSAE CODICIS A 260 οὐκ ἀκριβῶς εἴρηκεν. οὐ γὰρ Ἀγαμέμνων τῇ Ἑλένῃ γαμβρός

---

1 ἐπικωμῳδοῦνται A ἐπεὶ κεκωμῴδηνται LDindorf    δειλοί LDindorf δηλοῖ A
4 ἔσχατος LDindorf ἐσχάτης A    5 Σικελικῷ LDindorf σκελετῶ A
6 ἐνόμιζ' Cobet ἐνόμιζεν A    7 Φρυγῶν del. LDindorf Μυσῶν Wil
8—p. 333,10 Phot. Suid. ἔσχατος Μυσῶν: Ἕλλησι λοιμῷ κρατουμένοις ὁ θεὸς ἔχρησεν ἐπὶ τὸν ἔσχατον Μυσῶν πλεῖν. οἱ δὲ τὸ μὲν πρῶτον ἠπόρουν, αὖθις δὲ τὴν Αἰολίδα παρὰ τοῖς ἐσχάτοις τῆς Μυσίας εὗρον. ἔνιοι τὴν παροιμίαν ἔκ τινος χρησμοῦ ⟨ὃν⟩ λέγουσι Τηλέφῳ μαντευομένῳ γεγονέναι περὶ γονέων ἐπὶ τίνας τόπους ἐλθὼν εὕροι τοὺς γονεῖς. τὸν δὲ θεὸν προστάξαι πλεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν· ἀφικόμενον δ' εἰς Τευθρανίαν (νέμεσθαι γὰρ ταῦτα τὰ χωρία Μυσούς) ἐπιτυχεῖν τῇ μητρὶ αὐτοῦ... Hesych. ἔσχατος Μυσῶν παροιμία ἣν ἐξηγοῦνται οὕτως· μετὰ τὰ Τρωικὰ λοιμοῦ καὶ ἀκαρπίας τὴν Ἑλλάδα κατασχόντων, μαντευομένων περὶ τούτων, χρῆσαι τὴν Πυθίαν ἐ * * alios auctores secutus est Zenobius M I 34 B 363
9 περὶ deleui    αὐτὴν siue αὐτῶν A    ὡς deleui    10 εἰς addidi
10. 11 μαντευομένων LDindorf μαντευομένην A    11 χρῆσαι Vater χρῆσθαι A
12 ἑλκόντων ego ἐχόντες A    13 ἀνακτίσωσι Wil    16 τισαμενὸν A
ᾧ ego οὐ A    17 ποῖ ego ποῦ A    παρὰ A    18 ἐπανερέσθαι Wil ἐπανέρχεται A    ὑπὸ add. LDindorf    θείου A    τὸ A

Μυσῶν πλεῖν. κατολιγωρήσαντας δὲ πολλοὺς τῶν συνηθροισμένων τοῦ χρησμοῦ ἀφίστασθαι καὶ τὸν Κομήτην καταλιπεῖν μικρὸν πεφροντικέναι λέγοντας αὐτοῦ τε καὶ τοῦ Μυσῶν ἐσχάτου. κατὰ ⟨δὲ⟩ τὴν ἐχομένην γενεὰν ⟨Γρᾶ τοῦ Ἐχέλα τοῦ⟩ Πενθίλου πάλιν συναγείραντος τὴν στρατιὰν καὶ τοῦ θεοῦ τὸν αὐτὸν προενέγκαντος χρησμὸν διὰ τὸ παράδοξον εἰς παροιμίαν [διὰ] τοῦτο περιστῆναί φασιν. εἰσὶ δὲ οἳ Τηλέφῳ γενέσθαι τὸν χρησμὸν τοῦτον· μαντευομένῳ γὰρ αὐτῷ περὶ γονέων, ἐπὶ τίνας ἂν τόπους πλανηθεὶς ἐξεύροι τοὺς ἑαυτοῦ γονεῖς, τὸν θεὸν προστάξαι ἐλθεῖν ἐπὶ τὸν ἔσχατον Μυσῶν. ἀφικόμενον δὲ εἰς τὴν Τευθρανίαν (νέμεσθαι γὰρ ⟨ταῦτα⟩ τὰ χωρία τότε Μυσούς) ἐπιτυχεῖν τῇ μητρί: —

252 ὃς ἐμὰν συμμαχίαν: ὁ τὴν ἐμὴν συμμαχίαν ἀτίζων, ὅ ἐστιν εὐτελίζων. πρὸς Μυσῶν, φησίν, ἐστὶν ἢ ὡς εἰπεῖν ἔσχατος καὶ οὐδενὸς λόγου ἄξιος. οἷον· Μυσός ἐστιν ὁ ἀτιμάζων ἡμᾶς, ἢ ἀδόκιμος παρὰ τὴν παροιμίαν. ἢ οὕτως· ἔστι δὲ θάρσος ἄκρον καὶ ἐκ τῶν Μυσῶν πρὸς τοὺς ἀτιμάζοντας τὴν ἐμὴν συμμαχίαν καὶ εὐτελιζοντας: —

294 πρὶν δὴ δι' ὤτων: πρὶν ἠκούσαμεν αὐτῶν τὴν βαρβαρικὴν φωνὴν καὶ ἔγνωμεν ὅτι βάρβαροι ἦσαν: —

306 ἔλαμπε, Γοργὼν δ' ὡς: ἡ Γοργὼν ἐπέκειτο τοῖς μετώποις τοῖς ἱππικοῖς προσδεδεμένη μετὰ κωδώνων, ψόφον ἀποτελοῦσα: —

GLOSSAE CODICIS A 266 μωρὰ καὶ ἀπαίδευτα 274 ἀπὸ γενικῆς τῆς δόρεος καὶ δόρεα καὶ δόρη ὡς βέλεα βέλη 281 πολλοῦ καὶ μεγάλου 282 κυρίως ὀργάδες εἰσὶν οἱ ἱεροὶ τῶν θεῶν τόποι 283 δι' ἧς αἱ ἅμαξαι πορεύονται 285 οὐ ῥᾴδιον. λείπει διὰ τῶν συνήθων πεδίων 287 κατὰ τὸ ἀκρωτήριον τῆς Ἴδης 288 σπήλαιον οὐκ ἀπὸ χειρὸς γενόμενον, ἐπεὶ ἐν πέτραις εἰσὶ καὶ οἰκοῦσιν 296 τοὺς ἔμπροσθεν, τοὺς προερευνῶντας τὴν ὁδόν 297 ἠρώτησα 303 τινὲς τὸν ζυγόν φασι· περὶ δὲ τὸ μέσαβον συνέδησε τὸν αὐχένα τῶν ἵππων

NOTAE CODICIS C 274 ἀπὸ γενικῆς τῆς δόρεος δόρεα δόρη, ὡς βέλεα βέλη 282 ὀργάδες κυρίως οἱ ἱεροὶ τῶν θεῶν τόποι

1 πολλοὺς τῶν ego πολλῶν A 3 μυσοῦ A δὲ addidi ἐχομένην LDindorf ἐρχομένην A 4 Γρᾶ—τοῦ addidi cl. Strab. 13 p. 582 Paus. 3, 2, 1 Πενθίλου LDindorf πλινθίλου A 5 προενέγκαντος ego ἐπενέγκατοσ A 6 διὰ deleui περιστῆναι Dindorf προστῆναι A 10 ταῦτα addidi 13 ἢ ego ὁ A 19 Γοργὼν δ' ὡς: Wil γοργὼν δ': ὡς A ἐπε^κι A

311 πολλὰ πελταστῶν τέλη: πέλτη ἀσπίς ἐστιν ἴτυν οὐκ ἔχουσα, καθάπερ φησὶν Ἀριστοτέλης ἐν τῇ Θεσσαλῶν πολιτείᾳ γράφων οὕτως [frg. 498]· ‘διελὼν δὲ τὴν πολιτείαν * * Ἀλεύας ἔταξε κατὰ τὸν κλῆρον παρέχειν ἑκάστους ἱππέας μὲν τεσσαράκοντα, πελταστὰς δὲ ὀγδοήκοντα. ἦν δὲ ἡ πέλτη ἀσπὶς ἴτυν οὐκ ἔχουσα ⟨οὐδ'⟩ ἐπίχαλκος ⟨οὐδὲ βοός, ἀλλ' οἰὸς ἢ⟩ αἰγὸς δέρματι περιτεταμένη. καὶ τρί' ἀκόντια καὶ μικρὸν δόρυ πάντες ἐφόρουν ὃ σχέδιον ἐκαλεῖτο’: —

318 ἕρπει κατάντης: κατήφορος, οὐ ταλαίπωρος, καὶ εὐπετής. ὡσανεὶ ἔλεγεν· οὐ προσάντης οὐδὲ δύσβατος: —

322 ἡνίκ' ἐξώστης Ἄρης: ἀπὸ μεταφορᾶς τῶν ἀνέμων τῶν ἐξωθούντων τὰ σκάφη· λέγει δὲ οὕτως τὸ βίαιον. τινὲς δὲ ἐξώστης ἀντὶ τοῦ πρὸ τοῦ ἄστεος καθήμενος: —

339 σύ τ' εὖ παραινεῖς: ἐπεὶ καλῶς παρῄνεσεν ὁ ἄγγελος τὸν Ῥῆσον εἰς συμμαχίαν δέχεσθαι, λοιπὸν ἥξει: —

342 Ἀδράστεια μέν: ἰδικῶς τὴν Ἀδράστειαν Διός φησι παῖδα ἄλλων τροφὸν τοῦ Διὸς φασκόντων * * ἔστι δὲ καὶ ἐν τῇ Ἀσίᾳ

GLOSSAE CODICIS A 312 τῶν βελῶν 315 ἐναντιωθείς 320 παρ' ἡμῖν 333 μετὰ τὴν κατεπείγουσαν χρείαν 343 μὴ φθονήσειεν ἡ Ἀδράστεια ἐπὶ τοῖς λεχθεῖσι παρὰ τοῦ Ἕκτορος. ἢ ἐπὶ τοῖς μέλλουσι λεχθῆναι, ὃ καὶ ἄμεινον

---

1—7 an. Bekk. p. 297, 8 [cf. Phot. s. u. πελτασταί Eust. p. 905, 59. 911, 63] πελτασταί στρατιῶταί τινες πέλτην ἔχοντες. ἡ δὲ πέλτη εἶδός ἐστιν ὅπλου, οἷον ἀσπὶς ἴτυν οὐκ ἔχουσα οὐδὲ βοὸς ἀλλ' αἰγὸς ἢ οἰὸς δέρματι περιτεταμένη schol. Plat. legg. 7 p. 813d πέλτη ἐστὶν εἶδος ἀσπίδος, ὥς φησιν Ἀριστοτέλης, ἥτις ἴτυν οὐκ ἔχει οὐδ' ἔστιν ἐπίχαλκος οὐδὲ βοὸς ἀλλ' αἰγὸς δέρματι περιτεταμένη schol. Alc. 498 Hesych. Phot. s. u. πέλτη Suid. s. u. πέλτον 3 τὴν πολιτείαν * * ego τὴν πόλιν A τὰς πόλεις Rose ἀλόασ A κατὰ Pflugk καὶ A 4 πελταστὰς Pflugk ὁπλίτασ A 5 οὐδ' add. Dindorf 5. 6 οὐδὲ—ἢ add. Rose et ego 6 τρί' ἀκόντια Preller τριάκοντα A ἄκοντα Pflugk καὶ ego ἢ A 7 μικρὸν Pflugk μακρὸν A 8 κατήφορος Wil κατήγοροσ A 15—p. 335, 6 cf. Harpocrat. p. 6, 3 lex. Bachm. p. 28, 15 Suid. Hesych. s. u. Ἀδράστεια 15 ἀδράστιαν A 16 lacunam indicaui cl. Harpocr. [et ceteris lexicographis] Ἀδράστειαν οἱ μὲν τὴν αὐτὴν λέγουσι τῇ Νεμέσει λαβεῖν τε τοὔνομα ἀπὸ Ἀδράστου τινὸς βασιλέως ἔκ τινων μαντειῶν ἱδρυσαμένου ἱερὸν Νεμέσεως ὃ προσαγορευθῆναι μετὰ ταῦτα Ἀδραστείας ὡς Ἀντίμαχος [frg. 36] ἐν τούτοις δηλοῖ .... 16—p. 335, 1 cf. Strab. 13 p. 588 16 Παριανῇ Gaede 18 ἡμῖν ego ἡμῶν A 19 παρὰ ego περὶ A

Ἀδραστείας πεδίον ἀπὸ Ἀδράστου τοῦ βασιλέως, ἀφ' οὗ καὶ ἡ δαίμων. [ἄλλοι δὲ Μελισσέως μὲν τοῦ Κρητός, ἀδελφὴν Κυνοσούρας, Διὸς τροφόν. Καλλίμαχος [hymn. Iou. 47]· 'σὲ δ' ἐκοίμισεν Ἀδράστεια λίκνῳ ἐνὶ χρυσέῳ.'] ἔνιοι ἑτέραν μὲν Ἀδράστειάν φασιν, ἑτέραν δὲ Νέμεσιν, ⟨ἣν⟩ οἱ μὲν Ὠκεανοῦ φασιν εἶναι θυγατέρα, οἱ δὲ Διὸς καὶ Δήμητρος, γεννηθῆναι δὲ ἐν Ῥαμνοῦντι τῆς Ἀττικῆς: —

346 ἥκεις, ὦ ποταμοῦ παῖ: οὐκ εἴρηκε τίνος Μουσῶν ὁ Ῥῆσος ἦν παῖς. Κλειοῦς μέντοι λέγουσιν αὐτὸν εἶναι, καθάπερ Μαρσύας ὁ νεώτερος ἐν τῷ * Μακεδονικῶν ἱστοριῶν γράφων οὕτως [frg. 6]· 'εἰσὶ δὲ οἳ καὶ περὶ τούτου εἶπον [τοῦτον] Κλειὼ τὴν θεὸν ὑπὸ τοῦ Στρυμόνος ἐκ τοῦ χοροῦ τῶν Μουσῶν ⟨ἁρπασθεῖσαν⟩ νυμφευθῆναι τεκνῶσαί τε τὸν Ῥῆσον καὶ μετ' ὀλίγον· 'ἔστιν ἱερὸν τῆς Κλειοῦς ἐν Ἀμφιπόλει ἱδρυθὲν ἀπέναντι τοῦ Ῥήσου μνημείου ἐπὶ λόφου τινός'. ἔνιοι δὲ Εὐτέρπης αὐτὸν γενεαλογοῦσιν, καθάπερ Ἡρακλείδης· φησὶ δέ· 'ἑβδόμη δὲ Καλλιόπη, ⟨ἣ⟩ ποίησιν εὗρε [πάντων καὶ], συνοικήσασα Οἰάγρῳ γεννᾷ Ὀρφέα τὸν πάντων μέγιστον ἀνθρώπων ἐν τῇ κιθαρῳδικῇ τέχνῃ γενόμενον, πρὸς δὲ καὶ τῆς ἐγκυκλίου μαθήσεως συγκρεματικώτερον· ὀγδόη δ' Εὐτέρπη, ἣ τὴν κατ' αὐλοῦ εὗρεν εὐέπειαν, συνοικήσασα Στρυμόνι τεκνοῖ Ῥῆσον ὃς ὑπὸ Ὀδυσσέως καὶ Διομήδους ἀναιρεῖται'. οἷς καὶ Ἀπολλόδωρος ἐπηκολούθησε γράφων οὕτως· 'τὰς μὲν Μούσας οἱ μὲν πλεῖστοι παρθένους παραδεδώκασι', ἀναγράφει δὲ Οὐρανίας μὲν Λίνον, Καλλιόπης ⟨δὲ⟩ Ὀρφέα, Μελπομένης δὲ Θάμυριν, Εὐτέρπης δὲ Ῥῆσον, Τερψιχόρης δὲ Σειρῆνας, Κλειοῦς δὲ Ὑμέναιον· τῶν δὲ λοιπῶν Θαλείας Παλαίφατον, ἐκ δὲ Πολυμνίας Τριπτόλεμον. Ἐρατὼ δὲ ἐρασθῆναι μὲν Ὑακίνθου, τελευτήσαντος δὲ αὐτοῦ μηδενός, μηδ' υἱὸν γενέσθαι αὐτῶν: —

---

1 ἀδραστία A ἡ Wil ὁ A 2—4 ἄλλοι—χρυσέῳ eieci 3 ἐκόμισεν A ἀδραστία A 4 ἀδριστίαν A 5 cf. schol. Lycophr. 88 Paus. 1, 33, 2. 7, 5, 3 ἣν addidi 8 ἦν ego εἴη A 9 ἐν—ἱστοριῶν ego ἐν<sup>τ</sup> οἰκοδο<sup>μ</sup> τῶν κακοβριῶν A 10 περὶ τούτου] περιττότερον Wil τοῦτον deleui τοῦτο GHermann 11 χοροῦ GHermann χρόνου A ἁρπασθεῖσαν addidi 14 Ἡρακλείδης ego ἡράκλειτοσ A 15 ἣ addidi πάντων deleui ποιημάτων GHermann ἐπῶν uel ἐπικήν Wil καὶ deleui συνοικήσασα Οἰάγρῳ GHermann συνοικήσαντα ἀγρῷ A 17 ἐγχειρηματικώτατον ego συγκεκροτημένον Haupt 19 τεκνοῖ ego ἐντεκνοῖ A 21—25 cf. schol. K 435 21 ἀναγράφει ego γράφει A μὲν Λίνον GHermann μέλινον A 22 δὲ add. GHermann 23 Σειρῆνας Vater σειρῆνα A 25 μηδενός ego μηδένα A μηδ' υἱὸν GHermann κίνδυνον A

351 μελῳδοῦ Μούσας: τὸ ὄνομα τῆς Μούσης οὐκ εἴρηκε, φησὶ δὲ ὅτι διαβαίνουσαν διὰ τοῦ Στρυμόνος ὁ ποταμὸς ἔγκυον ἐποίησε. μήποτε δὲ ἔπλασε τὴν ἱστορίαν: —

356 βαλιαῖσιν: οὐ κυρίως νῦν τῇ λέξει κέχρηται· λευκὰς γὰρ εἶχεν, ὡς καὶ ἀνωτέρω [304] αὐτὸς ἔφη. δύναται δὲ ἀντὶ τοῦ ταχείαις: —

360 ἆρά ποτ' αὖθις: ἆρά ποτε, φησίν, ὑποστρεψάντων τῶν Ἑλλήνων ἡμεῖς μετὰ εὐφροσύνης διάξομεν καὶ δι' ὅλης ἡμέρας ἄξει καὶ τελέσει ἡ πόλις τοὺς ἐν τοῖς συμποσίοις χοροὺς ταῖς τῶν κυλίκων φιλονικίαις. λέγει δὲ τὰς προπόσεις ἀπὸ τῆς συνεκδοχῆς. οἰνοπλανήτοις δέ, ταῖς διὰ τοῦ οἴνου παραγούσαις τὸν νοῦν: —

364 ὑποδεξίαις: ὑποδεκτικαῖς. ἀπὸ ⟨κοινοῦ⟩ τὸ κυλίκων: —

ἁμίλλαις: φιλονικίαις κυλίκων, οἷον πόσεων: —

372 δοχμίαν: πλαγίαν μετεωρίζων τὴν πέλτην παρὰ τὴν σχιστὴν αὐτῆς περιφέρειαν: —

373 σχιστὰν παρ' ἄντυγα: σχιστὴν λέγει παρόσον οἱ πόρπακες σχίζοντες διαβαίνουσιν. ἢ ὅτι ἡ πέλτη τετράγωνός ἐστιν ἐξοχὰς ἔχουσα: —

379 φίλτατον ἄχθος οἴσει: ἡδὺ γὰρ αὐτῇ τοὺς πολεμίους παθεῖν: —

381 ταῦτα πρὸς τὸν Ῥῆσον ἐπιστρέψαντες λέγουσιν, ὦ μέγα βασιλεῦ, ὁρῶντες ἤδη αὐτόν: —

393 παῖ τῆς μελῳδοῦ ματέρος: οἱ μὲν Κλειοῦς, οἱ δὲ Εὐτέρπης. Ὅμηρος δὲ Ἠϊονέως φησίν [K 435]· 'ἐν δέ σφι Ῥῆσος βασιλεύς, παῖς Ἠϊονῆος': —

GLOSSAE CODICIS A 356 ἥκεις ἐπεὶ ἀπεστάλης ὑπὸ τῶν γονέων 371 ἀσπίδα 372 κουφίζων, ἐκ τοῦ πέδου αἴρων 374 τὸν τὰ δύο μέρη ἠκονημένον ἀνακρούων. οἱ γὰρ πολεμοῦντες κινοῦσι τοὺς πόδας 381 τὸ ἑξῆς· καλὸν ἰδεῖν 383 χρυσοκόσμητον 384 ἐν γὰρ τοῖς πόρπαξιν εἶχεν κώδωνας 389 παλαιὸν ἐχούσῃ διάλειμμα. λείπει δὲ τὸ ὁρῶν

---

2 ποταμὸς LDindorf πότε A 5 cf. schol. Hec. 90 7 ἄξει LDindorf ἕξει A 8 φιλονεικίαισ A 9 λέγει — συνεκδοχῆς in fine scholii 11 repetit A 9. 10 οἰνοπλανήτοις — νοῦν in fine scholii 12 repetit A 9 οἰνοπλανήτων A[1] 11 κοινοῦ addidi τὸ Wil τοῦ A κυλίκων ego κύλικοσ A 13 πλαγείαν A 15. 16 πόρπακες σχίζοντες Wil πυρριχίζοντεσ A 19. 20 scholio 17. 18 adi. A 19 ἐπιστρέψαντες Wil ἀποστρέψαντεσ A 20 ἤδη ego δὲ A δηλονότι Wil 21. 22 Εὐτέρπης Vater εὐρώπησ A 23 ἠιονέως A 28 εἶχεν ego εἶχον A

405 Ἕλλησιν ἡμᾶς: ὅσον ἦν ἐπὶ σοί, προδέδωκας ἡμᾶς καὶ εἴασας * λείπει ἡ κατά, κατὰ τὸ σὸν μέρος: —

414 τοῦ εἶναι αὐτοὺς εὔνους ἡμῖν ἀπόδειξίς ἐστι τὸ κεῖσθαι αὐτοὺς ἐν τῇ πόλει καὶ ταφῆναι: —

417 ψυχρὰν ἄησιν: τὸν χειμῶνα: —

419 ἄμυστιν: οἱ μὲν ποτηρίου εἶδος ἐπιτηδειότητα ἔχον πρὸς τὰς ἀμυστὶ πόσεις, ὡς ἐν Λύγῃ [FTG p. 437]· 'σὺν τῷ βαθείας καὶ πυκνὰς ἕλκουσι τὰς ἀμύστιδας'. ἄλλοι δὲ ἐπὶ τῆς ἀπνευστὶ πόσεως τάττουσι τὸ ὄνομα ὡς Κρατῖνος [frg. 291]· 'ἀλλ' οὖν θεῷ σπείσαντ' ἄμυστιν δεῖ πιεῖν': —

427 μέλλοντι νόστον: ὅτι νόστον ἁπλῶς τὴν ὁδὸν καὶ τὸν πλοῦν ἔφη (καὶ γὰρ ἔπλευσε καὶ ἐπέζευσεν ὡς ἑξῆς ἐρεῖ), οὐ μόνον τὴν εἰς τὴν πατρίδα ὑποστροφήν: —

430 ἔνθ' αἱματηρός: ὡς πέμμα ξηρανθὲν τὸ αἷμα τοῦ φόνου. ἀκύρως δὲ κέχρηται τῷ πέλανος, ἄμεινον δὲ ἑτέρωθι [Or. 220] εἶπεν ἀφρώδη πέλανον διὰ τὴν λευκότητα. κυρίως γὰρ ἔλεγον πελάνους τὰ πόπανα ἀπὸ τοῦ πεπλατύνθαι· ἢ ἀπὸ τῆς παιπάλης, ἀπὸ γὰρ τοῦ λεπτοτάτου κατασκευάζονται * * καὶ Ὅμηρος τὸ λευκᾶναι παλῦναί φησιν [K 7]· 'ὅτε πέρ τε χιὼν ἐπάλυνεν ἀρούρας': —

GLOSSAE CODICIS A 397 κατὰ τὸ σὸν μέρος 400 ἐφρόντισας 401 ἄγγελος πρεσβεία τῶν ἐντίμων 402 ἠξίωσεν ἐνετείλατο 404 ὁμόφυλος ὁμόχωρος 408 ὄρος Θρᾴκης Παίονες ἔθνος Θρᾴκης 409 ἐξ ἐναντίας τῆς μάχης. κατ' ὄψιν 410 ἔσχισα τὸ ὅπλον τῶν πολεμίων τῷ δόρατι 411 ἐμφαντικώτερον ἀντὶ τοῦ πατήσας 417 τὸ θέρος ὅτι κατάξηρον 419 τὴν συνεχῆ πόσιν 426 γείτων ὅμορος

NOTAE CODICIS C 419 ἄμυστις εἶδος ποτηρίου

---

2 lacunam indicaui, suppleas διαφθαρῆναι uel tale quid 3. 4 scholio 5 adi. A 3 τοῦ Vater τῶ A 6—10 cf. Athen. 11 p. 783d Hesych. s. u. Suid. s. u. ἀμυστὶ πιεῖν et m. p. 87, 45 Gud. p. 46, 29 7 Λύγῃ GHermann αὐτῇ A 8 πόσεως LDindorf τάσεως A 9. 10 θεῷ σπείσαντ' ἄμυστιν LDindorf θεὸν πείσαντες μῦστιν A 14—19 cf. schol. Or. 220 et quae ibi adnotaui 15 τὸ A 16 κυρίως ego οὕτως A 17 πεπάλης A 25 ἀντὶ τοῦ ego τὸ A 27 Hesych. ἀμυστήν τὴν συνεχῆ πόσιν

474 εἰ τοῦ παρόντος: πολλὰ ⟨ἂν⟩ εὐχαριστήσαιμι τοῖς θεοῖς, εἰ τοῦ παρόντος ἀπαλλαγεὶς ⟨κακοῦ⟩ τὴν παλαιὰν ἀναλάβοιμι κατάστασιν: —

479 οὐ τούσδ' ἀριστέας: ἐν ἐρωτήσει τοῦτο προενεκτέον· οὐχ οὗτοί εἰσιν οἱ ἄριστοι τῶν Ἑλλήνων οἱ ἐνταῦθα ἐλθόντες: —

480 κοὐ μεμφόμεσθά γ': καὶ οὐκ ἐκφαυλίζομεν αὐτούς, ἀλλὰ πάντα κινοῦμεν πρὸς τὸ ἀποστῆσαι αὐτούς, ὁμόσε ἐλαύνομεν αὐτοῖς καὶ πολεμοῦμεν. ἡ δὲ καλὴ ἐξήγησις αὕτη· καὶ οὐκ ἐκφαυλίζομεν αὐτούς, ἀλλὰ πάνυ κάμνομεν καὶ ἄγαν ἐμφορούμεθα τοῦ κόπου μαχόμενοι αὐτοῖς· καὶ Ὅμηρος [ε 290]· 'ἀλλ' ἔτι μέν μίν φημι ⟨ἅδην⟩ ἐλάαν κακότητος,' ὅ ἐστιν ἐμφορηθῆναι: —

481 οὐκοῦν κτανόντες: εἰ οὖν τοὺς ἀρίστους αὐτῶν ἀναιρήσομεν, πάντα διαπεπραξόμεθα· ῥᾴδιον γὰρ καὶ τὸ Ἄργος πορθῆσαι τούτων ἀπολλυμένων: —

483 ἀρκεῖν ἔοικεν: ἀντὶ τοῦ· παραιτῇ τὸ παθεῖν, δρᾶσαι δὲ οὐ ⟨προαιρῇ⟩. ἀντὶ τοῦ· ἡδέως ⟨ἂν⟩ εἵλες καὶ τὸ πρᾶξαι, εἰ μὴ ηὐλαβοῦ τὸ παθεῖν. πρὸς ὃ Ἕκτωρ [φησὶ]· ναί, φησί, παραιτοῦμαι τὸ παθεῖν· πολλῆς γὰρ ἄρχω τυραννίδος, οἷον· τὰ ἐνταῦθα ἀρκεῖ μοι: —

ἄλλως: οἷον· τὸ παθεῖν παραιτῇ, πρᾶξαι δέ τι οὐ προαιρῇ: —

GLOSSAE CODICIS A 434 ἐνέχυρα λαβὼν τῆς εἰρήνης τὰ τέκνα αὐτῶν  435 Ὅμηρος ποινήν  437 τὰ ἕως Τροίας  438 οὐχ ὡς σὺ ὀνειδίζων λέγεις  τὰς φιάλας  440 τὰ πνεύματα τῶν ἀνέμων  441 ἐπεβάρει ἔβλαπτεν  444 πολεμεῖς  446 ἀνωμάλως διατιθέμενος, ἀπὸ τῆς τῶν κυβευτῶν μεταφορᾶς  447 ἡμέρα μία  449 τῇ ἑξῆς ἡμέρᾳ  452 χειρώσομαι κωλύσω  456 τὸν ἀκαταμάχητον φθόνον  459 ἡ ναῦς  465 ἐν ᾧ ἀποκτείνειας τοὺς Ἕλληνας  466 εἰσπράξαιο τιμωρήσαιο τῷ σῷ δόρατι  468 τῇ Νεμέσει  473 κατὰ διαδοχήν  498 ἀπατητικόν

NOTAE CODICIS C 430 ὡς πέμμα ξηρανθὲν τὸ αἷμα τοῦ φόνου 446 ἀνωμάλως διατιθέμενος, ἐκ μεταφορᾶς τῶν κύβων

---

1 ἂν add. Vater  2 κακοῦ add. Vater  ἀναλάβοιμι ego λάβω A  4 προενεκτέον Vater προσενεκτέον A  7 ὁμόσε Wil ὅμως A  αὐτοῖς Wil αὐτοὺς A  9 κόπου Cobet σκόπου A  10 ἅδην om. A  13 διαπεπραξόμεθα ego διεπραξάμεθα A διαπραξόμεθα Wil  16 προαιρῇ add. Wil  ἂν εἵλες ego εἶχες A  τὸ ego τοῦ A  ἀδεῶς ἂν εἶχες καὶ τοῦ Wil  17 ὃ Vater ὃν A  φησὶ del. Cobet  26 ἀποκτείνεις A

485 ἀλλ' εἴτε λαιόν: ἐν οἵῳ, φησί, βούλει μέρει τῆς παρατάξεως ἔξεστί σοι τὰς πέλτας, τουτέστιν τοὺς σοὺς ὑπηκόους, στῆσαι: —

494 ἀλλὰ μηνίων: μηνίων τινές φασιν ὅτι οὐ δύναται ὑφ' ἓν εἶναι, μηνίων ἀντὶ τοῦ ὀργιζόμενος, ἐπεὶ τὰ εἰς ω καθαρὸν λήγοντα ὑπὲρ δύο συλλαβὰς ἐκτείνει τὸ ἰῶτα. ἔστι δὲ παρ' Ὁμήρῳ συστολὴ αὐτοῦ [Α 488]· 'αὐτὰρ ὁ μήνιε νηυσὶ παρήμενος'. διὸ καὶ οὕτως ἀναγνῶναι οὐδὲν κωλύει τῆς χρήσεως ὑπαρχούσης: —

499 κρότημ' Ὀδυσσεύς: οἷον συγκρότημα μηχάνημα. καὶ ἱκανῶς τὸ φρόνημα θρασύς: —

502 κλέψας ἄγαλμα: παρὰ τοὺς χρόνους· ὕστερον γὰρ τούτων τὸ Παλλάδιον ἔκλεψε. μέμνηται δὲ αὐτοῦ Ὅμηρος [Ζ 92]· 'θεῖναι Ἀθηναίης ἐπὶ γούνασιν': —

508 Θυμβραῖον: παρὰ τὴν ἱστορίαν. ὁ γοῦν Διονυσόδωρος ἐν τοῖς Παρὰ τοῖς τραγικοῖς ἡμαρτημένοις φησὶν οὕτως· 'ὁ δὲ Εὐριπίδης τὸ τοῦ Ἀπόλλωνος ἄλσος τοῦ Θυμβραίου ⟨ὃ⟩ στάδια ν̄ ἀπέχει τῆς πόλεως, κατὰ τῶν πυλῶν φησι.' ⟨δύναται δὲ⟩ καὶ στίζεσθαι εἰς τὸ βωμόν· ἢ ἄστεος πέλας· οὐδὲν γὰρ τὸ κωλῦον: —

509 κακῷ δὲ μερμέρῳ: μήποτε πρὸς τὸ χεῖρον μετέστραπται ἀπὸ τοῦ τερμέρου, ἵν' ᾖ παρὰ τὴν παροιμίαν 'Τερμέρια κακά', ὑπὲρ ὧν Φίλιππος ἐν τῷ Περὶ Καρῶν συγγράμματί [frg. 3] φησιν οὕτως· 'Τέρμερον καὶ Λύκον Λέλεγας γενέσθαι θηριώδεις τὴν φύσιν· τούτων δὲ τὸν Τέρμερον πόλιν οἰκίσαι, ἣν δὴ ἀπ' αὐτοῦ Τέρμερον ὠνομάσθαι. τούτους δέ φασι πρώτους λῃστεῦσαι καὶ οὐ μόνον τὰ περὶ Καρίαν * *, ἀλλὰ καὶ σχεδίας ἐκ ῥιπῶν ποιήσαντας εἰς Κῶ διαπλεῖν': —

GLOSSAE CODICIS A 503 ἀγύρτης ἀπὸ τοῦ συνάγειν καὶ ἀγείρειν τροφὴν ἐπαίτης 509 μερίμνης ἄξια

2 τὰς Vater τοὺς A 4 ω̄ Cobet ω̄ν A 7 ὑπαρχούσης ego ἐχούσης A τῆς χρείας ἐπειγούσης Wil 13 περὶ A 14 τραγικοῖς ego τραγω^{δκ} A 15 ὃ addidi στάδια ν̄ cl. Strab. 13 p. 598 LDindorf στάδιον A ἀπέχον Cobet 15. 16 πόλεως Wil πλησίον A 16 κατὰ Wil μετὰ A δύναται δὲ add. LDindorf 18—24 cf. Phot. Τερμέρια τὰ μεγάλα. Τέρμερος γὰρ καὶ Λύκος θηριώδεις καὶ λῃσταὶ ἐγένοντο. καὶ ὁ Τέρμερος πόλιν ἐν ἄκρᾳ τινὶ τῆς Μυνδίας κτίσας ἑαυτοῦ ἐπώνυμον ἐντεῦθεν ἐλῄστευσεν ὁρμώμενος 21 τούτων ego τοῦτον A 22 οἰκῆσαι A ut uidetur 23 lacunam indicaui 24 ἐκ Cobet καὶ A διαπλεῖν Wil ἐξπλεῖν A 26 Hesych. μέρμερα . . . φροντίδος ἄξια Phot. Suid. lex. Bachm. p. 298, 11 μέρμερα μερίμνης ἄξια cf. et. m. p. 580, 23 Zon. p. 1348

521 ξύνθημα δ' ἡμῖν Φοῖβος: σημεῖον τοῦ μὴ ξένους καὶ πολεμίους εἶναι δίδωσιν αὐτῷ τὸ ὄνομα λέγειν τὸ Φοίβου: —

523 προταινί: Παρμενίσκος τὴν προταινί λέξιν Βοιωτικήν φησι [καὶ] μετ' οὐδεμιᾶς πίστεως. σημαίνει δὲ τὸ ἔμπροσθεν: —

528 πρῶτα δύεται σημεῖα: Κράτης ἀγνοεῖν φησι τὸν Εὐριπίδην τὴν περὶ τὰ μετέωρα θεωρίαν διὰ τὸ νέον ἔτι εἶναι ὅτε τὸν Ῥῆσον ἐδίδασκε. μὴ γὰρ δύνασθαι Πλειάδων καταδυομένων ⟨τὰ⟩ τοῦ ἀετοῦ μεσουρανεῖν. ὑπὸ γῆν γάρ ἐστι τότε ὁ αἰγόκερως, ἐφ' οὗ ὁ ἀετὸς ἵδρυται, διότι Πλειάδων δυομένων ὑπὲρ μὲν γῆς εἰσὶ ζῴδια τάδε, ταῦρος δίδυμοι καρκίνος λέων παρθένος ζυγός· ὑπὸ γῆν δὲ τάδε, σκορπίος τοξότης αἰγόκερως ὑδροχόος ἰχθύες κριός. καὶ ταῦτα μὲν ὁ Κράτης. ἔοικε δὲ ὑπὸ τῆς φράσεως ἀμφιβόλου ⟨οὔσης⟩ κεκρατῆσθαι· τὰ γὰρ πρῶτα σημεῖα καὶ τὰς Πλειάδας ᾠήθη καταδύεσθαι λέγειν τὸν Εὐριπίδην. τὸ δὲ οὐχ οὕτως ἔχει, ἀλλὰ τὰ μὲν πρῶτα σημεῖα [τῆς φυλακῆς] φησι δύεσθαι, τὰς δὲ Πλειάδας ἀνατέλλειν. πῶς γὰρ ⟨ἂν⟩ ἐπὶ καταδυομένων εἶπεν αἰθερίας [αὐτάς]; ὥστε τριχόθεν τὸν καιρὸν ὑπὸ ⟨τῶν⟩ φυλάκων δηλοῦσθαι, ἀπὸ τῆς δύσεως, ἀνατολῆς καὶ μεσουρανήματος. ὁ μὲν οὖν Παρμενίσκος πρῶτα σημεῖα φησὶ λέγεσθαι τὰς τοῦ σκορπίου πρώτας μοίρας διὰ τὸ ὑπὸ τῶν ἀρχαίων οὕτως αὐτὰς λέγεσθαι, διότι ταύταις ὁ Βοώτης ἅμα ἄρχεται καταδύεσθαι. Κλεόστρατον γοῦν τὸν Τενέδιον ἀρχαῖον ⟨ὄντα ἀστρολόγον, γράφειν⟩ οὕτως· 'ἀλλ' ὁπόταν τρίτον ἦμαρ ἐπ' ὀγδώκοντα πέλῃσι σκορπίου, εἰς ἅλα πίπτει ἅμ' ἠοῖ φαινομένηφι'. τοῦτο δὲ παραδείξας ὁ Παρμενίσκος ὅτι καταδύεται τὰ πρῶτα σημεῖα τοῦ σκορπίου, καὶ τὰ περὶ τῆς Πλειάδων ἐπιτολῆς ἐπέξεισιν· 'ὅταν γάρ', φησίν, Εὐριπίδης λέγῃ καὶ ἑπτάποροι Πλειάδες αἰθέριαι, οὐ ⟨λέγει⟩ δύεσθαι τότε αὐτάς, ἀλλ' ἔμπαλιν ἀνατέλλειν ἐκ τοῦ ὑπὸ ⟨γῆν⟩ τμήματος εἰς τὸ ὑπὲρ ⟨τὸν⟩ ὁρίζοντα ἀνιούσας· καὶ τοῦτο εἶναι τὸ καὶ ἑπτάποροι Πλειάδες ⟨αἰθέριαι⟩, οἷον· εἰς τὸν ὡς πρὸς ἡμᾶς οὐρανὸν ἀφικνού-

2 τὸ Φοίβου ego τοῦ φοίβου A  4 καὶ del. Wil  7 τὰ addidi τὸν ἀετὸν Cobet  9 διότι ego καὶ ἔτι A  δίδυμοι Vater δίδυμοσ  11 ἰχθύες ego ἰχθύσ A  12 οὔσης in loco detrito suppl. Cobet ὑπὸ τοῦ τῆς φράσεως ἀμφιβόλου Wil ἐξηπατῆσθαι Cobet  14 τῆς φυλακῆς del. Wil  15 ἂν addidi  16 αὐτάς delevi  τῶν add. Cobet  19 διότι ego καὶ ὅτι A  20. 21 ὄντα — γράφειν addidi  21 ὀγδώκοντα Dindorf ὀγδοήκοντα A  22 πέλῃσι ego μένησι A  πίπτει scil. Bootes  24 Πλειάδων ego πλειάδοσ A  25 λέγει addidi  26 γῆν add. LDindorf  26. 27 εἰς τὸ ὑπὲρ τὸν ὁρίζοντα ego εἰσ ὑπεροριζον A  28 αἰθέριαι addidi  εἰς ego ὡσ A

μεναι. ταῦτα δὲ καταστησαμένων ὁμολογεῖ, φησί, τοῖς Εὐριπίδου τὰ φαινόμενα * * τὰ μὲν πρῶτα σημεῖα [τῆς ὥρας] εἰς δύσιν κεχώρηκεν, ἡ δὲ Πλειὰς ἀνατέλλει, ὁ δὲ ἀετὸς πρὸς τὸ μέσον κεχώρηκε. λοιπὸν οὖν τῆς φυλακῆς ὁ καιρός· ἔγρεσθε, τί μέλλετε. ἑπτάπορον δὲ τὴν Πλειάδα, ὅτι ἐξ ἑπτὰ ἀστέρων σύγκεινται αἱ Πλειάδες. ἀετὸς δὲ ὁ τὸ ἧπαρ τοῦ Προμηθέως, ὥς φασί τινες: —

ἄλλως: τῶν περὶ τὸν Μενεκράτην ἐν διδύμοις τὸν ἥλιον λεγόντων, ἐν ᾧ τὰ τῆς καταστάσεως τῶν φαινομένων ὅπως εἶχε πρόκειται. εἰσὶν [δὲ] οἵ φασι περὶ τὰς ἐσχάτας μοίρας τοῦ καρκίνου εἶναι τότε τὸν ἥλιον. οὐ γὰρ ἂν μόνως τὴν σελήνην πρὸς * * ἀνατολὴν ἔσεσθαι * * συνάγουσιν οὕτως ἃ βούλονται. εἰ μὲν γὰρ πάλαι τὴν σελήνην ὡς ἐν τρισὶν ἡμέραις τοῦτον * * οἱ φύλακες εὐήθεις ἱκανῶς ἔσονται. εὔλογον γάρ * *: —

540 Κίλικας Παιών: οἱ μὲν τοὺς Κίλικας καὶ τοὺς [Παιόνας] ⟨Μυσοὺς τοὺς⟩ αὐτοὺς ἤκουσαν· Ἀρίσταρχος δὲ Κόροιβον Παιόνων ἡγεμόνα καὶ τὴν φυλακὴν ποτὲ μὲν ἀπὸ τοῦ ἡγεμόνος, ποτὲ δὲ ἀπὸ τῶν ὑπηκόων: —

541 Μυσοὶ δ' ἡμᾶς: ὡς Μυσῶν διαδεχομένων Κίλικας. Κίλικες γὰρ μετὰ Παιόνας, εἶτα Μυσοί, εἶτα Τρῶες, εἶτα πέμπτοι Λύκιοι: —

547 κοίτας φονίας: διὰ τὰ τολμηθέντα ἐπὶ τῷ Ἰτύλῳ.
λείπει δὲ τὸ ὡς· ὡς ἐπὶ [κοίτης] τοῦ Σιμόεντος ὑμνεῖ τὴν μῖξιν, αἰῶ.

γράφεται καὶ θρηνεῖ καὶ ἔξωθεν λαμβάνεται ἡ ἐπί καὶ τὸ ὡς· ὡς ἐπὶ τοῦ Σιμόεντος ἑζομένη θρηνεῖ τὰς φονίας κοίτας ἡ ἀηδών: —

550 μελοποιὸς ἀηδών: λέγεται γὰρ ἡ Πρόκνη μετὰ τὸ κρεανομῆσαι Ἴτυν τὸν υἱὸν διὰ τὴν λύπην μεταβληθῆναι εἰς ὄρνιν· καὶ ἡ μὲν Πρόκνη εἰς ἀηδόνα μετεβλήθη ὡς καὶ ἡ Φιλομήλα εἰς χελιδόνα: —

673 πρὸς τὰ ναύσταθμα: —

674 σκηπτοῦ 'πιόντος: αἰφνιδίως κεραυνοῦ σφοδροῦ ἐπελθόντος: —

1 καταστησαμένων Wil καταστησάμενοσ A 2 lacunam indicaui τῆς ὥρας del. Wil 7 in μενεκράτη corr. al. m. 8 ἔχει ὅπως πρόκειται Wil 9 δὲ deleui 10 lacunas indicaui, suppleas e. g. προσ⟨βλέποντας νομίσαι τοὺς φύλακας⟩ et ἀλλ' οὐ 12 inter τοῦτον et οἱ habet γρ τὰ προεκκείμενα A 13 in fine habet ζτ τὸ λεῖπον A 14. 15 Παιόνας del. et Μυσοὺς τοὺς add. Wil et ego 18 μετὰ Παίονας Vater εἶτα παιόνες A 20 κοίτης del. GHermann ὑμνεῖ GHermann ὑμνεῖν A 21 γράψον A 22 ἑζομένη GHermann ἑζόμενοι A 23 in uersu ἀηδονὶσ A 26 initio scholii 27 habet A 27 αἰφνιδίως ego αἰφνιδίου A

675 ἔα: ὁ χορὸς λέγει αἴσθησιν λαβὼν τῶν γεγονότων: —

691 ἀλλὰ συμμάχους: ἀλλὰ δεινόν, φησί, τοὺς συμμάχους ταράττειν νυκτὸς οὔσης: —

716 τὸ χ̄ ὅτι φαλακρὸν αὐτόν φησιν: — mg. int.

785 ἐκ τῶν μυκτήρων ποιὸν ἦχον ἀπετέλουν: —

789 μυχθισμὸν νεκρῶν: ποιὸν ἦχον καὶ στεναγμὸν μετὰ πνοῆς γινόμενον: —

790 τὸ ἑξῆς· θερμὸς δὲ κρουνὸς αἵματος νέου δεσπότου παρὰ σφαγαῖς δυσθνήσκοντος βάλλει με: —

GLOSSAE CODICIS A 681 κατέχων λέγει 683 Ὀδυσσεὺς ὑποκρίνεται εἶναι Τρωικός 685 ἀνίστασο 687 ὡς ἀνατετακότων αὐτῶν τὰ ἀμυντήρια 700 ὁ Αἴας 701 ἐκ τῶν Σποράδων νήσων 703 ποῖός ἐστιν αὐτῷ πάτριος θεός 706 κατ' ἐρώτησιν· οὔπω γὰρ ᾔδει τὸ ἡμιχόριον τοῦ Ῥήσου τὴν ἀναίρεσιν 707 ἐμφαντικῶς τοῦτο 710 περὶ τοῦ Ὀδυσσέως λέγουσιν 715 τροφὴν αἰτῶν 716 τὴν ἔχουσαν διερρωγυίας τρίχας πολύρρυπον 724 τί λέγων βλασφημῶν. ἢ ὀργιζόμενος καὶ λοιδορῶν 726 τοὺς λῃστὰς λέγων [ἢ] ἐφ' ἡμῶν περᾶσαι καὶ διεληλυθέναι 737 οἱ ὀφθαλμοί 740 τὸν ὑπὸ τῆς ἀσπίδος 741 τῶν φροντιστῶν καὶ ἐπιστατῶν 754 οὐκ ἀδήλως οὐδὲ ἀσαφῶς 757 τὸ αἰσχίστως ἀποθανεῖν 759 τὸ θανεῖν ἀκλεῶς λυπρὸν οἶμαι 761 ἀσκόπως 762 περιφραστικῶς ὁ Ἕκτωρ 766 αἱ μάστιγες 769 ἁπλῶς, ὡς ἔτυχεν 770 φροντιζούσῃ 771 τὸ ἑξῆς· πώλοισι χόρτον ἀφθόνῳ μετρῶ χειρί 776 ἐβόησα 778 λείπει τὸ ἔλεγον 780 ὄνειρος 783 τοὺς ἵππους· κεῖται γὰρ ἑξῆς ἡ πρόθεσις 784 τῆς βύρσης 787 ἀπαλεξῆσαι τοὺς θῆρας ἀπὸ τῶν πώλων

NOTAE CODICIS C 711 ὕπαφρος ὁ μὴ φανερός, ἐκ μεταφορᾶς τῶν ὑπ' ἀφρὸν νηχομένων, ἢ τῶν ὑφάλων πετρῶν αἷς ἐπανθεῖ ἀφρός. ἢ ὁ καταπληκτικὸς ὁ μανικός 785 ἐκ τῶν μυκτήρων ποιὸν ἦχον ἀπετέλουν 789 ποιὸν στεναγμόν

---

1 ἔα A, in uersu ἔαε 6 Hesych. μυχθισμός στεναγμός 8. 9 scholio 6. 7 adi. A 19 cf. Hesych. δίοπος . . . ἐπιστάτης 19. 20 ἀδήλως ego ἀδόλωσ A 24. 25 τοὺς — πρόθεσις us. 784 adscripsit A 27 Hesych. ὕπαφρον τὸ μὴ φανερὸν ὕπαφρον λέγουσιν. ἄλλοι ὕπαφρον τὸ ὑγρασίαν ἔχον ἐμφερῆ ἀφρῷ. ἔνιοι κρύφιον καὶ ὕπουλον τὸ ὕπαφρον

852 τίς δ' ἂν χαμεύνας: τὸ ἑξῆς· τίς ἂν κατ' εὐφρόνην τῶν πολεμίων μολὼν Ῥήσου χαμεύνας εὗρεν: —

859 ἐν σοὶ δ' ἂν ἀρχοίμεσθα: ἀρχὴν δηλ⟨ονότι⟩ τοῦ κακολογεῖσθαι πρῶτον ⟨ἀρχόμεθα⟩ ὑπὸ ⟨σοῦ, οἷον·⟩ σὺ ἡμᾶς πρῶτον ἤρξω κατηγορεῖν: —

895 ἰαλέμῳ: καὶ Ἀσκληπιάδης ἐν ἕκτῳ Τραγῳδουμένων [frg. 8] ⟨εἶναι⟩ πλείους τῆς Καλλιόπης λέγει παῖδας ἐν τούτῳ· Καλλιόπῃ γὰρ τὸν Ἀπόλλωνα μιχθέντα γεννῆσαι Λίνον τὸν πρεσβύτατον καὶ τρεῖς μετ' ἐκεῖνον, Ὑμέναιον ⟨Ἰάλεμον⟩ Ὀρφέα. τῷ δὲ νεωτάτῳ τὴν μὲν ἐπιθυμίαν ⟨τῶν τῆς μητρὸς ἐπιτη⟩δευμάτων ἐμπεσεῖν καὶ περὶ τὴν μουσικὴν ⟨περιγενέσθ⟩αι πάντων· οὐ μὴν τοιοῦτό γε πάθος ⟨οἷον λέγεται⟩ γενέσθαι: — (v. p. 344)

ἄλλως: ἰαλέμῳ: ⟨ἱστορεῖται τὸν ἰά⟩λεμον παρωνομάσθαι ἐπὶ τιμῇ Ἰαλέμου τοῦ Ἀπόλλωνος καὶ Καλλιόπης, ὥς φησι Πίνδαρος [frg. 139]·

GLOSSAE CODICIS A 840 ἐπιμεμφόμενος 841 δικαιότερον 842 τὴν τοῦ Μενελάου 846 ἵδρυσο 855 ᾔδεισαν ἐγίνωσκον πανουργεῖς, ὦ Ἕκτορ 861 καὶ ταῦτα, φησίν, Ὀδυσσεὺς ἔδρασεν· τίς γὰρ ἄλλος τῶν Ἀργείων 866 οὕστινας 881 πρὸς τὰ κεχωρισμένα τῆς λεωφόρου 895 τῷ εὐθὺς γενομένῳ θρήνῳ

NOTAE CODICIS C 817 οὕτως παροξύνει Ἡρωδιανὸς ἐν τῇ Καθόλου [I p. 256, 25]· δηλοῖ δὲ τὴν μάστιγα ἤτοι μαστίγων πλήγμασιν ἢ τῷ καρατομηθῆναι 826 βρίξαι κυρίως τὸ μετὰ βορὰν ὀλίγον κοιμηθῆναι 855 ᾖσαν ἠπίσταντο 873 τῶν Τρώων· αὐτοὺς γὰρ ἐδόκει τοῦ Ῥήσου φονεῖς γενέσθαι

---

1 ἂν (in lemmate)] αὖ A 3—5 ultimae scholii litterae siue prorsus euanuere siue sub charta male agglutinata delitescunt: ita in codice scriptum est, (quae compendiis scripta sunt, uncis inclusi)

θ
Ἐν σοί δ' ἂν ἀρχοίμ: Ἀρχ(ὴν) δηλ..
τ(οῦ) κακολογεῖσθ(αι) πρῶτ(ον) spatium IV litterarum ὑπὸ..
σὺ ἡμ(ᾶς) πρῶτ(ον) ἤρξω κατηγορ(εῖν)..

6—12 cf. schol. Pind. Pyth. 4, 313 6 ἐν ἕκτῳ] ἐν ϛ' A Τραγῳδουμένων] περιδουμε... A 7 ἐν τούτω corrupta 8 πρεσβύτερον A 9 νεωτέρω A 10 suppleui 11 περιγενέσθαι suppleui οἷον λέγεται suppl. Wil coram codice 13 suppleui 22 βορᾶς C 23 ἴσαν C

5—20 scholion ita in codice scriptum est, quae compendiis scripta sunt, inclusi, incerta punctis suppositis significaui:

Ἰαλέμ: Καὶ ἀσκληπιάδ(ης) ἐν, πόου
μ(ε)νον (εἶναι) πλεί(ους) τ(ῆς) καλλιόπ(ης) λέ παῖδ(ας) ἐν
τούτ· καλλιόπ γ(ὰρ) τ(ὸν) ἀπόλλω(να) μιχ(θέντα), γεν
. . σ(αι) λίν(ον) τ(ὸν) πρεσβύ(τερον) (καὶ) τρ(εῖς) μετ' ἐκεῖν(ον) ὑμέναι(ον)
. . . . . . . . . ὀρφέ(α)· τ(ῷ) δὲ νεω(τέρῳ) τ(ὴν) μ(ὲν) ἐπιθυμί(αν)
. . . . . . . . . . . δευ(μάτων) ἐμπεσ(εῖν) (καὶ) π(ερὶ) τ(ὴν) μουσικ(ὴν)
π(ερ . . . . . . . . αι πάντ(ων)· οὐ μ(ὴν) τοιοῦτό γε πά(θος)
ο(ον) . . . . . . γενέσθ(αι): ἄλλως· ἰαλέμ
. . . . . . . λεμ(ον) παρωνομᾶσθ(αι) ἐπὶ τιμ
ἰαλέμ(ου) τ(οῦ) ἀπόλλ (καὶ) καλλιόπ(ης) (ὥς) φ
πίνδαρ(ος)· ἔντι μ(ὲν) χρυσαλακάτ(ου) τεκέ(ων)
λατοῦς ἀοιδαὶ ὥ. ιαι παιάνιδ(ες)· ἔντι
. . θάλλοντ(ες) ἐκ κισυ στέφ(ανον) ἐκ διο . .
. . . . . . αιόμ(εναι)· τὸ δὲ κοι . . αν τρ(εῖς)
. . . . . . . . . . . . . . . . . . . . . ἀποφθιμ(ένων) ἁ μ ἐν) ἀχέταν λινὸν αἴλινον ὑμν(εῖν) ἁ δὲ ὑμέναι(ον) ἐργάμοισι χροιζόμ(ενον)
. . σύμ πρω λάβεν ἔσχατ(ον) ὕμν(ον). ἁ δὲ ἰάλεμ(ον) ὠμοβόλῳ νοῦς ὅτι παῖδ(α) θέντοι σθέν(ος) υἱὸν οἴαγρον:

---

2 μενον (εἶναι) Wil μ(ε) . . . . ego  8 ο.(ον) Wil . . . ego  9 initio θ . . . . . Wil ' ego  16 συμπρωτ(ων) Wil  in ceteris eius meaque apographa consentiunt

ἔντι μὲν χρυσαλακάτου τεκέων Λατοῦς ἀοιδαὶ
ὥριαι παιανίδες· ἔντι ⟨δὲ καὶ⟩ θάλλοντος ἐκ κισσοῦ στεφάνων
[ἐκ] Διο⟨νύσου⟩
⟨διθύραμβον μ⟩αιόμεναι· τὸ δὲ — ◡ — ◡ —
. . . . . . . . . . ἀποφθιμένων
ἃ μὲν ἀχέταν Λίνον αἴλινον ὑμνεῖ,
ἃ δ' Ὑμέναιον, ⟨ὃν⟩ ἐν γάμοισι χροΐζόμενον
⟨Μοῖρα⟩ σὺμ πρωτὰ λάβεν
ἐσχάτοις ὕμνοισιν· ἃ δ' Ἰάλεμον ὠμοβόρῳ νούσῳ [ὅτι] πεδαθέντα σθένος,
υἱὸν Οἰάγρου ⟨δὲ

---

1—11 restituit Wil  2 ⟨θ⟩άλλοντεσ A  στέφανον A  6 ὑμνεῖ Christ ὑμνεῖν A  7 ὃν ἐν γάμοισι GHermann ἐργάμοισι A  8 Μοῖρα suppl. Bergk  σὺμ πρώτοις GHermann  9 ἔσχατον ὕμνον A ἐσχάτοις θ' ὕμνοισιν GHermann  ὠμοβόρῳ Schneidewin ὁμοβόλῳ A  ὅτι del. GHermann  πεδαθέντα Schneidewin et Welcker παῖδα θέντοι A  11 Οἰάγρου Schneidewin οἴαγρον: A

# ΥΠΟΘΕΣΙΣ ΤΡΩΙΑΔΩΝ

Μετὰ τὴν Ἰλίου πόρθησιν ἔδοξεν Ἀθηνᾷ τε καὶ Ποσειδῶνι τὸ τῶν Ἀχαιῶν στράτευμα διαφθεῖραι, τοῦ μὲν εὐνοοῦντος τῇ πόλει διὰ τὴν κτίσιν, τῆς δὲ μισησάσης τοὺς Ἕλληνας διὰ τὴν Αἴαντος εἰς Κασάνδραν ὕβριν. οἱ δὲ Ἕλληνες κληρωσάμενοι περὶ τῶν αἰχμαλώτων γυναικῶν τὰς ἐν ἀξιώμασιν ἔδωκαν Ἀγαμέμνονι μὲν Κασάνδραν, Ἀνδρομάχην δὲ Νεοπτολέμῳ, Πολυξένην δὲ Ἀχιλλεῖ. ταύτην μὲν οὖν ἐπὶ τῆς τοῦ Ἀχιλλέως ταφῆς ἔσφαξαν, Ἀστυάνακτα δὲ ἀπὸ τῶν τειχῶν ἔρριψαν. Ἑλένην δὲ ὡς ἀποκτενῶν Μενέλαος ἤγαγεν, Ἀγαμέμνων δὲ τὴν χρησμῳδὸν ἐνυμφαγώγησεν. Ἑκάβη δὲ τῆς μὲν Ἑλένης κατηγορήσασα, τοὺς ἀναιρεθέντας δὲ κατοδυραμένη καὶ κηδεύσασα πρὸς τὰς Ὀδυσσέως ἤχθη σκηνάς, τούτῳ λατρεύειν δοθεῖσα: — A Pal. 287

Aelian. uar. hist. 2, 8 κατὰ τὴν πρώτην καὶ ἐνενηκοστὴν Ὀλυμπιάδα, καθ' ἣν ἐνίκα Ἐξαίνετος ὁ Ἀκραγαντῖνος στάδιον, . . . . πρῶτος Ξενοκλῆς . . . Οἰδίποδι . . Λυκάονι . . Βάκχαις . . Ἀθάμαντι σατυρικῷ, . . δεύτερος Εὐριπίδης . . Ἀλεξάνδρῳ . . Παλαμήδει . . Τρῳάσι . . Σισύφῳ σατυρικῷ . . . .

---

1 πόρθωσιν A  2 στράτευμα — τοῦ in ras. A  5. 6 ἐκληρώσαντο τὰς αἰχμαλωτίδας τῶν γυναικῶν· τὰς γὰρ Pal. 287  6 δὲ] μὲν A  τῷ ἀχιλλεῖ Pal. 287  7. 8 Ἀχιλλέως] εἰρημένου Pal. 287  9 ἀποκτενῶν Musurus ἀποκτείνων A Pal. 287  11 δὲ] μὲν A  τὸν Ἀστυάνακτα κηδεύσασα Kirchhoff τε καὶ Pal. 287  12 τούτων A

# ΣΧΟΛΙΑ ΕΙΣ ΤΡΩΙΑΔΑΣ

1 ἥκω λιπών: ὅλος ἐπὶ τοῦ θεάτρου ὁ Εὐριπίδης, πρὸς ὃ ἀφορῶν τοὺς λόγους νῦν ὁ Ποσειδῶν ποιεῖ παρὼν ἐν τῇ ὑποθέσει. πολλαχοῦ δὲ τοιοῦτος, ὡς ἐν ταῖς Βάκχαις ὁ Διόνυσος ἥκω Διὸς παῖς τήνδε Θηβαίων χθόνα: —

6 οὔποτ' ἐκ φρενῶν: τὸ ἑξῆς· ἐκ φρενῶν τῶν ἐμῶν. παρὰ ⟨τὸν⟩ 'Ομηρικὸν [δὲ] Ποσειδῶνα ταῦτα: —

9 ὁ γὰρ Παρνάσσιος: Παρνάσσιον αὐτὸν εἶπε Φωκέα ὄντα διὰ ⟨τὸ⟩ τάττεσθαι Δελφοὺς ὑπὸ Φωκεῦσιν. Ὅμηρος [B 517]· 'αὐτὰρ Φωκήων Σχεδίος καὶ Ἐπίστροφος ἦρχον υἱέες Ἰφίτου μεγαθύμου Ναυβολίδαο', εἶτα [519] 'οἳ Κυπάρισσον ἔχον Πυθῶνά τε πετρήεσσαν'. παρ' ὃ δὴ ἠξιοῦντο τοῦ τε ἱεροῦ καὶ τῶν αὐτόθι χρημάτων ἔχειν τὴν ἐπιμέλειαν. ἔνθεν καὶ οἱ ἱεροὶ πόλεμοι κατερράγησαν, Λακεδαιμονίων μὲν ἀποδόντων Δελφοῖς τὸ ἱερὸν μετὰ τὸ καταπολεμῆσαι Φωκέας, Ἀθηναίων δὲ ἔμπαλιν Φωκεῦσιν αὐτὸ παραδόντων αὖθις, ὡς Θουκυδίδης [1, 112,5] φησί. καλεῖται δὲ ἱερὸς ὅτι περὶ τοῦ ἱεροῦ τοῦ ἐν Δελφοῖς ἐγένετο.

Φώκου δὲ τοῦ ⟨Αἰακοῦ καὶ⟩ Ψαμάθης καὶ Ἀστεροδίας τῆς Δηιονέως ἐγένετο Πανοπεὺς καὶ Κρῖσος ὁ Κρῖσαν κτίσας, τοῦ δὲ Πανοπέως Ἐπειός. οὗτος εἰς Τροίαν στρατεύσας τὸν δούρειον ἵππον ἐποίησεν: —

ἄλλως: ὁ Φωκεὺς Παρνάσσιος εἴρηται, ἐπεὶ Δελφοὶ σὺν τοῖς

---

2 ἐστὶ Cobet    3 παρὼν ἐν τῇ ὑποθέσει] coniecerim περὶ τῶν ἐν τῇ ὑποθέσει, olim temptaui παρὰ τὴν ὑπόθεσιν    6 παρὰ LDindorf περὶ A    τὸν addidi    δὲ deleui    7. 8 διὰ τὸ τάττεσθαι LDindorf διατάττεσθαι    8 ἀτὰρ A    11 ᾧ A    ἔχειν LDindorf εἶχον A    14 αὖτις A    15 παρὰ A    16—18 cf. schol. Or. 33 et praeter locos ibi adlatos Steph. Byz. p. 500, 19 schol. B 520    16 Αἰακοῦ καὶ add. Wil    17 Κρῖσος — κτίσας Kampmann χροῖσοσ ὁ χρισάντου A    19 ἐπεὶ Δελφοὶ ego ἐπειδὴ δὲ ἀφῶν A ἐπεὶ οἱ Δελφοὶ Wil ἐπεὶ Δελφὸς ὢν et ἐτάττετο Cobet

Φωκεῦσιν ἐτάττοντο. ἢ διὰ τὸ πλησίον τῇ Φωκίδι εἶναι τὸν Παρνασσόν: —

14 δούρειος ἵππος: ψυχρῶς ἠτυμολόγησε τὸν ἵππον ἀπὸ τῶν δοράτων· ἄμεινον γὰρ παρὰ τὰ δοῦρα πεποιῆσθαι ἤγουν τὰ ξύλα. Ὅμηρος [θ 512] ‘δουράτεον’, ὅ ἐστι ξύλινον: —

15 ἔρημα δ' ἄλση: ἔρημα αὐτά φησιν ὡς τῶν θεῶν ἐκλελοιπότων τὰ ἱερά. αὐτὸς γοῦν ὁ Ποσειδῶν φησι [25] λείπω τὸ κλεινὸν Ἴλιον βωμούς τ' ἐμούς: —

16 πρὸς δὲ κρηπίδων βάθροις: παρὰ τοῖς βάθροις δὲ τῶν κρηπίδων τοῦ Ἑρκείου Διὸς ἀντὶ τοῦ· ἐπὶ τοῖς βωμοῖς τοῦ Διός. τὸν δὲ Ἕρκειον Δία ἄλλοι ἱστορικοὶ ἀναγράφουσιν ἰδίαν τινὰ σχέσιν περὶ αὐτοῦ ἱστοροῦντες. τρισὶ ⟨γὰρ⟩ ὀφθαλμοῖς αὐτὸν κεχρῆσθαί φασιν ὡς οἱ περὶ Ἁγίαν καὶ Δερκύλον [frg. 3]. πεφόνευται δὲ ὁ Πρίαμος ὑπὸ Νεοπτολέμου δικαίως, ἐπειδὴ καὶ τὸν πατέρα αὐτοῦ Ἀχιλλέα ἐλθόντα ἐπὶ τὸν γάμον τῆς Πολυξένης οἱ περὶ Ἀλέξανδρον ἐν τῷ τοῦ Θυμβραίου Ἀπόλλωνος ἱερῷ λόγχαις ἀνεῖλον: —

20 δεκασπόρῳ χρόνῳ: ἀντὶ τοῦ διὰ δέκα ἐνιαυτῶν. ἔνθεν καὶ ποίας τοὺς ἐνιαυτοὺς ἔλεγον ἀπὸ τῆς τῶν καρπῶν ἀναδόσεως: —

27 νοσεῖ τὰ τῶν θεῶν: ἀντὶ τοῦ ἐξασθενεῖ, οἷον· τὰ τῶν θεῶν ἀμελεῖται ὑπὸ τῶν ἀνθρώπων: —

29 βοᾷ Σκάμανδρος: ἀντὶ τοῦ καταβοᾶται ἐν τῷ αὐτὰς βοᾶν: —

30 Νεοπτόλεμος καὶ ἄλλοι τινές: —

31 ταῦτα ἔνιοι πρὸς χάριν Ἀθηναίων Εὐριπίδην λέγειν· ἀγαπητὸν

GLOSSAE 15 γράφεται καὶ ἀγάλματα 23 τὸ ἑξῆς· ἐγὼ δὲ λείπω 24 ταῖς παρακλήσεσιν Ἥρας καὶ Ἀθηνᾶς

---

7 γοῦν ego οὖν A 9. 10 Hesych. κρηπίδων [καὶ] βάθροις βωμῶν 10 ἐρκίου A ἐπὶ ego ὑπὸ A 11 τὸν Cobet τὸ A ἕρκιον A ἄλλοι ἱστορικοὶ] coniecerim ἐν Ἄργει οἱ ἱστορικοὶ cl. Paus. 2, 24, 4, ἄλλοι ἱστορικοὶ ἄλλως γράφουσι Wil 12 τρισὶ γὰρ ego τρισὶν A αὐτὸν Kampmann αὐτοὺς A 13 ἁγίαν A δέρκαλον A 12. 13 ὡς οἱ—Δερκύλον τρισὶν ὀφθαλμοῖς—φασιν Wil 13—16 schol. Hec. 41 16 ἱερῷ Kampmann ἱερὸν A 17. 18 cf. et. m. p. 677, 52 Gud. p. 472, 17 Zon. p. 1563 Suid. 18 ποιὰς A 21 καταβοᾶ in ras. A 22 scholio 21 adi. A 23—p. 349, 9 cf. schol. Hec. 123 23—p. 349, 2 scholio 9—16 adi. A 24 γράψον A

γὰρ εἶναι τοῖς περὶ Δημοφῶντα Αἴθραν ἀναλαβεῖν, ἧς ἕνεκα αὐτούς φασιν εἰς Τροίαν ἐλθεῖν. Μενεσθέως ἀφηγουμένου τῶν Ἀθηναίων: —

Ἀθηναίων τε Θησεῖδαι πρόμοι: ἔνιοι ταῦτά φασι πρὸς χάριν εἰρῆσθαι· μηδὲν γὰρ εἰληφέναι [ἐκ] τοὺς περὶ Ἀκάμαντα καὶ Δημοφῶντα ἐκ τῶν λαφύρων ἀλλὰ μόνην τὴν Αἴθραν, δι' ἣν καὶ ἀφίκοντο εἰς Ἴλιον, Μενεσθέως ἡγουμένου. Λυσίμαχος [frg. 19] δὲ τὸν τὴν Πέρσιδα πεποιηκότα φησὶ γράφειν οὕτως [frg. 3]· 'Θησείδαις δ' ἔπορεν δῶρα κρείων Ἀγαμέμνων ἠδὲ Μενεσθῆι μεγαλήτορι ποιμένι λαῶν': —

32 Τρῳάδων ὑπὸ στέγαις: γράφεται παρθένων. ὅσαι μὲν οὖν ἐκληρώθησαν, ἀπεδόθησαν, ὅσαι δὲ ἀκλήρωτοι ἐξῃροῦντο δοθεῖσαι τοῖς πρώτοις, ἐνταῦθα τυγχάνουσιν: —

36 τὴν δ' ἀθλίαν: ἄμεινον ἦν ἀπὸ τῶν πραγμάτων παρεισάγεσθαι, ὀδυρομένην τὰ παρόντα. οὕτως γὰρ ⟨ἂν⟩ ἡ τραγῳδία τὸ πάθος εἶχε, νῦν δὲ ψυχρῶς τῷ θεάτρῳ προσδιαλέγεται: —

41. 42 ἣν δὲ παρθένον μεθῆκ' Ἀπόλλων: ἣν οὐ διεκόρευσεν, ἀλλ' εἴασε παρθένον. οἱ γὰρ ἐνθουσιῶντες ἐπιτεταμένοι εἰσὶ τῇ κινήσει: —

44 γαμεῖ βιαίως: ἀντὶ τοῦ γαμήσει: —

47 σεσημείωται ὡς μηκέτι αὐτῆς οἰκουμένης· ὑπώπτευκε γὰρ Ἀριστοφάνης ἐκ τούτου ⟨τὸ⟩ [Υ 307] 'νῦν δὲ δὴ Αἰνείαο βίη Τρώεσσιν ἀνάξει': —

GLOSSAE 34 ὡς καὶ τῆς Ἑλένης σὺν ⟨ταῖς⟩ αἰχμαλώτοις κειμένης 39 ἀντὶ τοῦ ἧς 40 γράφεται οἰκτρά, ὃ καὶ ἄμεινον 43 τὸ ὅσιον 48 τὸν πλησιάζοντα τῷ πατρὶ κατὰ τὸ γένος 50 τὴν κατὰ τῶν Τρώων ἔχθραν 51 φιλονεικεῖ ὁ Ποσειδῶν σῴζειν τὴν Ἴλιον, ἐπεὶ ᾠκοδόμησεν αὐτήν 53 τοὺς τρόπους 54 σοὶ καὶ ἐμαυτῇ 55 μὴ οὖν 57 ἐφ' ᾗ νῦν ἐσμεν 59 μεταβαλοῦσα

---

2 φασιν Cobet φησὶν A 3 πρὸς Dindorf κατὰ A 4 μηδὲν Cobet μὴ A ἐκ del. Cobet 6. 7 Πέρσιδα Cobet περσηίδα A 7 θεισείδαισ A 8 ἔπορε A 9 ἡ δὲ A 11 ἐξῃροῦντο ego ἐξαίρετο A 13. 14 παρεισάγεσθαι ego παράγεσθαι A 14 οὕτως LDindorf οὐ A ἂν adi. Cobet 17 ἐπιτεταμένοι ego ἐπιτεταμμένοι A 18 κινήσει a κοινήσει A 20—22 scholio 19 adi. A 20 ὡς Wil καὶ A 21 τὸ add. Nauck 21 μίη A 21 τρώεσιν A 23 ὡς ego ἡ A ταῖς add. Wil κειμένης ego κειμένοισ A

61 ἐκεῖσε πρῶτ' ἄνελθε: ἀντὶ τοῦ· ἐκεῖνον ἀνάλαβε τὸν λόγον καὶ ἀνάτρεχε εἰς τὸν περὶ Ἑλλήνων λόγον: —

89 Μυκόνου: ἀκτή τις οὕτω καλουμένη: —

90 Καφήρειοί τ' ἄκραι: Καφηρεὺς [δὲ] ἀκρωτήριον Εὐβοίας καταντικρὺ Σκύρου. Νεάνθης δὲ ὁ Κυζικηνὸς [frg. 36] Καθηρέα αὐτόν φησι πρότερον κεκλῆσθαι· εἶναι γὰρ ἐκεῖ βωμὸν Διὸς εἰς ὃν Εὐβοιεῖς καθαιρόμενοι ἔθυον. χρόνου δὲ προϊόντος Καφηρεὺς ἐκλήθη παραφθειράντων τῶν ἐνοικούντων τὴν λέξιν. περὶ τοῦτο δὲ οἱ πλεῖστοι τῶν Ἑλλήνων κατὰ τὸν ἀπόπλουν διεφθάρησαν. κοινὰ δὲ τὰ τῆς ἱστορίας: —

96 τύμβους θ', ἱερά: λείπει ὁ γάρ, ἵν' ᾖ· τὰ γὰρ ἱερὰ τῶν τεθνηκότων ἔρημα ποιήσας αὐτὸς ὕστερον ὀλεῖται: —

98 ἄνα δύσδαιμον: πρὸς ἑαυτὴν ταῦτα ἡ Ἑκάβη λέγει· ἀνάστηθι τὴν κεφαλήν σου ὦ Ἑκάβη. ⟨γράφεται δὲ καὶ θεόθεν κεφαλή⟩· ὁ δὲ λόγος [ἄνα δυσδαῖμον]· ὦ ἐκ θεῶν δυσδαίμων κεφαλὴ γεγονυῖα, ἀνάστηθι. ἡ δὲ πεδόθεν κεφαλὴ ἐμπαθεστέρα ἐστὶ καὶ τοῖς ὑποκειμένοις οἰκείως ἔχουσα. ἡ γὰρ Ἑκάβη ἔρριψεν ἑαυτὴν διὰ τὰς συμφορὰς ἐπὶ τοῦ ἐδάφους. καὶ τούτῳ οἰκείως ἐπέζευξε τὸ ἐπάειρε δέρην ὡς πεπτωκυίας αὐτῆς καὶ κεκλιμένης ἐπὶ τοῦ ἐδάφους. καὶ τὸν Πρίαμον ὁμοίως κείμενον προυπέστησεν οὕτως [16] πρὸς δὲ κρηπίδων βάθροις πέπτωκε Πρίαμος. ὥστε εἰκὸς διὰ τὰ τοιαῦτα τὴν Ἑκάβην τὰς ἐπιτηδείους καθέδρας καταλιποῦσαν ἐπὶ τοῦ ἐδάφους κεῖσθαι: —

101 ἀνέχου: ἀνέχου, φησίν, ἐν εὐτελείᾳ τυγχάνουσα· οὐ γὰρ τὰ παρόντα νῦν ἐστιν ἡ Τροία οὐδὲ ἡ πρώην εὐδαιμονία οὐδὲ νῦν βασιλεῖς ἐσμεν Τροίας: —

GLOSSAE 67 διὰ τί, φησίν, οὕτω μεταβαίνεις 79 τοὺς ἀνέμους καὶ τὰ πνεύματα τὰ σφοδρά 89 αἱ ἀπὸ τῆς Δήλου τραχεῖαι πέτραι 94 ἐκπέμπῃ τὰ σχοινία

---

1 πρῶτον A 4—9 cf. Steph. Byz. p. 370, 12 4. 5 κάφηρος (pro Καφηρεὺς) — κυζικηνὸς scholio 3 adi. A 4 δὲ deleui εὐοίας A 5 καφηρεὺς καθηρέα A 6 scripserim εἰς ὃν ⟨τοὺς πλέοντας⟩ Εὐβοιεῖς καθηρούμενοι ἔθυον cl. Steph. Byz. ὅστις Καθηρεὺς ἐκαλεῖτο ὅτι τοὺς πλέοντας ἐκεῖ καθῆρον [?] οἱ Εὐβοιεῖς 9 τὰ ego διὰ A 12 δυσδαῖμον A 13 γράφεται—κεφαλή suppleui 14 ἄνα δυσδαῖμον deleui δύσδαιμον A 15 παιδόθεν A κεφαλὴ] γραφὴ A 16 οἰκείοις A 17 τούτῳ Dindorf τοῦτο A 19 προυπέστησεν ego προσσυνέστησεν A

103 μηδὲ προσίστω: ἀντὶ τοῦ· μὴ ἀντίκεισο τοῖς πρὸς πρῷραν κύμασιν, ὅ ἐστιν· μὴ ἀνθίστασο τῷ δαίμονι τοῦ βίου, ἀλλὰ πλέε κατὰ τὸ εὐθύ· ὅταν γὰρ ἡ ναῦς πρὸς κῦμα ἢ πρὸς ἄνεμον πλέῃ, βλάπτεται. σὺ οὖν, φησί, πλέουσα πρὸς κῦμα μὴ ἀνθίστασο τῇ τύχῃ· τοῦτο δὲ ἐναντίον τῷ [A 483. β 429] 'ἡ δὲ ἔθεεν κατὰ κῦμα διαπρήσσουσα κέλευθον': —

108 ὦ πολὺς ὄγκος: ὄγκον λέγει τὴν πολλὴν εὐτυχίαν μεταφορικῶς· ὦ πολλὴ εὐδαιμονία τῶν προγόνων συσταλέντων: —

117 ἄκανθάν τ' εἰς ἀμφοτέρους: τὴν τῶν μελῶν ἄκανθαν· λέγει δὲ τοὺς νωτιαίους σφονδύλους. τοίχους δὲ τὰς πλευρὰς μεταφορικῶς εἴρηκεν. τὴν ῥάχιν οὖν ἄκανθάν φησιν. ὁ δὲ λόγος· πόθος μοί ἐστιν τὴν ῥάχιν ἑλίξαι εἰς τὰ πλευρά: —

119 ἐπὶ τοὺς αἰεὶ δακρύων: ἡ ἐπί ἀντὶ τῆς διά, ὅ ἐστι· βούλομαι διαδοῦναι ἐμαυτήν· κέκμηκα γὰρ διὰ τοὺς ἐλέγους καὶ τοὺς θρήνους: —

120 Μοῦσα δὲ χαὐτή: καὶ αὐτὴ δέ, φησί, παραμυθία ἐστὶ τοῖς δυστυχοῦσι τὰς ἑαυτῶν ἀποδύρεσθαι συμφοράς. ἔστι γὰρ καὶ Μοῦσα θρηνῳδίας: —

122 ναῶν ὠκεῖαι: ὦ πρῷραι τῶν νηῶν αἵτινες κώπαις ἀνὰ τὴν θάλασσαν καὶ τοὺς λιμένας μετ' αὐλῶν βαίνουσαι τὴν πλεκτὴν τῆς Αἰγύπτου παιδείαν, ὅ ἐστι τὰ σχοινία, ἐν τοῖς κόλποις τῆς Τροίας ἐξηρτήσασθε τὴν Μενελάου γυναῖκα μετερχόμεναι: —

ἄλλως: τὰ σχοινία, φησίν, ἐν τῷ τῆς Τροίας λιμένι ἐξήψασθε, τὰ πρυμνήσια. Αἰγύπτου δὲ παιδείαν τὰ σχοινία, καθὸ ἡ Αἴγυπτος τὴν βύβλον τρέφει. ὁ δὲ νοῦς τοιοῦτος· ὦ νῆες, ἐπὶ αὐλῶν στυγνῷ παιᾶνι τῇ Τροίᾳ προσωρμίσατε. παρόσον αὐλοῦσιν αὐλοὺς ἔχοντες εἰς τὰς ναῦς [frg. com. ad. 727]· 'ἀλλ', Ἡράκλεις, αὐλεῖ τις': —

GLOSSAE 113 ἀντὶ τοῦ· φεῦ τῆς ἀνακλίσεως τῶν μελῶν, ὡς διάκειμαι 121 δυσχορεύτους

1 ἀντίκεισο ego ἀντικεῖσθαι A 5 τὸ A ἡ om. A ἔθεε A διαπρήσας A 7 πολλὴν ego π.. A (λ supra) 9—11 cf. Hesych. s. u. ἀκανός 10 δὲ — νωτιαίους σ detrita in A habet a 10. 11 φορικῶς detrita in A habet a 12 ἑλίξαι ego εἰλῆσαι A εἰς et πλευρά detrita in A habet a 19 κῶπας A 21. 22 ex ἐξηρτύσασθε corr. A 26 τῇ Τροίᾳ ego τὴν τροίαν A προσωρμήσατε A αὐλοὺς ἔχοντες corrupta 27 Ἡράκλεις Meineke ἡρακλῆς A

132 Κάστορι λώβαν: τὴν γενομένην τῷ Κάστορι λώβαν καὶ τῷ Εὐρώτᾳ δύσκλειαν, τῷ ποταμῷ Λακεδαίμονος· κοινοποιεῖ δὲ ἐπὶ πάσης Ἑλλάδος: —

141 κουρᾷ ξυρήκει: τῇ ξυρήκει κουρᾷ ἐκκαρθεῖσα τὴν πενθίμην κεφαλήν, ἀντὶ τοῦ· πένθιμον κεφαλὴν ἔχουσα: —

146 μάτηρ δ' ὡσεὶ πτανοῖς: καθάπερ δὲ ὄρνισιν ἡ μήτηρ ἐξάρχει τὴν πτῆσιν, οὕτως κἀγὼ [κατὰ] τὴν κλαγγὴν καὶ τὸν θρῆνον ἐξάρξω, ἐξάρξω δὲ οὐ κατὰ τὴν μολπὴν ἐκείνην ἣν εἰώθειν εὐτυχοῦσα λέγειν: —

150 σκήπτρῳ Πριάμου: τῷ σκήπτρῳ τοῦ Πριάμου ἐπερειδομένη ταῖς εὐκόμποις πληγαῖς [Φρύγιαι] τοῦ ἀρχεχόρου ποδὸς ἐξῆρχον τοὺς θεούς, ὅ ἐστιν ἀνύμνουν: —

διερειδομένα: ἡ λέξις ἑκάτερον ἔχει, καὶ τὴν αὐτῆς ἀσθένειαν καὶ τὴν Πριάμου δυναστείαν: —

166 ἔξω κομίζεσθ' οἴκων: ἔξω τῶν οἴκων εὐτρεπίζεσθε, πρὸς τὸ πλεῖν στέλλεσθε ἑαυτάς. λέγει πρὸς τὰς λοιπὰς τὰς ἔσω, ἵνα τὸ ἡμιχόριον ἐξέλθῃ: —

169 μή νῦν μοι τὰν ἐκβακχεύουσαν: ἐπειδὴ μέλλουσιν αἱ Τρῳάδες ἐξιέναι, συμβουλεύει ἡ Ἑκάβη μὴ ἐᾶν Κασάνδραν ἐξιέναι διὰ τὸ μαίνεσθαι: —

171 αἰσχύναν Ἀργείοισιν: μὴ πέμψητε αὐτὴν αἰσχύνην τοῖς Ἕλλησιν, ἵνα καταισχύνωσιν αὐτὴν οἱ Ἕλληνες: —

182 ὀρθρεύου σὰν ψυχάν: ἔπαιρε τὴν σεαυτοῦ ψυχήν, ὦ χορέ. ἀπὸ μεταφορᾶς τῶν ὄρθρου ἐγειρομένων: —

GLOSSAE 132 τὸν ἀδελφὸν τῆς Ἑλένης 134 ἀντὶ τοῦ σφάζεσθαι ποιεῖ 139 αὕτη μὲν ἔξω τῆς σκηνῆς ἦν, ὁ δὲ χορὸς ἔσω 141 τῇ διὰ ξυροῦ ἐκκαρθείσῃ 145 πυρπολεῖται Ἴλιος, δι' ὃ θρηνοῦμεν 152 ἀνύμνουν 162 ταῖς ναυσὶν ἀπάξουσιν 170 ἐκβακχευομένην 175 οἱ αἰχμαλωτισθέντες 176 τὸ λοιπὸν ἡμιχόριον ἐξῆλθεν 178 ταῦτα ἐπερωτῶν ὁ χορὸς λέγει περὶ ἑαυτοῦ

---

4 ξυρήκει Dindorf ξυρηκεῖ a ξυρικῇ A 7 κατὰ deleui 8 εἰώθειν Dindorf εἴωθεν A 11 Φρύγιαι del. Wil 11. 12 ἐξῆρχον τοὺς] ἐξῆρχον$^{\tau}$ 17 ἡμίχορον A 25 ἀντὶ τοῦ ego λείπει τὸ A

187 τίς μ' Ἀργείων: τίς τῶν Θεσσαλῶν. πότερον [ἢ] νησιώτης ἄξει με ἢ Θεσσαλὸς ἢ Ἀργεῖος: —

192 δειλαία νεκροῦ μορφά: ἥτις εἰμὶ δειλαία νεκροῦ μορφὴ καὶ νεκρῶν ἄγαλμα: —

193 ἄγαλμ', ἢ τὰν παρά τε προθύροις: ἢ θυρωρὸς ἐσομένη καὶ τὴν φυλακὴν τῶν προθύρων κατέχουσα ἢ παίδων τροφός. ἄγομαι δέ, φησί, ταῦτα ποιῆσαι ἡ τῆς Τροίας δεσπότις: —

197 ποίοις δ' οἴκτοις: δύναται πρὸς τὴν Ἑκάβην, ἵν' ᾖ οὕτως· πῶς αὐτάρκως δύνασαι τὰ κατὰ σὲ θρηνῆσαι: —

199 οὐκ Ἰδαίοις ἱστοῖσι: οὐχ ὡς πρότερον ᾖδον ἐν τοῖς ἱστοῖς δινεύουσα καὶ στρέφουσα τὴν κερκίδα: —

201 νέα τοι τεκέων: ὅσῳ, φησί, νέα ὑπάρχουσα αἰχμάλωτος γέγονα, κρείσσους ἕξω μόχθους, καθὸ αἱ δυναταὶ ἰσχύουσι πᾶν τὸ ἐπιτασσόμενον ποιῆσαι· ἐὰν δὲ καὶ εὔμορφος ᾖ, καὶ ὑβρισθήσεται: —

ἄλλως: τὰ ὑμῶν σώματα νέα ὁρῶ πρὸς ὑπομονὴν τῶν πόνων: —

204 ἔρροι νύξ: φθειρέσθω ἡ νὺξ ἡ ἐμὲ νυμφεύουσα τοῖς πολεμίοις, ὁμοίως δὲ καὶ ὁ δαίμων ἔρροι: —

210 μὴ γὰρ δὴ δίναν: ἀπὸ κοινοῦ τὸ ἔλθοιμι· μὴ ἔλθοιμι, φησίν, ἐπὶ τὴν δίνην τοῦ Εὐρώτου, ἥτις ἐστὶ Θεράπνη, ἡ πόλις τῆς Ἑλένης. οἰκητήριόν φασι τὰς Θεράπνας τῶν Διοσκούρων παρόσον ὑπὸ τὴν γῆν τῆς Θεράπνης εἶναι λέγονται ζῶντες, ὡς Ἀλκμάν [frg. 4. 5] φησιν: —

214 τὰν Πηνειοῦ σεμνάν: Πηνειοῦ χώραν τὴν Θετταλίαν.

GLOSSAE 180 ἐν ἐρωτήσει καὶ ταῦτα 186 ἐγγύς εἶ τοῦ κληρωθῆναι 189 γράφεται πόρρω περιπαθῶς τὸ πρόσω Τροίας 203 ἢ λέκτροις πλησιάσασα τῶν Ἑλλήνων 205 τῆς πηγῆς τὸ ἑξῆς· ἢ λέκτροις πλαθεῖσ' Ἑλλάνων ἢ Πειρήνης ὑδάτων 209 ταῦτα ὑποθεραπεύων τοὺς Ἀθηναίους λέγει 212 γένωμαι ἐκεῖσε, ἀπαντήσω δούλη Μενελάου οὖσα

---

1 ἢ deleui 4 καὶ Wil ἢ A 11 δινεύουσα Dindorf δονεύουσα A 13 ἰσχύουσι ego ἰσχύουσαι A 14 ποιῆσαι ego ποιοῦσιν A ὑβρισθήσεται ego ὕβρισται 16 φθειρέσθω Dindorf φθαρέσθω A 19 ἐπὶ ego ὑπὸ A 20 οἰκητρ A (ό above) φασι ego φησι A 20—21 cf. Harpocr. p. 95, 20 Phot. Suid. Steph. Byz. p. 309, 14 21 ἀλκ.... A ἀλκμαίων a 28 ὑποθεραπεύων Wil ὑποθεραπεύσα A

τῆς γαρ Μακεδονίας Ὄλυμπος, ἡ δὲ Μακεδονία τῆς Θετταλίας. αἰνίττεται δὲ ⟨τὴν⟩ τοῦ Νεοπτολέμου. Καλλίμαχος [hymn. in Del. 112]· Πηνειὲ Φθιῶτα᾽: —

218 τάδε δεύτερά μοι: ἐν δευτέρᾳ μοι τάξει τῶν καλῶν ἐστι ταῦτα τὰ κατὰ τὸν Πηνειὸν μετὰ τὴν ἱερὰν πόλιν τοῦ Θησέως: —

220 καὶ τὰν Αἰτναίαν Ἡφαίστου: ὁ λόγος· καὶ τὴν Αἴτνην, τὴν τοῦ Ἡφαίστου χώραν, τὴν καταντικρὺ κειμένην τῆς Φοινίκης τῆς τε Καρχηδόνος, ἵνα λέγῃ τὴν Λιβυφοινίκων χώραν, μητέρα δὲ τῶν Σικελῶν ὀρέων, ἀκούω ἐπὶ στεφάνοις σεμνύνεσθαι. τὴν Σικελίαν δὲ ὀρέων φησὶ μητέρα, ἐπειδὴ ὀρεινή: —

221 Φοινίκας ἀντήρη χώραν: ἀντήρη Σικελίας τὴν Λιβύην εἴρηκεν καὶ τὴν Καρχηδόνα παρόσον τὸ Λιλύβαιον ἀκρωτήριον τῆς Σικελίας ἀντικρὺ κεῖται τῆς Καρχηδόνος, εἰς ἣν ἀπῴκησαν Τύριοι· ἔστι δὲ ἡ Καρχηδὼν πόλις Λιβύης. ὀλίγῳ δὲ πρότερον τῶν Τρωικῶν Εὔδοξος ὁ Κνίδιός ⟨φησιν⟩ ἀπῳκηκέναι τοὺς Τυρίους εἰς αὐτὴν Ἀζάρου καὶ Καρχηδόνος ἡγουμένων, ἀφ᾽ οὗ καὶ τὴν ὀνομασίαν ἔσχεν ἡ πόλις. τινές φασι καὶ τὴν Ῥώμην καὶ τὴν Καρχηδόνα πρὸ τῆς πρώτης ὀλυμπιάδος κτισθῆναι. Σοφοκλῆς δὲ ἐπὶ τῶν καιρῶν Τριπτολέμου ᾠκίσθαι τὴν Καρχηδόνα, ἐν οἷς φησι [frg. 545]· ‘Καρχηδόνος δὲ κράσπεδ᾽ ἀσπάζομαι᾽: —

ἄλλως: ἀντήρη Σικελίας τὴν Λιβύην φησὶ καὶ τὴν Καρχηδόνα παρόσον τὸ Λιλύβαιον [ἀκρωτήριον τῆς Σικελίας τοῦτο] καταντικρύ ἐστι Καρχηδόνος. ὁ δὲ Παρμενίσκος τὴν Σικελίαν ἀντήρη τῆς Φοινίκης φησίν: —

224 τάν τ᾽ ἀγχιστεύουσαν γᾶν: καὶ τὴν ἀγχιστεύουσαν γῆν τῷ Ἰονίῳ, κατὰ κοινοῦ τὸ ἀκούω κηρύσσεσθαι στεφάνοις ἀρετᾶς. τὴν Ἰταλίαν δὲ λέγει τὴν ἐγγὺς τοῦ Ἰονίου πελάγους· Ἰόνιον γὰρ πέλαγος τὸ πρὸς τὴν Ἰταλίαν: —

GLOSSAE 217 τῇ θάλλειν ποιούσῃ 220 τὴν Σικελίαν 221 Φοινίκης, τῆς Καρχηδόνος· ἵνα λέγῃ τὴν τῶν Λιβυφοινίκων χώραν: —

---

4 καλῶν detritum in A habet a 8 λέγηται λιβυηφοινίκων A 10 ὀρινή A 13 τύρροι 14—16 cf. Philist. frg. 50 Steph. Byz. p. 363, 8 16 Timaeus frg. 21 [Dionys. AR 1, 47 17 πρὸ ego ἀπὸ A 18 οἰκεῖσθαι Wil ᾠκίσθαι ego οἰκισθῆναι A 19 κράσπεδ᾽ ἀσπάζομαι A nihil aliud 21 ἀκρωτήριον — τοῦτο eieci

228 Κρᾶθις: δύο εἰσὶ Κράθιδες, ὡς Παρμενίσκος φησίν· ὁ μὲν ἐπὶ Πελοποννήσου τὰς πηγὰς ἔχων μέχρι Ἀρκαδίας ὃς συμβάλλει καὶ τῷ Ἀλφειῷ, οὗ ἐάν τις τὸ ὕδωρ ἐπὶ πολὺν χρόνον ἀφῇ, οὐ σήπεται οὐδὲ ἐὰν ἀπ' αὐτοῦ ἄρτοι πεφθῶσιν, εὐρωτιῶσιν· ὁ δὲ ἐν Ἰταλίᾳ, οὗ νῦν μέμνηται ὁ Εὐριπίδης, ἐν ᾧ ἐάν τις λούσηται, λελιπασμένος ἀνέρχεται ὡς δοκεῖν ἀληλίφθαι· καὶ τὴν τρίχα ξανθίζει ὡς ἐν ὀλίγαις ἡμέραις τὸν λουόμενον ἐν αὐτῷ πυρρότριχα γίνεσθαι. ἔνιοι δέ φασι τὸν μὲν Κρᾶθιν τοῦτο μὴ ποιεῖν, τὸν δὲ ἐν Τροίᾳ Ξάνθον, ἀφ' οὗ καὶ ἐπονομάζεται. Σκάμανδρος καλούμενος· τὸν δὲ Εὐριπίδην ἐπὶ τοῦ Κράθιδος [φασι] τοῦτο μετενηνοχέναι. ὁ δὲ Αἰσχρίων φησὶν ὅτι ἐν Πελοποννήσῳ ἦν Κρᾶθις καλούμενος ποταμός, ὃς ἐποίει τὰς κόμας ξανθὰς τῶν λουομένων· οἱ δὲ ἀπὸ Πελοποννήσου ἀποικίαν στειλάμενοι καὶ κτίσαντες Σύβαριν τὸν ἐκεῖ ποταμὸν ὠνόμασαν Κρᾶθιν. ἀπὸ οὖν τοῦ ἐν Πελοποννήσῳ ὁ Εὐριπίδης τοῦ ἐν Ἰταλίᾳ μέμνηται ὡς οὐ μόνον τὸ [αὐτὸ] ὄνομα ἔχοντος τοῦ ἐν Ἀχαΐᾳ ποταμοῦ, ἀλλὰ καὶ τὴν δύναμιν: —

244 τίνα πότμος εὐτυχής: τίνα τῶν Τρῳάδων πότμος εὐτυχὴς ἐκδέχεται: —

250 ἢ τᾷ Λακεδαιμονίᾳ: παρόσον ἡ Κλυταιμνήστρα Τυνδάρεω, οὗτος δὲ Λακεδαιμόνιος: —

258 ἱεροὺς στολμούς: τὰς τῶν στεφανῶν στολὰς ὥσπερ ἔνδυσιν ποιουσῶν αὐτῇ: —

267 τί θέσμιον: τίς θεσμός, ποῖον θεμιτὸν ἢ νόμος τῶν Ἑλλήνων: —

GLOSSAE 227 πυρσεύων 234 τῆς Ἑλληνικῆς 243 κεκλήρωσθε 253 ἥτινι 254 ὁ Ἀπόλλων τὴν παρθενίαν 255 τῆς μαντικῆς 257 ἱέρεια γὰρ ἦν τοῦ Ἀπόλλωνος 260 τὸ νεωστὶ ἁρπαγέν 263 τίνι ταύτην ὁ κλῆρος ἔζευξε καὶ ἀπένειμεν

2 ἐπὶ ego ἀπὸ A μέχρι] scripserim ἐν μεθορίοις cl. Paus. 8, 15, 9 3 Ἀλφειῷ corruptum cf. Strab. 8 p. 386 6 εἰλήφθαι A ξανθίζει ego ξανθίζειν A 6. 7 cf. Aristot. mir. ausc. 169 Strab. 6 p. 263. 10, 449 Aelian. de nat. an. 12, 36 Plin. 31, 13 Antig. 134 Tzetz. ad Lyc. p. 910 Ouid. met. 15, 315 8 κράνθιν A ἐπονομάζεται Wil ὀνομάζεται A cf. schol. Υ 74 et. m. p. 610, 19. 715, 37 Aelian. de nat. an. 8, 21 10 φασι deleui 14 αὐτὸ deleui 20 στεφανῶν Wil στεφάνων A ἔνδυσιν Kampmann ἐν δυσὶ A 22 θεσμὸς ποῖον ego θεσμοποιόν A

268 εὐδαιμόνιζε παῖδα σήν: αἰνίττεται ὅτι τέθνηκεν· οὐ σαφῶς εἶπεν [625]· καὶ ⟨πῶς⟩ ἡ Ἑκάβη οὔτε στενάζει οὔτε ⟨πυνθάνεται πῶς⟩ ἀπηλλάγη; εἴτε γὰρ οἶδεν, ⟨ἔδει⟩ οἰκτίσασθαι περὶ θυγατρός· εἴτε μὴ οἶδεν, ἐρωτῆσαι καὶ μαθεῖν: —

275 ἐγὼ δὲ τῷ πρόσπολος: τίνι δὲ ἐγὼ ἐκληρώθην δούλη, ἡ τριβάμονος βάκτρου δεομένη διὰ τὸ γηραιὸν κάρα· τρίτος γὰρ πούς ἡ βακτηρία: —

285 ὃς πάντα ⟨τἀ⟩κεῖθεν: τὰ μὲν ἐκεῖσε διαβάλλων ἐνταῦθα ἀντίπαλα τίθησιν, αὖθις δὲ ἐκεῖσε πολέμια τίθησιν, δηλονότι τὰ ἐνταῦθα. τοῦτο γὰρ λείπει: —

296 εἶτα τὰς εἰλεγμένας: τὰς κεκληρωμένας καὶ ἐκλελεγμένας τοῖς ἄλλοις δῶ: —

301 αὐτῶν τ' ἐκπυροῦσι: καίουσι, φησίν, ἑαυτὰς ἐξελθεῖν μέλλουσαι τῶν οἴκων: —

ἄλλως: διὰ τὸ μὴ εἰθίσθαι δουλεύειν καίουσιν ἑαυτάς: —

304 μὴ τὸ ταῖσδε: μὴ διὰ τὸ σύμφορον ἑαυταῖς φονεύσωσιν ἑαυτὰς καὶ λυπήσωσι τοὺς Ἕλληνας κἀγὼ αἴτιος ὦ: —

308 ἄνεχε πάρεχε: ὡς πρός τινα ποιεῖται τὸν λόγον δᾳδουχοῦντα· ἀναχώρει, φησί, καὶ πάρεχε ὁδόν. δύναται δὲ πρὸς ἑαυτὴν λέγειν ἀντὶ τοῦ· ἄνεχε καὶ φέρε: —

310 ὦ Ὑμὴν Ὑμέναι': πρὸς Ὑμέναιον ἀποτείνεται διὰ τὸ μέλλειν γαμεῖσθαι. καθαίρω, φησί, τὸ ἱερόν, οὐχ ὅτι ἐν ἱερῷ ἦν, ἀλλ' ὅτι μαινομένη ἐν ἱερῷ ἐνόμιζεν εἶναι: —

315 ἐπεὶ σύ, μῆτερ: ἐπεὶ σύ, μῆτερ, περὶ τὸν ἴδιον ἄνδρα πατέρα δὲ ἐμὸν γίνῃ καταστενάζουσα αὐτὸν καὶ οὐ ποιεῖς τὰ μητέρων (νό-

GLOSSAE 270 τύχη 276 λείπει ἡ διά, διὰ τὸ γηραιὸν κάρα, ὡς τὸ [E 875]· 'σοὶ πάντες μαχόμε⟨σ⟩θα', ἀντὶ τοῦ διὰ σέ 279 τὸ κεκαρμένον 284 ἐχθρῷ τῆς δίκης καὶ θηρίῳ παρανόμῳ 292 δέσποινα 294 πορεύεσθε ἐπὶ Κασάνδραν 303 ἐκ μεταφορᾶς τῶν ὑποζυγίων 311 ὁ ἀνὴρ ὁ ἄγων με

1 οὐ ego ἢ A 1. 2 uersum agnouit Wil 2 πῶς addidi στενάζει Wil ἐστέναζεν A 2. 3 πυνθάνεται εἰ add. Wil πυνθάνεται πῶς ego 3 ἔδει add. Wil et ego ceterum cf. Bruhn. luc. Eurip. p. 305 16 φονεύσωσιν et λυπήσωσι Dindorf φονεύσουσι et λυπήσουσι A 17 ὦ ego εἰμι A 22 γαμεῖσθαι Wil γαμεῖν A 30 ὁμοζυγίων A

μιμον γάρ ἐστι τῇ μητρὶ δᾳδουχεῖν ἐν τοῖς γάμοις τῶν θυγατέρων), ἐγὼ τοῦτο ποιήσω ἐμαυτῇ: —

321 ἐς αὐγάν: ὥστε αὐγὴν καὶ αἴγλην ποιεῖν σοί, ὦ Ὑμέναιε, καὶ σοί, ὦ Ἑκάτη, διδοῦσα φῶς ὥσπερ νόμος ἐστὶ ταῖς παρθένοις· ἔθος γὰρ εἶχον πῦρ ἀνάπτειν ἐπὶ τῶν γάμων: —

323 ὦ Ἑκάτα: τὴν Ἑκάτην παρέμιξε διὰ τὸ μετ' ὀλίγον ἀποθνήσκειν· χθονία γὰρ ἡ θεός. ἢ ὅτι γαμήλιος ἡ Ἑκάτη: —

325 πάλλε πόδ' αἰθέριον: εἰς τὸν αἰθέρα, χόρευε· ⟨ἐπι⟩λέγει δὲ Βακχικὰ ἐπιφθέγματα: —

εὖ ἂν εὖ οἵ: τὸ εὖ ἂν εὖ οἷ Βακχικὰ ἐπιφθέγματα· εἰσὶ δὲ ἐπιρρήματα θειασμοῦ. διόρισον [τὰ] δὲ [θειασμοῦ], οἷον· εὖ οἷ εὖ ἄν: —

330 ἀνάκτορον θυηπολῶ: ὥσπερ ἐν τῷ ἱερῷ οὖσα, οὕτως θυηπολῶ. ἢ οὕτως· ἡγοῦ σὺ τῆς θυηπόλου: —

343 Ἥφαιστε, δᾳδουχεῖς: περιπαθῶς διαλέγεται· εἰ καὶ ἐν γάμοις δᾳδουχεῖς, ἀλλ' οὐ νῦν ἐν εὐπραγίᾳ φαίνῃ: —

350 ἐσωφρονήκασι: σώφρονα πεποιήκασι. τὰ κακά σε οὐ πεπαιδεύκασι: —

351 δάκρυσί τ' ἀνταλλάσσετε: δάκρυα, φησίν, ἀνταλλάξατε ἀντὶ τῶν γαμηλίων χορῶν. τοῖς [δὴ] ταύτης γαμηλίοις μέλεσι δάκρυα ἀνταλλάξατε: —

357 Ἑλένης γαμεῖ με: προμηνύει ὅτι δι' αὐτὴν Ἀγαμέμνων ἀποθανεῖται, καὶ ἥδεται δοκοῦσα αὐτὸν ὥσπερ τιμωρήσειν: —

GLOSSAE 317 ἀντὶ τοῦ καταστένεις. Ἀττικὸν τὸ σχῆμα 324 ὡς νόμος ἐστί, ὥσπερ καὶ τὸ [B 73 et passim]· 'ἡ θέμις ἐστί', ἀντὶ τοῦ· ὡς θέμις ἐστίν 326 ὥσπερ εἴωθε ἐπὶ τοῦ πατρὸς χορεύειν 329 μετὰ δαφνῶν χορεύω 333 ἀντὶ τοῦ· μετὰ ποδῶν ἐμέθεν 337 ἐμὲ τὴν νύμφην. ἰαχαῖς δὲ λέγει νῦν ἐπίσης τῷ ἠχήμασι 341 ταῦτά τινες τῷ Ταλθυβίῳ, τινὲς δὲ τῷ χορῷ ἐπιμερίζουσιν 347 οὐκ ἤλπιζόν σε γαμεῖσθαι αἰχμαλωτισθεῖσαν 356 κἂν ἐγὼ μὴ βούλωμαι ἐξελθεῖν, σύ με ὤθει ὅ ἐστι· εἰ σῴζεται ἡ μαντική 359 ἀντικτανθῆναι ποιήσω

4 καὶ σοὶ ego ἢ σὺ A τοῖσ A 5 τῶν γάμων ego τὸν γάμον A 7 γὰρ Wil δὲ A 8 χόρευε Dindorf χορεύει A ἐπιλέγει Wil λέγει A 11 τὰ et θειασμοῦ del. Wil et ego 13 τῆς θυηπόλου ego τοῦ θυηπόλου A 14 περιπαθῶς ego παρὰ τὸ πᾶν A 19 δὴ deleui 22 τιμωρήσειν ego τιμωρῆσαι A 27 ἐπίσης ego ἐν ἴσω A 28 ἠχήμασι ego σχήματι A

361 ἄλλα τ' ἐάσω: τινά, φησίν, ἐάσω. δι' ὧν δὲ δοκεῖ ἀποσιωπᾶν, διὰ τούτων λέγει: —

366 ἔνθεος μέν: ἔνθεος μέν εἰμι καὶ ἐμμανής, ὅμως διὰ τὴν ἀλήθειαν ἔξω μανίας καὶ βακχευμάτων δόξω εἶναι, ἐπειδὴ τὸ τὴν ἀλήθειαν λέγειν οὐκ ἔστι μαινομένου. τοσοῦτον οὖν, φησίν, ἔξω γενήσομαι μανίας ὡς καὶ πιστεύεσθαι: —

372 τέκνων ἀδελφῷ: τὸ ἐπὶ τῆς Ἰφιγενείας εἰπὼν πληθυντικῶς λέγει [τέκνων ἀντὶ τοῦ τέκνου] ἀδελφῷ [τὲ], τῷ Μενελάῳ: —

379 τὰ δ' οἴκοι: οἷς εἶπον· καὶ γὰρ καὶ οἱ ἐν τοῖς οἴκοις ἀπέθνῃσκον μὴ ὁρῶντες τοὺς οἰκείους: —

381 οὐδὲ πρὸς τάφους: τῶν γὰρ τεθνηκότων οἱ παῖδες τιμῶσι τοὺς τάφους: —

393 Ἀχαιοῖς ὧν ἀπῆσαν: ὧν, τουτέστι τοῦ μεταξὺ τῶν οἰκείων ἀποθνῄσκειν, αἱ ἡδοναὶ τοῖς Ἕλλησιν ἀπῆσαν, τουτέστιν· τούτων ἐστέρηντο: —

396 ἴξις ἐξεργάζεται: παρουσία, ἄφιξις. ἀνδρεῖον αὐτὸν ἀπέδειξεν. γράφεται καὶ ἡ 'ρξις, ἵν' ᾖ [καὶ] ἡ ἔρξις καὶ ἡ πρᾶξις: —

397 εἰ δ' ἦσαν οἴκοι, χρηστός: ὁ Ἕκτωρ χρηστὸς γεννηθεὶς κατεσιωπήθη ἄν, εἰ μὴ ἐστράτευσαν ἐπὶ Ἴλιον: —

398 [ἄλλως:] Πάρις τ' ἔγημε: ἑτερότροπόν ἐστιν· ἐπὶ γὰρ κακῷ ἔσχε τὸ κλέος ὥσπερ ἡ Ἑλένη. Ὅμηρος [Z 357]· 'ὡς καὶ ὀπίσσω ἀνθρώποισι γενώμεθ' ἀοίδιμοι': —

401 εἰ δ' ἐς τόδ' ἔλθοι: εἰ δὲ εἰς τὸ πολεμεῖν ἔλθοι, οὐκ αἰσχρὸς στέφανος τὸ ἀποθανεῖν ⟨καλῶς⟩: —

GLOSSAE 363 ἀπὸ κοινοῦ τὸ ἐάσω. λέγει δὲ τὸν Ὀρέστην 364 πόρθησιν 365 τὴν Τροίαν 370 ὁ Ἀγαμέμνων ὑπὲρ Μενελάου 374 οἱ Ἕλληνες 375 οὐχ ὑπὲρ ὁρίων γῆς μαχόμενοι 377 οὐκ ἐτάφησαν ὑπὸ τῶν ἰδίων γυναικῶν 386 οἱ Τρῶες ὑπὲρ γῆς ἔθνῃσκον, ὅπερ ἐστὶ τὸ κάλλιστον κλέος 394 τὰ δοκοῦντά σοι λυπηρά

---

1 legit ἀλλ' ἅττ' 4 μανίας ego μωρίας A 8 τέκνων—τέκνου deleui ἀδελφῶν A τέ deleui 12 τάφους ego τεθνηκότας A 13 τουτέστι ego τούτων A τοῦ Dindorf τὸ A 16 cf. Hesych. ἴξις παρουσία ἄφιξις.. ⟨ἧξις⟩ εἰσέλευσις παρουσία Antiatt. p. 99, 4 ἧξις ἀντὶ τοῦ ἄφιξις. Εὐριπίδης Τρῳάσιν 17 γράφον A ἤρξισ A καὶ deleui 22 γενόμεθ' A πελώμεθ' Homerus 24 τὸ ego τοῦ A καλῶς add. Wil

407 μέλπεις θ' ἃ: καὶ ταῦτα, φησίν, ἃ εἴρηκας καλά, οὐ δείξεις ὄντα σαφῶς καλὰ καὶ ἀληθῆ: —

408 εἰ μή σ' Ἀπόλλων: μάταιός ἐστιν ὁ Ταλθύβιος ἐπιπλήσσων καὶ λέγων· εἰ μὴ ἐμαίνου, ἐτιμωρήθης ἄν· πᾶς γάρ τις τοῖς μαινομένοις συμπεριφέρεται: —

411 καὶ δοκήμασιν σοφά: τὰ τῷ δοκεῖν σοφά. λέγει δὲ περὶ Ἀγαμέμνονος διὰ ⟨τὸ⟩ ταύτης ἐληλυθέναι εἰς ἔρωτα. τὰ σοφά, φησί, δοκοῦντα τῶν εὐτελῶν οὐκ ἔστι κρείσσονα· οἷον Ἀγαμέμνων ὁ σοφὸς οὐ διαφέρει τινὸς εὐτελοῦς: —

418 καὶ Φρυγῶν ἐπαινέσεις: τὰς ὕβρεις τὰς εἰς τοὺς Ἕλληνας καὶ τοὺς ἐπαίνους τοὺς εἰς τοὺς Τρῶας ὑπὸ σοῦ λελεγμένους ἔξω ἀνέμῳ φέρεσθαι: —

424 τί ποτ' ἔχουσι τοὔνομα: τί ποτε αὐτοῖς ἐστι τὸ ὄνομα τοῦτο ὥστε κοινῇ ὑπὸ πάντων ἐχθαίρεσθαι; [426] εἰσὶ δὲ καὶ ἕτεροι κήρυκες, οἱ περὶ τὰ δεῖπνα διακονοῦντες. Ὅμηρος [cf. I 173. α 146 = γ 338. φ 270]· 'κήρυκες δ' αὐτοῖσιν ὕδωρ ἐπὶ χεῖρας ἔχευαν': —

ἄλλως: διὰ τί πάντες τὸ αὐτὸ ὄνομα ἔχουσιν εἰς ἀπέχθειαν ἐπιτήδειον: —

ἄλλως: διὰ τί ποτε τὸ ὄνομα αὐτῶν τοιοῦτον ὥστε ὑπὸ πάντων μισεῖσθαι: —

430 τἄλλα δ' οὐκ ὀνειδιῶ: τὰ λοιπά· ἐν γὰρ Θράκῃ κύων γενομένη ἀπέθανεν: —

432 ὡς χρυσὸς αὐτῷ: τὰ ἐμά, φησί, καὶ τὰ τῶν Τρώων κακὰ νομίσει ποτὲ χρυσὸν εἶναι καὶ τίμια. παρὰ τὸ Ὁμηρικόν [ε 306]· 'τρισμάκαρες Δαναοί': —

435 οὗ δὴ στενὸν δίαυλον: ὁ λόγος· ἐλεύσεται δὲ εἰς τὸν στενὸν δίαυλον τῆς πέτρας, ὅπου ἦν οἰκοῦσα ἡ Χάρυβδις, δηλονότι ἐπὶ τῆς πέτρας. δίαυλον δὲ λέγει τὸν αὐλῶνα· ἦσαν γὰρ οἱ σκόπελοι πλησίον ἀλλήλων, ὁ τῆς Σκύλλης καὶ ὁ τῆς Χαρύβδεως: —

GLOSSAE 409 ἀτιμωρητί 412 τῶν εὐτελῶν 415 ἠράσθη 418 τοὺς ἐπαίνους 420 ἐν εἰρωνείᾳ ταῦτα λέγει 423 τῆς Πηνελόπης 429 οἵτινες οἱ δι' ἐμοῦ ἑρμηνευόμενοι 430 ὅτι εἰς κύνα μέλλει μεταβληθῆναι 431 ἀποστρέφει εἰς τὸν Ὀδυσσέα τὰ ἑξῆς 432 τῷ Ὀδυσσεῖ 437 ὡς ἐν τῷ Λιγυστικῷ οἰκούσης τῆς Κίρκης

---

2 ὄντα ego αὐτὰ A 7 τὸ addidi 16 ἔχευον A

440 καὶ Ὅμηρος [μ 395]· 'κρέα δ' ἀμφ' ὀβελοῖσι μέμυκεν': —

446 νυκτός, οὐκ ἐν ἡμέρᾳ: πρὸς Ἀγαμέμνονα λέγει· ἐν νυκτὶ γὰρ τέθνηκεν: —

448 κἀμέ τοι νεκρὸν φάραγγες: τῷ ὕδατι τῷ χειμερινῷ ῥέουσαι ἀπὸ τῶν ὀρῶν καταφέρουσαι πλησίον τοῦ τάφου τοῦ Ἀγαμέμνονος κομίσουσί με. φονεύσασα γὰρ ⟨ἡ Κλυταιμνήστρα τὸν⟩ Ἀγαμέμνονα καὶ τὴν Κασάνδραν εἰς ὄρος ἔρριψεν. ὑπ' οὐδενὸς δὲ παραδίδοται ἡ Κασάνδρα ἄταφος ἐκβεβλημένη: —

ἄλλως: ὅτι ἰδικῶς ἱστορεῖ ἄταφον τὴν Κασάνδραν ἐκβεβλῆσθαι εἰς ὄρος: —

451 ὦ στέφη: ὦ στέφη τοῦ Ἀπόλλωνος, ἅπερ ἐστί μοι ἀγάλματα. ἀπορρίπτει δὲ τοὺς στεφάνους: —

453 σπαραγμοῖς: σπαρασσόμενοι, φησίν, οἱ στέφανοι ἴτε ἀπ' ἐμοῦ. ἤδη δὲ διεκορεύθη ὑπὸ τοῦ Αἴαντος, καὶ πῶς λέγει ἑαυτὴν παρθένον; φαμὲν οὖν ὅσον τὸ κατ' αὐτὴν ἧκεν, παρθένος ἦν. βίᾳ γὰρ διεκορεύθη: —

456 οὐκέτ' ἂν φθάνοις: κατ' ἐρώτησίν φησιν· οὐκέτι φθάνεις με καὶ προλαμβάνεις ἐπὶ τὴν ναῦν προεπειγόμενος; ἢ ἀποφαντικῶς· ἐὰν μὴ νῦν με ἄγῃ, οὐκέτι ἔσται ἐπιτήδειος ἄνεμος: —

457 τριῶν Ἐρινύν: τρεῖς γάρ εἰσιν Ἐρινύες, Ἀληκτὼ Τισιφόνη Μέγαιρα. πεποίηται δὲ τὰ ὀνόματα: —

460 οὐ μακράν: λείπει ἡ εἰς· οὐκ εἰς μακράν, ὅ ἐστι μετ' ὀλίγον: —

463 δέσποιναν ὡς ἄναυδος: ὥς τινων αὐτῆς ἐπιμελουμένων πρὸς ἃς ποιεῖται τὸν λόγον: —

466 οὔτοι φίλα: τὰ μὴ ὄντα φίλα οὐδέποτε ἔσται φίλα· οὐκοῦν οὐχ ἥδομαι ἐπὶ τῷ ἀναστῆναι· οὐ γὰρ φίλον: —

467 κεῖσθαι πεσοῦσαν: τὸ ἑξῆς· ἐᾶτέ με κεῖσθαι πεσοῦσαν: —

470 ὅμως δ' ἔχει: ὅμως δὲ παραμυθία ἐστὶ τοῖς δυστυχοῦσιν ἀνακαλεῖσθαι τοὺς θεούς: —

472 πρῶτον μὲν οὖν μοι: ἡδύ μοι, φησί, πρῶτον τὰ ἀγαθὰ

GLOSSAE 443 τοὺς μνηστῆρας 444 πρὸς ἑαυτὴν ταῦτα λέγει 450 ὥστε ὑπὸ θηρῶν διαφθαρῆναι

---

4 νεκρῶν A 6 ἡ Κλυταιμνήστρα τὸν addidi

ὑμνῆσαι· ὅτε γὰρ μετὰ τὸ εἰπεῖν τὰ καλὰ μνημονεύσω τῶν κακῶν, τότε μείζονα οἶκτον κινήσω: —

487 κοὔτ' ἐξ ἐκείνων: καὶ οὔτε ἐκεῖναι ἐλπίζουσιν ἐμὲ ὄψεσθαι οὔτε ἐγὼ ἐκείνας: —

489 τὸ λοίσθιον δὲ θριγκός: τὸ ἔσχατον πάντων κακῶν. τὸ δοῦλον εἶναι οἱονεὶ τὸ τέλος ἐστί. μεταφορικῶς ἀπὸ τῶν οἰκοδομημάτων· μετὰ γὰρ τὴν οἰκοδομὴν ἐπίθεται θριγκός, ὅπερ ἐστὶ τὸ γεῖσον: —

496 τὸ ἑξῆς· τρυχηρὰ πέπλων λακίσματα, ἤγουν σχίσματα: —

501 ἔλυσας συμφοραῖς: τουτέστιν ἐν ἀτυχίαις ἔλυσάς σου τὴν παρθενίαν, δέον ἐν εὐτυχίαις: —

506 ἄγετε τὸν ἁβρὸν δήποτ': τὸν ἐμὸν πόδα πρώην ἁβρὸν ὄντα νῦν δὲ δοῦλον ἄγετε εἰς τὴν στιβάδα καὶ εἰς τὰ πέτρινα κρήδεμνα καὶ περιβόλαια: —

511 ἀμφί μοι Ἴλιον: ποίησόν με ᾆσαι ἐπικήδειον μέλος εἰς τὴν Ἴλιον, ὅ ἐστι· περὶ τῆς Ἰλίου ποίησόν με θρηνῆσαι: —

517 τετραβάμονος: ἀλληγορικῶς τὸν ἵππον τὸν δούρειον τέσσαρας βάσεις ἔχοντα· ἀπήνην γὰρ τὸν ἵππον καλεῖ: —

525 τόδ' ἱερόν: πρὸς ἑαυτοὺς δέ, φησί, παρεκελεύοντο οἱ Τρῶες· τοῦτο τὸ ἱερὸν ξόανον, τὸν ἵππον, ἄγετε τῇ Ἀθηνᾷ: —

534 ξεστὸν λόχον Ἀργείων: ἐν τῇ οὐρείᾳ πεύκῃ· ξύλινος γὰρ ὁ ἵππος: —

535 καὶ ὁ Πρίαμος ἐξῆλθε τὴν βλάβην θεασόμενος: —

537 καὶ χάριν ἄζυγος: καὶ χάριν ἀντὶ τοῦ τέρψιν· ἐπιτερπῶς θεασόμενος τὸν ἵππον: —

ἀμβρότα: ὡς ἱππότα, ἵν' ᾖ ἀμβρότου πώλου: —

GLOSSAE 476 οὐχ ἁπλῶς πλῆθος, ἀλλὰ καὶ πολλοὺς καὶ ἀγαθούς 483 τῷ βωμῷ 494 καὶ ἐν πέδῳ ἀναγκάσουσι κοιμᾶσθαι ἐν ῥυσοῖς νώτοις ἔχουσαν ῥάκη 495 γηραιοῖς 497 σχίσματα ἀνάξια βασιλεῦσιν 500 διὰ τὸ μαντεύεσθαι 501 τὴν παρθενίαν 511 βούλεται τὴν ἀρχὴν λέγειν πῶς τὸ Ἴλιον ἐπορθήθη 517 ὅτι 521 τὸ ἑξῆς· ἔλιπον Ἀχαιοί 522 ὁ Τρωικός 527 τίς, φησίν, οὐκ ἐξῆλθεν πρὸς τὸ θεάσασθαι τὸν ἵππον 533 τῇ ὀρεινῇ πεύκῃ

---

2 κινήσω ego κινῶ A 10 δέον Dindorf δὲ A 22 scholio 20. 21 adi. A legit scholiasta Δαρδανίδας 28 Hesych. ῥυσοῖσι ῥερυσηκόσι γεραιοῖς

538 κλωστοῦ δ': καθάπερ ναὸς σκάφος κλωστοῦ λίνου ἀμφιβόλοις, ὅ ἐστι σχοινίοις, οὕτως [ἐπὶ] τὸν ἵππον ἐπήγαγον: —

540 φόνιά τε πατρίδι: ἀντὶ τοῦ φονίως. ἢ τὰ φοινιχθέντα. τοῦτο δὲ ἀπὸ τοῦ συμβεβηκότος λέγει: —

542 ἐν δὲ πόνῳ: πόνῳ διὰ τὸ κεκμηκέναι ἐν τῷ ἕλκειν, χαρᾷ διὰ τὸ ἐλπίζειν τι ἀγαθὸν ἐνηνοχέναι: —

547 ἐνὶ δόμοις δὲ παμφαὲς σέλας: τὸ δὲ σέλας τοῦ πυρὸς τὴν μέλαιναν αἴγλαν δέδωκε τῷ ὕπνῳ, ὅ ἐστι· τὴν μέλαιναν κατάστασιν τῷ ὕπνῳ ἔδωκε τὸ πῦρ, ἀντὶ τοῦ· διεδέξατο ἡ νὺξ τὸ πῦρ. σβεσθέντος γὰρ αὐτοῦ ἐκοιμήθησαν. οἷον· ἔτι τῶν λαμπάδων καιομένων ἐκοιμήθησαν. ἰδίως δὲ αἴγλην ⟨μέλαιναν⟩ εἶπε τῆς νυκτὸς τὸ φῶς: —

562 σφαγαὶ δ' ἀμφιβώμιοι: ἐκ δὲ τοῦ σφάζεσθαι ἐρημία παρηκολούθει ἥτις τῇ μὲν Ἑλλάδι στέφανον ἔφερε, τῇ δὲ Τροίᾳ πένθος: —

568 Ἑκάβη, λεύσσεις: ἀποθεωροῦσιν αἱ κατὰ τὸν χορὸν τὴν Ἀνδρομάχην παροδεύουσαν ἐπὶ ὀχήματος Ἑλληνικοῦ καὶ τὸν Ἀστυάνακτα αὐτῇ ἑπόμενον: —

573 σκύλοις τε Φρυγῶν: τί παρακαθέζῃ τοῖς σκύλοις ὡς καὶ σκύλων ὄντων μετ' αὐτῆς, ἐν οἷς καὶ τὰ Ἕκτορος ὅπλα: —

578 τί παιᾶν' ἐμόν: ἐπειδὴ εἶπεν οἴμοι, λέγει· διὰ τί τὸν ἐμὸν θρῆνον θρηνεῖς; παιᾶνα δέ φησι κατὰ ἀντίφρασιν, ὡς τὸ [Soph. Trach. 783] 'ἅπας δ' ἀνευφήμησεν οἰμωγῇ λεώς': —

597 δυσφροσύναις: κακοβουλίαις. καὶ ὁ Πάρις τεχθεὶς δυσφροσύναις τῶν θεῶν οὐκ ἀπώλετο: —

GLOSSAE 546 οὕτως ὥστε πληρῶσαι καὶ τὸν αἰθέρα 547 τὴν εὔφρονα μολπήν, ἤγουν τὴν εὐφραντικήν 551 τὴν ὀρεσιτρόφον 556 τὰς ἕδρας τῶν Περγάμων βοὴ κατεῖχεν 557 τὰ βρέφη, φησίν, ἔσω ἔφυγε τῶν πέπλων τῶν μητέρων 560 τοῦ ἵππου 561 ὅπερ ἦν ἔργον τῆς Ἀθηνᾶς 570 τῇ συζυγίᾳ. ἀπὸ μεταφορᾶς τῶν ἐρεσσόντων 572 τοῖς πλάτεσι τῆς ἀπήνης 575 οἷστισιν ὅπλοις ὁ τοῦ Ἀχιλλέως παῖς στέφει τοὺς ναοὺς τῆς Φθίας 578 Ἀνδρομάχη πρὸς Ἑκάβην ἀμοιβαῖα 587 τὸ ἑξῆς· μόλοις, ὦ πόσι μοι, σᾶς δάμαρτος ἄλκαρ, ὅ ἐστιν ἐμοῦ ἐπικουρία 590 βοήθεια

---

2 ἐπὶ delevi ἐπήγαγον Wil ἐπέβαλον A 3 φονία A in lemmate 11 μέλαιναν addidi 18 σκύλοισ A τὰ — ὅπλα ego τὸ — ὅπλον A 21 οἰμωγὴ A

605 δάκρυά τ' ἐκ δακρύων: ὁ οἶκος αὐτός, φησίν, ἐκ διαδοχῆς καὶ δακρύει καὶ θρηνεῖ: —

618 ἄλλος τις Αἴας: τῆς σῆς θυγατρὸς φαίνεται καὶ δεύτερος Αἴας, ἐπεὶ καὶ τότε οὗτος αὐτὴν ἐδίωξεν: —

630 ὄλωλεν ὡς ὄλωλεν: ἐμοῦ ζώσης εὐτυχεστέρως ἀπώλετο· τοῦ γὰρ αἰχμάλωτον δουλεύειν κρεῖσσον τὸ ἀποθανεῖν: —

632 οὐ ταὐτόν, ὦ παῖ, τῷ βλέπειν: ἔθος ἐστὶ τῷ Εὐριπίδῃ τῷ βλέπειν χρῆσθαι ἀντὶ τοῦ ζῆν, ὡς καὶ ἀλλαχοῦ [frg. 1013]· 'τὸ μὲν τέθνηκε σώματος, τὸ δ' αὖ βλέπει': —

634 ὦ μῆτερ ὦ τεκοῦσα: οὐ στοχάζεται τῶν ὑποκειμένων προσώπων. καὶ γὰρ νῦν ἡ Ἀνδρομάχη ⟨τὰ⟩ αὐτὰ φιλοσοφεῖ ἅπερ καὶ ἔμπροσθεν ἡ Κασάνδρα: —

641 κείνη δ' ὁμοίως: ἡ δὲ Πολυξένη ὥσπερ μὴ ἰδοῦσα τὸ φῶς καὶ μὴ αἰσθανομένη τέθνηκεν: —

643 ἐγὼ δὲ τοξεύσασα: μεταφορικῶς φησιν· ἐγὼ δὲ τοξεύσασα καὶ βαλοῦσα ἐπὶ τὸν σκοπὸν τῆς εὐδοξίας κατὰ τὸ πλεῖστον τῆς τύχης ἥμαρτον. ἢ οὕτως· ἐγὼ δὲ ἐπὶ τὴν εὐδοξίαν βαλοῦσα καὶ τῆς τύχης ἐτύγχανον συγκυρούσης. ὡς καὶ παρ' Ὁμήρῳ [ν 87. φ 188] τὸ ἁμαρτεῖν ἐπὶ τοῦ συγκυρῆσαι τίθεται: —

647 πρῶτον μὲν ἔνθα: πρῶτον μὲν κἂν ᾖ κἂν μὴ ᾖ ψόγος

GLOSSAE 591 σύ τε, ὦ Πρίαμε, λῦμα γεγονὼς τοῖς Ἕλλησι 595 ἃ ποθεῖτε, μεγάλα ἐστίν. ἡ μὲν Ἕκτορα, ἡ δὲ Πρίαμον 597 κακοβουλίαις 600 πρόκειται, φησί, τὰ σώματα τοῖς γυψί τῇ δὲ Τροίᾳ ὁ Ἀλέξανδρος δουλεῖα ζυγὰ ἤνυσεν 602 ἀπὸ κοινοῦ τὸ καταλειπομένην σε δακρύω 608 ἡδύ ἐστι τὰ δάκρυα τοῖς ἀτυχοῦσι καὶ ἡ Μοῦσα ἣ λύπας ἔχει 610 τὸ ἑξῆς· ὦ μῆτερ ἀνδρὸς Ἕκτορος 612 ὑψοῦσι 614 λεία ὄντες ἀγόμεθα 621 ἕτερον ἕτερον διαδέχεται 625 αἴνιγμά ἐστι λόγος οὐ σαφῶς λεγόμενος 635 παραμυθίαν 636 τὸ ὅλως μὴ γεννηθῆναι 638 οὐκ αἰσθάνεται τῶν κακῶν ὁ νεκρός

---

7 τὸ A in lemmate 9 σώματος — βλέπει Cobet et Nauck σῶμα τοῦτο δ' ἀναβλέπεις A 11 γὰρ νῦν Dindorf νῦν γὰρ A τὰ Kampmann om. A 13 ἐκείνη δ' A 16 εὐδοξίας ego εὐδαιμονίας A 18. 19 cf. Apoll. soph. p. 30, 6 Hesych. s. u. ἁμαρτήσαντες et. m. p. 623, 20 21 λύμη A

ταῖς γυναιξίν, ὅμως κακῶς αὐτὰς ἀκούειν δεῖ, ὅταν μὴ μένωσιν οἴκοι: —

650 τούτου παρεῖσα πόθον: τοῦ ἐξέρχεσθαι ἀπὸ τῶν οἴκων ἐάσασα τὴν ἐπιθυμίαν, ἀντὶ τοῦ· μὴ ἐξερχομένη: —

655 ᾔδειν δ' ἁμὲ χρῆν: εἰς ἃ ἐχρῆν ⟨ἐμὲ νικᾶν ἐκεῖνον⟩ κἀκείνῳ ὧν ἐχρῆν τὴν νίκην ἐᾶν: —

657 καὶ τῶνδε κληδών: τούτων τῶν ἔργων καὶ τῆς εὐκοσμίας ἡ κληδὼν ἐλθοῦσα εἰς τοὺς Ἕλληνας ἀπώλεσέ με: —

658 ᾑρέθην: τὴν γὰρ ἀρίστην ἔκρινεν αὐτὸς λαβεῖν ὁ Νεοπτόλεμος: —

660 αὐθεντῶν δόμοις: τοῖς τῶν φονέων οἴκοις· αὐθέντας γὰρ λέγουσι τοὺς ἑκουσίῳ φόνῳ μετερχομένους καὶ αὐτοέντας τοὺς αὐτόχειρας [λέγουσι]: —

686 αὐτὴ μὲν οὔπω ναός: ἐγὼ μὲν οὐδέποτε εἰς νῆα εἰσέβην, γραφῇ δὲ μόνον καὶ ἀκοῇ οἶδα. εἰκάσαι δὲ βούλεται τὰ κατὰ τὴν ναῦν τοῖς ἑαυτῆς κακοῖς· ὥσπερ γὰρ οἱ ἐν νηὶ μετρίων μὲν ὄντων πόνων ἐλπίδα ἔχουσι σῴζεσθαι, εἰ δὲ βία συμβῇ, ἀπελπίζουσι τῆς ζωῆς, οὕτως κἀγὼ ἀπήλπισα: —

709 μήποτε οὐχ ὁ Ταλθύβιος, ἀλλ' ἄλλος τις ταῦτα λέγει. καὶ γὰρ οὐ λάτριν, ἀλλ' ὀνομαστὶ Ταλθύβιον καλεῖν εἴωθεν: —

786 τὰ δὲ τοιάδε: τὰ δὲ τοιαῦτα ἐπιτάγματα χρὴ ποιεῖν ὅσοι ἀνηλεεῖς εἰσι καὶ φίλοι τῇ ἀναιδείᾳ: —

GLOSSAE 665 λέγουσιν ὅτι μία νὺξ λύει τὴν δυσμένειαν τῇ φιλίᾳ  669 ἀλλ' οὐδὲ πῶλος. εἰ διαχωρισθείη τῆς συντραφείσης, ῥᾳδίως τὸν ζυγόν  684 ἐμοὶ δηλονότι  701 καὶ ἡμᾶς  713 τὸν Ἀστυάνακτα  763 περιλάμβανε  769 ὅτι τούτων ἡ αἰτία αὐτοῖς γέγονεν ἡ Ἑλένη  797 πάσῃ σπουδῇ  799 τῆς τρεφούσης μελίσσας· τίμιον γὰρ τὸ ζῷον

---

5 χρή in lemmate A  ἐμὲ — ἐκεῖνον addidi  9 αὐτὴν Wil  11—13 cf.schol. Andr. 172 et quae ibi adnotaui  12 μετερχομένους corruptum, conicio ἐνεχομένους  13 Soph. OT 107  λέγουσι deleui  16 μὲν detritum in A, habet a  18 ἀπήλπισα in A agnoscere mihi uisus sum ἀπείρηκα a  19. 20 lemma τίν' αὖ δέδορκα habet A  22 ἀνηλεεῖς Wil ἀναιδεῖς A  23 $\overset{κτ'}{νυ}$ A

801 ὄχθοις ἱεροῖς: πρὸ τῶν ὄχθων ⟨τῶν⟩ περὶ τὴν πόλιν ἐν ᾗ πόλει, ἡ Ἀθηνᾶ τὸν γλαυκῆς ἐλαίας κλάδον ἔδειξε. τὸν οὐράνιον στέφανον: —

804 ἔβας ἔβας: ὦ βασιλεῦ Τελαμών, ἔβης ὅτε τὸ πρῶτον ὁ Ἡρακλῆς τὸ τῶν Ἑλλήνων ἤγαγεν ἄνθος διὰ τοὺς πώλους λυπούμενος: —

822 Λαομεδόντιε παῖ: τὸν Γανυμήδην καθ' Ὅμηρον [E 265. Υ 231] Τρωὸς ὄντα παῖδα Λαομέδοντος νῦν εἶπεν ἀκολουθήσας τῷ τὴν μικρὰν Ἰλιάδα πεποιηκότι, ὃν οἱ μὲν Θεστορίδην Φωκαιέα φασίν, οἱ δὲ Κιναίθωνα Λακεδαιμόνιον ὡς Ἑλλάνικος, οἱ δὲ Διόδωρον Ἐρυθραῖον. φησὶ δὲ οὕτως [frg. 6]·

ἄμπελον ἣν Κρονίδης ἔπορεν οὗ παιδὸς ἄποινα
χρυσείοις φύλλοισιν ἀγανοῖσι κομόωσαν
βότρυσί θ' οὓς Ἥφαιστος ἐπασκήσας Διὶ πατρὶ
δῶχ', ὁ δὲ Λαομέδοντι πόρεν Γανυμήδεος ἀντί.

καὶ Ἀντιφάνης [frg. 73] Λαομέδοντος παῖδα τὸν Γανυμήδην φησί· 'διὰ τὰς τῶν οἰκιῶν * * * ὁρᾷς; ἐν τῇδε μὲν ὁ τῶν Φρυγῶν τύραννος οἰκῶν τυγχάνει γέρων, ἀπ' ἀρχῆς Λαομέδων καλούμενος': —

826 ᾐόνες δ' ἅλιαι: τὴν ἀλκυόνα λέγει. οὕτως, φησίν, ἐβόησαν οἱ αἰγιαλοὶ ὥσπερ οἰωνός, ἤγουν ἡ ἀλκυών, ὑπὲρ τῶν τέκνων: —

840 Ἔρως Ἔρως: ὦ Ἔρως, ⟨ὡς⟩ μεγάλως τότε τὴν Τροίαν ηὔξησας διὰ τὸ τοὺς θεοὺς ἐρᾶν: —

GLOSSAE 801 τὴν Ἀττικὴν λέγει 811 τὰ ναύδετα λέγει τὰ πρυμνήσια 812 τὰ τόξα λέγει 814 τὰς κατασκευάς, τὰ τείχη 817 πίτυλον λέγει τὴν συνεχῆ τῶν κωπῶν φοράν, νῦν δὲ τὴν ὁρμήν 821 οὓς ἡμεῖς λέγομεν σκύφους, οἷς τὸν οἶνον ἀρύονται, ἢ κυάθους 823 ἐν οἰνοχόαις 835 πεπόρθηνται

---

1 πρὸ ego ἀπὸ A ἐπὶ Wil τῶν add. Wil περὶ ego ἐπὶ A 5 Hesych. ἀτυζόμενος λυπούμενος.. 8 πεπονηκότι A Φωκαιέα ego φωκέα A 9 Ἑλλάνικος GHermann μελάνικοσ A 10 φασὶ A 11—14 cf. schol. Or. 1391 12 χρυσείην schol. Or. quod falsum esse docet ἐπασκήσας ἀγανοῖσι corruptum 13. 14 Διὶ—δὲ] πατρὶ δῶκεν αὐτὰρ ὁ schol. Or. 14 πόρε A 15 Ἀντιφάνης GHermann ἀριστοφάνησ A 15. 16 διὰ τὰσ τῶν οἰκείων tum spatium V uel VI uocabulorum uacuum rel. signo lacunae in mg. apposito A διὰ τούτων· 'τῶν οἰκιῶν ⟨οὗν ὤν⟩ GHermann Fritzsche Meineke, sed praeter οἰκιῶν omnia incerta 16 μὲν ὁ τῶν GHermann Meineke μενόντων A 17 οἰκῶν Meineke ὤκων A ἀρχῆς Seidler ὀργῆσ A 18 ἀλκυόνα Wil ἀλκιόνην A 19 αἰθιαλοὶ A ἠοίωνὸσ A ἀλκυών Wil ἀλκυόνη A 20 ὦ Kampmann ὁ A ὡς addidi

850 φέγγος ὀλοόν: τὸ δὲ φέγγος τῆς Ἡμέρας, ὅ ἐστιν αὐτὴ ἡ Ἡμέρα, [πῶς] περιεῖδε τὸν ὀλοὸν τοῦτον ὄλεθρον τὸν κατὰ ταύτην τὴν γῆν ἐπηρμένον καὶ ⟨τὸν⟩ τῶν Περγάμων, καίτοι ἄνδρα ἔχουσα ἐντεῦθεν τεκνοποιόν, ὡς καὶ τέκνα ἔχειν, τὸν ⟨Ἠμαθίωνα καὶ τὸν⟩ Μέμνονα: —

855 ὃν ἀστέρων τέθριππος: τὸν Τιθωνὸν λέγει [ἡ Ἡμέρα ἔχουσα]. κατὰ δὲ Ἡσίοδον οὐκ ἔστι ταὐτὸν Ἠὼς καὶ Ἡμέρα. λέγει ⟨γὰρ⟩ ὁτὲ μὲν [Theog. 371]· 'Θεία δ' Ἠέλιον τέκετο λαμπράν τε Σελήνην ⟨Ἠῶ θ'', ὁτὲ δὲ [Theog. 124] 'Νυκτὸς δ' αὖτ' Αἰθήρ τε καὶ Ἡμέρη ἐξεγένοντο'⟩: —

ἄλλως: ὅντινα Τιθωνὸν ὁ τέθριππος ὄχος τῶν ἀστέρων, ὅ ἐστιν ὁ λάμπων ἀστήρ, τῇ πατρῴᾳ γῇ μεγάλην ἐλπίδα παρεχόμενον: —

863 Μενέλαός εἰμι: περισσὸν τὸ Μενέλαός εἰμι· αὔταρκες γὰρ τὸ δάμαρτα τὴν ἐμὴν χειρώσομαι: —

884 ὦ γῆς ὄχημα: τὴν γῆν ὀχῶν καὶ ἐπὶ γῆς ὀχούμενος· λέγει δὲ τὴν ἀέρα [ὦ συνέχων τὴν γῆν]· ἔστι γὰρ καὶ ἐπάνωθεν ἀὴρ καὶ κάτω ὡς τὴν γῆν εἶναι μετέωρον. ὦ ὄχημα τῆς γῆς ὅστις εἶ, εἴτε Ζεὺς εἴτε ἄλλο τι, ἐπάκουσον. [εἴτε] τὸν νοῦν τοῖς ἀνθρώποις ἐντιθείς. δύναται καὶ οὕτως· ὁ διήκων διὰ πάντων νοῦς, καὶ μήποτ' ἐστὶ βέλτιον. καὶ γάρ ἔνιοί φασιν· ὁ νοῦς ἡμῶν [ὁ] θεός [Eur. frg. 1018]· ὁρμῶνται δὲ ἐκ τῶν Ἀναξαγορείων λόγων: —

ἄλλως: ἔνιοι οὕτως· ὁ τὸν νοῦν τοῖς ἀνθρώποις ἐντιθείς. ἢ ὁ διήκων διὰ πάντων νοῦς, ὃ καὶ βέλτιον. εἴτε Ζεὺς ὁ [τοιοῦτος] ἀνθρωπόμορφος εἴτε φυσικὴ ἀνάγκη, ἢ τοιοῦτος νοῦς οἷον ἔχουσιν οἱ ἄνθρωποι. ἢ τοιούτων μὲν οὐδέν, ἀναπλασμὸς δέ ἐστι τῆς ἡμῶν διανοίας ὁ θεός: —

GLOSSAE 845 πολλὰ εἴρηται περὶ τοῦ Διός, οὐκέτι ἐρῶ οὐδὲ ὀνειδίσω τῷ Διί 858 τὰ δὲ τῶν θεῶν φίλτρα ἀφανῆ νῦν εἰσιν

---

1 αὐτὴ ego αὕτη A 2 πῶς deleui 3 τὸν addidi ἐντεῦθεν Wil ἐν ταύτῃ A 4 Ἠμαθίωνα—τὸν addidi Ἠμαθίωνα καὶ Μέμνονα Dindorf 5. 6 ἡ—ἔχουσα del. Wil 7 γὰρ addidi τέκετο] τε μέγαν Hesiodus 8. 9 Ἠῶ—ἐξεγένοντο addidi uiam monstrante Cobeto 10 ὄχος ego ὁ χορὸσ A 11 παρεχόμενον Wil παρεχόμενοσ A 15 ὦ—γῆν eieci 17 εἴτε del. Wil 18 πάντ.. A πάντων a 19 ὁ deleui fragmentum agnouit Wil 20 ὁρμᾶται Wil ὁρμῶνται ego ὁρᾶται A 21 ἐντιθεὶσ a τιθεὶσ A 22 διὰ πάντων ego ἐπὶ πάντασ A τοιοῦτος deleui 24 τοιούτων ego τοιοῦτον A

895 Μενέλαε: διὰ τί τολμηρῶς αὐτὸν Μενέλαον καὶ οὐ πόσιν προσαγορεύει; διὰ τὸ μετὰ φόβου ἐξάγεσθαι ἀρχήν φησι τοῦ λόγου ταύτην ἀξίαν φόβου, τὸ Μενέλαον αὐτὸν καὶ οὐ πόσιν προσαγορεύειν: —

901 οὐκ εἰς ἀκριβές: ὅ ἐστιν· οὐκ εἰς τὸ ἀκριβὲς ἦλθεν ὥστε ἀριθμουμένων τῶν ψήφων εἰς τὸ βραχὺ ἐλθεῖν καὶ εἰς ἰσοψηφίαν καταντῆσαι: —

906 ἄκουσον αὐτῆς: καταφέρεται εἰς τὸ νόσημα τῶν ἀντιθέσεων· ἡ γὰρ πρότερον λέγουσα· ὅρα μή σε ἕλῃ, νῦν φησιν ἄκουσον αὐτῆς: —

911 σχολῆς τὸ δῶρον: ἀργίας, φησί, χρεία εἰς τὸ συγχωρῆσαι αὐτῇ εἰπεῖν· ὅμως ἕνεκα τῶν σῶν λόγων, ὦ Ἑκάβη, δίδωμι αὐτῇ τὸ παρρησιάζεσθαι, ,οὐχ ἕνεκα ταύτης: —

916 ἅ σ' οἶμαι: ἅπερ σε οἶμαι διὰ λόγων ἰόντα κατηγορήσειν, ταῦτα ταῖς ἀντιθέσεσιν ἀνατρέψω: —

928 εἴ σφε κρίνειεν Πάρις: εἰ κρίνειεν αὐτὴν ὁ Πάρις: —

931 βελτίονα ταῦτα εἶναι συλλογίζεται λέγουσα ὅτι, εἰ μὴ ⟨ἐμὲ⟩ εἵλετο ὁ Ἀλέξανδρος, ἐδούλευσεν ⟨ἂν⟩ τοῖς Τρωσὶν ἡ Ἑλλάς· ἡ γὰρ Ἀθηνᾶ τὴν βασιλείαν τῆς Ἑλλάδος αὐτῷ ὑπέσχετο: —

932 οἱ μοὶ γάμοι: οἱ ἐμοὶ γάμοι ὤνησαν τὴν Ἑλλάδα καθὸ ἐκράτησε τῶν βαρβάρων· εἰ γὰρ ἐπείσθη τῇ ὑποσχέσει τῆς Ἀθηνᾶς, ἔμελλον ἂν νικᾶσθαι ὑπὸ τῶν βαρβάρων οἱ Ἕλληνες: —

934 οὔτ' εἰς δόρυ: οὔτε εἰς μάχην σταθέντες οὔτε [ἐν] τυραννίδι, οἷον· οὐκ ἐτυραννήθησαν. [οἷον] εἰ γὰρ ἡ Ἥρα ἐκράτησεν, τύραννον ἔμελλε καταστῆσαι Ἀλέξανδρον, ἡ δὲ Ἀθηνᾶ [εἰς μάχην] * *: —

938 οὔπω με φήσεις: ἀλλ' ἐρεῖς με, φησί, μὴ εἰπεῖν τὰ ἀναγκαῖα. ποῖα δέ εἰσι τὰ ἀναγκαῖα; τὸ πῶς ἀφώρμησα ἐκ τῶν σῶν οἴκων: —

941 ὁ τῆσδ' ἀλάστωρ: ἡ ἀπολογία αὕτη ἐστίν· ὁ ταύτης ἀλά-

GLOSSAE 873 μοχθήσαντες ἐκράτησαν 899 λείπει τὸ ⟨εἰσίν⟩· ποῖαί εἰσιν 900 περὶ ἐμοῦ ἕνεκα

---

14 ἀναστρέψω A 15 κρίνειεν ego κρίνει A 16—18 scholio 15 adi. A dist. Wil 16 εἶναι Wil δὲ A ἐμὲ addidi 17 ἂν addidi 22 σταθέντεσ a σταθέντασ A ἐν deleui 23 οἷον deleui ἐκράτησεν in ἐκράτει corr. A 24 ἔμελλε Wil ἔλεγε A 30 εἰσίν addidi

στωρ ὁ Ἀλέξανδρος ἦλθε μεθ' ἑαυτοῦ ἄγων οὐ μικρὰν θεόν, τὴν Ἀφροδίτην: —

943 σοῖσιν ἐν δόμοις: καὶ ταῦτα παρὰ τὴν ἱστορίαν φησίν· οὐ γὰρ παρόντος αὐτοῦ, ἀλλ' ἀποδημοῦντος ὁ Ἀλέξανδρος παρεγένετο: —

951 ἔνθεν δ' ἔχοις: τοῦτο καθ' ἑαυτὸ ἀναγνωστέον. βούλεται γὰρ λέγειν· ἐκ τῶν λέγεσθαι μελλόντων ἐνταῦθα ἔχεις εἰς ἐμὲ εὐπρεπῆ λόγον· διὰ τί ἀποθανόντος Ἀλεξάνδρου οὐκ ἦλθες εἰς ἐμέ: —

975 ἀνοίκειον τοῦτο τοῦ ὑποκειμένου. ἔδει γὰρ αὐτὴν ἀνελεῖν * * καὶ μὴ εἰπεῖν ὅτι παίζουσαι ἦλθον εἰς τὴν τοῦ κάλλους ἔριν. διόπερ καὶ τοὺς ἐν Ἰλιάδι στίχους [Ω 29. 30] ἀθετοῦσι τοὺς 'ὅς νείκεσσε θεάς'. δύναται δὲ καὶ καθ' ὑπόκρισιν ἐρωτηματικῶς ἀκούεσθαι· αἳ παιδιαῖς καὶ τρυφῇ ἦλθον εἰς Ἴδην; [οὐκ ἦλθον] οὐ δῆτα· ὥστε εἶναι πάντων τῶν προειρημένων ἀναιρετικόν. τὸν γὰρ ἐναντίον λόγον χειρίζουσα ὀφείλει ἀναιρεῖν ἐκεῖνα: —

983 Κύπριν δ' ἔλεξας: ἐλθεῖν δὲ τὴν Κύπριν ἔλεξας εἰς τοὺς Μενελάου δόμους σὺν τῷ ἐμῷ παιδί, ἅπερ γέλως ⟨ἂν⟩ εἴη: —

988 ὁ σὸς δ' ἰδών νιν: σὺ κατὰ τὸν ἐκπτοηθέντα νοῦν ἀναπλάσσῃ Κύπριν * * ποιοῦσα. ὁ δὲ νοῦς οὕτως· ὁ δὲ σὸς νοῦς ἰδὼν τὸν Ἀλέξανδρον ἐποιήθη Κύπρις, οἷον· ἐμωράνθη καὶ εἰς ἀκολασίαν ἐτράπη· ἡ γὰρ Ἀφροδίτη ἐπὶ ἀσελγείας λαμβάνεται: —

989 τὰ μῶρα γάρ: συνεχῶς ὁ Εὐριπίδης μῶρα λέγει τὰ ἀκόλαστα καὶ κατωφερῆ. καὶ νῦν τοῦτό φησιν ὅτι τὴν σαυτῆς ἀκολασίαν εἰς τὴν θεὸν ἀποτρίβῃ· πάντα γὰρ τὰ ἀκόλαστα Ἀφροδίτη λέγεται: —

990 καὶ τοὔνομ' ὀρθῶς: τὴν Ἀφροδίτην ἐτυμολογοῦσιν οἱ μὲν παρὰ τὸν ἀφρὸν τὸν ἐν τῇ συνουσίᾳ, οἱ δὲ παρὰ τὸν ἐν τῇ θαλάττῃ

GLOSSAE 958 ταῖς σειραῖς τοῖς σχοινίοις 962 ὁ Δηίφοβος 966 ὦ Ἑκάβη 967 τῆς Ἑλένης 1008 ἐμελέτας 1009 τῇ σωφροσύνῃ

5 ἐνθένδ' A 7 τί Kampmann τὸ A quae apud Dindorfium secuntur, in A m. recentissima scripta sunt ita ηγουν ὡσ λέγοι καλλιώτερον ἐγίνετο [conieci ἤγουν· λέγουσα κάλλιον τιμώρησον] ὅτι ἐφονεύθησαν οἱ παῖδεσ σου καὶ ἡ τροία διώλετο 8 ἐγὼ γὰρ ἦραν lemma in A lacunam indicaui, suppleas τὰ ὑπὸ τῆς Ἑλένης εἰρημένα siue ἐκεῖνα 10 τοὺς] τὸ A 16 ἂν addidi 18 lacunam indicaui, suppleo τὴν σεαυτῆς ἀσέλγειαν Κύπριν 20 ἀσελγίας A 23 ἀποτρίβει A 24—p. 369, 4 cf. et. m. p. 179, 3 sq. Gud. p. 97, 30

ἀφρὸν ὡς Ἡσίοδος ἐν Θεογονίᾳ [197], οἱ δὲ ἀφόρητόν τινα εἶναι, ὡς αὐτός φησι [Hipp. 443]· 'Κύπρις γὰρ οὐ φορητός, ἢν πολλὴ ῥυῇ'. οἱ δὲ Ἀβροδίτην, ἀβροδίαιτόν τινα οὖσαν· μόνη γὰρ οὐκ οἶδε πολεμικὰ ἔργα: —

995 χρυσῷ ῥέουσαν: ἤλπισας τὴν Τροίαν χρυσῷ ῥέουσαν ταῖς δαπάναις πλημμυρεῖν: —

1006 ἀνταγωνιστὴν μέγαν: ἀντεραστήν· λυποῦνται γὰρ οἱ ἐρῶντες ὅταν οἱ ἀντερασταὶ ἐπαινῶνται: —

1008 εἰς τὴν τύχην δ' ὁρῶσα: πρὸς τὴν τύχην ἑκάστου ἐφέρου καὶ τὸν εὐτυχοῦντα ἐπῄνεις: —

1010 κἄπειτα πλεκταῖς: καθόλου νῦν παρὰ τὸ πρέπον ἡ Ἑκάβη εἰκαιολογεῖ ὥς φησι * * ὁ ποιητής. εἰσὶ δὲ αἱ τοιαῦται ἐπιχειρήσεις ἀμάρτυροι πίστεις: —

1030 στεφάνωσον Ἑλλάδ': εὐήθης ἡ Ἑκάβη. ἀπὸ γὰρ τῆς ἐκβολῆς τοῦ ξίφους ἐχρῆν ἐπιγνῶναι τὴν διάθεσιν τοῦ ἀνδρός, ὡς ἐν τῇ Ἀνδρομάχῃ [628]· 'οὐκ ἔκτανες γυναῖκα [σὴν] χειρίαν λαβών': —

1034 ἀφελοῦ πρὸς Ἑλλάδος: ἀφελοῦ τὸ θῆλυ, τουτέστι· μὴ θηλυνθῇς, ἀνελὼν δὲ ταύτην σεαυτὸν ἀπαλλάξεις ψόγου: —

1036 ἐμοὶ σὺ συμπέπτωκας: πρὸς τὴν Ἑκάβην φησί· συμφωνεῖς μοι λέγουσα τὰ τοιαῦτα, ⟨ταύτην⟩ ἑκουσίᾳ γνώμῃ ἐξελθεῖν τῶν ἐμῶν οἴκων καὶ μάτην τὴν Κύπριν προβάλλεσθαι: —

1037 ἑκουσίως τήνδ' ἐκ δόμων: ἑκουσίως ἔπλευσε, κόμπου δὲ χάριν ἡ Ἀφροδίτη τοῖς λόγοις αὐτῆς ἐμβέβληται: —

1049 καὶ τοῦτο γέλοιον, γελοιότερον δὲ ὃ ἀντερεῖ: —

1051 ὁ στίχος οὗτος ἐν παροιμίαις φέρεται: —

GLOSSAE 1023 πρὸς αὐτὴν ἀποτείνεται ὡς ἂν καὶ κοσμηθεῖσαν 1025 ἐρειπίοις τοῖς ῥάκεσι μεταφορικῶς ἀπὸ τῶν κατερηριμμένων οἴκων 1052 πρὸς τὰς ψυχὰς τῶν ἐρώντων

---

3 οἱ δὲ = Didymus 8 ἐπαινῶνται Kampmann ἐπαινοῦνται A 12 εἰκαιολογεῖ Wil δικαιολογεῖ A φ̣ (η) νι (κτ) accentu circumflexo litterae τ appicto, quod nihil aliud significare potest nisi νικτῶ νικτεῖς νικτεῖ νικτεῖν νικτῶν. de emendatione despero, latere censet Wil οὐδὲν τοιοῦτόν φησιν ὁ ποιητής 15 ἐκβολῆς Wil ἐμβολῆς A 19 σὺ] γὰρ A 20 ταύτην addidi πείθομαι γὰρ αὐτὴν Wil 21 προβάλλεσθε A 24 γελοιότερον ego γελοιότερος A ὃ ἀντερεῖ ego ὁ ἀντερῶν A 27 καταρεριμμένων A 28 ψυχὰς a τύχας A

1057 ῥᾴδιον μὲν οὐ τόδε: τὸ κατὰ τῶν γυναικῶν μῖσος ἑαυτοῦ καὶ διὰ τούτων παρίστησιν ὁ Εὐριπίδης· οὐ γάρ, φησί, ῥᾴδιόν ἐστί ποτε σωφρονίσαι γυναῖκα: —

1059 κἂν ἀκόλαστοι πάνυ ὦσιν: —

• 1064 σμύρνης αἰθερίας: εἰς τὸν αἰθέρα φθανούσης. ἢ τῆς αἰθομένης. τὴν ἀκρόπολιν. κατὰ κοινοῦ τὸ προὔδωκας: —

1069 τέρμονά τε: τέρμονα νῦν λέγει τὴν τοῦ Ἰδαίου ὄρους κορυφὴν διὰ τὸ τερματίζειν, πρωτοβόλον δὲ διὰ τὸ ἐμβάλλειν τὸν ἥλιον ἀνίσχοντα πρῶτον εἰς αὐτήν: —

1070 ζαθέαν θεράπναν: ἔνθα τὸ θεῖον θεραπεύεται. νῦν δὲ θεράπναν λέγει τὴν τοῦ Διὸς οἴκησιν παρόσον ὁ Ζεὺς τὴν Ἴδην οἰκεῖ: —

1075 Φρυγῶν τε ζάθεοι: ἀμφιβόλως ἔχει πότερον κατ' ἐνιαυτὸν διὰ τὸ δωδεκασέληνον εἶναι τὸν ἐνιαυτὸν ἢ δι' ὅλου τοῦ ἐνιαυτοῦ κατὰ μῆνα. λέγουσι δὲ ἔνιοι καὶ τὰ πέμματα σελήνας διὰ τὸ λευκὰ εἶναι καὶ περιφερῆ. σελήνας * * ἱδρύεσθαι. δύναται οὖν λέγειν ἐκ δώδεκα πεμμάτων θυσίας: —

1079 αἰθέρα τε πόλεως: καὶ τὸν αἰθέρα ἐπιβεβηκώς. ὁ Δίδυμος τὸν ἐμπυρισμόν, ἀπὸ τοῦ αἴθεσθαι: —

1090 κατάορα: ἐστεγασμένα πεπυκνωμένα τοῖς δάκρυσι. κατήορα τῇ βοῇ. ἢ βοᾷ, ἵν' ᾖ ῥῆμα: —

GLOSSAE 1063 τῶν πεμμάτων τῶν πλακούντων 1066 ἐν γὰρ τῇ Ἴδῃ ἐτιμᾶτο ὁ Ζεὺς 1067 πολλῇ ὑφ' ἧς οἱ ποταμοὶ πληροῦνται 1072 ἀντὶ τοῦ· αἱ περὶ ὀψίαν τοῖς θεοῖς παννυχίδες 1077 μέλει μοι εἰ φρονεῖς τῆς πόλεως καταλυομένης 1082 ἐν τοῖς νεκροῖς διατρίβεις 1085 ἄλουστος· λούουσι γὰρ τοὺς νεκροὺς οἱ νομίμως θάπτοντες 1087 οὕτως καλεῖται τὸ κατὰ Πελοπόννησον Ἄργος 1090 κατήορα

---

4 scholio 3 adi. A 9 ἀνίσχοντα πρῶτον ego πρῶτον ἀνίσχοντα A 15—17 cf. Hesych. s. u. σελήνας Phot. s. u. σελήνας. σελήνη Steph. Byz. p. 560, 17 Suid. s. u. σελῆναι ἀνάστατοι. βοῦς ἕβδομος Eust. p. 1165, 6 Poll 6, 76 Athen. 11 p. 489a 16 σελήνας δε, litterae ε superscripta sunt τν A nihil extrico, neque ἱδρύεσθαι sanum esse uidetur 18 Hesych. αἰθέρα ἐμπυρισμόν, ἀπὸ τοῦ αἴθεσθαι. Εὐριπίδης Τρῳάσιν et. m. p. 33, 9 αἰθέρα . . καὶ ἐπὶ ἐμπυρισμοῦ 26 27. cf. Hesych. s. u. ἀνύδρονος

1100 ἔνθ' ἀκάτου: ἔνθα πορευομένης τῆς νεὼς τοῦ Μενελάου κατὰ τὸ μέσον πέλαγος τοῦ Αἰγαίου τὸ δίπαλτον πῦρ τὸ ἱερόν, ὅ ἐστιν ὁ κεραυνός, κεραυνώσειεν κατὰ τὸ μέσον τὴν πλάτην, ὅ ἐστι τὸ πλοῖον· εὔχονται γὰρ κατὰ τὸ μέσον πέλαγος κεραυνωθῆναι: —

1107 χρύσεα δ' ἔνοπτρα: φαίνεται ἐπιλελησμένος ὧν προείρηκεν· ἀπῆκται γὰρ ἐπὶ τὰς ναῦς ὡς ἀποτυμπανισθησομένη. ἤτοι οὖν ἐπιλελησμένας αὐτὰς εἰσάγει ἢ καταστοχαζομένας ὅτι πάλιν ἔχει τὰ ἔνοπτρα καὶ καλλωπίζεται: —

1113 χαλκόπυλόν τε: τινὲς θεᾶς μέλαθρον· ἢ προσυπακουστέον αὐτὸ ἔξωθεν. ἔστι δὲ Χαλκιοίκου Ἀθηνᾶς ἐν Σπάρτῃ ἱερόν: —

1118 καινὰ καινῶν: παρασκευάζουσαι αἱ συντυχίαι τῇ Τροίᾳ. τὸ ἑξῆς δέ· λεύσσετε Τρώων ἄλοχοι μέλεαι: —

1121 ὃν πύργων δίσκημα: ἀντὶ τοῦ· ἔκτεινον ῥίψαντες καὶ δισκεύσαντες αὐτὸν ἀπὸ τῶν τειχῶν: —

1123 νεὼς μὲν πίτυλος: ἀντὶ τοῦ μία ναῦς· πίτυλος γὰρ ἡ κωπηλασία. ὡς τῆς Ἀνδρομάχης παρακαλεσάσης αὐτὸν μετὰ τῆς ἀσπίδος θάπτεσθαι, διὰ τοῦτο Ταλθύβιος λέγει μίαν ναῦν καταλελεῖφθαι ἐπ' αὐτὸ τοῦτο: —

1126 αὐτὸς δ' ἀνῆκται: ἀναγωγὴ λέγεται ἡ ἀπὸ τοῦ λιμένος εἰς τὸ πέλαγος ἀναχώρησις· δοκεῖ γὰρ ὑψηλοτέρα εἶναι ἡ θάλασσα τῆς γῆς: —

1128 Ἄκαστος ἐκβέβληκεν: ὁ μὲν Εὐριπίδης ὑπὸ Ἀκάστου φησὶν ἐκβεβλῆσθαι τὸν Πηλέα. εἰσὶ δὲ οἵ φασιν ὑπὸ τῶν δύο αὐτοῦ παίδων Ἀρχάνδρου καὶ Ἀρχιτέλους κατὰ τὸν καιρὸν ὅτε ἔμελλον Ἕλληνες ἐξ Ἰλίου ἐπανιέναι, ἐξεληλάσθαι καὶ ἐλθόντα εἰς ἀπάντησιν τῷ Νεο-

GLOSSAE 1096 λείπει ἡ εἰς· εἰς Σαλαμῖνα 1097 διὰ τὸ εἰς δύο θαλάσσας τὸν Ἰσθμὸν διῃρῆσθαι διῄρηται γάρ 1099 ἡ Πελοπόννησος 1100 εἶδος πλοίου 1106 δουλεῦσαι μέλλουσαν Ἑλλάδι 1112 πόλις Λακεδαιμονίων ἡ Πιτάνη 1117 ἀντὶ τοῦ Τρωσίν 1118 τὸ ἑξῆς· ἰὼ συντυχίαι

3 κεραυνώσειεν ι κεραυνώσει A 5 ἐπιλελησμένος ego ἐπιλησμένος A 7 ἢ ego καὶ A πάλιν ego πάλαι A 10 χαλκείου οἴκου A 13. 14 δισκεύσαντες L.Dindorf διεσκευάσαν A 22 — p. 372, 2 cf. schol. Ω 488 T Pind. Pyth. 3, 167 24 καιρὸν L.Dindorf σκανὸν A ὅτε ego ὃν A

πτολέμῳ προσελθεῖν διὰ χειμῶνα τῇ Κῷ τῇ νήσῳ καὶ ξενισθέντα ὑπὸ Μόλωνός τινος Ἄβαντος ἐκεῖ καταλῦσαι τὸν βίον: —

1129 οὐ θᾶσσον: θᾶσσον τοῦ δέοντος ἐξώρμησε καὶ οὐκ ἐπεμέρισέ τινα τῇ μονῇ χάριν. οὐ γὰρ ἡγήσατο κεχαρισμένον ἑαυτῷ εἶναι τὸ μεῖναι, ἀλλ' ἀνήχθη. τοῦτο δὲ πρὸς τὴν δραματικὴν ὑπόθεσιν μεμηχάνηται ὅπως τὸ ἐπεισόδιον εἰσαγάγῃ τοῦτο τήν τε ἀσπίδα ἐπὶ τῆς σκηνῆς παρεισενέγκῃ καὶ τὸν Ἀστυάνακτα. πρὸς μὲν οὖν τὴν ταχεῖαν ἀναχώρησιν εὗρεν ὅτι αἴτιον τῷ Νεοπτολέμῳ τὸν Πηλέα ὑπὸ Ἀκάστου ἐκβεβλῆσθαι. περὶ δὲ τῆς ἀσπίδος ὅτι ἠξίωσεν αὐτὸν ἡ Ἀνδρομάχη τὴν ἀσπίδα αὐτῇ ἀφεῖναι ὅπως μὴ ἐν τῷ αὐτῷ θαλάμῳ ⟨καὶ⟩ ἡ τοῦ Ἕκτορος ἀσπὶς ᾖ. κομψῶς δὲ ταῦτα πάντα πεποίηκε. παρῄρηται δὲ τὸ τραγικὸν κατασκεύασμα. εἰ γὰρ παρῆν ἡ Ἀνδρομάχη, οἰκτρότερον ἂν ἐγένετο τὸ πάθος θρηνούσης αὐτῆς τὸν ἴδιον παῖδα. ἀντικατήλλακται δὲ τοῦ τοιούτου πάθους τὴν τῆς ἀσπίδος εἰσαγωγήν: —

1133 καί σφ' ᾐτήσατο: παρεκάλεσε δὲ συνθάψαι καὶ τὴν ἀσπίδα ἥτις τοῖς Ἕλλησι φόβον παρεσκεύασεν: —

1138 μή νιν πορεῦσαι: παρεκάλεσεν αὐτὸν μὴ ἄγειν τὴν ἀσπίδα εἰς τὸν Πηλέως οἶκον πρὸς τὸ μὴ λυπεῖσθαι ὁρῶσαν αὐτήν: —

1141 ἀλλ' ἀντὶ κέδρου: ἀντὶ σοροῦ· ἀπὸ κέδρου γὰρ αἱ σοροί. [συνθάπτειν τὴν ἀσπίδα]: —

1143 ὡς περιστείλῃς νεκρόν: ἵνα σὺ περιστείλῃς, ἐπειδὴ ἡ Ἀνδρομάχη βέβηκε· τὸ γὰρ τοῦ Νεοπτολέμου τάχος ἀφείλετο αὐτὴν ὥστε μὴ δι' ἑαυτὴν θάπτειν τὸν νεκρόν: —

1152 ἔλουσα νεκρόν: καὶ καθόλου ἔλουσα καὶ κατὰ μέρος ἀπένιψα: —

1153 ἀλλ' εἶμ' ὀρυκτόν: ἀλλὰ πορεύομαι ἐπὶ τὸ ὀρύξαι τάφον: —

1154 ὡς σύντομ' ἡμῖν: ἵνα συντόμως δι' ἐμοῦ καὶ διὰ σοῦ πραχθέντα ταῦτα παρασκευάσῃ ἡμᾶς πλεῖν: —

GLOSSAE 1148 ἐπιχέοντες τὴν ναῦν 1150 ἀπήλλαξά σε μόχθου διὰ τὸ λελουκέναι αὐτόν

---

4 οὐ ego οὔτε A 6 εἰσαγάγῃ ego ἐπαγάγοι A 7 ἐπὶ τῆς σκηνῆς post ἀσπίδα coll. Wil, ante τήν A 10 καὶ addidi 11 κομψῶς ego κομψὰ A παρῄρηται ego παρῄρηστο A 12 εἰ γὰρ ego εἴπερ A εἴπερ γὰρ Cobet οἰκτότερον A 17 ἄγει A 20 συνθάπτειν — ἀσπίδα deleui 23 ἑαυτὸν A 26 τὸ ego τῷ A 29 παρασκευάσῃ a παρασκευάσει A

1158 ὦ μεῖζον ὄγκον δορός: ὦ Ἀχαιοὶ μᾶλλον κομποῦντες ἐν λόγοις ἢ ἐν πολέμῳ, τί τοῦτον ἐφοβήθητε: —

1161 οὐδὲν ἦτ' ἄρα: οὐδὲν ἐτυγχάνετε ὅτι Ἕκτορος μὲν ζῶντος ἐπορθήσατε τὴν πόλιν, τοῦτον δὲ νῦν φοβεῖσθε: —

1175 ὃν πόλλ' ἐκήπευσ': κῆπος κουρᾶς εἶδος ἣν οἱ κειρόμενοι διεβάλλοντο, κατελίμπανον δὲ τὰς ἔξω τῆς κεφαλῆς περὶ τὰ ἄκρα τρίχας. οὐ κέχρηται οὖν μεταφορᾷ ὁ Εὐριπίδης, ἀλλὰ τὸ τῆς κουρᾶς εἶδος αἰνίττεται. οὕτως ὁ Ἐρατοσθένης· οὐ γὰρ ἀξιοῖ μεταφορὰν εἶναι. λέγει οὖν· ὅντινα βόστρυχον κῆπον ἔκειρε. * * τὴν τοιαύτην δὲ κουρὰν καλοῦσι κῆπον: —

ἄλλως: κατά τινας ἐπιμελείας ἠξίωσεν, ἐθεράπευσεν, ἵν' ᾖ μεταφορά. ἔστι δὲ καὶ εἶδος κουρᾶς ὁ κῆπος. ᾧ οἱ χρώμενοι διεβάλλοντο, κατελίμπανον δὲ τὰς ἔξω τῆς κεφαλῆς τρίχας. νῦν οὖν ὁ Εὐριπίδης τὸ εἶδος τῆς κουρᾶς λέγει, ὡς καὶ Ἐρατοσθένης: —

1176 ἔνθεν ἐκγελᾷ: ἔνθεν, ἀπὸ τῶν βοστρύχων, τῶν ὀστέων ῥαγέντων διαχάσκει ὁ φόνος (φόνον δὲ λέγει τὸν ἐγκέφαλον), ἵνα τὰ ⟨οὐκ⟩ εἰθισμένα μὴ λέγω. αἰσχρὸν γὰρ λέγειν ἐγκέφαλον: —

1178 ὦ χεῖρες, ὡς εἰκοῦς: τῆς μὲν εἰκόνος καὶ τῆς εἰκασίας τοῦ πατρὸς κέκτησθέ τι, οἷον· ὅμοιοι μέν ἐστε τοῦ πατρός, ἐν δὲ τοῖς ἄρθροις ἐκλελυμένοι πρόκεισθε: —

1182 ὦ μῆτερ, ηὔδας: ἔλεγες τοιαῦτα, φησίν, ὅτι, ὅτε τεθνήξῃ, τὸν πλόκαμόν σοι κεροῦμαι, καὶ τοῦτο ἔλεγες ὅτι ὑμνήσω σε μετὰ τῶν ὁμηλίκων: —

1189 γράψειεν ἄν σε: εἰώθασιν ἐν τοῖς τάφοις τῶν ἀποθνῃσκόντων γράφειν τὰ ἀνδραγαθήματα. καὶ σὲ οὖν πῶς ⟨ἄν τις⟩ γράψειεν; ἆρα ὡς ἐφονεύθης ὑπὸ τῶν Ἑλλήνων * * αἰσχύνην τοῖς Ἕλλησι δι' ὧν λέγει αὐτοὺς ἕνα παῖδα πεφοβῆσθαι: —

1196 σὸς κεῖται τύπος: ἤτοι τύπος τοῦ Ἕκτορος συμβέβηκεν

GLOSSAE 1166 ὅστις μὴ μετὰ λογισμοῦ φοβεῖται 1195 φύλακες γάρ εἰσι καὶ οἱ φρουροῦντες

1 κομπῶντες A 2 τί Wil εἰ A 5—14 cf. Hesych. [Poll. 2, 32. 10, 140] Suid. [= schol. Ar. Av. 806] Phot. s. u. κῆπος Eust. p. 907, 39. 1292, 62. Poll. 2, 29. 9, 13 7 μεταφορᾷ ego μεταφοραῖς A 9 lacunam indicaui 11. 12 μεταφ... A μεταφορικῶς a 14 λέγει ante ὡς coll. Wil, in fine A 17 οὐκ addidi cf. Athen. 2 p. 66a 20 πρόσκεισθε A 22 σοι ego σου A 25 ἄν—γράψειεν ego γράψει A 26 lacunam indicaui ἐπιβάλλων suppl. Wil 28 ἤτοι ego ὅτοι A

εἶναι ἐκ τοῦ ἱδρῶτος ἢ ἁπλῶς ὁ ἱδρὼς κεῖται ὃν ἔσταξεν ὁ Ἕκτωρ ἐκ τοῦ μετώπου ⟨ἐν⟩ τοῖς περιδρόμοις τῆς ἀσπίδος: —

1201 οὐ γὰρ ὁ δαίμων δίδωσιν εἰς κάλλος τὰς τύχας. ἀντὶ τοῦ· οὐκ ἔστιν εὐπρεπὴς οὐδὲ πολυτελής: —

1204 τοῖς τρόποις γὰρ αἱ τύχαι: αἱ γὰρ τύχαι τοῖς τρόποις * *. ὅ ἐστι· γίνονται κατὰ τοὺς τρόπους τοῦ εὐμεταβλήτου καὶ ἄλλοτε ἄλλῃ πηδῶντος ἀνθρώπου· ἔμπληκτος γὰρ ὁ εὐμετάβλητος: —

1207 καὶ μὴν πρὸ χειρῶν: ἕτεραι Τρῳάδες φέρουσι σκῦλα Φρυγῶν τῷ τεθνηκότι: —

1223 θανῇ γὰρ οὐ θανοῦσα: καίτοι συνθαπτομένη τῷ νεκρῷ οὐκ ἀποθανῇ με⟨τ' αὐτοῦ⟩: —

1230 νεκρὸν Ἴακχον: ἐγὼ στενάζω τὸν νεκρὸν Ἴακχον, τὸν θρῆνον τὸν εἰς τὸν Ἴακχον, ὅν φασι Περσεφόνης εἶναι υἱόν: —

1233 τλήμων ἰατρός: κἀγώ, φησίν, ἰατρὸς νομιζομένη, τὰ δὲ ἔργα τῶν ἰατρῶν οὐκ εἰδυῖα, τοῖς ῥάκεσι πληρώσω τὰ ἕλκη σου: —

1240 οὐκ ἦν ἄρ' ἐν θεοῖσιν: οὐδὲν ἦν ἐν τοῖς θεοῖς, φησίν, εἰ μὴ ἡ Τροία καὶ οἱ ἐμοὶ πόνοι, οἷον· περὶ οὐδενὸς ἐφρόντιζον οἱ θεοὶ εἰ μὴ περὶ ἐμοῦ καὶ τῶν ἐμῶν πόνων καὶ τῆς Τροίας τῆς μεγάλως μισουμένης: —

1244 ἀφανεῖς ἂν ὄντες: νῦν, φησί, περιβόητοι ἐγενόμεθα· εἰ δὲ ὡς ἔτυχεν ἀπορθήθημεν, οὐδ' ⟨ἂν⟩ ὑμνούμεθα. τρὶς δὲ τὸ ἂν παρέλαβε δέον ἅπαξ. Ἀττικὸν δὲ τὸ ἔθος: —

1248 δοκῶ δὲ τοῖς θανοῦσιν: δοκῶ δὲ μηδὲν διαφέρειν τοῖς νεκροῖς τό τε πολυτελῶς καὶ λιτῶς θάπτεσθαι: —

1250 κενὸν δὲ γαύρωμ' ἐστί: τὸ γὰρ πλουσίως ταφῆναι κόμπος μόνον ἐστὶ τοῖς ζῶσιν, οὐδὲν δὲ τοῖς τεθνηκόσι διαφέρει: —

1253 νομισθεὶς δὲ εὐδαίμων εἶναι ἅτε δὴ ἀγαθῶν γονέων ὑπάρχων, νῦν [ἐν] συμφορᾷ δεινῇ περιπέπτωκας: —

GLOSSAE 1231 ἀνεπιλήστων 1236 τὰς ὁρμὰς τῶν χειρῶν 1248 οὐδέν

2 ἐν addidi περι . . . μοισ A περιδρόμοισ a 6 lacunam indicaui 7 cf. Hesych. s. u. ἔμπληκτον Suid. s. u. ἔμπληκτοι Zonar. p. 698 9 Φρυγῶν siue ἀπὸ Φρυγῶν τῷ τεθνηκότι Wil τῶ τεθνηκότι φρυγῶν A 11 μετ' αὐτοῦ Wil με A 21 οὐδ' ἂν ego οὐδὲ A τρὶς ego τρίτον A 22 δέον Cobet δὲ A 24 λιτῶς ego ὀλίγον A 27 lemma μελέα μῆτηρ (sic) A νομισθεὶς Dindorf νομισθεῖσα A 28 ἐν del. Wil

1257 λεύσσω φλογέας: ὁρῶ τοὺς Ἕλληνας πορθοῦντας τὴν Ἴλιον ἵνα ταχέως ἀποπλεύσωσι. φλογέας δὲ ἅπτούσας: —

1260 αὐδῶ λοχαγοῖς: λέγω, φησίν, ὑμῖν τοῖς τὸ Ἴλιον ἐπιτεταγμένοις πιμπράναι, μὴ ἀργεῖν: —

1266 χωρεῖτε Τρώων παῖδες: καὶ ὑμεῖς χωρεῖτε, ὦ Τρῳάδες, ἵνα ὁ λόγος δύο τάξεις ἔχῃ τό τε συμβουλεύειν τοῖς καίουσι καὶ ⟨τὸ κελεύειν⟩ ὑμᾶς ἐξιέναι. μορφὰς δὲ εἰώθασι λέγειν τὰς τάξεις. ἵνα, φησί, δύο τάξεις ὁ λόγος ἔχῃ. ἵνα δι' ἑνὸς λόγου δύο πράγματα γίνωνται: —

1275 ἀλλ' ὦ γεραιέ: πούς· πρὸς γὰρ αὐτὸν ὁ λόγος: —

1282 ὡσεὶ ἔλεγε· συγκαυθῶ αὐτῇ: —

1295 λέλαμπεν: τὸ Ἴλιον τῷ πυρὶ λέλαμπεν, ὁμοίως δὲ καὶ τὰ Πέργαμα καὶ τὰ τέραμνα τῶν Περγάμων: —

1299 οὐρανίᾳ πεσοῦσα: πεσοῦσα δὲ ἡ γῆ τῇ οὐρανίᾳ, ὅ ἐστι τῇ ὑψηλῇ, ἑαυτῆς πτέρυγι, ὅ ἐστι τῇ ἀκροπόλει, καταφθίνει καὶ μαραίνεται τῷ πυρὶ ὡς καπνός: —

καταφθίνει γᾶ: ἡ δὲ γῆ, φησίν, ὑπὸ τοῦ δόρατος φθίνει καὶ ὁ καπνὸς ὥσπερ πτέρυγι χρώμενος οὕτως ἀνίπταται: —

1304 ἰαλέμῳ τοὺς θανόντας: ἀνακαλεῖς τοὺς τεθνηκότας θρήνῳ, οὐχ ὡς ἕτεροι σπονδαῖς: —

ἄλλως: ἀνακαλοῦμαι, φησίν, αὐτοὺς τὰ γεραιὰ μέλεα προστιθεῖσα τῇ γῇ καὶ ταῖς δισσαῖς χερσὶ κτυποῦσα τὴν γῆν: —

1307 διάδοχόν σοι: οὐκοῦν, φησίν, ἐγὼ διαδέχομαί σε [καὶ] τῷ θρηνεῖν τὸ γόνυ τιθεῖσαν ἐπὶ τῆς γῆς: —

1310 τὸ ἑξῆς· ἀγόμεθα δούλειον ὑπὸ μέλαθρον: —

1316 θάνατος ὅσιον: ὅτι ἐπὶ ⟨τῷ βωμῷ⟩ τοῦ ἑρκείου Διὸς ἐσφάγη· τινὲς δὲ διὰ τὸ αὐτὸν μὲν εἶναι ὅσιον, ἀνοσίαν δὲ τὴν σφαγήν: —

GLOSSAE 1257 ἅπτούσας 1278 οὐκέτι γὰρ ὀνομασθήσῃ 1284 μαίνῃ ὑπὸ τῶν κακῶν 1287 ὦ Ζεῦ φύλαξ 1292 ὡς ἄπολις ὄλωλεν 1296 τὰ στέγη 1314 ἀνήκοος εἶ τῆς ἐμῆς ἄτης

6. 7 τὸ κελεύειν addidi 8. 9 γίνονται A 11 scholio 10 adi. A 23 καὶ deleui 24 τιθεῖσαν ego τίθησιν A 25 τ....σ A τὸ ἑξῆσ a 26—28 scholiasta legit θάνατος ὅσιος 26 τῷ βωμῷ addidi ερκίου A

1317 ἰὼ θεῶν μέλαθρα: ἰδίως τοὺς βωμούς. ἢ θεῶν μέλαθρα διὰ τὸ θεόκτιστον εἶναι τὴν πόλιν: —

1320 κόνις δ' ἴσα: ἡ δὲ κόνις καὶ ἡ σποδὸς ὁμοίως τῷ καπνῷ ὡς πτέρυγι χρωμένη ἄιστον καὶ ἀφανῆ τὸν ἐμὸν οἶκον τίθησιν. ἡ δὲ σποδὸς, φησὶ, καθάπερ καπνὸς ἀναπτήσεται πρὸς τὸν αἰθέρα τῶν ἐμῶν οἴκων ἀφανισθέντων πυρί: —

1325 ἐμάθετε: ᾐσθάνεσθε, φησὶ, πεσούσης τῆς Τροίας. ὡς τῶν Ἑλλήνων τὰ λείψανα καταρριπτούντων: —

GLOSSAE 1321 τὸ δὲ ὄνομα τῆς πόλεως ἄλλο ἀλλαχοῦ φροῦδον πορευθήσεται 1326 κίνησις ἐπισείσει 1328 τρόμῳ φέρεται τὸ ἐμὸν ἴχνος 1332 τὰς ναῦς

---

5 ἀναπτήσεται ego ἀναστήσεται A 7 ᾐσθάνεσθε ego αἰσθάνεσθαι A
10 Hesych. ἔνοσις κίνησις Apoll. soph. 68, 21 Suid. et. m. p. 302, 18. 344. 42 Gud. p. 190, 58 Eust. p. 1613, 41

# INDICES

# INDEX AVCTORVM

[Locos a fragmentorum collectoribus omissos singulis, ineditos binis asteriscis notaui]

ACHAEVS
'Αζᾶσι [frg. 2] O 383
AESCHINES [grammaticus] O 12. 1371
AESCHRIO [grammaticus] T 228
AESCHYLVS
[Prom 840] Ph 208
[Sept 590. 591] Ph 1111 ἡ μυθοποιία κεῖται παρ' Αἰσχύλῳ ἐν Ἑπτὰ ἐπὶ Θήβαις Ph arg ἐν ταῖς Ἑπτὰ ἐπὶ Θήβας Ph 751 ad Ph 942 cf. Sept 412
[Ag 1074. 1075] Ph 1028
ἐν ταῖς Χοηφόροις [8. 9] Al 768
Εὐμενίσι [723. 724. 727. 728] Al 12
[Glauco frg 35] Rh 36
ἐν Γλαύκῳ Ποτνιεῖ [frg 38] Ph 1194
ἐν ταῖς Διονύσου τροφοῖς [frg 50] M arg
Νηρεΐσι [frg 150] Ph 209
ἐν Νιόβῃ [FTG p 50] Ph 159 [frg 161, 1] Al 55
[Phryxi frg 267] An 1
[frg 375] O 25 [frg 457] Ph 175
[AESOPVS 63] M 424
AGIAS
οἱ περὶ 'Αγίαν καὶ Δερκύλον [frg 3] T 16
ALCMAN [frg 4. 5] T 210
ALEXANDER AETOLVS [p 247] V p 7. 5, 4 ** An 32
AMELESAGORAS [frg 2] Al 1
AMPHILOCHVS [FHG IV p 300 b] Ph 670
ANACREO [frg 12 a] He 361 [frg 59] He 934

ANAXANDRIDES DELPHVS [fr 5] Al 1
ANAXICRATES
διὰ τῆς β̄ τῶν Ἀργολικῶν [frg 1] An 224
[frg 2] M 19
ANDROTIO [frg 28. 29. 30] Ph 670
ANTICLIDES *An 277 **285
ANTIMACHVS
ἐν Λύδῃ [frg 47] Ph 44
[frg 20] Ph 150 [frg 69] O 392
ANTIPHANES [Ganymede frg 73] T 822
APIO
*ἐν τῷ Περὶ ἐπωνύμων Rh 29
APOLLODORVS
[Atheniensis] ἐν τῷ Περὶ θεῶν [FHG IV p 649a] He 467
*Al 1 *Rh 36 *346 **Hi 73
CYRENAEUS O 1384
TARSENSIS M 169. 148
incertus **An 32 [Tarsensis poeta tragicus ni fallor cf Suid]
APOLLONIVS [Argon 4, 1 sq] M 211 [4, 452 sq] M 1334
ARAETHVS TEGEATA [frg 5] Rh 36
ARATVS [542—544] Ph 1 ἐπιτολή Ph 1116
ARCHILOCHVS [frg 26] M 708 [frg 72] M 679
ARISTARCHVS
[poeta tragicus cf frg 5] Ph 126
[grammaticus] Rh 540 cf 5
ARISTOCLES
ἐν τῷ πρώτῳ τῆς Θεογονίας Rh 29
ARISTODEMVS [Thebanus frg 2] Ph 1119 [frg 2a] Ph 1113 [frg 3] Ph 159
[fr 4] Ph 1156
ARISTOPHANES
[Equ 15] Hi 345
ἐν Νεφέλαις [749] Ph 1408
[Pac 36. 37] O 335 [399] M 1027
ἐν Βατράχοις [104] He 132 ἐν Βατράχοις [452. 453] M 861 Βατράχοις
[679—682] O 903 [102] Hi 612 [103] O 210 [303. 304] O 279
[362. 363] Ph 1668
ἐν Πλούτῳ [521] Ph 1408 [39] O 162
ἐν Δράμασιν ἢ Νιόβῳ [frg 284] Ph 159
[frg 580] V p 6, 5 [frg 637] M 46 [frg 676] Hi 102
[grammaticus] O arg 488 713 1038 1287 Ph arg Hi 171 M arg Rh arg
T 47
[He 1 Hi arg Al arg An arg T arg] [Al 989]

Digitized by Google

ARISTOTELES
ἐν τῇ Θεσσαλῶν πολιτείᾳ [frg 498] Rh 311 *Al 1154 [frg 497] ἐν τῇ τῶν Λακώνων πολιτείᾳ [frg 544] An 445 [Atheniensium frg 4 KW] Hi 11 [Cymaeorum] M 19
ἐν Ὑπομνήμασιν [frg 635] M arg
Hi 191 656
ASCLEPIADES
[Samius, ni fallor] He 1273 An 32
ἐν ἕκτῳ Τραγῳδουμένων [frg 8] Rh 895 ἐν Τραγῳδουμένοις [frg 16] Al 1 [frg 15] O 1645 [frg 21] Ph 45. 50
CALLIMACHVS
ἐν ὕμνῳ [3, 190 sq] Hi 146 [1, 47. 48] Rh 342 [4, 112] T 214
[epigr 17, 1] M 1
ἐν Ἑκάλῃ [frg 66 f] Hi 33 [frg 378] Hi 979 [frg 567] Hi 11
[frg 225] He 934 [frg 226] Ph 134 [frg 411] M 1334 [frg 422] *Hi 402 [frg 465] He 472
[frg 100d 26] An 445
[frg 558] Rh 29
CALLISTHENES
ἐν β̄ τῶν Ἑλληνικῶν [frg 15] He 910
CALLISTRATVS
ἐν τοῖς Καλλιστράτου O 434
O 314 1038
CASTOR *Ph 13
CHRYSIPPVS
ἐν Ἠθικῶν ῑ An 277
CLEOSTRATVS TENEDIVS Rh 528
CLITODEMVS [frg 10] M 19
CORINNA [frg 33] Ph 26
CRATES [grammaticus] Ph 208 Rh 5 528
CRATINVS
ἐν Θρᾴτταις [frg 74] He 838
[frg 291] Rh 419
CREOPHYLVS [annalium scriptor cf FHG IV p 371] *M 264
CRITIAS [frg 13] Hi 264
DEMAGORAS [frg 1] Ph 7
DEMO [frg 20] Rh 251
DEMOSTHENES
[1, 3] An 985 [1, 20] Ph 439 [1, 22] Ph 1408
[frg 26] *O 256

DERCYLVS
οἱ περὶ Ἀγίαν καὶ Δερκύλον [frg 1] T 16
[frg 4] Ph 7
**DEXIVS An 32
DICAEARCHVS
* * τοῦ τῆς Ἑλλάδος βίου [frg 16] M arg
ἐκτιθεὶς τὴν ὑπόθεσιν τοῦ Ῥήσου *Rh arg
[frg 11a] An 1
DICAEOGENES
ἐν τῇ Μηδείᾳ [FTG p 775] M 167
DIDYMVS
τινὰ τῶν Διδύμου M subscr
He 13 736 847 887 1029
O 1384
Ph 751 1747
M 148 169 264 356 380 737
An 330 362 885 1077
T 1079
DINIAS
ἐν θ̄ τῆς πρώτης συντάξεως, ἐκδόσεως δὲ δευτέρας [frg 3] O 872
DIONYSIVS
CHALCIDENSIS ** An 10
ἐν τῷ ᾱ τοῦ Κύκλου [frg 1] Ph 1116 ὁ κυκλογράφος [FHG IV p 653a] O 872 ὁ κυκλογράφος [frg 3] O 995 ὁ τὸν Κύκλον ποιήσας [FHG IV p 653a] He 123 [frg 2] Ph 670
[commentator] ἐκ τοῦ Διονυσίου ὑπομνήματος ὁλοσχερῶς O subscr Διονυσίου ὁλοσχερές M subscr
DIONYSODORVS
ἐν τῷ Περὶ ποταμῶν [FHG II p 84] Hi 123 ἐν τοῖς Παρὰ τοῖς τραγικοῖς ἡμαρτημένοις Rh 508
DVRIS
ἐν τῇ ῑϛ̄ τῶν Μακεδονικῶν [frg 28] Al 249
ἐν τῇ β̄ τῶν Ὥρων [frg 50] He 934
EMPEDOCLES [275] Ph 18
EPHORVS [frg 12] Ph 7
EPIMENIDES [FHG 6, apud Kinkelium deest] Ph 13 [FHG 7 FEG 12] Rh 36
ERATOSTHENES
ἐν τῷ τρίτῳ τῶν Γεωγραφουμένων M 2
V 2
He 573 T 1175
EVBVLVS
ἐν Διονυσίῳ [frg 26] M 476
Ξούθῳ [frg 70] M 613

EVDOXVS CNIDIVS T 221
EVMELVS [frg 2] M 9 [frg 3] M 9. 19
EVPHORIO [frg 48] Ph 682 [frg 164] Rh 36
EVPOLIS [frg 363] M 520
EVRIPIDES
ἐν Ἑκάβῃ [1281] O 367 [308] An 250
ἐν Ὀρέστῃ [705] Ph 584 ὁ Ὀρέστης Al arg [3] O 43 [26. 27] O 32 [41] Hi 135 [72] O 22 [140] O arg Ph 202 [211] O 159 [220] Rh 430 [280] O 294 [284] O 32 [408] O 321 [585. 586] Ph 4 [983] Hi 601 [991] He 580 [1528] O 1384 [1530] O 1384
ἐν Φοινίσσαις [1209] O 1663 ἐν Φοινίσσαις [1408] O 1082 [26] Ph 805 [30. 31] Ph 1606 [121. 122] Ph 111 [202—204] Ph 6 [267. 268] Ph 274 [322] Ph 371 [401] Ph 71 [484. 485] Ph 601 [526] Ph 202 [612] Ph 619 [667] Ph 1062 [772] Ph 865 [784] O 256 [931—933] Ph 1011 [1099] Ph 111. 1130 [1163. 1164] Ph 1095
ἐν Ἱππολύτῳ [93] M 216 ἐν Ἱππολύτῳ [619 sq] M 573 ἐν Ἱππολύτῳ [1189] Ph 3 ἐν Ἱππολύτῳ [1223] Ph 3 [99] Hi 93 [280. 281] Hi 151 [443] T 990 [601] Hi 672 [657] Hi 612 [701] O 162 [1133] Hi 228 τὸ δρᾶμα τὸν Ἱππόλυτον V 5
ἐν Μηδείᾳ [57] Ph 1 ἐν Μηδείᾳ [684] Hi 11 [20. 24. 27. 28] M 97 [168. 169] M 148 [337] He 605 [559] M 591 [1122] M 375 [1387] M 1062
ἐν τῇ Ἀλκήστιδι [22. 23] Hi 1437 ἐν τῇ Ἀλκήστιδι [417] Hi 834 ἐν Ἀλκήστιδι [417] Hi 892 ἐν Ἀλκήστιδι [966—970] He 1267 ἐν τῇ Ἀλκήστιδι O 1691 [649. 650] Al 693
ἐν Ἀνδρομάχῃ [445. 446] O 371 ἐν τῇ Ἀνδρομάχῃ [628] T 1030 [147] An 211 [459. 460] An 529 [540] An 369 [Rh 538] Rh 5
ἐν ταῖς Τρῳάσιν [367] O 268 ἐν Τρῳάσιν [919. 920] Ph 4 [16. 17] T 98 [25] T 15 [625] T 268
ἐν ταῖς Βάκχαις [1] T 1 ἐν Βάκχαις [298] He 1267 ἐν Βάκχαις [600. 601] Ph 641 ἐν Βάκχαις [946] Ph 3 ἐν Βάκχαις [1028] M 54 ἐν Βάκχαις [1250] An 986 [32. 36] An 17 [743] O 1378 [1205] He 1156
ἐν Ἡρακλεῖ [1219] O 73
[Suppl 890. 891] Ph 1153
ἐν Ἰφιγενείᾳ τῇ ἐν Ταύροις [436. 437] An 1262
[Ion. 1521] Ph 911
ἐν τῷ Αἰγεῖ [FTG p 363] M 167
ἐν τῷ Ἀλεξάνδρῳ [FTG p 374] Hi 58 Ἀλεξάνδρῳ T arg
Ἀνδρομέδα [frg 145] O 335 [frg 129] M 476
ἐν τῇ Ἀντιγόνῃ [frg 159] Ph 1130 [frg 178?] Ph 934. 1031
ἐν τῇ Ἀντιόπῃ [FTG p 412] Hi 58
ἐν Ἀρχελάῳ [frg 241] Ph 1149 V 2
ἐν Αὔγῃ [FTG p 437] Rh 419

Digitized by Google

ἐν Βελλεροφόντῃ [frg 305] O 872
Δίκτυι M arg
ἐν Εὐρυσθεῖ [frg 372] He 838
Θερισταῖς σατύροις M arg
ἐν Θησεῖ [frg 391] He 288
[Ino frg 422] Ph 1408
Ἰξίονι [frg 427] O 73
ἐν Κρεσφόντῃ [frg 452] M 84 ἐν Κρεσφόντῃ [frg 455] Ph 159
ἐν τῇ Μελανίππῃ [frg 499] V 6
ἐν τῷ Οἰδίποδι [frg 541] Ph 61
ὁ Οἰνόμαος Ph arg
Παλαμήδει T arg
ἐν Πειρίθῳ [frg 593, l. 2] O 982 Πειρίθους V 2
Πελιάδων ἀρχή [frg 601] M 693 ἐν Πελιάσιν [frg 602] M 693 τὰς Πελιάδας V 2
ἐν Πολυΐδῳ [frg 638] Hi 191
Ῥαδάμανθυς V 2 [frg 659, 4] O 1197
Σισύφῳ σατυρικῷ T arg
[Stheneboea frg 661, 3] He 8
Τέννης V 2
ἐν τῷ Φαέθοντι [frg 781, ll. 12] O 1388
Φιλοκτήτῃ M arg
ἐν τῷ Φρίξῳ [frg 819, 6—9] Ph 6
Χρύσιππος Ph arg
[frg 1012] O 1012 [frg 1013] T 632 [frg 1018] *T 884
GLAVCVS He 41
HECATAEVS [FHG IV p 627a] O 872
HEGESIPPVS
ἐν τοῖς Παλληνιακοῖς [frg 6] Rh 29
HELLADIVS M 613
HELLANICVS
ἐν τῇ ἐπιγραφομένῃ Ἀτλαντίδι [frg 54] Ph 159
[frg 9] Ph 662 [frg 12] Ph 61. 71 [frg 34] M 9 [frg 75] He 123
[frg 82] O 1648. 1651 *Ph 150 *Rh 29
[grammaticus] T 822
HERACLIDES [Ponticus, ut uidetur] ὁ φυσικός Al 968 Rh 346
HERMIPPVS
Ἀρτοπώλισι [frg 8, 1] M 1027
[Callimachius frg 73b] V 5
HERODIANVS
ἐν τῷ μονοβίβλῳ τῷ Περὶ κυρίων καὶ ἐπιθέτων καὶ προσηγορικῶν [II p 1] Hi 407
ἐν τῇ Καθόλου [p 99, 27] O 1370 ἐν τῇ Καθόλου [p 256, 25] Rh 817
[p 309, 20] Rh 207
HERODORVS [frg 33] Hi 545

HERODOTVS [I, 1] He 1199 [?] M 433
HESIODVS
ἐν Θεογονίᾳ [195 sq] T 990 [123] O 176 [124] T 855 [212] He 71 [371. 372] Ph 175 [371] T 855 [413] Hi 146. 228 Hi 601
[Opp 26] An 476 [42] Hi 932 [151] Ph 1091 [198. 200] M 439 [207] He 678 [217. 218] He 1192 [287. 289] Hi 379 [289] M 296 [375] M 426 [417] He 1104 [422] An 1164 [769 sq] Ph 4 Ph 1116
[frg 50] O 872 [frg 55] Rh 29 [frg 117] O 249
HIPPYS [frg 3] M 9
HOMERVS
[A 14] O 383 [47] O 408 [80] Al 965 [81] M 120 [211] O 1238 [255. 256] O 131 [269] Ph 1408 [287] Al 642 [410] An 543 [467] O 343 [483] T 103 [488] Rh 494 [526. 527] Al 978 [576] Ph 889
[B 108] He 455 [135] O 1287 [136] An 1039 [196] M 120 [202] An 702 [204] An 471 [278] He 39 [400] Hi 104 [493] Ph 791 [517—519] T 9 [552] He 123 [592] O 1621 Ph 683 [711—713] Al 1154 [742] He 149. 296 An 711
[Γ 86] Ph 1226 [173] M 1 [214] O 640 [220] O 128. 314 [236] Ph 156 τῆς Ὁμηρικῆς τειχοσκοπίας Ph 88
[Δ 6] An 289 [100] An 53 [185] An 1120 [223] O 128 [357] An 53 [426] O 115 [433] O 1197 [437] M 46 [453] O 335
[E 31 = 455] M 1053 [62. 63] Ph 4 [69—71] An 224 [100] Ph 1159 [182] Ph 142 [262] Hi 1188 [266] O 1388 [352] O 277 [425] An 827 [446] O 1388 [745] Hi 1132 [800] O 393 [830] Al 326 [834] Ph 1408 [875] O 585 T 276
ἐν τῇ Z ῥαψῳδίᾳ [55—60] O 356 [24] Al 989 [92] Rh 502 [92 = 273 = 303] Hi 1195 [301] O 1137 M 1173 [357. 358] T 398 [403] Hi 88 [444] O 251 [457] Ph 185
[H 111] O 1552 [156] Hi 1 [157] M 1 [334] O 142
[Θ 24] Ph 3 [404 = 418] Al 449 [455] O 1003
[I 145] O 22 [313] Hi 394 [446] An 553 [503] O 256 [527] An 1164 [529] Ph 138 [698] M 1
[K 7] O 220 Ph 1159 Rh 430 [80] Rh 7 [224] Ph 745 [298] O 103. 462 Ph 350. 1286 [334] Rh 210 [435] Rh 393
[Λ 37] Ph 782 [106] Rh 177 [223. 224] He 3 [244] M 232 Al 8 [328] An 107. 542 [353] O 1480 [407] M 1049 [547] Ph 1400 [660. 661] An 616 [832] Ph 531
[M 243] Ph 781. 902
[N 5] Rh 5 [18 sq] O 322 [339] Ph 1105
[Ξ 518. 519] He 21
[O 653. 654] An 456
[Π 149] Rh 239 [360] Ph 1178 [365] An 1228 [457 = 675] Al 53 [718] He 3. 1



Digitized by Google

[P 104] O 687 [514] Ph 705 [647] Ph 727 [695=δ 704] An 1077
[Σ 34] M 40 [367] M 1 [399=υ 65] O 1378 [593] Al 8
[T 287] O 142 [326] An 14
[Υ 7] O 1378 [221] Ph 28 Al 8 [307] T 47
[X 26 sq] He 1104 [208] An 107 [262] Hi 940 [371] An 1153
[Ω 16] An 107 [29. 30] T 975 [45] Hi 385 [49] O 4 [451] O 147 [496] He 421 [720. 721] Ph 1499 [734. 735] An 10
[α 1] O 24 [17] O 12 [53] Hi 3 [343] He 1151 [386. 387] Ph 576
[β 50] Hi 1102 [53] An 153 [429=A 483] T 103
[γ 1] He 446 [6] An 1011 [265. 266] O 21 [287] O 362 [309. 311] O 39
[δ 10] He 74 [228–230] O 1497 [535] He 1279 [567. 568] Ph 211 [611] Ph 789 [704=P 695] An 1077 ὁ παρ' Ὁμήρῳ Πρωτεύς O 364
[ε 264] M arg 1 [290] Rh 480 [306] T 432 [422] M 63
[ζ 122. 123] Rh 36 [162. 163] He 458
[η 80] Hi 1123
[θ 258] M 19 [512] T 14
[ι 34] M 35. 649
[κ 190] Ph 886 [226] Ph 886
[λ 109=μ 323] Hi 601 M 1251 [271] Ph 12 [271. 272. 278] Ph 1456 [456] M 426
[μ 323=λ 109] Hi 601 M 1251 [395] T 440
[ξ 68] Ph 4 [483] Rh 5
[ο 21] M 77
[ρ 264. 268] An 17 [365] Hi 1360
[τ 179] Hi 98 [211] M 922 [343] Ph 370
[υ 65=Σ 399] O 1378
[φ 340] He 1156
[χ 309] Ph 1149
uersus conglutinatus T 424 [cf I 174 α 146 = γ 338 = φ 270]
locutiones ἐυμμελίω Πριάμοιο He 152 δαιτὸς ἐίσης O 9 τλήμων O 35 ἀργυρόπεζα Θέτις O 140 An 22 ἠεροφοῖτις Ἐρινύς O 322 Ζεὺς ὑψίζυγος Ph 75 ἀτρύγετος Ph 208 Ἴλιον εἴσω Ph 451 αἰπὺς ὄλεθρος Ph 851 ἕρκος ὀδόντων Hi 882 Διὶ μῆτιν ἀτάλαντος M 1224 λευκώλενος Ἥρη An 22 μέλας πόντος An 1011 κελαινεφὲς αἷμα O 821 κυανοχαίτης An 1011 ἣ θέμις ἐστί T 324 οὐτάσαι et βαλεῖν Hi 684 ἁμαρτῇ T 643 δασμός Rh 435 ἐνώπια An 729 ὀρσοθύρη M 134 πολὺ τὸ τοιοῦτον γένος παρ' Ὁμήρῳ M 1
res Homericae [cf οἱ νεώτεροι] He 4 241 O 46 257 Ph 170 1377 M 2 1342 Rh 29 235 T 6 822 Hi 455 [?]
IBYCVS
[frg 35] An 630 [frg 36] He 41

IO [frg 60] Ph 209 [frg 61] Ph 1149
IRENAEVS M 214
ISOCRATES [1, 20] M 217
ISTER
**ἐν τῷ γ̄ τῶν Ἀτάκτων Hi 73
LEO
ὁ ῥήτωρ [FHG II p 331 frg 5] M 167
LYCOPHRO [143] An 229
LYSANIAS An 10
LYSIMACHVS
ἐν τοῖς Θηβαϊκοῖς παραδόξοις [frg 8] Hi 545 [frg 5] Ph 26
ἐν τῷ δευτέρῳ τῶν Νόστων [frg 13] An 24 **32 **ἐν τῷ δευτέρῳ τῶν Νόστων An 10 [frg 14] An 32 [frg 18] An 798 [frg 19] T 31 [frg 20] He 910
MARSYAS
ὁ νεώτερος ἐν τῇ πρώτῃ τῶν Μακεδονικῶν ἱστοριῶν [frg 1] Hi 671 ὁ νεώτερος ἐν τῷ *Μακεδονικῶν ἱστοριῶν [frg 6] Rh 346
MENAECHMVS [?]** An 32 [μενέμαχοσ Ο μενέλαοσ M. an Νικόμαχος? Nicomachus Alexandreus scripsit Neoptolemum cf Suid]
MENANDER
ἐν Δυσκόλῳ [frg 135] An 975
ἐν Ἐπιτρέπουσιν [frg 184] Ph 1154
ἐν Θεοφορουμένῃ [FCG III p 63] An 103 [frg 223, 16. 17] Hi 426
ἐν Φιλαδέλφοις [frg 505] Ph 1154
[frg 599] Ph 61 [frg 720] *An 4 [frg 751] Rh 251 [frg 853] Ph 886 [frg 876] He 217 [frg 920] Hi 138 [frg 925] Hi 332
MENECRATES Rh 528
**MENESTHEVS ATHENIENSIS An 32
MNASEAS [frg 7] Rh 36 [frg 18] Ph 651 [frg 48] Ph 409
MVSAEVS
ἐν τῷ Περὶ Ἰσθμίων [FHG IV p 518 a] M 2
NEANTHES CYZICENVS [frg 36] T 20
NEOPHRO SICYONIVS M arg [frg 1] M 666 [frg 3] M 1386
NICANDER
ἐν τοῖς Θηριακοῖς [130 sq] O 524 [134] O 479
[frg 62] He 3
NICOMEDES ACANTHIVS
ἐν τοῖς Μακεδονικοῖς [FHG IV p 465 a] An 24
NICOSTRATVS [?] Ph 1010 [perbene CMüller FHG IV p 466 de Nicomacho tragico cogitauit qui Oedipum scripsit]
PANYASSIS [frg 19] Al 1
PARMENISCVS M 2 264 Rh 523 528 T 221 228

PHERECRATES
ἐν Δουλοδιδασκάλῳ [cf frg 46] He 467
PHERECYDES
ἐν τῇ ῑ τῶν Ἱστοριῶν [frg 8. 76] Al 1 ἐν ῑ [frg 93] O 11
[frg 16 FHG IV p 638 a] An 17 [frg 22] Ph 1116 [frg 33 b] Hi 742
[frg 47 a] Ph 39 [frg 48] Ph 53 [frg 49] Ph 71 [frg 73] M 167
[frg 74] M arg [frg 93] O 995 [frg 97] O 1645 [frg 98] O 1655
[frg 98a FHG IV p 639] An 1240 [frg 99 FHG IV p 639 b] He 3
[frg 102b] Ph 159 *O 1233 *Ph 662 **O 1654 **An 53
PHILEAS An 1
PHILEMO
ἐν Σικελικῷ [frg 77] Rh 251
[frg 130] V 6
PHILIPPVS
ἐν τῷ Περὶ Καρῶν συγγράμματι [frg 3] Rh 509
PHILOCHORVS
ἐν τῇ Πρὸς Ἀσκληπιάδην ἐπιστολῇ [FHG IV p 648 a] He 1 ἐν τῷ Περὶ τραγῳδιῶν συγγράμματι [FHG IV p 648 a] He 3 ἐν ᾱ Περὶ μαντικῆς [frg 191] Al 968
[frg 36] Hi 35 [frg 117] O 371 [frg 118] O 772 [frg 167] **Hi 73
[frg 169 a FHG IV p 648 a] An 445 [frg 165] V 2 cf p 8, 1 [frg 166] V 5 cf p 7, 7 *V 2
PHILOCLES
ὁ τραγῳδοποιός [frg 2] An 32
PHILOXENVS
ἐν τῷ Περὶ μονοσυλλάβων ῥημάτων Ph 264
PHRYNICHVS
ὁ τραγικός [FTG p 720] O 872
[grammaticus] M 1027
PHYLARCHVS [frg 17] Al 1
PINDARVS
[Ol 1, 62 sq] O 10 [83] Ph 47 [91] An 107 [116. 117] He 555
[Pyth 4, 20 sq] O 364 [81] Ph 1285
[Nem 1, 53. 54] M 1196 [4, 69] Hi 744 [6, 5. 6] M 1224
[frg 139] Rh 895 [frg 172] An 796 [frg 216] Hi 264 [frg 313] O 1621 Ph 683
PISANDER Ph 834. 1760
PLATO
ἐν ταῖς Ἑορταῖς [frg 30] M 476
[frg 188] He 838
PLVTARCHVS
ἐν ταῖς Ὁμηρικαῖς μελέταις Al 1128

Digitized by Google

POLEMO
ἐν τῷ δ τῶν Πρὸς Ἀναξανδρίδην [frg 76a] O 1637
ἐν τῷ Περὶ ποταμῶν [frg 81] M 835
[frg 22] Hi 231
POLYARCHVS CYRENAEVS [FHG IV p 479] Al 1
PROXENVS
*ἐν τῇ πρώτῃ τῶν Ἠπειρωτικῶν An 32 [FHG IV p 658a] An 24
RHIANVS [p 180] Al 1
SANNYRIO
ἐν Δανάῃ [frg 8] O 279
SAPPHO [frg 95] O 1260
SCLERIAS ** An 32
SIMIAS
ἐν τῇ Γοργόνι An 14
SIMONIDES
ἐν Ἰάμβοις [frg 10] Ph 207
ἐν τῷ εἰς Ποσειδῶνα ὕμνῳ [frg 21] M 5
[frg 22] M 2 [frg 48] M 9. 19 [frg 76] O 235. 782 [frg 204] M arg [frg 207] O 46 [frg 219a] Rh 5
SOCRATES
ἐν τοῖς Ἀργολικοῖς [frg 3a] Rh 29
[frg 13] Ph 45 *Hi 47?
SOPHOCLES
ἐν Αἴαντι μαστιγοφόρῳ [585] M 93 ἐν Αἴαντι μαστιγοφόρῳ [665] M 618 ἐν Αἴαντι μαστιγοφόρῳ Al 897
ἐν Ἠλέκτρᾳ [1] Ph 1
[OR 775. 776] M 1027
ἐν Ἀντιγόνῃ [141] Ph 123 ἐν Ἀντιγόνῃ [1180. 1181] Ph 988 τῇ Ἀντιγόνῃ Ph 1710
ἐν Τραχινίαις [352. 353] Hi 551 [783] T 578
ἐν Οἰδίποδι [375] Ph 71 τῷ ἐπὶ Κολωνῷ Οἰδίποδι Ph 1710
ἐν Αἴαντι Λοκρῷ [frg 15] Al 447
Ἑλένης ἀπαιτήσει [frg 178] Ph 301
[Hermiona FTG p 176] O 1655
ἐν Θυέστῃ [frg 234] Ph 227
ἐν Μάντεσι [frg 362] Ph 1256 [frg 366, 5] Ph 114
ἐν Μυκηναίαις [frg 136] Hi 307
ἐν Νιόβῃ [FTG p 228] Ph 159
ἐν Ποιμέσιν [frg 469] An 277
[Polyxena FTG p 245] He 1
[Triptolemo frg 545] T 221
ἐν Τυροῖ [FTG p 272] O 1691

Digitized by Google

[frg 667?] Ph 402 An 975 [frg 806] M 33 [frg 807] O 451 M 33 [frg 808] O 490 [frg 809] O 603 [frg 810] Rh 105
SOPHRO
Ph 3 An 166
SOSIBIVS [frg 16] O 1637
SOSICRATES [frg 8] Hi 47
SOSIPHANES
ὁ τραγικός [frg 4] Ph 1010 **An 32
STAPHYLVS [frg 5] M arg
STESICHORVS
ἐν Εὐρωπείᾳ [frg 15]
[frg 16] Al 1 [frg 20] An 10 [frg 25] O 1287 [frg 26] O 249 [frg 39] O 46 [frg 40] O 268 [frg 55] Rh 5
STRATTIS
ἐν Ἀνθρωπορραίστῃ [frg 1] O 279
[frg 60] O 279 [frg 69] He 467
SVIDAS [frg 5b FHG IV p 658a] An 17 **An 53
TELECLIDES [frg 39. 40] V 2
TELESARCHVS [frg 1] Al 1
THEOCRITVS Βουκολικά Al 8
THEODOSIVS O 1525
THEOGNIS **An 32
THEOPHRASTVS Hi 264
THEOPOMPVS
ἐν γ̄ Ἑλληνικῶν [FHG IV p 643] An 1
THVCYDIDES [1, 42, 1] Ph 688 [1, 50, 5] An 1120 [1, 111, 5] T 9 [1, 125, 2] Hi 269
TIMACHIDAS M arg I 167
TIMAEVS [FHG IV p 640b] He 131 τινές [frg 21] *T 221
TIMAGORAS
ἐν τοῖς Θηβαϊκοῖς [frg 3] Ph 159 [frg 1] Ph 670
TZETZES He 1220 Hi 656 M 1201
XANTHVS LYDVS
τὸν τὰ Λυδιακὰ γράψαντα [FHG IV p 620a] An 10 [FHG IV p 629a] Ph 159
XENAGORAS **An 53
ZENODOTVS Rh 29

---

λιγύστιος [αἰγύπτιος B] Ph 13
ὀρθαίας ** An 53
......Ῥηγῖνος ἐν διθυράμβῳ An 630
ὡς ἱστορεῖ *O 11

τῷ τὴν μικρὰν Ἰλιάδα πεποιηκότι [frg 6] T 822 = ἐν κύκλῳ O 1391 ὁ τὴν μικρὰν Ἰλιάδα [frg 11] He 910
τὸν τὴν Πέρσιδα συντεταχότα κυκλικὸν ποιητήν [frg 2] An 10 τὸν τὴν Πέρσιδα πεποιηκότα [frg 3] T 31
ὁ τοὺς Νόστους ποιήσας [frg 6] M arg
οἱ τὴν Οἰδιποδίαν γράφοντες [frg 2] Ph 1760
ὁ τὴν Ἀλκμαιωνίδα πεποιηκώς [frg 1] An 687 τῷ τὴν Ἀλκμαιωνίδα πεποιηκότι, ὁ τὴν Ἀλκμαιωνίδα γράψας [frg 6] O 995
ὁ τὸν Αἰγίμιον ποιήσας [frg 5] Ph 1116
οἱ νεώτεροι He 4 776 1279 O 353 Ph 125 Hi 684 M 2 An 17
poeta epicus O 270 Al 8 An 100 elegiacus An 184
oracula Ph arg 638 M 679 An 445
aenigma Sphingos Ph arg 50
ἐν τοῖς Ὀρφικοῖς He 3 οἱ Ὀρφικοί Al 1 Al 968
ἐπίγραμμα Θουκυδίδου τοῦ ἱστοριογράφου ποιήσαντος ἢ Τιμοθέου τοῦ μελοποιοῦ V 2
ἐν ταῖς Διδασκαλίαις Rh arg
tituli Olympiae Hi 231 Tegeae Hi 264
ὁ κωμικός [frg adesp 115] O 234 παρὰ τῷ κωμικῷ [frg adesp 743a] O 168 [frg adesp 282] Ph 478 [frg adesp 727] T 122
ὁ τὰ Κυπριακὰ ποιήσας He 41 ὁ τὰς Κυπριακὰς ἱστορίας συντάξας An 898
οἱ συντεταχότες τὰ Τρωικά An 1139
τὶς σοφός [rhetor quidam recentioris aetatis] M 473
τὰ Σισύφου λεγόμενα καὶ Πιτθέως Hi 264 τὸ Φιλοκτήτου [Soph frg 667?] Ph 402 = An 975 ὁ σοφός M 125
prouerbia
ἡ αἶξ τὴν μάχαιραν M 1379
ἔσχατος Μυσῶν Rh 251
εὔνοια ἄκαιρος οὐδὲν διαλλάσσει ἔχθρας Hi 597
ἐχθρῶν ἄδωρα δῶρα κοὐκ ὀνήσιμα [Soph Ai 665] M 618
τὸ Θεσσαλὸν σόφισμα Ph 1408
κοινὰ τὰ τῶν φίλων An 377
κυνὸς δίκη V 4
τὰ Λήμνια κακά He 886
οὐδὲ πυρφόρος ἐσώθη Ph 1377
οὐχ ἅμμα λύεις Hi 671
τέλος ὅρα μακροῦ βίου An 100
Τερμέρια κακά Rh 509
uersus Euripidei qui in prouerbia abierunt O 486 1610 Ph 396 438 Hi 345 M 86 An 930 T 1051
ἐν τῷ ὑπομνήματι O 194 ὁ ὑπομνηματισάμενος O 1384
ἐν ἐνίοις τῶν ὑπομνημάτων Ph 642 ἐγὼ δὲ οἶμαι Ph 207 ἐν ἄλλοις ἐξειργάσμεθα ἀκριβῶς Ph 1707
οἱ πιθανώτερον ἐξηγούμενοι Hi 30

οἱ προυπομνηματισάμενοι M 208 προείπομεν M 19
οἱ φαύλως ὑπομνηματισάμενοι An 32 cf 277
τὸ χ̄ He 3. 4. 20. 323. σεσημείωται He 361. σημειωτέον He 288. 1279. ὅτι He 943
—— O 81. 599. σεσημείωται O 1637. σημειωτέον O 1082
—— Hi 93. 1192. σεσημείωται τῷ Ἀριστοφάνει Hi 171. σεσημείωται Hi 1197
—— M 33. κεχίασται M 1346. σεσημείωται M 86. 192. 606. 670. 693. Δίδυμος σημειοῦται M 380. ὅτι M 87. 422
—— Al 756. σεσημείωται Al 768
—— An 603. 873. 930. σημειωτέον An 912. ὅτι An 1176
—— Rh 41. 239. 716. ὅτι Rh 5. 427
σεσημείωται T 47. ὅτι T 448
ἀπὸ τοῦ ἀνεπιγράφου ὑπομνήματος τοῦ εἰς Πίνδαρον ἔγραψα M 9

# INDEX NOMINVM RARIORVM

## Nomina fabulosa et diuina


Ἄβαντες T 1128

Ἄβας He 886 O 965 Ph 180. 1109. — He 123

Ἀγαμέμνων O 4. 46 He 1279 O 25. 367 T 448 O 1648. 432. 22. 570. 658 An 624

Ἄγανος An 898

Ἀγλαΐα O 965

Ἀγλαός O 4

Ἀγαύη Ph 4. 942

Ἀγέλαος An 32

Ἀγήνωρ Ph 6. 217. 638. 5. 158. 291. 678. 682 O 932 Rh 29. — O 932. — Ph 133

Ἄγριος Ph 417

Ἀγχίαλος An 32

Ἀγχίσης An 10. 224

Ἀδράστεια Rh 342. 468

Ἄδραστος Ph 160. 405. 409. 71. 422. — Rh 342

Ἄδωνις Hi 1421 [M 264]

Ἀέθλιος Ph 133

Ἀερόπη O 16

Ἀζάν O 1646

Ἄζαρος T 221

Ἀθάμας Ph 4 M 1284

Αἰακίδης An 24

Αἰακός An 687 T 9

Αἰγέστας An 224

Αἰγεύς Hi 11. 35. 1200 M 19. 666. 673. 679 Ph 854 Hi 887

Αἰγιαλεύς O 932. 1246

Αἰγίνη M 69 An 687

Αἴγισθος O 14. 16

Αἴγυπτος O 871. 872 He 886 O 932 Ph 180

Αἰήτης M 9

Αἰθήρ Rh 36

Αἴθοψ Ph 3

Αἴθρα He 123 T 31 Hi 11. 45. 887

Αἵμων Ph 45. 1760. 946

Αἰνείας An 10. 224 Ph 1377

Αἰολίδης Ph 1760

Αἴολος O 989 Ph 126. 150. 173. 422

Αἴσων M arg

Αἰτωλός O 457 Ph 133. 981

Ἀκάμας He 123 T 31 An 10 He 466

Ἄκαστος M 19. 78 T 1128

Ἀκραία Ἥρα M 9. 264. 1379

Ἀκρίσιος He 886 O 965 Ph 1109 O 1094

Ἀκταίων Ph 4

Ἀλαλκομενεύς Ph 159

Ἀλέκτωρ Ph 180

Ἀλέξανδρος cf Πάρις

Ἁλιρρόθιος O 1648

Ἀλκάθους O 4. — Ph 417

Ἀλκαῖος He 886

Ἀλκμήνη He 886 Ph 1129 Al 509. 838

Ἀλληκτώ O 37 T 457

Ἀλωεύς M 9

Ζεὺς Ἄμμων Al 112
Ἀμυθάων Ph 126. 150. 173. 422
Ἀμυμώνη Ph 187 O 127 Ph 188 O 54
Ἀμφιάραος Ph 173
Ἀμφιδάμας O 11. — Ph 150. — Ph 638
Ἀμφικτύων O 1094
Ἀμφιτρύων He 886
Ἀμφίων Ph 145. 1104. 1113. 1119. 1129. 159. 606. 102
Ἀναξαγόρας Ph 180
Ἀναξιβία O 765. 1233
Ἀνδραίμων An 1
Ἀνταία O 1454
Ἀντιγόνη Ph 53. 946
Ἀντιόπη Ph 102. — Hi 10. 307. 1082. — M 9
Ἀντίοχος O 995
Ἀντιφάτεια O 33
Ἀντιφάτης Ph 173
Ἀξιόχη O 4
Ἀονία O 1094
Ἄορνος Al 902
Ἀπία O 990
Ἆπις O 932. 1246
Ἀργεία Ph 71. 77. 135. 137. 409. 1366. — O 1646
Ἀργεῖος O 4. — Ph 159. — Ph 180
Ἄρης Al 1. 5
Ἀργιόπη Ph 5
Ἄργος Ph 1115. 1116. — O 932. 1246 Ph 1116. — M 1. — An 22
Ἀργώ M arg 1. 1386
Ἀρεία πηγή Ph 659
Ἀρέστωρ O 1646 = Ph 1116
Ἀρήνη O 457
Ἀρκάς O 1646 Rh 36
Ἁρματεύς O 1384
Ἁρμονία Ph 5. 7. 1129. 4. 71
Ἄρπιννα O 989
Ἀρχαγόρας Ph 159
Ἄρχανδρος T 1128
Ἀρχήνωρ Ph 159
Ἀρχιτέλης T 1128
Ἀρχώνδας Ph 1377
Ἀσκάνιος An 10. 224
Ἀσκληπιός Al 1
Ἀστακός Ph 133
Ἀστεροδία T 9
Ἀστραπή Ph 3
Ἀστύαναξ An 10 cf Σκαμάνδριος
Ἀστυδάμεια O 33
Ἀστυκράτεια Ph 159
Ἀστυμέδουσα Ph 53
Ἀστυπάλη Ph 5
Ἀσωπός M 69 An 687
Ἀταλάντη Ph 150. 151. 1162. 1106
Ἀτλαντίδες Hi 742
Ἄτλας Ph 7. 1129 Hi 3. 747
Ἀτρεύς O 4. 990. 995. 998. 811. 1233
Ἀφείδας O 1646
Ἀφροδίτη T 990 Hi 4. 47
Ἀχέρων Hi 197
Ἀχίλλειοι δρόμοι An 1262
Ἀχιλλεύς An 17. 229 He 41 T 16
Ἀχιλλέως πήδημα An 1139
Ἄψυρτος M 167. 1334
Βελλεροφόντης O 318 Ph 1124 M 19
Βῆλος O 932 Ph 5. 291. 678
Βίας Ph 126. 150. 422
Βοιώτιαι πύλαι Ph 1134
Βοιωτός Ph 1113. 1134
Βορέας Ph 854
Βουνός M 9
Βριτόμαρτις Hi 146. 1130
Βροντή Ph 3
Βρόντης Al 1
Βροτέας O 4
Γανυμήδης O 1391 T 822 O 1388. 127
Γένοος An 24. 32
Γλαυκίππη He 3
Γλαυκώπιον Hi 30. 31. 33
Γλαύκη M 19 passim
Γλαῦκος Πόντιος O 318. 364. — Ποτνιεύς O 318 Ph 1124 Al 1. — Ph 1124 M 687
Γοργόνες Ph 456

Γρᾶς Rh 251
Δαίδαλος He 838 O 1648. 1651 Hi 887
Δαμίππη Ph 159
Δαναός O 871. 872 He 886 M 1 Ph 188 O 998. 932
Δάρδανος Ph 7. 1129 O 1388
Δελφοί O 1094 T 9 O 164
Δελφός O 1094
Δελφύνης Ph 232. 238
Δευκαλίων O 1094 Ph 133
Δηιάνειρα O 457
Δηιονεύς O 1648. 1651 Hi 455 T 9
Δηιπύλη Ph 135. 137. 409
Δηίφοβος An 229
Δηιών [?] Hi 455
Δημήτηρ O 964 Ph 682. 683. 687 Rh 342
Δημοφῶν He 123 T 31 He 466. — Ph 126
Δηώ O 964
Δίας O 4
Δίκτυννα Hi 146. 1130
Διομήδης An 32 Ph 135 Rh 346 Ph 1129 M 687
Διόσκουροι O 1637 T 210 Ph 606
Δίρκη Ph 102
Δράκων Ph 7
Δύμας He 1. 3
Δωριεύς O 1646. — An 24. 32
Ἐγχειρογάστορες O 965
Εἰκάδιος O 1646
Ἑκάβη He 1. 3. 1263. 1273. 430
Ἑκάτη Hi 146. 1130 M 397 Ph 109 T 323 M 1172
Ἔκβασος O 932
Ἕκτωρ An 10. 224
Ἔκφας Ph 13
Ἔλατος O 1646
Ἕλειος O 4
Ἐλεφήνωρ He 123
Ἑλένη O 249. 457 An 593 T 943 An 898 O 1287 An 630 He 123 O 1637
Ἕλενος He 87 An 10. 1245
Ἕλλην Ph 126. 150. 173
Ἐνδηίς An 687
Ἐνδυμίων Ph 133
Ἐνέται Hi 231. 1132
Ἔπαφος Ph 678 O 932 Ph 5. 158. 291. 682
Ἐπειός T 9
Ἐπίδαυρος O 932
Ἐπικάστη Ph 12. 13
Ἐπιμέδουσα Ph 5
Ἔποχος Ph 150
Ἐρατώ Rh 346
Ἐργῖνος Ph 53
Ἐρευθαλίων Ph 1116
Ἐρεχθεύς O 1648 Ph 854 Hi 1095
Ἐρινύες O 37 T 457 O 275
Ἐριχθόνιος He 3
Ἕρκειος Ζεύς T 16. 1316
Ἑρμιόνη O 1654. 1655 An 24. 32. 53
Ἔρως Hi 3
Ἑσπερίδες Hi 742
Εὐαγόρα He 3
Εὔβοια O 932
Εὔδωρος Ph 159
Εὐλάβεια Ph 782
Εὔμηλος Al 265
Εὔμολπος Ph 854
Εὐρυάλη Ph 456
Εὐρυάνασσα O 4. 11
Εὐρυγάνεια Ph 53
Εὐρυγάνη Ph. 13. 1760
Εὐρυδίκη Al 357
Εὐρυθεμίστη O 11
Εὐρύκλεια Ph 13
Εὐρύλοχος An 24. 32
Εὐρυμέδουσα Ph 133
Εὐρύνομος Ph 1760
Εὐρύπυλος Hi 407
Εὔρυτος Hi 545. 546
Εὐρώπεια Ph 5
Εὐρώπη Rh 29 Ph 638. 5. 217 Hi 683
Εὐρώτας O 626
Εὔρωψ O 932. 1246

Εὐτέρπη Rh 346. 393
Ἐχέλας Rh 251
Ἔχεμος O 249
Ἐχίδνα Ph 1020
Ἐχίων Ph 670. 942. 934
Ζῆθος Ph 145. 1104. 1113. 606. 102
Ζόβειρες O 1637
Ζωστήριος Ἀπόλλων V 2
Ἥβη O 1687
Ἠετίων Ph 7. 1129. — An 1 He 3
Ἠιονεύς Ph 1185. — Ph 1760. — Rh 393. — He 3
Ἠλέκτρα Ph 5. 7. 1129. — O 22. 1654
Ἠλέκτραι πύλαι Ph 7. 1129
Ἠλέκτρύων He 886 Ph 1129 Al 509
Ἠλέκτωρ Hi 740
Ἡλιάδες Hi 733. 736. 739. 740
Ἠλύσιον πεδίον Hi 750
Ἠμαθίων T 850
Ἡμέρα O 1004 T 850. 855
Ἡρακλεῖδαι Ph 1377
Ἡρακλῆς Ph 1137 Hi 545. 546. 551 O 1687 He 886 Al 509. 838
Ἠριδανός O 982 Hi 733. 736
Ἡσιόνη He 1199
Ἠχώ O 964
Ἠώς Hi 455 T 850. 855
Θάλεια Rh 346
Θάμυρις Rh 346
Θάσος Ph 6. 7. 217
Θεανώ He 3 An 224
Θέμις Hi 742 M 208
Θεράπνης O 626
Θέρσανδρος Ph 135
Θέστιος O 457 Ph 173
Θετίδειον An 17
Θῆβαι Ph 287. 638. 682. 934. 1031. — An 1
Θόας He 887. — O 1094
Θυέστης O 4. 14. 16. 811. 998. 1008
Θυμβραῖος Ἀπόλλων He 41 T 16 Rh 508
Ἴακχος O 964 T 1230
Ἰάλεμος Rh 895 O 1390
Ἰάμβη O 964
Ἴασος O 932. — O 1646. — Ph 150
Ἴδη Rh 29
Ἰκάριος O 457
Ἴκαρος Hi 887
Ἶλος He 3
Ἰμμάραδος Ph 854
Ἴναχος O 872. 932. 1246 He 886. 1199 Ph 158
Ἰνώ Ph 4 M 1284
Ἰξίων Ph 1185
Ἰόλαος He 886 Ph 1137
Ἰόλη Hi 545. 546
Ἵππαλκμος O 4
Ἵππασος O 4
Ἵππη Ph 188
Ἵππιος Ph 1760
Ἱπποδάμεια O 4. 987. 989. 990 Ph 26
Ἱπποθόη He 3
Ἱπποκένταυροι Ph 1185
Ἱπποκόων O 457
Ἱππολύτη Hi arg
Ἱππόλυτος Al 1
Ἱππομέδων Ph 126
Ἱππομένης Ph 150
Ἱππόνους Ph 133. 180
Ἱππότης M 19
Ἰσμήνη Ph 53
Ἰσμήνιος Ἀπόλλων Ph 101
Ἴτυλος Rh 547
Ἴτυς Rh 550
Ἰφιγένεια O 22. 570. 658 An 624
Ἰφικλῆς He 886
Ἶφις Ph 180
Ἴφιτος Hi 545
Ἰώ Ph 1116. 208. 678. 1115 Hi 735. 736 He 1199. 886 O 932 Ph 158. 291
Ἰωλκός Al 249
Ἴων Ph 208
Κάδμος Ph 7. 1129. 638. 662. 670. 1062. 1119 An 1 Rh 29 Ph 45. 934. 942. 5. 158. 217. 291. 678. 682
Καιρός O 256

Καλαός O 4
Καλλιόπη Rh 346. 895 O 1390
Καλλιστώ O 1646 Rh 36
Καπανεύς Ph 180 Al 1
Καρχηδών T 221
Κασάνδρα An 296 T 448
Κασταλία O 1094
Κastάλιος O 1094
Κάστωρ Ph 606 O 457
Κατρεύς O 432
Κένταυροι Ph 1760. 1185
Κερκυών Ph 150. 160
Κέφαλος O 1648. 1651 Hi 455
Κητεύς O 1646
Κηφεύς Ph 150. — Ph 217
Κιθαιρωνία Ἥρα Ph 24
Κίλιξ Ph 5. 6. 217
Κίλλος O 990
Κίρκη T 437
Κισσεύς He 1. 3
Κλειώ Rh 346. 393
Κλεόβοια O 932
Κλεοβούλη O 990
Κλεόδαιος An 24. 32
Κλεόλα O 4
Κλεομήστρα O 872
Κλεοχάρεια O 626
Κλεωνός O 4
Κλήτα O 626
Κλυμένη O 432. — O 998. — Al 16
Κλυταιμνήστρα O 249. 457. 25. 367 He 1279 T 448 O 1648
Κλυτή Hi 407
Κλυτία O 11. — Ph 159
Κομήτης Rh 251
Κόρη O 964 Ph 683 Al 357
Κόρινθος O 4
Κορύβαντες Hi 143
Κορύβας Rh 29
Κορώνεια O 1646
Κουρῆτις O 965
Κρέουσα M 19
Κρέων Ph 670. 942. — M 19. 264
Κρηθεύς Ph 126. 150. 173. 422
Κρηναῖαι πύλαι Ph 1123. 1156
Κρίασος O 932 Ph 1116
Κρῖσος O 33. 1233 T 9
Κυδραγόρα O 33. 1233
Κύκλωπες Al 1. — O 965
Κύκλωψ O 965
Κυλλήνη O 1646 Rh 36
Κυνόσουρα Rh 342
Κυνόσουρος O 4
Κωκυτός Hi 197 Al 458
Λάβδακος Ph. 158. 291
Λαβύρινθος Hi 887
Λάιος Ph 13. 26. 53. 1010. 1760 arg 158. 291
Λακεδαίμων O 626
Λαοδάμεια O 4
Λαοδίκη Ph 180. — An 10
Λαομέδων He 3 O 1391 T 822
Λαόνυτος Ph 53
Λαπίθαι Ph 1185
Λάφριος O 1094
Λεάνειρα O 1646
Λέαρχος Ph 4 M 1284
Λέλεγες O 626 Rh 509
Λέλεξ O 626
Λεώνασσα An 24. 32
Λήδα O 457
Λημνιάδες He 887
Λιβύη O 932 Ph 5. 158. 291. 678
Λιμνᾶτις Ἄρτεμις Hi 228. 1133
Λίνος Rh 346. 895 O 1390
Λοκροὶ Ὀπούντιοι O 1094
Λυγκεύς He 886 O 872 Ph 180
Λύκαιθος M 19
Λυκαῖος Ζεύς O 1646
Λύκαστος Rh 29
Λυκάων O 1646
Λυκομήδης Hi 11
Λύκος Rh 509
Λυκοῦργος Al 1
Λυκωπεύς Ph 417
Λύκωρος O 1094

Λυσιδίκη O 4
Λυσιμάχη Ph 150. 160
Λύσιππος Ph 159
Μάγνης Ph 1760
Μακαρεύς Ph 26
Μακάρων νῆσοι Hi 751
Μαντώ Ph 834
Μαχαιρεύς O 1655 An 53. 1151
Μεγαπένθης Ph 180. — An 32
Μέγαιρα O 37 T 457
Μέγαρα Hi 35. 979. 1200
Μέδουσα Ph 456
Μέδων O 1654
Μειλανίων Ph 150
Μέλαγχρος O 872
Μελαινίς O 1094
Μελάμπους Ph 173
Μελάνθεια O 1094
Μελανθώ O 932
Μελανίππη Ph 1134
Μελέαγρος Ph 151
Μελία O 932. 1246. — Ph 159
Μελικέρτης Ph 4 M 1284
Μελισσεύς Rh 342
Μελίτη M 673
Μελπομένη Rh 346
Μέμνων T 850
Μενεσθεύς He 123 T 31
Μενέστρατος Ph 159
Μενοικεύς Ph 1010. 942
Μερόπη Ph 29. 1607. 1760. 27. 1044
Μεσσήνη O 932
Μέσσων O 1246
Μετάνειρα O 964
Μεταπόντιος M 167
Μήστωρ An 32
Μίδας Hi 671
Μινύαι Ph 53
Μίνως Rh 29 Hi 47. 146. 1130. 1200. 887. 683. 98
Μινώταυρος Hi 887
Μοῖραι Al 12. 55
Μολοσσός An 24. 32. 309. 709
Μόλων T 1128
Μορφή Hi 407
Μοῦσαι Rh 346 M 834 Hi 73
Μυκηνεύς O 1246
Μύλης O 626
Μυρτίλος O 987. 989. 990. 992
Ναύβολος O 33
Ναύπλιος O 54. 369. 432
Νεῖλος Ph 5
Νέμεσις Rh 342. 468
Νεοπτόλεμος O 1654. 1655 An 24. 32. 53. 1240. 1245 T 16. 1128. 214
Νηΐς Ph 1104
Νηΐται πύλαι Ph 1104
Νηρεύς An 687
Νικίππη O 4
Νικοστράτη O 457
Νικόστρατος An 898
Νιόβη Ph 159. 1104. 1119. — O 4. 932. 1246
Νιοβίδαι Ph 159
Νῖσος Hi 35. 1200
Νούτιος O 1094
Νύκτιμος O 1646
Ξάνθη Ph 834
Ξάνθος He 3. — O 11. — O 932. — Ph 159
Ξοῦθος Ph 208 M 19
Ὄγκα Ἀθηνᾶ Ph 1062
Ὀδυσσεύς M 1342 Rh 716. 346 Ph 1129
Οἴαγρος Rh 346. 895
Οἴαξ O 432
Οἴβαλος O 457
Οἰκλῆς Ph 173. — Ph 133
Οἰνεύς Ph 133
Οἰνόη Rh 36
Οἰνόμαος O 987. 990 Ph 26. 1760
Οἰχαλία Hi 545. 546
Οἰωνός O 457
Ὄχλασος Ph 942
Ὁμολωεύς Ph 1119
Ὁμολωίδες πύλαι Ph 1119
Ὁμολωίς Ph 1119

Ὄπλης M 673
Ὀρέστης O 1645. 1648. 1651. 1654 Rh 251
Ὀρθωσία O 1646
Ὄρνυτος O 1094
Ὀρσιλόχη O 1646
Ὀρσινόη Rh 36
Ὀρφεύς Al 357. 968 Rh 346. 895
Ὀρχομενός O 4
Οὐδαῖος Ph 670. 942
Οὐκαλέγων Ph 26
Οὐρανία Rh 346
Πακτωλός O 11
Παλαίφατος M 834 Rh 346
Παλαμήδης O 432. 369
Παλλάδιον He 240 Ph 1129 Rh 502
Παλλαντίδαι Hi 35. 1380
Πάλλας Hi 35. 1200
Πάν Rh 36 M 1172 O 964
Πάνδαρος An 24. 32
Πανδίων Hi 35 Ph 854 M 665
Πανοπεύς O 33 T 9
Παρθενοπαῖος Ph 150. 1156. 1153
Παρθίων O 1646
Πάρις An 277. 898 T 16. 943 An 293
Πάρος O 1646
Παρράσιος O 1645
Πασιφάη Hi 47. 887
Πειθώ O 932. 1246 Ph 1116
Πείρασος O 932
Πείρως Ph 5
Πελάγων Ph 638
Πελασγία O 990
Πελασγοί He 887 O 1645
Πελασγός O 932. 1645. 1646. 692. 857. 1247 Ph 107
Πελίας O 318 Al 249 M 9. 78. 554. — O 626
Πελόπεια O 14. — Ph 159
Πέλοψ O 4 Ph 159 O 987. 989. 990 Ph arg 60. 69
Πέλωρ Ph 670. 942
Πενθεύς Ph 4. 942
Πένθιλος Rh 251
Πέργαμος An 24. 32
Περίβοια Ph 133
Περιδίκη O 626
Περιήρης O 457
Περικλύμενος Ph 1156
Περιμήλη Al 265
Περίφας Ph 53
Περσεύς He 886 Al 509
Περσέφασσα O 964
Περσεφόνη Ph 682. 683 cf Κόρη
Πήγασος O 1004
Πηλεύς An 17. 687. 796. 1265 T 1128. — An 32
Πηνειός Ph 133
Πηνελόπη Rh 36
Πίελος An 32
Πιτθεύς O 4 Hi 11. 264 He 123
Πλεισθένης O 4. — O 16. — An 898
Πλευρών Ph 133
Πλοῦτος O 256
Πλουτώ O 4. 345
Πολύβοια He 680
Πόλυβος Ph 26. 28. 44. 1760. 1605. 1607
Πολυδεύκης Ph 606 O 457
Πολύδωρος Ph 8. 158. 291. — Ph 126
Πολυκάων O 626
Πολυμνία Rh 346
Πολυξένη He 1. 41 T 16
Πολυπήμων Hi 977
Πολυποίτης Ph 39
Πολυφόντης Ph 39
Πορθάων Ph 133
Πρίαμος He 3. 23. 24. 41 T 16. 1316
Προιτίδες πύλαι Ph 145. 1109
Προῖτος He 886 O 965 Ph 1109. 180 Al 1
Πρόκνη Ph 1515 An 862 Rh 550
Πρόκρις O 1648 Hi 455
Πρωτεύς He 3
Πρωτογένεια Ph 133
Πυριφλεγέθων Hi 197

Πυρρός An 24
Ῥαδάμανθυς Rh 29 Hi 98
Ῥέα O 1453. 1454 Hi 144
Ῥῆσος Rh 346. 351. 393
Σαγγάριος He 3
Σαρπηδών Rh 29
Σάρων Hi 1200
Σειρῆνες Rh 346
Σελήνη Ph 109 M 397 Ph 175
Σεμέλη Ph 4 Hi 555. 559
Σθένελος He 886. — Ph 53
Σθενώ Ph 456
Σίνις Hi 977 M 666
Σίσυφος O 1094 M 69. 1284. 405. 1381 Ph 1124
Σκαμάνδριος An 10. 224
Σκείρων Σκίρων Hi 979 An 687
Σκύλλα Hi 1200 T 435
Σπάρτη O 626
Σπαρτοί Ph 670. 942. 159. 934. 1008. 1062
Σπάρτων O 1246
Στερόπης Al 1. 5
Στίλβη O 1646
Στρόφιος O 33. 765. 1233. — O 1654
Στρυμών Rh 346
Σφίγξ Ph arg 26. 45. 50. 934. 1031. 1760. 806. 1020
Σχοινεύς Ph 150
Σωσίς O 932
Ταλαός Ph 126. 150. 160. 422
Τάλως O 1648. 1651
Τάνταλος O 4. 10. 345. 982
Ταϋγέτη O 626
Τειρεσίας Ph 834. 1760
Τεισαμενός O 1654 Rh 251
Τεισιφόνη O 37 T 457
Τελαμών An 687. 796
Τέρμερος Rh 509
Τερψιχόρη Rh 346
Τευμησία ἀλώπηξ Ph 26
Τηλέγονος O 932
Τηλέκλεια He 3
Τηλεφάη Rh 29
Τηλέφη Ph 5
Τήλεφος Rh 251
Τιθωνός T 855
Τιμάνδρα O 249. 457
Τίρυνς O 932
Τμῶλος O 4
Τρίαινα Ph 187
Τριόπας O 932
Τριπτόλεμος Rh 346 T 221
Τροιζήν O 4
Τρωάς An 24
Τρώς T 822
Τυδεύς Ph 133. 53. 409. 135. 137. 411
Τυνδάρεως O 249. 457 Al 1 An 32
Τυφών Ph 1020. 1154
Ὑάκινθος Rh 346
Ὕαμος O 1094
Ὕλλος An 32
Ὑμέναιος Al 1 Rh 346. 895
Ὑπερήνωρ Ph 670. 942
Ὑπερμήστρα He 886 O 872 Ph 173
Φαέθουσα O 998
Φαέθων Hi 733. 736
Φαίακες Hi 748. 750
Φαμενός Ph 834
Φερεκύδης Ph 834
Φηγεύς O 932. 1246
Φημονόη O 1094
Φηρεύς Ph 159
Φθῖος An 32
Φιλομήλα Ph 1515 An 862 Rh 550
Φιλοξενίδας An 53
Φίλοττος Ph 159
Φινεΐδαι Al 1
Φινεύς Ph 217
Φλέγυαι Ph 638
Φοῖνιξ Ph 5. 6. 217. 291 Rh 29
Φόρβας O 932. Ph 1116. — Ph 854
Φορωνεύς O 932. 1246
Φορωνικὸν ἄστυ O 1246
Φράστωρ An 53
Φυλοδίκη Ph 1760
Φυσάδεια Ph 188

Φῶκος An 687 T 9 O 33. — O 1094
Χαλκίοικος Ἀθηνᾶ Al 1128 T 1113
Χαλκιόπη M 673
Χαλκώδων He 123 M 673
Χάρυβδις T 435
Χιόνη Ph 159. — Ph 854
Χθόνιος Ph 670. 942
Χλῶρις Ph 834
Χοιρίλη He 3
Χρόνος Ph 3
Χρύσιππος O 4 Ph arg 26. 60. 69. 1760
Ψαμάθη An 687 T 9
Ψύλλα O 989
Ὠγυγία Ph 159
Ὠγύγιαι πύλαι Ph 1113
Ὤγυγος Ph 1113
Ὠκεανίς Rh 29
Ὠκεανός Ph 1116 M 69 Rh 342 O 1378
Ὠρείθυια Ph 854
Ὠρίων Al 1

Nomina geographica

Ἄγραι Hi 73
Ἀδραμυττηνὸς κόλπος Rh 5
Ἀδραστείας πεδίον Rh 342
Ἀδρίας Hi 231. 733. 736
Ἀζᾶνες O 1646
Ἀζανία O 1646
Αἶα M 2 Al 112
Αἷμος He 1267 Al 968
Αἰτωλοί Ph 138. 139. 981
Ἀλιαία O 872
Ἀμφίπολις Rh 346
Ἀπιδανός He 451
Ἄργος [urbs] O 871. 872
Ἀρεία πηγή Ph 659
Ἀρίσβα An 10
Ἀρκάδες O 1646
Ἀρκαδία Al 8 T 228
Ἄστυρα An 10
Αὐλίς Ph 208
Ἄτλας Hi 3. 747
Ἀχαΐα T 228
Ἀχίλλειοι δρόμοι An 1262
Ἀχιλλέως πήδημα An 1139
Βοίβη Al 1154
Βοιβηὶς λίμνη Al 590
Βοιωτία Ph 1134
Γάδειρα Hi 3. 744
Γαργηττός Hi 35
Γεραιστός O 432. 987. 990. 992
Γέργιθα An 10
Γλαυκώπιον Hi 30. 31. 33
Γλαφύραι Al 1154
Δαρδανία An 10. 224 O 1388
Δασκύλειον An 10
Δαφνοῦς O 1094
Δελφίς O 1094
Δελφοί O 1094 T 9 Al 1
Δίρκη Ph 102. 643. 645. 730. 1123
Δωδώνη Ph 982
Ἐλευθεραί Ph 159
Ἐνέται Hi 231. 1132
Ἐνέτη Hi 1132
Ἐρευθαλίη Ph 1116
Εὐρώτας O 626
Ἠριδανός O 982 Hi 733. 736
Θεράπνη T 210
Θερμοπύλαι O 1094
Θεσπρωτοί Ph 982
Θεσσαλία Al 1128. 1154 An 17 T 214
Θεσσαλοί Ph 1408 Hi 201
Θετίδειον An 17
Θῆβαι An 1. — portae Ph 7. 1104. 1109. 1113. 1119. 1123. 1129. 1134. 1156. — fana Ph 24. 145. 606. 159. 1062
Θρακῶν κώμη V 4
Θυμβραίου Ἀπόλλωνος ἄλσος Rh 508
Ἴδη O 1453 An 224 Hi 1253
Ἰκάριον πέλαγος Hi 887
Ἰλίου κολώνη An 10
Ἴναχος O 932 Ph 574
Ἰονία Ph 208
Ἰόνιος πόντος Ph 208 Hi 733 T 224
Ἱππολύτειον Hi 30

Ἰσμήνη Ph 53
Ἰσμηνός Ph 101. 102
Ἰωλκός M 484 Al 249. 1154
Καρχηδών T 221
Κασταλία O 1094
Κατοπτευτήριον Ph 233
Καφηρεύς T 90
Κελτική Hi 733. 736
Κηφισός M 835
Κιθαιρών Ph 801. 802. 1751
Κίλικες Rh 5. 540
Κιλικία Ph 6 Rh 5
Κίρρα O 33
Κολωναί An 10 O 432
Κολωνός Ph 1707
Κόρινθος M 69. 9. 264. 1379
Κρᾶθις T 228
Κρῖσα O 33 T 9
Κυλλήνη O 1646 Rh 36
Κυνὸς σῆμα He 1273
Λάμψακος M 484
Λάρισα Al 835
Λέρνη Ph. 125. 126. 187. 1137
Λευκὴ νῆσος An 1262
Λιβυοφοίνικες T 220. 221
Λιγυστικόν T 437
Λιλύβαιον T 221
Λίμνα Hi 228. 1133
Λυρνησσός An 1
Μαίναλος Ph 1162
Μακεδονία T 214
Μάκεστος O 4
Μαλέα O 362
Μολοσσία An 24. 32. 1248
Μολοσσοί An 32
Μουνύχιος λιμήν Hi 758
Μυκάλη An 1
Μυκῆναι O 46. 965 Ph 125
Μύκονος T 89
Μυρτῷον πέλαγος O 989. 990. 992
Μυσοί Rh 5. 540. 251
Νεσσωνὶς λίμνη Al 590
Ξάνθος T 228
Ὄλυμπος T 214
Ὁμολῷον ὄρος Ph 1119
Ὀρέστειον O 1645. 1646
Ὀφρύνιον An 10
Πάγγαιον He 1267
Παρνασός Ph 227. 232. 233 T 9
Παρρασία O 1646
Παρράσιον O 1645
Πειρήνη M 69
Πελλήνη O 457
Περκώτη An 10
Πῖσα O 990 Ph 1760
Πιτάνη T 1112
Πλαγκταί M 2
Πολίχνα An 10
Πότνιαι O 318 Ph 1124
Προποντίς M 1264
Πρών O 871. 872
Ῥαμνοῦς Rh 342
Ῥόδιος Al 285
Σαλαμίς V 5 cf p 7,7
Σαμοθρᾴκη Ph 7
Σαρπηδονία πέτρα Rh 29
Σαρωνικὸς κόλπος Hi 1200
Σηπιάς An 1265
Σιδήνη An 10
Σικελία T 220. 221. — Ph 208
Σιμοῦς O 809
Σκάμανδρος T 228
Σκειρωνίδες πέτραι Hi 979
Σκῆψις An 10
Σκῦρος Hi 11 An 14 T 90
Σύβαρις T 228
Συμπληγάδες M 2. 433
Συνορμάδες M 2
Σφηττός Hi 35
Σχιστὴ ὁδός Ph 37. 1760
Τεγέα Hi 264
Τένεδος O 432
Τέρμερος Rh 509
Τευθρανία Rh 251
Τευμησός Ph 1100
Τίρυνς O 965 Al 838

Τρίαινα Ph 187
Τρίτων Al 346
Τροιζήν Hi 31. 123. 228. 1133. 373
Τρωάς An 10
Τύρος Ph 6. 204. 202
Τυρσηνὸν πέλαγος M 1342
Ὕα πόλις O 1094
Φαρσαλία An 22
Φᾶσις An 651
Φεραί Al arg 590. 1154
Φηγαί O 1246
Φθιῶτις An 1. 22
Φίκειον Ph 26
Φοίνικες Ph. 5. 1062
Φοινίκη Ph 6
Φρίξη O 457
Φωκεῖς T 9 O 1094
Χαλκίς Ph 208
Χάλυβες Al 980
Ὠκεανός O 1378

Nomina historica

Ἀλέξανδρος Hi 671 An 17
Ἀλεύας Rh 311
Ἀναξαγόρας V 2. 3 O 982 Hi 601 T 884
Ἀντικλείδας Hi 231
Ἄρειος πάγος O 1648. 1651
Ἀρχέλαος V 2. 4. — ὁ φυσικός V 3
Γλαυκῖνος Al arg
Γράνικος Hi 671
Δημοκράτης An 445
Δελφοί T 9
Διόδωρος Ἐρυθραῖος T 822
Διοκλῆς O 371
Διονύσιος ὁ Σικελίας τύραννος V 5 M 476
Διότιμος Ph 1408
Ἑλλάνικος V 2
Ἐξαίνετος T arg
Ἐπαμείνων Hi arg
Ἐπήρατος Hi 264
Εὐκλείδης Ph 682
Εὐριπίδης νεώτερος V 2
Εὐφορίων M arg
Ἡγέλοχος ὁ Κυντάρου O 279
Ἡράκλειτος He 131
Θεόπομπος O 371
Ἰοφῶν Hi arg
Ἴων Hi arg
Καλλίας V 1. — V 2
Καρχηδών T 221
Κηφισοφῶν V 2. 5. 6
Κιναίθων Λακεδαιμόνιος T 822
Κλειτώ V 1
Κλεοφῶν O 771
Κλέων O 903
Κυμαῖοι M 19
Λέων Hi 231
Λυκοῦργος Hi 98
Μελιτώ V 2
Μιλήσιοι An 1
Μνησαρχίδης V 1. — V 2
Μνησίλοχος V 2. 5
Νεόφρων M arg
Ξενοκλῆς T arg
Παυσανίας Al 1128
Πρόδικος V 2
Πρωταγόρας V 2
Πυθαγόρας He 132 Hi 953
Πυθόδωρος M arg
Ῥωμαῖοι Ph 1377
Ῥώμη T 221
Σαλαμίς V 2
Σάμιοι An 1
Σοφοκλῆς V 2. 3 Ph 1 M arg Al arg
Σώδαμος Hi 264
Σωκράτης V 2
Τιμοκράτης V 2
Τύριοι T 221
Τυρρηνοί Ph 1377
Φιλήμων V 6
Φοίνικες He 1199
Φωκεῖς T 9
Χίλων Hi 264. 266
Χοιρίλη V 2. 5

# INDEX ANALYTICVS

Euripides

uituperantur μυθοποιία He 3. 123. 241. 421. 1279. morum uitaeque recentis notatio He 254. 573. 898. artificia oratoria He 280. ἀσυμφωνία He 1219. decoris neglectio He 825. sermo He 99. 397. 1060

μυθοποιία O 176. 257. 982. 1004. 1645. ἀκαιρία O 97. 128. 176. 418. 1210. ἤθη O arg 71. 1378. tragicae dignitatis defectio O arg 1691. 1369. 1512. 1521. ἀσυμφωνία O 268. 396. 526. 1075. aliena profert a more publico O 771. sermo O 80. 562. 1034. cf. quaestiones

μυθοποιία Ph 1116. [1456]. αὐτοσχεδιασμός Ph 159. [1100]. προληπτικὸς ὁ λόγος Ph 6. — narratio ueri dissimilis Ph 4. 24. 26. 28. 31. 47. 409. 839 [?]. oratio uana inepta indigna Ph 4. 267. 274. 275. 301. 388. 395. 405. 409. 504. 507. 549. 584. 980. 985. 1566. 1605. 1606. 1751. ἀσυμφωνία Ph 71. 805. οἰκονομία Ph 93 arg 911. decoris neglegentia Ph 1485. 1539. chorus Ph 202. 1019. 1053. 1751. prologus Ph 88. soloecismi Ph 283. 1288. cf. quaestiones. ceterum in Phoenissarum scholiis praeter 1116. 1456. 159. 1100 uituperat poetam homo ἐνστατικός, in ceteris fabulis οἱ κριτικοί.

ἀναχρονισμός Hi 231. 953 ἀτοπία Hi 620. sermo Hi 125. 625. 860.

ἀναχρονισμός M 232. 233. usus uerborum M 469. — ἦθος M arg 922. oratio non opportuna M 324. 538. 900. ἀσυμφωνία M 97. sermo M 665

οἰκονομία Al 233. μυθοποιία Al 252. φιλοσοφία Al 779. κωμικωτέρα καταστροφή Al arg. prologus Al 1

μυθοποιία [a Lysania] An 10. [a Didymo] An 885. An 24. 107. 224. 616. 630. 1240. oratio non opportuna [a Didymo] An 330. 362. 1077. An 216. 229. 622. argumentum comicum An 32. ἀναχρονισμός An 734. 445

μυθοποιία Rh 29. 342. 346. 351. 393. uitium topographicum Rh 508. oratio non opportuna uel ridicula Rh 165. 210. sermo Rh 260

μυθοποιία T 6. 31. 448. 822. 943. οἰκονομία T 36. 1129. prologus T 1. Atheniensium adulatio T 31. 209. oratio non opportuna 408. 975. 1010. 1030. 1049. ἦθος T 1. 634. τὸ νόσημα τῶν ἀντιθέσεων T 906. frigida etymologia T 14. ἀσυμφωνία T 1107

πολλάκις ὁ Εὐριπίδης αὐτοσχεδιάζει ἐν ταῖς γενεαλογίαις ὡς καὶ ἑαυτῷ ἐνίοτε ἐναντία λέγειν He 3. ἔστι τοιοῦτος ὁ Εὐριπίδης περιάπτων τὰ καθ' ἑαυτὸν τοῖς ἥρωσι καὶ τοὺς χρόνους συγχέων He 254. τοιοῦτός ἐστιν ἀεί, τὰ ἡρωικὰ πρόσωπα εἰσάγων φιλοσοφοῦντα Hi 953. τοιοῦτος πολλαχοῦ ὁ Εὐριπίδης sc. γνωμολογεῖ οὐκ ἐν δέοντι Ph 388. ὅλως ἐν πᾶσιν Εὐριπίδης πτωχοποιός ἐστιν Ph 1539. ὅλος ἐπὶ τοῦ θεάτρου ὁ Εὐριπίδης T 1. εὐεπίφορός ἐστιν ὁ Εὐριπίδης εἰς τὸ λέγειν σοφός καὶ σοφή πρὸς μηδὲν χρήσιμον παραλαμβάνων τὸ ὄνομα M 665

defenditur μυθοποιία He 3. 121. O 982. An 10. 24. 32 [scholii initium inepte constitutum, pendent omnia a uerbis scholii us. 24 ἰδίως ἕνα φησὶ παῖδα γενέσθαι] 224. 616. 630 T 31. 822

He 825

O 128. 176. 268. 396. 562. 1004 cf. quaestiones

Ph arg 4. 24. 25. 26. 31. 47. 71. 88 [cf. 93]. 805. 202. 267. 301. 409. 504. 507 [cf. 614]. 911. 1100. 1288. 1539. 1605. 1606. cf. quaestiones

M 97. 900

Al arg

An 32. 734

Rh 508

T 975. 1107

quaestiones: He 53. 74. 504. 521

O arg 2. 32. 108. 796 cf. 396. 982

Ph 21. 31. 44. 60. 61. 111. 402. 934. 935. 1130. 1315. cf. 301. — Ph 208

Hi 14. 73. 920. cf. philosophia

M 169. 148. 208. 375

Rh 5. 540. 528

T 268. 453. 1075

exponuntur τὰ ἤθη He 342

O 4. 25. 71. 73. 76. 78. 81. 82. 83. 85. 87. 88. 94. 95. 99. 101. 102. 108. 120. 121. 129. 218. 223. 241. 356. 371. 373. 374. 376. 401. 403. 411. 413. 419. 421. 423. 427. 437. 470. 482. 1559

Ph 1083. 1337. 1369. 446. 504. 507

Hi 151. 177. 198. 201. 215. 228. 271. 337. 345. 347. 351. 352. 353. 362. 372. 374. 387. 433. 592. 612. 623. 625

M 296. 899. 901. 903. 958. 967. 1009. 1013. 1016. 1017. 1018. 1021. 1055

ars laudatur [cf. τὰ ἤθη] He 1288. 1291

O 223. 1003

Ph 18. 32. 40. 111. 139. 211. 250. 431. 617. 1116. 1178. 1357. 1402. εἰκότως Ph 69. 88. 151. 160. 177

Hi 125. 135. 406. 427. 469. 514. 521. 538. 566. 569. 601. 624. 656. 659. 672. 680. 702. 713. 733. 804. 1119

M arg 1. 57. 910

Al 450

An arg 1147
T 189. 1129
εὐεπίφορος ὁ Εὐριπίδης πρὸς τὸ εἰς ἕτερα πρόσωπα πρεσβύτερα τὴν τῶν δυστυχημάτων αἰτίαν ἀναφέρειν Ph 4. ἔθος ἐστὶν αὐτῷ προλέγειν τὰ μέλλοντα M 40. 791. ἐφελκυστικός ἐστιν ἀεὶ μᾶλλον τῶν θεατῶν ὁ ποιητής, οὐ φροντίζων τῶν ἀκριβολογούντων O 128. συνήθως . . προειπὼν ἐν ἑνὶ στίχῳ τῆς συμφορᾶς τὸ κεφάλαιον καταστατικώτερον ὕστερον διηγεῖται τὸ πᾶν Ph 1339. τῷ συνήθει σχήματι ἐχρήσατο M 1238 An 668 Hi 23. ἔθος ἐστὶ τῷ Εὐριπίδῃ τῷ βλέπειν χρῆσθαι ἀντὶ τοῦ ζῆν T 632. συνεχῶς ὁ Εὐριπίδης μωρὰ λέγει τὰ ἀκόλαστα T 989
Εὐριπίδειος χαρακτήρ O 640 Rh 41 cf. O 1369
imitatur Homerum O 9. 24. 585 Ph 88. 142. 156. 170. 185. 1226 Hi 882 An 107. 542. 456. 471. 1153 Rh 7. 185 T 432. quomodo Homerum intellexerit An 10 [Lysania auctore]. 1077 [Didymo auctore]. He 98. 1279 Hi 385 M 1342 T 437 Al 756 An 17 Rh 210
imitatur Hesiodum An 476. Aeschylum Ph 1194
pugnat cum Aeschylo [Didymo auctore] Ph 751
quem secutus sit He 910 Al 1 O 268. 982. 995 Ph 71 An 10 T 822. ἀπὸ ἱστορίας O 1497 An 17
didascaliae O 371 Ph arg Hi arg M arg Al arg An arg 445 Rh arg T arg
uita mores educatio O 554. 896. 982 Ph 1 M 9. 264. 1346 Al 962 Rh arg 528 T 1057 He 923 O 71
comicorum irrisio O 234. 279. 742 Hi 345. 612 M 476

scaenica
O arg 156. 168. 176. 225. 1567. 1573 παρεπιγραφή O 1384 histriones O 57. 268. 279. 643. 1366
Ph 93. histriones Ph 264
Hi 58. 171. 215. 776
M 96. 97. 115. 520. 1317. 1320 histriones M 84. 148. 169. 228. 356. 380. 910
Al 897
histriones An 7
T 98. 1129
κατὰ τὸ σιωπώμενον He 484 O 132. 725. 850. 1554 Ph 690. 694 M 214

---

ἱστορία
historia fabularis
theogonia: Iouis et Iunonis nuptiae Hi 745. Iouis nutrix Rh 342. Cyclopes 965 Al 1. 5. — Apollo Cyclopes interficit Al 1. draconem Pythicum uincit Ph 232. 233. oraculi Delphici possessores O 164. — Bacchi partus Ph 651. nutrices M arg. Bacchus Thebis infensus Ph 934. 1031 M 1284. Bacchi oraculum He 1267 A 968. — Pan Rh 36. — Aesculapius Al 1. — Solis filiae Hi 733. 736. 739. 740. equi Ph 3. — Iouis et Proserpinae

nuptiae Ph 682. Iacchus O 964. — Venus Solis genti infensa Hi 4. 47. — Titanes et Gigantes confusi He 472. Gigantes stellati Ph 129. a Minerua uicti He 472. Typho Ph 1154. — Adrastea Rh 342. 468. Nemesis Ph 182 Rh 342. 468. — Aurorae ecus O 1004. filii T 850. cum Ἡμέρᾳ confusa T 855. — Musarum filii Rh 342. 393. 895 O 1390. Musae Atticae M 834. in Cithaerone cultae Ph 801. 802. — Hesperides Hi 742. — Furiae pinnatae O 275. Furiarum nomina O 37 T 457. — Gorgonum nomina Ph 456

theologia et allegoria: Ἕρκειος Ζεύς T 16. — Neptunus An 1011. — Bacchi partus Hi 559. διθύραμβος Hi 560. νεβρίς Ph 792. — Pan Rh 36 M 1172. — Ceres et Proserpina Ph 683. 687. — Venus T 990. Venus marina Hi 3. 447. Amor duplex Hi 4. — Diana Dictynna Hi 1130. — Iunonis Mineruae Veneris rixa An 277. — horti deorum Hi 748. 750. Atlas Hi 747. Oceanus Hi 744. — fluuii tauriformes O 1378. — εἰδωλοποιία O 256

quis ab Aesculapio in uitam reuocatus fuerit Al 1. Apollinis apud Admetum seruitium Al 1. Admeti et Alcestidis nuptiae Al 249. filii Al 265. Admeti mater Al 16. Apollo Parcas fefellit Al 12. 34

aureum uellus M 5. Argo M 1. Peleus et Telamon Argonautae An 796. Iuno et Minerua Iasonis adiutrices M 527. Medeae renouationes M arg. Medea Iasonem seruat M 465. 475. Medeae fuga M 211. Apsyrtus M 167. 1334. Peliae caedes M 9. 78. 554. Medea Corinthia M 9. 11. 19. 264. Medeae filii M 117. a Corinthiis interfecti M 9. 264. 1382. ab Argiuis culti M 1382. Iasonis uxoris nomen M 19. Iasonis mors M arg 1386

Peliae funus O 318

Athamas et Ino Ph 4 M 1284

Agenoris filii Ph 6. 216. 217. Europa Rh 29. Cadmus Aegyptius Ph 638. Cadmi expeditio Ph 5. 7 Rh 29. An 1. oraculum Ph 638. Cadmus dracontem Martis uincit Ph 662. 238. 1062. 1008. Sparti Ph 670. 941. 942. 1062. 934. 935. 159. Thebas condit Ph 638. 1119. Minerua Ὄγκα Ph 1062. Harmoniam ducit Ph 7. 5. Electram Ph 5. 7. 1129. Harmoniae dona nuptialia Ph 71. Polydorus Ph 8. Cadmi stirpis calamitates Ph 4. Lai uxores Ph 13 oraculum Ph arg. raptus Chrysippi Ph arg 26. 60. 69. 1760. mors Ph 26. 1760. Oedipi infantia Ph 26. 28. res gestae Ph 26. 33. 44. 1044. 1760. a Lai seruis caecatus Ph 61. uxores Ph 13. 53. 1760. Coloni sepultus Ph 1707. Sphinx Ph arg 45. 1760. 50. 26. 806. 807. 809. 1031 [cf. 934]. Eteocles et Polynices Ph 13. 71. Adrasti oraculum Ph 409. 421. Polynicis et Tydei uxores Ph 135 cf. ind. nom. Tydei exilium Ph 417. Tydeus Ismenam necat Ph 53. Parthenopaei mors Ph 1156. Creontis uxor Ph 988. Haemonis et Antigonae amores Ph 946. Menoeceus a Laio uel a Sphinge interfectus Ph 1010

Niobidae Ph 159. 1104. 1119. 1129. Amphio et Zethus Thebas condunt Ph 1113. 1119. 287
Tiresiae filii Ph 834. Manto Ph 839
Atalanta Ph 150. 151
Glaucus Potniensis Ph 1124 O 318. Anthedonius O 318. 364
Thebae Proserpinae a Ioue datae Ph 682

Nemesis O 1385 Rh 342. Tyndarei filiae O 249. Paridis iudicium An 277. 285. Helenae raptus An 593 T 943 An 898. Helenae filii A 898. coniuges An 229. Dardanus Ph 7. 1129. O 1388. Ganymedes T 822. O 1391. Apollo Troiae moenium extructor O 1388. Peleus et Telamo Herculis socii contra Troianos An 796. Hecubae parentes He 1. 3. nomen He 3. Cassandra An 296. numerus Graecorum exercitus O 353 An 106. Iphigeniae immolatio O 570. 658 An 624. Vlixis caluities Rh 716. Andromachae pater An 1. Hectoris filius illegitimus An 224. Telephus Rh 251. Ἀχιλλέως πήδημα An 1139. Palamedes O 432. 434. Rhesus Rh 346. 393. Achillis mors He 41 T 16 An 1262. Palladium He 240 Ph 1129 Rh 502. Helenus He 87 An 1245. excidium Troiae H 910. 918 An 224. Troia deserta T 47. Priami mors He 23. 24 T 16. 1316. Astyanax An 10. Polyxena He 1. 41 T 16 He 95. Hecubae transformatio He 1263. 1273 T 430. Polyboea Hecubae serua He 680. Aethra He 123 T 31. Helena propter pulcritudinem seruata a Graecis O 1287. a Menelao An 630. Aeneas et Andromacha An 14. Achivorum reditus O 432 T 90. Veneti Hi 231. 1132
Helena nautis infensa O 1637. Dioscuri Therapnis culti T 210
Phoci caedes An 687. Peleus et Telamon Herculis socii An 796. Pelei et Thetidis nuptiae An 17. 46. 1265. Pelei exilium T 1128. Neoptolemi coniuges et filii An 24. 32. O 1654. mors O 1655. An 53. 1151. Delphis sepultus An 1240
Tantalus O 10. 982. Pelops Oenomai uictor O 987. 990. Oenomai equi O 990. proci Hippodamiae Ph 1760. Myrtili parentes O 998. caedes O 987. 989. Hippodamia Oedipum Pelopi subicit Ph 26. raptus Chrysippi Ph arg 26. 60. 69. 1760. caedes O 4. agnus aureus O 995. Thyestae adulterium O 14. 16. 811. incestus O 14. 15. 16. Plisthenes O 16. Atrei crimen O 811. Agamemnonis sedes Mycenae Argos Lacedaemo O 46. caedes He 1279. O 25. 367 T 448 O 1648. filiae O 22. Electrae nomen O 22. Orestes ab Apolline arcum contra Furias accipit O 268. Areopagi iudicium O 1648. 1651. Orestis finis O 1645 Rh 251. Orestis et Electrae filii O 1654, Orestes et Hermiona O 1654 An 32. 53. Orestis successores Rh 251
iudicium de Danao Argis habitum O 871. 872. Danai nauis M 1. filiae Ph 188. O 998. Amymone O 54. 427 Ph 185. 187 Aegyptus O 872. Inachus Argos condidit O 872. Io Ph 208. 248. Hi 733. 736. Argus πανόπτης Ph 1115. 1116. Epaphus Ph 678

Mineruae et Neptuni de Athenis controuersia Ph 854. Erechtheus Volcani filius M 825. Erechthei et Eumolpi bellum Ph 854. regum Atticorum series Ph 854. Ionis regnum Ph 208. prima Areopagi iudicia O 1648. 1651. Pandionis filii Hi 35. 1200. Aegei uxores M 673. oraculum M 679 Hi 11. iter Corinthium M 666. Medeae coniux M 1385. Pittheus Hi 11. 264. Sinis Hi 977 M 666. Sciro Hi 979. Pallantidarum caedes Hi 35. 1380. Theseus Amazonem rapit Hi 10. Ariadna Hi 339. Thesei tria uota Hi 46. 887. 1348. mors Hi 11. Thesei filii He 123 T 31. Acamas colonias in Troadem ducit An 10. Cephalus et Procris Hi 455 O 1648. 1651. Procne et Philomela Ph 1515 An 862 Rh 547. 550. Daedali opera He 838. Daedalus et Talos O 1648. 1651. Musae Atticae M 834

Minos Europae filius Rh 29. Britomartidem persequitur Hi 146. 1130. Minos et Scylla Hi 1200

Hercules hydram Lernaeam uincit Ph 1137. Euryto uicto Iolam rapit Hi 545. 546. 551. Iuuenta O 1687. Heraclidae Ph 1377

Ixio Ph 1185

Adonis a Marte interfectus Hi 1421

Orpheus et Eurydice Al 357. Orpheus mysteriorum conditor Al 968. ars musica Rh 895

oraculi Delphici possessores O 164. Delphi in terrae centro sitae O 331 cf. Ph 237

Delus He 458

lacus Auernus Al 902

Corinthiorum reges M 19

catasterismi Rh 528

stemmata et archaeologiae

stemma Persei He 886

Tantali O 4. 11. 345. — Inachi [Argiuorum archaeologia] O 932. 1246. — Pelasgi [Arcadum archaeologia] O 1646. — Tyndarei O 457. — Lacedaemonis [Lacedaemoniorum archaeologia] O 626. — Phoci [Delphorum archaeologia] O 1094. — Pyladis O 33. 765. 1233

Cadmi Ph 5. Hippomedontis Ph 126. Tydei Ph 133. Parthenopaei Ph 150. Polynicis Ph 158. 291. Adrasti Ph 160. 422. Amphiarai Ph 173. Capanei Ph 180. Creontis Ph 942

Epei T 9

historiae e compendiis excerptae

Danai filiae He 886 O 872. Proetus et Acrisius O 965. Cadmus Ph 5. 638. Ino M 1284. Zethus et Amphio Ph 102. Chrysippus Ph arg. causae belli Troiani O 1641. Paris An 293. Iphigenia O 658. Palamedes O 432.

Phoci caedes An 687. Atreus et Thyestes O 998. Erechtheus M 825. Pallantidae Hi 35. Sciro Hi 979. Dictynna Hi 1130. Asopus M 69. Ixio Ph 1185
historiae ex aliis scholiis transscriptae O 811. 964 M 9. — a Byzantinis compositae He 21. 458 O 165. 990 [a Tzetza] Ph 208 Hi 887. 974. 977. 1200
inuentio tubae Ph 1377. tibiae Al 346. hastae Hi 201. clupei O 965. adulterii Hi 407. praeterea cf. Al 968 Rh 346. 895
quorum pulcritudo patriae utilis fuit O 127

historia uera
res aequales ab Euripide tanguntur He 254 O 371. 772. 903. 1682 Ph 393 An 150. 445. 734
Atheniensium ἄρχοντες Al arg M arg Hi arg O 371 Ph 682. olympionica T arg
bellum Aeginetarum cum Atheniensibus He 934. Thesei ossa Hi 11. initium belli Peloponnesiaci An 445. Athenienses pacem a Lacedaemoniis oblatam reiciunt O 371. 772. 903. 1682. Cleopho O 772. 903. 904. Cleo O 903
Dionysius tyrannus V 5 M 476
Alexander nodum Gordiensem soluit Hi 671. Alexandriam designat An 17
bella sacra T 9
bellum Samiorum et Milesiorum An 1
Amphictiones O 1094
Lacedaemoniorum auaritia An 445. breuitas O 640. mulieres An 599 O 108. Thessalorum magos arcessunt Al 1128
Thessalorum tetrarchiae Al 1154. dilectus Rh 311. magi Al 1128. doli et insidiae Ph 1408
Aetolorum mores et arma Ph 138. 139
Argiuorum Ἀλιαία O 872
equi Veneti Hi 231
septem sapientes Hi 264
Carthago et Roma conditae T 221
Persarum mores An 174
mirabilia Hi 123 T 228 Ph 227

---

philosophia [cf. theologia et allegoria]
Hippolyti scholia haud pauca produnt uestigia doctrinae Platonicorum: Hi 3. 14. 45. 73. 79. 82. 191. 309. 374. 407. 514. 517. 518. 528. 601. 616. 672. 732. 920. 953. 1016. — κρείττων O 415 An 957. praeterea cf. M 296 He 865
sententiae Anaxagorae O 982 Hi 601 T 884. Heracliti et Pythagorae He 131. Platonis O 1204. Aristotelis Hi 191. 656
anima sanguis He 21. insanorum nerui spiritu pleni O 227. somni causa humor O 174. τυφώς Ph 1154

---

religio

Ὄγκα Ἀθηνᾶ Ph 1062. Χαλκίοικος Al 1128 T 1113. πέπλος He 467

Ἀπόλλων Ἀγυιεύς Ph 631. Ζωστήριος V 2. Θυμβραῖος Rh 508 He 41 T 16. Ἰσμήνιος Ph 101

Ἄρτεμις ἐν Ἄγραις Hi 73. Λιμνᾶτις Hi 228. 1133. a puellis inuocata Ph 109

Διόνυσος περικιόνιος Ph 651. sacra uitis Ph 227. oracula He 1267 Al 968. Semelae fanum Ph 1751

Ἑρμῆς πομπαῖος M 759

Ἕρκειος Ζεύς T 16. Λυκαῖος Ζεύς O 1646

Ἀκραία Ἥρα M 9. 264. 1379. Medeae infantes ab Argiuis culti M 1382. Κιθαιρωνία Ἥρα Ph 24

Ῥέα Ἀνταία O 1454

δᾳδουχίαι Ph 687. Samothracia mysteria Ph 7

Furiae non nominatae O 37. caedes iusta O 819. ἐναγεῖς O 73. 481

auguria Ph 838 Hi 1057. haruspicina Ph 1256. 1257. ψυχαγωγοί Al 1128

sacrificia O 1602. 1603 Al 76

supplices O 383 An 894

---

uita

nuptiae Ph 344 T 315. 321 Ph 347. πάροχοι O 1384. — funus Al 98. 768 Ph 1632 T 1085. θρῆνοι Ph 1028

domus M 134 An 1121

appellatio dominorum Hi 1157. tesserae hospitales M 613. uigiliae Rh 5

Dorica uestis He 934. Aetolorum calcei Ph 139. κῆπος T 1175

iacula Hi 221. cf. ἀγκύλη μεσάγκυλον πέλτη

portarum constructio Ph 114. urbium designatio An 17

sub tibiis naues scandunt T 122

φυλλοβολία He 573

praecones He 533 T 424. meretrices Al 447

---

grammatica

flexio [cf. dialecti, sermo Atticus] He 496 O 103. 298. 514. 753 Ph 379. 1533. 407. 614. 662. 793. 795. 846. 1149. 1390 Hi 90. 978. 1065 M 60 Al 651. 795 An 37. 260. 337. 567. 1210 Rh 226. 274 T 537

accentus He 808 An 250 O 261. 425. 1370. 1525 Ph 84. 371. 446. 468. 572. 600. 655 M 29. 46 Al 99 An 260. 694 Rh 207. 817

quantitas syllabarum He 533 O 30 Rh 494

συναλοιφή He 335. 419 O 279 Ph 1024 M 256 Al 710 Rh 508 [?] T 396. τὸ ἐντελές He 812. τὸ τέλειον Ph 174. — M 846

συναίρεσις Hi 586. συγκοπή He 323. 481. ἀποκοπή He 361 An 1210 cf. O 142

litteratura antiqua Ph 682

ἐθνικά Hi 1132

μεταλλακτέον τὰς πτώσεις He 847. ἀντίπτωσις Ph 793 An 706. ἀναστροφή O 225. ἀντιστρόφως Al 245

nominatiuus pro genetiuo Ph 283. pro datiuo M 11. 735. 737. pro accusatiuo Ph 478. genetiuus pro datiuo Ph 460 M 11. 910. pro accusatiuo Al 117 An 53. 94. 1014. datiuus pro nominatiuo M 58. pro genetiuo He 70 O 432 Hi 1102 M 910. 990. 1201 T 39. accusatiuus pro genetiuo He 119 O 30. 103. 462. 1286 Ph 316. 350 Al 291 An 935. 1014. pro datiuo O 421. 1434 M 1238

genetiuus He 211 Ph 658. datiuus O 47

accusatiuus neutrius pro aduerbio O 110. 151. 162. 1501 Ph 177. 1125 Hi 1361 M 205 An 625 T 540

singularis pro plurali M 1256 An 272. pluralis pro singulari He 776 Ph 682. 1270 Hi 269. 527 M 122. 449. 823. 1049 An 485 T 372

masculinum pro feminino He 149. 296 M 63. 982 An 711 Hi 852 M 42. 67. pro neutro Ph 1488 M 139 An 603. femininum pro masculino O 1003

genus ὁ στίβος O 1274. ἡ αἰών Ph 1484. ἡ χάμαξ Ph 1403. τὰς κρᾶτας ἢ τοὺς κρᾶτας Ph 1149

comparatio Ph 531. 1583 Hi 1466 An 7

prima persona pro pronomine indefinito Ph 407. altera O 128. 314. altera singularis pro prima pluralis Rh 1

uerbum pro participio Ph 473. participium pro uerbo He 580 Ph 668 Al 734. infinitiuus pro participio An 322

praesens pro imperfecto He 1150 An 341. pro aoristo O 808 Ph 322. 811. 1135. pro futuro O 1675 Ph 607. 1212 Hi 47 Al 372 T 44. imperfectum pro praesenti M 703. aoristus pro praesenti O 169. pro futuro Ph 207. 220 M 174. perfectum pro futuro He 480

actiuum pro passiuo Hi 935. 1239 M 320 T 170. medium uel passiuum pro actiuo O 1304 Ph 868 Hi 219. 635. futurum medii pro passiuo He 348 Ph 1263. 1431

notio 'factitiua' He 90 O 256. 317. 318. 321. 327. 488 Ph 654. 787. 1285 Hi 821. 868. 935 M 640. 1201. 1260 An 444. 527 T 547

πατρωνυμικὸν ἀντὶ πρωτοτύπου He 188. 190. κτητικὸν ἀντὶ πρωτοτύπου Ph 188. ἐξ ἐπιθέτου τὸ προσηγορικόν Hi 550. σύνθετον ἀντὶ ἁπλοῦ O 382. 821

σύνταξις O 2. 270. 438. 729. 1287 Ph 3. 214 Al 902 An 17. 672. 1164

soloecismus Ph 283. 1288 Hi 23 M 58

περιττός ἐστιν, περιττεύει ὁ τέ He 613 O 118 Ph 234. 361 Hi 1378. τὸ οὐ Ph 814 An 757. τὸ μή O 599. 1059. 1572. negatio Hi 1062. articulus O 367. τὸ ἓν ὡς O 340. ὁ μέν M 675. ἡ ἀμφί An 124. ἡ ἐξ Ph 1195. ἡ περί O 367

πλεονάζει ὁ τέ He 464 O 103 An 1097. ὁ καί Hi 993. τὸ οὐ Ph 1176. τὸ ὡς Ph 986. ὁ μέν Ph 642. ὁ μὲν καὶ ἡ μία ἀντωνυμία Ph 497. ὁ ἀλλά M 1085. ἡ ἐπί Ph 1125. ἡ παρά Ph 717. ἡ προ Ph 791. τὸ ὅα Ph 1296. τὸ ὑπαρκτικὸν ῥῆμα O 86

παρέλκει ὁ τέ He 337 Ph 1562 Hi 141. ὁ καί He 448. τὸ οὐδέν Hi 344. ὁ μέν M 1129. ὁ μήν καὶ ὁ ἄν Al 713. τὸ πού Ph 378. τὸ ποτέ Hi 1383. τὸ δα Ph 1296

negationes Hi 657 M 1151

ἀπὸ κοινοῦ He 75. 76. 205. 211. 253. 305. 363. 428. 455. 520. 919 O 2. 400. 403. 618. 650. 919. 961. 1019. 1446 Ph 35. 246. 308. 333. 459. 488. 775. 806. 815. 824. 878. 950. 1008. 1046. 1133. 1158. 1252. 1256. 1381. 1492. 1506. 1509. 1574. 1587. 1651. 1749 Hi 421. 675. 1013. 1261. 1290. 1383 M 4. 186. 187. 719. 734. 837. 1316 Al 222. 869. 923. 946 An 107. 188. 312. 646. 672. 794. 801. 912. 1040. 1194. 1247 Rh 364 T 210. 224. 363. 602. 1064

ὑπερβατόν He 104 Hi 678. 1127. 1128 M 728 An 1188. ὑπέρθεσις He 391 ἀναστροφή O 757. 1378. 206. 685

κατὰ ἀναφώνησιν He 661 O 183. 327. 332. 340 Ph 550. 1520 Hi 812 An 1273

διάφοροι λέξεις: ἀγχόνη ἀγχονή An 816. αἷμα γένος συγγένεια O 1233. ἀνδρεία ῥώμη O 918. ἀρτηρία φλέψ He 567. ἄστρον ἀστήρ Ph 1. ἐπιτολή ἀνατολή Ph 1116. ἐσχάρα βωμός Ph 274. θάρσος θράσος M 469. ἴδου ἰδού He 808 An 250. ἰήιος ἴήιος Ph 1036. ἰσθμός πορθμός Hi 1210. κόμπος κομπός Ph 600. νέμεσις φθόνος He 288. ἐπὶ ξένης ἐπ᾽ ἀλλοτρίας An 136. οἰνάνθη οἴνη Ph 227. ὅσιον δίκαιον εὐσεβές Hi 656. οὐτάσαι βαλεῖν Hi 684. βληθῆναι τρωθῆναι An 616. σηκός ἄδυτον Ph 1010. σταθμός αὐλή An 282. στρατιά στρατεία He 133. ὑπασπιστής τευχόφορος Rh 2

συνήθεια He 241 O 1617 Ph 114. 801. 1669 Hi 1065. 1235 M 342 An 1 T 821

dialecti Al 98. 989 Au 94 Rh 523

sermo Atticus

flexio He 13 Ph 784. 1296. 1716 M 93. accentus O 425 Ph 572 An 694 M 584

σχήματα O 451 Hi 932 M 33. T 317. — He 198. 296. 1127 O 30. 47. 210. 465. 599. 743 Ph 3. 478 Hi 269 M 320 An 325. 668 T 1244

uocabula O 439 Hi 5. 31. 1039. 1197. 1397 M 342

metrica O 140. 168. 348. 729. 1419 Ph 202 An 103

rhetorica

μεταφορά O 621 Ph 17 Hi 469. 824 He 29. 126. 403. 553. 583 O 11. 335. 383. 603 Ph 18. 75. 105. 454. 578. 846. 960. 1228 Hi 237. 238. 303. 767. 815. 1361 M 78. 258. 278. 585 Al 76. 91. 407. 879. 972 An 121. 200. 264. 364. 398. 448. 505 Rh 155. 322. 446 T 108. 117. 303. 489. 570. 643. 1025 1175. τροπικῶς O 322 Hi 255 M 1. 910. ἀλληγορικῶς T 517

εἰδωλοποιία O 256. 808 Al 843. σωματοποιεῖ Ph 782 Al 24

ἀπὸ μέρους τὸ πᾶν He 39. 920. 1151 O 54. 1385 Ph 126. 134. 306. 1026. 1384. 1536 M 4 An 22. συνεκδοχή M 4. 360. ἀπὸ τοῦ ποιοῦντος τὸ ποιούμενον He 1153 Ph 114. 1351. ἀπὸ τοῦ παρεπομένου Ph 640. ἐκ τοῦ παραδόξου τὸ ὁμολογούμενον Hi 447. — O 1470 Ph 74

εἶδος ἀντὶ γένους O 479 M 127 Ph 1138
ὑπερβολή Ph 111. 371. 809. — O 1484
περίφρασις He 21. 87. 724. 1015 O 270. 995. 997. 1315. 1385 Ph 56. 59. 274. 370. 543. 699. 804. 818. 1063. 1167. 1190. 1256. 1321. 1357. 1391. 1411. 1484. 1486 Hi 645. 882 M 1. 226. 424. 524. 1261. 1264 Rh 762
συντέτμηκε τὴν ἑρμηνείαν Al 832
σύλληψις He 421 O 817 Ph 145. 1060
ἐμφαντικῶς [He 465] O 115. 142. 322 Ph 5. [100.] 113. 146. 1371 Hi 1. 482 Rh 411. 707
περιπαθῶς T 189. 343
ἐν ἤθει He 26 O 28. 332. 750. 1602 Ph 355. 388. 550. 618. 1655. 1684 Hi 307. 608 M 60. 148. 228. 500 An 127. 155. 590. 645. ἠθικὸν ἐπίρρημα Ph 901. εἰρωνεία He 26. 710 O 93. 750 Ph 618. 966 Hi 307 M 872. 968 An 89. 203. 229 T 420. ἀντίφρασις He 26 O 410. 1335 T 578. ὑπόκρισις He 671 O 488 Ph 520 M 500. 872 An 194 T 975
ταυτολογία He 506. ἐπανάληψις He 689 O 149. 219 An 839. ἀναδιπλασιασμός Ph 132. — Ph 156 Hi 362. ἐκ παραλλήλου τὸ αὐτό He 86. 507 Ph 370. 1304. 1362. 1374 M 1 An 50. 1088
πρωθύστερον He 762 Ph 1046 M arg 1. ἐπεξεργασία M arg. ἐκβολή M 1. ἀναστροφή O 1009. ἀνάκλασις Ph 239
τὸ κατὰ μέρος εἰποῦσα ἐπήνεγκε τὸ καθόλου O 131. 1646
παρέκβασις O 1483. 1484
κατὰ ἀπαρίθμησιν Ph 868
καθολικὴ γνώμη O 823. καθολικόν Ph 798 Hi 110. 161. 441. 612. καθόλου Al 309
μετὰ συλλογισμοῦ O 417. 646. ἐκ τοῦ ἀντικειμένου Hi 608. καθ'ὑπόθεσιν O 508. ἀμάρτυροι πίστεις T 1010
προθεραπεύει O 640. προκατασκευάζει An 147. — μαρτύριον Ph 629. — ἐναγώνιον Ph 1402
ἀπὸ τοῦ διηγηματικοῦ ἐπὶ τὸ μιμητικὸν μετάβασις Ph 1225 Hi 1240 Al 163. ἐκ τοῦ περὶ αὐτῆς εἰς τὸ πρὸς αὐτήν Al 976
παρετυμολογεῖ O 1008. 1197 Ph 636 Rh 158 T 14

# INDEX GLOSSARVM


ἆ ἆ O 144 He 1069
ἀβάκχευτος O 319
ἀβίοτος Hi 821 = 868
ἄβουλος Rh 761
ἁβρός M 1164. — Ph 1485. 1486
ἁβροσύνη O 349
ἄβυσσος Ph 1605
ἀγάλλειν *M 1027 [Phrynichus]
ἄγαλμα Hi 631. — He 461 O 1434
ἄγαν O 708. — An 364
ἀγαπάζειν Ph 1327
ἄγασθαι Ph 1054 Rh 244
ἀγαστός He 167
ἄγειν *M 1027 An 566
ἀγκύλη O 1476 cf μεσάγκυλον
ἄγκυρα He 80
ἅγνευμα T 501
ἁγνίζειν O 429
ἁγνός *Hi 138
ἄγονος Ph 1598
ἄγορος An 1038
Ἀγυιεύς Ph 631
ἀγύρτης Rh 503
ἀγχιτέρμων Rh 426
ἀγχόνη ἀγχονή An 816
ἀγών Ph 860. 1330. — 930. 1052
ἀγωνία He 314
ἀγωνίζειν An 336
ἀγώνισμα Ph 1355
ἀδάκρυτος He 691
ἀδάμαστος Ph 640
ἄδηλος M 1201
ἄδουλος An 593
ἄδυτον Ph 1010
ἄελπτος O 879. — Hi 1462
ἀέξειν Hi 537
ἅζεσθαι *Al 326
ἄζυξ Hi 546
Ἀθῆναι *Hi 1123
ἄθικτος Hi 1002. — 652
ἆθλον Ph 1262
ἄθραυστος Ph 1079
ἀθρεῖν He 679 Hi 300. — An 668
ἄθυρσος O 1492
ἀθῷος M 1300
αἶα He 450
αἴαγμα Ph 336
αἰθαλόεις Ph 183
αἴθαλος He 911
αἰθέριος T 325. — 1064
αἰθήρ He 334 Ph 1543 M 830 — T 1079
[Didymus]
αἰκάλλειν An 630
αἰκέλιος An 131
αἷμα O 1233 Ph 789 M 1256 An 1194.
— 654
αἱμάσσειν Ph 1288
αἱματοῦν An 260

αἱμύλος Rh 498
αἵμων He 90
αἰνεῖν Ph 481. — 614. — M 1157. — Al 2
αἴνιγμα Ph 48. — T 625
αἶπος *Ph 851. — Al 500
αἴρειν He 69 Hi 733 Al 450. — He 965. 1141. — Ph 434
αἱρεῖν *An 107. *542. — Ph 571. 755. — 1176 M 624. — An 289. — Ph 741. 951
αἵρεσις An 384
αἰσθάνεσθαι Hi 1192
ἄιστος T 1314
αἰσυμνᾶν *M 19
αἰσυμνήτης M 19
αἰχμάζειν Rh 444
αἰών Hi 1109. 1110. — Ph 1484
αἰωρεῖν He 32
ἄκαμπτος Hi 1268
ἄκανθα T 117
ἀκάρπιστος *Ph 208. — *209. — 210
ἄκατος He 445 T 1100
ἀκεῖσθαι He 1068
ἀκέραιος Ph 943
ἀκεστός An 900
ἀκέστωρ An 900
ἀκήρατος Hi 1114. — 949. — 76
ἄκλῃστος An 593
ἀκμή He 1042. — Ph 1081. — 1255
ἀκοινώνητος An 469. — 470
ἀκόλαστος Ph 971
ἄκομψος Hi 986
ἄκος An 121
ἄκρα O 871
ἀκραιφνής He 537 Al 1052
ἀκροθίνιον Ph 203. 282
ἄκρος Ph 430
ἀκτή Hi 1173. — 138
ἀκύμαντος Hi 235
ἀκύμων An 158
ἀλαίνειν Ph 1536
ἀλαλή Ph 336
ἀλαός Ph 1531
ἀλᾶσθαι Ph 1739 Hi 897
ἄλαστος Ph 341 T 1231
ἀλάστωρ He 686. — 949. — Ph 1556. — M 1059. — 1333
ἀλγεινός An 304
ἀλγύνειν M 622
ἀλίαστος He 85. — O 1479
ἀλιήρης He 455
ἀλίκτυπος Hi 754
ἀλίμενος He 1025
ἅλιος Hi 228
ἅλις Al 907. — He 278 Ph 1235. 1748. — M 1107 Al 1041. — An 582
ἁλίσκειν Hi 420 M 84. — Hi 913. — 912
ἀλίτυπος O 373
ἄλκαρ T 587. — 590
ἀλκή Ph 274. 1097 An 771. — He 227. — Ph 421
ἀλλά Ph 529. 588 Hi 846. 1298. — An 179. — Ph 628. 1671 M 912. — Ph 1704 M 1085
ἀλλάσσειν Ph 74
ἀλλότριος An 136
ἀλλόχρως Ph 138. — An 879
ἄλλως He 626 M 1029. — Ph 518
ἅλμη Hi 754
ἄλαξ Ph 18
ἀλύειν *O 277. — Hi 1182
ἀλφάνειν M 297
ἀμαθής Ph 874
ἀμαθία Ph 763 An 170
ἀμαξήρης O 1251
ἀμαξιτός Rh 283
ἁμαξοπληθής Ph 1158
ἁμαρτάνειν Ph 874 Al 879
ἁμαρτεῖν *T 643
ἄμαυρος An 204
ἄμαχος Rh 456
ἀμβρόσιος M 982
ἀμέγαρτος He 192
ἀμείβειν O 1503. — Ph 271. — 1051 — Hi 1108. — Al 752
ἀμείνων Ph 1200
ἀμήχανος He 1123. — M 392. — Hi 5..

ἅμιλλα Ph 1261 Hi 1141 M 546 Rh 364. — He 226
ἁμιλλᾶσθαι An 127. — He 271. — Hi 426
ἀμισθί T 409
ἄμμορος He 421
ἄμορφος He 240
ἀμπίσχειν Hi 192
ἀμπλακεῖν Hi 892 An 948
ἀμπλακία Hi 833
ἄμπυξ He 465
ἄμυγμα An 826. — *827
ἀμυνάθειν An 721
ἀμύνειν *Ph 688. 744
ἄμυστις *Rh 419 [Timachidas cf Hesych]. 438
ἀμφελίσσειν An 425. — T 763
ἀμφέπειν Ph 149. — 340
ἀμφιβάλλειν Hi 1270. — An 110
ἀμφίβλημα Ph 777
ἀμφιδέξιος Hi 780
ἀμφίλεκτος Ph 500
ἀμφιμήτωρ An 466
ἀμφίπυλον M 134
ἀμφίπυρος Hi 559
ἀμφίτομος Hi 1375
ἀμφίχρυσος He 543
ἀμφώβολος An 1133
ἄνα T 98
ἀναβακχεύειν O 338
ἀνάγειν Ph 1350. — M 106
ἀνάγκη Ph 916
ἀναγωγή T 1126
ἀναίμακτος Ph 264
ἀναίτιος M 730. — 1357
ἀνακιρνάναι Hi 254
ἀνακομίζειν Hi 833
ἀνακυκλεῖν O 231
ἀναλίσκειν Ph 588 An 541. — Hi 506. — An 455
ἄναξ *Hi 88. — Ph 1008
ἀναπεταννύναι Ph 297. — 787
ἀνάπτειν O 609. — M 770. — M 106
ἀναπτεροῦν O 876
ἀναπτυχή Hi 601
ἄναρθρος O 228
ἀναρτᾶν Ph 705
ἀναρχία He 607
ἀνασειράζειν Hi 237
ἄνασσα An 65
ἀνάσσειν Ph 739
ἀνᾴσσειν Ph 331. 1460
ἀνάστασις T 364
ἀνασχέθειν M 1027
ἀνασχετός An 589
ἀνατί M 1357
ἀνατολή Ph 1116
ἄναυλος Ph 791
ἀναφέρειν Ph 1732
ἀναχαιτίζειν Hi 1232
ἄνδιχα Ph 470
ἀνδροφόνος He 1062
ἄνειν An 1132
ἀνεμώκης Ph 163
ἀνεπίπληκτος O 922
ἀνευφημεῖν O 1335
ἀνέχειν He 121. — Hi 1293. — M 482. — Al 304. — T 308
ἀνηβητήριος An 552
ἀνήκουστος Hi 362
ἀνήλιος An 534
ἀνήμερος He 1078
ἀνήρ Hi 1280
ἀνθαιρεῖν Hi 773
ἀνθόκροκος He 471
ἄνθος He 471
ἀνιέναι O 941. — Ph 947. — 1438. — 1491. — An 531. — 598. — 727
ἀνιστάναι He 494
ἀνιστορεῖν Rh 297
ἄνοια Hi 397
ἀνολολύζειν *M 1173
ἀνόσιος He 790
ἀνταῖος An 843
ἀνταμείβειν Ph 286
ἀντᾶν T 212

ἀνταναλίσκειν O 1165
ἀντήρης Ph 754. — 1367
ἀντηρίς Rh 785
ἀντί Hi 764
ἀντικλάζειν An 1145
ἀντιλάζεσθαι O 452 M 1216
ἀντίμολπος M 1176
ἀντίπαις An 326
ἀντίπολος Ph 797. — Al 922
ἀντίπορος M 208
ἀντίστοιχος An 745
ἀντιτείνειν M 891
ἀντιτέμνειν Al 972
ἀντιτιθέναι Ph 750
ἀντλεῖν Hi 898
ἄντυξ Hi 1231 Rh 372. — Hi 1135
ἄνυδρος T 1085
ἀνύειν Hi 743
ἄνυμφος He 612
ἀνώνυμος Hi 1
ἀξιοῦν O 1168 An 57. — He 319 O 1210
ἀξιόχρεως O 597
ἀοιδός Ph 1507
ἀπαλλαγή M 1375
ἀπαλλάσσειν M 790
ἀπαντᾶν Hi 1329
ἀπαρθένευτος Ph 1739
ἀπάρθενος He 612
ἀπαρτᾶν An 412
ἀπαρχή Ph 1525 An 150. — Ph 857
ἀπαυδᾶν An 87
ἀπεῖναι An 724
ἀπειπεῖν Al 737. — Hi 1353 M 459. — He 942
ἀπείργειν Ph 945
ἀπειρέσιος Hi 549
ἄπειρος *O 25
ἀπεμπολᾶν Ph 1228
ἀπενθής Ph 323
ἀπεννέπειν Ph 1657
ἀπέραντος M 212
ἀπέχειν M 1097
ἀπήνη M 1122. — Ph 328. — T 517
ἄπληστος M 151
ἁπλοῦς Rh 84
ἀπόβλεπτος He 355
ἀποδέχεσθαι O 312
ἀποθραύειν Ph 1399
ἄποινα *Rh 177. — Al 7
ἀποινᾶν Rh 177. — 466
ἀπολαύειν Ph 1205 An 543
ἀπολείπειν Ph 747
ἀπόλεμος He 1034
Ἀπολλώνιος *O 1388
ἀπόμουσος M 1089
ἀποπρό *O 142. — 1451
ἀποπτύειν An 607
ἀπόρρητος *Ph 1668
ἀποστέλλειν He 115 Ph 485. — M 281
ἀποστροφή M 603
ἀποσφραγίζεσθαι O 1108
ἀποταυροῦσθαι M 188
ἄποτμος Ph 1306 Hi 1143
ἀπότομος Al 982
ἀπότροπος Ph 586
ἀποφέρειν Ph 595. — M 1111
ἀπόφονος O 162
ἀπύειν Rh 776
ἀπωθεῖν Ph 76 An 187. 193
ἆρα Hi 1086
ἀρά Ph 1364
ἀραγμός Ph 1143
ἀραῖος Hi 1415. — M 608
ἀραρίσκειν Hi 1090 M 322 ἀραρώς M 1192
ἀρᾶσθαι O 1138
ἀράσσειν He 1044
ἀρβύλη O 140. — Hi 1189
ἀργεῖν Ph 625
ἀργός Ph 766. — M 1
ἀρδάνιον *Al 98
ἄρδην He 887
ἀρετή An 775. — T 1009
Ἄρης Ph 134. 1081
ἄρθρον T 113
ἄρκυς O 1421 M 1278. — O 1420

ἁρμάτειον μέλος *O 1381. 1384
ἁρματεύειν O 994
ἁρμοί Hi 808
ἀρνεῖσθαι He 1074 An 696
ἄροτος M 1281
ἁρπάζειν Hi 1220
ἄρρητος Hi 602
ἀρταμεῖν Al 494
ἄρταμος Al 494
ἀρτᾶν Hi 1222 An 811
ἀρτηρία He 567
ἀρτίδακρυς M 903
ἀρτιθανής Al 600
ἀρτιμαθής He 687
ἀρχή Ph 973. — An 1097
ἄσημος Hi 269. 370
ἀσκεῖν T 1008
ἀσκός M 679
ἀσπιδοφέρμων Ph 795
ἀσπίς Ph 78. — 1326
ᾄσσειν Ph 1466. — O 1429
ἀστάθμητος O 981
ἀστένακτος He 691
ἀστερωπός Ph 129. — Hi 851
ἀστέφανος An 1021
ἄστρον Ph 1
ἀσφαλής He 889 Ph 891
ἀτέρμων He 926
ἄτη Hi 276. 1149. 1288
ἀτηρός Hi 627. 630
ἀτίζειν Rh 252
ἀτιμάζειν Ph 877
ἀτρεκής Hi 261. 1115
ἀτρεμαῖος Ph 177
ἄτρεστος Ph 594
ἀτύζειν An 130
αὐγάζειν He 637
αὐγή M 982. — Rh 737
αὐθαδία M 1027
αὐθέκαστος Ph 494
αὐθέντης An 172. 614 T 660
αὐθιγενής Rh 895
αὖθις Hi 312
αὐλή An 282
αὔξειν Hi 750
αὔρα He 444 O 1429
αὐτεῖν He 1092 Ph 1552
αὐτεπώνυμος Ph 769
αὐτοκασίγνητος Ph 136
αὐτοκρατής An 482
αὐτοσφαγής Ph 1316
αὐτοῦ He 401
αὐτουργός O 920
αὐχεῖν An 463. — M 582 An 311
ἀφαιρεῖν An 775
ἀφανίζειν Ph 1041
ἄφαρκτος Hi 657
ἀφεγγής Ph 543
ἄφθογγος Ph 960
ἄφθονος Ph 715 An 732
ἀφιέναι O 1525
ἀφορίζειν Al 31
ἀφορμή M 342
ἄφραστος Hi 820
Ἀφροδίτη Ph 399
ἄφυλλος *O 383
ἀφύσσειν M 837
Ἀχελῷος An 167
ἀχθεινός Hi 94
ἄχνη *O 115
ἀχόρευτος T 121
ἄχος Ph 1030. — 1578. — Hi 1462. — Ph 1513. 1518
ἀχρεῖος M 299
ἀχρήμων M 461
ἀψίς Hi 1233
ἀψυχία Al 696
ἄωρος He 425
βαδιστής M 1182
βάθρον Ph 982. 1132. — 1179
βαθυσπόρος Ph 648. 669
βαίνειν Ph 172. — An 817. — M 439. — T 835. — M 830
βάκτρευμα Ph 1539
βάκτρον Ph 1719
βακχεία Ph 227

βακχεῖος He 676. — 686. — Ph 21
βακχεύειν Hi 954
βαλβίς M 1245
βαλιός He 90 Hi 218 Rh 356
βάλλειν Hi 684 An 616
βάξις O 1558. — M 1374
βάρβιτον Al 345
βάρος Al 204
βαρύβρομος Ph 182
βαρύποτμος Ph 1345
βαρύς M 38
βασιλίς Hi 267
βέλος He 1041 Hi 221
βία Ph 56. — 18. — 868. — Al 829
βιόδωρος Hi 750
βίος Rh 715
βιοτή M 990
βίοτος M 1102. 1107
βλαστάνειν M 1256. — An 664
βλέπειν *T 632 He 311. 668 An 935. — Ph 1364. — 1373
βοᾶν Ph 1317
βοηδρομεῖν Hi 776
βοηδρόμος O 1290 Ph 1432
βολή Ph 665. — 1145
βορά Ph 1634
βόστρυχος Ph 787
βοτόν Hi 75
βουκολεῖν Al 8
βουκόλος An 281 Ph 28
βουλή Rh 69
βουφορβεῖν Al 8
βραβεία Ph 449
βραδύς He 863
βραχύς Ph 917. — T 1248
βρέμειν Ph 113
βρέτας Ph 1473. 1250 An 311
βρίζειν Rh 826
βρίθειν Ph 1557
γαμβρός Hi 635
γαμεῖν M 606
γαπετής Ph 668
γαπονεῖν Rh 75
γάρ *Ph 886. — M 122
γαῦρος Ph 127
γαυροῦσθαι Hi 502
γεῖσον O 1570. — Ph 1158
γέννα Ph 795
γενναῖος M 762
γενναιότης Ph 1680
γένυς Ph 941. — 1160
γεράσμιος Ph 923
γερουσία Rh 401
γεύειν Hi 663
γηρύειν Hi 213
γίγνειν Ph 996 M 1093 Ph 1600 γέγονα An 539. γεγώς An 434. — M 216
γιγνώσκειν Ph 983
γλωσσαλγία An 689
γναθμός Hi 1223 M 1201
γνώμη Hi 376
γόης Hi 1038
γονή M 721
γόος Al 922
γοργός Ph 146
γοργωπός Rh 8
γύαλον Ph 237
γύη Ph 648. 669
γυμνάς Hi 1134
γυμνής Ph 1147
δαιμονᾶν Ph 888
δαίμων Ph 413. 1266. 1653. — Hi 809 An 98. — M 966. — 1110. — O 504. — Al 1140
δάιος Ph 1023. 1299 An 826. — 506
δάκνειν Ph 383 Hi 696 M 110
δάκος Hi 645 T 284
δακρυρροεῖν Al 826
δαμαλίζεσθαι Hi 231
δαπανηρός Ph 566
δασμός *Rh 435
δέ He 94. 644 O 196. 702 Ph 239. 250. 817 Hi 197. — O 1407 Ph 761. — Ph 1680. 1689
δεῖ Ph 729. 921 Hi 688 M 565. 677
δείδειν An 721

δειμαίνειν M 39
δεινός *An 985 He 379. — Ph 355. — 454. — An 269
δειράς Ph 206
δειρή M 29
δέλεαρ An 264
δεξίμηλος Ph 632
δέρας M 5
δέργμα Hi 1217
δέρη M 29
δέρκεσθαι Hi 1279
δέρος Ph 1120
δεσπόσυνος He 99
δεσπότης M 823
δεῦρ' ἀεί *O 1663 Ph 1209 M 670
δεῦρο Ph 853
δεύτερος An 372. — T 218
δῆθεν M 785
δηιάλωτος An 105
δηλεῖν Hi 174
δημηγόρος He 254
Δημήτηρ Hi 138
δημοχαριστής He 132
δῆτα Ph 901 Hi 1062
διά O 1546
διαγνώμη Hi 696
διαδιφρεύειν O 990
διάδοχος An 743. — 803
δίαιμος He 656
διακναίειν Al 109
διαλαγχάνειν Ph 68
διαλλαγή Ph 443
διαλλάσσειν M 896
διάλυσις Ph 435
διαμοιρᾶν He 716. — 1077. — Hi 1375
διανύειν O 1663
διαπαλύνειν Ph 1159
διαπρεπής O 1483
διαπτύσσειν Hi 985
διαρμόζειν O 1451
δίαυλος He 29. — T 435
διαφέρειν Ph 265. — Hi 1142
διαφορά M 75
διάφορος M 579
δίβολος Rh 374
διδόναι O 1160
δίδυμος Ph 1288 An 464
διειδέναι Hi 491. — M 518
διεργάζεσθαι He 369
διερείδειν He 66
διέρχεσθαι Ph 1016
διῆρες Ph 90
δίκαιος Hi 656
δικεῖν O 991. 1470 Ph 640. *641. 665. 668. — 1417
δίκελλα Ph 1185
δίκη An 51. — 555. — 567. — 788
δικόρυφος Ph 227
δίκτυον Ph 263
δινεύειν O 837. — Ph 792
δίοπος Rh 741
διορίζειν He 847. — Ph 542. 1424
δῖος Ph 666. — Rh 226
δίπτυχος He 1156 Ph 1354. — He 1287. O 1303
δισσός Hi 1161
διφρεύειν An 108
διχόμυθος O 889
διχοστατεῖν M 15
δίψιος Al 560
διώκειν O 1534. 501
δμηθείς T 175
δοκεῖν Ph 1330 M 763. 1171 An 454. — He 295
δοκεύς He 1160
δόλος Ph 266
δόξα He 117 Hi 1414. — An 319 He 370 M 293. — Hi 432. — M 1010. — Rh 117
δοξάζειν M 944
δοριμήστωρ An 1016
δοριπετής An 653
δόρυ O 1603 Ph 82. 694. 1297 An 607. — T 14. — 1148
δορύξενος M 687
δόσις Ph 759

δουλεύειν An 186
δοῦλος M 598 — He 249. — O 488. — An 30
δουράτεος *T 14
δόχμιος Al 575. 1000 Rh 372
δρᾶν Ph 1334 An 343. — M 293 O 1554
δραστήριος O 1554
δρέπειν Hi 81
δρήστης *M 679
δρομάς O 317. — 837
δρύπτειν He 655
δύνασθαι M 862
δύνασις An 484
δυνατός Hi 922
δύρεσθαι He 740
δυσδαίμων Al 258
δυσεκπέρατος Hi 678
δυσήλιος Rh 245. 247
δύσθνητος Ph 1438
δυσθυμία M 691
δύσλυτος An 121
δυσμαθής M 1196
δύσμαχος He 884
δυσμενής Al 617
δυσξύνετος Ph 1505
δυσοίζειν Rh 724
δυσόρφναιος Ph 325
δυσπάλαιστος Al 888
δυσπέρατος M 645
δύσποτμος An 846
δύστηνος Hi 162
δύστροπος Hi 161
δυστυχεῖν An 419
δυσφημεῖν He 181
δύσφορος He 1085. — An 1042 [?]
δυσφροσύνη T 597
δύσφρων An 288. — 490. — 1042 [?]
δυσφύλακτος Ph 924. — An 727. 728
δυσχερής M 733
δυσχλαινία He 240
δωριάζειν *He 934
ἐγγενέτης An 128
ἐγγενής Rh 404
ἔγγονος Hi 450
ἐγκαθεῖσαι Hi 31
ἐγκαθηβᾶν Hi 1096
ἐγκαρτερεῖν An 262
ἐγκέφαλος T 1176
ἔγκληρος Hi 1011
ἐγχρίμπτειν Hi 219
ἔδνα *An 153. 2
ἑδραῖος An 266
εἰ Ph 86 Hi 651 An 206. — O 1582. 1614. — Hi 141
εἶα Ph 970. 990 M 401
εἰδέναι Ph 1677 Hi 304. 519 Al 439 Rh 855 Ph 253 Hi 663. — Hi 452
εἴθε *M 1
εἰλαπίνη M 193
εἶναι: ἦν He 13 Al 655. εἶεν O 774
εἰργάθειν Ph 1175
εἰρεσία T 570
εἰς Ph 322. — M 465
εἴσεσθαι Hi 663
εἰσπίπτειν Ph 1469
εἰσφέρειν An 757
ἑκάβη *He 3
ἐκβάλλειν He 1285. — T 59
ἔκβλητος He 699
ἔκβολος Ph 804
ἐκγελᾶν T 1176
ἔκγονος M 955
ἔκδημος Hi 32. — An 879
ἐκδιδόναι An 344
ἐκδοχή Hi 866
ἔκκλητος O 612. 949
ἐκκομίζειν Ph 993 An 639. — Ph 853
ἔκκριτος He 267
ἐκκωμάζειν An 603
ἐκκωφεῖν (ἐκκωφοῦν) O 1287
ἐκλογίζεσθαι He 745
ἐκλύειν Ph 695
ἐκλυτήριον Ph 969
ἔκλυτος An 1133
ἐκμοχθεῖν T 873
ἐκνεύειν Ph 920

ἐκπαγλοῦσθαι He 1157 O 890
ἐκπερᾶν Hi 824
ἐκπίπτειν He 1026
ἔκπλεθρος M 1181
ἔκπληξις Ph 1270
ἐκπλήσσειν O 549. — M 639
ἐκπνεῖν O 700. — Ph 876. — 1151
ἐκποδών Ph 978. — Hi 457
ἐκπονεῖν Ph 979. — 1648. — Hi 380. — 467
ἐκπορεύειν Ph 1068
ἐκπράσσειν He 515. — M 1305
ἐκπροκρίνειν Ph 214
ἐκσωρεύειν Ph 1195
ἐκτάδην Ph 1698
ἐκτείνειν M 585. — An 93
ἐκτίνειν Hi 626
ἐκτοξεύειν An 365
ἐκτροπή Rh 881
ἐκφέρειν Ph 712 An 621
ἐκφοινίσσειν Ph 42
ἔκφορος Hi 295
ἐκφύειν Ph 419
ἐλάτη Ph 208
ἐλαύνειν An 31. — *Rh 480
ἐλέγχειν Hi 271
ἔλεγχος Hi 271
ἐλελίζειν Ph 1514
ἐλεύθερος Ph 999
ἐλευθεροστομεῖν An 153
ἑλικτός Ph 652. — An 448
ἑλίσσειν Ph 3. — 234. 235. — 710. 711. — 1178. 1186
ἕλκειν Ph 1535
ἑλκοῦν He 405
ἐμβατεύειν He 913
ἐμβολή An 1130
ἔμβολον Ph 114
ἔμπαλιν Hi 389
ἐμπιμπλάναι Hi 664
ἔμπληκτος T 1204
ἔμπορος Al 999
ἔμπυρος Ph 954. 1186. 1255

ἐν Ph 727
ἐναντίος Ph 1256
ἐναριθμεῖν O 623
ἔναυλος Ph 1573
ἐνδεής Ph 385. 701
ἔνδικος Ph 470
ἐνεῖναι M 1175
ἕνεκα Ph 1306
ἐνήλατον Ph 1179. — Hi 1235
ἐνθάδε O 620
ἔνθεος Hi 141. — T 255
ἐνθουσιᾶν T 1284
ἐννοεῖσθαι Hi 435
ἔνοσις T 1326
ἔνσπονδος Ph 171
ἐνταῦθα Ph 422
ἐντείνειν O 698
ἐντός Hi 132
ἐνώπιον *An 729
ἐξάγγελος Hi 776
ἐξαίρειν Rh 109
ἐξαιρεῖν Ph 516. — M 487. — An 813
ἐξαιτεῖν An 54
ἐξακρίζειν O 275
ἐξαμιλλᾶσθαι O 431
ἐξανεμοῦν An 938
ἐξανέχεσθαι An 201
ἐξανιέναι An 718
ἐξαντλεῖν M 78
ἐξανύειν Ph 164. — An 535
ἐξαρκεῖν Hi 702. — 278
ἐξαρτύειν Hi 1186
ἔξεδρος Hi 935
ἐξεικάζειν Ph 162
ἐξείργειν An 176
ἐξελᾶν Ph 607
ἐξελίσσειν Hi 864
ἐξεργάζεσθαι Hi 565. 607
ἐξέρρειν Hi 973
ἐξηγεῖσθαι Ph 1011. — M 743
ἐξιέναι T 94
ἐξικμάζειν An 398
ἐξιστορεῖν He 744. — O 289

ἐξογκοῦν O 402. — An 703
ἐξονειδίζειν Ph 1676
ἐξορμίζεσθαι Ph 846
ἐξώπιος M 624
ἐξώστης Rh 322
ἔπαθλον *Ph 52
ἐπαινεῖν An 553
ἐπαίνεσις T 418
ἐπαίρειν O 286. — An 197. — 717
ἐπακτός Hi 318
ἔπαλξις O 1203. — Ph 1009
ἐπαμπίσχειν T 1148
ἐπανατέλλειν Ph 105
ἐπαρκεῖν O 803
ἐπάχθεσθαι Hi 1260
ἐπεί An 29
ἐπεῖναι Ph 1130
ἐπεισφέρειν Ph 200
ἐπερείδεσθαι He 112
ἐπέρχεσθαι An 688
ἕπεσθαι Ph 426
ἐπέχειν He 692. — 895. — 1283. — Ph 896
ἐπί *Hi 1195. — O 1434 T 119. — Hi 1132
ἐπιβάλλειν M 1115
ἐπιέναι An 133
ἐπιζαρεῖν Ph 45. — Rh 441
ἐπιζεῖν He 583
ἐπιθεάζειν M 1409
ἐπικηρύκευμα M 735. 737
ἐπίκλημα O 570
ἐπικλύζειν T 1326
ἐπίκοινος An 122
ἐπίκρανον Hi 201
ἐπιλάζυσθαι An 250
ἐπιλαμβάνειν Ph 896
ἐπινωμᾶν Ph 1561. 1564
ἐπιπνεῖν Ph 789. 794
ἐπίπροσθεν O 640
ἐπιρρεῖν M 1229
ἐπιρροθεῖν He 553
ἐπίσημος He 379 O 543 Hi 103. — O 250
ἐπισκήπτειν Ph 774 Al 365 Rh 402. — He 840
ἐπισκοπεῖν An 893
ἐπίσπαστος Hi 783
ἐπίσσυτος Hi 573. 574
ἐπιστάτης He 223. — Ph 1147
ἐπιστέλλειν Ph 863
ἐπιστρέφειν Rh 400
ἐπιτήδειος An 206
ἐπιτολή Ph 1116
ἐπίφθονος He 1185 M 303. — 530. — Hi 497
ἐπίφρουρος O 1575
ἔπος He 217
ἐπουρίζειν An 609
ἔποχος Hi 214
ἑπτάτονος Al 447
ἐπῳδή Ph 1260. — Hi 478
ἐπῳδός He 1272. — Ph 1260
ἐπώνυμος Ph 1493
ἔρασθαι Hi 1375
ἐργάζεσθαι He 1085
ἔργον Hi 911
ἐρεθίζειν M 1119
ἐρείπιον T 1025
ἐρέσθαι He 988
ἐρετμοῦν M 4
ἔρημος M 712. — An 280
ἐρητύειν Ph 1268
Ἐρινύς O 261. — Ph 254. 624. — 1029
ἐρίπνη Ph 1167
ἔρις O 13
ἑρμήνευμα Ph 470. — An 46
ἔρξις T 396
ἕρπειν O 108. — 1012. — M 333
ἔρρειν O 1407 M 114 Al 734 T 204
ἔρυμα Ph 983. — M 597
ἔρως Ph 622
ἐσθλός Hi 432. — An 772
ἑσπέρα O 1260
ἑστία M 397 An 3
ἑστιοῦχος An 282
ἐσχάρα Ph 274

ἔτι M 917. 1068. — 1015. 1103
εὐδαιμονίζειν An 322
εὖ ἂν εὖ οἵ T 325
εὐδία An 1145
εὐήθης An 625
εὐήνεμος An 749
εὐήχητος Hi 1272
εὐθαλής T 217
εὐθύς Hi 492
εὔιος Ph 656
εὔιππος Ph 17
εὐκάρδιος He 549. 579
ἐύκτιτος *O 1621
εὔλυτος Hi 256
εὔμαρις O 1370
εὐναῖος Hi 159. — An 104
εὐοργησία Hi 1039
εὐπειθής An 819
εὐπέτεια Ph 262
εὐπετής Ph 689
εὐπρεπής Rh 841
εὐπρόσοιστος M 279
εὐπρόσωπος Ph 1336
εὐσεβής Hi 656 T 43
εὐσχήμων M 584
εὐτρεπής He 565
εὐτυχεῖν O 373
εὐφημεῖν He 664
εὐφρόνη He 828. — Rh 92
εὔφρων T 547
εὐώλενος Hi 605
εὐωπός O 918
ἔφεδρος Ph 1095
ἐφέλκειν M 462
ἐφιέναι Ph 5
ἐφιστάναι He 224
ἐφολκίς An 200
ἐφυβρίζειν Ph 179
ἐχέγγυος Ph 759. — An 192
ἔχειν He 963 Hi 1353. — O 1273. — 1617. — Rh 452. — Ph 482. — 1196. — Hi 660. — 1035
ἔχθειν M 117
ἔχθος Ph 879
ἐχθρός An 659
ζάθεος Ph 232. 801
ζάρος Ph 45
ζευγνύναι Ph 337. — 1366. — M 735. — T 263
ζῆλος He 352
ζηλοῦν M 60 Al 866
ζηλωτός M 1035 An 5
ζημία M 1227
ζῆν O 1208
ἤ Ph 508 M 327. — Hi 758. — An 201
ἦ He 1047 Ph 269. 320. 697. 798 Hi 375. 480. 758. 842. 1102 M 579 An 249. 274. 437. — He 765 Ph 378. 388. 1072. 1704 Al 1125. — O 757
ᾗ He 857 Ph 683. — T 324. — Hi 375
ἡβητήριον Hi 1096
ἡγεῖσθαι He 800
ἠδέ Ph 1689
ἡδονή Ph 200
ἡδύς He 409 Ph 399
ἠθάς An 818
ἦθος Hi 1219
ἥκιστα O 846
ἠλίβατος Hi 732
ἤλυσις Ph 844
ἡμέριος Ph 129. 130. 1509
ἦμος He 915
ἡνιοστροφεῖν Ph 172
ἠπειρῶτις An 159. 652
ἧσθαι Rh 846
ἥσσων An 419
ἡσυχαῖος M 303. 304
ἥσυχος He 901. — O 1407
ἠχώ He 155
ᾐών O 994
θαλάμη Ph 931
θαλία M 193
θάλος Ph 88
θάρσος M 469
θαρσύνειν Ph 1249
θάσσειν M 69 An 44. 118

θαυμάζειν He 330 M 1144
θέα He 72
θεήλατος An 851
θέλγητρον O 211
θεόδμητος Hi 973
θεράπνη He 481
θέσμιον M 494
θεσμοποιεῖν Ph 1645
θεσπίζειν Ph 1598
θέσπις M 424
θεσπιῳδεῖν Ph 959
θεσπιῳδός M 668
θέσφατον Ph 643. 999
θεωρός Hi 792
θήγειν Ph 1380
θήκη He 1147
θηκτός Ph 68
θήραμα O 836
θηρότροφος Ph 820
θής Al 2
θιγγάνειν Hi 310
θιγεῖν Ph 300. — Al 108
θίς Ph 203
θοάζειν *O 335. — 1542. — Ph 794
θολοῦν Al 1067
θοός He 445
θούριος Ph 240
θράσος M 469
θρασύς Ph 716. — An 444
θρασυστομεῖν He 1286
θρεῖν M 46
θρησκεία Al 968
θριγκός O 1569 T 489
θροεῖν O 187
θῦμα An 506
θυμέλη Rh 235
θυοσκόος Rh 68
θυραῖος O 805. — Ph 847 An 422
θωπεία O 670
θωύσσειν He 113. — O 168
ἴακχος T 1230
ἰάλεμος O 1388. 1390 Ph 1033 Rh 895 T 1304
ἰαύειν Ph 1538
ἰαχή T 337
Ἴδη Hi 1253
ἴδιος He 978. — 1016. — O 558
ἰδού He 808 An 250
ἱδρύειν Ph 1008
ἱέναι He 579 O 786 An 342. 515. — O 793 M 798. 819. — Ph 521. — M 699. — Ph 1637
ἱέναι He 900 O 1304. — 1433. — Ph 152. — 322
ἱέρια O 261
ἱερός Hi 1206
ἰήιος Ph 1036
ἰθύνειν Ph 178
ἵνα He 2 Al 319
ἴξις T 396
ἰού An 250
ἱππεία Ph 794
ἱππεύειν Ph 212
ἱπποβότης O 1000
ἱπποβουκόλος Ph 28
ἱππόκροτος Hi 229
ἰσθμός Hi 1210
ἴσος He 805
ἰσχαίνειν O 298
ἰσχάνειν O 298
ἴτυς Ph 1384
ἰωά Hi 585
καθαγνίζειν O 40
καθαιμακτός O 1358
καθαιρεῖν *O 882
καθάπτειν Rh 202
καθαρός Hi 1120
καθεύδειν Ph 634
καθιστάναι O 892. — 1317
καθυβρίζειν M 1059
καίνειν O 195. 1302. 1306 Ph 44
καινός M 298
καίριος Ph 1431
καιρός He 666. — An 131. — Ph 471 An 485. — *1120
κάκη Hi 162. — An 967

κακόγλωσσος He 661
κακομήτης O 1403
κακόνυμφος M 990
κακορροθεῖν Hi 340
κακός He 308. — Ph 731
κακόφρων O 824
κακύνειν He 251
καλλιζυγής An 278
καλλίνικος Ph 855. 1049. 1059
καλλιστεύειν M 947
καλλίστευμα Ph 215
καλλόσυνος O 1385
καλός O 610. — He 957. — O 705. — 1216
κάλως T 94
κάμαξ He 1155. — Ph 1403
κάμνειν He 306 M 768
κανοῦν O 195
κανών He 602
καπηλεύειν Hi 953
κάρα *Ph 1149. — An 1210
καραδοκεῖν O 703
καρατόμος Al 1118
κάρτα Hi 90
καρτερεῖν M 708
καρτερός *M 708. — 394
καρχήσιον He 1261
κάσις *He 361. 943
κατά Ph 787
κᾶτα An 600
καταβάλλειν Ph 1053
καταβόστρυχος Ph 146
κατάγειν O 149
καταδεύειν Ph 825
καταικίζειν An 828
κατακλύζειν O 343
κατακονᾶν Hi 821
κατακονή Hi 821
κατακρίνειν An 496
κατακυροῦν O 1013
κατακωμάζειν Ph 352
καταλείβειν An 131
καταληπτός Hi 1346
κατάντης Rh 318
κατανύειν Hi 363. 364
καταξαίνειν Ph 1145. — Hi 274 M 1030
κατάπτερος O 178
κατάρατος He 716 M 162. — Hi 1362
κατάρχειν Ph 573 Al 74
κατασκαφή Ph 1196
κατασκήπτειν M 93
κατάσκιος Ph 654
κατάστασις Ph 1266
κατάχαλκος Ph 110
καταψήχειν Hi 110
κατεγγυᾶν O 1675
κατειδέναι M 991
κατείργειν Al 254
κατενάσθην Ph 207
κατεργάζεσθαι Ph 1062
κατερείπειν He 477
κατευνάζειν Hi 559
κατέχειν Hi 1465. — Ph 784
κατήορος T 1090
κατηφεῖν M 1012
κατόψιος Hi 30. 31
κάτω An 1078
κατῶρυξ He 1002
κέγχρος Ph 1386
κέγχρωμα Ph 1386
κεδνός O 1138 M 523 Al 96
κέδρος Al 365 T 1141
κεδρωτός O 1371
κείρειν O 458. — He 910
κελαινεφής O 821
κέλλειν He 1057 Hi 140. — O 800
κενός He 824
κέντρον Hi 1194
κέρδος M 87
κερκίς He 1153
κέρχος Ph 1257
κερόδετος Rh 33
κερουλκός O 268
κευθμών Hi 732
κηδεμών M 990
κηδεστής He 834 Al 731

κηδεύειν He 1202. — Ph 347
κῆδος O 795 Ph 77. 340. 704 M 400 O 752 M 700. — An 869
κηδόσυνος O 1017
κηλητήριος He 535
κηλίς He 911. 912 Hi 820
κηπεύειν Hi 78. — T 1175
κῆπος *T 1175
κήρ Ph 950 Hi 223
κηραίνειν Hi 223
κῆρυξ Rh 401
κηρύσσειν He 416. — Ph 1431. — An 772
κίβδηλος Hi 616. — M 516
κιγχάνειν Al 22
κισσύβιον Al 756
κλείειν Ph 865. — An 502
κλεινός Ph 88. 951. 1070
κλέος Ph 576
κλέπτειν Ph 992
κληδοῦχος Hi 541
κληδών Al 315 An 561
κλήζειν Ph 10
κλῆρος Ph 838 Hi 1057
κλήρωσις An 384
κλῖμαξ Rh 73
κλισία Al 994
κλιτύς Hi 226 Al 575
κλύδων He 116 Ph 859 M 29
κλυδώνιον He 48
κλώψ Al 766
κνῆστις Al 109
κνίζειν M 555 An 209
κόβαλος *He 131
κοιμίζειν Ph 184
κοινός Ph 692. — Hi 609
κοινοῦν Ph 1709 An 654. — Al 426
κοινωνία Ph 16
κοινωνός M 1361
κοίρανος Al 1140
κολλητός Hi 1225
κομίζειν T 166
κομιστήρ He 222
κομιστής An 1268
κομπάζειν Ph 1174
κομπεῖν Rh 438
κόμπος Ph 600 An 1219. — He 627
κομπός Ph 600
κόπις *He 131
κόρη Ph 1162. — Hi 141. — An 532
κορυβαντιᾶν Hi 143
κορύσσειν An 279
κοσμεῖν Ph 797. 861. — An 955
κούριμος T 279
κουφίζειν Ph 122
κούφισμα Ph 848
κοῦφος M 449
κραίνειν He 219. — Ph 70. — Hi 868. — M 138
κράντωρ An 507
κράσπεδον M 524
κρατεῖν Ph 578 M 1015
κράτος Ph 1424. — 1760
κρείσσων He 639. — O 236. — Ph 889 Al 965. — M 449
κρήδεμνον T 506
κρημνός Ph 1315
κρίνειν An 370. — M 609
Κρόνιος Rh 36
Κρόνος Rh 36
κρότημα Rh 499
κρύπτειν Hi 243. 250. — An 32
κρυπτός He 1070
κτίζειν *Ph 683
κτίτης *O 1621
κυάνεος *An 1011
κυβεύειν Rh 446
κυβιστητήρ Ph 1151
κῦδος T 398
κυκλοῦν He 639. — Ph 1126
κύμβαλον Al 98
κυμοδέγμων Hi 1173
κυναγός Hi 1397
κυνεῖν M 1207
κύπρις An 179
κυρειν He 690. 698 Ph 171. 1067 M 1109 An 422

κύων An 630
κῶλον O 1016
κώμη Al 476
κῶμος Ph 791. — Hi 54. 55. — Al 918
λαγχάνειν T 243
λαιψηρός He 1039
λάκισμα T 496. 497
λακτίζειν Rh 411
λαμβάνειν Ph 1015. — M 858
λάσκειν He 678 Rh 724. — Hi 55. — Al 346. — An 671
λάτρευμα T 1106
λάτρις He 609 Ph 205
λέγειν He 906. — T 296
λεηλατεῖν He 1143
λείβειν An 532
λεῖμαξ Ph 1571
λείπειν Hi 324. — M 76
λεπαῖος Hi 1248
λέπας Ph 24 Rh 287
λεπτός M 1082
λέσχη Hi 383
λεύκασπις Ph 1099
λευκοκύμων O 992
λευκολόφας Ph 119
λευκόπτερος Hi 752
λευκόχρως Ph 322
λευρός He 700 Ph 836
λεύσσειν Ph 1481
λέχριος He 1026 M 1168
λήγειν M 422
λήθαργος M 1
λῆμα O 1625 M 119. 348 Al 982 Rh 499
λιάζειν He 98
λίαν *Ph 584
λιβάς An 116. 534
λιγυρός M 205
λιμήν M 769
λίμνη *He 446
λινόκροκος He 1081
λίνος O 1396
λιπαίνειν He 454
λιπαρόζωνος Ph 174
λισσάς An 533
λίχνος Hi 913
λογάς He 544 An 324
λογίζεσθαι An 316
λόγος Ph 396
λόγχη Ph 1398. — 442
λοιπός Hi 33
λοίσθιος *O 517 T 489. — Hi 57
λοχαγός Ph 148. 749. — 123
λόχευμα Ph 803. 816. 1019
λόχος Ph 448. — 739. — 1140
λύειν Hi 441 M 566. 1362 Al 628
λυμαίνεσθαι An 719
λύμη He 1075
λύπη An 1042
λυπρός M 598 Ph 394. 1207 T 394
λώβη He 1098. — Ph 319
λωτός Ph 787
λωτοτρόφος Ph 1571
λῴων An 691
μακραύχην Ph 1173
μακρηγορεῖν Ph 761. — Hi 704
μακρόπνους Ph 1535
μακρός Ph 592. — Hi 1441
μαλάσσειν Al 381. 1086
μαλθακός Hi 1225
μανιάς O 270. — 327
μαντίπολος He 121
μαράγνα Rh 817
μαργᾶν He 1128 Ph 1156. 1247
μαργότης An 949
μάρπτειν He 1062
μαρτύρεσθαι M 1410
μαστεύειν He 754
ματεύειν He 815 Ph 416
ματρόξενος *Al 989
μεγαλαγορία Ph 184
μεθιέναι He 27. 554 Ph 584. — 1228. — M 736. — Al 1111
μεθιστάναι M 911
μεθορμίζειν Al 798
μελάγχιμος Ph 372
μελάγχρως O 321

μέλαθρον An 882
μελαμβαθής Ph 1010
μελάνδετος O 821 *Ph 1091
μέλας O 1472
μέλειν Ph 759 An 849. — Ph 1303 Hi 60. — Ph 1301. — Rh 770
μέλεος Ph 167. 869
μελέτη Hi 224 M 1099
μελισσοτρόφος T 799
μέλλειν Ph 299 Hi 1381 Al 50. — O 1283 Ph 1146. — 1279. — He 726
μέμφεσθαι Ph 865
μέν Ph 643. — 935
μένειν Ph 1637
μέριμνα He 896
μέρμερος Rh 509
μέρος Ph 486
μεσάγκυλον Ph 1141 An 1133 cf ἀγκύλη
μέσος Al 914. — He 1113. — An 873. — ἐν μέσῳ πεσεῖν Ph 583
μέτα Hi 876
μεταβαίνειν Hi 1292
μεταβάλλειν Hi 1118
μεταθεῖν O 254
μεταίχμιον Ph 1240. 1279 Al 91
μετακλαίεσθαι He 214
μετακύμιος Al 91
μετάρσιος He 499 An 1219
μεταστείχειν He 509
μεταστρέφειν Hi 1225
μετατροπή An 492
μεταψαίρειν Ph 1390
μετεῖναι Ph 412. — M 886
μετέρχεσθαι Ph 260. — An 562
μετέχειν An 499
μέτοχος An 769
μηδέν He 622 T 412
μήδεσθαι Hi 592
μήκιστος Hi 818
μηνίειν Hi 1146 Rh 494
μηχανᾶσθαι Rh 855
μηχανή Ph 890
μῆχος An 535
μίτρα He 924
μνήστευμα Ph 580
μοῖρα Ph 157 An 1172. — M 995 An 1007. — Hi 988. — 1256. — M 430. — 861
μολεῖν O 982
μομφή Al 1009
μονάμπυξ Al 428
μονάς Ph 1520
μονομάτωρ Ph 1517
μονόπωλος O 1004
μονόστολος Al 407
μονοῦν Al 652
μόρος He 695
μόρσιμος Al 939
μορφή T 1266
μόσχος He 205. 526
μοῦσα Ph 50. — 788. — 1728. — M 1085. — Hi 452
μουσοπόλος Ph 1499
μόχθος M 649. — Al 1025
μυελός Hi 255
μύριος Hi 1179
μυσαρός Ph 1052. — M 1393
μυσάττειν M 1149
μυχθισμός Rh 789
μυχός He 1040. — 1066
μῶν He 676. 754 O 875. — T 55
μῶνυξ Ph 793
μωραίνειν An 674
μωρία Hi 644. — M 371
μῶρος T 989
νᾶμα M 1186
νασμός He 150. 153. — Hi 225
ναύδετον T 811
ναυκληρία M 527 Al 257
ναυκλήριον Rh 233
ναυσθλοῦν T 162
ναυσίπομπος Ph 1712
ναυστολεῖν M 682
ναύτης An 457
νεανίας Al 679
νεᾶνις Ph 786. 787

νεβρίς Ph 792
νεῖκος M 638. 1140
νέκυς Ph 1327
νέμειν O 592. — Hi 745
νέμεσις He 288
νεοδμής M 1366
νεόδμητος M 623
νεόζυγος M 804
νεολαία Al 103
νέος *He 217 An 60
νεοχμός Hi 866. — T 260
νέρτερος M 985. — 1059
νέφος Ph 1311
νηδύς Hi 165
νήνεμος He 533
νικᾶν M 912 Al 1108
νίν An 17 O 1659. 289 Ph 148. 673
νίσσεσθαι Ph 1234
νιφόβολος Ph 206
νοεῖν Ph 1407
νοθαγενής An 912
νόμιμος Ph 538
νόμος He 685
νοσεῖν Ph 867. 1171 An 548. — Ph 66. — 1097. — T 27
νόσος Hi 404. — M 1364
νόστος Rh 427
νοτερός Al 598
νότιος Hi 150
νοτίς Ph 646
νύκτερος He 831
νυμφεύειν Hi 561
νυμφίδιος Hi 769
νυμφοκοσμεῖν M 985
νύν He 996
νώ O 50. νῷν O 1123 M 871 An 752
νωμᾶν Ph 1256
νῶτον T 572
νωχελής O 800
ξανθός M 834
ξειναπάτης M 1392
ξενία He 794
ξενοδοκεῖν Al 552
ξένος An 136
ξήνασα O 12
ξυρήκης Ph 371. 372 T 141
ὅ Hi 525
ὄβριμος O 1454
ὄγκος Ph 717. — T 108
ὀγκοῦν He 623. — An 320
ὀδμή Hi 1391
ὀδοντοφυής Ph 821
ὁδός Ph 722. — 911
ὅθεν Ph 27. 322
οἵ Ph 1274
οἷ O 1678
οἰακοστρόφος M 523
οἴαξ O 795
οἶδμα He 446 Ph 202
οἰζύς He 949
οἰκεῖος *An 986 Ph 374. 692
οἶκος Ph 1373
οἰκούρημα O 928
οἰκτίζειν He 720. — Ph 1477
οἰκτίρω An 421
οἶκτος Ph 957
οἰκτρός He 91. 417 Ph 627. — An 141
οἶμος Al 835
οἰμωγή He 1036
οἰνάνθη Ph 227. 229
οἴνη Ph 227
οἰνοπλάνητος Rh 360
οἰνοχόη T 821
οἰνωπός Ph 1160
οἴχεσθαι He 139
οἰωνός Ph 1634
ὀλβίζειν Al 918
ὄλβιος An 164
ὀλιγάκις *O 393
ὀλίγος Ph 1098
ὀλολυγμός *O 1137
ὀλόμενος O 1364 Ph 1029
ὁμαρτῇ He 839
ὁμήγυρις Hi 1179
ὁμηρεύειν Rh 434
ὅμηρος O 1189 Al 870

ὁμιλεῖν An 792. — *Ph 1408
ὁμιλία An 683. — *O 1082 Ph 1408
ὄμμα Ph 454. 802
ὀμματοστερής Ph 327
ὁμόγαμος Ph 137
ὁμογενής Ph 217. 218
ὁμόγνιος An 921
ὁμόθεν O 846
ὁμόπτερος Ph 328
ὁμορροθεῖν O 530
ὁμόσε χωρεῖν O 921
ὁμόσπορος M 596
ὀμφαλός O 331 M 668
ὀμφή M 173
ὀνάσθαι O 1677 ὀνῆσαι M 533. 566
ὀνειδίζειν He 670
ὄνειδος *O 1238. — Ph 821. 1676. 1732 M 514. — Ph 513
ὀνειρόφρων He 709
ὄνεσθαι Al 59
ὄνησις Hi 757
ὀξύφρων M 640
ὄπα Hi 586
ὀπαδός Hi 108
ὀπάζειν Hi 45
ὄπῃ Hi 585
ὀπισθόπους Hi 54. — 1179
ὅπλα Ph 1191
ὁρᾶν He 488. — Ph 713. — 1190
ὄργανον Ph 114
ὄργανος An 1014
ὀργάς Rh 282
ὀργή Hi 438. — T 53
ὀρέγειν O 303. 328 Ph 103
ὄρεγμα Ph 307
ὀρείκτιτος *O 1621 *Ph 683
ὀρέστερος He 1058 T 551
ὄρθιος Ph 1098. 1223 An 10
ὀρθός He 972. — An 761
ὀρθοῦν Ph 1250. — M 569
ὀρθρεύεσθαι T 182
ὁρίζειν He 801. 941. — M 433
ὅρκιος M 208
ὁρμᾶν He 143
ὀρόμενος Ph 1569
ὀρούειν Ph 1237
ὄροφος *O 147
ὀρρωδεῖν He 768
ὀρρωδία Ph 1389
ὀρφανεύειν Al 165. 297
ὀρφανίζειν Al 276
ὀρφανιστής Al 165
ὀρφανός M 1209. — He 149 An 308
ὀρφναῖος O 1225
ὅσιος Hi 656. — He 788. — O 501
ὁσιοῦν O 515
ὅσος Hi 470 H 995. — ὅσον οὐκ ἤδη He 141
ὅσσε He 915
ὅστις He 353 cf. ὅτι
ὅτε O 989. — Ph 1505
ὅτι O 439. — Ph 1300
οὐ An 250
οὗ Ph 855 An 53
οὐδέν Ph 598. — 747
οὐκοῦν Ph 1653
οὔκουν O 1607 Ph 1589
οὖν M 1112
οὐράνιος Al 229. — T 1299
οὐρανός M 56
οὔρειος Ph 806 T 533
οὔριος He 900
οὐτάζειν *Hi 684
οὕτως Ph 361. — Al 332
ὀφλισκάνειν An 188
ὄχημα Hi 1355
ὄχλος He 605 Ph 879. — M 337
ὀχμάζειν O 265
ὄχος Hi 1225. — M 1122
ὀχυρός M 124
ὀψέ Hi 480
ὄψις Ph 671 Hi 25
πάγος An 1009
Παιάν Hi 1373. — παιάν Ph 1102. — T 578
παίδευμα An 1101

παιδοποιός An 4
παίειν O 1547
παιπάλη Ph 1159
πάλαι Hi 1084
παλαιός Rh 389
πάλαισμα Hi 815
παλάμη O 820
πάλιν O 810. — Ph 1400
πάλλειν Rh 374
πάλλευκος He 500
πάλος T 263
παλύνειν *O 220 *Ph 1159 *Rh 430
πανημέριος Hi 368
πάνοπλος Ph 149
πανσυδία T 797
πάντῃ O 1267
πάρα Ph 961. 1481. — M 1408
παραβαίνειν He 704
παραβάλλειν An 289
παραιρεῖν Hi 1316
παρακαλεῖν He 587
παρακόπτειν Hi 238
παραλλάσσειν Hi 935
παραλύειν Al 117 An 304
παράμουσος Ph 785
παράσειρος O 1017
παράσημος Hi 1115
παρασπίζειν Ph 1435
παραστάς Ph 415. — An 1121
παράτροπος An 527
παράφορος He 1050
παραψυχή He 280
πάρεδρος M 843
παρεῖναι Al 548
παρεμπολᾶν M 910
παρεξιέναι Ph 1248
παρέρχεσθαι An 230
παρέχειν T 308
παρηγορεῖν He 288. — Ph 1449
παρθενεύειν Ph 1637
παρθένος O 108. — Hi 1006
παριέναι Ph 508. 514. 523 M 892. 1377. — Al 939. — O 210 Ph 852. — Al 204
πάροιθεν Ph 853. 1509
πάροικος An 43
παροίχεσθαι M 995
πάρος O 1217. — Al 414
παρρησία Ph 391
παρωθεῖν An 30
παστάς O 1371
πάσχειν Ph 246
πατήρ *O 1197. — Rh 235
παχνοῦν Hi 803
πεδαίρειν Ph 1027. — Rh 372
πεζός *Al 447
πείθειν M 733. — An 193
πειρᾶν Ph 1018
πεῖσμα He 1081
πελάζειν Ph 279
πέλανος *O 220 Al 851 *Rh 430 T 1063
πέλτη *Rh 311 Al 498. — Rh 373
πέμπειν He 977
πένης He 1220
πεπᾶσθαι O 1197 An 641
πεπρῶσθαι M 1064
πέρα He 714. — An 271. περαιτέρω Ph 1681
περαίνειν Ph 589. — M 701
περᾶν He 665. — Ph 145. — 980
πέργαμον Ph 1098. 1176
πέρθειν Ph 153
περί Hi 1168. — T 900
περιβάλλειν O 372
περίβλεπτος An 89
περιβολή Ph 1078. — Hi 864
περινίσσεσθαι Al 449
πέριξ Ph 698. 710. 1311
περιπίπτειν O 367
περιπλοκή Ph 494
περιπτύσσειν He 735. — An 417
περιπτυχή Ph 1356
περίρρυτος Ph 209
περισσός Hi 437. — An 331. — M 295
περιστέλλειν M 582. — 1034
περιχορεύειν Ph 312. 316
πέσημα He 699 Ph 1701 An 652. — Ph 640

πέσος Ph 1299
πεσσός M 67
πηγή Ph 1296
πημονή Ph 254
πήνη He 471
πιδακόεις An 116
πιδύειν An 116
πικρός Ph 527. 956
πινώδης O 225
πίπτειν *O 603. — 1309. — 1547. — Hi 576. — Al 103
πιστός He 956. — Ph 268
πίσυνος O 905
πίτυλος T 1123. — Hi 1464 Al 798 T 817. 1236
πλάθειν Al 119
πλαθῆναι He 890. — An 25. — T 203
πλάνος Hi 283
πλάτη O 54. — Rh 53 T 1100. — He 39. — T 1332
πλεκτή T 958
πλῆκτρον Rh 766
πλημμυρίς Al 184
πνεῖν An 327
πνεῦμα Ph 787. — M 1119
ποδεών M 679
ποθεῖν Ph 1603
πόθεν He 613 An 83. — Ph 1620
πόθος An 824
ποία T 20
ποικιλόφρων He 131
ποιμήν Ph 1140
πολιῆτις Hi 1126
πολιός Ph 1543
πόλις Ph 774. 1448. — An 1176
πολυέλικτος Ph 314
πολυζήλωτος Hi 168
πολυήχητος Al 918
πολύμοχθος Ph 784
πολυπινής Rh 716
πολύπλανος Ph 660
πολύς Hi 1. — M 120. — 947
πολύφθορος Ph 1022
πόμπιμος Hi 577. — M 848
πομπός He 222
πονεῖν Ph 614
πορεύειν Ph 985
πορθμεύειν An 1229
πορθμός Hi 1210. — He 1106
πόρος Ph 825. — 984
πόρπη He 1170
πορσύνειν An 352. — 803
ποτάμιος T 1067
ποτέ Ph 784. — M 30
ποτήρ Al 756
πότμος He 695. 696 An 846 T 270. — He 971. — Hi 1143
πότνια An 1273 T 292
ποτνιάδες O 318 Ph 1124
ποτός Hi 516
πούς Ph 1539. — An 397. — He 1020. — M 679
πράσσειν Ph 1331. — Hi 778. — An 418
πρέπειν Ph 346
πρεσβεύειν Hi 5
πρευμένεια O 1323
πρευμενής He 538 O 1323. 119. 138
πρίν M 1173 An 1147
πρό Al 326 Rh 242. — O 1354. — 1429. — 1603. — Ph 1519
προβολή O 1488
πρόδοτος Hi 595
προθυμία Ph 1430 Al 1107. — O 708
πρόθυμος M 1146
προιέναι Hi 124
προκόπτειν Hi 23
προκρίνειν Ph 743. 746
πρόκωπος O 1477
προλείπειν He 438
προμηθία He 795 Ph 1467 Al 1054. — He 1137 M 741
προμήτωρ Ph 828
πρόμος Ph 1244
πρόνοια O 1407. — Ph 736
προνωπής Al 143. — An 729
προνώπιον Hi 373

προξενεῖν M 724
πρόξενος M 359. — An 1103
πρόπαρ Ph 120. 825
πρόπας Ph 1504
προπετής He 150 Al 909
πρός He 773 Ph 594 Hi 826 Al 29 An 901. — He 695. 697 Ph 66. — Ph 610. — Hi 872. — Al 57. — An 219
προσάγειν Ph 1104. — An 226
προσάμβασις Ph 744
προσάντης O 790 M 305
προσαρκεῖν He 862
προσαυδᾶν M 1207
προσβάλλειν M 640
πρόσβασις Ph 180
προσβολή M 1074
προσειπεῖν Al 195
προσέχειν M 1213
προσήκειν O 693
πρόσθεν Ph 1463 An 65. — M 190. — Ph 58. — He 961
προσκέπτεσθαι An 257
προσμιγνύναι O 1290
προσπίπτειν M 1266
πρόσπολος O 106
προσρηθῆναι Al 195. 942
προσσαίνειν Hi 863
προστιθέναι Ph 964. — Hi 717. — An 219
πρόσφορος Hi 112. — Al 148. — Ph 129
πρόσω Ph 596 Hi 795. — He 1158. — An 249
προσῳδός Ph 1498
πρόσωθεν *Hi 102. — 831
προσωφέλημα M 611
προταινί Rh 523
προτιθέναι He 613 Ph 1319. — Hi 381
προτιμᾶν Al 762
προτρέπειν Hi 715
προυξερευνᾶν Ph 92. 93
προυξερευνητής Rh 296
προφέρειν M 1092
προχορεύειν Ph 789. 791
προχωρεῖν Ph 1266
πρύμναν κρούεσθαι Ph 1400 *An 1120
πρύτανις T 1287
πρωτόλεια O 382
πρῶτος He 350. — Ph 886. — An 241
πτέρινος O 1429
πτεροῦν Ph 1019
πτηνός O 988
πτήσσειν He 179 An 165. 753
πτυχή Ph 84
πυλωρός Ph 261
πυργηρεῖν Ph 1087
πύργος Ph 1223. — 1706. — 1078. — M 390
πυργοῦν O 1568 T 612. — M 526
πυριγενής Hi 1223. — O 820
πυροφόρος Ph 644. 687
πυρρίχη An 1135
πυρσαίνειν T 227
πυρφόρος Ph 1377
πῶλος He 142 Hi 546. — Ph 947
πώρη O 392
πωρητύς O 392
πώς Ph 161
πῶς δοκεῖς Hi 446
ῥᾴδιος Hi 1117. — An 232. — Hi 638. — 1047
ῥᾳθυμία M 216. 217
ῥάπτειν An 911
ῥαφή Ph 1159
ῥέγκειν Rh 785
ῥηγνύναι Hi 1338
ῥητόν Hi 459
ῥινός Rh 784
ῥοή Ph 174
ῥόπτρον Hi 1172
ῥύεσθαι M 388
ῥυθμίζειν He 924
ῥυθμός Hi 529
ῥύμη Rh 64
ῥυσός T 495
ῥυτός Hi 123. — 653
ῥώμη O 1169
σαγή Rh 207

σαίνειν Rh 55
σαίρειν He 363. — An 166
σαλεύειν Rh 247
σάλος He 28
σάρον An 166
σαφής O 1155 Ph 1590. — Hi 385 An 1048
σέβειν Ph 294. — An 566
σεβίζειν Hi 541. — M 640
σείριος He 1104
σελήνη T 1075
σεμνομυθεῖν Hi 490. — An 234
σεμνός *Hi 93 Ph 284. 1175 Hi 99. 103 Ph 982 Hi 143 An 699 M 216. — Hi 25. — Al 773. — 800
σηκός Ph 1010. 1751
σθένειν He 49. — Al 267
σῖγα O 140. — Ph 1224
σιδηρόνωτος Ph 1130
σινάμωρος Hi 644
σιτοποιός He 362
σκαιός M 190. 298 Rh 266
σκέπτεσθαι O 494
σκήπτειν M 1333
σκηπτός Rh 674
σκιά M 1224
σκιδνάναι He 916
σκίρτημα He 526
σκότιος *Al 989. — Ph 1484
σκότος Ph 1214
σκύμνος He 205 O 1213. 1385
σόφισμα Ph 871. — 1408
σοφιστής Hi 921
σοφός M 665. — Ph 460 M 295. — He 1193 Al 699. — Ph 1259. — Hi 1076. — An 245. — 437
σπάνις An 771
σπείρειν He 9
σπένδεσθαι Ph 1240. — M 1140
σπέρχεσθαι M 1132. — Al 256
σπεύδειν M 151
σπονδαί Ph 97. 143
σταθμός An 281. 282
στέγειν Ph 1214. — Hi 842
στείβειν Hi 216
στείχειν Ph 1260
στέλλειν Hi 233. — M 668
στέμμα *O 12
στέργειν M 635. — Hi 461
στέργηθρον Hi 253. 255
στέρνον Ph 162
στερρός An 98
στεφάνη He 910
στεφανοῦν He 126
στηρίζειν Hi 1207
στίβος O 1274. — Ph 92
στικτός Ph 1115
στόλισμα He 1156
στολμός An 148
στόλος He 115. — O 989
στόμιον Hi 1223
στόμα Rh 409
στόχισμα He 1156
στρατεία He 133
στρατηλάτης Ph 973
στρατιά He 133
στρέφειν He 750
στρόφιγξ Ph 1126
στρωμνή Ph 421
στυγεῖν Ph 606 Al 338
στυγνός Hi 172. 290. — 1355
σύγγαμος An 182
συγγνώμη O 661
σύγγονος Ph 1502
συγκαθιστάναι Hi 294
σύγκασις Al 409
συγκατασκάπτειν O 735 Ph 884
συγκλείειν He 487. — An 122
σύγκρατος An 495
συγκύρειν An 1172
συγχεῖν Hi 812 M 1005
σύγχορτος An 17
σύγχυσις An 291
συγχωρεῖν Hi 299. — 703
συζύγιος Hi 1147
συλᾶν Hi 799
συλλαμβάνειν Rh 230

συλλέγειν Ph 850
συμβαίνειν Ph 71. — An 233
συμβάλλειν O 335
σύμβασις Ph 85
σύμβολον M 613
συμβούλεσθαι He 373
σύμμετρος Al 26
συμπεραίνειν O 1551
συμπίτνειν He 1030
συμφάναι Hi 264. 266
συμφέρειν M 13
συμφορά O 414. — 502. — 605. — Ph 963
σύν Ph 511
συναίμων Ph 816. 817
συναινεῖν Rh 172
συναλλάσσειν An 1245
συνάορος Al 483
συνάπτειν Ph 702. — 1101. — 1192
συναρπάζειν He 1163
συναρτᾶν M 564
συνασοφεῖν Ph 394
συνδεῖ Ph 538
σύνδεσμος Hi 199. — M 1193
συνδικεῖν M 157
συνδρᾶν An 40
συνδυάς Al 473
συνειδέναι He 870
συνειπεῖν Hi 557
σύνεσις Hi 1105
συνετός O 1406. — Ph 1505. — 1506
συνευτυχεῖν Hi 1119
συνεχής Hi 226
συνηρεφής O 957
συνθήγειν Hi 689
σύνθημα Ph 1140 Rh 521
σύννοια An 805. 807
συντήκειν O 34. — 805
συντιθέναι He 1184
σύντονος Hi 1361
συντράπεζος An 658
συνῳδός Ph 1518 M 1008. 1269
συνωρίς Ph 448. — 1085. — M 1145 Al 483
σύρδην Rh 58
σῦριγξ Hi 1234
σύστασις Hi 983. — An 1088
συστράτηγος Ph 745
σφαγεύς An 1133
σφάγιον Ph 174. 1110
σφάζειν An 315
σφάκελος Hi 1352
σφάλλειν Ph 725. 758 M 197. — Ph 837. — Hi 6. — 1414. — An 779. 780
σφέ M 944 T 928
σφενδόνη Hi 862
σφριγᾶν An 196
σφῷν M 1021
σχᾶν Ph 454. — 960
σχεδία He 111
σχέτλιος Al 741. — 824
σχῆμα Ph 252. — An 1
σχηματίζειν M 1161
σχολάζειν He 730
σχολή M 1238
σῴζειν Ph 1420. — Hi 635. — 1242
σωφρονεῖν T 350
σώφρων O 502 — Al 753
ταλαίπωρος O 392
τάλας Ph 1300. 1743. — M 1260
ταναός O 322
τάξις Ph 694
ταπεινός He 245
τάρβος Ph 361
ταυροῦσθαι M 92
τάχα Ph 899
ταχύς Hi 1047
τέγγειν Hi 128. 303 Al 764
τεθριπποβάμων O 989
τείνειν Ph 435
τεκμαίρεσθαι Ph 180
τεχνοῦν Ph 868
τέκος O 811
τελαμών Ph 1669
τελεσφόρος Ph 69. 641
τελευτᾶν Ph 1581
τέλος Hi 25. — M 920

τέμνειν An 121
τένοντες Ph 42
τέραμνον O 1371 Hi 418. 769 T 1296. — Ph 333
τέρας Ph 806. — 1023 Hi 1247
τέρην M 905
τέρμα Hi 937
τέρμων Hi 1159. — M 276
τερπνός An 290
τέρψις T 635
τετραβάμων Ph 792
τέτρωρος Al 483
τεύχειν An 644
τεῦχος An 167 He 609 Ph 779
τευχοφόρος Rh 2
τῇδε Ph 1719. — Hi 378
τηκτός An 267
τηλουρός O 1325 An 889
τητᾶσθαι He 324
τί He 820. — Ph 1338
τιθέναι He 875. — 1059. — Ph 576
τιμή Ph 1321
τίμιος Hi 332
τιμωρεῖν Ph 935
τιμώρια O 425
τιμωρός He 790. — 843
τίνυσθαι O 323
τιτρώσκειν *An 616
τλήμων O 35 He 562. 775 Hi 554
τλητός He 156
τοῖχος T 117
τοκάς Hi 559
τοκεύς An 1039
τολμᾶν He 326. 333 Hi 476
τόλμη Hi 937
τόλμημα Ph 1676
τομαῖος Al 101
τοξεύειν He 603
τορός Rh 77
τρανός Rh 40
τράπεζα Al 2
τραχύς Al 447
τρέπειν Ph 722
τρέφειν He 232 Hi 366
τρίβειν He 1142
τρίβος O 1251
τρίβων M 686
τριχόρυθος *O 1480
τρομερός *Ph 1285
τρόπαιον Ph 1251. 1473 An 694. — Ph 572 An 763
τροφεύς Ph 45
τροφή O 109
τροχηλατεῖν O 36
τροχηλάτης Ph 39
τροχήλατος An 399
τρόχος O 36 *M 46. — Hi 1133
τρῦχος Ph 325
τυγχάνειν Ph 765
τύμβος M 1209
τύπος Hi 862
τύπωμα Ph 162
τυραννικός M 348
τύραννος An 3
τύφειν *Ph 1154. — He 478. — T 145
τυφλὸν φέγγος He 1068
τυφώς Ph 1154
τύχη Ph 413. 1653. — He 865 Ph 892. 993 An 195. — He 498. 786 Ph 914. — M 1009. — 1116. — Al 886. — M 671
ὑβρίζειν Ph 1111. — M 603
ὑγιής O 590
ὑγρός *Ph 1664
ὑμέναιος Hi 552. 554. — Al 922
ὑμνεῖν M 422
ὑπάγειν An 428. — 906
ὑπαίθριος An 227
ὕπαρνος An 557
ὑπάρχειν Ph 1223. — An 274
ὑπασπίδιος Rh 740
ὑπασπιστής Ph 1213. — Rh 2
ὕπαφρος Rh 711
ὑπέγγυος He 1029 [Didymus]
ὑπεκτιθέναι An 310
ὑπεκτρέχειν Ph 873. — An 338

ὑπεξάγειν He 812
ὑπέρ O 1371. — Ph 210. — Hi 159
ὑπεραλγεῖν Hi 260
ὑπέραντλος Hi 767
ὑπερβάλλειν Hi 924. — Al 795. — 1077
ὑπερθεῖν An 195
ὑπερπαθεῖν Ph 1456
ὑπερτέλλειν O 6. — 841. — Ph 1007
ὑπέρτερος M 921. — 1219
ὑπερτρέχειν Ph 578
ὑπερφέρειν He 268
ὑπέρφευ Ph 550
ὑπέρχεσθαι Hi 992. — An 435
ὑπέχειν An 358
ὑπό Ph 792
ὑποδέξιος Rh 364
ὑπόδρομον Ph 1391
ὑπόνοια Ph 1133
ὑπόπτερος He 1264
ὕποπτος He 1135. — Ph 1210. — Rh 79
ὑπόροφος O 147
ὑπόσπονδος Ph 81. 273
ὑποτείνειν O 915
ὑστερεῖν Ph 976
ὕστερος He 555. — Ph 148. — 1432
ὑφάπτειν O 621
ὑφιέναι M 24
ὑφιζάνειν Ph 1382
ὑφιστάναι Ph 1470
φαντάζεσθαι Ph 93
φάος Ph 1305. — 1339
φᾶρος He 1081
φάσμα O 879
φαῦλος Ph 94. 112. 496 Hi 435. — Rh 285. — 769
φέρβειν O 869 Hi 75. — M 826
φέρειν O 769 Ph 382. — 254. 726. — An 440. — 785. — He 165. — O 661
φερνή Ph 1587 Hi 629 M 956
φέρσαι Ph 795
φεῦ δᾶ Ph 1296
φηλητής Rh 217
φθάνειν Ph 975. 1468 T 456. — O 936
φθίνειν Hi 370
φθόνος *He 288 Ph 545. — An 780
φιλαίματος Ph 174
φιλανδρία An 229
φιλεῖν Ph 174
φίλιος He 933. — An 603
φίλιππος He 9
φίλος Hi 597 M 16. 847. — Ph 777 An 175. — Hi 965. — M 738. — 846
φιλοτιμία Ph 532
φιλότιμος Ph 567
φιλόψογος Ph 198
φλεγέθειν Ph 169
φλέγειν Ph 251
φλέψ He 567
φλόγεος T 1257
φόβη Al 172
φοιβάς He 827
Φοῖβος O 256
φοῖνιξ Ph 1488
φοίνιος Ph 252. — 1006
φοιταλέος O 327
φοιτᾶν O 327. — Hi 141
φοιτάς Ph 1024
φοῖτος O 327
φόνιος Ph 933. 1030. — 1297. — Hi 552. — T 540
φραδή Ph 666
φράζειν He 546
φράσσειν O 1413 Ph 733
φρεῖν *Ph 264
φρήν Hi 511
φρικώδης Hi 1216
φρίξ *Ph 1285
φρίσσειν *Ph 1105
φρονεῖν Hi 1401. — An 666. 845
φρόνημα He 622
φροντίζειν Hi 1263. — Al 773
φροῦδος He 335. — M 722. — Al 820 An 73 T 858
φρυκτωρία Rh 55
φύειν M 1413. — O 424 Hi 13
φυλάσσειν An 63

φυλλάς O 383. — An 1100
φυλλόστρωτος Rh 9
φύρειν He 496
φύσημα Rh 440
φύσις O 126. — Ph 395
φυτεύειν O 11
χαίρειν Ph 919 Hi 1057. — 113
χαίτη Al 101
χαλᾶν He 403. — An 577
χαλινωτήριον He 539
χαμαιπετής O 1491
χαρά Al 578
χαράσσειν Rh 73. — M 157
χάρις T 537
χάρμα Ph 1503
χαυνοῦν An 931
χείριος An 411. 628
χέλυς Al 447
χερνίψ Al 99
χερσαῖος An 457
χηλή Ph 42. 1025. — 808
χιλιόναυς An 106
χλιδή An 2. 147
χλόη Hi 1137
χλοηφόρος Ph 647
χλωρός He 127 M 906
χοή O 96. 1187 Ph 933
χοιράς An 1265. — T 89
χόρευμα Ph 655
χοροποιός Ph 788
χόρτος Al 495
χραίνειν He 366. — O 919
χρᾶν Ph 643. — 957
χρέος O 1253
χρεών Hi 1256. — Al 26
χρή He 629 Ph 1602. — Al 49. — Ph 759. χρῆν He 260
χρῄζειν Ph 474. — 557 Hi 1442
χρῆμα He 754 O 277. 395. 1583 M 693 Rh 87
χρησμός Hi 1348
χρίμπτειν Ph 99 An 530. — Ph 809
χριστός Hi 516
χρόνιος O 151 Ph 367
χρυσεοβόστρυχος Ph 191
χρυσεόκυκλος Ph 176
χρυσεοπήνητος O 840
χρυσόδετος Rh 383
χρυσοπήληξ Ph 939
χρυσοφαής Hi 1276
χρῴζειν Ph 1625 M 497
χρωννύναι He 912
χρώς M 1403
χῶμα He 221. — Al 995
χωρεῖν Ph 990 An 91. — 176. χωρεῖν ἐπὶ σκέλος Ph 1400
χωρίζειν Ph 108
ψαίρειν Ph 1390
ψάλιον Ph 793
ψαφαρόχρους Rh 716
ψεύδειν An 346
ψῆκτρα Hi 1174
ψῆφος An 496. 518
ψόγος Ph 94
ψυχορραγεῖν Al 20
ὧδε An 77
ᾠδός Ph 1498
ᾠή Ph 269. 1067
Ὠκεανός Hi 121
ὠλένη Ph 165. 300. 665
ὠμόσιτος Ph 1025
ὥρα Ph 786. 787. — 1584
ὡς He 288. 411. 846 O 805. 1103 Ph 196 T 517. — He 89. 611. 927. 959. 1021 Ph 997. 1077. 1097. — He 346 Ph 625. 720 An 587. — Ph 148 M 328. — Ph 374. — He 441 An 929. — O 93. — Hi 651. — Ph 1118. — 1358
ὡς εἰπεῖν ἔπος Hi 1162
ὤφελε *M 1 Al 881
ὠφελεῖν Ph 364
ὠφελία An 539

# ADDENDA ET CORRIGENDA

## VOL. I

Ad prius uolumen coniecturae prolatae sunt a P. Rabbow in Genethliaco Gottingensi et Vdalrico de Wilamowitz in Indice scholarum Gottingensi a. h. s. LXXXIX/XC p. 10 sq.

p. 15,16 διαφοράν] emendo μεταφοράν
p. 26,3 εὑράμενον] ἀρξάμενον et postea τῶν ὑφ' Ἡρακλείτου κατηγορουμένων proponit Diels Arch. f. Gesch. d. Philos. III p. 455
p. 47,20 195] legas 465
p. 73,14 emendo ἔφη ⟨περὶ τὸ⟩ μεσονύκτιον
p. 91,9 νηπτικῶς rectum est, significat εὐλόγως ut φρονεῖν in νήφειν uertitur scholl. An 666. 845
p. 108,12 δακρύουσα]emendo δάκνουσα
p. 112,1 Σ 287] Τ 287
p. 124,17 499] 503
p. 126,6 369] 367
p. 142,11 49] 47
p. 186,1 scribendum καὶ Διονύσιος ὁ κυκλογράφος [ἐν] τούτῳ τὰ παραπλήσιά φησι
p. 246,2 ἐν Βάκχαις [946]
p. 271,17. 272,1 ⟨Πολυδ⟩ώρην Δαμίππην Πελόπειαν Wil Herm. XXVI p. 219
p. 293,28 cf. Eust. p. 432,12
p. 310,11 scholiasta legit ἄτρεστος
p. 340,10 crux in scholion quod sequitur transponatur
p. 341,20 cf. Eust. p. 419,5
p. 358,3 φόνους] emendo φόνου
p. 362,12 150] 151
p. 364,7 ἄρχοντος] Ἄβαντος Wil l. c. p. 212
p. 366,26. 367,1 σὺν τοῖς παισὶν del. Wil l. c. p. 215
p. 368,23 Ἠσιόνης] Πλησιόνης Wil l. c. p. 211
p. 374,27 cf. Eust. p. 598,32
p. 376,7 τῷ Αἰσχύλῳ] emendo τὸ Αἰσχύλου

## VOL. II

p. 27,7 ἐκβιβάζουσα] tenendum ἐκβάλλουσα cl. schol us. 569
p. 54,19 frg. 402] frg. 422
p. 59,3 δυνάμεως] legas διηγήσεως

M = codex Marcianus 471
A = codex Vaticanus 909
B = codex Parisinus 2713
N = codex Neapolitanus II F 41
O = codex Ottobonianus 339
a = codex Neapolitanus e Vaticano 909 transscriptus
Wil = Wilamowitz
Rei = Reitzenstein

ad Vol. I p. 9 [Hecubae argumentum]

V = codex Vaticanus 1345
Q = codex Ambrosianus L 39 sup.
Y = codex Marcianus 468
Z = codex Parisinus 2813

Digitized by Google

Digitized by Google

DS39

882.3 .DS39 C.1
Scholia in Euripidem / AJB0571
Stanford University Libraries
3 6105 045 014 391

CECIL H. GREEN LIBRARY
STANFORD UNIVERSITY LIBRARIES
STANFORD, CALIFORNIA 94305-6004
(650) 723-1493
grncirc@sulmail.stanford.edu
All books are subject to recall.

DATE DUE

1/2/03
RL
JAN 29 2003

Digitized by Google